χίας λόγῳ ἀναπτύσσει. Τοῦτο δὲ θεοπρεπῶς ἐκληπτέον. Πρὸς μὲν οὖν τὸ Μορφωτικαῖς, τὸ Πλάσεων ἀποδοτέον· πρὸς δὲ τὸ Συνθέσεσι, τὸ Ἁπλᾶς καὶ ἀτυπώτους.

Ὑλαία.] Ὑλαίαν χειραγωγίαν φησὶ, τὸ διὰ τῶν ὑλικῶν λεγομένων πρὸς τὴν ἔννοιαν ἀνάγεσθαι τῶν ὑπὲρ αἴσθησιν.

Φαινόμενα.] Φαινόμενα δὲ κάλλη, τὰς τῶν ἱερῶν οἴκων διακοσμήσεις λέγει· καὶ διεξοδικὰς δὲ μαθητείας, τὰς τῶν ἁγίων Γραφῶν ἀναγνώσεις· διακοσμήσεων δὲ τάξεις, τοὺς τῶν ἱερέων βαθμούς. Σημείωσαι δὲ, ὅτι τὰ ὁρώμενα κάλλη, εἰκόνες εἰσὶ τῶν ἀοράτων διακόσμων, ὡς δηλοῖ καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους, τὰ περὶ τῆς σκηνῆς θεωρῶν, καὶ Μωϋσῆς ἀκούων, Πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει ποίησον.

Τὰς διεξοδικάς.] Διεξοδικαὶ εἰσὶ μαθητεῖαι, αἱ διὰ τῶν ὁρωμένων καὶ διὰ πραγμάτων πλατύτεραι ἀποδείξεις τῶν νοητῶν ἑνιαίως καὶ ἀθρόως ταῖς νοήσεσιν ἐπιβαλλόντων.

Ἕξεως.] Ἐκεῖ ἕξεις εἰσὶ τὰ θεῖα διατάττουσαι. Ἕξις δέ ἐστι ποιότης ἔμμονος. Ἐνταῦθα δὲ καὶ Ἐκκλησιαστικαὶ τάξεις, τὰς ἐκεῖ ἕξεις, ἅτε ἀσωμάτους ἐξεικονίζουσιν· αἱ γὰρ ἕξεις, ἀσωμάτων εἰσί. Σημειωτέον, ὅτι ἡ παρ' ἡμῖν τοῖς ἀνθρώποις τελουμένη ἱερατικὴ μυσταγωγία, μίμησίς ἐστι τῆς οὐρανίου ἱεραρχίας.

Ὑπερκοσμίως.] Τὸ Ὑπερκοσμίως οὐκ αἰσθητῶς νοητέον, ἀλλὰ νοητῶς, καὶ ὑπὲρ τὸν καθ' ἡμᾶς κόσμον.

Ἱερογραφικαῖς.] Τουτέστιν, Ἐν τοῖς ἱερῶς περὶ αὐτῶν συντεθεῖσι λόγοις ἐν ταῖς Γραφαῖς.

Ἡμᾶς ἀνάγοι.] Σημειωτέον, πῶς ἀναγόμεθα εἰς Θεολογίαν, καὶ ὅτι ὁ Χριστὸς ἡμᾶς ἀνάγει.

Ἀκρότητας.] Οὐδὲν ὡς ἔτυχεν ὠνόμασται παρὰ τοῦ Μακαρίου τούτου, ἀλλὰ πολυμαθῶς καὶ κυρίως μετὰ τῆς εὐσεβείας. Ἐπειδὴ οὖν τὴν παρ' ἡμῖν ἱερὰν διάταξιν διὰ συμβόλων ὑλαίων καὶ ἐξοδικῶν καὶ πλάσεων εἶπε τελεῖσθαι πρὸς τὸ ἡμῖν ἐφικτὸν, τύπον οὖσαν καὶ μίμημα τῆς παρ' Ἀγγέλοις ἱερᾶς διακοσμήσεως, εἰκότως τὴν παρ' ἐκείνοις ἱεροφαντίαν, ἀκρότητα κέκληκεν. Ἀκρότητα γὰρ εἰώθασι καλεῖν οἱ περὶ ταῦτα σχολάσαντες,

SCHOLIA S. MAXIMI.

σαντες, ἑκάστης οὐσίας τὸ καθαρώτατον, καὶ ἐξ οὗ ἤρτηται προσεχῶς, τουτέστιν ἐχομένως, ἡ οὐσία· ὡς φέρε εἰπεῖν, ψυχῆς ἀκρότης, ὁ νοῦς αὐτῆς ὁ καθαρώτατος· καὶ ἔρωτος ἀκρότης, ὁ τῶν ἀναβεβηκότων καὶ θειοτάτων διάπυρος ἔρως. Καὶ τῆς καθ' ἡμᾶς οὖν Ἱεραρχίας καὶ μυστηριώδους διακοσμήσεως ἀκρότης, τὸ καθαρώτατον αὐτῆς, ἐξ οὗ ἀνῆπται, καὶ τὸ ἐγγὺς συντεῖνον ἀϋλίας. Τὸ οὖν ἀκραιφνέστατον ἐν ἡμῖν σύμβολον, ἡ ἀκρότης τῶν ἀτυπώτων καὶ ἁπλῶν καὶ ἀσωμάτων μυστηρίων, ᾗ ἡ Ἱεραρχία συναπτομένη ἐπιβατεύει, οἱονεὶ τῇ παρὰ ἀνθρώποις ἱεροφαντίᾳ· καὶ διὰ τῶν εἰκόνων ἀνάγει ἐπὶ τὰ καθαρὰ θεάματα τῆς νοητῆς τελετῆς, ἀκρότητος λεγομένης εἰκότως τῶν ἐνθάδε σωματικῶν τε καὶ ὑλοειδῶν.

cant, vocare ſolent apicem id quod in qualibet eſſentiâ puriſſimum exiſtit, & ex quo cõtinenter, id eſt continuò, pendet ipſamet eſſentia: vt, verbi gratiâ, apex animæ eſt puriſſima eius mens, & amoris apex eſt tranſcendentium ac diuiniſſimarum mentium ignitus amor. Noſtræ igitur etiam Hierarchiæ ac myſticæ deſcriptionis apex, eſt id quod in eâ puriſſimum eſt, ex quo pendet, & proximè ad immaterialitatem accedit. Puriſſimum itaque noſtrum ſymbolum, eſt apex quidam figurâ carentium & ſimplicium incorporeorumque myſteriorum, cui hæc Hierarchia, ceu ſacræ cuidam, quæ apud homines eſt, cærimoniæ copulata innititur, & adducit ad pura ſpectacula ſpiritalis imitationis, quæ hîc meritò harum corporearum ac materialium apex appellatur. *Apex quid.*

PARAPHRASIS PACHYMERÆ.

ΕΠΕΙΔΗ' Ἱεραρχίαν ἡ ἐπιγραφὴ ἔχει, ἰστέον, ὅτι Ἱεραρχία ἐστὶν ἡ τῆς διατάξεως αὐτῆς τῶν ἱερῶν ἀρχὴ, καὶ οἱονεὶ φροντίς· καὶ Ἱεράρχης ὁ τῶν ἱερῶν ἄρχων καὶ φροντίζων καὶ προνοῶν, οὐ μὴν τῶν ἱερέων, ἀλλ' ὁ καὶ τὰ ἱερὰ καὶ τὴν κατάστασιν αὐτῶν τε καὶ τῆς ἐκκλησίας καὶ τῶν μυστηρίων διατάσσων, οὐ μὴν δὲ ὁ Ἀρχιερεύς. Ταύτην δὲ τὴν ἐξήγησιν καὶ αὐτὸς ὁ μέγας Διονύσιος ἐν τῷ περὶ τῆς Ἐκκλησιαστικῆς ἱεραρχίας τίθησιν. Οὐ χεῖρον δὲ καὶ οὕτως εἰπεῖν· Ἱεραρχία ἐστὶ, καθ' ἣν ἱερῶς τις ἄρχει καὶ ἱερῶς ἄρχεται, μήτε τὸ ἄρχειν τυραννικὸν ἔχων, μήτε τὸ ἄρχεσθαι βίαιον. Προσεπεξεργαζόμενοι δὲ τὰ τοῦ ὁρισμοῦ, λέγομεν, ὅτι οὐ παρ' ὧν ἄρχεται, τούτων ἄρχει· ἀλλὰ παρ' ἄλλων μὲν ἄρχεται, ἄλλων δὲ ἄρχει, καθὼς ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ διαλαμβάνει τοῦ παρόντος Συντάγματος. Οὐρανίαν δὲ λέγει, πρὸς ἀντιδιαστολὴν τῆς καθ' ἡμᾶς Ἱεραρχίας, περὶ ἧς ἰδίᾳ συντάττει βιβλίον ἕτερον.

Φησὶν ὁ μέγας Διονύσιος πρὸς τὸν τῶν Ἐφεσίων Ἐπίσκοπον Τιμόθεον, ὃν καὶ Συμπρεσβύτερον καλεῖ, οἱονεὶ Συνεπίσκοπον, ὡς καὶ ἑαυτὸν Πρεσβύτερον, οἷον Ἐπίσκοπον (οὕτω γὰρ καὶ ὁ Παῦλος τοὺς τῆς Ἀσίας συντασσόμενος Ἐκκλησίαις, φησὶν, ὡς ἐν ταῖς Πράξεσι φέρεται) φησὶ τοίνυν, δανεισάμενος ἐκ τοῦ Ἰακώβου τὸ προοίμιον,

CVM titulus ſit *Hierarchia*, ſciendum eſt, Hierarchiam eſſe conſtitutionis ipſius ſacrorum principium, & quaſi curam; atque Hierarcham eſſe ſacrorum moderatorem & curatorem ac prouiſorem, non tamen Sacerdotum, ſed qui tam ſacra, quàm eorumdem & Eccleſiæ myſteriorumque ordinem diſtribuit, neque tamen Princeps eſt Sacerdotum. Hanc explicationem etiam magnus ipſe Dionyſius in libro de Eccleſiaſticâ Hierarchiâ ponit. Neque ſecùs etiam hoc modo dicere liceat: Hierarchiam eſſe ſacrum quoddam regimen, quo ſanctè quis regit ac regitur; ita vt neque in regimine tyrannis ſit, neque in ſubiectione violentia. Porrò vt hanc definitionem abſoluamus, dicimus, eum non ab iiſdem quos regit, regi, ſed ab aliis quidem regi, alios verò regere, vti decimo quinto capite præſentis Libri accipit. Cæleſtem verò vocat, ad diſtinctionem noſtræ Hierarchiæ, de quâ ſeorſim alium quemdam Librum componit. *Hierarchia quid.*

§.1. Magnus Dionyſius ad Epheſiorum Epiſcopum Timotheum, quem & Compresbyterum, id eſt Coëpiſcopum, vocat, ſicut ipſe ſe Presbyterum ſeu Epiſcopum (nam & eodem modo Paulus Aſiæ componens Eccleſias loquitur, vt in Actis refertur) ex Iacobo proœmium mutuando ait: *Omne* *Presbyter quid.* Act. 20, 18. Iac. 1, 17.

PARAPHRASIS PACHYMERÆ.

datum bonum, & omne donum perfectum, & indeficiens in ſemetipſo, tametſi pro ſuſcipiẽtium habitudine ſæpenumerò deficiat: quod vtique non ex dono prouenit, ſed ex viribus noſtris, quæ capiunt quantum poſſunt. Quemadmodum enim ipſe ſol, diuerſis rebus ſubditis apparens, alterum altero plus calefacit, idque non ob ſolis, ſed eorum quæ ſolem excipiunt diuerſitatem: ſic vtiq; diuinum donum cùm ſit perfectum, pro ſuſcipientium capacitate vel remittitur vel intenditur.

Iac. 1, 17.

Omne igitur *donum perfectum de ſurſum eſt, deſcendens à Patre luminum*. Patrem autem luminum Magnus hic Iacobus Deum vocat, vtpote patrem miſericordiarum, qui & ipſemet lux eſt, & creator ac conſeruator luminum: pater enim eſt qui producit & conſeruat quæ ex ipſo ſunt; ſic & Deus pater luminum, vt qui omnis creaturæ conditor exiſtat.

Pater luminũ quis, & cur ſic dictus.

Non dixit autem, pater cæli, neque terræ, ſed luminum, propter propoſitum; quoniam etiam dona ex illuſtratione diuinâ hominibus obtingunt. Hunc Patrem luminum in decurſu etiam abſolutè ſolùm Patrem nominat, dicens: Ad vnitatẽ Patris congregantis, vt qui creator ſit ac conſeruator noſter omniſque creaturæ: quamquam etiam aliàs Pater luminum ſit, ſcilicet Filij ac Spiritus ſancti.

Illuſtratio nos vnit & ſimplificat.

Sed & omnis à Deo proficiſcentis illuſtrationis prouentus, ad nos ex bonitate dimanans, denuò, ceu ipſamet vis vnifica, ſurſum nos eleuat, ſimplificatque, & quid vnum facit, atque ad vnum ſapiendum informat; nec non à terrenis conuertit ad congregantis Dei Patris vnitatem, ac deificam ſimplicitatem. Eò enim vſque ſententiis diſſidemus, quamdiu ſecundùm mundum ambulamus: quando verò ad Deum aſſumpti fuerimus, tunc vnum ſumus in Deo, atque eius gratiâ per ſimplicitatem deificamur, ſicut etiam Dominus ad Patrem ſuum ait:

Ioã. 17, 22.

Vt ſint vnum, ſicut & nos vnum ſumus. Illud itaque, Omne donum ex Deo, ex Iacobo ſumpſit; iſtud autem, Quoniam omne bonum in ipſum tendit, & nos ſurſum leuat, ex ſemet ipſe ponit. vtrumque porrò confirmat ex Apoſtolo dicente: *Quoniam ex ipſo omnia, & in ipſum.*

§. 2. Cùm itaque ex Deo ſit, & in Deum tendat omne bonum, agedum inuocantes ſaluatorem Dominum, qui Patris lux eſt ac ſplen-

Chriſtus vera lux.

Ὅτι πᾶσα παροχὴ ἀγαθὴ, καὶ πᾶν χάρισμα τέλειον καὶ ἀνελλιπὲς, πάντως καθ' αὑτὸ, ἐπεὶ παρὰ τὴν τῶν ὑποδεχομένων ἕξιν πολλάκις ἐλλείπει· καὶ οὐ τοῦ χαρίσματος τοῦτο, ἀλλὰ τῆς ἡμετέρας δυνάμεως, χωρήσης καθ' ὅσον οἷά τε ἐστίν. Ὥς γὰρ ὁ αὐτὸς ἥλιος, διαφόροις ὑποκειμένοις ἐπιπολάζων, ἕτερον ἑτέρου πλέον θερμαίνει, καὶ οὐ τοῦ ἡλίου τοῦτο, ἀλλὰ τῶν ὑποδεχομένων τὸν ἥλιον· οὕτω καὶ τὸ θεῖον δώρημα τέλειον ὂν, κατὰ τοὺς ὑποδεχομένους ὑφίεταί τε καὶ ἐπιτείνεται. Πᾶν τοίνυν τέλειον δώρημα οὐρανόθεν ἐστὶ, κατερχόμενον ἀπὸ τοῦ τῶν φώτων Πατρός. Πατέρα δὲ τῶν φώτων λέγει τὸν Θεὸν ὁ μέγας Ἰάκωβος, ὡς πατέρα οἰκτιρμῶν, τὸν αὐτοφῶς ὄντα, καὶ δημιουργὸν καὶ συντηρητικὸν τῶν φώτων· πατὴρ γάρ ἐστιν, ὁ παράγων καὶ τηρῶν τὰ ἐξ αὐτοῦ· οὕτω καὶ ὁ Θεὸς πατὴρ τῶν φώτων, ὡς καὶ πάσης κτίσεως ἐστὶ δημιουργός. Οὐκ εἶπε δὲ, πατὴρ οὐρανοῦ, οὔτε γῆς, ἀλλὰ φώτων, διὰ τὸ προκείμενον, ὅτι καὶ τὰ δωρήματα ἐκ φωτισμοῦ θείου τοῖς ἀνθρώποις γίνονται. Τοῦτον τὸν Πατέρα τῶν φώτων, παρακατιὼν καὶ ἀπολύτως καλεῖ Πατέρα μόνον, Πρὸς τὴν τοῦ συναγωγοῦ Πατρὸς ἑνότητα λέγων, ὡς δημιουργὸν καὶ συνοχέα ἡμῶν τε καὶ πάσης κτίσεως· ἢ καὶ ἄλλως Πατέρα φώτων, Υἱοῦ τε καὶ Πνεύματος δηλονότι. Ἀλλὰ καὶ πᾶσα θεοκινήτου φωτοχυσίας πρόελευσις, εἰς ἡμᾶς ἐξ ἀγαθότητος διαβαινομένη, πάλιν ὡς ἑνοποιὸς αὕτη δύναμις ἀνάγει ἡμᾶς, καὶ ἁπλοῖ, καὶ ἓν ποιεῖ, καὶ τὸ ἓν φρονεῖν παρασκευάζει, καὶ ἀπὸ τῶν γηΐνων ἐπιστρέφει πρὸς τὴν τοῦ συναγωγοῦ Θεοῦ Πατρὸς ἑνότητα, καὶ θεοποιὸν ἁπλότητα. Μέχρι γὰρ τούτου κεχωρισμένοι ταῖς γνώμαις ἐσμὲν, ἕως οὗ κατὰ κόσμον περιπατῶμεν· ὅταν δὲ πρὸς Θεὸν ἀνυψωθῶμεν, τότε ἓν γινόμεθα ἐν Θεῷ, καὶ χάριτι κατὰ τὴν ἁπλότητα θεοποιούμεθα, καθὼς καὶ ὁ Κύριος πρὸς τὸν ἑαυτοῦ Πατέρα φησὶν, ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. Τὸ μὲν, Πᾶν δώρημα ἐκ Θεοῦ, ἐκ τοῦ Ἰακώβου εἴληφε· τὸ δὲ, Ὅτι καὶ πᾶν ἀγαθὸν εἰς αὐτὸν τείνει, καὶ ἡμᾶς ἀνάγει, ἐξ ἑαυτοῦ τίθησιν. Ἀμφότερα δὲ κατασκευάζει ἐκ τοῦ Ἀποστόλου λέγοντος, Ὅτι ἐξ αὐτοῦ τὰ πάντα, καὶ εἰς αὐτόν.

Ἐπεὶ τοίνυν ἐκ τοῦ Θεοῦ ἐστι, καὶ εἰς Θεὸν τείνει πᾶν ἀγαθὸν, φέρε ἐπικαλεσάμενοι τὸν σωτῆρα Κύριον, τὸ τοῦ Πατρὸς φῶς καὶ ἀπαύγασμα,

PARAPHRASIS PACHYMERÆ.

μα, τὸ ὄν, τὸ ἀληθινόν. Ἢ ἅμα, ὅτι καὶ τὰ ἡμέτερα ὄντα λέγονται, ἀλλὰ κατὰ μετοχήν, καὶ οὐ κυρίως. Ἢ κατὰ στιγμήν. Τὸ φῶς. Ποῖον φῶς; Τὸ ὄν. οὐ γὰρ ἀνύπαρκτόν ἐστιν, ὡς τοῦτο τὸ φῶς. Ποῖον φῶς; Τὸ ἀληθινόν, κατὰ τὴν τοῦ Εὐαγγελιστοῦ Ἰωάννου φωνήν, Ἦν τὸ φῶς τὸ ἀληθινόν· ἐπιφέρει γάρ, Ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, δι' οὗ καὶ τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα προσέλευσιν ἐλάβομεν· ἀρχίφωτον δέ, ἢ ὡς ἀρχὴν καὶ αἰτίαν τῶν φώτων, τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· ἢ τὸν ἐξ ἀρχῆς φῶς ὄντα. οὐδὲν δὲ τῆς ἀρχῆς ἀνώτερον. Φέρε γοῦν ἐπικαλεσάμενοι τὸν Κύριον, ἐπὶ τὰς ἐλλάμψεις τῶν πατροπαραδότων Γραφῶν, ὡς δυνατόν, ἀνανεύσωμεν, καὶ τὰς ὑπ' αὐτῶν συμβολικῶς καὶ ἀναγωγικῶς (οὐ γὰρ φυσικῶς, ἀλλὰ διά τινων σημείων τὰ οὐράνια ἔδειξαν) παραδοθείσας ἱεραρχίας τῶν θείων δυνάμεων, ἃς καὶ νόας λέγει, πρὸς ἀντιδιαστολὴν τῶν αἰσθήσει ζώντων ἡμῶν· οὕτω γὰρ καὶ Ἡσαΐας τὸν νοῦν τὸν μέγαν, τὸν Ἀσσύριον· καὶ πάλιν, νοῦς μέγας, ἄρχων Βαβυλῶνος, τουτέστιν ὁ διάβολος. Τὴν γοῦν τῶν θείων νόων ἱεραρχίαν, καθ' ὅσον ἰσχύομεν, κατίδωμεν, καὶ τὴν φωτοδοσίαν τὴν ἐκ Θεοῦ, ἧς δίχα οὐδ' αὐτὰς τὰς οὐρανίους δυνάμεις, μὴ ὅτιγε Θεὸν γνωρίσαι ἐστίν, ὡς ἐφικτὸν κατοπτεύσωμεν· τὴν ἀρχικήν, ὡς ἀπαρχῆς οὖσαν καὶ ὑπεράρχιον· ὅτι οὐδὲν ἐπὶ Θεοῦ ἱκανῶς ἔχει τῆς σημασίας, ἀλλὰ καὶ πᾶς λόγος, καὶ πᾶσα ἔννοια ἡττῶνται, οὕτω καὶ οὐσία καὶ ὑπερούσιος, καὶ Θεὸς καὶ ὑπέρθεος. Ταύτην οὖν τὴν ἐκ Θεοῦ φωτοχυσίαν δεξάμενοι, ἢ τὰς ἱεραρχίας τῶν Ἀγγέλων ἐν τυπωτικοῖς συμβόλοις καὶ εἰκονίσμασιν ἐκφαίνει, αὔλοις καὶ ἀτρεμέσιν ὀφθαλμοῖς, οἱονεὶ στερροῖς, ἢ καὶ ἡσύχοις (χαίρει γὰρ τὸ Θεῖον τῇ ἡσυχίᾳ, ὡς τῷ ὄχλῳ ἡ ἐναντία δύναμις) πάλιν ἐξ αὐτῆς τῆς φωτοδοσίας ἐπὶ τὴν θείαν ἀνυψωθῶμεν ἀκτῖνα, κατὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἣν ἐλέγομεν, Ὅτι ἐξ αὐτοῦ τὸ ἀγαθόν, καὶ εἰς αὐτόν, καὶ ἑνοποιηθῶμεν ἐν τῇ θείᾳ ἁπλότητι. Ὅτι οὐδ' αὐτὴ ποικιλλομένη πρὸς τὰ ὑποδεχόμενα, ἐξίσταται τῆς ἰδίας ἑνικῆς καὶ ἁπλῆς ἐνδότητος καὶ κρυφιότητος (πᾶσι γὰρ τοῖς ἔξωθεν αὐτῆς, ἄγνωστός ἐστι) πληθυνομένη δὲ καὶ ποικιλλομένη πρὸς τὴν τῶν προνοουμένων συνάφειαν δι' ἀγαθότητα, μένει πάλιν ἔνδον ἑαυτῆς παγίως

dor, qui est, qui verus est. Vel coniunctim; quia etiam res nostræ dicuntur esse, sed per participationem, & non propriè. Vel cum interpunctione. Lux. Qualis lux? Quæ est. neque enim subsistentiâ caret, vti lumen hoc nostrum. Qualis lux? Vera, iuxta Euangelistæ Ioannis vocem, *Erat lux vera*; nam subiungit, *Quæ illuminat omnem hominem venientem in hunc mundum*, per quam etiam ad principium lucis Patrem accessum obtinuimus: principium inquam lucis; vel quia principium & causa luminum est, Filij [scilicet] ac Spiritus sancti; vel quòd ab initio lux existat. nihil autem principio superius est. Agedum ergo, inuocantes Dominum, ad illuminationes Scripturarum à Patribus traditarum pro viribus aspiremus, & quæ ab illis symbolicè & anagogicè (neque enim naturaliter, sed per signa quędam res cælestes demonstrarunt) traditas diuinarum virtutum hierarchias: quas etiam Mentes appellat, ad nostri differentiam, qui sensu viuimus; nam & sic Isaiæ, mens magna Assyrius; & item, mens magna, Princeps Babylonis, id est diabolus. Diuinarum inquam mentium hierarchiam, quoad possumus, intueamur, atque illustrationem quæ ex Deo est, sine quâ neque ipsas cælestes virtutes, neque Deum nosse valemus, quãtum fas est inspiciamus; principialem [inquam] illam, vtpote ab initio existentem, & superprincipialem: quia nihil de Deo satis significanter efferri potest, quin imò hîc omnis oratio omnisq; cogitatio deficit; sic & essentia & superessentialis, nec nõ Deus & supra Deum. Hanc itaque illustrationem, quæ ex Deo est, suscipientes, quæ Angelorum hierarchias in figuratis symbolis & imaginibus exprimit, immaterialibus & intremulis oculis, id est, fixis seu tranquillis (amat enim Deus tranquillitatem, sicut virtus contraria turbationem) rursum ex ipsamet illustratione ad diuinum radium intueamur, iuxta primam propositionẽ quam fecimus, Quoniam ex ipso bonum & in ipsum; atque ita in diuinâ simplicitate vnificemur. Neq; enim ipse, dum in suscipiẽtibus multiplicatur, à propriâ illâ suâ vnicâ simplicique intimitate atque occultatione deficit, (siquidem omnibus extraneis incognitus existit) dum verò pro eorum qui prouidentiâ reguntur captu per bonitatem multiplicatur ac variegatur, denuò intra semetipsum firmiter

Ioan. 1, 9.

Illustrationes Scripturæ quales sint, & quomodo excipiendæ.

 in

PARAPHRASIS PACHYMERÆ.

in immobili idemtitate manet, atque in ipſum intuentes vnificat, idem in ſe permanens; non ſecùs ac lumen, dum luculenter illuminat, idé etiam in ſe remanet ſecundùm ſimplificam ſuam & vnificam vnionem idétitatemque, & ſe excipientes, pro cuiuſque captu, in quantum accedunt, illuſtres reddit. Vbi obſerua, vt ſuſpicere quidem noſtrum, ſed illuſtratio & eleuatio ſit à Deo. Niſi enim è rebus ſæcularibus emerſerimus ſuſpexerimuſque, quomodo eleuatio & illuſtratio nobis obtingat? iuxta illud,
Pſ.120,1. *Leuaui oculos meos in montes, vnde veniet auxilium mihi.* Neque enim, inquit, fieri poteſt vt diuinus ille radius nobis illuceat, niſi quibuſdam rerum nobis familiarium velamentis fuerit obuelatus, (nam intolerabile lumen eius ac virtutem quis ſuſtinebit?) & ex rebus noſtratibus, Dei prouidentiâ, connaturaliter ac propriè noſtris ſenſibus ſit accommodatus: quando nimirum corporaliter ea quæ incorporea ſunt efferimus, vt cùm de Deo membra humana, furoreſque, ac ſomnos aliaque ſimilia enuntiamus; ſiquidem hæc velamenta ſunt. Quando igitur ea quæ ſenſum ſuperant per res ſenſiles explicamus, tum noſtra hæc hierarchia ſimilis eſt cæleſti & occultæ: ſic enim placuit myſteriorum principi ſacrorum conſtitutioni, quæ ſacrorum rituum noſtrorũ ordo & traditio eſt: ſiquidem initiatio ſeu perfectio, ſacrorum myſteriorum cõmunicatio nuncupatur, vt quæ initiatos perficiat; atq; ita conſecratos, perfectos vocat Apoſtolus, dicens:
Phil. 3,15. *Quicumq; ergo perfecti ſumus, hoc ſentiamus.*

Scriptura cur ſit ſymbolica.

§.3 Complacuit itaque myſteriorum principi ſacrorum conſtitutioni, immateriales cæleſteſque hierarchias materialibus figuris ac formis exponere, vt pro captu noſtro ab hiſce ſacris efformationibus, ad formarum figurarumque expertes anagogas traducamur.
Exod.25. Ecce, enim inquit, facies ſecundùm exemplar quod tibi monſtratum eſt: quandoquidem fieri non poſſit, vt mens noſtra ad immateriatam iſtam conſtitutionem immediatè ſurrigatur, niſi formis quibuſdam ac figuris quaſi manu ducta fuerit, & ex his illa coniecerit. Atque apparentes quidem pulchritudines, templi dico venuſtatem ac decorem, occultæ illius venuſtatis imagines præ ſe ferre; ſuaues verò thymiamatum odores, ſpiritalis eſſe traditionis effigiationes: traditur enim illic illuſtratio,

ἐν ἀκινήτῳ ταυτότητι, καὶ τοὺς ἐπ' αὐτὴν ἀνανεύοντας ἑνοποιεῖ, ταυτὴ μένουσα· ὥσπερ τὸ φῶς φωτίζον ἀθρόως, φῶς τὸ αὐτὸ μένει, κατὰ τὴν ἁπλωτικὴν αὐτῆς καὶ ἑνοποιὸν ἕνωσιν καὶ ταυτότητα, καὶ ἀνάγει τοὺς ὑποδεχομένους ἀναλόγως αὐτοῖς, καθ' ὅσον προσίασι, τοσοῦτον καὶ φωτιζομένους. Τέως δὲ σκόπει, ὅτι ἡ μὲν ἀνάνευσις, ἡμετέρα· ἡ δ' ἀνάτασις καὶ ἀνύψωσις, ἐκ Θεοῦ. Εἰ μὴ γὰρ ἡμεῖς τῶν κοσμικῶν ἀνανεύσωμεν, πῶς ἡ ἀνύψωσις καὶ ὁ φωτισμὸς ἐπιγενήσεται; κατὰ τὸ, Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Καὶ γὰρ φησὶν, οὐδὲ δυνατὸν ἄλλως ἐπιλάμψαι τὴν θείαν ἀκτῖνα, εἰ μὴ ἐξ ὧν συνειθίσμεθα, καὶ μὴ διά τινων παραπετασμάτων περικεκαλυμμένην (τὸ γὰρ ἄστεκτον αὐτῆς τοῦ φωτὸς καὶ τῆς δυνάμεως, τίς ὑποστήσεται;) καὶ ἐκ τῶν ἡμετέρων, προνοίᾳ Θεοῦ συμφυῶς καὶ οἰκείως ταῖς ἡμετέραις αἰσθήσεσι διεσκευασμένην· ὅτε δηλονότι σωματικῶς τὰ ἀσώματα λέγομεν, οἷον μέλη ἀνθρώπινα ἐπὶ Θεοῦ, καὶ θυμοὺς, καὶ ὕπνους, καὶ τὰ παραπλήσια· ταῦτα γὰρ ἐστὶ τὰ παραπετάσματα. Ἐπεὶ οὖν τοῖς αἰσθητοῖς τὰ ὑπὲρ αἴσθησιν ἐντυποῦμεν, ὁμοίως ἔχει καὶ ἡ καθ' ἡμᾶς ἱεραρχία πρὸς τὴν οὐρανίαν ἐκείνην καὶ ἀφανῆ· οὕτω γὰρ εὐδόκησεν ἡ τελετάρχις ἱεροθεσία, ἡ τῆς τῶν ἱερῶν μυστηρίων ἡμῶν διακοσμήσεως τάξις τε καὶ παράδοσις· τελετὴ γὰρ λέγεται, ἡ τῶν μυστηρίων μετάδοσις, ἅτε τὸν μυούμενον τελειοῦσα· καὶ τοὺς μεμυημένους, τελείους καλεῖ ὁ Ἀπόστολος, λέγων, Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν.

Εὐδόκησεν οὖν ἡ τελετάρχις ἱεροθεσία, ἵνα τὰς ἀΰλους καὶ οὐρανίους ἱεραρχίας ὑλικοῖς σχήμασι καὶ μορφαῖς παραδώσῃ, ὅπως ἀναλόγως ἀπὸ τούτων τῶν ἱερῶν τυπώσεων, ἐπὶ τὰς ἀτυπώτους καὶ ἀσχηματίστους ἀναχθῶμεν ἀναγωγάς. Ὅρα, γὰρ, ποιήσεις, φησὶ, κατὰ τὸν τύπον τὸν δειχθέντα σοι· ἐπεὶ μὴ δυνατόν ἐστι τῷ ἡμετέρῳ νοῒ, πρὸς τὴν ἄϋλον ἐκείνην ἀνυψωθῆναι κατάστασιν ἀμέσως, μὴ διὰ τινῶν μορφῶν καὶ σχημάτων χειραγωγουμένῳ, καὶ λογιζομένῳ ἐκ τούτων ἐκεῖνα. Τὰ μὲν φαινόμενα κάλλη, τὴν τοῦ ναοῦ λέγω καλλονὴν καὶ εὐπρέπειαν, ἀπεικονίσματα τῆς ἀφανοῦς εὐμορφίας ἔχοντι· τὰς δὲ διὰ τῶν θυμιαμάτων εὐωδίας, τῆς νοητῆς διαδόσεως ἐκτυπώματα· διαδίδοται γὰρ ὁ φωτισμὸς ἐκεῖσε,

ὡς

ὡς ἐνταῦθα ἡ εὐωδία. Τὰ δὲ τῶν κηρῶν καὶ τοῦ ἐλαίου φῶτα, τῆς φωτοχυσίας ἐκείνης εἰκόνα, καὶ τῆς κατὰ νοῦν πάλιν θεωρητικῆς πλησμονῆς· τὸ γὰρ ἐκ μέρους ἐστὶν, ὅτε καὶ ἡμῖν καταργηθήσεται κατὰ τὸν Ἀπόστολον. Τὰς διεξοδικὰς μαθητείας, τὰς διὰ τῶν ὁρωμένων πραγμάτων καὶ λόγων πλατυτέρας ἀποδείξεις. Τίς δὲ ἐστὶν ἡ θεωρητικὴ τοῦ νοὸς πλησμονή; ὅτι δῆλον, ζητῶν ὁ νοῦς περὶ τῶν θείων, καὶ θεωρῶν οὗ τινος ὁπωσοῦν ἐπιδράξεται, πληροῦται ἐν ἐκείνῳ καὶ κορέννυται. Τί γὰρ ἐστὶ τῶν θείων, ὅπερ οὐχ ὑπεραίρει τὸν νοῦν, καὶ τὴν ἔφεσιν αὐτοῦ λίχνην οὖσαν, ἵστησι καὶ κορέννυσι; καθάπερ εἴρηται· Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην. καὶ πάλιν· Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς δὲ ἡ σάρξ μου. Διψᾷ ἡ ψυχὴ, καὶ ἐμπιπλᾶται, ὡς ἔχουσα ἐπιτήδεια δοχεῖα τῶν θείων ἐννοιῶν· διψᾷ ἡ σάρξ, ἀλλὰ ποσαπλῶς πρὸς τὴν ψυχήν· οὐδὲ γὰρ ἔχει ὑποδοχῆς ἐπιτηδειότητα, ξένη παντάπασιν οὖσα πρὸς τὰς θείας καὶ νοητὰς ἐμφάσεις· ὅθεν καὶ, ὡς ὑστεροῦσα, ἀεὶ ἐπιτεταμένην τὴν ἔφεσιν ἔχει, ὁ δὲ νοῦς πλήρης γίνεται, οὗ τινος ἂν καὶ ἅψηται. Ταύτης οὖν τῆς πλησμονῆς εἰκόνες εἰσὶν αἱ διὰ τῶν λόγων ἀποδείξεις, τοῖς ἐπιχειρήμασι πλατυνόμεναι. Τῆς δὲ ἀεὶ καὶ ὡσαύτως ἐχούσης καὶ τεταγμένης πρὸς τὰ θεῖα ἕξεως (οὐ γὰρ ἀταξία τις ἐκεῖσε, ἀλλ' ἐναρμόνιος ἕξις, ὡς ἀεὶ περὶ αὐτὸ τῶν θείων μενόντων, τῶν ἡμετέρων ἐν διηνεκεῖ ῥοῇ φαινομένων) τούτων οὖν τῶν τεταγμένων ἕξεων εἰκόνας τὰς ἐνθάδε ἔχομεν τάξεις, τοὺς ἱερατικοὺς βαθμοὺς, τὰς στάσεις, τὰς καθέδρας, τὰς στολὰς, καὶ εἴ τι τοιουτότροπον, αἵπερ τὴν τάξιν ἀπαράλλακτον ἔχουσι, καὶ τέλος τῆς Ἰησοῦ μετουσίας τὴν θείαν μετάληψιν, ἣν καὶ Εὐχαριστίαν λέγει, ὡς τοῦ Κυρίου ἡμῶν, ἡνίκα παρεδίδου τὸ τοιοῦτον θεῖον μυστήριον, εὐχαριστήσαντος, καὶ ἡμῶν ὀφειλόντων εὐχαριστεῖν, ὅτι τοιούτων ἀγαθῶν τετυχήκαμεν· καὶ ὅσα ἄλλα, ἐκείνοις μὲν ὑπερκοσμίως καὶ ὑπὲρ ἄνθρωπον, ἡμῖν δὲ συμβολικῶς παραδέδοται, καὶ διὰ σημείων· οὐδὲ γὰρ ἄλλως ἐστὶν ἐκεῖνα μαθεῖν, τὸ παχὺ τοῦτο σαρκίον περιφέροντας.

Ἕνεκα γοῦν ταύτης τῆς ἡμῶν ἐξ ἀναλογίας θεώσεως (ὃν γὰρ τρόπον δυνάμεθα, τοῦτον καὶ τελούμεθα· αἰσθητῶς μὲν,

quemadmodum hîc odoris fragantia. Cereorum autem oleique luminaria, sunt illius illuminationis imagines, vti etiam illius cõtemplatiuæ, quæ secundùm mentem est, saturitatis: quoniam id quod ex parte est, non secùs ac nos, secundùm Apostolum, euacuabitur. Diffusæ porrò disciplinæ, sunt fusiores visarum rerum ac sermonum demonstrationes. Quęnam autem est contemplatiua mentis satietas? quando nimirum res diuinas mens inuestigat, & per contemplationem quidpiam comprehendit, repletur vtique ac saturatur. Quid enim est rerum diuinarum, quod non mentem eleuet, atque affectum eius, qui quędam fames est, sistat & exsatiet? quemadmodum scriptum est: *Memor fui Dei, & delectatus sum.* & iterùm: *Sitiuit te anima mea, quàm multipliciter tibi caro mea.* Sitit anima ac repletur, vtpote habens apta receptacula diuinarum cogitationum: sitit caro, sed quàm multipliciter respectu animæ; neq; enim habet aptitudinem recipiendi, cùm sit omninò extranea diuinis & spiritalibus insinuationibus: quapropter tamquã egena, intentum semper habet appetitum, mens autem semper plena est eius quod apprehendit. Huius ergo satietatis imagines sunt, sermonum demonstrationes rationibus dilatatæ. Porrò eius quæ semper & eodem modo se habet rectè ad diuinas res ordinatæ habitudinis (nulla enim ibi inordinatio, sed omnino concinna constitutio, quippe circa idem semper diuinis rebus manentibus, nobisque perenni fluxu apparentibus) harum, inquam, ordinatarum habitudinum imagines sunt illi, quos hîc habemus, ordines sacri gradus, stationes, cathedræ, stolæ, & si quæ sunt eiuscemodi, quæ ordinem habent immutabilem, finemque Iesu participationis diuinam communionem, quam & Eucharistiam vocat: eò quòd Dominus noster, quando diuinum illud mysterium tradidit, gratias egerit, nobisque sint agendæ gratiæ, quòd tantis bonis potiti simus; & quæcumque alia illis quidem supermundialiter supraque hominem, nobis autem symbolicè tradita sunt, & per signa: neque enim aliter est ista nosse, dum crassam hanc carnem circumferimus.

Propter hanc itaque nostram pro cuiusque captu deificationem, (eò enim quo possumus modo initiamur; sensibiliter quidem,

Margin notes: 1. Cor. 13, 10. — *Exempla quædam symbolica.* — Psal. 76, 4. — Psal. 62, 2. — *Nostra hierarchia est ad similitudinem cælestis.*

dem, in quantum sensu viuimus, ratione nobis conuenienti per symbola; spiritaliter verò, in quantum mente gubernamur, modo nobis accommodato per apparentem mystagogiam & illustrationem: siquidem illam illustrationem deificationem vocat, quod vtique est perfectissimum: per inferiora namque superiora discimus; per illa verò vnitiuè deificamur) propter hæc igitur, inquam, benignus ille Sacerdotalis Ordo, hierarchias istas figuratè manifestans, nostramq; hanc hierarchiam illi in sacris associans, secundùm eam quæ dari poterat similitudinem, sensilibus imaginibus res inuisibiles quibusdam sacræ ac diuinæ prorsus Scripturæ locis descripsit; quò nos per sensibilia ad spiritalia traduceret, nec non per signa hæc ad cęlestes illas simplices compositionisq; expertes altitudines ac summitates: nam summitates solemus appellare, quod in quauis essentiâ præstantissimum est, sicut, verbi gratiâ, mens, animæ summitas appellatur; & amoris summitas, feruens desiderium; adeóque nostræ hierarchiæ summitas, illa cælestis non immeritò nuncupatur.

καθ' ὃ αἰσθήσει ζῶντες, ἀναλόγως διὰ συμβόλων· νοητῶς δὲ, καθ' ὃ νοῒ διοικούμενοι ἀναλόγως διὰ τῆς ἐμφαινομένης μυσταγωγίας τε καὶ ἐλλάμψεως· τὴν γὰρ ἔλλαμψιν, θέωσιν λέγει, τοῦτο δέ ἐστι τὸ τελειότατον· διὰ γὰρ τῶν κάτω, τὰ ἄνω μανθάνομεν, δι' ἐκείνων δὲ ἀναστατικῶς θεούμεθα·) τούτων ἕνεκα τοίνυν ἡ φιλάνθρωπος ἱερατικὴ τάξις, ἐμφαίνουσα τυπικῶς τὰς ἱεραρχίας ἐκείνας, καὶ ταύτην τὴν καθ' ἡμᾶς ἱεραρχίαν συλλειτουργὸν ἐκείνης ποιοῦσα κατὰ τὴν πρὸς δύναμιν ἀφομοίωσιν, ἐν αἰσθηταῖς εἰκόσι τὰ ἀθέατα ἀνεγράψατο· ποῦ δὲ ἐν ταῖς ἱεραῖς καὶ θείαις πάντως Γραφαῖς, ὅπως ἂν ἡμᾶς ἀναγάγοι διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ, καὶ διὰ τῶν σημείων τούτων ἐπὶ τὰς τῶν οὐρανίων ἁπλᾶς καὶ ἀσυνθέτους ὑψώσεις τε καὶ ἀκρότητας· ἀκρότητας γὰρ εἰώθαμεν καλεῖν, τὸ κράτιστον ἁπάσης οὐσίας· ὡς φέρε εἰπεῖν, ἀκρότης ψυχῆς, ὁ νοῦς· καὶ ἔρωτος ἀκρότης, ὁ διάπυρος πόθος· καὶ τῆς καθ' ἡμᾶς ἱεραρχίας, ἡ οὐρανία οὐκ ἀπεικότως ἀκρότης ἐστί.

CAPVT II.

Quòd aptè res diuinæ atque cælestes dissimilibus etiam signis explicentur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι πρεπόντως τὰ θεῖα καὶ οὐράνια καὶ διὰ τῶν ἀνομοίων συμβόλων ἐκφαίνεται.

SYNOPSIS CAPITIS.

1. *Facit Operis huius distributionem.* 2. *Monet, figuras illas, quibus res cælestes ac spiritales describuntur, rebus ipsis esse dissimiles; & simul obiectioni occurrit, ac rationem reddit, cur magis expediebat res istas cælestes rerum ignobiliorum formis delineari, quàm nobiliorum.* 3. *Ostendit duplicem esse sacræ descriptionis modum: vnum scilicet, per similes; alterum, per dissimiles figuras: uti etiam de Deo quædam per affirmationes, & quædam per negationes prædicari: & negationes ait affirmationibus præstare, & absonas similitudines ad mentem nostram erigendam esse aptiores.* 4. *Tradit, ex rebus omnibus aliquid boni colligi posse, & simul explicat, quomodo passiones iræ, concupiscentiæ, & res similes intelligendæ sint, quando Angelis attribuuntur.* 5. *Ostendit, quomodo etiam ipsemet Deus in Scripturis aliquando à summis, aliquando à mediis, aliquando etiam à rebus infimis denominetur.*

§. I. *Distributio Operis.*

EA vtique sententiâ, primùm quidem exponendum, quem omnis hierarchię scopum esse censeamus, quid-

ΡΗ τοιγαροῦν, ὡς οἶμαι, πρῶτον ἐκθέσθαι, τίνα μὲν εἶναι σκοπὸν ἁπάσης ἱεραρχίας οἰόμεθα, καὶ τί τοὺς αὐ-

τῇ

τῆς ἑκάστῃ θεασώσας ὀνήσεως· ἑξῆς δὲ, τὰς οὐρανίας Ἱεραρχίας ὑμνῆσαι, κατὰ τὴν αὐτῶν ἐν τοῖς Λογίοις ἐκφαντορίαν· ἑπομένως δὲ τούτοις εἰπεῖν, ὁποίαις ἱεραῖς μορφώσεσι τὰς οὐρανίας σχηματίζουσι διακοσμήσεις αἱ τῶν Λογίων ἱερογραφίαι, καὶ πρὸς ποίαν ἀναχθῆναι χρὴ διὰ τῶν πλασμάτων ἁπλότητα, ὅπως μὴ καὶ ἡμεῖς ὡσαύτως τοῖς πολλοῖς ἀνιέρως οἰώμεθα, τοὺς οὐρανίους καὶ θεοειδεῖς νόας πολύποδας εἶναί τινας καὶ πολυπροσώπους, καὶ πρὸς βοῶν κτηνωδίαν, ἢ πρὸς λεόντων θηριομορφίαν τετυπωμένους, καὶ πρὸς ἀετῶν ἀγκυλόχειλον εἶδος, ἢ πρὸς πτηνῶν τριχώδη πτεροφυΐαν διαπεπλασμένους, καὶ τροχούς τινας πυρώδεις ὑπὲρ τὸν οὐρανὸν φανταζώμεθα, καὶ θρόνους ὑλαίους τῇ θεαρχίᾳ πρὸς ἀνάκλισιν ἐπιτηδείους, καὶ ἵππους τινὰς πολυχρωμάτους, καὶ δορυφόρους ἀρχιστρατήγους, καὶ ὅσα ἄλλα πρὸς τῶν Λογίων ἡμῖν ἱεροπλάστως ἐν ποικιλίᾳ τῶν ἐκφαντορικῶν συμβόλων παραδέδοται. Καὶ γὰρ ἀτεχνῶς ἡ Θεολογία ταῖς Ποιητικαῖς ἱεροπλασίαις ἐπὶ τῶν ἀσχηματίστων νοῶν ἐχρήσατο, τὸν καθ' ἡμᾶς, ὡς εἴρηται, νοῦν ἀνασκεψαμένη, καὶ τῆς οἰκείας αὐτῷ καὶ συμφυοῦς ἀναγωγῆς προνοήσασα, καὶ πρὸς αὐτὸν ἀναπλάσασα τὰς ἀναγωγικὰς Ἱερογραφίας.

Εἰ δέ τῳ δοκεῖ, τὰς μὲν ἱερὰς ἀποδέχεσθαι συνθέσεις, ὡς τῶν ἁπλῶν ἐφ' ἑαυτῶν ἀγνώστων τε καὶ ἀθεωρήτων ἡμῖν ὑπαρχόντων· ἀπεμφαινούσας δὲ οἴεται τὰς τῶν ἁγίων

que suis quælibet diuinis contemplatoribus prosit: deinde verò celestes Hierarchiæ celebrandæ, secundùm earumdẽ mysticam in Oraculis explanationem: posteà denique dicendum, quibus formis sacris cælestes istos ordines Eloquiorum sacræ delineent descriptiones, nec non ad qualem adduci deceat per formas istas simplicitatem, ne & nos, more vulgi, sacrilegè opinemur, cælestes illas ac deiformes intelligentias, multipedes quasdam esse ac multiformes, nec non ad boum pecuinam, ferinámve leonum naturam efformatas, & ad aquilarum curui rostri speciem, vel ad volucrum hirsutam plumescentiam effictas, rotasq; aliquas ignitas supra cælum imaginemur, ac sedes materiatas, Deo deorum ad discumbendum accommodatas, & quosdam equos multicolores, hastatosq; duces exercitus, & quæcumque alia nobis ab Eloquiis fictione quadam sacrâ, explanatoriorum varietate signorum sunt transscripta. Enimuerò palàm Theologia Poëticis sanctè fictionibus, in carentibus figurâ mentibus vsa est, ad nostrum, vti dictum est, intellectum attendendo, nec non propriam ipsi & connaturalem ad superna transitum prouidendo, & ad eumdem accommodatè sacras Scripturas anagogicas effigiando.

Ezech. 1, 7. Dan. 7, 9. Zach. 1, 8. 2. Machab. 3, 25. Iosue 5, 13.

§. 2. Quòd si cui videantur sacræ quidem approbandæ compositiones, quòd res simplices seipsis ignotæ nobis & inuisibiles existant; dissimiles profectò esse sciat sanctarum

rum

Figuræ quibus res spiritales describuntur, sunt ipsis dissimiles.

rum mẽtium in Eloquiis delineationes, nec non omnem hanc rudem quamdam esse, vt ita dicam, nominum Angelicorum inumbrationem. Sunt & qui dicunt, Theologos oportere, dum ad omnino incorporearum rerum corporationem veniunt, propriis illas, & quoad fieri potest, cognatis efformare atque explicare speciebus earum quæ apud nos sunt pręstantissimarum, & ex parte immaterialium ac transscendentium substantiarum; & nequaquam cælestibus ac deiformibus simplicitatibus, terrenas illas infimas circumdare multiformitates. Siquidem id nostræ magis etiam conduxisset sublimationi, neq; supermundiales explanationes ad incongruas dissimilitudines coëgisset: hoc autem & diuinas nefandè virtutes eleuat, atq; nostrum pariter errare facit intellectũ, dum immundis istis inhæret compositionibus; & fortassis etiam putabit, supercælestia leoninis quibusdam & equinis examinibus referta esse, nec non mugitu reboantibus laudum canticis, & auicularium gregum præfecturis, aliisque animalibus, ac vilioribus materiis, quas ad absurditatem & spurcitiam, ac passionem prouocando, per omnia dissimiles eiuscemodi elucidantium Eloquiorum similitudines describunt. Veritatis tamen, vti reor, indagatio demonstrat, sacratissimam Eloquiorum sapientiam, in cælestium effictionibus intelligentiarum, vtrumque luculenter prouidisse, vt neque virtutes diuinæ (vt ita quis dixerit) contumeliosiùs extenuaren-

Occurrit obiectioni eorum qui censent, nobiliores figuras fingi debuisse.

νοῶν ἐν τοῖς Λογίοις εἰκονογραφίας, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν ἀπότομον ταύτην τῶν Ἀγγελικῶν ὀνομάτων σκηνήν. Καὶ χρῆναί φησι τοὺς Θεολόγους ἐπὶ σωματοποιΐαν ὅλως τῶν ἀσωμάτων ἐληλυθότας, οἰκείοις αὐτὰ καὶ ὡς δυνατὸν συγγενέσιν ἀναπλάττειν τε καὶ ἐκφαίνειν σχηματισμοῖς, ἐκ τῶν παρ' ἡμῖν τιμιωτάτων καὶ αὔλων *ποσῶς καὶ ὑπερκειμένων οὐσιῶν, καὶ μὴ ταῖς οὐρανίαις καὶ θεοειδέσιν ἁπλότησι τὰς ἐπὶ γῆς ἐσχάτας περιτιθέντας πολυμορφίας. Τὸ μὲν γὰρ ἡμῶν τε ἀναγωγικώτερον ἔμελλεν εἶναι, καὶ τὰς ὑπερκοσμίους ἐκφαντορίας οὐ κατῆγεν εἰς τὰς ἀπεμφαινούσας ἀνομοιότητας· τὸ δὲ καὶ εἰς τὰς θείας ἀθέσμως ἐξυβρίζειν δυνάμεις, καὶ τὸν ἡμέτερον ἴσως ἀποπλανᾶν νοῦν, εἰς τὰς ἀνιέρους αὐτῶν ἐνιζάνοντα συνθέσεις· καὶ τάχα καὶ οἴεσθαι, τὰ ὑπερουράνια λεοντείων τινῶν καὶ ἱππείων ἐσμῶν ἀποπεπληρῶσθαι, καὶ μυκητικῆς ὑμνολογίας, καὶ ὀρνιθείας ἀγελαρχίας, καὶ ζώων ἄλλων καὶ ὑλῶν ἀτιμοτέρων, ὅσα πρὸς τὸ ἄτοπον καὶ νόθον καὶ ἐμπαθὲς ἀποκλιθεῖσαι, διαγράφουσιν αἱ κατὰ πᾶν ἀνόμοιοι τῶν δῆθεν ἐκφαντορικῶν Λογίων ὁμοιότητες. Ἀλλ' ἡ τῆς ἀληθείας, ὡς οἶμαι, ζήτησις ἀποδείκνυσι τὴν τῶν Λογίων ἱερωτάτην σοφίαν, ἐν ταῖς τῶν οὐρανίων νοῶν μορφώσεσιν, ἑκατέρου κομιδῆ προνοήσασαν, ὡς μήτε εἰς τὰς θείας, ὡς ἂν φαίη τις, ἐξυβρίσαι δυνά-

* πῶς

μεις,

μεις, μήτε μὴν ἡμᾶς εἰς τὰς χαμαιζήλους ἐμπαθῶς ἐμπαγῆναι τῶν εἰκόνων ταπεινότητας. Ὅτι μὲν γὰρ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι, καὶ τὰ σχήματα τῶν ἀσχηματίστων, οὐ μόνην αἰτίαν φαίη τις ἂν εἶναι τὴν καθ' ἡμᾶς ἀναλογίαν, ἀδυνατοῦσαν ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας, καὶ δεομένην οἰκείων καὶ συμφυῶν ἀναγωγιῶν, αἳ τὰς ἐφικτὰς ἡμῖν μορφώσεις προτείνουσι τῶν ἀμορφώτων καὶ ὑπερφυῶν θεαμάτων· ἀλλ' ὅτι καὶ τοῦτο τοῖς μυστικοῖς Λογίοις ἐστὶ πρεπωδέστατον, τὸ διὰ ἀποῤῥήτων καὶ ἱερῶν αἰνιγμάτων ἀποκρύπτεσθαι, καὶ ἄβατον τοῖς πολλοῖς τίθεναι τὴν ἱερὰν καὶ κρυφίαν τῶν ὑπερκοσμίων νοῶν ἀλήθειαν. Ἔστι γὰρ οὐ πᾶς ἱερὸς, οὐδὲ πάντων, ὥς τὰ Λόγια φησὶν, ἡ γνῶσις. Εἰ δὲ τὰς ἀπεμφαινούσας εἰκονογραφίας αἰτιάσαιτό τις, αἰδεῖσθαι λέγων ἀνατιθέναι τὰ οὕτως αἰσχρὰ μορφώματα ταῖς θεοειδέσι καὶ ἁγιωτάταις διακοσμήσεσιν· ἀπόχρη πρὸς αὐτὸν εἰπεῖν, ὡς διττός ἐστι τῆς ἱερᾶς ἐκφαντορίας ὁ τρόπος.

Ὁ μὲν, ὡς εἰκὸς, διὰ τῶν ὁμοίων προϊὼν ἱεροτύπων εἰκόνων· ὁ δὲ, διὰ τῶν ἀνομοίων μορφοποιιῶν, εἰς τὸ παντελῶς ἀπεοικὸς καὶ ἀπεμφαῖνον πλαττόμενος. Ἀμέλει καὶ τὴν σεβασμίαν τῆς ὑπερουσίου θεαρχίας μακαριότητα, τῶν ἐκφαντορικῶν Λογίων αἱ μυστικαὶ παραδόσεις, ποτὲ μὲν, ὡς λόγον, καὶ νοῦν, καὶ οὐσίαν ὑμνοῦσι, τὴν θεοπρεπῆ λογιότητα καὶ σοφίαν

tur, neq; nos humi repentibus imaginum vilitatibus tenaciùs affigeremur. Ceterùm, cur meritò figurâ carentibus figuræ, & effigies ineffigiatis rebus obductæ fuerint, non solùm causam dixerit quis esse nostram imbecillitatem, quæ nequit immediatè spiritalibus intendere contemplationibus, indigetq; propriis ac connaturalibus, quibus erigatur, adminiculis seu anagogiis, quæ perceptas à nobis effigies ineffigiatis ac supernaturalibus spectaculis prætendant; sed quòd hoc mysticis etiam Oraculis vel maximè conueniat, vt ineffabilibus & sacris ænigmatibus recondant, & inaccessam vulgo constituant sacram illam & arcanam supermundanarum mentium veritatem. Quilibet enim non est sanctus, neque omnium, vt Oracula testantur, scientia est. Porrò si quis absonas effigiationes improbarit, pudendum asserens, tam turpia deiformibus sanctissimisque adornationibus affingere simulacra, satis sit illi reposuisse, duplicem esse sacræ illius mysticæ manifestationis modum:

Cur Scriptura rebus etiam vilibus, res cælestes repræsentet.

1. Cor. 8.

Vnum quidem, qui, vt par est, per similes sacrarum figurarum imagines procedit; alterum verò, qui per dissimiles efformationes ad omnimodam dissimilitudinem & discrepantiam effingitur. Denique venerandam superessentialis Deitatis beatitudinem, elucidantium Eloquiorum mysticæ traditiones aliquando quidem vt Verbum, & mentem, & substantiam laudant, conuenientem Deo rationalitatem

§. 3. Duplex modus sacræ descriptionis.

Ioan. 1, 1. Psal. 135.

Quænam affirmentur de Deo. Ioan. 1.

tem atque ſapientiam eius declarantes; nec non eſſentialiter eſſentem exiſtentiam, & rerum exiſtentiæ cauſam veram, atque inſtar lucis ipſam effingunt, & vitam appellant: cuiuſmodi figmenta ſacra, cùm quidem magis congrua ſint, materialibuſque figuris antecellere quodammodò videantur, attamen vel vt ſic etiam à diuinæ ſimilitudinis veritate deficiunt; ſiquidem excedit omnem eſſentiam & vitam, neque ipſam vlla lux exprimit, omniſque ratio ac vita ab eius ſimilitudine incomparabiliter deſciſcit.

Quæ negatiuè prædicentur in Deo. 1.Tim. 6, 16. Pſ. 144, 13. Rom. 11, 33.

Nonnumquam verò diſſimilibus elucidationibus ab iiſdem Eloquiis ſupermundialiter celebratur, dum illam inuiſibilem, & infinitam & incomprehenſibilem appellant, & ex quibus non quid eſt, ſed quid non eſt ſignificatur. Atque hoc, vt arbitror, magis ipſi proprium eſt: nam, vti arcana illa ſacerdotaliſque traditio inſinuauit, verè dicimus, eam non eſſe ſecundùm quidquam eorum quæ ſunt, licet eius ſupereſſentialem & inuiſibilem & ineffabilem infinitatem ignoremus.

Negationes de Deo verius prædicari.

Cùm ergo negationes in diuinis veræ, affirmationes verò incongruæ ſint, arcanorum obſcuritati magis propria eſt rerum inuiſibilium per diſſimiles effictiones explanatio: ſiquidem condecorant, non dedecorant, cæleſtes adornationes ſacræ huiuſcemodi Eloquiorum deſcriptiones, dum diſſimilibus eas formarum fictionibus explanant; his ipſis declarantes, vt rebus omnibus materialibus ſupermundialiter antecellant.

αὐτῆς δηλοῦσαι, καὶ ὄντως οὖσαν ὕπαρξιν, καὶ τὸ τῶν ὄντων ὑπάρξεως αἰτίαν ἀληθινὴν, καὶ ὡς φῶς αὐτὴν ἀναπλάττουσι, καὶ ζωὴν ἀποκαλοῦσι· τῶν τοιούτων ἱερῶν ἀναπλασμάτων σεμνοτέρων μὲν ὄντων, καὶ τῶν προσύλων μορφώσεων ὑπερκεῖσθαί πως δοκούντων, ἀποδεόντων δὲ καὶ οὕτως τῆς θεαρχικῆς πρὸς ἀλήθειαν ἐμφερείας· ἔστι γὰρ ὑπὲρ πᾶσαν οὐσίαν καὶ ζωὴν, οὐδενὸς μὲν αὐτὴν φωτὸς χαρακτηρίζοντος, παντὸς δὲ λόγου καὶ νοῦ τῆς ὁμοιότητος αὐτῆς ἀσυγκρίτως ἀπολειπομένων. Ποτὲ δὲ ταῖς ἀνομοίοις ἐκφαντορίαις ὑπὸ τῶν αὐτῶν Λογίων ὑπερκοσμίως ὑμνεῖται, ἀόρατον αὐτὴν, καὶ ἄπειρον, καὶ ἀχώρητον ἀποκαλούντων, καὶ τὰ ἐξ ὧν οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστι, σημαίνεται. Τοῦτο γὰρ, ὡς οἶμαι, καὶ κυριώτερόν ἐστιν ἐπ' αὐτῆς· ἐπείπερ, ὡς ἡ κρυφία καὶ ἡ ἱερατικὴ παράδοσις ὑφηγήσατο, τὸ μὲν οὐκ εἶναι κατά τι τῶν ὄντων αὐτὴν ἀληθεύομεν, ἀγνοοῦμεν δὲ τὴν ὑπερούσιον αὐτῆς καὶ ἀνόητον καὶ ἄρρητον ἀοριστίαν. Εἰ τοίνυν αἱ μὲν ἀποφάσεις ἐπὶ τῶν θείων ἀληθεῖς, αἱ δὲ καταφάσεις ἀνάρμοστοι, τῇ κρυφιότητι τῶν ἀπορρήτων οἰκειοτέρα μᾶλλόν ἐστιν ἐπὶ τῶν ἀοράτων ἡ διὰ τῶν ἀνομοίων ἀναπλάσεων ἐκφαντορία· τιμῶσι τοιγαροῦν, οὐκ αἴσχους ἀποπληροῦσι, τὰς οὐρανίας διακοσμήσεις, αἱ τῶν Λογίων ἱερογραφίαι, ταῖς ἀνομοίοις αὐτὰς μορφοποιΐαις ἐκφαίνουσαι, καὶ διὰ τούτων ἀποδεικνῦσαι τῶν ὑλικῶν ἁπάντων ὑπερκοσμίως ἐκβεβηκύας.

κίας. Ὅτι δὲ καὶ τὸν ἡμέτερον νοῦν ἀνάγουσι μᾶλλον αἱ ἀπεμφαίνουσαι τῶν ὁμοιοτήτων, οὐκ οἶμαί τινα τῶν εὐφρονούντων ἀντερεῖν· εἰς μὲν γὰρ τὰς τιμιωτέρας ἱεροπλασίας εἰκός ἐστι καὶ πλανηθῆναι, χρυσοειδεῖς τινὰς οἰομένους εἶναι τὰς οὐρανίας οὐσίας, καὶ φωτοειδεῖς τινὰς ἄνδρας, καὶ ἐξαστράπτοντας, εὐπρεπεῖς, ἠμφιεσμένους ἐσθῆτα φανήν, καὶ τὸ πυρῶδες ἀβλαβῶς ἀποστίλβοντας, καὶ ὅσοις ἄλλοις ὁμοιοτύποις μορφαῖς ἡ Θεολογία τοὺς οὐρανίους ἐσχημάτισε νόας. Ὅπερ ἵνα μὴ πάθοιεν οἱ μηδὲν τῶν φαινομένων καλῶν ὑψηλότερον ἐννενοηκότες, ἡ τῶν ὁσίων Θεολόγων ἀναστατικὴ σοφία, καὶ πρὸς τὰς ἀπεμφαινούσας ἀνομοιότητας ἱερῶς κατάγεται, μὴ συγχωροῦσα τὸ πρόσυλον ἡμῶν, εἰς τὰς αἰσχρὰς εἰκόνας ἀπομένον ἐπαναπαύεσθαι, διανιστῶσα δὲ τὸ ἀνωφερὲς τῆς ψυχῆς, καὶ ὑπονύττουσα τῇ δυσμορφίᾳ τῶν συνθημάτων, ὡς μὴ θεμιτοῦ μηδὲ ἀληθοῦς δοκοῦντος εἶναι, μηδὲ τοῖς ἄγαν προσύλοις, ὅτι τοῖς οὕτως αἰσχροῖς ἐμφερῆ πρὸς ἀλήθειάν ἐστι τὰ ὑπερουράνια καὶ θεῖα θεάματα. Ἄλλως τε καὶ τοῦτο ἐννοῆσαι χρή, τὸ μηδὲ ἓν τῶν ὄντων εἶναι καθόλου τῆς τοῦ καλοῦ μετουσίας ἐστερημένον, εἴπερ, ὡς ἡ τῶν Λογίων ἀλήθειά φησι, πάντα καλὰ λίαν.

Ἔστιν οὖν ἐκ πάντων ἐπινοῆσαι καλὰς θεωρίας, καὶ τοῖς νοητοῖς τε καὶ νοεροῖς ἐκ τῶν ὑλαίων ἀναπλάσαι τὰς λεγομένας ἀνομοίους ὁμοιότητας, ἑτέρῳ τρόπῳ τῶν νοερῶν ἐχόντων,

cellant. Quòd verò abſonæ ſimilitudines magis mentem noſtram erigant, nemo, vt opinor, cordatus contradicet: in nobilioribus enim formis effingendis credibile eſt errare aliquos, qui exiſtiment eſſe naturas cæleſtes ſpecie quadam aureâ, viros quoſdam micantes, fulgore decoros, veſtitu ſplendido amictos, igneum quiddam innoxiè vibrantes, & quæcumque aliæ eiuſmodi formæ ſunt, quibus Theologia cæleſtes mentes figurauit. Quod quidem ne iis eueniat qui nihil altius, quàm illa pulchra & ſpecioſa quæ apparent, mente complexi ſunt, ſanctorum Theologorum ſapientia, quæ ſurſum ducendi vim habet, ad diſſimilitudines abſonas ſanctè ſe deijcit, non permittens id quod in nobis materiale eſt, illis indecoris imaginibus inhærendo acquieſcere; ſed ipſâ deformitate figurarum excitans & ſtimulans ſuperiorem animæ portionem, tamquam nefas ſit, & ne iis quidem, qui rebus terrenis valdè affixi ſunt, veroſimile videatur, tam abſurdis formis ſimilia reuerà eſſe illa ſupracæleſtia & diuina, quæ in ſymbolis cum admiratione ſpectantur. Quin & hoc ſciendum, nihil eorum quæ exiſtunt, penitus eſſe boni participatione priuatum; cùm, vt ait Veritas, omnia bona valdè. Gen. 1, 31.

Abſonas ſimilitudines magis mentem eleuare.

Nihil eſt exſors bonitatis.

§. 4. Eſt igitur ex omnibus capere bonas contemplationes; quia & viris intelligentibus ac ſpiritalibus licet iam dictas diſſimilitudines ex rebus materialibus efformare; cùm res ſpiritales alio ipſas modo habeant,

Ex omnibus aliquid boni colligendum.

beant, quàm rebus ſenſibilibus attributæ ſint. Siquidem affectus iræ creaturis irrationalibus ex impetu paſſionis ingeneratur, atque omni irrationalitate plenus eſt iraſcibilis eorum motus: ſed in rebus ſpiritalibus aliter oportet vim iraſcibilem conſiderare, vt videlicet ſignificet maſculam earum rationem, immutabilemque ſtatum, in deiformibus iſtis immobilibuſque ſedibus firmatum. Similiter concupiſcentiam in brutis eſſe dicimus inconſideratam, & ad aliquid materiale rerum mutabilium, ex inſitâ propenſione vel conſuetudine impotenter ingenitam affectionẽ, & irrationalem corporis appetitus prædominationem, qui totum animal impellit ad id quod ſenſu concupiſcibile exiſtit. Quando itaque diſſimiles ſimilitudines rebus ſpiritalibus attribuentes, cõcupiſcentiam ipſis affingemus; diuinus amor intelligendus, qui intellectu rationeque ſuperiorem amet immaterialitatem, ſtabileque ſit ac conſtans deſiderium ſupereſſentialiter puræ ac impaſſibilis contemplationis, & communionis verè ſempiternæ ac ſpiritalis, ſublimiſſimæ puriſſimæque claritatis, & infallibilis pulchrificæque venuſtatis. Et impotentiam accipiamus infractam animi contentionem, quæ à nemine valeat conquaſſari, propter impermixtum & immutabilem diuinæ pulchritudinis amorem, atque totalem in id quod verè appetendum eſt, propenſionem. Quin & ipſammet irrationalitatem & inſenſibilitatem in brutis quidem animantibus, vel mate-

Paſſiones quomodo in Angelis intelligendæ.

Quid ira.

Quid concupiſcentia.

Quid impotentia.

Quid irrationalitas.

ἃ τοῖς αἰσθητοῖς ἑτεροίως ἀπονενέμηται. Καὶ γὰρ ὁ θυμὸς τοῖς μὲν ἀλόγοις ἐξ ἐμπαθοῦς ὁρμῆς ἐγγίνεται, καὶ πάσης ἀλογίας ἐστὶν ἀνάπλεως ἡ θυμοειδὴς αὐτῶν κίνησις· ἀλλ᾽ ἐπὶ τῶν νοερῶν ἑτέρῳ τρόπῳ χρὴ τὸ θυμικὸν ἐννοῆσαι, δηλοῦν, ὡς οἶμαι, τὴν ἀρρενωπὸν αὐτῶν λογιότητα, καὶ τὴν ἀμείλικτον ἕξιν ἐν ταῖς θεοειδέσι καὶ ἀμεταβόλοις ἱδρύσεσιν. Ὡσαύτως ἐπιθυμίαν μὲν εἶναί φαμεν, ἐπὶ τῶν ἀλόγων ἀπερίσκεπτόν τινα καὶ πρόσυλον, ἐξ ἐμφύτου κινήσεως ἢ συνηθείας ἐν τοῖς ἀλλοιωτοῖς ἀκρατῶς ἐγγινομένην προσπάθειαν, καὶ τὴν ἄλογον τῆς σωματικῆς ὀρέξεως ἐπικράτειαν, ἅπαν τὸ ζῶον ὠθοῦσαν ἐπὶ τὸ κατ᾽ αἴσθησιν ἐπιθυμητόν. Ὅταν δὲ τὰς ἀνομοίους ὁμοιότητας τοῖς νοεροῖς περιτιθέντες, ἐπιθυμίαν αὐτοῖς περιπλάσωμεν, ἔρωτα θεῖον αὐτὴν ἐννοῆσαι χρὴ τῆς ὑπὲρ λόγον καὶ νοῦν ἀϋλίας, καὶ τὴν ἀκλινῆ καὶ ἀνένδοτον ἔφεσιν τῆς ὑπερουσίως ἁγνῆς καὶ ἀπαθοῦς θεωρίας, καὶ τῆς πρὸς ἐκείνην τὴν καθαρὰν καὶ ἀκροτάτην διαύγειαν, καὶ τὴν ἀπλανῆ καὶ καλλοποιὸν εὐπρέπειαν αἰωνίας ὄντως καὶ νοητῆς κοινωνίας. Καὶ τὸ ἀκρατὲς ἐκλάβοιμεν ἐπὶ τοῦ συντόνου καὶ ἀνεπιστρόφου, καὶ πρὸς μηδενὸς ἐκκόπτεσθαι δυναμένου, διὰ τὸν ἀμιγῆ καὶ ἀναλλοίωτον τῆς θείας καλλονῆς ἔρωτα, καὶ τὴν ὁλικὴν ἀπόκλισιν ἐπὶ τὸ ὄντως ἐφετόν. Ἀλλὰ καὶ αὐτὴν τὴν ἀλογίαν τε καὶ ἀναισθησίαν, ἐπὶ μὲν τῶν ἀλόγων ζώων, ἢ τῶν ἀψύ-

χων

χων ὑλῶν, στέρησιν λόγου καὶ αἰσθήσεως οἰκείως ἀποκαλοῦμεν· ἐπὶ δὲ τῶν ἀΰλων καὶ νοερῶν οὐσιῶν, ἀξιοπρεπῶς τὸ ὑπερέχον αὐτῶν, ὡς ὑπερκοσμίων, ὁμολογοῦμεν τοῦ καθ' ἡμᾶς μεταβατικοῦ καὶ σωματικοῦ λόγου, καὶ τῆς ὑλαίας καὶ ἀλλοτρίας τῶν ἀσωμάτων νοῶν αἰσθήσεως. Ἔστι τοιγαροῦν οὐκ ἀπᾳδούσας ἀναπλάσαι τοῖς οὐρανίοις μορφὰς, κἀκ τῶν ἀτιμοτάτων τῆς ὕλης μερῶν, ἐπεὶ καὶ αὐτὴ πρὸς τοῦ ὄντως καλοῦ τὴν ὕπαρξιν ἐσχηκυῖα, κατὰ πᾶσαν αὐτῆς τὴν ὑλαίαν διακόσμησιν, ἀπηχήματά τινα τῆς νοερᾶς εὐπρεπείας ἔχει· καὶ δυνατόν ἐστι δι' αὐτῶν ἀνάγεσθαι πρὸς τὰς ἀΰλους ἀρχετυπίας, ἀνομοίως, ὡς εἴρηται, τῶν ὁμοιοτήτων ἐκλαμβανομένων, καὶ τῶν αὐτῶν οὐ ταυτῶς, ἐναρμονίως δὲ καὶ οἰκείως ἐπὶ τῶν νοερῶν τε καὶ αἰσθητῶν ἰδιοτήτων ὁριζομένων.

Ταῦτα τοὺς μυστικοὺς Θεολόγους εὑρήσομεν οὐ μόναις ταῖς τῶν οὐρανίων διακόσμων ἐκφαντορίαις ἱερῶς περιπλάττοντας, ἀλλὰ καὶ αὐταῖς ἔσθ' ὅτε ταῖς θεαρχικαῖς ἐκφαντορείαις. Καὶ ποτὲ μὲν αὐτὴν ἀπὸ τῶν φαινομένων τιμίων ὑμνοῦσιν, ὡς ἥλιον δικαιοσύνης, ὡς ἀστέρα τὸν ἑῷον εἰς νοῦν ἱερῶς ἀνατέλλοντα, καὶ ὡς φῶς ἀπερικαλύπτως καὶ νοητῶς καταυγάζον· ποτὲ δὲ ἀπὸ τῶν μέσων, ὡς πῦρ ἀβλαβῶς φωτίζον, ὡς ὕδωρ ζωτικῆς ἀποπληρώσεως χορηγὸν, καὶ συμβολικῶς εἰπεῖν, εἰς γαστέρα διαδυόμενον, καὶ ποταμοὺς ἀναβλύζον ἀσχέτως ἀπορρέοντας· ποτὲ δὲ ἀπὸ τῶν ἐσχάτων, ὡς

riis inanimatis, rationis ac sensus propriè priuationem nũcupamus; in immaterialibus verò ac spiritalibus naturis, eminentiam ipsarum (vtpote supermundialium) sermonem nostrum transeuntem, ac corporalem & materialem, ab incorporearum istarum mentium sensu alienum, sacro prorsus modo trãscendere profitemur. Licet itaque non incongruas rebus cælestibus, etiam ex vilissimis materiæ partibus, formas affingere; cùm & ipsa, etiam ab eo qui verè pulcher est existens, per omnem sui materialem dispositionem vestigia quædam intellectualis habeat venustatis; fierique possit, vt per ea ad immateriales formas primitiuas adducamur, dissimiliter, vt dictum est, similitudines accipiendo, & easdem non eodem modo; sed congruè ac propriè spiritales ac sensibiles proprietates distinguendo.

§. 5. Deum à summis, medijs, & infimis rebus in Scriptura denominari.

Hæc mysticos Theologos non solis cælestium dispositionum explanationibus, verùm etiam ipsismet Deiprincipalibus elucidationibus ritè accommodasse reperiemus. Et aliquando quidem Diuinitatem ipsam à luminibus speciosis concelebrant, quasi solem iustitiæ, quasi stellam matutinam menti sacratiùs oborientem, quasi lucẽ apertè & intelligibiliter radiantem: quandoque verò à rebus mediis, quasi ignem innoxiè micantem, quasi aquam vitalis plenitudinis collatricem, & symbolicè loquendo, ventrem subintrantem, fluminaque perpetim fluentia scaturientem: nonnumquã etiam ab

Malach. 4,2.
Apoc. 22, 16.
Exod. 3,2.
Ioan. 7,38.

infimis, quaſi fragrans vnguentum, quaſi lapidem angularem. Quin etiam ferinâ eam formâ circumdant, & leonis ac pantheræ proprietatem accommodant, & pardum fore aiunt, vrſumque orbum catulis ferocientem. Addam etiam quod abiectiſſimũ omnium abſurdiſſimumque videtur: nam & vermis ſpeciem ipſam ſibi affinxiſſe, diuinorum periti tradiderũt. Sic omnes diuina ſapientes, & occultæ inſpirationis interpretes, à rebus imperfectis profaniſque ſancta ſanctorum intemeratè ſecernunt, nec non diſſimilem illam ſacram deprædicãt effictionem, vt nec immundis diuina ſint obuia, neq; ſtudioſi diuinarum figurarum contemplatores formis iſtis tamquam veris immorentur; & vt res diuinæ cùm veriſſimis negationibus, tum diuerſis à rebus infimis propriorum veſtigiorum ſimilitudinibus celebrentur. Nequaquam igitur abſurdum, ſi naturas illas cęleſtes, ob dictas cauſas, diſcrepantium diſſimilitudinum ſimilitudinibus efforment: nam neque nos fortaſſis ad indagandum dubitando, ad anagogen (quæ ad cæleſtia nos ducit) per accuratam rerum ſacrarum perſcrutationem veniſſemus, niſi nos deformitas explanatoriæ fictionis Angelorum perculiſſet; quæ minimè ſinebat mẽtem noſtram abſonis iſtis efformationibus immorari, ſed eam excitabat ad omnes materiales affectiones deſerendas, & aſſuefaciebat ſanctè ex iis quæ apparent, ad ſupermun-

Cant, 1, 2. Eph. 2, 20. Oſee 13, 7. Pſal. 21, 7.

μύρον εὐῶδες, ὡς λίθον ἀκρογωνιαῖον. Ἀλλὰ καὶ θηριομορφίαν αὐτῇ περιτιθέασι, καὶ λέοντος αὐτῇ καὶ πάνθηρος ἰδιότητα περιάπτουσι, καὶ πάρδαλιν αὐτὴν ἔσεσθαί φασι, καὶ ἄρκτον ἀπορουμένην. Προσθήσω δὲ καὶ τὸ πάντων ἀτιμότερον εἶναι, καὶ μᾶλλον ἀπεμφαίνειν δοκοῦν, ὅτι καὶ σκώληκος εἶδος αὐτὴν ἑαυτῇ περιπλάττουσιν, οἱ τὰ θεῖα δεινοὶ παραδεδώκασιν. Οὕτω πάντες οἱ θεόσοφοι, καὶ τῆς κρυφίας ἐπιπνοίας ὑποφῆται, τῶν ἀτελέσων καὶ ἀνιέρων ἀχράντως ἀποδιαστέλλουσι τὰ ἅγια τῶν ἁγίων, καὶ τὴν ἀνόμοιον ἱεροπλασίαν πρεσβεύουσιν, ὡς μήτε τὰ θεῖα τοῖς βεβήλοις εὐχείρωτα εἶναι, μήτε τοὺς τῶν ἱερῶν ἀγαλμάτων φιλοθεάμονας, ὡς ἀληθέσιν ἐναπομένειν τοῖς τύποις· καὶ ὥστε τὰ θεῖα τιμᾶσθαι ταῖς ἀληθέσιν ἀποφάσεσι, καὶ ταῖς πρὸς τὰ ἔσχατα τῶν οἰκείων ἀπηχημάτων ἑτερείαις ἀφομοιώσεσιν. Οὐδὲν οὖν ἄτοπον, εἰ καὶ τὰς οὐρανίας οὐσίας ἐκ τῶν ἀπεμφαινουσῶν ἀνομοίων ὁμοιοτήτων ἀναπλάττουσι, κατὰ τὰς εἰρημένας αἰτίας· οὐ γὰρ ἂν ἴσως οὐδὲ ἡμεῖς, εἰς ζήτησιν μὲν ἐξ ἀπορίας, εἰς ἀναγωγὴν δὲ διὰ τῆς ἀκριβοῦς τῶν ἱερῶν ἐρεύνης ἐληλύθειμεν, εἰ μὴ τὸ δυσειδὲς ἡμᾶς ἐξετάραξε τῆς τῶν Ἀγγέλων ἐκφαντικῆς ἀναπλάσεως, οὐκ ἐῶν ἡμῶν τὸν νοῦν ἐναπομένειν ταῖς ἀπαδούσαις μορφοποιΐαις, ἀλλ' ἐρεθίζον ἀπαναίνεσθαι τὰς ὑλικὰς προσπαθείας, καὶ προσεθίζον ἱερῶς ἀνατείνεσθαι διὰ τῶν φαινομένων ἐπὶ τὰς ὑπερκοσμίους ἀναγωγάς.

γάς. Τοσαῦτα μὲν ἡμῖν εἰρήσθω διὰ τὰς ὑλικὰς καὶ ἀπεμφαινούσας τῶν ἱερῶν Λογίων Ἀγγελοειδεῖς εἰκονογραφίας· ἑξῆς δὲ ἀφορίσασθαι χρὴ, τί μὲν αὐτὴν εἶναι τὴν Ἱεραρχίαν οἰόμεθα, τί δὲ πρὸς αὐτῆς Ἱεραρχίας ὀνίνασθαι τοὺς Ἱεραρχίαν κεκληρωμένους. Ἡγείσθω δὲ τοῦ λόγου Χριστὸς, εἴπερ ἐμοὶ θέμις εἰπεῖν, ὁ ἐμὸς, ἡ πάσης Ἱεραρχικῆς ἐκφαντορίας ἐπίπνοια. Σὺ δὲ, ὦ παῖ, κατὰ τὴν ὁσίαν τῆς καθ' ἡμᾶς Ἱεραρχικῆς παραδόσεως θεσμοθεσίαν, αὐτός τε ἱεροπρεπῶς ἄκουε τῶν ἱερῶς λεγομένων, ἔνθεος ἐνθέων, ἐν μυήσει γινόμενος, καὶ τῇ κατὰ νοῦν κρυφιότητι τὰ ἅγια περιστείλας ἐκ τῆς ἀνιέρου πληθύος, ὡς ἑνοειδῆ διαφύλαξον. οὐ γὰρ θεμιτὸν, ὡς τὰ Λόγια φησὶν, εἰς ὕας ἀπορρίψαι τὴν τῶν νοητῶν μαργαριτῶν ἀμιγῆ καὶ φωτοειδῆ καὶ καλλοποιὸν εὐκοσμίαν.

diales anagogias seu ascensus aspirare. Hæc à nobis dicta sint propter materiales illas ac dissimiles, quæ in sacris Eloquiis habentur, Angelorum delineationes: deinceps verò definiēdum, quid ipsammet Hierarchiam esse arbitremur, quidque consortes eius ex ipsâ capiant emolumenti. Sit autem dux verbi Christus (si mihi fas sit dicere) meus, qui vniuersam illam Hierarchicam inspiret elucidationem. Tu verò, fili, iuxta sanctam Hierarchicæ nostræ traditionis sanctionem, prout sancta decet, audi quæ sacrosanctè proferuntur, ipsemet diuinus diuinâ doctrinâ factus, atque animi secreto sancta recondens, tamquam vniformia, à profanâ multitudine conserua. neque enim fas est, vt Eloquia testantur, porcis proiicere spiritalium margaritarum purum illum, ac lucidum pulchrificumq; adornatum.

ANNOTATIONES CORDERII.



CVM primo Capite docuerit, nos per signa sensibilia in spiritalium rerum notitiam deuenire; aptè iam subiungit, res cælestes ac diuinas in Scripturis dissimilibus signis ac figuris explicari, cùm per propriam similitudinem ac speciem à nobis in hac vitâ cognosci nequeant.

§. 1. Ac primùm quidem facit Operis sui distributionem, & quid in præsenti Tractatu spectet, exponit; & cautè monet, nos per effictas Angelorum formas ad eorumdem simplicem naturam contemplandam adduci oportere. vt, cùm Scriptura v.g. tribuit Angelo formam effictam aquilæ, sciamus, per hanc formationem aquilæ, quæ non simplicis naturæ sed compositæ est, nos ad quid simplex in Angelo intelligendum reuocari; scilicet reuocamur ad intelligendum, esse in Angelis aciem quamdam acutissimam spiritalis & sublimis perspicientiæ: atque id quidem necesse est scire, ne nobis eueniat quod vulgo, vt existimemus fortè habere Angelos pedes, facies, alas, & similiter in aliis formis effictis, per quas Scriptura nos ad ascensum anagogicum nobis accommodatum inuitat.

Aquila quid insinuet.

Ne fallamur, monet figuras illas Angelis esse dissimiles; & occurrit aliquorum obiectioni, putantium nobiliores iis formas affingi debuisse: & ostendit, per viles istas figuras non solùm nostræ conditioni, sed etiam Angelorum honori meliùs consultum esse, vt dum sacris & arcanis istis ænigmatibus obteguntur, non pateat vulgo aditus ad sacram illam diuinarum mentium veritatem. Maximè verò proprium est Theologiæ symbolicæ, quæ in iis quæ sensu percipiuntur, versatur, formas ex animalibus quę cernuntur, aut ex eorum partibus effingere, & induere, neq; solùm ex talibus, sed ex coloribus omnis generis. quæ omnia verus ille Theologus Dionysius c. 1. de Diuinis nominibus vno verbo *diuina visa* appellauit, distin-

§. 2. Cur Angeli dissimilibus formis describantur.

Theologia symbolica qualis sit.

ANNOTATIONES CORDERII.

distinguens ea à profanis & à fortuitis visis.

§. 3. Docet duplicem esse sacræ illius mysticæ manifestationis modum. Duobus enim modis, inquit Maximus, laudatur Deus, aut tamquam similis omnibus (omnia enim in ipso consistunt) aut tamquam dissimilis (nihil est enim eorum quæ sunt.) Exponit deinde Dionysius, quomodo formentur isti modi nominandi Deum per similia; vt cùm dicitur Deus in Scripturâ Verbum, & mens, & cetera similia: cùm dicit autem τὴν θεοπρεπῆ λογιότητα, id est, *conuenientem Deo rationalitatem*, significat, Deum non dici rationalem tamquam participem rationis, sed quòd sit totus ipsa per se subsistens ratio. vide dicta Obseruatione 8. & 9. Dissimilia verò vocat ea quæ per negationem de Deo dicuntur, & non quid sit, sed quid non sit declarant. Vide ibidem suprà Obseruat. 8. Hæc enim, inquit Nyssenus, est notionis eius maximè propria nota, naturam eius esse supra omnem notam notionis designatricem. Quare cùm negationes magis propriè Deo conueniant quàm affirmationes, rectè concludit S. Dionysius, descriptiones illas mysticas conuenientiùs fieri per formas dissimiles, quàm per similes; vtpote anagogicæ adductioni magis aptas, & deceptioni minùs obnoxias.

Deus quomodo sit rationalis.

Quæ sit verissima Dei notio.

§. 4. Ex omnibus ait bonas contemplationes eliciendas esse; & simul explicat, quomodo passiones iræ, concupiscentiæ, & similes, cùm de Angelis dicuntur, accipiendæ sint.

§. 5. Ostendit non solùm Angelos, sed etiam Deum ipsum in Scripturis partim à rebus nobilissimis, vt solem; partim à mediis, vt ignem; partim à vilissimis, vt vermem, denominari: per hæc autem ferè Christum intelligit; & in sole alludit ad Malachiæ cap. 4, 2. Sapientiæ 5, 6. Isaiæ 60, 1. vbi dicitur, *Orietur vobis Sol iustitiæ.* In stellâ alludit ad Numerorum cap. 24. vbi dicitur, *Orietur stella ex Iacob*, Christus scilicet, vt stella & sol nos illuminans & inflammans, omnique gratiâ lætificans, & in cælum deducens. In luce alludit ad Ioannis 1. *Erat lux vera.* vide dicta præcedenti Capite. In igne alludit ad Exodi cap. 3. vbi Moyses vidit rubum ardentem innoxio igne, designans, Christum Diuinitatis igne Virginem-matrem in conceptione & natiuitate illustraturum, virginitatis flore minimè læso. In aquâ alludit ad Ioannis cap. 7, 37. vbi Christus ait: *Si quis sitit, veniat ad me, & bibat*, id est, doctrinam & spiritum Euangelicum hauriat; *& flumina*, id est, plurima copia aquæ viuæ, id est, gratiæ & donorum Spiritus sancti, *fluent de ventre eius*, id est, de corde & mente, quæ quasi venter est animæ: fluent, inquam, per actus virtutum, operationes, & effectus gratiæ, quibus se non tantùm iuuet, sed & alios. In vnguento alludit ad Canticorum 1. *Vnguentum effusum nomen tuum.* In lapide ad Ephes. 2, 20. vbi Christus angularis lapis dicitur, vt qui Ecclesiæ structuram totam cõtinet & complectitur. In leone, pardo, vrsâ, alludit ad Osee cap. 13, 7. *Et ego ero eis quasi leæna, sicut pardus in viâ Assyriorum. Occurram eis quasi vrsa raptis catulis.* In verme alludit ad Psal. 21. *Ego autem sum vermis*; propter carnis humilitatem, & exinanitionem in passione: quæ omnia ad ascensum anagogicum conducunt.

Vide Dionysius symbola quæ hic adfert, desumpserit.

SCHOLIA S. MAXIMI.

§. 1. *Ἐκφαντορία quid.*



EXPLANATIONEM.] Græcè ἐκφαντορίαν vocat explicationem. Manifestè autem intelligit illam quæ per symbola fit ac typos, quæ etiam fictiones appellauit. Simplicitatem verò vocat naturæ immaterialitatem: sciebat enim, quòd cùm cælestes istas mentes sacras, vt ipse ait, secundùm Scripturam celebraret, necessariò dicendum esset de animalibus ferarum, & aquilarum, aliarumque rerum formâ insignitis, quibus diuina Scripta diuinas istas virtutes Archangelicas effingunt. Ait enim: *Ne & nos more vulgi sacrilegè opinemur*, nullam esse explicationem ordinum istorum cælestium multis faciebus multisque pedibus præditorum. Hoc idcircò illi propositum est explicare iuxta sacrorum Oraculorum explanationem.



ΕΚΦΑΝΤΟΡΙΑΝ.] Ἐκφαντορίαν λέγει τὴν ἐξαγγελσιν. Πρόδηλον δὲ, ὅτι τὴν διὰ συμβόλων καὶ τύπων, ἅτινα καὶ πλάσματα εἶπεν. Ἁπλότητα δὲ, τὸ τῆς φύσεως ἄϋλον· ἠπίστατο γὰρ, ὅτι ἀνυμνῶν τοὺς ἐν τοῖς οὐρανοῖς ἱεροὺς νόας, ὡς αὐτὸς φησὶ, κατὰ τὴν Γραφὴν, ἀνάγκην εἶχεν εἰπεῖν περὶ ζώων θηριομόρφων, καὶ ἀετῶν, καὶ τῶν ἄλλων, οἷς ἀπεικάζουσιν αἱ θεῖαι Γραφαὶ τὰς Ἀρχαγγελικὰς δυνάμεις. Λέγει γὰρ, Ἵνα μὴ καὶ ἡμεῖς, ὡς οἱ πολλοὶ, νομίζωμεν ἀνιέρως, μὴ ἔχειν ἐξήγησιν τὰς τῶν πολυπροσώπων καὶ πολυπόδων τάξεις ἐν οὐρανοῖς. Ταύτας οὖν διασαφῆσαι προῄρηται κατὰ τὴν τῶν ἱερῶν Λογίων ἐκφαντορίαν.

Ἀτεχνῶς.]

Ἀτεχνῶς.] Μεγάλως, ἢ παντοίως, ἢ ἀληθῶς, ἢ ἁπλῶς.

Ποιητικαῖς.] Ὅτι καὶ ποιητικαῖς πλάσεσιν ἐχρήσατο ἡ Γραφή, πρὸς χειραγωγίαν τῆς ἀνθρωπίνης διανοίας, ἀλλ' ὡς οὐ δυναμένης τὴν τῶν μειζόνων παραλαβεῖν διδασκαλίαν. Ἐοικέναι γὰρ τὰ οὐράνια σύμβολα τοῖς παρὰ Ποιηταῖς φανταζομένοις, ὡς ὁ ἱερὸς ἀνὴρ οὗτός φησι (Ποιητὰς δὲ νόησον, ἢ τοὺς παρ' Ἕλλησι θαυμαζομένους, οἷον Ὅμηρον, Ἡσίοδον, καὶ τοὺς ἑξῆς·) ἢ ποιητικαῖς ὡσανεὶ πλαστικαῖς ὑποτυπώσεσιν. Εἰδυῖα γὰρ ἡ τοῦ Θεοῦ σοφὴ συγκατάβασις τὸν ἡμέτερον νοῦν ἀσθενῆ καὶ πρὸς ὑψηλοτέραν θεωρίαν ἀνεπιτηδείως ἔχοντα, ἀναγωγὴν αὐτῷ συμφυῆ πλασαμένη, οὕτως τὰς Ἀρχαγγελικὰς εἰς φανερὸν ἤγαγε διακοσμήσεις, οὐχ ὅπως ἔχουσι τῇ ἀληθείᾳ διασαφήσασα, ἀλλ' ὅπως ἡμεῖς δυνάμεθα καταλαβεῖν. Μηδὲν οὖν ἀνοίκειον φαντάζου τῶν οὐρανίων.

Συνθέσεις.] Συνθέσεις φησὶ, τὰς εἰρημένας πλάσεις καὶ σχηματοποιΐας.

Ἐφ' ἑαυτῶν.] Ἐφ' ἑαυτῶν, τουτέστιν, ὡς ἔχουσι φύσεως, ἄγνωστοι ἡμῖν, φησὶ, καὶ ἀθεώρητοι ὑπάρχουσιν.

Ἀπότομον.] Ἀπότομον οἶμαι λέγειν αὐτὸν, τὴν ξένην, καὶ οἷον τῶν συνήθων ἀποτετμημένην ὁδὸν καὶ πλάσιν· διὸ καὶ σκηνὴν αὐτὴν ὀνομάζει, σαφηνίζων οὐκ ἀληθεῖς εἶναι τὰς ἀναγεγραμμένας τῶν ἁγίων Ἀγγέλων μορφάς. Οὔτε γὰρ τῇ ἀληθείᾳ τοιοῦτοί εἰσιν, οἵους αὐτοὺς ἡ ἱερὰ παραδίδωσι Γραφή, ἀλλ' ἵνα ἐφικώμεθα τῆς μεγαλειότητος αὐτῶν, αὐτὸς δὲ ὁ Διονύσιος πειρᾶται συμβάλλειν τὰ εἰρημένα περὶ αὐτῶν, καὶ δεικνύειν, ὅτι δυνατὸν δι' ἀναπτύξεως οὕτω νοεῖν τὰς Ἀγγελικὰς διακοσμήσεις, ὡς εἴρηται.

Ἀΰλων ποσῶς.] Ποσῶς ἀΰλων, τουτέστι, μερικῶς· οὐ γὰρ πάντη ἀΰλων. Ὑπερκειμένας δὲ οὐσίας, οὐρανὸν καὶ τὰ κατ' οὐρανὸν λέγειν, οἷον ἀστέρας· τὸ γὰρ λεπτομερέστατον αὐτῶν καὶ μονοούσιον ἐγγύς ἐστί πως ἀϋλίας.

Θεοειδέσιν.] Θεοειδεῖς ἁπλότητας φησὶ τὰς νοητὰς οὐσίας. Ἄϋλοι γὰρ οὐσίαι καὶ ἀσύνθετοι πάντως εἰσὶν, οὐκ οὖσαι κρᾶμα καὶ σύγκριμα τῶν στοιχείων· τὰ γὰρ σώματα, ἐκ τούτων· ἐκεῖνοι δὲ, ἀσώματοι.

Ἐνιζάνον.] Ἐγκαθίζον, καὶ ἐναπομένειν ποιοῦν.

PALAM.] Magnificè, vel omnimodè, vel verè, vel simpliciter.

Quales Poeticas fictiones Scriptura imitetur.

POETICIS.] Etenim Scriptura Poëticis quoque fictionibus vsa est, ad intellectus humani manuductionem, vtpote maiorum rerum disciplinam capere non valentis. Symbola siquidem cælestia sanctus hic vir ait quodammodò similia commentis Poëtarum (Poëtas autem intellige illos, v.g. qui apud Gentiles fuerunt admirationi, vt Homerum, Hesiodum, & similes) siue poëticis seu fictitiis informationibus. Cùm enim nosset sapiens Dei condescensio, nostram mentem imbecillam, & ad sublimiorem contemplationem ineptam esse, anagogen ipsi connaturalem efformans, Archangelicas hoc modo dispositiones propalauit, non vt reuerà se habent, sed prout nos capere possumus. Nihil igitur cælestibus improprium imaginare.

COMPOSITIONES.] Compositiones vocat dictas fictiones & effigiationes. §. 2.

IN SEIPSIS.] In seipsis, id est, prout naturâ suâ sunt, ignoti nobis, inquit, & inaspectabiles existunt.

RVDEM.] Græcè ἀπότομον arbitror ipsum vocare peregrinam, & veluti à consuetudine recisam viam ac fictionem; quare etiam scenam ipsam appellat, declarans, haud veras esse descriptas sanctorum Angelorum formas. Non enim reuerà tales sunt, quales ipsos sacra Scriptura tradit; sed vt ipsorum magnitudinem colligamus, ipse Dionysius conatur ea quæ de illis dicta sunt, inter se conferre, & demonstrare, fieri posse, vt per eorumdem explicationem, eo modo quo dictum est, Angelicæ distinctiones intelligantur.

Immaterialia quæ.

EX PARTE IMMATERIALIVM.] Græcè ποσῶς ἀΰλων, id est, ex parte; non autem omnino immaterialium. Suprà positas autem seu transscendentes substantias, vocat cęlum, & quæ iuxta cælum sunt, veluti stellas: nam earum tenuissima simplexque substantia quodammodò affinis est immaterialitati.

Deiformia quæ.

DEIFORMIBVS.] Deiformes simplicitates vocat intellectiles substantias. Immateriales enim substantiæ & incompositæ omnino sunt, cùm non sint massa neque commixtio elementorum; ex his enim corpora, illæ autem sunt incorporeæ.

INHÆRENS.] Insidens, & immorari faciens.

LEONINIS.] Hæ ſunt formæ diuinorum ac ſanctorum Cherubim, quæ ab Ezechiele ac diuo Ioanne in Apocalypſi deſcriptæ ſunt.

EXAMINIBVS.] Examen eſt conferta multitudo.

ET AVICVLARIVM.] Id eſt formæ quaſi ſpeciei auium, & ex auibus.

ANIMALIVM.] Alia inquit animalia, vt equos, mulos, & ſimilia: materias autem viliores, vt ſedes v.g. ex lignis, & rotas, ac rhomphæas ex ferro: vt rhomphæam extractam in Balaam, & quam vidit Dauid, vti dictum eſt in lib. 2. Regum; & currus quaſi ligneos.

Quid vocet Paſſionatum. PASSIONATVM.] Paſſionatum ait, quia forma leonina iraſcibile quid inſinuat, & ſpecies vitulina quid concupiſcibile, quæ paſſiones, & quidem magnæ, exiſtunt. Similitudines autem vocat figuras aliquid repræſentantes: vt cùm Ezechiel ait, ſe quaſi ſimilitudinem vidiſſe throni, & ſimilitudinem leonis, quod declarat fictitiam opinantium imaginationem; quocircà etiam hîc dictum eſt, *diſſimiles ſimilitudines.* *Quæ ſint diſſimiles ſimilitudines.* Neque enim omnes ſimiles Propheta videt, ſed hos quidem ſic, alios verò ſic. Verumtamen diſſimiles planè ſunt iis, quibus videntur eſſe ſimiles: nihil enim leonis, vel vituli, vel reliquorum verè habent. Ceterùm quid illa diſſimilitudo declaret, in ſequentibus reperies.

VERVMTAMEN.] Apologeticè.

VT NEQVE DIVINÆ.] Pollicetur per ſuam interpretationem vtrumque demonſtrare, vt neque videantur contumeliis affici cæleſtia, neque nos, humi repentibus vilitatibus, circa dicta de Angelis animalia implicari.

MERITO OBDVCTÆ.] Dicit hîc, cur rerum figurâ formâque carentium ſymbola ſint figuræ ac formæ.

INFIGVRATIS.] Pro, formâ carentibus.

IMMEDIATE.] Id eſt, non mediantibus figuris, ſed planè ac obiectu primo. *Prætendunt* autem idem eſt quod proponunt, & obiiciunt.

Quid vocet formationes. FORMATIONES.] Obſerua, ea quæ ſunt incorporea, etiam formâ carere. Quando igi-
Phil. 2, 6. tur audiueris de ſuperſubſtantiali, *Qui cùm in formâ Dei eſſet*, immutabilitatem eius quam habet apud Patrem, intellige. hoc enim de-
Coloſ. 1, 13 Ioan. 14, 9. clarat &, *imago Dei inuiſibilis*; & illud, *Qui videt me, videt & Patrem.* Hoc modo etiam

Λεοντείων.] Αὗται αἱ μορφαὶ τῶν θείων καὶ ἁγίων Χερουβὶμ, καὶ παρὰ τῷ Ἰεζεκιὴλ καὶ παρὰ τῷ θεσπεσίῳ Ἰωάννῃ ἐν τῇ Ἀποκαλύψει ἀνεγράφησαν.

Ἑσμῶν.] Ἑσμός ἐστι τὸ συμπεπληρωμένον πλῆθος.

Καὶ τὸ ὀρνιθείας.] Οἷον ὀρνιθοειδοῦς μορφῆς καὶ ἐξ ὀρνίθων.

Ζώων.] Ζῷα ἄλλα φησὶν, οἷον ἵππους, ἡμιόνους, καὶ τὰ τοιαῦτα· ὕλας δὲ ἀτιμοτέρας, οἷον θρόνους ὡς ἐκ ξύλων, καὶ τροχοὺς, καὶ ῥομφαίας ἐκ σιδήρου· ὡς τὴν ῥομφαίαν τὴν ἐξεσπασμένην ἐπὶ τὸν Βαλαὰμ, καὶ ἣν εἶδεν ὁ Δαβὶδ, ὡς ἐν τῇ Βασιλειῶν εἴρηται βιβλίῳ β. καὶ ἅρματα ὡς ξύλινα.

Ἐμπαθές.] Ἐμπαθὲς λέγει, ἐπειδὴ τὸ λεοντόμορφον, θυμικόν τι σημαίνει· καὶ τὸ μόσχειον εἶδος, ἐπιθυμητικὸν, ἅτινα πάθη καὶ μεγάλα ὑπάρχουσιν. Ὁμοιότητας δὲ φησὶ τὰς ὁμοιωτικὰς ὑπονοίας. τοιγαροῦν λέγει ὁ Ἰεζεκιὴλ, ὡς ὁμοίωμα ἑωρακέναι τοῦ θρόνου, καὶ ὁμοίωμα λέοντος, ὅπερ δηλοῖ τὴν πλασματώδη τῶν δοκούντων φαντασίαν· διὸ κἀνταῦθα εἴρηται, Ἀνόμοιοι ὁμοιότητες. Οὐ γὰρ πάντας ὁμοίους ὁρᾷ ὁ Προφήτης, ἀλλὰ τοὺς μὲν τοιῶσδε, τοὺς δὲ τοιῶσδε. Ἀλλὰ καὶ ἀνόμοιοι εἰσὶ παντελῶς, οἷς δοκοῦσιν εἶναι ὅμοιοι· οὐδὲν γὰρ λέοντος, ἢ μόσχου, ἢ τῶν ἑξῆς ἀληθῶς ἔχουσι. Τὶ δὲ δηλοῖ τὸ ἀνόμοιον, ἐν τοῖς ἑξῆς εὑρήσεις.

Ἀλλ' ἤ.] Ἀπολογητικῶς.

Ὡς μήτε εἰς τὰς θείας.] Ἐπαγγέλλεται διὰ τῆς ἰδίας ἑρμηνείας δεικνύειν ἑκάτερον, ὡς μήτε δόξαι ὑβρίζεσθαι τὰ οὐράνια, μήτε ἡμᾶς εἰς χαμαιζήλους ταπεινότητας ἐμπαγῆναι περὶ τῶν ἐν Ἀγγέλοις λεγομένων ζώων.

Εἰκότως προβέβληνται.] Διὰ τί σύμβολα τῶν ἀτυπώτων οἱ τύποι καὶ τῶν ἀμορφώτων αἱ μορφαὶ, ἐνταῦθα φησίν.

Ἀσχηματίστων.] Ἀντὶ τοῦ, ἀμορφώτων.

Ἀμέσως.] Τουτέστι, μὴ διὰ μέσων τῶν τύπων, ἀλλ' ἀθρόως καὶ κατὰ πρώτην ἐπιβολήν. Τὸ δὲ Προτείνουσι, ταὐτόν ἐστι τῷ Προτιθέασι, καὶ Προβάλλονται.

Μορφώσεις.] Σημείωσαι, ὅτι τὰ ἀσώματα, ἀμόρφωτά εἰσιν. Ὅταν οὖν ἀκούσῃς περὶ τῆς ὑπερουσίου, Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων· τὸ ἀπαράλλακτον πρὸς τὸν ἑαυτοῦ Πατέρα νόησον. τοῦτο γὰρ δηλοῖ καὶ, Ἡ εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου· καὶ τὸ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Οὕτω καὶ ὁ ἅγιος

Βασίλειος

Βασίλειος ἑρμηνεύει ἐν τῷ πρὸς τὸν οἰκεῖον ἀδελφὸν Λόγῳ, τῷ περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως.

Ὡς διττός ἐστι τῆς ἱερᾶς.] Ὅτι κατὰ δύο τρόποις ὑμνεῖται τὸ θεῖον· ἢ ὡς ὅμοιον πᾶσι, (πάντα γὰρ ἐν αὐτῷ συνίσταται) ἢ ὡς ἀνόμοιον, οὐδὲν γάρ ἐστι τῶν ὄντων.

Διὰ τῶν ἀνομοίων.] Ὅτι δι' ὁμοίων καὶ ἀνομοίων πλάττονται οἱ τύποι, καὶ πῶς πλάττονται, ὧδε φησί.

Ποτὲ μὲν ὡς λόγον.] Κατὰ τί λέγεται λόγος καὶ νοῦς ὁ Θεός· ἐν τῷ, Τίς ἔγνω νοῦν Κυρίου· καὶ ἐν τῷ, Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων, καὶ τὰ ἑξῆς. Λογιότητα δὲ φησὶν ἐπὶ τοῦ Θεοῦ, οὐχ ὅτι λογικὸν θέλει δηλῶσαι τὸν Θεὸν, ὡς μετέχοντα λόγου, τοῦτο γὰρ ἐμφαίνει· ἀλλ' ὅτι αὐτολογιότης ἐστὶν, ὅλος λόγος ὤν. Οὐσίαν δὲ λέγουσιν ἐπὶ Θεοῦ, ὅταν εἴπωσιν, Ἐγώ εἰμι ὁ ὤν· καὶ, Ὁ ὢν ἀπέσταλκέ με. Σὺ δὲ ὁ αὐτὸς εἶ. Ἀπὸ γὰρ τοῦ εἶναι καὶ τοῦ ὄντος ἡ οὐσία, καὶ τὸ παράγωγον οὐσία, ἡ ὕπαρξις.

Καὶ ζωήν.] Ὅτι οὔτε ζωὴ, οὔτε φῶς, οὔτε νοῦς, οὔτε οὐσία κυρίως λέγεται ὁ Θεός, ἀλλ' αἰτιολογικῶς· ἔστι γὰρ καὶ ὑπὲρ ταῦτα, καὶ οὐχ οἷα ταῦτα.

Ἀόρατον αὐτήν.] Ὅτι τὰ κατὰ ἀπόφασιν λεγόμενα ἐπὶ Θεοῦ, οἷον ἀόρατος, ἄπειρος, καὶ τὰ τοιαῦτα, ἀνόμοιά εἰσι· δηλοῦσι γὰρ οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστιν ὁ Θεός. οὕτω καὶ ὁ Θεολόγος Γρηγόριος.

Ἀνόητον.] Ἀνόητον φησὶν, οὐ τὸ ἠλίθιον, ἀλλὰ τὸ μὴ νοούμενον ὑπό τινος. Ἀόριστος δὲ ὁ Θεὸς, ὡς ὅρῳ μηδενὶ ὑποπίπτων, ἀλλ' αὐτὸς πάντων ὅρος ὤν, καὶ τὰ πάντα ἐν ἑαυτῷ ὁρίζων, ὅρῳ δὲ οὐχ ὑποπίπτει· διότι οἱ μὲν ὅροι ἐκ τῶν καταφάσεων σύγκεινται, αἱ δὲ καταφάσεις ἐπὶ Θεοῦ ἀνάρμοστοι, ὡς ψευδόμεναι· ὑπὲρ γὰρ ταύτας ὁ Θεὸς, ὡς οὐκ ὢν οὐσία, ἀλλ' ὑπὲρ οὐσίαν.

Αἱ μὲν ἀποφάσεις.] Οὐ μόνον ἐπὶ Θεοῦ, ἀλλὰ καὶ ἐπὶ τῶν θείων ἁπάντων, τουτέστιν ἐπὶ τῶν μετὰ Θεὸν νοητῶν πάντων, καὶ τὰς ἀποφάσεις ἀληθεῖς εἶναι φησὶ, καὶ τὰς καταφάσεις ἀναρμοδίους. Ἀναρμόδιοι μὲν οὖν εἰσὶν αἱ καταφάσεις, ὅταν εἴπωμεν, ἢ τὸν Θεὸν, ἢ τὰς νοερὰς δυνάμεις, ζωὴν ἢ φῶς· οὔτε γὰρ ζωὴ τοιαύτη τίς ἐστιν, ὡς διὰ

S. Basilius illud interpretatur in Oratione ad fratrem suum, quæ est de Differentiâ substantiæ & suppositi.

§. 3. DVPLICEM ESSE SACRÆ, &c.] Quoniam duobus modis laudatur Deus, aut tamquam similis omnibus, omnia enim in ipso consistunt; aut tamquam dissimilis, nihil est enim eorum quæ sunt. *Duplex modus Deū cognoscendi.*

PER DISSIMILIA.] Tradit hîc, figuras per similia & dissimilia fingi, & quomodo fingantur.

ALIQVANDO QVIDEM VT VERBVM.] Secundùm quid Deus dicitur Verbum & mens; vt in illo, *Quis cognouit sensum* siue mentem *Domini?* & in illo: *Et factum est verbum Domini ad me, dicens*, & cetera. Rationabilitatem autem dicit in Deo, non quòd velit significare Deum esse rationalem, tamquam participem rationis; hoc enim [illa dictio] insinuat: sed quòd est ipsamet rationabilitas, qui est totus ipsa per se subsistens ratio. Substantiam autem dicunt de Deo, cùm aiunt, *Ego sum qui sum:* &, *Qui est, misit me. Tu autem idem ipse es.* Ab esse enim & ente dicitur essentia, quæ est existentia, seu existens substantia. *Rom. 11, 34. Ierem. 16, 1. Exod. 3, 14. Psl. 101, 28.*

ET VITAM.] Quoniam Deus neque vita, neque lumen, neque mens, neque substantia propriè dicitur, sed per modum causæ; est enim supra hæc, & non qualia hæc.

INVISIBILEM IPSAM.] Quia quæ per negationem de Deo dicuntur, vt inuisibilis, infinitus, & similia, dissimilia sunt; & non quid sit Deus, sed quid non sit, declarant. ita etiam Gregorius Theologus. *Quomodo Deus inuisibilis.*

ININTELLIGIBILEM.] Inintelligibilem ait, non stultum, sed à nullo intellectum. Indefinitus autem est Deus, tamquam sub nullam cadens definitionem: nam ipse cùm sit omnium definitio, & cuncta in semetipso definiat, sub definitionem non cadit; quoniam definitiones ex affirmationibus constant; affirmationes verò, tamquam falsæ, Deo minimè congruunt: nam Deus has superat, vt qui non sit essentia, sed supra essentiam. *Quomodo Deus inintelligibilis.*

NEGATIONES QVIDEM.] Non solùm in Deo, verùm etiam in diuinis omnibus, id est, in omnibus intellectibus post Deum, & negationes veras, & affirmationes incongruas esse dicit. Itaque incongruæ quidem sunt affirmationes, quando dicimus, siue Deum, siue intellectiles virtutes, vitam vel lumen existere: neq; enim talis quædam vita est, qualis per *Negationes quomodo prædicẽtur de diuinis.*

per inspirationem aut exspirationem ducitur; neque lumen aliquod apparens, & videri faciens obiecta, sed aliquid his sublimius. Negationes verò quæ per inficiationes fiunt, quadátenus in intellectilibus magis propriæ sunt. Cùm enim eas dicimus inuisibiles, etiam intelligimus quòd non cadant sub aspectum. Quid porrò sit id ipsum quod non apparet, non videtur hic sermo curiosiùs inquirere, vel repræsentare. Verumtamen vita ac lumen videntur significare quid sit, at ista nullo modo declarare quid sit Deus.

Condecorant igitvr.] Obserua, quàm pulchrè rationem dederit, cur cælestia memoriam seu imagines referant animalium. Quemadmodum enim Deus, qui est super omnia, nihil in rebus omnibus affine habet, adeoque meritò nihil è rebus omnibus ipsum manifestat; atque ita deinceps aliâ methodo de Deo ratiocinamur, dicentes quid non sit Deus, quod vocat *per dißimilia:* sic etiam in cælestibus virtutibus quæ post Deum sunt, eruditè fecerunt Theologi, dum, nulli rei intellectili ipsas assimilantes, sed ex sensilibus, quæ vilia appellat, similitudinem earum accipientes, ad ipsarum id honorem retulerunt, vt fictitia & non vera istiusmodi foret imitatio. Siquidem qui leoniformis, & multis pedibus atque alis preditus, dictus est etiam rationalis & immaterialis; quomodo non manifestum sit, talem supermundialiter materialia & à nobis intellecta transscendere?

Cur Scriptura adhibeat symbola materialia & vilia.

In nobilioribvs enim.] En & aliud argumentum, propter quod Scriptura talibus similitudinibus in rebus cælestibus vsa sit. Nam si nobilioribus vsa fuisset fictionibus, v.g. dicendo auriformes vel fulgureas diuinas esse virtutes, omnino persuasi fuissent audientes, ex iis quæ apud homines pretiosiora sunt fidem accipientes: nunc autem res absurdas & imagines deformes assumpsit, vt accuratè scientes quòd non sint talia, rerum veritatem indagaremus.

Innoxie.] Dictæ enim ignis flammæ, diuinæ substantiæ, non combustiuæ, sed viuificæ sunt.

Indecoris.] Quomodo enim non sit indecorum, ex rebus materialibus constare symbola?

εἰσπνοίας καὶ ἐκπνοίας ζωῆς· οὔτε φῶς τὸ φαινόμενον καὶ ποιοῦν ὁρᾶσθαι τὰ προκείμενα· ἀλλὰ ἀνώτερόν τι τούτων. Αἱ δὲ ἀποφάσεις, αἱ διὰ ἀρνήσεων, πως ἐπὶ τῶν νοητῶν οἰκειότεραι· λέγομεν γὰρ, ὅτι ἀόρατοι, καὶ ὅτι οὐχ ὑποπίπτουσι θέᾳ, νοοῦμεν. Τί δέ ἐστιν αὐτὸ τὸ μὴ φαινόμενον, οὔτε πολυπραγμονεῖν, οὔτε παριστᾶν δοκεῖ ὁ λόγος. Καίτοι τὸ ζωὴ καὶ φῶς δοκεῖ σημαίνειν τί ἐστι, καὶ ταῦτα μηδόλως δηλοῦν τί ἐστι Θεός.

Τιμῶσι τοιγαροῦν.] Ὅρα πῶς καλῶς ἀπελογήσατο, διὰ τί ζώων μνήμην ἔχει τὰ οὐράνια, ἤτοι εἰκόνας. Ὥσπερ γὰρ ὁ ἐπὶ πάντων Θεὸς οὐδὲν ἐν τοῖς πᾶσιν ἔχει ὁμογενὲς, καὶ διὰ τοῦτο εἰκότως οὐδὲν τῶν πάντων αὐτοῦ ἐστὶ δηλωτικὸν, ἀλλὰ λοιπὸν ἄλλῃ μεθόδῳ θεολογοῦμεν, λέγοντες τί οὐκ ἔστι Θεὸς, ὅπερ καλεῖ διὰ τῶν ἀνομοίων· οὕτω καὶ ἐπὶ τῶν οὐρανίων δυνάμεων, αἵ μετὰ Θεόν εἰσι, τεχνικῶς ἐποίησαν οἱ Θεόλογοι, μηδενὶ τῶν νοητῶν αὐτὰς ὁμοιώσαντες, ἀλλ᾽ ἐκ τῶν αἰσθητῶν, ἅπερ καλεῖ ἄτιμα, τὴν τούτων λαβόντες ἐμφέρειαν, τοῦτο πρὸς τιμὴν αὐτῶν πεποιηκότες, ἵνα πλασματώδης καὶ οὐκ ἀληθὴς γένηται τούτων ἡ μίμησις. Εἰ γὰρ ὁ λεοντόμορφος λεγόμενος, καὶ πολύπους, καὶ πολύπτερος, ἐστὶ καὶ λογικὸς, καὶ ἄϋλος, πῶς οὐ δῆλον, ὅτι ὑπερκοσμίως ὑπερβέβηκε τὰ ὑλικὰ, καὶ παρ᾽ ἡμῖν νοούμενα;

Εἰς μὲν γὰρ τὰς τιμιωτέρας.] Ἰδοὺ καὶ ἕτερος λογισμὸς, δι᾽ ὃν τοιαύταις ὁμοιότησιν ἡ Γραφὴ περὶ τῶν οὐρανίων ἐχρήσατο. Εἰ γὰρ τιμιωτέροις ἐχρήσατο πλάσμασιν, οἷον χρυσοειδεῖς, ἢ ἐξαστράπτοντας, λέγουσα εἶναι τὰς θείας δυνάμεις, πάντως ἂν ἐπείσθησαν οἱ ἀκούοντες, ἐκ τῶν παρὰ ἀνθρώποις τιμιωτέρων τὸ πιστὸν λαμβάνοντες· νῦν δὲ τὰ ἀπεμφαίνοντα καὶ αἰσχρὰς εἰκόνας παρενέβαλεν, ἵνα ἀκριβῶς εἰδότες, ὅτι οὐκ εἰσὶ τὰ τοιαῦτα, ζητήσωμεν τὴν ἀλήθειαν τῶν ὄντων.

Ἀβλαβῶς.] Αἱ γὰρ λεγόμεναι πυρὸς φλόγες, θεῖαι οὐσίαι, οὐ καυστικαὶ, ἀλλὰ ζωτικαί εἰσιν.

Αἰσχράς.] Πῶς γὰρ οὐκ αἰσχρὸν, τὸ ἐξ ὑλικῶν εἶναι τὰ σύμβολα;

Θεάματα.] Θεάματα λέγονται, τὰ μετὰ θαύματος ὁρώμενα.

Spectacvla.] Græcè θεάματα dicuntur ea quæ cum admiratione videntur.

Καὶ

SCHOLIA S. MAXIMI.

Καὶ γὰρ ὁ θυμός.] Ὅτι οὐχ ἁπλῶς ἀλογίας ἔμπλεως ἡ θυμοειδὴς κίνησις, ἀλλ' ἐπὶ τῆς ἀλόγου φύσεως. Ἀναγνωστέον τὸν τελευταῖον λόγον τοῦ βιβλίου, ὃν εἶπεν εἰς τὴν ὀπτασίαν τῶν ἁγίων Χερουβίμ· ἐκεῖ γὰρ καὶ ταῦτα πάντα πλατέως διαγεγύμνασται.

Τὸ μηδὲ ἓν τῶν ὄντων.] Σημείωσαι, ὅτι οὐδὲν τῶν ὄντων ἐστέρηται τῆς τοῦ καλοῦ μετουσίας. Σημειωτέον οὖν, τί νοεῖται ὁ θυμὸς ἐπὶ τῶν ἀλόγων, καὶ τί ἐπὶ τῶν λογικῶν, καὶ τί ἐπιθυμία ἑκατέρων.

Λογιότητα.] Σημειωτέον, ὅτι καὶ ἐπὶ Ἀγγέλων λογιότητα λέγει, ἀμείλικτον δέ, ἤτοι ἀνένδοτον καὶ ἀχαύνωτον.

Ἐπιθυμίαν.] Ὅτι ἡ ἐπιθυμία τῶν νοητῶν, ἔρως ἄσχετός ἐστι περὶ τὸν Θεόν, ὅπερ καλεῖ ἀϋλίαν.

Διὰ τὸ ἀμιγῆ.] Ἀμιγῆ φησι τὸ καθαρὸν καὶ εἰς οὐδὲν ἕτερον ἐσχολακότα· ὁ γὰρ θείῳ ἔρωτι περιδεδεμένος, ὅλος ἐστὶν αὐτοῦ, καὶ εἰς τὸ ἐφετὸν μόνον ἀνατείνεται, παρὰ μηδενὸς κωλυόμενος μεταβατικοῦ καὶ σωματικοῦ λόγου. Ἀλογίαν δὲ φάσκοντες εἶναι ἐν ταῖς ἀσωμάτοις οὐσίαις, οὐκ ἀνοητίαν αὐταῖς ἐνυβρίζομεν ἐν τῷ διὰ τῶν λεοντείων μορφῶν, καὶ τῶν μοσχείων καὶ τῶν ὀρνιθείων, ὡς ἐπὶ τοῦ ἀετοῦ, ἀλόγων τύπους καὶ σύμβολα λέγειν, πρέπειν τοῖς οὐρανίοις τάγμασιν· ἀλλὰ μυστικῶς τὸ ἐξηλλαγμένον τοῦ κατ' ἐκείνους λογικοῦ πρὸς τὸ καθ' ἡμᾶς σημαινόμενον. Ἡμεῖς γὰρ τὸ λογικὸν παριστῶμεν διὰ τοῦ τῆς γλώττης ὀργανικοῦ, καὶ τῶν φωνητικῶν τύπων, τύπτοντες τὸν ἀέρα τῷ διαλεκτικῷ, καὶ τοῦ λόγου μεταβαίνοντος ἐξ ἡμῶν εἰς τὰς τῶν ἀκροωμένων ἀκοὰς ἐκ σώματος εἰς σῶμα, καθά φησι καὶ ὁ θεῖος Βασίλειος ἐν τῷ περὶ τοῦ Πρόσεχε σεαυτῷ, λόγῳ. Ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἐν ἀσωματίᾳ τυγχάνοντες, καὶ εἰς ἀλλήλους χωροῦντες καὶ ἀποχωροῦντες, παντὸς λόγου τρανότερον τὰς ἀλλήλων νοήσεις κατοπτεύοντες, ἀλλήλοις ὥσπερ διαλέγονται, διὰ σιγῆς τοῦ λόγου μεταδιδόντες ἀλλήλοις.

Ἀπόκλισιν.] Ἀντὶ τοῦ, ἀπόνευσιν.

Μεταβατικοῦ.] Μεταβατικὸς ὁ ἡμέτερος λόγος, ὁ προφορικός, ὡς ἀπὸ τοῦ λέγοντος διαβαίνων πρὸς τὸν ἀκούοντα. Σωματικοῦ δέ, πρὸς ἀντιδιαστολὴν τοῦ ἐνδιαθέτου· οὗτος γὰρ οὔτε σωματικός, οὔτε μεταβατικός.

Ὕλης.] Ἀτιμοτάτην ὕλην φησὶ τὴν σωμα-

§. 4.

SIQVIDEM AFFECTVS IRÆ.] Quia non ſimpliciter irrationalitate plenus eſt iraſcibilis ille motus, ſed in naturâ irrationali. Legendum eſt poſtremum huius Libri caput, vbi agit de viſione ſanctorum Cherubim; ibi enim etiam hæc omnia fuſiùs explanata ſunt.

NIHIL EORVM QVÆ EXISTVNT.] Nota, nihil eorum quæ exiſtunt, boni eſſe participatione priuatum. Obſeruandum itaque, quid intelligatur ira in irrationalibus, & quid in rationalibus, & quid vtrorumque concupiſcētia.

RATIONEM.] Notandum, quòd etiam in Angelis rationem dicat, ſed ineneruatam, ſiue irremiſſam & impigram.

CONCVPISCENTIAM.] Quia concupiſcentia intellectilis eſt amor impotens in Deum, quem vocat immaterialitatem.

Quomodo ſymbola de rebus ſpiritalibus intelligenda ſint.

PROPTER IMPERMIXTVM.] Impermixtum vocat purum, & ad nihil aliud intētum: nam qui diuino amore colligatus eſt, totus eſt ipſius, & in id quod ſolum deſiderabile eſt intendit, nullâ tranſitoriâ ſeu corporeâ ratione præpeditus. Quando autem dicimus, in ſubſtantiis incorporeis eſſe irrationalitatem, nequaquam ipſis contumelioſè affingimus mentis priuationem, quam dicamus per leoninas, & vitulinas auicularesque formas, vt aquilæ brutorumque typos ac ſymbola, cęleſtibus ordinibus conuenire; ſed myſticè diuerſitatem inter illorum & noſtram rationalitatem deſignamus. Quoniam nos inſtrumento linguæ ac vocalibus figuris rationem prodimus prolocutione aërem verberantes, dum à nobis ad aures audientium & è corpore ad corpus ſermo tranſit; vti diuus quoque Baſilius docet in Oratione *Attende tibi ipſi*. Illic autem non ſic, ſed extra corpus exiſtentes, & ad inuicem accedentes ac recedentes, omni ſermone clariùs mutuas cogitationes intuentes, ſibi mutuo quodammodò loquuntur, dum per ſilentium ſibi inuicem communicant ſermonem.

PROPENSIONEM.] Id eſt inclinationem.

TRANSITORII.] Sermo noſter qui profertur, tranſitorius eſt, vt qui à loquente tranſeat ad audientem. Corporeum verò [vocat] ad differentiam [ſermonis] interni: hic enim neque corporeus, neque tranſitorius exiſtit.

MATERIÆ.] Viliſſimam materiā vocat natu-

Materiam etiam habere vestigium diuinitatis.

ram omnem corpore insignitam, in varias à Deo animatas, & inanimes ceterasque species distributam: intelligibilem verò decorem, dicit ea quæ de Deo dicuntur, quorum mediocres & obscuras quasdam imagines in rebus reperimus; quale est, simpliciter esse, viuere, sentire, & similia. Materiam quidem omnem etiam à Deo existentiam habere, nulla sana ratio negabit: quin & ipsamet in se gerit argumenta suæ à Deo productionis, atque exornationis. Quare omnis descriptio materialis, obscuras quasdam & vmbrosas rerum intelligibilium notas habet. Quemadmodum enim res intellectiles idoneæ sunt ad prouidas Dei emanationes, quantum fas est, suscipiendas; & quoniam vita sunt, à Deo, qui supra vitam est, viuificantur, & virtutes quasdam ad rectè agendum efficaces, motumque quemdam supermundialem habent: sic omnes quoque res materiales, cùm simul tum seorsum, quamdam habent capacitatem ad diuinam prouidentiam modo sibi proprio suscipiendam, atque viuificari ac vita esse possunt, iuxta illud: *Producat terra animam viuentem*. & rursum: *Producant aquæ reptilia animarum viuentium*. Quin & virtutes beneficas terrestribus exhalant, vti declarant cōmoda quæ ex herbis & metallis hauriuntur. Habent quoque res materiales motum quemdam mutuum, in generationem ac corruptionem promanantem, & ordinem à Deo impositum atque imponendum suscipiunt: quin & virtutum quoque spiritalium præsentiâ illuminari solent, vti contigit in resurrectione Domini, Angelo coruscante, & quæ circumposita erant illustrante. Hæc autem habet materia passiua, non eo tamen modo quo res intellectiles operantes: quocircà hæc habere dicitur secundùm extremam quamdam resonantiam. Quid porrò sit extremus iste sibilus seu resonantia, capite quarto libri de Diuinis nominibus declarabo.

Gen. 1,24. Ibid. 20.

ET EASDEM.] Nota, quòd non omnem materiam dicat esse intellectualem. Sanè & astra sunt inanima, intellectu namq; carent. Quamuis eadem sint nomina, inquit, non tamen eodem modo accipiuntur; sed secundùm naturalem subiecti proprietatem & definiuntur & intelliguntur.

§. 5. Quæ symbola vocet pretiosa, quæ media, quæ infima.

DEIPRINCIPALIBVS.] Scilicet, de Dei notionibus.

QVÆ APPARENT PRETIOSA.] Nota, quænā vocet pretiosa, vt solem & stellas; & quæ-

τοειδῆ ἅπασαν φύσιν, πρὸς ποικίλα εἴδη, ἔμψυχά τε καὶ ἄψυχα, καὶ λοιπὰ ὑπὸ Θεοῦ διακοσμηθεῖσαν· νοερὰν δὲ εὐπρέπειαν, τὰ περὶ Θεοῦ λεγόμενα, ὧν μετρίας καὶ ἀμυδρὰς εἰκόνας ἐν τοῖς οὖσιν εὑρίσκομεν, οἷον τὸ ἁπλῶς εἶναι, τὸ ζῆν, τὸ αἰσθάνεσθαι, καὶ τὰ ὅμοια. Ὅτι μὲν ἐκ Θεοῦ καὶ ἡ ὕλη πᾶσα τὴν ὕπαρξιν ἔχει, οὐδεὶς σοφὸς ἀντιρεῖ λόγος· φέρει δὲ καὶ αὐτὴ ἐν ἑαυτῇ ἀποδείξεις τοῦ ἐκ Θεοῦ καὶ παρῆχθαι καὶ διακεκοσμῆσθαι. Πᾶσα γοῦν ἡ ἐξ ὕλης διακόσμησις, ἀμυδρά τινα καὶ σκιώδη ἀπηχήματα τῶν νοερῶν ἔχει. Ὥσπερ γὰρ ἐπιτήδεια τὰ νοερὰ εἰς ὑποδοχήν, ὡς ἐφικτόν, τῶν ἐκ Θεοῦ προνοητικῶν προόδων, καὶ ζωὴ ὄντα, ζωοῦνται παρὰ τοῦ ὑπὲρ πᾶσαν ζωὴν Θεοῦ, καὶ δυνάμεις ἔχουσιν εἰς εὐεργεσίαν ἐνεργητικάς, καὶ κίνησίν τινα ὑπερκόσμιον· οὕτως καὶ τὰ ὑλαῖα πάντα, ὁμοῦ τε καὶ κατὰ μέρος, τήν τε πρόνοιαν τοῦ Θεοῦ οἰκείως ἑαυτοῖς δέχεσθαι ἐπιτηδείως ἔχουσιν, καὶ ζωοῦσθαι, καὶ ζωὴ γίνεσθαι δύνανται, ὡς τό, Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. καὶ αὖθις· Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν. Ἀλλὰ καὶ δυνάμεις εὐεργετικὰς τοῖς ἀπὸ γῆς πνέουσιν, ὡς δηλοῦσιν αἵ τε διὰ βοτανῶν καὶ τῶν μεταλλικῶν ὠφέλειαι. Καὶ κίνησιν δὲ κατάλληλον τὰ ὑλαῖα ἔχει τὴν εἰς γένεσιν προϊοῦσαν καὶ φθοράν, καὶ τάξιν δέχεται τὴν παρὰ τοῦ Θεοῦ ἐπιτεθεῖσάν τε καὶ ἐπιτεθεισομένην· ἀλλὰ καὶ φωτίζεσθαι πέφυκε παρουσίᾳ νοερῶν δυνάμεων, ὡς ἐπὶ τοῦ κατὰ τὴν ἀνάστασιν τοῦ Κυρίου ἀστράπτοντος Ἀγγέλου, καὶ φωτίζοντος τὸ περιέχον. Ἔχει δὲ ταῦτα ἡ ὕλη πάσχουσα, οὐ μὴν ὡς τὰ νοερὰ ἐνεργοῦντα· διὸ κατ' ἔσχατον ἀπήχημα λέγεται ταῦτα ἔχειν. Τί δέ ἐστιν ἀπήχημα ἔσχατον, ἐν τῷ περὶ Θείων ὀνομάτων λόγῳ σαφηνίσωμεν κεφα. δ.

Καὶ τῶν αὐτῶν.] Σημείωσαι, ὡς πᾶσαν τὴν ὕλην οὐ φησὶ νοεράν. Οὐκοῦν καὶ οἱ ἀστέρες ἄψυχοι, οὐ γὰρ ἔχουσι νοῦν. Εἰ καὶ τὰ αὐτὰ ὀνόματα, φησίν, ἀλλ' οὐχ ὁμοίως λαμβάνονται· πρὸς τὴν φυσικὴν δὲ ἰδιότητα τοῦ ὑποκειμένου, καὶ ὁρίζονται καὶ νοοῦνται.

Θεαρχικαῖς.] Τουτέστι, τοῖς περὶ Θεοῦ νοήμασι.

Τῶν φαινομένων τιμίων.] Σημείωσαι, τίνα καλεῖ τίμια, ὡς ἥλιον καὶ τοὺς ἀστέρας. καὶ τίνα

μέσα,

μέσα, πῦρ καὶ ὕδωρ· καὶ τίνα ἔσχατα, ὡς μύρον· καὶ τίνα ἄτιμα, ὡς θηρία καὶ σκώληκας· καὶ ὅτι ἐπὶ Θεοῦ καὶ τὰ θηριώδη σύμβολα εἴρηται, καὶ τὰ ἐξ ὕλης, καὶ τὰ τίμια δὲ, καὶ τὰ μέσα, καὶ τὰ ἄτιμα.

Ἥλιον.] Ἥλιον δικαιοσύνης Μαλαχίας ὁ Προφήτης ὀνομάζει· ὁ δὲ θεῖος Πέτρος ἐν τῇ Καθολικῇ αὐτοῦ ἐπιστολῇ, Ἕως οὗ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν, καὶ τὰ ἑξῆς· οὗτος γάρ ἐστιν ὁ ἑῷος ἀστήρ. Ὁ δὲ Μωϋσῆς, Ἐν τῇ βάτῳ πῦρ, φησὶν, οὐ κατακαῖον, ὅ ἐστιν ἀβλαβῶς φωτίζον. Ὁ δὲ Ἱερεμίας ὕδωρ λέγει, Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος· καὶ ἄλλοι δὲ ἄλλα. Καὶ ὁ Κύριος· Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Ὁ δὲ Σολομῶν ἐν τῷ Ἄσματι τῶν ἀσμάτων, μύρον φησί· Μύρον ἐκκενωθὲν, ὄνομά σου. Ἐν δὲ τοῖς δώδεκα Προφήταις Ὠσηὲ καὶ Μιχαίας, τὰ εἰρημένα ὧδε θηρία καταλέγουσιν ἐν τοῖς περὶ Θεοῦ προφητευομένοις. Ὁ δὲ Δαβὶδ σκώληκα αὐτὸν λέγει, Ἐγώ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ἐκ προσώπου τοῦ Κυρίου. Ἢ σκώληκι αὐτὸν παρείκασεν, ὡς μὴ ἀπὸ σπέρματος γεννηθέντα, ὡς ἡμεῖς, ἀλλὰ σπέρματος χωρὶς, ὡς οἱ σκώληκες, οἵτινες οὐκ ἀπὸ σπέρματος τίκτονται, ἀλλ' ἀπὸ γῆς, ἢ ἀπὸ σήψεως. Τὸ γὰρ, Ἐγώ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὡς ἐκ προσώπου τοῦ σαρκωθέντος Θεοῦ λέγεται, εἰ καὶ μὴ κατὰ τὴν Θεότητα λαμβανόμενον, ἀλλὰ κατὰ τὸ φαινόμενον ταπεινὸν τῆς σαρκός.

Ἀγαλμάτων.] Τίνα δηλοῦται ἐναποκείμενα ἀγάλματα, τοῖς λεγομένοις ἐν τῷ περὶ Θείων ὀνομάτων λόγῳ ἐν τῇ ἀρχῇ τοῦ θ κεφαλαίου δεδήλωται.

Ἀπηχημάτων.] Ἔσχατα τῶν τοῦ Θεοῦ ἀπηχημάτων ἐν δημιουργίᾳ φησὶν, ἃ προεῖπεν ἀτιμότερα τῶν ὑλαίων διακοσμήσεων. Πῶς δὲ ταῦτα λέγονται ἔσχατον ἀπήχημα, ἐν τῷ περὶ Θείων ὀνομάτων λόγῳ κεφαλαίῳ δ λεχθήσεται ἡμῖν πλατύτερον.

Εἰ μὴ τὸ δυσειδές.] Τὸ δυσειδὲς, τὸ θηριόμορφον νόησον καὶ κτηνῶδες, ὃ περὶ τῶν Ἀγγέλων φησὶν ἡ Γραφή. Τὸ δὲ, Ἐκφαντικῆς, σημαίνει τῆς φανεροποιοῦ, ἤγουν τῆς ἐκφαινούσης.

Ἀγγελοειδεῖς.] Καλῶς τὰς τυπικὰς εἰκονογραφίας, ἃς καὶ προεῖπεν, οὐκ Ἀγγελικὰς, ἀλλ' Ἀγγελοειδεῖς ὠνόμασεν· οὐ γὰρ αὐτῶν τῶν Ἀγγέλων, ὡς εἰσὶν, αἱ εἰκόνες ἐγράφησαν, ἀλλ' ἔμφασίν τινα εἰδοποιΐας ἀσωμάτων ὑπεμφαίνουσιν, ὡς ἐξηγήσατο αὐτὸς ἑαυτόν.

nam media, vt ignem & aquam; & quænam extrema, vt vnguentum; & quænam vilia, vt feras & vermes: & quoniam de Deo etiam cùm ferina, tum materialia, & pretiosa quoque & media, & vilia symbola prolata sint.

SOLEM.] *Solem iustitiæ* vocat Malachias Propheta: at D. Petrus in Epistolâ suâ Catholicâ, *Donec*, inquit, *Lucifer oriatur in cordibus vestris*, & quæ sequuntur. ipse enim est *stella matutina*. Moyses verò, Ignis, inquit, in rubo *non comburens*, id est sine damno illuminans. Ieremias verò aquam dicit: *Me dereliquerunt fontem aquæ viuæ*. & alij alia. Et Dominus: *Flumina de ventre eius fluent aquæ viuæ*. Salomon autem in Cantico canticorum vnguentum ait: Vnguentum *effusum nomen tuum*. In duodecim verò Prophetis Osee & Michæas, feras hîc dictas recensent in iis quæ de Deo prædicantur. Dauid autem ex personâ Domini ipsum vermem dicit: *Ego sum vermis, & non homo*. Vel ipsum vermi comparauit, quòd non, vti nos, ex semine genitus sit, sed sine semine, sicut vermes qui non ex semine generantur, sed ex terrâ vel putredine. Illud enim, Ego sum vermis & non homo, tamquam ex Dei incarnati personâ dicitur, etsi non secundùm Diuinitatem accipiatur, sed secundùm apparentem carnis humilitatem.

Malach. 4, 2. 2. Pet. 1, 19. Exod. 3, 2. Ierem. 2, 13 Ioan. 7, 38. Cant. 1, 2. Psal. 21, 7.

SIMVLACRORVM.] Quænam significentur recondita simulacra, declaratum est in libro de Diuinis nominibus, in principio capitis noni.

VESTIGIORVM.] Extrema Dei vestigiorum in creatione dicit illa, quæ anteà dixit vilissima materialium descriptionum. Quomodo autem hæc dicantur extremum vestigium, fusiùs à nobis dicetur in libro de Diuinis nominibus cap. 4.

Quid vocet extremum vestigium Dei.

NISI DEFORMITAS.] Deformitatem intellige, ferinam & pecuinam formam, quam Scripturæ Angelis attribuunt. Vox autem *explanatoriæ*, idem est ac manifestum facientis seu demonstrantis.

Quid vocet deforme.

ANGELIFORMES.] Pulchrè typicas effigiationes quas prædixit, non Angelicas, sed Angeliformes nominauit: non enim ipsorummet Angelorum, prout existunt, imagines descriptæ sunt, sed tacitè fictitiam quamdam rerum incorporearum efformationem insinuant, vt ipse seipsum explicauit.

Quid Angeliforme.

DEFI-

DEFINIENDVM.] Græcè ἀφορίσασθαι solet dicere de ijs quæ distinctè definiuntur & explanantur.

ARBITREMVR.] Subaudiendum est illud arbitremur: vt sit sensus, Quid arbitremur Hierarchiam esse; & quid commodi Hierarchas arbitremur ex sacris cærimonijs accipere.

Timotheũ cur vocet filium. TV VERÒ, FILI.] Quærendum hîc, quomodo Magnus Dionysius diuinum Timotheum filium vocet. Vel enim, vt arbitror, hoc ait, tamquam ipso annis prouectior, & in Philosophiâ præstantior, ita vt ab eo fuerit interrogatus, quemadmodum hi libri qui in manibus sunt, declarant. Etsi enim S. Timotheus ante D. Dionysium crediderit, vti sanctorum Apostolorum Acta declarāt, tamen Magnus Dionysius in profanâ eruditione præstabat. Vel filium ipsum vocat, tamquam imitando Dominum dicentem: *Pueri, numquid pulmentarium habetis?* (Ioan. 21, 5.) Vel quoniā eos qui secundùm Deum innocentiam sectantur, pueros appellabant, sicut & Papias declarat libro primo Dominicarum expositionum, & Clemens Alexandrinus in Pædagogo.

MVLTITVDINE.] Multitudini opposuit hîc vniformia: quæ enim sancta sunt, vnificāt; profana verò, & quæ peccati sunt, in multa per diuisionem multiplicantur. Multitudinem igitur hîc vocat, idem quod profanum.

Ἀφορίσασθαι.] Τὸ, Ἀφορίσασθαι, εἴωθε λέγειν ἐπὶ τῶν διακεκριμένως ὁριζομένων καὶ διασαφουμένων.

Οἰόμεθα.] Κατὰ κοινοῦ, τὸ Οἰόμεθα· ἵνα εἴη, Οἰόμεθα ἱεραρχίαν εἶναι, καὶ τίνα οἰόμεθα ὀνίνασθαι τοὺς Ἱεράρχας διὰ τῶν ἱερῶν τελετῶν.

Σὺ δὲ, ὦ παῖ.] Πῶς παῖδα καλεῖ τὸν θεῖον Τιμόθεον ὁ μέγας Διονύσιος ζητητέον. Ἢ γὰρ, ὡς οἶμαι, ἅτε προβεβηκὼς αὐτὸν τοῖς ἔτεσι, τοῦτό φησι, καὶ τῇ φιλοσοφίᾳ προέχων, ὡς καὶ πεερωτᾶσθαι παρ' αὐτοῦ, καθὰ δηλοῖ τὰ μετὰ χεῖρας συγγράμματα. Κἂν γὰρ πρὸ τοῦ θείου Διονυσίου ἐπίστευσεν ὁ ἅγιος Τιμόθεος, ὡς αἱ Πράξεις τῶν ἁγίων Ἀποστόλων δηλοῦσιν, ἀλλ' οὖν τὴν ἔξω παιδείαν ἱκανώτερος ἦν ὁ μέγας Διονύσιος. Ἢ παῖδα καλεῖ αὐτὸν, ὡς μιμούμενος τὸν Κύριον λέγοντα, Παιδία, μή τι προσφάγιον ἔχετε; Ἢ ἐπειδὴ τοὺς κατὰ Θεὸν ἀκακίαν ἀσκοῦντας, παῖδας ἐκάλουν, ὡς καὶ Παπίας δηλοῖ βιβλίῳ πρώτῳ τῶν Κυριακῶν ἐξηγήσεων, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τῷ Παιδαγωγῷ.

Πληθύος.] Πρὸς τὸ Πληθύος, τὸ Ἑνοειδῆ ἐπήγαγε· τὰ μὲν γὰρ ἅγια, ἑνοποιεῖ· τὰ δὲ βέβηλα, καὶ τῆς ἁμαρτίας ὄντα, εἰς πολλὰ διὰ τῆς διαιρέσεως πληθύνει. Τοῦτο γοῦν νῦν καλεῖ πλῆθος, τὸ οἱονεὶ βέβηλον.

PARAPHRASIS PACHYMERÆ.

§. 1. *Modestia S. Dionysij in loquendo.*



XPEDIT vtique, meo iudicio, (dubitanter accipiens, propter securitatem, vel etiam affirmanter, verbum οἶμαι, secundùm Veteres) primùm exponere, quem vniuersæ tam terrestris quàm cælestis Hierarchiæ scopum arbitremur; (*arbitremur* autem dixit, pro suâ philosophicâ vel potiùs Deo-amicâ modestiâ) quidve prosit quælibet Hierarchiarum (siue cælestem dixeris, siue nostram) suis initiatoribus initiatísve: deinde verò dicendum de cælestibus Hierarchijs, iuxta illam, quam de ijs in sacris Litteris habemus manifestationem atque explanationem. De illis autem loquens, vtitur verbo ὑμνῆσαι: quia de re bonâ loqui, hymnus siue laus boni est; sicut de re prauâ verba facere, vituperium est mali. De Angelicis itaque diuinisque virtutibus verba facere, idem est atque eas laudare.



ΡΕΠΕΙ τοιγαροῦν, ὡς ὑπολαμβάνω (διστακτικῶς διὰ ἀσφάλειαν, ἢ καὶ βεβαιωτικῶς, τὸ οἶμαι, κατὰ τοὺς παλαιοὺς) πρῶτον ἐκθέσθαι, τίνα μὲν τὸν τῆς ἁπάσης καὶ γηΐνης καὶ οὐρανίου Ἱεραρχίας σκοπὸν οἰόμεθα· (οἰόμεθα δὲ εἶπε, κατὰ φιλόσοφον ἢ φιλόθεον μᾶλλον μετριασμόν·) καὶ τί ὠφελεῖ ἑκάστη τῶν Ἱεραρχιῶν, κἂν τὴν οὐρανίαν εἴπῃς, κἂν τὴν καθ' ἡμᾶς, τοὺς τελεστὰς αὐτῆς· καθεξῆς δὴ εἰπεῖν περὶ τῶν οὐρανίων Ἱεραρχιῶν, κατὰ τὴν αὐτῶν ἐκφαντορίαν καὶ δήλωσιν τὴν ἐν ταῖς ἁγίαις Γραφαῖς. Τὸ γοῦν εἰπεῖν περὶ τούτων, ὑμνῆσαι λέγει· ὅτι τὸ περὶ καλοῦ εἰπεῖν, ὕμνος καλοῦ ἐστίν· ὥσπερ τὸ περὶ κακοῦ λέγειν, ψόγος κακοῦ ἐστί. Ταὐτὸ γοῦν, τὸ εἰπεῖν καὶ ὑμνῆσαι περὶ τῶν Ἀγγελικῶν καὶ θείων δυνάμεων.

Μετέπει-

PARAPHRASIS PACHYMERÆ.

Μετέπειτα δὲ χρὴ εἰπεῖν, ὁποίαις εἰκόσιν αἱ ἱεραὶ Γραφαὶ τὰς οὐρανίας διακοσμήσεις σχηματίζουσι, καὶ πρὸς ποίαν ἁπλότητα διὰ τῶν πλασμάτων τούτων δὴ τῶν συνθέτων ἀναγόμεθα· οἷον, λέγομεν τυχὸν ἀετὸν, σύνθετόν τι λέγομεν· νοοῦμεν τὸ ὀξυδερκὲς καὶ ὑπερῃρημένον, πρὸς ἁπλότητα ἀναγόμεθα. Ὅτε γὰρ λέγοι τις, ἵνα νοήσωμεν, πάντως λόγους συντίθησιν· ὅτε δὲ τὸ ῥηθὲν νοηθείη, ἁπλοϊκὴ κατὰ τὸν νοῦν ἡ ἔννοια γίνεται· καὶ μᾶλλον, ὅτε ἁπλᾶ εἰσι καὶ ἀσχημάτιστα τὰ περὶ ὧν λέγομεν. Εἰ γὰρ καὶ ἐπὶ τῶν αἰσθητῶν οὕτως νοοῦμεν κατὰ ἁπλῆν τινα ἐπιβολὴν, πόσῳ γε μᾶλλον ἐπὶ τῶν νοητῶν; διὰ τί δὲ ζητοῦμεν, ὅπως πρὸς ἁπλότητα ἀναχθείημεν; ἵνα μὴ πάθωμεν καὶ ἡμεῖς ταὐτὸν τοῖς πολλοῖς ἀνιέρως νοοῦσι τὰ ἱερὰ, ὥστε πολύποδας καὶ πολυπροσώπους ὑπολαμβάνειν, καὶ κατὰ κτήνη καὶ θηρία τετυπωμένας τὰς οὐρανίας δυνάμεις, ἢ καὶ ἀετῶν εἶδος ἐχούσας, ἢ καὶ πτηνῶν πτεροφυΐαν, καθὼς ἐν τῷ Ἰεζεκιὴλ εὕρηται· καὶ τροχοὺς πυρώδεις ὑπερουρανίους φαντάζεσθαι, καὶ θρόνους πρὸς ἀνάκλισιν ἐπιτηδείους, καὶ ἵππους, καὶ δορυφόρους, καὶ ὅσα ἄλλα παρὰ τῶν ἱερῶν Προφητῶν διά τινων ποικίλων παραδέδονται. Καὶ γὰρ ἐπιτηδείως ἡ θεολογία τοῖς τοιούτοις ἱεροῖς σχηματισμοῖς ἐπὶ τῶν ἀσχηματίστων ἐχρήσατο, ἅμα μὲν, τὴν δύναμιν τοῦ ἡμετέρου νοὸς σκεψαμένη, ἅμα δὲ καὶ τοῦ οἰκείου καὶ συμφυοῦς τῆς ἀναγωγῆς προνοήσασα. Ἐν ὅσῳ γὰρ λέγει τυχὸν ἀετὸν, δύο κατασκευάζει τὰ μέγιστα, καὶ ἡμῖν τοῖς συνήθεσι γνωρίζει τὰ πράγματα, καὶ τούτοις φυλάττει τὸ συμφυές· τὸ γὰρ ὀξυδερκὲς καὶ ταχύτατον καὶ οἷον ὑπερῃρημένον τῶν οὐρανίων δυνάμεων παρεδήλωσε· καὶ ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως.

Ἐντεῦθεν κατασκευάζει, πῶς χρὴ καὶ διὰ τῶν ἀνομοίων καὶ χθαμαλῶν ἐκφαίνεσθαι τὰ οὐράνια, καί φησιν· Εἰ δέ τινι δοκεῖ ἀποδέχεσθαι μὲν τὰς ἱερογραφικὰς συνθέσεις καὶ τὰ πλάσματα, ὡς μὴ ἄλλως ἐνὸν, εἰ μὴ οὕτως τὰ ἁπλᾶ καὶ ἐφ' ἑαυτῶν μένοντα, καὶ ἄγνωστα καὶ ἀθεώρητα ὑπάρχοντα, γινώσκεσθαι· ἀτόπους δὲ οἴεται τὰς τοιαύτας συνθέσεις, καὶ πᾶσαν τὴν ἀπότομον ταύτην τῶν Ἀγγελικῶν ὀνομάτων σκηνήν. Ὡς γὰρ ἐν τῇ σκηνῇ ἄλλοι μέν εἰσιν οἱ παρόντες, ἑτέρους δὲ ὑποκρίνονται· οὕτω καὶ ἐνταῦθα ἄλλα μέν εἰσι τὰ ὑποκείμενα, καὶ ἀλλοτρόπως λέγονται. Καὶ πρέπειν φησὶν ἐκεῖνος τοὺς Θεολόγους, βουλομένους τὰ

Quæsit intellectio simplex, qua composita.

Adhæc dicendum, quibus formis sacræ Scripturæ cælestes ordines figurant; & ad qualem simplicitatem per eas formas quæ effinguntur, reuocemur: v. g. nominamus fortè aquilam, compositum aliquod dicimus, mente verò per visus acumen & excellentiã ad simplicitatem adducimur. Quando enim quis loquitur, vt intelligamus, omnino sermones adhibet: cùm autem id quod dicitur intellectum fuerit, simplex in mente cognitio existit; maximè si simplicia formæque expertia sint, de quibus loquimur. Si enim res sensiles ita per simplicem aliquem conceptum intelligimus, quantò magis res spiritales? Quare porrò quærimus, vt ad simplicitatem adducamur? vt non accidat nobis, quòd vulgo res sacras profano modo intelligenti; nec putemus, cælestes illas virtutes multos pedes & multas facies habere, & ad pecudum ferarúmve formas efformatas, vel aquilarum speciem pręse ferre, aut volucrum plumescentiam, quemadmodum in Ezechiele reperitur; & ne cogitemus, rotas quasdam igneas supra cælum, & sellas ad sedendum accommodatas, atque equos ac satellites, & quæcumq; alia à Prophetis sacris varijs symbolis sunt tradita. Etenim vtiliter Theologia similes sacras formas rebus figuræ expertibus adhibuit; partim quidẽ, vt intelligendi virium nostrarum haberet rationem; partim verò, vt propriam nobis & connaturalem ad superna penetrandi viam præpararet. In quãtum enim aquilam v.g. nominat, duo nobis maxima pręstat: siquidem nobis ex assuetis res ipsas declarat, ijsque, quod connaturale est, seruat: nam & cernendi acumen ac celeritatem, adeoque pręcellentiam virtutum cælestium declarauit. atque in alijs similiter.

§. 2. *Quomodo symbola sint explicanda.*

Hinc concludit, quomodo oporteat per res dissimiles ac terrenas cælestes explicare, aitque: Quòd si cui videantur sacræ quidem fictiones compositionesque approbandæ, quasi non alio quàm hoc modo, ita quæ in se permanent, & incognita atque inaspectabilia existunt, cognosci queant; absurdus autem existimet eiuscemodi cõpositiones, vti & omnem illam rudem Angelicorum nominum adumbrationem siue scenam. Siquidem vt in scenâ alij sunt qui adsunt, aliorum verò personas referunt; ita & hîc alia sunt proposita, sed alio modo quàm existant, referuntur. Ac decere quidem ille ait Theologos, cùm ea quæ figu-

Obiectio contra symbola.

râ carent exprimere volunt, propriis illa cognatisque formis efformare, ex iis rebus quæ apud nos pretiosissimæ sunt, minusque materiales, v.g. humanis & non irrationalium atq; inanimatarum rerum figuris; neque materiales multiformitates supremis illis maximeq; simplicibus rebus affingendas. Hoc enim si fecissent, duo bona præstitissent; cùm nos ad præstantiorem sublimioremq; cogitationem erexissent, tum ista supermundialia non ita deiecissent & inhonorassent. Iam verò illa sic alienis omnino figuris describendo, duas res pessimas committunt; tum quòd res diuinas cõtumeliosè tractent; tum quòd intellectum nostrum in errorem inducant, sacrilegisq; compositionibus cogat inhęrere. Et fortassis etiam aliquis suspicabitur, res cælestes eiuscemodi existere, vt & leones sint & equi, boumq; more laudes mugiant; atque ibidem turmarum prefecturæ, & auiculares principatus existant, aliaque animalia, materiæve aliæ viliores, & quæcumque alia, ad absurda, peregrina, passionesq; vergentia, dissimiles eiusmodi ac peregrinæ imagines cogitationibus obiiciunt. Etsi quis hæc obiecerit, & indignetur; veritatis tamen indagatio, nostraque interpretatio atque explicatio in similibus efformationibus reperit, vtrique parti sapientiam prouidisse, tam nobis, inquam, auditoribus, quàm illis de quibus sermo instituitur: vt neq; ipsis iniuria fiat, neque nos eiuscemodi formis abiectis tenaciùs adhæreamus. Quænam autem vilior illa sit materia, quídve illud absurdum ac peregrinũ, & passionibus implexum, ait Ezechiel, à se visam narrans throni similitudinẽ, & quasi similitudinem leonis. Thronus vtique vilior materia leone, quoniam ille animâ caret, leo verò viuit: peregrinum autem illud & absurdum passionibusque implexum est, quoniam leonis forma vim irascendi significat; vituliq; species, vim concupiscendi; quæ passiones & quidem vehementes sunt. Non oportet itaque illa patibili modo accipere. Ac primùm quidem ostendunt, Dei sapientiam vtrisque, tam nobis scilicet quàm virtutibus cælestibus, hac ratione consuluisse: nobis, inquam, quoniam aliter ista discere non poteramus; illis verò, quippe mysticis, conueniebat sic occultè & non aliter explicari. Adhæc probat, quomodo rebus ipsis dissimilitudo illa & inæqualitas effigierum minimè officiat.

Responsio pro iisdem.

ἀνεικόνιστα εἰκονίσαι, οἰκείοις καὶ συγγενέσιν ἐκφαίνειν σχηματισμοῖς, ἐκ τῶν παρ' ἡμῖν τιμιωτάτων καὶ ἀΰλων πως, δηλονότι ἐκ τῶν ἀνθρωπίνων, καὶ μὴ ἐξ ἀλόγων ἢ καὶ ἀψύχων· καὶ μὴ περιτιθέναι πολυμορφίας ἐνύλους ταῖς ὑπερκειμέναις ἁπλότησιν. Οὕτω γὰρ ἂν εἴπερ ἐποίησαν, δύο ἔμελλον ποιῆσαι τὰ ἀγαθά, καὶ ἡμᾶς ἀνάγειν πρὸς κρείττονα καὶ ὑψηλοτέραν ἔννοιαν, καὶ τὰ ὑπερκόσμια μὴ κατάγειν καὶ ἀτιμοῦν· τῷ γὰρ οὕτως εἰκονογραφεῖν διὰ τῶν ἀλλοτρίων παντάπασι, δύο ποιοῦσι τὰ χείριστα· τό τε εἰς τὰ θεῖα ἐξυβρίζειν, καὶ τὴν ἡμετέραν ἀποπλανᾶν διάνοιαν εἰς τὰς ἀνιέρους συμπλάσεις ἐναπομένουσαν. Καὶ τάχα καὶ τὶς ὑπολήψαιτο, τοιαῦτα τὰ ὑπερουράνια, ὥστε καὶ λέοντας καὶ ἵππους εἶναι, καὶ κατὰ τοὺς βόας μυκᾶσθαι τὴν ὑμνολογίαν, καὶ τὰς ἐκεῖσε ταγματαρχίας, ὀρνιθείας ἀγελαρχίας εἶναι, καὶ ζῷα ἕτερα, καὶ ὕλας ἄλλας ἀτιμοτέρας, καὶ ὅσα ἄλλα πρὸς τὸ ἄτοπον καὶ ξένον καὶ ἐμπαθὲς ἀποπεσοῦσαι αἱ τοιαῦται ἀνόμοιοι ὁμοιότητες, καὶ ξέναι εἰκόνες ποιοῦσι φαντάζεσθαι. Εἰ ταῦτα τὶς λέγει, καὶ διϊσχυρίζεται, ἀλλ' ἡ τῆς ἀληθείας ζήτησις, καὶ ἡ ἡμετέρα ἑρμηνεία τε καὶ ἐξήγησις, ἐν ταῖς τοιαύταις μορφώσεσι τὴν σοφίαν εὑρίσκει προνοησαμένην καὶ τῶν δύο μερῶν, ἡμῶν τε τῶν ἀκουόντων, κἀκείνων περὶ ὧν τοὺς λόγους ποιοῦνται· ὡς μήτε ἐκείνας ἐνυβρίζεσθαι, μήτε μὴν ἡμᾶς ἐμπαθῶς ἐναπομένειν ταῖς τοιαύταις ταπεινότησι. Τί δὲ ἐστὶν ἡ ἀτιμοτέρα ὕλη, καὶ τί τὸ ἄτοπον καὶ ξένον καὶ ἐμπαθές, φησὶν ὁ Ἰεζεκιήλ, ὡς ὁμοίωμα ἑωρακέναι θρόνου, καὶ ὡς ὁμοίωμα λέοντος. Ὁ θρόνος ἀτιμοτέρα ὕλη τοῦ λέοντος, ὅτι αὐτὸς μὲν ἄψυχος, ὁ δὲ λέων ἔμψυχος· ξένον δὲ καὶ ἄτοπον καὶ ἐμπαθές ἐστιν, ὅτι τὸ λεοντόμορφον, θυμικόν τι σημαίνει· καὶ τὸ μόσχειον εἶδος, ἐπιθυμητικόν· ἅτινα πάθη καὶ μεγάλα ὑπάρχουσιν. Οὐ δεῖ γοῦν ἐμπαθῶς ταῦτα νοεῖν. Καὶ πρῶτον μὲν δεικνύουσιν, ὅτι καὶ ἀμφοτέρων προὐνοήσατο ἡ σοφία τοῦ Θεοῦ οὕτω ποιήσασα, καὶ ἡμῶν, καὶ τῶν οὐρανίων ἐκείνων· ἡμῶν μέν, ὅτι ἄλλως οὐκ ἦν μαθεῖν τὰ τοιαῦτα· ἐκείνων δέ, ὅτι, ὡς μυστικά, οὕτως ἀπορρήτως καὶ οὐκ ἄλλως ἔδει ἐκφαίνεσθαι. Μετὰ ταῦτα δὲ δείξει, πῶς οὐ λυμαίνεται τοῖς πράγμασι τὸ ἀπεμφαῖνον καὶ ἀνόμοιον τῶν εἰκασμάτων.

PARAPHRASIS PACHYMERÆ.

Καὶ δή φησιν, ὅτι εἰκότως προτίθενται οἱ τύποι τῶν ἀτυπώτων, καὶ τῶν ἀσχηματίστων τὰ σχήματα· οὐ μόνον διὰ τὸ ἡμέτερον ἀσθενές, μὴ οἵων τε ὄντων ἀμέσως καὶ δίχα τύπων ἐπὶ τὰς νοητὰς θεωρίας ἀνατείνεσθαι, ἀλλὰ διὰ μέσων μορφώσεων συμφυῶν καὶ ἡμῖν οἰκείων, ἃς δὴ καὶ προτιθέασιν αἱ Γραφαὶ ἐκείνων τῶν ὑπερφυῶν θεαμάτων· ἀλλ' ὅτι καὶ τοῦτο ταῖς μυστικαῖς Γραφαῖς πρεπωδέστατον, δι' ἀπορρήτων αἰνιγμάτων τὰ μυστικὰ ἀποκρύπτεσθαι, καὶ ἄβατον τιθέναι τοῖς πολλοῖς τὴν κρυφίαν ἀλήθειαν. Ἔστι γὰρ οὐ πᾶς ἱερός, οὐδὲ πάντων ἡ γνῶσις, καθὼς ὁ Κύριός φησι πρὸς τοὺς Ἀποστόλους· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν.

Εἰ δέ τις δέχοιτο μὲν τὴν τοιαύτην, διὰ τῶν αἰσθητῶν εἰκόνων, τῶν νοητῶν κατάληψιν, αἰτιάσαιτο δὲ μόνον τὰς ἀτόπους εἰκονογραφίας, λέγων εἰς αἰσχύνην εἶναι τὰ οὕτως αἰσχρὰ εἰκονίσματα τοῖς θεοειδέσιν ἀνατιθέναι· ἀρκεῖ εἰπεῖν πρὸς αὐτὸν, ὡς διττός ἐστι τῆς ἐκφαντορίας ὁ τρόπος· ὁ μὲν, ἐκ τῶν ὁμοίων· ὁ δὲ, διὰ τῶν ἀνομοίων μορφωμάτων πλαττόμενος. Καὶ ἴδε πρῶτον ἐπὶ Θεοῦ, τί λέγουσιν αἱ μυστικαὶ τῶν Γραφῶν παραδόσεις· ποτὲ μὲν ἐκ τῶν ὁμοίων, λόγον καὶ νοῦν, κατὰ τὸ, Τίς ἔγνω νοῦν Κυρίου; καὶ οὐσίαν, κατὰ τὸ, Ἐγώ εἰμι ὁ ὤν· τὴν αὐτοσοφίαν, καὶ οὐχ ἁπλῶς λογιότητα, ἀλλ' αὐτολογιότητα ὑμνοῦσαι, τὴν ὄντως ὕπαρξιν οὖσαν καὶ αἰτίαν τῆς τῶν ἄλλων πάντων ὑπάρξεως, καὶ φῶς, καὶ ζωὴν, ὡς τοῖς ἱεροῖς Εὐαγγελίοις· τῶν τοιούτων ἁπάντων ὀνομάτων σεμνοτέρων ὄντων καὶ ὑπερκειμένων τῶν ὑλικῶν, εἰ καὶ οὕτως πάλιν πρὸς τὴν ἀληθινὴν ἐμφέρειαν ἀποδέουσιν· ἔστι γὰρ ὑπὲρ ταῦτα πάντα, ἃ δὴ ἀσυγκρίτως τῆς μακαρίας ἀπολείπονται φύσεως. Ποτὲ δὲ ἐκ τῶν ἀνομοίων ὑμνεῖται τὸ Θεῖον κατὰ ἀπόφασιν, ἀόρατον λεγόμενον, καὶ ἄπειρον, καὶ ἀχώρητον· ἐξ ὧν οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστι σημαίνεται. Ἀπὸ γοῦν τούτων τῶν δύο ἐκφάνσεων, κυριωτέραν τὴν ἐξ ἀνομοίων δείκνυσι. Τὸ μὲν οὖν οὐκ εἶναι ταύτην τι τῶν ὄντων, γινώσκομεν· ἀγνοοῦμεν δὲ τὴν ὑπερούσιον αὐτῆς ἀοριστίαν καὶ ἀνόητον· ἀνόητον δὲ, οὐ κατὰ στέρησιν νοήσεως, ἀλλ' ὅτι νόησιν ταύτης οὐκ ἔστι λαβεῖν· ὥσπερ καὶ τἆλλα, τὸ ἀόρατον καὶ ἄπειρον, οὐ κατὰ

Symbola nobis esse aptiora.

ψεις ἀναλόγως εἰς θεομιμησίαν ἀνάγεται, ἐν τῷ ἐνεργεῖν τὸν φωτισμὸν τοῖς ἔξωθεν. Ἐπεὶ ἡ Ἱεραρχία πρὸς τὸ θεοειδὲς ἀφωμοίωται, φησὶ πῶς τοῦτο γίνεται. Τὸ γοῦν θεοπρεπὲς καὶ Θεῷ πρέπον κάλλος, πάσης ἀφίσταται γηΐνης ἀνομοιότητος· οὐ μετέχει γὰρ πρὸς τὰ ἐν γενέσει· ὅτι ἐκεῖνο μὲν ἁπλοῦν, ταῦτα δὲ ἅπαντα σύνθετα ἐξ στοιχείων, ἢ ἐξ ὕλης, καὶ εἴδους συγκείμενα. Καὶ ὅτι ἐκεῖνο μὲν ἀγαθὸν, καὶ αὐτάγαθον· τοῦ δὲ ἀγαθοῦ πάντ' ἐφίεται, καὶ οὐ τοῦτο ἑτέρου· ἀνελλιπὲς γοῦν τὸ Θεῖον, τὰ δὲ κτίσματα ἐνδεᾶ. Καὶ ὅτι ἐκεῖνο τελεταρχικὸν, οἱονεὶ ἔξαρχον πάσης τελετῆς· τελετὴ δέ ἐστι, πᾶν μυστήριον, ὡς τελειωτικὸν τῆς ψυχῆς· ταῦτα δὲ μὴ μόνον οὐκ ἐξάρχουσι τῆς τοιαύτης τελετῆς, ἀλλὰ καὶ τελούμενά εἰσι. Διὰ τοῦτο τὸ θεῖον κάλλος ἐστὶ μὲν ἀμιγὲς πρὸς ταῦτα, ὁμοιότης γὰρ καὶ ἰσότης καὶ ταυτότης, τὸ ἓν καὶ ἑνοποιόν· ἅτε ἁπλοῦν καὶ ἀμιγὲς καὶ ἀσύνθετον· ἀνόμοιον δὲ καὶ ἄνισον, καὶ ἑτερότης, καὶ μικρὸν, καὶ ἐν μεταβολῇ, τὸ πρόσυλον. Τὸ γοῦν ἓν, ἀμιγές ἐστι πρὸς τὰ πλήθη, οὐ μὴν δὲ οὕτως, ὡς μὴ δι' ἀγαθότητα μεταδοτικὸν εἶναι κατ' ἀξίαν ἑκάστῳ τοῦ οἰκείου φωτός· διὰ τοῦτο γὰρ λέγεται καὶ Θεὸς ἐγγίζων, ὁ κατὰ φύσιν πορρωτάτω ἡμῶν ὤν. Ἔτι δὲ καὶ τελειωτικὸν ἐν τελετῇ θειοτάτῃ τῇ τοῦ Βαπτίσματος, τῇ τῆς ἱερωσύνης, κατὰ τὴν μόρφωσιν τῶν τελουμένων, καὶ ἁρμογὴν τῆς ψυχῆς αὐτῶν ἀπ' ἐμμόνου καὶ διηνεκοῦς ἁγιότητος. Εἰ γὰρ παραλλάττει τὸ μετέχον τοῦ μετεχομένου, οὐκ ἂν ἁρμόσειε πώποτε. Ὅθεν ἀποξεστέον ἐστὶ τὰς σωματικὰς ἐπαναστάσεις, καὶ τὰς τῆς γνώμης ἀνωμαλίας, καὶ εἰς μίαν καταστατέον ἁπλότητα, εἴτουν ἰσότητα, τῷ μέλλοντι προσκαλεῖσθαι Θεῷ. Καὶ τοῦτό ἐστιν ὡς ἐφικτὸν τῆς Ἱεραρχίας τὸ θεομίμητον, ὅτι καὶ αὕτη μεταδίδωσι τοῦ οἰκείου φωτισμοῦ τοῖς θιασώταις αὐτῆς.

Ἐντεῦθεν τὴν τῆς Ἱεραρχίας γνωρίζει ὠφέλειαν καὶ τὸν σκοπὸν, ὅτι ἀφομοίωσίς ἐστι καὶ ἕνωσις πρὸς Θεὸν, αὐτὸν ἔχουσα καθηγεμόνα τῆς ἐπιστήμης καὶ τῆς ἐνεργείας· ἵνα μεταδιδοίη δηλονότι τῶν φωτισμῶν, ὁρῶν δηλονότι ὁ σκοπὸς ὡς εἰς ἀρχέτυπον τὴν θειοτάτην εὐπρέπειαν, καὶ ἀποτυπούμενος

πρὸς

PARAPHRASIS PACHYMERÆ.

πρὸς αὐτὴν, ἀγάλματα θείων ἐμφάσεων ἀπεργαζόμενος, καὶ θείας εἰκόνας, κατὰ τὸ, Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες, καὶ ἀκηλίδωτα ἔσοπτρα ἐκτελῶν τοὺς περὶ τὰ θεῖα ἀναστρεφομένους· τούτους γὰρ λέγει θιασώτας, θίασος γὰρ ὁ χορός. Διὰ τοῦτο γὰρ εἶπεν, ὅτι καὶ τῆς ἐπιστήμης καὶ τῆς ἐνεργείας ἔχει τὸν Θεὸν καθηγεμόνα, ὅτι τὸ πᾶν ἐκεῖθεν, καὶ οὐ τῆς ἡμετέρας ἐστὶν ἀξίας. Ἐπὶ μὲν γὰρ τῶν καθ᾽ ἡμᾶς τεχνῶν καὶ ἐπιστημῶν, οὐκ ἔστι τοῦτο· ἀλλὰ τῶν μὲν ἐπιστημῶν ἔχομεν καθηγεμόνας, τῶν δὲ ἐνεργειῶν οὐδαμῶς, ἀλλ᾽ αὐτὴν τὴν τῆς φύσεως κίνησιν· ἐπὶ δὲ τῆς θείας Ἱεραρχίας, καὶ ἡ ἐπιστήμη, καὶ ἡ ἐνέργεια, ἐκεῖθέν ἐστι. Τὰ γοῦν ἔσοπτρα δέχονται μὲν τοὺς φωτισμοὺς, κατ᾽ ἀνάκλασιν δὲ πρὸς τοὺς ἔξωθεν ἀποπέμπουσιν· οὕτω καὶ ἐπὶ τοῖς θείοις ἐστὶν ἰδεῖν θεσμοῖς· ὁ Ἀρχιερεὺς, παρ᾽ αὐτῆς τῆς Ἱεραρχίας τὸν φωτισμὸν δεχόμενος, τοῖς Πρεσβυτέροις καὶ Διακόνοις μεταδίδωσιν· οὗτοι δὲ πληρωθέντες τῆς λαμπηδόνος, πρὸς τοὺς ἑτέρους αὐτὴν ἀποπάλλουσι· τὸ γὰρ χεῖρον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Οὐ μὴν δὲ θεμιτόν ἐστι παρὰ τὰς ἱερὰς διατάξεις ἐνεργεῖν τοὺς ἱερῶς τελουμένους· οἷον φέρ᾽ εἰπεῖν, Διάκονον προσφέρειν, ἢ Πρεσβύτερον χειροτονεῖν. Ἴδε γὰρ ἐν ταῖς Πράξεσι, πῶς ὁ Φίλιππος οὐ δίδωσι τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ᾽ οὐδὲ ὑπάρχειν ἑτέρως αὐτοῖς τοὺς ἁγιασμοὺς φησὶν, εἰ μὴ κατὰ τὴν ἀρχῆθεν τῶν ἁγίων Ἀποστόλων διάταξιν, εἴπερ τῆς ἱεροπρεποῦς ἀγλαΐας ἐφίενται, εἰς τὸ ἀποτυποῦσθαι κατὰ τὴν τάξιν τῶν οὐρανίων δυνάμεων· κἀκεῖσε γὰρ τὸ πρῶτόν ἐστι καὶ τὸ δεύτερον, καὶ τὸ προσεχὲς πρὸς Θεὸν, καὶ τὸ πόρρω, ὡς τῆς τάξεως συνεχούσης τά τε οὐράνια καὶ τὰ ἐπίγεια. Οὐκοῦν ὁ λέγων Ἱεραρχίαν, οὐκ ἄλλο τι λέγει, ἢ τὰ ἄνω ῥηθέντα, δηλονότι τόν τε ὁρισμὸν αὐτῆς καὶ τὸν σκοπὸν, ἤγουν τὸ τέλος τὸ τελικώτατον, ὃ δὴ καὶ αὐτὸ, μέρος τοῦ ὁρισμοῦ ἐστιν· ὡς τὸ, τί ἐστι ξυβλίον τυχὸν, σκεῦος τοιόνδε πρὸς ὑπηρεσίαν τροφῆς ἐπιτήδειον· τοῦτο τὸ τέλος. Συνάγει τοίνυν εἰς ταυτὸν τὸ, τίς ἡ Ἱεραρχία, καὶ τίς ἡ ταύτης ὠφέλεια· καὶ φησὶν, ὁ λέγων ταύτην, οὐδὲν ἕτερον λέγει ἢ ἱερὰν διακόσμησιν. Καθόλου δὲ εἶπε, συνάγων τήν τε οὐρανίαν καὶ τὴν καθ᾽ ἡμᾶς εἰκόνα τῆς θείας ὡραιότητος καὶ ἁγιωσύνης· μεταδοτικὴ γὰρ καὶ αὕτη τοῦ φωτισμοῦ ἐν τάξεσι, κατὰ γὰρ δια-

similitudinum diuinarum simulacra format, nec non diuinas exprimit imagines, iuxta illud, *Ego dixi, Dij estis, & filij Excelsi omnes.* Psal. 81, 5. atque immaculata specula reddit eos, qui ad diuina conuertuntur: hos autem θιασώτας, id est, sodales vocat; θίασος enim idem quod chorus. Idcircò etiam dixit, eam Deum scientiæ ac functionis suæ ducem obtinere; quoniam ab ipso totum est, & non ex nosttis meritis. Etenim hoc in nostris artibus ac scientiis nequaquam locum habet: nam scientiarum quidem præceptores habemus, sed non operationum, quarum ipsemet naturæ motus quasi dux existit, & auctor; in diuinâ verò Hierarchiâ, & scientia & operatio à Deo est. Specula siquidem illuminationes recipiunt, sed per reflexionem ad exteriora remittunt: idem in diuinis sanctionibus videre licet, dum summus Sacerdos ab ipsamet Hierarchiâ illustrationem acceptam in Presbyteros ac Diaconos traiicit; qui luce pleni, in ceteros eamdem transfundunt. nam id quod minus est, à maiori benedicitur. Neque enim fas est iis qui sacris initiati sunt, quidquam contra sacras ordinationes agere, v. g. Diacono sacrificare, vel Presbytero confirmare. Obserua enim in Actis Apostolorum, quomodo Philippus non det Spiritum sanctum. Sed neque aliter iis asserit suppetere sanctificationes, quàm iuxta primitus traditam sanctorũ Apostolorum ordinationem; si modò sacri splendoris ambiant participationem, quâ iuxta cælestium virtutum ordinem transformentur: nam & ibi est primum ac secundum, & Deo proximũ, & remotum, ita vt ille ordo complectatur tam cælestia quàm terrestria. Itaque qui Hierarchiam nominat, nihil dicit aliud, quàm quæ dicta sunt superiùs, scilicet eius definitionem ac finem, id est, finem vltimum, qui & ipse, ceu pars, ad definitionem spectat: sicut v. g. si definias patellam esse vas aliquod ad cibos ministrandos accommodatum; qui finis eius est. Instar vnius itaque coniungit, quæ sit Hierarchia, & quænam eius vtilitas: aitque illum qui hoc dicit, nihil aliud dicere quàm sacrum ordinem. Demum concludendo dixit, tam cælestem quàm nostram hanc diuinæ pulchritudinis ac sanctitatis imaginem referre: nam & hæc secundùm ordines lucem suam distribuit; siquidem pro differen-

Subordinatio in Hierarchiâ.

Hierarchia quomodo Deum imitetur.

PARAPHRASIS PACHYMERÆ.

tiâ præſtantiâque ordinum etiam ſciendi facultas accommodari debet: nam alius eſt ordo Sacerdotis, alius Epiſcopi, alius Diaconi; & hierarchicis ſcientiis, videlicet exorciſmis, expiationibus, initiationibus illuſtrationis myſteria ſacroſanctè peragunt. Atque hactenus habes quid ſit ordo, ſcientia & operatio: reliquus eſt ſcopus, quo Deo, à quo bonum omne dimanat, aſſimilamur, & hic eſt Hierarchia. Siquidem eſt cuilibet eorum qui conſecrantur iſta perfectio, vt pro captu ſuo ad diuinam imitationem adducatur; & quod eſt maximum, vt Dei cooperator exiſtat, iuxta magnum Apoſtolum: quoniam is qui initiatur, per preces illuminatorias illam, quæ ex Deo eſt, accipit illuſtrationē, & in ſemetipſo diuinę participationis vim, id eſt, opera diuina, demonſtrare debet; partim docendo, partim initiando, & ſimilia pro virili exercendo erga illos qui inſtituendi ſunt; illa enim ſunt opera

Functiones Hierarchiæ

Dei. Deinde exponit etiam ſigillatim ordinem initiantium & initiatorum. Siquidem illi expiant, hi verò expiantur, per inſtitutionem videlicet Diaconorum, vtpote adhuc obnoxij paſſionibus. Atque alij quidem illuminant, alij verò illuminantur, per preces ſcilicet Preſbyterorum, vtpote paſſionibus ſuis iam ſuperiores. Atque alij item conſecrant, & alij conſecrantur, ſeu quodammodò deificantur per Antiſtitum vnctionem ceteraſque ſacras conſecrationes, vtpote iam paſſionum vacuitatem aſſecuti. Cuilibet itaque illorum qui nimirum ſacris operantur, diuina competet imitatio; quoniam & ipſemet Deus noſter docendi munus obit: id quod patet ex veteri Te-

Deut.6,4. ſtamento, cùm ait, *Audi Iſrael, Dominus Deus tuus, Dominus vnus eſt*; & ex nouo ſeu Euange-

Ioan.12,46 lio, vbi illuminat, iuxta illud, *Ego lux in mun-*

Pſal.81,6. *dum veni*; & deificat, iuxta illud, *Ego dixi, Dij eſtis*. Hic nempe modus eſt quo iſti diuinam imitantur beatitudinem, quæ non ſolùm purgat, & illuminat, atque cōſummat (quę ipſa operationes ſunt; atq; etiam operationes Pontificum per participationē) ſed etiam ipſamet eſt expiatio, & illuſtratio, & conſecratio; atque inſuper quoque cauſa omnis Hierarchiæ, & ab omni re ſacrâ incōparabiliter exempta eſt.

§.3. *Quæ ſint partes initiantium & initiatorum.*

Deinde tradit, quænam competant his qui ſacra ſuſcipiunt, atq; item quæ conueniant iis qui ſacra tradunt. Ac primum quidē, quoad initiandos attinet, oportet eos, qui expiantur per emundationē, ab omni inæqualitatis

φορῶν καὶ ὑπερβεβηκὸς τῶν τάξεων, καὶ τὸ ἐπιστημονικὸν εἶναι δεῖ· ἄλλη γὰρ τάξις Πρεσβυτέρου, καὶ ἄλλη Ἀρχιερέως, καὶ ἄλλη Διακόνου· καὶ ἐπιστήμαις ἱεραρχικαῖς, ἤγουν ἐξορκισμοῖς, περιτελεσμοῖς, τελεταῖς, τὰ τῆς ἐλλάμψεως ἱερῶς ἐνεργοῦσαν μυστήρια. Καὶ ἔχεις ἕως ὧδε τὸ, τί ἐστι τάξις, ἐπιστήμη, καὶ ἐνέργεια. λοιπὸν ὁ σκοπὸς, ἀφομοιούμενος πρὸς Θεὸν, ἐξ οὗ πᾶν ἀγαθὸν, καὶ αὕτη ἐστὶν ἡ Ἱεραρχία. Ἔστι γὰρ ἑκάστῳ τῶν ἱερωμένων ἡ τελείωσις, τὸ ἀναλόγως ἐπὶ τὴν θεομιμησίαν ἀναχθῆναι, καὶ τὸ μέγιστον, Θεοῦ συνεργὸν γενέσθαι, κατὰ τὸν μέγαν Ἀπόστολον· ἐπεὶ ὁ τελούμενος, διὰ τῶν φωτιστικῶν εὐχῶν, τὸν ἐκ Θεοῦ φωτισμὸν δέχεται· καὶ δεῖξαι ἐν ἑαυτῷ τὴν θείαν μεταδοτικὴν ἐνέργειαν, τουτέστι τὰ ἔργα τὰ θεῖα, ἐν τῷ σοφίζειν, ἐν τῷ τελειοῦν, καὶ τὰ ὅμοια ποιεῖν τοὺς παιδαγωγουμένους πρὸς δύναμιν· ταῦτα γάρ εἰσι τὰ ἔργα τοῦ Θεοῦ. Ἐφεξῆς δὲ ἐκτίθησι καὶ καθ᾽ ἓν τὴν τάξιν τῶν τε τελούντων καὶ τῶν τελουμένων. Οἱ μὲν καθαίρουσιν, οἱ δὲ καθαίρονται (πάντως οἱ ἔτι ἐμπαθεῖς) διὰ τῆς διδασκαλίας τῶν Διακόνων ἴσως. Καὶ οἱ μὲν φωτίζουσιν, οἱ δὲ φωτίζονται (πάντως οἱ μετριοπαθεῖς) διὰ τῶν εὐχῶν τῶν Πρεσβυτέρων δηλαδή. Καὶ οἱ μὲν τελεσιουργοῦσιν, οἱ δὲ τελειοῦνται, οἱονεὶ θεοποιοῦνται (οἱ τῇ ἀπαθείᾳ προσβάντες ἤδη) διὰ τῆς τῶν Ἀρχιερέων χρίσεως, καὶ ἑτέρας ἱεροτελεστίας. Ἑκάστῳ γοῦν τούτων δηλονότι τῶν ἐνεργούντων, τὸ θεομίμητον ἁρμόσει· καὶ γὰρ ὁ Θεὸς ἡμῶν διδάσκει· καὶ δῆλον ἔκ τε τῆς παλαιᾶς Διαθήκης, ὡς τὸ, Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· ἔκ τε τῆς νέας καὶ τοῦ Εὐαγγελίου φωτίζει, ὡς τὸ, Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα· θεοποιεῖ, ὡς τὸ, Ἐγὼ εἶπα, Θεοί ἐστε. Οὗτος γάρ ἐστιν ὁ τρόπος τοῦ μιμεῖσθαι τούτους τὴν θείαν μακαριότητα, ἣ μὴ μόνον καθαίρει, καὶ φωτίζει, καὶ τελεσιουργεῖ (ἃ δὴ καὶ ἐνέργειαί εἰσι, καὶ εἰσὶ καὶ τῶν ἱεραρχῶν κατὰ μέθεξιν) ἀλλὰ καὶ κάθαρσις, καὶ φωτισμὸς, καὶ τελείωσίς ἐστι· μᾶλλον δὲ καὶ ὑπὲρ ταῦτα, καὶ πάσης Ἱεραρχίας αἰτία, καὶ παντὸς ἱεροῦ ἀσυγκρίτως ἐξῃρημένη.

Ἐφεξῆς λέγει, τίνα τὰ προσήκοντα τοῖς ταῦτα πάσχουσι, καὶ τίνα τὰ πρέποντα τοῖς ταῦτα ποιοῦσι. Καὶ πρῶτον τίνα τοῖς πάσχουσι. Δεῖ γοῦν τοὺς καθαιρομένους, παντὸς ἀνομοίου τῇ καθάρ-

σει

PARAPHRASIS PACHYMERÆ.

σει μολυσμοῦ ἠλευθερῶσθαι· τοιαύτη γὰρ ἡ κάθαρσις, κατὰ τὸ, Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Τοὺς δὲ φωτιζομένους, οὐκ ἐκ μέρους φωτίζεσθαι, ἀλλ᾽ ἀποπληροῦσθαι τοῦ φωτὸς, καὶ ἀνάγεσθαι πρὸς θεωρίαν κρείττονα ἐν ἀθολώτοις ὀφθαλμοῖς τοῦ νοός· τοιοῦτον γὰρ ὁ φωτισμὸς, ὡς τὸ, Φώτισον τοὺς ὀφθαλμούς· καὶ, Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου. Τοὺς δὲ τελουμένους, ἐκ τῶν ἀτελοῦς τελείους γινομένους, καὶ τῆς τελειωτικῆς καὶ ἱερᾶς ἐπιστήμης μετόχους τε καὶ ἐπόπτας· τοῦτο γάρ ἐστι τὸ τέλειον ἐν πάσῃ ἐπιστήμῃ, τὸ ἐπόπτας καὶ μετόχους τῶν θεωρημάτων γίνεσθαι, καὶ μὴ κατά τι ἐλλείπειν, ὡς τὸ, Γίνεσθε τέλειοι, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. Ἑξῆς λέγει καὶ τὰ τῶν ἐνεργούντων. Δεῖ γοῦν τοὺς καθαρτικοὺς, μὴ τοσοῦτον ἔχειν τὸ καθαρὸν γλισχρόν τε καὶ ὀλίγον, ὥστε βεβηλοῦσθαι τοῖς ἀκαθάρτοις προσεγγίζοντας διὰ τὴν ὀλιγότητα τῆς καθάρσεως, καὶ ἀντὶ τοῦ δρᾶν, πάσχειν τὸ ἐναντίον· ἀλλὰ πλεονάζειν τὴν τῆς καθάρσεως περιουσίαν, ὥστε καὶ ἄλλοις μεταδιδόναι δύνασθαι. Τοὺς δὲ φωτιστικοὺς, καὶ πρὸς μετοχὴν τοῦ θείου φωτὸς ἐπιτηδείους εἶναι, καὶ πρὸς μετάδοσιν ὁμοίους, καὶ ἁπλῶς τὸ τῶν ὑέλων πάσχειν, ὥστε πανδήλως ἀποπληρουμένοις τῆς αἴγλης, ὑπερχέειν τὸ φῶς εἰς τοὺς τοῦ φωτὸς ἀξίους. Τοὺς δὲ τελεσιουργοὺς, μὴ ἀμαθῶς, ἀλλ᾽ ἐπιστημονικῶς τελεῖν τοῖς τελουμένοις τὴν τοῦ καλοῦ μετάδοσιν, ἐν τῇ μυήσει καὶ τῇ γνώσει τῆς ἐπιστήμης τῶν ἐποπτευθέντων· ἡ γὰρ ἐποπτεία οὔτε τοῖς καθαίρουσιν, οὔτε τοῖς φωτίζουσιν, ἀλλὰ τοῖς τελοῦσίν ἐστιν. Ἐκεῖνα γάρ ἐστι τὰ προτέλεια, καὶ τὰ ἔξωθεν γινόμενα· ἡ δ᾽ ἐποπτεία τοῖς τελείοις καὶ τελειοῦσι, καθὼς καὶ ἡ ᾀσματίζουσα πρὸς τὸν νυμφίον φησὶ, Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν μοι τῆς φωνῆς σου. Λοιπὸν, ἑκάστη τάξις τῆς ἱερωσύνης κατὰ τὴν οἰκείαν ἀναλογίαν (ἄλλη γὰρ τάξις Πρεσβυτέρου, καὶ ἄλλη Διακόνου) ἀνάγεται πρὸς τὴν θείαν συνεργίαν, ἐκεῖνα πράττουσα ἐν χάριτι καὶ δυνάμει τῇ ἀπὸ τοῦ Θεοῦ, τὰ ἐνόντα αὐτῇ τῇ μακαρίᾳ φύσει ὑπερφυῶς καὶ ἀκατανοήτως, καὶ παρ᾽ αὐτῆς ἀκαταλήπτως ἐνεργούμενα, τὴν κάθαρσιν φημὶ, τὸν φωτισμὸν, τὸν ἁγιασμὸν, τὴν θέωσιν, αὐτὰ ταῦτα τὰ παρ᾽ ἡμῖν ἐκφαινόμενα κατὰ μίμησιν τῆς Ἱεραρχίας τῶν φιλοθέων Ἀγγέλων, καὶ διὰ μέσων τούτων, ἐξ αὐτῆς δὴ τῆς θείας μακαριότητος.

maculâ liberari; ad hoc enim est expiatio, iuxta illud, *Lauabis me, & super niue dealbabor*. Eos autem, qui illuminantur, non ex parte illuminari, sed impleri lumine, & in puris mentis oculis ad præstãtiorem adduci contemplationẽ; eiuscemodi enim est illuminatio, iuxta illud, *Illumina oculos*; &, *Reuela oculos meos, & considerabo mirabilia tua*. Eos autem qui consecrantur, ex imperfectis perfectos euadere, atq; perficientis sacræq; scientiæ participes ac spectatores existere: siquidem id in omni scientiâ perfectionis est, ad eorum quæ cernuntur participationem inspectionemq; peruenire, & in nullo deficere, iuxta illud, *Estote perfecti, sicut & Pater vester cælestis*. Tradit deinde quæ cõcernunt eos qui sacra conferunt. Vtique oportet eos, quibus expiandi munus incumbit, non tam exiguâ tenuiq; puritate instructos esse, vt propter penuriam puritatis, ex immundorum accessu inquinentur, & immunditiam potiùs cõtrahant quàm expellant: sed affluentiâ quadam puritatis abundare, ita vt & aliis eamdem communicare valeant. Eos autem, qui illuminandi munere funguntur, oportet, cùm ad diuini luminis exceptionem, tum ad eiusdem similiter transfusionẽ comparatos esse, & vitrorum naturã penitus æmulari, vt, illustri splendore pleni, lumen in eos qui illo digni fuerint transfundant. Eos verò, qui cõsecrandi munus obeunt, nequaquam decet imperitè, sed prudenter illos, qui consecrandi sunt, tanti boni communicatione initiare in institutione & cognitione mysteriorum quæ conspexerunt: siquidem inspectio eorum neque expiantibus neque illuminantibus competit, sed cõsecrantibus. Nam alia ista sunt primordialia, & foris peraguntur; at inspectio mysteriorum perfectis & perficientibus congruit, iuxta illud sponsæ in Canticis ad sponsum dicentis, *Ostende mihi faciem, sonet vox tua in auribus meis*. Porrò quilibet ordo sacer iuxta gradum suum (nam alius est Presbyteri, & alius Diaconi) adducitur ad diuinam cooperationem cum diuinâ gratiâ virtuteque peragendo illa, quæ naturæ suæ sanctæ supernaturaliter & inconceptibiliter insunt, & ab eâ incomprehẽsibili ratione fiunt, expiationem, inquam illuminationem, sanctificationem, Deificationem, quæ, ad imitationem Hierarchię Angelorum Deo charissimorum, iisque mediantibus, ab ipsamet diuinâ beatitudine nobis exhibentur.

Psal. 50, 9.
Psal. 12, 4.
Psal. 118, 18.
Matt. 5, 48.
Cant. 2, 14

CAPVT IV.

Quid Angelorum nomen significet.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τί σημαίνει ἡ τῶν Ἀγγέλων ἐπωνυμία.

SYNOPSIS CAPITIS.

1. DOcet, Deum suâ bonitate se creaturis suis communicasse, & creaturas omnes Dei participes existere. 2. Angelos tamen ceteris excellentiùs Deum participare: & simul exponit, vnde Angeli nomen acceperint, & quomodo per eos diuina nobis reuelentur. 3. Declarat, Deum, vt in se est, nulli vmquam apparuisse, sed tantùm sub creatâ similitudine, quæ θεοφάνεια *dicebatur: & simul docet, quomodo inferiores per superiores ad Deum adducantur, & quælibet Hierarchia primos, medios & extremos ordines habeat. 4. Ostendit mysterium Incarnationis ab Angelis primùm annuntiatum, & ipsimet Christo in hac vitâ degenti multa per Angelos reuelata fuisse.*

§.1. VM ipsamet Hierarchia quid sit, à nobis rectè, vt opinor, definita sit; iam Angelica Hierarchia superest celebranda: cuius etiam sacræ in Eloquiis efformationes, supermundanis oculis contuendæ, vt ad quammaximè Deiformem earum simplicitatem per mysticas effictiones subuehamur; nec non omnis Hierarchicæ sciẽtiæ principium, eâ quâ Deum decet veneratione, ac sacrosanctis gratiarum actionibus celebremus. Primùm omnium id dictu verum, superessentialem Deitatem per bonitatem cunctas rerum essentias subsistere faciendo, in lucem produxisse: est enim hoc omnium causæ supremæque bonitati proprium, vt ad sui communionem res vocet, prout cuiusque captus modusque postulat. Quare res omnes participãt prouidentiam, à Deitate superessentiali omniumque causâ proma-

Deus per bonitatem se communicat creaturis.

ΗΣ τοίνυν ἱεραρχίας αὐτῆς, ὅ, τι ποτέ ἐστιν, ὡς οἶμαι, καλῶς ἡμῖν ὁρισθείσης, τὴν Ἀγγελικὴν ἱεραρχίαν ἑξῆς ὑμνητέον, καὶ τὰς ἱερὰς αὐτῆς ἐν τοῖς Λογίοις μορφοποιΐας, ὑπερκοσμίοις ὀφθαλμοῖς ἐποπτευτέον, ὅπως ἀναχθῶμεν ἐπὶ τὴν θεοειδεστάτην αὐτῶν ἁπλότητα, διὰ τῶν μυστικῶν ἀναπλάσεων, καὶ τὴν ἁπάσης ἱεραρχικῆς ἐπιστήμης ἀρχὴν ὑμνήσωμεν ἐν θεοπρεπεῖ σεβασμιότητι, καὶ τελεταρχικαῖς εὐχαριστίαις. Πρῶτον ἁπάντων ἐκεῖνο εἰπεῖν ἀληθές, ὡς ἀγαθότητι πάσας ἡ ὑπερούσιος θεαρχία τὰς τῶν ὄντων οὐσίας ὑποστήσασα, πρὸς τὸ εἶναι παρήγαγεν· ἔστι γὰρ τοῦτο τῆς πάντων αἰτίας καὶ ὑπὲρ πάντα ἀγαθότητος ἴδιον, τὸ πρὸς κοινωνίαν ἑαυτῆς τὰ ὄντα καλεῖν, ὡς ἑκάστῃ τῶν ὄντων ὥρισται πρὸς τῆς οἰκείας ἀναλογίας. Πάντα μὲν οὖν τὰ ὄντα μετέχει προνοίας, ἐκ τῆς ὑπερουσίου καὶ παναι-

τίου

TEXTVS S. DIONYSII.

ἴου θεότητος ἐκβλυζομένης· οὐ γὰρ ἂν ἦν, εἰ μὴ τῆς τῶν ὄντων οὐσίας καὶ ἀρχῆς μετειλήφει. Τὰ μὲν οὖν ἄζωα πάντα, τῷ εἶναι, αὐτῆς μετέχει· τὸ γὰρ εἶναι πάντων, ἐστὶν ἡ ὑπὲρ τὸ εἶναι θεότης· τὰ δὲ ζῶντα, τῆς αὐτῆς ὑπὲρ πᾶσαν ζωὴν ζωοποιοῦ δυνάμεως· τὰ δὲ λογικὰ καὶ νοερὰ, τῆς αὐτῆς ὑπὲρ πάντα καὶ λόγον καὶ νοῦν αὐτοτελοῦς καὶ προτελείου σοφίας. Δῆλον δὲ, ὅτι περὶ αὐτὴν ἐκεῖναι τῶν οὐσιῶν εἰσὶν, ὅσαι πολλαχῶς αὐτῆς μετειλήφασιν.

Αἱ γοῦν ἅγιαι τῶν οὐρανίων οὐσιῶν διακοσμήσεις, ὑπὲρ τὰ μόνον ὄντα, καὶ ἀλόγως ζῶντα, καὶ τὰ καθ' ἡμᾶς λογικὰ, τῆς θεαρχικῆς μεταδόσεως ἐν μετουσίᾳ γεγόνασι. Νοητῶς γὰρ ἐπὶ τὸ θεομίμητον ἑαυτὰς ἀποτυποῦσαι, καὶ πρὸς τὴν θεαρχικὴν ἐμφέρειαν ὑπερκοσμίως ὁρῶσαι, καὶ μορφοῦν ἐφιέμεναι τὸ νοερὸν αὐτῶν εἶδος, ἀφθονωτέρας εἰκότως ἔχουσι τὰς πρὸς αὐτὴν κοινωνίας, προσεχεῖς μὲν οὖσαι καὶ ἀεὶ πρὸς τὸ ἄναντες, ὡς θεμιτὸν, ἐν συντονίᾳ τοῦ θείου καὶ ἀκλινοῦς ἔρωτος ἀνατεινόμεναι, καὶ τὰς ἀρχικὰς ἐλλάμψεις ἀΰλως καὶ ἀμιγῶς εἰσδεχόμεναι, καὶ πρὸς αὐτὰς ταττόμεναι, καὶ νοερὰν ἔχουσαι τὴν πᾶσαν ζωήν. Αὗται γοῦν εἰσὶν αἱ πρώτως καὶ πολλαχῶς ἐν μετουσίᾳ τοῦ Θείου γιγνόμεναι, καὶ πρώτως καὶ πολλαχῶς ἐκφαντορικαὶ τῆς θεαρχικῆς κρυφιότητος· διὸ καὶ παρὰ πάντα τῆς Ἀγγελικῆς ἐπωνυμίας ἐκκρίτως ἠξίωνται, διὰ

nantem: neque enim essent, nisi rerum essentiæ principijque participes existerent. Cuncta igitur inanimata, hoc ipso quòd sunt, ipsam participant: nam esse omnium, est ea quæ illud esse superat Diuinitas; verùm res viuentes, eiusdem supra omnem vitam viuificæ virtutis sunt consortes; at quæ ratione spirituque pollent, super eius omnem rationem & intelligentiam per se perfectæ ac præperfectæ sapientiæ compotes existunt. Liquet igitur, naturas istas esse proximas Diuinitati, quæ multipliciter illam participarunt.

Quomodo creatura quælibet Deum participent.

Quapropter sanctę cælestium essentiarum dispositiones, rebus iis quæ solummodò existunt, & sine vsu rationis viuunt, humanáve vtuntur ratione, diuini principatus munere ac participatione antecellunt. Cùm enim se ad imitandum Deum intellectualiter componãt, atque Deiprincipalem similitudinem supermundialiter contemplantes, ad eamdem, speciem suam cupiant efformare; iure merito vberiore gaudent eius participatione, quòd sint assiduæ, ac semper ad anteriora, quantum fas est, diuini numquam fatiscentis amoris contentione extendantur, & primordiales illustrationes immaterialiter liquidoque suscipiant, atque ad eas componantur, vitamque omnem habeant spiritalem. Hæ igitur sunt, quæ primariò & multipliciter Deum participant, & inprimis ac multis modis arcanum Dei manifestant: quamobrem præ ceteris omnibus per excellentiam Angelicum cognomen meruerunt, quia ipsæ primùm à §.2.

Angeli maximè Deum participant.

Angeli vnde id nomen habeant.

Deo illuminantur, & per ipsas nobis nostræ reuelationes transmittuntur. Sic igitur lex, vt diuinus Sermo testatur, per Angelos nobis data est: & illos celebres ante legem, & post legem patres nostros, Angeli ad Deum adducebant, aut quod agendum erat exponentes, & ab errore & vitâ profanâ ad rectam viam veritatis traducentes; aut manifestantes sacros ordines, aut mysteriorum, quæ supra mundum sunt, abditas visiones, aut diuinas quasdam prædictiones, tamquam nuntij & ministri explanantes.

Gal. 3, 19. Act. 7, 53. *Diuina per Angelos reuelari.* Matt. 2, 13 Act. 11, 13 Dan. 7, 10. Isa. 10.

§. 3. Si quis verò dicat, quibusdam Sanctis immediatè Deum ex se apparuisse, discat etiam hoc apertè ex Scripturis sacris, ipsum illud, quod Dei est occultum, neminem vidisse, neque visurum esse; sed apparuisse sanctis Deum, ostendentem se, vt eum decebat, per visa quædam sacra, & iis, qui ea videbant, congruentia. Sermo autem diuinus, omni plenus sapientiâ, visum illud, quod diuinam similitudinem in illo ipso viso figuratam, tamquam in figurâ eorum quæ figurari nequeunt, ostendebat, ab intuentium ad Deum adductione, iure merito Theophaniam seu Dei apparitionem vocat; vtpote quæ diuinam illuminationem videntibus immittat, & aliquid de diuinis eos sacrè doceat. His diuinis visis præclari illi Patres nostri ministerio Angelorum initiabantur. An non etiam sacram illam legislationem, ab ipso Deo fuisse Moysi tra-

1. Ioan 4, 12. Gen. 3, 8. Gen. 18, 1. *Theophania quid.* Num. 9. Actor. 7. Galat. 3.

τὸ πρώτως εἰς αὐτὰς ἐγγίνεσθαι τὴν θεαρχικὴν ἔλλαμψιν, καὶ δι᾽ αὐτῶν εἰς ἡμᾶς διαπορθμεύεσθαι τὰς ὑπὲρ ἡμᾶς ἐκφαντορίας. Οὕτω γοῦν ὁ νόμος, ὡς ἡ Θεολογία φησὶ, δι᾽ Ἀγγέλων ἡμῖν ἐδωρήθη· καὶ τοὺς κλεινοὺς δὲ πρὸ νόμου καὶ μετὰ νόμον ἡμῶν Πατέρας, Ἄγγελοι πρὸς τὸ Θεῖον ἀνῆγον, ἢ τὸ πρακτέον εἰσηγούμενοι, καὶ πρὸς εὐθεῖαν ἀληθείας ὁδὸν ἐκ πλάνης καὶ ζωῆς ἀνιέρου μετάγοντες· ἢ τάξεις ἱερὰς, ἢ μυστηρίων ὑπερκοσμίων κρυφίους ὁράσεις, ἢ θείας τινὰς προαναῤῥήσεις ὑποφητικῶς διαφαίνοντες.

Εἰ δέ τις φαίη, καὶ αὐτόθεν ἀμέσως ἐγγενέσθαι τισὶ τῶν Ἁγίων θεοφανείας, μανθανέτω καὶ τοῦτο σαφῶς ἐκ τῶν ἱερωτάτων Λογίων, ὡς αὐτὸ μὲν ὅ,τι ποτέ ἐστι τὸ τοῦ Θεοῦ κρύφιον, οὐδεὶς ἑώρακεν, οὐδὲ ὄψεται· θεοφάνειαι δὲ τοῖς ὁσίοις γεγόνασι κατὰ τὰς πρεπούσας Θεῷ, διά τινων ἱερῶν καὶ τοῖς ὁρῶσιν ἀναλόγων ὁράσεων, ἐκφαντορίας. Ἡ πάνσοφος δὲ Θεολογία τὴν ὅρασιν ἐκείνην, ἥτις ἐν ἑαυτῇ διαγεγραμμένην ἀνέφαινε τὴν θείαν, ὡς ἐν μορφώσει τῶν ἀμορφώτων, ὁμοίωσιν, ἐκ τῆς τῶν ὁρώντων ἐπὶ τὸ Θεῖον ἀναγωγῆς, εἰκότως καλεῖ θεοφάνειαν, ὡς δι᾽ αὐτῆς τοῖς ὁρῶσι, θείας ἐγγινομένης ἐλλάμψεως, καί τι τῶν θείων αὐτῶν ἱερῶς μυουμένων. Ταύτας δὲ τὰς θείας ὁράσεις οἱ κλεινοὶ Πατέρες ἡμῶν ἐμυοῦντο διὰ μέσων τῶν οὐρανίων δυνάμεων. Ἢ οὐχὶ καὶ τὴν ἱερὰν τοῦ νόμου θεσμοθεσίαν, ἡ τῶν Λογίων παράδοσις ὡς αὐτόθεν μὲν φησὶν ἐκ Θεοῦ

τῷ

τῷ Μωϋσῇ δεδωρημένην; ὅπως ἂν ἡμᾶς ἀληθῶς μυήσαιτο, θείας αὐτὴν εἶναι καὶ ἱερᾶς ὑποτύπωσιν. Διδάσκει δὲ καὶ τοῦτο σοφῶς ἡ Θεολογία, τὸ δι' Ἀγγέλων αὐτὴν εἰς ἡμᾶς προελθεῖν, ὡς τῆς θεονομικῆς τάξεως ἐκεῖνο θεσμοθετούσης, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα πρὸς τὸ Θεῖον ἀνάγεσθαι. Καὶ γὰρ οὐ μόνον ἐπὶ τῶν ὑπερκειμένων τε καὶ ὑφειμένων νοῶν, ἀλλὰ καὶ τοῖς ὁμοταγέσιν οὗτος ὁ θεσμὸς ὥρισται παρὰ τῆς πάντων ὑπερουσίου ταξιαρχίας, τὸ καθ' ἑκάστην Ἱεραρχίαν πρώτας καὶ μέσας καὶ τελευταίας εἶναι τάξεις τε καὶ δυνάμεις, καὶ τῶν ἡττόνων εἶναι τοὺς θειοτέρους μύστας καὶ χειραγωγοὺς, ἐπὶ τὴν θείαν προσαγωγὴν καὶ ἔλλαμψιν καὶ κοινωνίαν.

Ὁρῶ δὲ, ὅτι καὶ τὸ θεῖον τῆς Ἰησοῦ φιλανθρωπίας μυστήριον Ἄγγελοι πρῶτον ἐμυήθησαν, εἶτα δι' αὐτῶν εἰς ἡμᾶς ἡ τῆς γνώσεως χάρις διέβαινεν. Οὕτω γοῦν ὁ θειότατος Γαβριὴλ Ζαχαρίαν μὲν τὸν Ἱεράρχην ἐμυσταγώγει, τὸ προφήτην ἔσεσθαι τὸν ἐξ αὐτοῦ παρ' ἐλπίδα χάριτι θείᾳ γενησόμενον παῖδα, τῆς ἀγαθοπρεπῶς καὶ σωτηρίως τῷ κόσμῳ ἐπιφανησομένης ἀνδρικῆς τοῦ Ἰησοῦ θεουργίας· τὴν δὲ Μαριὰμ, ὅπως ἐν αὐτῇ γενήσεται τὸ θεαρχικὸν τῆς ἀφθέγκτου θεοπλασίας μυστήριον. Ἕτερος δὲ τῶν Ἀγγέλων τὸν Ἰωσὴφ ἐξεπαίδευσεν, ὅπως ἀληθῶς ἐκπεπλήρωται τὰ θειωδῶς ἐπηγγελμένα τῷ προγόνῳ Δαβίδ. Ἄλλος δὲ τοὺς ποιμένας, ὡς τῇ τῶν πολλῶν ἀναχωρήσει καὶ ἡσυχίᾳ κεκαθαρμένους,

ditam, diuina ſcripta tradiderunt? vt verè nos docerent, diuinæ eam eſſe ac legis ſacroſanctæ delineationem. Quin imò ſapienter etiam Theologia docet, eam per Angelos ad nos dimanaſſe, quaſi id ordo diuinæ legis ſanxerit, vt per ſuperiora, iſta quæ inferiora ſunt, ad diuinum Numen adducantur. *Inferiores per ſuperiores adducendi ad Deum.* Etenim non ſolùm ſuperioribus inferioribusq; mentibus, verùm etiam ęqualibus, ſeu coordinatis, à ſuperſubſtantiali rerum omniũ primordiali ordine lex iſta conſtituta eſt, vt per ſingulas Hierarchias primi eſſent ac medij nouiſſimique ordines ac virtutes, inferioribusq; diuiniores myſtæ eſſent ac manuductores ad diuinum acceſſum, & illuſtrationem atque communionem. *Hierarchia habet ordines primos, medios, & extremos.*

§.4. *Myſterium Chriſti nobis per Angelos nuntiatum.* Diuinum etiam humanitatis IESV myſterium Angelis primùm patefactum eſſe video, per quos deinde ad nos quoque cognitionis eius gratia peruenit. Ita diuiniſſimus ille Gabriel Zachariam quidem Pontificem docuit, quòd puer Luc. 1, 13 ex ipſo præter ſpem diuinâ gratiâ naſciturus, Propheta foret humanæ diuinæque IESV diſpenſationis benignè ſimul ac ſalubriter mundo apparituræ: Mariam verò erudiuit, quomodo in ipsâ diuinum Ibidem. illud ineffabilis Deiformationis myſterium conſummaretur. Alius quoq; Angelus Ioſephum docuit, verè adimpleta eſſe, quæ progenitori eius Dauid diuinitus promiſſa fuerant. Alius item paſtoribus, quippe iam ſolitudinis receſſu ac tran-

tranquillitate purgatis; euangelizauit; cumque illo cælestis exercitus multitudo, celeberrimum istum collaudationis hymnum terrigenis tradidit. Quinimò ad sublimissimas illas Eloquiorum illustrationes mentis obtutum erigamus: animaduerto enim, ipsummet Iesum (qui est naturarum supracælestium supra naturam auctor) vbi ad naturam nostram sine sui immutatione descendit, eum quem ordinauerat elegeratque humanitatis ordinem nequaquam refugere, quin potiùs obedienter se submittere formis à Deo Patre per Angelos effectis; quorum ministerio, à Patre disposita filij in Ægyptum recessio; nec non eiusdem ex Ægypto in Iudæam reductio, Iosepho nuntiabatur. Quin & per Angelos ipsum cernimus paternis legibus subiectum: omitto enim dicere, vtpote scienti, quæ sacrosanctis nostris traditionibus expressa sunt de Angelo quoque Iesum confirmante; & vt ipsemet IESVS, pro salutari nostrâ emendatione, in spirituum manifestatoriorum ordinem redactus, magni cõsilij Angelus fuerit appellatus: etenim, vt ipse pro nuntij munere dicit, quæcumque audiuit à Patre, nota fecit nobis.

Christo etiam multa per Angelos nuntiata. Matth. 2.

Luc. 22. *Christus magni consilij Angelus.*

Isa. 9.

εὐηγγελίζετο, καὶ σὺν αὐτῷ πλῆθος στρατιᾶς οὐρανίου τὴν πολυύμνητον ἐκείνην παρεδίδου τοῖς ἐπὶ γῆς δοξολογίαν. Ἀνανεύσωμεν δὲ καὶ πρὸς τὰς ὑπερτάτας τῶν Λογίων φωτοφανείας· ὁρῶ γὰρ, ὅτι καὶ αὐτὸς Ἰησοῦς, ἡ τῶν ὑπερουρανίων οὐσιῶν ὑπερούσιος αἰτία, πρὸς τὸ καθ' ἡμᾶς ἀμεταβόλως ἐληλυθὼς, οὐκ ἀποπηδᾷ τῆς ὑπ' αὐτοῦ ταχθείσης τε καὶ αἱρεθείσης ἀνθρωποπρεποῦς εὐταξίας, ἀλλ' εὐπειθῶς ὑποτάττεται ταῖς τοῦ Πατρὸς καὶ Θεοῦ δι' Ἀγγέλων διατυπώσεσι· καὶ διὰ μέσων αὐτῶν ἀγγέλλεται τῷ Ἰωσὴφ, ἡ πρὸς τοῦ Πατρὸς οἰκονομηθεῖσα τοῦ Υἱοῦ πρὸς Αἴγυπτον ἀναχώρησις, καὶ αὖθις ἡ πρὸς τὴν Ἰουδαίαν ἐξ Αἰγύπτου μεταγωγή. Καὶ δι' Ἀγγέλων αὐτὸν ὁρῶμεν ὑπὸ ταῖς πατρικαῖς θεσμοθεσίαις ταττόμενον· ἐῶ γὰρ εἰπεῖν, ὡς εἰδότι τὰ ταῖς ἱεραρχικαῖς ἡμῶν παραδόσεσιν ἐκπεφασμένα, καὶ περὶ τοῦ Ἀγγέλου τοῦ τὸν Ἰησοῦν ἐνισχύσαντος· ἢ ὅτι καὶ αὐτὸς Ἰησοῦς, κατὰ τὴν ἡμῶν σωστικὴν ἀγαθουργίαν, εἰς ἐκφαντορικὴν ἐληλυθὼς τάξιν, Ἄγγελος μεγάλης βουλῆς ἀνηγόρευται· καὶ γὰρ ὡς αὐτὸς ἀγγελοπρεπῶς φησιν, ὅσα ἤκουσε παρὰ τοῦ Πατρὸς, ἀνήγγειλεν ἡμῖν.

ANNOTATIONES CORDERII.

§. 1. 

DEFINITA Hierarchiâ in communi, transit ad Angelicam celebrandam, secundùm figuras in Scripturis expressas. Ac primùm quidem Angelos ceteris creaturis antecellere, ex eo probat, quòd magis Deum participat. Cùm enim Deus vocet omnia ad sui communionem, illa fiunt eidem vocanti propinquiora, quæcumque pluribus modis participant, non solùm simpliciter substantiam eius & vitam, sed etiam rationem & sapientiam, & alia eius charismata spiritalia, secundùm proportionem supremarum etiam mentiũ: illæ enim quæ magis cognitionem & sapientiam participarunt, magis Deo appropinquant; tales autem sunt ordines Angelici: quia, vt ait S. Maximus, eorum substantiæ sunt νοῦς ζῶν, id est, *mens viuens*. Angelus enim, secundùm Damascenum, est substantia intellectualis, semper mobilis, arbitrio

Cur Angeli ceteris rebus antecellant.

Angelus quid. Lib. 2. ca. 3.

arbitrio libera, incorporea, Deo ministrans, immortalis. *Substantia* ponitur in hac definitione pro genere, & ponitur ad differentiam accidentis. Intelligitur etiã hîc substãtia qualitercumq; composita, scilicet ex eo quod est, & eo quo est. *Intellectualis* dicitur potiùs quàm rationalis: quia ratio est virtus collatiua causæ & causati, & ideò composita: intellectus verò ex suâ ratione non habet compositionem & collationem, sed est sine inquisitione & compositione; & ideò competit naturæ magis simplici pro differentiâ, vt est Angelus; ratio autem est differentia naturæ minùs simplicis, scilicet hominis. *Semper mobilis*, non dico de loco ad locum: sed mobilitas dicit hîc triplicẽ vertibilitatem in Angelo, scilicet naturæ, intelligentiæ, & voluntatis. Mobilitatem enim habet naturæ quia omne creatum vertibile est in nihilum, nisi manu omnipotentiæ diuinæ contineatur. Similiter Angelus habet mobilitatem intelligentiæ: quia licet in Angelo non sit vicissitudo intelligentiæ quoad scita in Verbo, cùm Deiformem habeat intellectum, secundùm Dionysium; potest tamen in eo, quoad cognitionem rerũ, in propriâ naturâ esse vicissitudo intelligẽtię quoad discenda. Et hoc est quod dicit S. Augustinus, quòd omne creatum habens intellectum, intelligit vnum post aliud. Item in voluntate mobilis est Angelus, quia non simul vult hoc & illud. Item potest dici semper mobilis, motu dilectionis. *Arbitrio libera.* Hoc non dicitur propter deflexionem ad bonum indifferenter & ad malum, sed propter liberam electionem eorum quæ voluerit. Vnde Angelus bonus semper eligit liberè bonum, & Angelus malus liberè & sine coactione eligit malum. *Incorporea.* Quia spiritus est naturæ corporeæ expers. *Deo ministrans.* Ministerium ponitur hîc pro quocumque obsequio: & secundùm hunc modum, tam assistentes, quàm ministrantes, quàm etiam dæmones ministrant. *Immortalis.* Quia caret materiâ & formâ, è quarum resolutione mors sequitur. Angeli, secundùm Isidorum, sunt spiritus, naturâ quidem mutabiles conditi, sed contemplatione immutabiles facti, animo impassibiles, mente rationales, felicitate securi: iussi mũdum regunt, missi corpora aërea sumunt, in cælestibus commorantur. De iisdem S. Bernardus ait: Inuestigemus inuestigabilia, & primò spiritus esse potentes, gloriosos, beatos, distinctos in personas, dispositos in dignitates, ab initio stantes in ordine suo, immortalitate perpetuos, mente puros, affectu benignos, religione pios, vnanimitate indiuiduos, pace securos, diuinis laudibus & obsequiis deditos. Item in Angelis est dignitas creationis, gratia cõfirmationis, amor creatoris, visio Diuinitatis. Est etiam in Angelis (vt superiùs dictum est) essentiæ subtilitas, intelligentiæ perspicacitas, liberi arbitrij facultas, agilitatis velocitas. Promptè omnes obediunt. Maiores sine elatione præsunt, minores sine vitio subsunt: qui ad exteriora exeunt, ab interiori contemplatione non recedunt: omnem virtutem inferiorum superiores participãt, non è contra. Qui excellũt in naturâ, præcellunt in gratiâ, & in gloriâ. In eodem ordine creduntur etiam alij aliis esse digniores. Duplicem habent visionem, scilicet matutinam & vespertinam. Illuminationes quas à superioribus recipiunt, aliis tribuunt.

Angelus tripliciter mobilis.

Cæl. Hier. cap. 13.

Elogia Angelica.

§. 2. *Angeli vnde dicti.*

Dicit eos Angelos vocari, quia nimirum annuntiant, &, quoad fieri potest, *occultum Dei* manifestant: & ostendit, visiones ac Dei apparitiones semper mediantibus Angelis repræsentari solere. Per ipsos enim data lex, Galat. 3. *Lex ordinata per Angelos in manu mediatoris.* & Actorum 7. *Qui accepistis legem in dispositione Angelorum.* Et ante legem Abraham, & Manoë, & reliquos; & post legem Ioseph, & Petrum, & alios deinceps ad voluntatem Dei faciendam adduxerunt Angeli, Matthæi 2. & Actorum 11. & quid agendum erat nuntiarunt, vt Iesu Naue, Gedeoni, & aliis: & ab errore abduxerunt Cornelium, Actorum 11. & alios. Et *sacros ordines* manifestant; vt Daniel cap. 7. decies centena millia ante conspectum Dei adstantia vidit. Ezechiel Cherubinos, ca. 10. Isaias Seraphinos, cap. 6. Item *mysteriorum visiones*; vt Exodi 3. in Moyse & rubo; & in Paulo rapto, 2. Cor. 12. & in Apocalypsi Ioannis. Aut *diuinas prædictiones*, vt in Manoë, & aliis.

§. 3. *Quomodo Deus visus & non visus.*

Dicit, Deum numquam immediatè per se apparuisse, & *occultum illud Dei* neminem vidisse. Vbi nota cum S. Maximo, quomodo S. Dionysius interpretetur quod ait S. Ioannes 1. Epist. cap. 9. *Deum nemo vidit vmquam.* Quia enim sciebat visum esse hominibus in Scripturâ, vt Adæ in paradiso, Abrahæ ad quercum Mambre, & proficiscenti Sodomam, & Moysi, & aliis; dicit nunc, occultum Dei neminem vidisse, neque visurum esse, id est, id quod est substantia eius. Vel altiùs: quid sit Deus, nemo comprehendere intelligentiâ, nec exprimere vmquam potuit, neque poterit. Cùm autem dicitur in Scripturâ apparuisse, siue visus esse, sic intelligendum est, quòd vnusquisque illorum proportione fidei habebatur dignus visione quadam, quæ illi Deum repræsentabat; per quam visionem, illuminationem capiebat cognitionum diuinarum, quæ ipsi adueniebant. Talem autem visionem Θεοφανίαν vocat, seu Dei apparitionẽ; quia nimirum in eâ Angelus personã Dei sustinebat. Induunt enim

Gen. 3, 8.
Gen. 18, 1.

Θεοφάνεια quid sit.

ANNOTATIONES CORDERII.

enim (inquit Athanasius in Quæstionibus ad Antiochum Principem) figuras Angeli ad quemcumque vsum Dominus Deus velit; atque ad eum modum iis, qui digni sunt, apparent, & diuina illis mysteria aperiunt. Ex his perspici potest, visionem, similitudinem, & θεοφάνειαν idem repræsentare. Huc etiam accedit, quòd per intermedios Angelos, indutis figuris ad Dei nutum, huiusmodi similitudines formantur.

§. 4. *Quomodo Mysteria Christi per Angelos reuelata sint.*

Ait, Dominum nostrum Iesum Christum etiam per Angelos annuntiatum; & circa ipsum, atque ipsimet multa, mediantibus Angelis, fuisse reuelata. Vbi nota quasdam sublimes loquendi formulas Dionysij. Cùm dicit, per Angelum Zachariæ manifestatum, puerum ex ipso nasciturum Prophetam fore τῆς ἀγαθοπρεπῶς καὶ σωτηρίως τῷ κόσμῳ ἐπιφανησομένης ἀνδρικῆς τοῦ Ἰησοῦ θεουργίας (ita Codex MS. Cæsaris, meliùs quàm impressus Morelli ἱερουργίας) id est, *humanæ diuinæque Iesu dispensationis, benignè simul ac salubriter mundo appariturae*; Incarnationem Verbi significat: quia Deus in carne humanâ opera diuina patrabat, quæ alibi θεανδρικὰ, id est, Dei-virilia, nuncupat. Itaque dicendo virilem, perfectum hominem fuisse docet: dicendo diuinam, simul perfectum Deum. Mariæ autem significatum, ὅπως ἐν αὐτῇ γενήσεται τὸ θεαρχικὸν τῆς ἀφθέγκτου θεοπλαστίας μυστήριον, *quomodo in ipsâ diuinum illud ineffabilis Deiformationis mysterium consummaretur*, dicitur formatum esse Deum in vtero Virginis ac Matris, eo sensu quo dicitur Verbum caro factum esse. Et paulò pòst ait, Christum ipsum hunc ordinem non refugere, id est, nequaquam indignum reputare, si, cùm esset Dominus Angelorum, obediret tamen illis. Sic itaque dixit hîc Dionysius, *non refugit*, sicut dixit Paulus in Epist. ad Philipp. ca. 2. *Qui cùm in formâ Dei esset*, id est verus Deus, *non rapinam arbitratus est*, hoc est, non reputauit indignum, si, cùm esset alioquin æqualis Deo naturâ, & non falsò sibi vindicans Diuinitatem, sicut qui alienum rapit, fieret tamen homo: ἀλλ' εὐπειθῶς ὑποτάττεται ταῖς τοῦ Πατρὸς καὶ Θεοῦ δι' Ἀγγέλων διατυπώσεσιν. *quin potiùs obedienter se submittit formis à Deo Patre per Angelos effectis:* quin & per Angelos ipsum cernimus paternis legibus subiectum. Quia factus est Christus sub lege, sicut ait Apostolus ad Galatas 4. & lex data est per Angelos, ad Gal. 3. idcircò dicitur Christus factus sub lege per Angelos. Ἐῶ γὰρ εἰπεῖν, ὡς εἰδότι τὰ ἐν ταῖς ἱερατικαῖς ἡμῶν παραδόσεσιν ἐκπεφασμένα περὶ τοῦ Ἀγγέλου τοῦ τὸν Ἰησοῦν ἐνισχύσαντος. *Omitto enim dicere, vtpote scienti, quæ sacris nostris traditionibus expressa sunt de Angelo illo Iesum confirmante.* S. Maximus ait, Dionysium significare, sibi & Timotheo ἀγράφως, id est, sine scripto, traditum fuisse hoc mysterium de Angelo confortante; quod quidem posteà à Lucâ scriptum est in Euangelio quod Paulus prædicabat, & ex Paulo didicerat.

SCHOLIA S. MAXIMI.

§. 1. *Deus omnibus se communicat.*



AD COMMVNIONEM.] Nota rationem ob quam Deus omnia produxit, vt [nimirum] pro captu quodque suo bonitati eius communicaret: hoc enim significat istud, *Mansiones multæ sunt* apud Patrem. Quilibet enim secundùm opus suum bonitati eius communicabit. ita etiam Titus ait in libris contra Manichæos.

Ioan. 14, 2.

RERVM.] Hîc omnia opera creationis summatim declarat per nomen *rerum*, omnia scilicet intellectilia & aspectabilia: cuncta enim Deus ex nihilo fecit, vt ipsius bonitate fruerentur. Fruuntur autem prouidentiâ ipsâ, vt quæque res apta est: prouidentia enim Dei, principium est cuiusque rei.

Quomodo res omnes Deum participent.

QVARE RES OMNES.] Quia res omnes diuinæ prouidentiæ participes existunt: nihil enim est in rebus, quod non Dei prouidentiam participet, ita vt malum careat subsistentiâ, quandoquidem Deum non participet,

TO' πρὸς κοινωνίαν.] Σημείωσαι τὸν λογισμὸν, δι' ὃν τὰ πάντα παρήγαγεν ὁ Θεὸς, ἵνα κοινωνήσωσι τῆς αὐτοῦ ἀγαθότητος ἀναλόγως ἕκαστον· τοῦτο γὰρ δηλοῖ τὸ, Μοναὶ πολλαὶ παρὰ τῷ Πατρί. Ἕκαστος γὰρ κατὰ τὸ ἴδιον ἔργον κοινωνήσει τῆς αὐτοῦ ἀγαθότητος. οὕτω καὶ ὁ Τίτος φησὶν ἐν τοῖς κατὰ Μανιχαίων λόγοις.

Ὄντων.] Ἐνταῦθα πάντα συλλήβδην τὰ ἐν δημιουργίᾳ δηλοῖ διὰ τοῦ ὀνόματος τῶν ὄντων, καὶ νοητὰ καὶ ὁρατὰ πάντα· ἅπαντα γὰρ ὁ Θεὸς ἐκ μὴ ὄντων ἐποίησεν, ἵνα τῆς αὐτοῦ ἀγαθότητος ἀπολαύοιεν. Ἀπολαύουσι δὲ διὰ τῆς προνοίας, ὡς ἕκαστον ἐπιτηδείως ἔχει· ἀρχὴ γάρ ἐστι τῆς τῶν ὄντων οὐσίας, ἡ τοῦ Θεοῦ πρόνοια.

Πάντα μὲν οὖν τὰ ὄντα.] Ὅτι πάντα τὰ ὄντα τῆς τοῦ Θεοῦ προνοίας μετέχει· οὐδὲ γὰρ ἔστιν ἐν τοῖς οὖσιν ἐστι τὸ μὴ μετέχον τοῦ Θεοῦ, ὥστε ἀνυπόστατον τὸ κακὸν, ἐπειδὴ μὴ μετέχει τοῦ Θεοῦ, κατὰ στέρησιν ἕξεως φαινόμενον,

ἀλλ'

ἀλλ' οὐκ αὐτὸ προτοτύπως ὂν ἐν οὐσίᾳ. οὕτω πλατέως εἴπομεν ἄνω ἐν τῷ προσφόρῳ κεφαλαίῳ.

Τῶν ὄντων

ἢ ἄζωά εἰσιν, ἃ καλεῖ μόνον ὄντα, οἷον οὐρανοὶ καὶ γῆ.	ἢ ζῶντα, ἃ λέγει ἀλόγως ζῆν, οἷον τὰ ἄλογα ζῶα.	ἢ νοερὰ ἀσώματα, ὡς τὰ οὐράνια.	ἢ λογικὰ καὶ ἐνσώματα, ἃ καλεῖ καθ' ἡμᾶς.

Οὐ γὰρ ἂν ἦν.] Ἐν τούτοις ὄντα τὰ θεῖα καλεῖ, τουτέστι τὴν ἁγίαν Τριάδα, ἥτις τῶν κτισμάτων οὖσα δημιουργὸς, καὶ ἀρχὴ, ἤγουν αἰτία, ἐξ αὐτῶν τῶν παρ' αὐτῆς εἰς οὐσίαν ἐλθόντων μετέχεσθαι λέγεται.

Τὰ μὲν οὖν ἄζωα.] Ὅτι καὶ τὰ ἄζωα μετέχει τῆς προνοίας τοῦ Θεοῦ, κατ' αὐτὸ τὸ εἶναι. Ἄζωα δέ εἰσιν, οἷον λίθοι, καὶ πάντα τὰ μὴ προϊόντα εἰς γένεσιν.

Ζῶντα, τῆς αὐτῆς.] Κατὰ κοινοῦ ἐπὶ ἑκάστου τῶν ἐπιφερομένων προσυπακούειν δεῖ, δι' ὧν προνοίας μετέχει.

Αἱ γοῦν ἅγιαι.] Σημείωσαι δὲ περὶ τῆς τάξεως τοῦ παντὸς, ὅτι διάφοροι αἱ τῶν ἄνω δυνάμεων οὐσίαι. λέγει δὲ μόνον ὄντα, ἅπερ ἐκάλεσεν ἄζωα.

Νοητῶς γὰρ ἐπὶ τὸ θεομίμητον.] Ὅρα ὅτι καὶ αἱ νοηταὶ δυνάμεις ἐκ προαιρέσεως κατὰ τὸ πλέον μετέχουσι τοῦ ἀγαθοῦ, ὡς πολὺ ἐφιέμεναι αὐτοῦ· λέγει γὰρ, ἑαυτὰς ἀποτυποῦσαι, ὅπερ ἐστὶ προαιρετικόν. Οὐκοῦν ψευδὴς ὁ λόγος ὁ λέγων, τὸν διάβολον πεσεῖν ἐκ τῶν οὐρανῶν· ἐτράπη γὰρ εἰς τὸ κακὸν ἀφ' ἑαυτοῦ. Προσεχεῖς δὲ, ἀντὶ τοῦ Συνημμέναι.

Τῶν ὄντων
- τὰ μὲν ἐστὶν ἄλογα, ὡς λίθοι, καὶ λοιπὰ τὰ μηδεμιᾶς ζωτικῆς ἐνεργείας μετέχοντα.
- τὰ δὲ ζῶντα· ὧν
  - τὰ μὲν ἀναίσθητα, ὡς τὰ φυτά.
  - τὰ δὲ ἀναισθητικά· ὧν
    - τὰ μὲν ἄλογα.
    - τὰ δὲ λογικά· καὶ τούτων
      - τὰ μὲν ἀσώματα, καὶ ὑπὲρ ἡμᾶς.
      - τὰ δὲ ἐνσώματα, καὶ καθ' ἡμᾶς.

Καὶ πολλαχῶς ἐν μετουσίᾳ.] Αἱ γὰρ αὐ-

eò quòd appareat secundùm habitus priuationem, ipsum autem exemplariter non sit in re, prout fusiùs suprà dicebamus suo loco.

Ea quæ sunt

vel vitâ carent, quæ vocat solùm existentia, vt cælum & terra.	vel viuût, quæ dicit sine ratione viuere, vt bruta animalia.	vel intelligunt, & incorporea sunt, vt cælestia.	vel ratiocinantur, & in corpore sunt; quæ vocat nostratia.

Neqve enim essent.] In his entia vocat ea quæ diuina sunt, id est sanctam Trinitatem, quæ cùm sit rerum creatarũ conditrix atq; principiũ siue causa, ab iis quæ per ipsam in rerum naturam veniunt, participari dicitur.

Qvæ igitvr vita carent.] Quoniam etiam res inanimes Dei prouidentiam participant, secundùm ipsum esse. Porrò res inanimes sunt, v. g. lapides, & quæcumque non procedunt in generationem.

Res viventes eivsdem.] In quolibet eorum quæ inferuntur, vulgò subaudiendum est, per quæ prouidentiam participant.

Qvapropter sanctæ.] Obserua autem circa ordinem vniuersi, diuersas esse virtutum supernarum essentias. vocat autem solùm entia, quæ appellauerat inanima. § 2.

Nam intellectvaliter ad imitandvm devm.] Considera etiam intellectiles virtutes ex suâ destinatione ampliùs diuinæ bonitati communicare, vt quę multum ipsum desiderent: ait enim, ipsas se ad eius similitudinẽ efformare, quod est voluntariũ. Falsus igitur est sermo, qui dicit, diabolũ [casu fortuito] è cælis excidisse: nam versus fuerat in malum à seipso. *Assiduæ* autẽ ponitur pro *cõtiguæ*.

Angelos etiam quoque voluntariè Deũ participare.

Entis distributio.

Entium
- alia quidem irrationalia, vt lapides, & reliqua quæ nullam vitalem operationem participant.
- alia autẽ sunt viuentia: quorum
  - alia sunt insensilia, vt plantæ.
  - alia sensilia: quorum
    - alia sunt irrationabilia.
    - alia rationabilia: & horum
      - alia incorporea, & supra nos.
      - alia corporea, & nos sumus.

Et mvltipliciter participant.] Eo-

rum enim ſubſtantiæ ſunt mens viuens. Obſerua autem, omnia intellectilia primo loco Deum participare. *Explanatoriæ* verò idem eſt quod *enuntiatiuæ*.

Angelicvm cognomen.] Nota quid propriè ſit Angelus,& vt ipſos primum ordinem tenere dicat; prætereà etiam quomodo per Angelos initiemur, & quomodo per illos lex data ſit; & vt eos qui ante legem fuerunt, & poſt legem Patres noſtros Angeli ad Deum adduxerint.

Qui fuerint per Angelos ad Deum adducti. Celebres.] Glorioſos. Illud autem, *quod agendum erat*, vt in Ieſu Naue, & Gedeone & aliis. *A vitâ verò profanâ ad rectā viam*, vt in Cornelio Centurione: primus enim ex Act. 11. infidelibus gentibus conuerſus fuit. *Sacros verò ordines*, vt in Daniele, *Decies millies centena millia*: & Ezechiel Cherubim, & in Iſaiâ Seraphim viſi ſunt. *Supermundanas viſiones*, vt in Paulo rapto vſque ad tertium cælum, & in Apocalypſi D. Ioannis.

Dan. 7, 10. Ezech. 10. Iſa. 6.

§. 3. Immediate.] Id eſt, ſine miniſterio Angelorum.

Quomodo Deus viſus vel non viſus. 1. Ioan. 4, 12. Ipsvm illvd qvod est.] Vide quomodo interpretetur dictum illud, *Deum nemo vidit vmquam*, quod veriſſimum cenſeo; tametſi ſciam eſſe quædam Scripturæ loca, quæ dicant, Deum viſum eſſe hominibus, vt Gen. 3, 8. Adæ in paradiſo, Abrahæ ad quercum Mam- Gen. 18, 1. bre, & proficiſcenti Sodomam, & Moyſi in monte, tametſi eius poſteriora vidiſſe dicatur. Et dicit, Occultum Dei neminem vidiſſe, neque viſurum eſſe, id eſt, eius eſſentiam. Vel etiam ſublimiùs, quia quid ſit Deus, nemo comprehendere intelligentiâ, nec exprimere vmquam potuit, neque poterit. Quòd ſi autem quibuſdam etiam Sanctis diuinæ apparitiones acciderint: intellige, quòd vnuſquiſque illorum, proportione fidei, habebatur dignus viſione quadam quæ illi Deum oſtendebat, per quam viſionem illuminationem capiebat cognitionum diuinarū, quæ ipſi aduenie bant.

Tamqvam in formatione.] Arbitror transformationem dicere, aut miraculum in monte Sina per modum ignis.

Dei apparitionem.] Dei apparitionem eſſe ait, non quòd Deus appareat, & oſtendat quid ſit; hoc enim fieri nequit: ſed quia ſancti diuinâ illuſtratione honorantur, per viſiones quaſdam ſacras atque ipſis proportionatas, quas per Angelos fieri dicit.

τὴν οὐσίαν νοῦς εἰσι ζῶν. Σημείωσαι δὲ, ὅτι τὰ νοητὰ πάντα πρώτως μετέχει τοῦ Θεοῦ. Ἐκφαντορικαὶ δὲ, τουτέστιν ἐξαγγελτικαί.

Τῆς Ἀγγελικῆς ἐπωνυμίας.] Σημείωσαι τί κυρίως Ἄγγελος, καὶ ὅτι τὴν πρώτην αὐτοὺς τάξιν λέγει ἔχειν· ἔτι δὲ καὶ ὅπως δι᾽ Ἀγγέλων μυούμεθα· καὶ πῶς δι᾽ αὐτῶν ὁ νόμος ἐδόθη, καὶ ὅτι καὶ τοὺς πρὸ νόμου καὶ μετὰ νόμον Πατέρας ἡμῶν Ἄγγελοι πρὸς τὸ Θεῖον ἀνῆγον.

Κλεινούς.] Ἐνδόξους. Τὸ δὲ Πρακτέον, ὡς ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ Γεδεὼν, καὶ ἄλλων. Πρὸς εὐθεῖαν δὲ ὁδὸν ἀπὸ ἀνιέρου ζωῆς, ὡς ἐπὶ τοῦ Κορνηλίου τοῦ Ἑκατοντάρχου· πρῶτος γὰρ ἐξ ἀπίστων ἐθνῶν μετετέθη. Τάξεις δὲ ἱερὰς, ὡς ἐπὶ τοῦ Δανιὴλ, Μυρίαι μυριάδες· καὶ τοῦ Ἰεζεκιὴλ τὰ Χερουβὶμ, καὶ τοῦ Ἡσαΐου τὰ Σεραφὶμ ὤφθησαν. Ὑπερκοσμίους δὲ ὁράσεις, ὡς ἐπὶ τοῦ Παύλου ἁρπαγέντος ἕως τρίτου οὐρανοῦ, καὶ ἐπὶ τῆς τοῦ θείου Ἰωάννου Ἀποκαλύψεως.

Ἀμέσως.] Τουτέστιν, ἄνευ τῆς τῶν Ἀγγέλων διακονίας.

Ὡς αὐτὸ ὅ,τι ποτέ ἐστι.] Ὅρα πῶς ἐξηγεῖται τὸ ῥητὸν τὸ λέγον, Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὅπερ ἀληθέστατον ἡγοῦμαι, καὶ εἰδὼς ὅτι εἰσὶ Γραφικὰ ῥήματα λέγοντα, ὡς ὁ Θεὸς ὤφθη τοῖς ἀνθρώποις, ὡς ἐπὶ τοῦ Ἀδὰμ, ὡς ἐν τῷ παραδείσῳ, καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἐν τῇ δρυῒ τῇ Μαμβρῇ· καὶ ὅτε εἰς Σόδομα ἐπορεύοντο· καὶ τῷ Μωϋσεῖ εἰς τὸ ὄρος, εἰ καὶ τὰ ὀπίσθια λέγεται ἑωρακέναι. Καὶ λέγει ὅτι αὐτὸ μὲν τὸ κρύφιον τοῦ Θεοῦ οὐδεὶς ἑώρακεν, οὐδὲ ὄψεται, ὅπερ ἐστὶν οὐσία αὐτοῦ, ἢ καὶ ὑψηλότερον, ὅτι οὐδεὶς κατανοῆσαι καὶ φράσαι δύναται ἢ δυνήσεται, τί ἐστιν ὁ Θεός. Εἰ δὲ καὶ ἐγένοντό τισι θεοφάνειαι τῶν Ἁγίων, νόησον, ὅτι ἀναλόγως ἕκαστος τῆς ἰδίας πίστεως ἠξιοῦτό τινος ὁράσεως ἐμφαινούσης αὐτῷ τὸ Θεῖον, δι᾽ ἧς τὴν ἔλλαμψιν ἐδέχετο τῶν εἰς αὐτὸν ἐρχομένων θείων γνώσεων.

Ὡς ἐν μορφώσει.] Οἶμαι τὴν μεταμόρφωσιν λέγει, ἢ τὸ ἐν τῷ Σιναίῳ ὄρει θαῦμα ὡς πῦρ.

Θεοφάνειαν.] Θεοφάνειαν εἶναί φησιν, οὐ διὰ τὸ φαίνειν τὸν Θεὸν καὶ δεικνύειν ὅ,τι ποτέ ἐστι· τοῦτο γὰρ ἀμήχανον· ἀλλ᾽ ὅτι θείας ἐλλάμψεως οἱ ἅγιοι ἀξιοῦνται, διά τινων ὁράσεων ἱερῶν καὶ αὐτοῖς ἀναλόγων, ἃς δι᾽ Ἀγγέλων γίνεσθαι λέγει.

Θεσμο-

Θεσμοθεσίαν.] Σημείωσαι, ὅτι καὶ ὁ νόμος ἑτέρας θείας νομοθεσίας ὑποτύπωσίς ἐστι, τουτέστι τῆς κατὰ Χριστὸν θείας ἐνανθρωπήσεως. Ὅτι δὲ δι' Ἀγγέλων ἐδόθη ἡ πρώτη νομοθεσία, δηλοῖ καὶ ὁ ἅγιος Στέφανος λέγων, Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς Ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Αὐτήν.] Τὴν θεσμοθεσίαν δηλονότι.

Τὸ διὰ τῶν πρώτων.] Σημείωσαι, πῶς διὰ τῶν πρώτων, τουτέστι τῶν ἀναβεβηκότων, τὰ δεύτερα, ἀντὶ τοῦ, τὰ ὑποβεβηκότα, πρὸς Θεὸν ἀνάγονται καὶ περὶ τῶν Ἀγγελικῶν διατάξεων.

Ὑπερούσιον.] Ὑπερούσιον ταξιαρχίαν, τὴν τῆς τάξεως αὐτῶν ἀρχὴν καὶ ποιητικὴν αἰτίαν ἔφη.

Γαβριήλ.] Σημείωσαι, ὅτι τὰ περὶ τῆς ἐνανθρωπήσεως πρῶτοι μυοῦνται Ἄγγελοι, ὡς δηλοῖ τὰ κατὰ τὸν θειότατον Γαβριήλ, μαθόντα τὰ περὶ τοῦ ἁγίου Ἰωάννου· εὐαγγελισάμενον δὲ καὶ τῇ Παρθένῳ, ὅτι ἐκ Πνεύματος ἁγίου συλλήψεται σαρκούμενον τὸν Θεὸν Λόγον.

Ἀνδρικῆς.] Ἀνδρικὴ θεουργία, ἡ Χριστοῦ ἐνανθρώπησις, καθ' ἣν Θεὸς ὢν ἐν σαρκὶ, τὰ θεῖα εἰργάζετο. Σκόπει δὲ, πῶς εἰπὼν ἐνταῦθα τὸν Ἰησοῦν, ἀνδρικὴν θεουργίαν, καὶ διὰ μὲν τοῦ λέγειν ἀνδρικὴν, δηλῶν ὅτι τέλειος ἄνθρωπος γέγονε· διὰ δὲ τοῦ θεουργίαν, ὅτι Θεός ἐστι καὶ ἄνθρωπος, ὁ αὐτὸς τὰς θεοσημίας ἐργασάμενος, μετὰ βραχὺ λέγει, ὅτι ἀμετάβλητος· ἔμεινε γὰρ καὶ ὃ ἦν ἀεί. Κἀκεῖνο δὲ πάλιν ὅρα, πῶς φησὶν ἐν τῇ ἁγίᾳ Θεοτόκῳ Μαρίᾳ γίνεσθαι τῆς ἀρρήτου θεοπλασίας τὸ θεαρχικὸν μυστήριον. Θεοπλασίαν δὲ λέγει, δηλῶν ὅτι Θεὸς ἐπλάσθη, καθ' ὃ γέγονεν ἄνθρωπος, ὡς τὸ εἰρημένον, Ὁ Λόγος σὰρξ ἐγένετο. Θεαρχικὸν δὲ, ὅτι τοῦ Θεοῦ, τοῦ αἰτίου καὶ ἀρχῆς ὄντος τῶν λεγομένων θεῶν, Ἀγγέλων τε καὶ δικαίων ἀνθρώπων, τὸ μυστήριον τῆς ἐνανθρωπήσεως ἦν, ὃ Θεὸν Ἰησοῦν προσωνόμασε.

Τὴν δὲ Μαριάμ.] Σημείωσαι ταῦτα κατὰ Νεστοριανῶν. Οὐ πάντες δὲ Ἄγγελοι ἐθαῤῥήθησαν τὸ μυστήριον τῆς οἰκονομίας· ἐπεὶ, ὅτε ἀνελαμβάνετο ὁ Κύριος μετὰ τὸ πάθος, τινὲς ἦσαν οἱ λέγοντες, Ὅτι τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; ἡ γὰρ ἐρώτησις ἄγνοιαν ἐμφαίνει. Σημείωσαι κατὰ Νεστοριανῶν καὶ Ἀκεφάλων, ὅτι τὸν Ἰησοῦν ὑπερούσιον αἰτίαν φησὶν, ἅτε ποιητὴν ὄντα πάντων· καὶ ὅτι ἀμε-

LEGISLATIONEM.] Nota, legem alterius etiam diuinæ legislationis figuram existere, scilicet diuinæ secundùm Christum incarnationis. Primam autem legem etiam per Angelos datam esse, sanctus quoque Stephanus declarat, dicens: *Qui accepistis legem in dispositione Angelorum, & non custodistis.* Act. 7, 53.

Lex per Angelos data.

EAM.] Legislationem nimirum.

VT PER PRIMA.] Obserua, quâ ratione per prima, hoc est per superiora; posteriora, hoc est inferiora, per Angelicas dispositiones ad Deum perducantur.

SVPERSVBSTANTIALI.] Supersubstantialem primordialem ordinem, vocauit eorum principium & causam effectiuam.

GABRIEL.] Nota, primos etiam Angelos doceri incarnationem; vti probant illa quæ contigerunt circa Gabrielem, discentem ea quæ S. Ioannem concernebant, & annuntiantem Virgini, quòd ex sancto Spiritu conceptura esset Verbum Deum incarnatum. §. 4.

HVMANÆ.] Humana [seu virilis] Dei operatio, est Christi incarnatio, secundùm quam Deus in carne existens, opera diuina patrabat. Obserua verò, quomodo hîc, cùm dixit Iesum virilem Dei operationem, dicendo quidem virilem, perfectum hominem fuisse; dicendo verò Dei operationem, ipsum Deum & hominem diuina signa edidisse declarans; paulò pòst ait fuisse immutabilem: mansit enim quod semper erat. Atque illud iterùm considera, quomodo in sanctâ Deiparâ Mariâ ineffabilis Deiformationis diuino-principale mysterium dicat consummari. Deiformationem autem dixit, significans formatum esse Deum, in quantum homo factus, iuxta illud, *Verbum caro factum est:* Diuinoprincipale verò, quia nimirum Dei, vtpote qui eorum qui dicuntur dij, Angelorumq; & iustorum hominum auctor & principium existit, opus est incarnationis mysterium, quod antè Deum Iesum nominauit. Ioan. 1, 14.

Qua est virilis Dei operatio.

MARIAM AVTEM.] Nota hæc contra Nestorianos. Non omnes autem Angeli certiores erant de mysterio Incarnationis; quandoquidem, quando Dominus post passionem assumebatur, quidam Angeli petebant: *Quis est iste Rex gloriæ?* interrogatio enim ignorationem innuit. Nota contra Nestorianos & Psal. 23, 8.

Acephalos, quòd Iesum superessentialem causam vocet, tamquam omnium conditorem;

& quòd dicat, eum immutabiliter nobis similem factum esse: non sunt autem hæc eadem atque vna natura, quantumuis ipse sit vtrumque. Item, quòd ipse quoque sit Legislator & sublex; & quòd ipse, tamquam homo, per Angelos dirigebatur, cùm in decessu in Ægyptū, tum in reditu ex eodem; & quoniam ipse etiam Creator est Angelorum: ita vt idem atq; vnus Christus in duabus naturis, magnum dispensationis mysterium consummarit. Dictum est enim: *Qui cùm in formâ Dei esset, non rapinam arbitratus est esse se æqualē Deo: sed semetipsum exinaniuit formam serui accipiens.* Ecce duas formas: quòd enim hîc dicit, *non refugit*, id est, *non rapinam arbitratus est*, hoc est, non dedignatus est, tamquam homo, Angelis obedire. Congruè autem per Angelos Dei ac Patris informationibus subiicitur; siquidem ipse hos ad humanum genus dirigendum ordinauit.

Christus Legislator & sublex.

Phil. 2,6.

IMMVTABILITER.] Neque enim in diuinam naturam conuersa fuit.

NON REFVGIT.] Quæ enim ab ipso constituta siue prædefinita fuerunt, ipse ad extremum vsque assumpsit, & in semetipso exhibuit.

ET PER ANGELOS.] Factus enim sub lege, quæ constituta fuit per Angelos in manu mediatoris.

ET DE ANGELO.] Citat etiam Magnus Dionysius Caput de Angelo Dominum confirmante, quod in Lucâ habetur; quin imò potiùs aît illud sibi ac sancto Timotheo in mysterio & occultè traditum à sancto Paulo: ipsius enim prædicationē S. Lucas conscripsit. Hoc autem eum quasi in mysterio accepisse declaratur, cùm ait, ea sacrosanctis nostris traditionibus expressa esse. Obserua etiam aliam interpretationem, quæ illud Isaiæ Prophetæ, vbi *magni consilij Angelum* nominat, ipsi recèns in carne nato conuenire ait, atque ideò Angelum dictū asserit, quòd Patris consilium nobis annuntiauit. Cùm enim nos per passionem suam seruauit, Patris hoc quoque consilium fuisse declarauit: nequaquam enim, tamquam inferior Patre, Angelus appellabatur; quod militat aduersus Arrianos. Caput autem de Angelo confortante, noli contra sacræ Scripturæ interpretationem accipere; quoniam id secundùm carnem intelligendum est: nam

Luc. 22.

Quid de Angelo Dominum confortante dicendum.

Isa. 9, 6.

ταβόλως λέγει αὐτὸν γεγενῆσθαι καθ᾽ ἡμᾶς· οὐχ ἡ αὐτὴ δὲ καὶ μία ταῦτα φύσις, εἰ καὶ ὁ αὐτὸς τὰ δύο. Καὶ ὅτι αὐτὸς καὶ νομοθέτης καὶ ὑπὸ νόμον· καὶ ὅτι καὶ αὐτὸς, ὡς ἄνθρωπος, δι᾽ Ἀγγέλων διετάττετο, ἔν τε τῇ εἰς Αἴγυπτον ἀναχωρήσει, καὶ ἐν τῇ ἐξ αὐτῆς ὑποστροφῇ· καὶ ὅτι αὐτός ἐστιν ὁ καὶ τῶν Ἀγγέλων δημιουργός· ὥστε εἷς καὶ αὐτὸς Χριστὸς ἐν δύο φύσεσι τὸ μέγα τῆς οἰκονομίας κατεπράξατο μυστήριον. Εἴρηται γὰρ, Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσον Θεῷ· ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Ἰδοὺ δύο μορφαί· ὅπερ γὰρ φησὶν ἐνταῦθα, οὐκ ἀποπηδᾷ, τοῦτό ἐστι τὸ, οὐχ ἁρπαγμὸν ἡγήσατο, τουτέστιν, οὐκ ἀπηξίωσεν ὡς ἄνθρωπος ὑπακοῦσαι καὶ Ἀγγέλοις. Εὐπειθῶς δὲ ὑποτάττεται ταῖς τοῦ Θεοῦ καὶ Πατρὸς δι᾽ Ἀγγέλων ὑποτυπώσεσιν· αὐτὰς γὰρ οὗτος ἔταξε τὸ ἀνθρώπινον γένος διέπειν.

Ἀμεταβόλως.] Οὐ γὰρ ἐτράπη εἰς τὴν θείαν φύσιν.

Οὐκ ἀποπηδᾷ.] Τὰ γὰρ ὑπ᾽ αὐτοῦ ταχθέντα, ἤγουν προορισθέντα, αὐτὸς ἐπ᾽ ἐσχάταν ἀνέλαβε, καὶ εἰς ἑαυτὸν ἔδειξε.

Καὶ δι᾽ Ἀγγέλων.] Γέγονε γὰρ ὑπὸ νόμον, ὃς ἦν διαταγεὶς δι᾽ Ἀγγέλων ἐν χειρὶ μεσίτου.

Καὶ περὶ τοῦ Ἀγγέλου.] Ὅτι τὸ τοῦ ἐνισχύσαντος Ἀγγέλου τὸν Κύριον κεφάλαιον, ὅπερ ἐν τῷ κατὰ Λουκᾶν φέρεται, λέγει καὶ ὁ μέγας Διονύσιος· καὶ ὅτι ἀγράφως μᾶλλον ἐν μυστηρίῳ κρυφίως αὐτὸ παρεδόθη αὐτῷ καὶ τῷ ἁγίῳ Τιμοθέῳ ὑπὸ τοῦ Ἀποστόλου Παύλου· τὸ γὰρ αὐτοῦ κήρυγμα συνέγραψεν ὁ Λουκᾶς. Δηλοῦται δὲ τοῦτο, ὅτι ὡς ἐν μυστηρίῳ παρέλαβεν, ἀπὸ τοῦ εἰπεῖν, ταῖς ἱερατικαῖς ἡμῶν παραδόσεσιν ἐκπεφασμένα. Ὅρα δὲ καὶ τὴν ἄλλην ἑρμηνείαν, ἥτις φησί· τὸ γὰρ εἰρῆσθαι παρὰ τῷ Ἡσαΐᾳ τῆς μεγάλης βουλῆς Ἄγγελον, ὀνομάζεσθαι τὸ γεννηθὲν παιδίον τῇ σαρκὶ αὐτοῦ πρέπειν φησί· καὶ διὰ τί ἐκλήθη Ἄγγελος, ὅτι τὴν τοῦ Πατρὸς βουλὴν ἀνήγγειλεν ἡμῖν. Σώσας γὰρ ἡμᾶς διὰ τοῦ οἰκείου πάθους, ἔδειξεν ὅτι καὶ ὁ Πατὴρ ταύτης ἦν τῆς βουλῆς· οὔτε γὰρ ὡς ὑποβεβηκὼς τοῦ Πατρὸς ἐκλήθη Ἄγγελος· πρὸς Ἀρειανοὺς τοῦτο. Τὸ τοῦ ἐνισχύσαντος Ἀγγέλου κεφάλαιον μὴ παρὰ τὴν ἑρμηνείαν δέξῃ τῆς ἁγίας Γραφῆς· πρὸς γὰρ τὴν σάρκα ὀφείλει τοῦτο νοεῖσθαι·

καὶ

καὶ ἀλλαχοῦ γάρ φησι τὸ Εὐαγγέλιον, μετὰ τοὺς πειρασμοὺς, ὅτι προσελθόντες Ἄγγελοι διηκόνουν αὐτῷ, καὶ ὅτι ἐκοπίασεν ἐκ τῆς ὁδοιπορείας, καὶ ὅτι ἐπείνησε· ταῦτα γὰρ πάντα δείκνυσιν, ὅτι τέλειον ἀνέλαβεν ἄνθρωπον μετὰ τῶν αὐτοῦ παθημάτων. Ἀλλ' ἐρεῖ τις, Ποῦ χρεία ἦν Ἀγγέλου, θειότητος παρούσης; Λέγομεν οὖν, ὅτι τὰ πλείω ὁ Θεὸς δι' Ἀγγέλων θαυματουργεῖ, καὶ τοῦτο λέγει πᾶσα ἡ θεία Γραφή.

Ἐκφαντορικήν.] Κατὰ τὸ πρὸς τὸν Πατέρα ὑπ' αὐτοῦ λεχθὲν, Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.

SCHOLIA S. MAXIMI.

etiam alibi tradit Euangelium, quòd, post tentationes, accedentes *Angeli ministrabant ei*, & Matt.4,11
quòd *ex itinere* fuerit *fatigatus*, & quòd esurierit: Ioan.4,6.
hæc enim omnia declarant, eum hominem perfectum cum suis affectionibus assumpsisse. At dicet aliquis: Quid opus erat Angelo, præsente diuinitate? Dicimus ergo, Deum plurima miracula per Angelos patrare; quoniam hoc vniuersa Scriptura docet.

MANIFESTATORIUM.] Iuxta illud ad Patrem ab ipso dictum: *Manifestaui* Ioan.17,6.
nomen tuum hominibus.

PARAPHRASIS PACHYMERÆ.

ΤΗΣ Ἱεραρχίας αὐτῆς ἁπάσης καὶ καθολικῆς, κἂν τὴν οὐρανίαν εἴποις, κἂν τὴν καθ' ἡμᾶς, ὁρισθείσης καλῶς ὡς ὑπολαμβάνω, κατὰ μετριασμὸν Φιλόσοφον, τί ἐστι, φέρε τὴν Ἀγγελικὴν τό γε νῦν ἔχον Ἱεραρχίαν καὶ μόνην ζητήσωμεν καὶ μάθωμεν, ὃ δὴ ὕμνος ἐστὶ πρὸς τὸν ποιήσαντα ταύτας Θεόν. Εἰ γὰρ καὶ ἐκ τῶν ἀνθρώπων θαυμαστοῦται ἡ τοῦ Θεοῦ γνῶσις, κατὰ τὸ, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· πόσῳ γε μᾶλλον μεγαλυνθήσεται καὶ ὑμνηθήσεται ἡ ὑπεράρχιος θεότης, ἐν ᾧ περὶ τῶν Ἀγγέλων θεωροῦμεν. Ἀλλ' οὐκ αἰσθητοῖς, ὑπερκοσμίοις δὲ καὶ νοητοῖς ὀφθαλμοῖς· ὅπως διὰ τῶν ἐν ταῖς Γραφαῖς μυστικῶν εἰκονισμάτων, ἀναχθῶμεν εἰς τὴν τούτων ἁπλότητα. Ἀκούομεν γὰρ ἐν ταῖς Γραφαῖς βοῦς καὶ λέοντας, καὶ ἑτέρας συνθέσεις τινὰς, ἃς δὴ τῷ νοῒ περιπέμποντες, κατὰ τὴν οἰκείαν ἕξιν ἀξιοῦμεν αὐτὰς ἐννοεῖν· καὶ οὕτως τὸ σύνθετον τῇ αἰσθήσει, ἁπλοῦν τῷ νοῒ γίνεται· καὶ θαυμάζεται ἡ αἰτία τῆς ἱεραρχικῆς ἐπιστήμης, ἤγουν ὁ Θεὸς, ἐν τελεταρχικαῖς καὶ προσηκούσαις εὐχαριστίαις. Ὡς γὰρ ὁ Βασιλεὺς βασιλικοῖς λόγοις, οἱονεὶ τῇ βασιλείᾳ προσήκουσι, μεγαλύνεται· οὕτω καὶ ἡ τελετάρχις οὐσία, λόγοις τελεταρχικοῖς εὐχαριστεῖται.

Πρῶτον δ' ἁπάντων ἐκεῖνο λέγομεν κατ' ἀλήθειαν, ἵνα μὴ ἀκούσας τις τὸ τῶν δυνάμεων μεγαλεῖον, ὑπὲρ τὰ κτίσματα λογίσαιτο ταύτας. Λέγομεν τοίνυν, ὅτι πάσας αὐτὰς ἀγαθότητι, καὶ οὐ χρείᾳ, ὁ Θεὸς ὑπέ-

HIERARCHIA ipsâ omni & vniuersâ, §.1.
siue cælestem dixeris, siue nostram, rectè quidem, vt existimo, quid sit, pro philosophandi modulo definitâ, age nunc Angelicam, eamque solam, vt sese habet, Hierarchiam indagemus & discamus; quod vtique in auctoris eorum Dei laudem cedit. Nam si etiam ex hominibus cognitio Dei mirificatur,
iuxta illud, *Mirabilis facta est scientia tua* Psal.138,6.
ex me; quantò magis, quæ supra principium est, diuinitas magnificabitur & celebrabitur
in eo quod de Angelis contemplamur? Verùm non sensilibus, sed supermundialibus Spiritalia spiritaliter consideranda.
& intellectilibus oculis; vt per mysticas imagines in Scripturis expressas, ad eorum simplicitatem adducamur. Siquidem audimus in Scripturis boues & leones, aliasque quasdam compositiones, quas dum mente peruoluimus, secundùm proprium habitum easdem consideramus: atque ita, quod sensu compositum est, fit mente simplex; atque Hierarchicæ disciplinæ auctor, scilicet Deus, gratiarum actionibus, cærimoniarum conditori competentibus, mirabilis prædicatur. Quemadmodum enim Rex verbis regiis, quæ nimirum regiæ dignitati competunt, magnificatur; ita quoque naturæ illi, quæ ritus sacros instituit, verbis ritualibus, ipsi congruentibus, gratiæ referuntur.

Primùm autem omnium secundùm veritatem dicimus, ne quis virtutum audiens magnitudinem, supra creaturas eas reputet. Dicimus, inquam, has omnes Deum bonitate,

PARAPHRASIS PACHYMERÆ.

Quomodo Deus se cuilibet rei communicet.

te, non necessitate, condidisse: siquidem hoc auctoris omnium & super omnia Dei bonitatis proprium est, ad sui communionem ea quę existunt inuitare, iuxta capacitatis cuiusque definitionem. Nam eâ ratione quâ quid est, diuinum quoque Numen participat; vt si inanimatum sit, entitatem solam habeat; sin animal, etiam ipsam vitam; sin verò etiam particeps rationis, ratiocinandi & intelligendi facultatem; vti in decursu adstruit. Quæcumque igitur existunt, diuinam participant prouidentiam ex superessentiali Deitate promanantem. Hinc enim inquit Gregorius Theologus, Bonum diffundi oportebat: quoniam malum neq; subsistentiam habet, neque existentiam; quandoquidem Dei non sit particeps, secundùm habitus priuationem apparens, sed nec exemplariter in essentiâ existens. Quomodo enim quidquam erat, si rerum essentiam nequaquam participabat? Existentem autem vocat hîc sanctissimam Trinitatem; quæ cùm rerum creatarum sit creatrix, & principium, & causa, ab iis ipsis quæ per ipsam in lucem prodierunt, participari dicitur.

Quomodo res qualibet Deum participet.

Quæ itaque inanimata sunt omnia, cùm solùm sint, participant diuinum Numen secundùm esse, quamquam supra illud esse sit Numen Dei: quæ verò viuunt, præterquam quòd participent entitatem, vim quoque viuificam ac diuinam participant, tametsi hæc quoque supra omnem vitam existat: quæ verò rationalia sunt, vti nos, & spiritalia, sicut Angeli, compotes sunt ipsius per se perfectæ sapientiæ; siquidem hæc ratio est & intellectio Dei, licet simul sit supra rationem & intelligentiam. Ex his itaque præstantiores euadimus, quoniam spiritalia Deo prorsus appropinquant; siquidem ipsum multipliciter participant, tum quòd sint, tum quòd viuant, tum quòd rationalia sint atque insuper spiritalia.

§. 2. *Cælestes spiritus maximè Deum participant.*

Sanctæ igitur cælestesque dispositiones superant ea quæ solùm sunt inanimata, atque ea quæ sine ratione viuunt, nec non ea quæ nobiscum hominibus ratione reguntur: illa siquidem simpliciter, ista dupliciter, atque hæc tripliciter diuinum munus participant; sed spiritales istæ cælestesque naturæ quadrupliciter ac multipliciter eius cōpotes existūt. Interim minimè, quemadmodum nobis vsu venit vt ex partibus nobilioribus appellemur, & magis propriè rationis compotes dicamur, quàm vel animalia, vel entia, ita etiam circa

στησεν· ἔστι γὰρ τοῦτο τῆς ἀγαθότητος ἴδιον, τοῦ Θεοῦ τῆς πάντων αἰτίας καὶ ὑπὲρ πάντα, τὸ πρὸς μετοχὴν ἑαυτῆς τὰ ὑποστάντα καλεῖν, κατὰ τὸν τῆς ἀναλογίας ἑκάστου διορισμόν. Ἀναλόγως γὰρ καθώς ἐστι τὸ ὄν, κατὰ τοῦτο καὶ τοῦ Θείου μετέχει· εἰ καὶ ἄψυχόν ἐστι, τὴν ὀντότητα μόνην ἔχει· εἰ δὲ ζῶον, καὶ αὐτὴν τὴν ζωήν· εἰ δὲ καὶ λογικὸν, καὶ αὐτὸ τὸ λογικόν τε καὶ νοερὸν, καθὼς προϊὼν τίθησι. Πάντα τὰ ὄντα τοίνυν μετέχει τῆς θείας προνοίας, ἐκ τῆς ὑπερουσίου θεότητος ἐκκεχυμένης. Ἐκ τούτου γὰρ λέγει καὶ ὁ Θεολόγος Γρηγόριος, Ἀλλ' ἔδει χυθῆναι τὸ ἀγαθόν· ὥστε ἀνυπόστατον τὸ κακὸν καὶ μὴ ὄν· ἐπειδὴ μὴ μετέχει τοῦ Θεοῦ, κατὰ στέρησιν ἕξεως φαινόμενον, ἀλλ' οὐ, κἂν τὸ πρωτοτύπως, μὴ ὂν ἐν οὐσίᾳ. Πῶς γὰρ ἂν ἦν τι ὂν, εἰ μὴ μετεῖχε τῆς ὄντων οὐσίας; Ὄντα δὲ ἐνταῦθα λέγει τὴν ἁγίαν Τριάδα, ἥτις τῶν κτισθέντων οὖσα δημιουργὸς, καὶ ἀρχὴ, καὶ αἰτία, ἐξ αὐτῶν τῶν παρ' αὐτῆς εἰς οὐσίαν ἐλθόντων, μετέχεσθαι λέγεται).

Τὰ μὲν οὖν ἄψυχα πάντα, ἐπεὶ μόνον ὄντα εἰσὶ, μετέχει τοῦ Θείου κατὰ τὸ εἶναι καὶ καθὸ εἰσὶ, κἂν καὶ ὑπὲρ τὸ εἶναί ἐστι τὸ Θεῖον· τὰ δὲ ζῶντα, πρὸς τῷ μετέχειν τοῦ εἶναι, μετέχουσι καὶ τῆς ζωοποιοῦ καὶ θείας δυνάμεως, εἰ καὶ ὑπὲρ πᾶσαν ζωήν ἐστι· τὰ δὲ λογικὰ, ἅπερ ἐσμὲν ἡμεῖς, καὶ νοερὰ, ἅπερ οἱ Ἄγγελοι, μετέχουσι τῆς αὐτοτελοῦς σοφίας· τοῦτο γάρ ἐστι λόγος καὶ νόησις τοῦ Θεοῦ, κἂν καὶ ὑπὲρ τὸν λόγον καὶ νοῦν ἐστὶ ταῦτα. Ποριζόμεθα τοίνυν ἐκ τούτων, ὅτι τὰ νοερὰ πάντως τῷ Θεῷ πλησιάζουσι· μετέχουσι γὰρ αὐτοῦ πολλαχῶς καὶ κατὰ τὸ εἶναι, καὶ κατὰ τὸ ζῆν, καὶ κατὰ τὸ λογικὰ εἶναι, καὶ ἔτι καὶ νοερά.

Αἱ γοῦν ἅγιαι καὶ οὐράνιαι διακοσμήσεις, καὶ ὑπὲρ τὰ μόνως ὄντα τὰ ἄψυχα, καὶ ὑπὲρ τὰ ἀλόγως ζῶντα, καὶ ὑπὲρ τὰ καθ' ἡμᾶς λογικὰ τοὺς ἀνθρώπους· τὰ μὲν γὰρ μόνως, τὰ δὲ διττῶς, τὰ δὲ τριττῶς, τῆς θείας μετέχουσι διαδόσεως· αἱ γοῦν νοεραὶ καὶ οὐράνιαι τετραχῶς τε καὶ πολλαχῶς ταύτης μετέχουσι. Τέως γε μὴν, ὥσπερ ἐφ' ἡμῶν ἐστιν εἰδεῖν, ὅτι ἐκ τῶν κρειττόνων λεγόμεθα, καὶ κυριωτέρως λεγόμεθα λογικοὶ παρ' ὃ ζῶα, ἢ καὶ ὄντα, οὕτω καὶ

ἐπὶ

PARAPHRASIS PACHYMERÆ.

ἐπὶ τῶν θείων δυνάμεων· καὶ ὄντα γάρ εἰσιν ἐκεῖναι, καὶ ζῶσι, καὶ λογικαί εἰσιν, ἀλλ' ὅμως νοεραὶ λέγονται. Καὶ ὥσπερ ἡμᾶς σεμνύνει τὸ κατὰ λόγον κινεῖσθαι, οὕτω κἀκείναις τὴν θεομιμησίαν παρέχει, νοερῶς κινουμέναις, καὶ πρὸς τὴν θεαρχικὴν ὁρώσαις ὁμοίωσιν, κἀκεῖθεν ἐφιεμέναις μορφοῦν τὸ νοερὸν αὐτῶν εἶδος· καὶ διὰ τοῦτο καὶ πλείονας εἰκότως ἔχουσι τὰς πρὸς αὐτὴν κοινωνίας, ὡς οὖσαι, ὡς ζῶσαι, ὡς λογικαί, καὶ ἔτι ὡς νοεραὶ καὶ προσεχεῖς μένουσαι, καὶ οὐ διεσκεδασμέναι κατὰ τὴν διάφορον γνώμην, ὅπερ ἐστὶν ἐν ἡμῖν (οἱ γὰρ ἐν Θεῷ ὄντες, συνηγμένοι εἰσί, καθὼς καὶ παρὰ τῶν θείων Γραφῶν μανθάνομεν. ὅτε γὰρ κατὰ κόσμον ἔμελλε κινεῖσθαι ὁ πρῶτος τῶν Μαθητῶν, ἔλεγεν, Ὑπάγω ἁλιεύειν, δηλονότι, χωρίζομαι ἐξ ὑμῶν· ὅτε δὲ ἐπίστευον οἱ πιστεύοντες, καὶ κατὰ Θεὸν ἦσαν, Ἦσαν, φησίν, ἐπὶ τὸ αὐτὸ συνηγμένοι) καὶ ἀεὶ ἀνατεινόμεναι πρὸς τὸ ἄναντες ἐν συντονίᾳ τοῦ θείου καὶ ἀκλινοῦς ἔρωτος. Τίς γὰρ ἐξ ἡμῶν ἐζήτησε πώποτε, καὶ ἔφεσιν ἔχε, βορείαν δέξασθαι κίνησιν, ἢ λίθου τινὰ ἰδιότητα; ἀλλὰ πάντως ἡ ἔφεσις ἐπὶ τὸ ἀναντές ἐστι. Τοῦτό ἐστι καὶ ἐπὶ ταῖς Ἀγγελικαῖς καὶ θείαις δυνάμεσιν, ἀεὶ καὶ ἐφίενται, καὶ εἰσδέχονται τὰς ἀρχικὰς καὶ θείας ἐλλάμψεις, καὶ πρὸς τὰς ἐλλάμψεις τάττονται, καὶ τὴν ζωὴν ἅπασαν ἑαυτῶν νοερὰν ἔχουσιν· αἱ γὰρ αὐτῶν οὐσίαι, νοῦς ζῶν ἐστί· διὰ τοῦτο καί, ὡς μὲν προσεχεῖς, πρώτως ἐν μετουσίᾳ γίνονται· ὡς δὲ πολλὰς ἔχουσαι τὰς τῆς μετουσίας φυσικὰς ἐπιτηδειότητας, πολλαχῶς ἐν μετουσίᾳ τοῦ Θείου γίνονται, καὶ πρώτως πάλιν καὶ πολλαχῶς ἐξαγγέλλουσι τὴν θεαρχικὴν κρυφιότητα, διὸ καὶ Ἄγγελοι λέγονται, ἤτοι διὰ τὸ τὴν θείαν Θεοῦ κρυφιότητα ἐκφαίνεσθαι δι' αὐτῶν, ὅτι ὤν, ὅτι ζῶν, ὅτι νοῦς, εἰ καὶ ὑπὲρ ταῦτα ἀσυγκρίτως ἐστίν, ἢ καὶ διὰ τὸ δι' αὐτῶν ἡμῖν διαπορθμεύεσθαι τὴν θείαν βούλησιν. οὕτω γὰρ καὶ ὁ νόμος δι' Ἀγγέλων ἐλαλήθη κατὰ τὸν μέγαν Ἀπόστολον· καὶ τοὺς ἐνδόξους πρὸ νόμου, ὡς τὸν Ἀβραὰμ καὶ τὸν Μανωέ, καὶ τοὺς λοιπούς· καὶ μετὰ νόμον, ὡς τὸν Ἰωσήφ, τὸν Πέτρον, τοὺς καθεξῆς Πατέρας ἡμῶν, Ἄγγελοι πρὸς τὸ Θεῖον ἀνήγαγον βούλημα, ἢ τὸ ποιητέον εἰσηγούμενοι, καὶ ἐκ πλάνης μετάγοντες, ὡς ἐπὶ τοῦ Κορνηλίου· ἢ τάξεις ἱεράς, ὡς ἐπὶ τοῦ Δανιήλ, καὶ τοῦ Ἰεζε-

cæleſtes illas virtutes agitur:ſunt namq; entia, & viuunt, & ratione pollent, & nihilominus ſimul ſpiritales nuncupantur. Et ſicut nobis laudi eſt, ſecundùm rationem moueri; ita quoque illis ſpiritaliter motis, & ad diuinam ſpectantibus ſimilitudinem, indeque ſpiritalem ſuam ſpeciem efformare cupientibus, diuinam tribuit imitationem: quapropter etiam meritò in pluribus cum eâdem communicant,tamquam exiſtentes,tamquã viuentes, tamquam rationales,atque inſuper tamquam ſpiritales atq; aſſiduæ manentes, & nequaquã diſtractæ per diuerſam ſententiam, vti nobis accidit (qui enim in Deo ſunt, collecti ſunt, ſicut ex diuinis Scriptis intelligimus. quando enim primus ille Diſcipulorũ ſecundùm mũdum commouendus erat,dicebat,*Vado piſcari*,id eſt, diſcedo à vobis: quando autem credebant fideles, & apud Deum erant, *Erant*, inquit,*in vnum collecti*,) & ad anteriora ſemper ſummo diuini & indeficientis amoris ſtudio intentæ. Quis enim è nobis quæſiuit vmquam vel deſiderauit bouinum motum accipere, vel aliquam lapidis proprietatem? ſed omne omnino deſiderium ad ſuperiora tendit. Hoc in Angelicis quoque virtutibus locum habet, quæ ſemper etiam ſuperiora appetunt, & primordiales atque diuinas ſuſcipiunt illuſtrationes, & ſecũdùm illas ordinantur, omnemque vitam ſuam habent ſpiritalẽ: ſiquidem eorum naturæ, ſunt viua quædam mens; idcircò etiam, tamquam aſſiduæ quidem, primam habent participationem: in quantum verò multas habent naturales communicandi facultates, multipliciter diuini numinis conſortes fiunt; ideoq; iterùm, primùm ac multipliciter diuinum illud arcanum enuntiant, propter quod & Angeli dicuntur: quoniam per illos diuinum illud Dei ſecretum manifeſtatur, vt, quòd ſit, quòd viuat, quòd mens ſit, tametſi ſupra illa ſine comparatione ſit: vel etiam,quòd per illos ad nos diuina voluntas deferatur; ſic enim & lex per Angelos promulgata eſt,vt magnus Apoſtolus teſtatur: & inclytos ante legem, vt Abraham & Manue ceteroſque; & poſt legem, Ioſephum, & Petrum,reliquoſque Patres noſtros, Angeli ad diuinam voluntatem deduxerunt, partim quid agendum eſſet edocentes,& ab errore remouentes, vti Cornelium; partim ad ſacros ordines adducentes,vti Danielem, Ezechie-

Ioan.21,3.

Quomodo omne deſiderium ſit rerum ſuperiorum.

Per Angelos Dei voluntas intimatur.

PARAPHRASIS PACHYMERÆ.

lem, & Isaiam; quorum alter quidem mille myriades Angelorum adstantes conspexit, alter verò thronum vidit, & quæ Cherubim habebant; alter verò sedentem in throno, & in circuitu Seraphim aspexit: partim visiones mysteriorum, vt Moysi in rubo; partim etiam diuinas prædictiones reuelantes, vt Manoë ac Danieli.

§.3. Soluit hîc obiectionem, dicens: Si autem quis dixerit, quòd etiam sine Angelis aliquibus diuinæ factæ sint apparitiones, iuxta il-
Gen. 12,7. lud, Apparuit Dominus Abrahæ, &, Dixit
Gen.35,1. Deus ad Iacob; discat & hoc euidenter, non ex nobis, sed ex ipsis Scripturis, quomodo hoc
Ioan.1,18. quidem, quod est Dei occultum, nemo vidit neque videbit, secundùm Euangelistam Ioan-
Exod. 33. nem, & quod ad Moysem dictum est. Diuinæ verò apparitiones sanctis factæ sunt, non quòd ipsemet Deus, vt in se est, appareret (hoc enim impossibile est) sed quòd diuinâ illustratione digni habiti illi qui cernebant, per sacras quasdam visiones, ipsis proportionatas, viderint ea quæ viderunt.

Dei apparitio quid in Scripturâ. Illam itaque visionem, quæ diuinam similitudinem referebat, ex intuentium ad diuinũ Numen adductione atque illustratione, sapientissima Theologia Dei-apparitionem vocat, vtpote per quam diuinæ illustrationis insitæ visionem, intuentes diuina quoque aliqua edocebantur. Has autem visiones Patres nostri mediantibus cælestibus virtutibus didicerunt. Numquid enim etiam sacram legislationem ab ipsomet Deo Moysi datam, ex sacris Litteris addiscimus, vt nos doceat Moyses secundùm veritatem, hanc nimirum legislationem alterius diuinæ sacræque legislationis effigurationem esse, nempe eius quæ per Christum est, & diuini Verbi incarnationem?

Quin & Magnus ille Paulus hanc per Angelos promulgatam tradit, & sanctus Ste-
Act.7,53. phanus declarat, dicens: *Qui accepistis legem in dispositione Angelorum, & non custodistis.* siquidem hoc ipsa lex & ordo legis exigit: nam lex propter ordinem facta est. Exigit itaque tam lex quàm ordo eius, vt posteriora per priora ad diuinum Numen adducantur, quemadmodum legum dispositiones ferunt, quibus Sacerdotes populi coërcentur. Quod etiam locum habet in virtutibus cælestibus.

κιὴλ, καὶ τοῦ Ἠσαΐου· ὧν ὁ μὲν Ἀγγέλων μυρίας μυριάδας παρεστηκυίας ἐθεάσατο, ὁ δὲ θρόνον εἶδε καὶ ἐχόμενα τὰ Χερουβὶμ, ὁ δὲ τὸν καθήμενον ἐπὶ θρόνου, καὶ κύκλῳ τὰ Σεραφὶμ ἐθεάσατο· ἢ μυστηρίων ὁράσεις, ὡς ἐπὶ τοῦ Μωϋσοῦ ἐπὶ τῆς βάτου· ἢ καὶ θείας προῤῥήσεις ἀναφαίνοντες, ὡς ἐπὶ τοῦ Μανωὲ καὶ τοῦ Δανιήλ.

Λύει ἐνταῦθα ἀντίπτωσιν, λέγων· Εἰ δέ τις λέγει, ὅτι καὶ δίχα τῶν Ἀγγέλων ἐγένοντό τισι θεοφάνειαι, ὡς τὸ, Ὤφθη Κύριος τῷ Ἀβραὰμ, καὶ, Εἶπεν ὁ Θεὸς πρὸς τὸν Ἰακώβ· μανθανέτω καὶ τοῦτο σαφῶς οὐκ ἐξ ἡμῶν, ἀλλ' ἐξ αὐτῶν τῶν Γραφῶν, ὡς αὐτὸ μὲν τὸ τοῦ Θεοῦ κρύφιον οὐδεὶς ἑώρακεν ἢ ὄψεται, κατὰ τὸν Εὐαγγελιστὴν Ἰωάννην, καὶ τὸ πρὸς τὸν Μωϋσῆν εἰρημένον. Θεοφάνειαι δὲ τοῖς ὁσίοις ἐγένοντο, οὐ διὰ τὸ φαίνειν τὸν Θεὸν ἑαυτὸν ὅ,τι ποτέ ἐστι, (τοῦτο γὰρ ἀμήχανον) ἀλλ' ὅτι θείας ἐλλάμψεως ἀξιούμενοι οἱ βλέποντες, διά τινων ὁράσεων ἱερῶν, καὶ αὐτοῖς ἀναλόγων, ἔβλεπον ἅπερ ἔβλεπον.

Τὴν γοῦν ὅρασιν ἐκείνην, ἥτις ἐνέφαινε τὴν θείαν ὁμοίωσιν, ἐκ τῆς τῶν ὁρώντων ἐπὶ τὸ Θεῖον ἀναγωγῆς καὶ ἐλλάμψεως, ἡ πάνσοφος Θεολογία καλεῖ Θεοφάνειαν, ὡς δι' αὐτῆς δὴ τῆς ὁράσεως, τῆς θείας ἐγγινομένης ἐλλάμψεως, καί τι ὑπὸ τῶν θείων ἱερῶς μυουμένων τῶν ὁρώντων. Ταύτας δὲ τὰς ὁράσεις οἱ Πατέρες ἡμῶν διὰ μέσων τῶν οὐρανίων ἐμυοῦντο δυνάμεων. Ἢ γὰρ οὐχὶ καὶ τὴν ἱερὰν νομοθεσίαν αὐτόθεν ἐκ Θεοῦ τῷ Μωϋσῇ δεδωρημένην, ἐκ τῆς ἱερᾶς Γραφῆς μανθάνομεν, ὅπως ἂν ἡμᾶς μυήσῃ ὁ Μωϋσῆς κατ' ἀλήθειαν τὸ εἶναι τὴν θεσμοθεσίαν ταύτην θείας ἑτέρας καὶ ἱερᾶς νομοθεσίας ὑποτύπωσιν, τουτέστι τῆς κατὰ Χριστὸν καὶ τὴν τοῦ Λόγου θείαν ἐνανθρώπησιν;

Ἀλλὰ καὶ ὁ μέγας Παῦλος δι' Ἀγγέλων λαληθεῖσαν λέγει ταύτην, καὶ ὁ ἅγιος Στέφανος δηλοῖ, λέγων, Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς Ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. τοῦτο γὰρ ἀπαιτεῖ καὶ ἡ ἐκ νόμου τάξις· ὁ γὰρ νόμος διὰ τάξιν γέγονεν. Ἀπαιτεῖ γοῦν αὐτὸς ὁ νόμος καὶ ἡ τάξις αὐτοῦ, τὸ διά τινων πρώτων ἀνάγεσθαι πρὸς τὸ Θεῖον τὰ δεύτερα, ὡς ἔχουσιν αἱ τῶν νόμων διατάξεις, καθ' ἃς οἱ Ἱερεῖς τοῦ λαοῦ διαστέλλονται. Οὕτως ἐστὶ καὶ ἐπὶ τῶν οὐρανίων δυνάμεων.

Καὶ

Καὶ γὰρ οὐ μόνον ἐπὶ τῶν ὑψηλοτέρων τε καὶ ὑφειμένων δυνάμεων, δηλονότι τῶν τε ὑπεράνω τριῶν τάξεων, τῶν Σεραφὶμ, τῶν Χερουβὶμ, καὶ τῶν Θρόνων, καὶ τῶν ὑποκάτω τούτων τριῶν, καὶ ἔτι τῶν ὑποκάτω τριῶν, ἐστὶν ἰδεῖν τὸν τοιοῦτον θεσμὸν τῆς τάξεως· ἀλλὰ καὶ ἐπ' αὐτῶν μόνων τῶν ὁμοταγῶν, δηλονότι τῶν τριῶν μόνων, ὥστε εἶναι τὰς τάξεις, πρώτας, καὶ μέσας, καὶ τελευταίας· ἐπὶ μὲν γὰρ πάσαις τρεῖς, καὶ τρεῖς, καὶ τρεῖς εἰσὶν αἱ δυνάμεις· ἐπὶ δὲ μιᾷ ἑκάστῃ ὁμοταγεῖ τάξει, αἱ πᾶσαι τρεῖς εἰσιν, ὥστε κἀκεῖσε καὶ ἐνταῦθα τὸ πρῶτον, καὶ τὸ μέσον, καὶ τὸ τελευταῖον γνωρίζεσθαι. Πρέπον τοίνυν καὶ ἐπὶ τῶν κάτω ἐλλάμψεων, τὸ δι' ἄλλων, ἤτοι τῶν Ἀγγελικῶν τάξεων, ἀπὸ Θεοῦ πρὸς τοὺς ἀνθρώπους διαβιβάζεσθαι τὰ μυστήρια· ὅτι καὶ ἐκεῖσε οἱ θειότεροι μύσται, τῶν ἡττόνων χειραγωγοί εἰσιν ἐπὶ τὴν θείαν κοινωνίαν καὶ ἔλλαμψιν.

Βλέπω δὲ ὅτι καὶ τὸ περὶ τῆς ἐνσάρκου καὶ φιλανθρώπου τοῦ Ἰησοῦ οἰκονομίας μυστήριον, Ἄγγελοι πρῶτον ἐμυήθησαν, εἶτα διὰ τούτων εἰς ἀνθρώπους διέβη ἡ τῆς γνώσεως χάρις· οὕτω γὰρ καὶ Γαβριὴλ τὸν Ζαχαρίαν ἐμυσταγώγει, ὅτι Προφήτης ἔσται ὁ ἐξ αὐτοῦ παρ' ἐλπίδα γενησόμενος παῖς. Προφήτης δὲ ποίας ὑποθέσεως; τῆς κατὰ σάρκα ἐπιφανείας τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἀνδρικὴν γὰρ θεουργίαν, τὴν τοῦ δεσπότου Χριστοῦ ἐνανθρώπησιν λέγει, καθ' ἣν Θεὸς ὢν, ἐν σαρκὶ τὰ θεῖα εἰργάζετο. Τὴν δὲ Παρθένον θεοτόκον, ὅπως ἐν αὐτῇ γενήσεται τὸ ἄρρητον τῆς θεοπλασίας μυστήριον. Θεοπλασίαν δὲ λέγει, ὅτι Θεὸς ὢν ἐπλάσθη ἐν τῇ νηδύϊ τῆς παναγνοῦ Θεομήτορος, καθὸ γέγονεν ἄνθρωπος. Ἕτερος δὲ πάλιν τῶν Ἀγγέλων τὸν Ἰωσὴφ ἐδίδαξε, πῶς ὁ τῷ Δαβὶδ ἐπηγγελμένος ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ τεθήσεσθαι ἐπὶ τὸν θρόνον αὐτοῦ, ἤδη τὴν χρονικὴν ἀρχὴν κατὰ σῶμα δέχεται· καὶ ἄλλος τοὺς ποιμένας, ὡς τῶν πολλῶν ἀναχωρητικοὺς καὶ ἡσυχίᾳ ζῶντας, εὐηγγελίζετο· σὺν ᾧ καὶ πλῆθος οὐρανίας στρατιᾶς τὸν γεννηθέντα ἐδοξολόγει. Ταῦτα δὲ πάντα κατασκευαστικά εἰσι τοῦ διά τινων δυνάμεων τὰς θεοφανείας γίνεσθαι, καὶ οὐκ ἀμέσως, καθὼς οἰηθείη τις.

Ἤδη προβαίνων ὁ λόγος, μέχρι αὐτοῦ τοῦ Σωτῆρος πρόεισι· καὶ αὐτὸς γὰρ ἡ ὑπερούσιος αἰτία τῶν οὐρανίων δυνάμεων πρὸς τὸ καθ' ἡμᾶς ἀμεταβλήτως ἐληλυθὼς, οὐκ ἀποπηδᾷ τῆς ἀνθρωποπαθοῦς εὐταξίας, τὸ δι' Ἀγγέλων δηλονότι

In totâ Hierarchiâ seruatur subordinatio.

Etenim non solùm in sublimioribus inferioribusque virtutibus, trium scilicet supremorum ordinum, Seraphim, Cherubim, & Thronorum, & trium hosce subsequentiũ, ac trium insuper inferiorum, eiuscemodi ordinis sanctionem videre liceat; verùm etiam in ipsismet solis æqualibus, scilicet tribus solis, ita vt sint ordines primi, medij ac postremi: siquidem in omnibus tres, & tres, & tres sunt virtutes, in vnoquoque autem ordine æquali, omnes tres sunt; vt tam ibi quàm hîc primũ, & medium, & postremum dignoscatur. Conueniebat itaque in inferioribus quoque illustrationibus, vt per alios, scilicet per ordines Angelicos, à Deo ad homines mysteria deriuarentur: quoniam etiam hîc diuiniores mystæ inferiorum manuductores existunt, ad diuinam communionem & illustrationem.

§.4. *Mysteria fidei per Angelos reuelata.*

Video autem etiam Angelos de Incarnationis & humanitatis Iesu mysterio primùm edoctos esse, deinde per hos ad homines cognitionis gratia descendit: sic enim Gabriel Zachariam docuit, Prophetam fore puerum illum qui ex ipso, præter spem, nasceretur. Sed qualis argumenti Propheta? apparitionis Filij Dei secundùm carnem. Virilem enim Dei operationem vocat Christi Domini Incarnationem, secundùm quàm, cùm Deus esset in carne, diuina gessit. Deiparam verò Virginem instruxit, quomodo in ipsâ fieret ineffabile Dei formationis mysterium. Porrò Dei formationem vocat, quòd cùm Deus esset, formatus sit in vtero castissimæ Dei-matris, in quantum homo factus est. Alius item Angelus Iosephum docuit, quomodo is, qui Dauidi promissus erat de fructu ventris eius, collocandus in throno ipsius, iam principium temporale secundùm corpus assumeret: alius etiam pastoribus, tamquã in solitudine ac quiete viuentibus, euangelizauit; cum quo etiam multitudo cælestis exercitus natum glorificauit. Hæc autem omnia probant, per virtutes aliquas diuinas apparitiones fieri, & non immediatè, sicut quidam posset opinari.

Hactenus sermo noster ad ipsum vsque Saluatorem progressus; quoniã & ipsemet superessentialis cælestium virtutum auctor existens, postquam naturã nostram immutabiliter assumpsit, nequaquam refugit humanam ordinationem, vt scilicet per Angelos, ea quæ ad

PARAPHRASIS PACHYMERÆ.

ipsum spectant, reuelentur ac disponantur à Deo ac Patre: siquidem ipsorum operâ Iosepho annuntiatur recessus in Ægyptum, & ab Ægypto iterùm in Iudæam reditus. Et per Angelos ipsum videmus sub lege constitutum: nam per Angelos eiuscemodi lex data est, sub quâ etiam ipse factus, per Angelos profectò legis sanctionem accipit. Omitto tibi tamquam scienti, ô Timothee, recensere mysteria Scripturarum, & de Angelo passionis tempore Christum Dominum confortante: quod enim in Euangelio Magnus Lucas refert, tamquam mysterium his ab Apostolo Paulo traditum est. Vnum porrò illud etiam hæc superat, quòd etiam ipsemet magni consilij Angelus ab Isaiâ nominatur; quandoquidem etiam ipse propter nostram salutem in ordinem venerit eorum qui manifestandi munus obeunt, & Angelorum more dixerit:
Ioã.15,15. *Quæcumq; audiui à Patre, hæc locutus sum.* &
Ioan. 17,6 illud, *Manifestaui nomen tuum hominibus*, ad Patrem dictum: hoc siquidē est manifestatio.

τὰ καθ᾽ αὐτὸν παραδηλοῦσθαι, καὶ οἰκονομεῖσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρός· διὰ μέσων γὰρ αὐτῶν ἀγγέλλεται τῷ Ἰωσὴφ ἡ πρὸς Αἴγυπτον ἀναχώρησις, καὶ ἡ ἀπ᾽ Αἰγύπτου πρὸς τὴν Ἰουδαίαν αὖθις μεταγωγή. Καὶ δι᾽ Ἀγγέλων αὐτὸν ὁρῶμεν ὑπὸ τὸν νόμον ταττόμενον· ὁ γὰρ τοιοῦτος νόμος δι᾽ Ἀγγέλων ἐδόθη, ὑφ᾽ ὃν καὶ αὐτὸς γενόμενος, δι᾽ Ἀγγέλων δηλονότι τὴν θεσμοθεσίαν δέχεται. Παραλείπω λέγειν σοι ὡς εἰδότι, ὦ Τιμόθεε, τὰ τῶν Γραφῶν μυστήρια, καὶ περὶ τοῦ Ἀγγέλου τοῦ τὸν δεσπότην Χριστὸν ἐν τῷ καιρῷ τοῦ πάθους ἐνισχύσαντος· ὃ γὰρ ἐν τῷ Εὐαγγελίῳ λέγει ὁ μέγας Λουκᾶς, ὡς μυστήριον παρεδόθη ὑπὸ τοῦ Ἀποστόλου Παύλου τούτοις. Ἓν καὶ τὸ ἐπέκεινα τούτων, ὅτι καὶ αὐτὸς Ἄγγελος τῆς μεγάλης βουλῆς λέγεται παρὰ τῷ Ἠσαΐᾳ, ἐλθὼν καὶ αὐτὸς εἰς ἐκφαντορικὴν τάξιν διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ ἀγγελοπρεπῶς λέγων, Ὅσα ἤκουσα παρὰ τοῦ Πατρός, ταῦτα λελάληκα. καὶ τό, Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, πρὸς τὸν Πατέρα λεχθέν· τοῦτο γάρ ἐστιν ἡ ἐκφαντορία.

CAPVT V.

Quare omnes essētię cęlestes communi nomine Angeli vocentur.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Διὰ τί πᾶσαι αἱ οὐράνιοι οὐσίαι κατὰ τὸ κοινοῦ Ἄγγελοι λέγονται.

SYNOPSIS CAPITIS.

Docet, nomen Angeli, quamuis propriè vltimo ordini cælestium spirituum conueniat, superioribus tamen ordinibus non incongruè attribui; cùm & ipsi inferiorum virtutes obtineant, & eorumdem obire possint functiones, atque adeò inde etiam nominari possint: inferioribus verò vti virtutes, sic nec nomina superiorum conuenire.



Hæc quidem est, quantum capimus, Angelicæ in Eloquiis appellationis causa; scrutandum modò censeo, cur Theologi, omnes
Psal.102, & Matth. 25. pariter essentias cælestes Angelos appellent; vbi autem ad explanationem ventum fuerit supermundialium ipsarum ordinationum, ordinem Angelicum propriè vocent eum, qui diuinos cælestesque ordines explendo claudat: isti



ΑΥΤΗ μὲν οὖν ἐστιν, ὡς ἡ καθ᾽ ἡμᾶς, αἰτία τῆς ἀγγελικῆς *αὐτοῖς Λογίοις ἐπωνυμίας· ἐρευνῆσαι δὲ ὡς οἶμαι χρή, δι᾽ ἣν αἰτίαν οἱ Θεολόγοι πάσας μὲν ἅμα τὰς οὐρανίους οὐσίας, Ἀγγέλους καλοῦσι· πρὸς δὲ τὴν ἐκφαντορίαν ἐρχόμενοι τῶν ὑπερκοσμίων αὐτῶν διακοσμήσεων, τάξιν Ἀγγελικὴν ἰδίως ὀνομάζουσι, τὴν συμπληρωτικῶς ἀποπερατοῦσαν τὰ θεῖα καὶ οὐράνια τάγματα·

* ἐν τοῖς

ματα· περὶ ταύτης δὲ ὑπερκειμένως τάττουσι τοὺς Ἀρχαγγελικοὺς διακόσμους, τάς τε Ἀρχὰς, καὶ τὰς Ἐξουσίας, καὶ τὰς Δυνάμεις, ὅσας τε τούτων ὑπερβεβηκυίας οὐσίας αἱ τῶν Λογίων ἴσασιν ἐκφαντορικαὶ παραδόσεις. Φαμὲν δὲ, ὅτι κατὰ πᾶσαν ἱερὰν διακόσμησιν, αἱ μὲν ὑπερβεβηκυῖαι τάξεις, ἔχουσι καὶ τὰς τῶν ὑφειμένων διακοσμήσεων ἐλλάμψεις καὶ δυνάμεις, ἀμέθεκτοι δὲ τῶν αὐτὰς ὑπερκειμένων εἰσὶν αἱ τελευταῖαι. Τὰ μὲν οὖν ἁγιώτατα τῶν ὑπερτάτων οὐσιῶν τάγματα, καὶ Ἀγγέλους καλοῦσιν οἱ Θεολόγοι· καὶ γάρ εἰσιν ἐκφαντορικὰ καὶ αὐτὰ τῆς θεαρχικῆς ἐλλάμψεως. Τὴν τάξιν δὲ τὴν τῶν οὐρανίων νοῶν τελευταίαν, οὐκ ἔχει λόγον Ἀρχὰς, ἢ Θρόνους, ἢ Σεραφὶμ ὀνομάζειν· οὐδὲ γάρ ἐστιν ἐν μετουσίᾳ τῶν ὑπερτάτων δυνάμεων, ἀλλ᾽ ὥσπερ αὐτὴ τοὺς καθ᾽ ἡμᾶς ἐνθέους ἱεράρχας ἀνάγει πρὸς τὰς ἐγνωσμένας αὐτῇ τῆς θεαρχίας αὐγὰς, οὕτω καὶ τῶν περὶ αὐτῆς οὐσιῶν αἱ πανίεροι δυνάμεις, ἀναγωγικαὶ πρὸς τὸ Θειόν εἰσι τῆς ἀποπληρούσης τὰς Ἀγγελικὰς Ἱεραρχίας διακοσμήσεως. Εἰ μὴ ἄρα τὶς καὶ τοῦτο φαίη, τὸ κοινὰς εἶναι πάσας τὰς Ἀγγελικὰς ὀνομασίας, κατὰ τὴν πασῶν τῶν οὐρανίων δυνάμεων εἰς τὸ θεοειδὲς, καὶ τὴν ἐκ Θεοῦ φωτοδοσίαν ὑφειμένην καὶ περιοῦχουσαν κοινωνίαν. Ἀλλ᾽ ἵνα μᾶλλον ἡμῖν ὁ λόγος διευκρινηθείη, κατίδωμεν ἱερῶς τὰς ἐν τοῖς Λογίοις ἐκπεφασμένας ἁγιοπρεπεῖς ἰδιότητας ἑκάστης οὐρανίας διακοσμήσεως.

verò Archangelicas anteponant dispositiones, & Principatus, ac Potestates, Virtutesque, & quascumque hisce celsiores spiritus agnoscunt Eloquiorum explanatoriæ traditiones. Asserimus igitur, secundùm omnem sacram dispositionem, superiores quosque ordines, inferiorum quoque agminum illuminationibus virtutibusq; pollere, postremos verò non item superiorum suorum consortes esse. Itaque sanctissima illa supremorum agmina spirituum, Angelos quoque Theologi appellant, quòd & ipsa diuinam manifestent illustrationem. Porrò cælestium intelligentiarum ordinem nouissimum, vel Principatuum, vel Thronorum, vel Seraphinorum nomine compellandi ratio nulla suppetebat: neque enim præstantissimarum virtutum illarum particeps existit, sed sicut ipse diuinos nostros Sacerdotum Principes adducit ad præstitutas sibi Diuinitatis collustrationes; ita etiam illæ, quæ hos spiritus præcedunt sacratissimæ virtutes, ad diuinum Numen surrigunt distinctionem illã, quæ Angelicas adimplet Hierarchias. Nisi fortè quis communes esse velit Angelicas omnes appellationes, iuxta cælestium virtutum omnium in Deiformitate, Deique vel remissiori vel eminentiori lumine communicationem. Verùm quò distinctior nobis procedat oratio, sacrosanctas cuiusque cælestis ordinis proprietates, quæ nobis in Eloquiis elucidatæ sunt, purâ mente contemplemur.

Superiores Angeli possunt obire functiones inferiorum, non contrà.

ANNO-TATIO-NES COR-DERII.

ANNOTATIONES CORDERII.



NGELICI nominis & officij ratione assignatâ, quærit hîc, cur omnes cælestes spiritus Angelorum nomine vocentur, cùm id proprium sit ordinis postremi, vtpote qui ex officio ad homines destinantur, ad diuinas voluntates ipsis intimandas: superiores autem illi spiritus Deo assistere perhibeantur, Dan.7, 10. iuxta illud, *Millia millium ministrabant ei, & decies millies centena millia assistebant ei.* *Quinam Angeli sint ministrantes, & qui assistentes.* In quâ descriptione per *assistentes* quidem hi Angeli significati esse videntur, qui ad exteriora non exeunt; per *ministrantes* verò hi, qui ad exteriora exeundo, non semper assistunt. Nam cùm nouem sint ordines Angelorũ, duo tantùm, id est, Angeli & Archangeli, pro eo quòd specialiter ex officij sui distributione mittantur, ex re ipsâ cognomen acceperunt: Ἄγγελοι videlicet nuntij, Ἀρχάγγελοι verò principales nuntij dicti; quoniam & illi minora, hi verò maiora ex ministerij dignitate annuntiant. Respondet Dionysius, nomen quidē Angelorum inferioribus ex officio cōpetere; sed quia tamen diuina mysteria, quæ ordines inferiores nobis exteriùs enuntiant, à superioribus hauserũt, nomen Angelorum quoq; superioribus illis spiritibus esse communicabile: quia licet ad exteriora nuntianda non exeant, ea tamen, quæ enuntianda sunt, desuper ipsi accipiendo, secundùm legem diuinæ ordinationis, ad inferiores & se subsequentes ordines nuntianda transportant. Addit, superiores inferiorum facultates ac proprietates omnes, & quidem perfectiùs, obtinere; inferiores autem non æquè superiorum virtutes participare, atque ideò illis inferiorum quoque nomen, secùs quàm his, superiorum appellationem competere; quamquam & hi aliquando, cùm videlicet superiorum proprietatem ex officij qualitate suscipiunt, nomen quoque ipsorum in eiusdem officij executione assumunt, vti docet infrà Cap. XIII. Alij autem putant, omnes cælestes ordines, tam superiores quàm inferiores, pro tempore, & loco, & causâ ad exteriora dirigi; eos tamen qui hoc ex officio proprium habent, specialiter Angelos siue Archangelos cognominari. Nam quòd omnes aliquando mittantur, Apostolus insinuat ad Heb. 1, 14. *Nônne omnes sunt administratorij spiritus, in ministerium missi propter eos, qui hereditatem capiunt salutis?* Quòd autem etiam superiores quidam aliquando non ex officio, sed ex causâ aliquâ peculiari ad exteriora dirigantur, insinuare videtur Psalmista, cum ait: *Qui facis Angelos tuos, spiritus; & ministros tuos, ignem vrentem.* Psal. 103, 4 Magis tamen probat Dionysius priorem rationem, quòd nimirum superiores omnes Angeli vocentur; quia & ipsi Angelicam proprietatem participant in eo, quòd licet ad exteriora nuntianda non exeant, tamen eis qui post se sequuntur ordinibus, diuinam illuminationem, quam desuper accipiunt, transfundendo, & quasi nuntiando manifestant: inferiores autem superiorum proprietatibus non ita communicare, vt sufficiat ad denominationem. Et confirmat exemplo nostræ Hierarchiæ, in quâ Pontifici omnes inferiorum ordinum potestates & denominationes competunt, inferioribus autem non possunt pontificio titulo insigniri.

SCHOLIA S. MAXIMI.



ÆLESTES ESSENTIAS.] Cur porrò, cùm Ecclesia tradat, omnes sanctos Angelos vnius esse substantiæ, *Essentia & ingenitum quomodo hic sumantur.* diuus Dionysius multas virtutes nominat? Magnus ille Dionysius Alexandriæ Episcopus & Orator, in Scholiis à se in beatum Dionysium sibi cognominem concinnatis, notat, externam philosophiam solere naturam omnem inuisibilem ingenitam vocare, vti & essentias supposita: atque hinc ait; abusiuè voces istiusmodi à sancto Dionysio fuisse vsurpatas.



ΑΣ οὐρανίας οὐσίας.] Τί δήποτε, μιᾶς οὐσίας εἶναι πάντας τοὺς ἁγίους Ἀγγέλους λεγούσης τῆς Ἐκκλησίας, ὁ θεῖος Διονύσιος πολλὰς ὀνομάζει δυνάμεις; Ὁ γοῦν μέγας Διονύσιος ὁ Ἀλεξανδρείας Ἐπίσκοπος, ὁ ἀπὸ ῥητόρων, ἐν τοῖς Σχολίοις οἷς πεποίηκεν εἰς τὸν μακάριον Διονύσιον τὸν αὐτοῦ συνώνυμον, οὕτω λέγει, ὅτι ἀγέννητον εἴωθε καλεῖν ἡ ἔξω σοφία, πᾶσαν ἀόρατον φύσιν, ὁμοίως καὶ οὐσίας, τὰς ὑποστάσεις· κἀκ τούτου φησὶν, ὅτι κατὰ τοὺς ἔξω εἴρηνται τῷ ἁγίῳ Διονυσίῳ αἱ τοιαῦται φωναὶ καταχρηστικῶς.

Ἐκφαντορίαν.] Τουτέστι, τὴν ἔκφανσιν, ἤτοι διασάφησιν.

Ὀνομάζουσι.] Τὴν ἐσχάτην τῶν νοητῶν τάξιν κυρίως Ἀγγέλους φησὶ προσαγορεύεσθαι, τὰς δὲ ὑπερβεβηκυίας ἑτέρως, ὧν ἐνίας καὶ ὀνομάζει. Ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ τῶν ἐννέα ταγμάτων μυστικῶς ἀπομνημονεύει. Νῦν δὲ τελέως λέγει, ὅτι αἱ ἀνώτεραι τάξεις ἐπίστανται μὲν ὅσα αἱ ὑποβεβηκυῖαι δι' ἐλλάμψεως μεμύηνται· γινώσκουσι δὲ καὶ ἕτερα ταῖς ὑποκειμέναις ἄγνωστα. Εἰ δὲ καὶ οὕτως ἐστὶν, ὅμως γενικῷ ὀνόματι καὶ Ἄγγελοι ἔσθ' ὅτε καλοῦνται πάντα τὰ νοητὰ τάγματα. Φησὶ δὲ καὶ διὰ τί, ὡς ἐν τῷ ἑκατοστῷ δευτέρῳ Ψαλμῷ, Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ. καὶ ἐν τῷ ἑκατοστῷ τρίτῳ, Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τὰ ἑξῆς. Οὐκ ἀντιστρέφει δὲ ὁ λόγος· τὰ γὰρ ὑποβεβηκότα οὐκ ὀνομάζεται τῷ τῶν ἀνωτέρων γνωρίσματι, καὶ ὅτι διὰ τῶν ὑπερβεβηκυιῶν δυνάμεων αἱ ὑποβεβηκυῖαι μυσταγωγοῦνται.

Ἀποπερατοῦσαν.] Τουτέστι τὴν ἐσχάτην τάξιν τῶν Ἀγγελικῶν διατάξεων.

Φαμὲν δέ.] Ἐρωτήσειεν ἄν τις, αὗται αἱ τῶν οὐρανίων τάξεις, αἱ ὑπερβεβηκυῖαι καὶ κατώτεραι, καὶ ἔτι ὑφειμέναι, οὕτως ἐγένοντο, ὥστε τὴν μὲν ἀνωτέραν εἶναι, τὴν δὲ κατωτέραν. Καὶ λέγομεν, ὅτι καὶ τὰ νοητὰ πάντα αὐτεξούσια ἐδημιούργησεν ὁ Θεός. Εἰ γὰρ ὁ ἄνθρωπος αὐτεξούσιος ἐγένετο, ἐκ χοϊκοῦ φυράματος καὶ ψυχῆς ὑπάρχων, πόσῳ μᾶλλον αἱ νοηταὶ δυνάμεις, αἱ μηδὲν ἔχουσαι γεῶδες ἢ βαρὺ, αὐτεξούσιοι ἐγένοντο; Τοῦτο γὰρ καὶ ἡ θεία παρίστησι Γραφὴ, λέγουσα, τὸν διάβολον ἐξ Ἀγγελικῆς ἑκουσίως ἐκπεσεῖν τάξεως. Καὶ οὗτος δὲ ὁ θεῖος ἀνὴρ πρὸ δύο φύλλων, περὶ Ἀγγελικῶν δυνάμεων, Ὅτι νοητῶς γὰρ ἐπὶ τὸ θεομίμητον ἑαυτὰς ἀποτυποῦσαι, καὶ πρὸς τὴν θεαρχικὴν ἐμφέρειαν ὑπερκοσμίως ὁρῶσαι καὶ μορφοῦν ἐφιέμεναι τὸ νοερὸν αὐτῶν εἶδος. Ἐξ ὧν πάντων δείκνυται, ὡς αὐτοπροαίρετοι καὶ αὐτεξούσιοί εἰσιν αἱ νοηταὶ δυνάμεις. Εἰκότως οὖν φησὶν, ὅτι ἑκάστη πρὸς τὴν ἀναλογίαν τῆς ἰδίας τοῦ ἀγαθοῦ ἐφέσεως, ἐλλάμπεται τὰς θείας κατανοήσεις. διὰ τοῦτο καὶ τάξεις καλοῦνται, βαθμηδὸν ὥσπερ τῆς ἐν αὐταῖς ἐφέσεως οὔσης. Διὰ τοῦτο ἐνταῦθά φησιν, Οὐκ ἔχει λόγον, τὴν τελευταίαν τάξιν Σεραφὶμ ἢ Θρόνους ὀνομάζειν. Σημείωσαι δὲ, διὰ τί

MANIFESTATIONEM.] Id est, elucidationem seu declarationem.

APPELLANT.] Extremum ordinem intelligibilium propriè Angelos appellare tradit, superiores verò aliter, quorum aliquos etiam nominat. *Omnes spiritus cælestes Angelos vocari.* Sequenti autem Capite nouem ordines mysticè commemorat. Modò verò ait, superiores ordines perfectè nosse omnia, de quibus inferiores per illustrationem erudiuntur: sciunt autem etiam alia inferioribus ignota. Quod quamuis ita sit, quandoque tamen nomine generali omnes ordines intelligibiles pariter Angeli appellantur. Cuius rei quoque assignat rationem, vt in centesimo secundo Psalmo, *Benedicite Dominum omnes Angeli eius.*& in centesimo tertio, *Qui facit Angelos suos spiritus*,& quæ sequuntur. Sermo autem hîc non reciprocatur; quoniam inferiores non nuncupantur nomine superiorum, & inferiores à superioribus virtutibus erudiuntur.

TERMINANTEM.] Id est, vltimum ordinem distinctionum Angelicarum.

ASSERIMVS AVTEM.] Interrogabit aliquis, an ordines cęlestes, qui superiores, & inferiores, atque magis demissi sunt, ita facti sint, vt vnus quidem superior, alter verò inferior existeret. *Vnde diuersitas ordinum existat.* Et dicimus, Deum intellectilia cuncta condidisse libera. Nam si homo liber natus est, ex terrenâ massâ animâq; subsistens; quantò magis intelligibiles virtutes, quæ nihil habent quod terrestre sit vel graue, liberæ factæ fuerint? *Angeli sunt liberi creati.* Quin & hoc quoque diuina Scriptura declarat, cùm ait, diabolū voluntariè ab Angelico ordine excidisse. Hic quoque vir diuinus ante duo folia de virtutibus Angelicis ait, *quòd ad imitandum Deum intellectualiter se componant, atque Dei-principalem similitudinem supermundialiter contemplantes, ad eamdem speciem suam intellectualem cupiant efformare.* Cap.4.§.2. Ex quibus omnibus demonstratur, virtutes illas intelligibiles arbitrio libertateq; pollere. Quare meritò dicit, quamlibet ipsarum, secundùm boni sui desiderij proportionem, diuinis notionibus illuminari: quocircà etiam ordines vocantur, ac si gradatim quodammodò ipsis hoc insitum sit desiderium. Idcircò hîc dicit, non esse rationem, vltimum eorum ordinem Thronos aut Cherubim nominandi. Nota denique, cur omnes ordines Angeli

Angeli vocentur: quia qui propriè Angeli sunt, hi sanctos homines ad cognitas sibi diuinas illustrationes adducunt.

SED SICVT HIC.] Scilicet ordo Angelorum.

Inferiores à superioribus gradatim instrui.

NOSTROS.] S. Dionysius quàm maximè fruitiuis hisce mysteriis saturatus, reuelat, quomodo postremus quidem ordo nominis Angelici, eos, qui inter homines Ecclesiarum Præsules existunt, instar pædagogi manuducat ad mentem in Deum erigendam; hunc ipsum autem inferiorem ordinem, qui noster pædagogus est, & gradatim suprà collocatos eorumdem superiores, tamquam sibi subditos, mysteriis imbuunt.

Quid sit commune omnibus Angelus.

ADIMPLET.] Id est, qui postremi scilicet ordinis est Angelorum. Nota verò, vt communes esse censeat omnes nouem ordinum appellationes, eò quòd in communi deiformiter illustrentur ad diuinum lumen, etsi non æqualiter, traiiciendum. Quin etiam omnes, inquit, intellectiles & incorporeos ordines, secundùm alium quoque modum, in communi liceat appellare, scilicet secundùm deiformitatem, id est, in quantum pro captu quisque suo Deo similis existit. Omnes itaque ordines supermundiales docet Deiformes appellari, atque omnes aliam quoque habere communicationem, nempe munus lucidissimæ ex Deo illustrationis, licet, ad cuiusque captum, vel plus vel minùs illustratio distribuatur. In libro autem de Diuinis nominibus ait, Diuinos solos vocari eos, qui præfecti sunt ordini vniuerso.

PROPRIETATES.] Nota, quomodo proprietates vocet cuiusque ordinis proprietates.

καλοῦνται πάντα τὰ τάγματα Ἄγγελοι, ὅτι οἱ κυρίως Ἄγγελοι ἀνάγουσι τοὺς ἱεροὺς ἀνθρώπους ἐπὶ τὰς ἐνωσμένας αὐτοῖς θείας αὐγάς.

Ἀλλ' ὥσπερ αὕτη.] Ἡ τῶν Ἀγγέλων δηλαδὴ τάξις.

Τοὺς καθ' ἡμᾶς.] Τῶν ἐποπτικωτάτων μυστηρίων τούτων ἐμφορηθεὶς ὁ ἱερὸς Διονύσιος, ἐκκαλύπτει λέγων, ὡς ἡ μὲν τελευταία τάξις, ἡ καλουμένη Ἄγγελοι, τοὺς ἐν ἀνθρώποις Ἱεράρχας τῶν Ἐκκλησιῶν παιδαγωγικῶς χειραγωγοῦσιν ἐπὶ τὴν πρὸς Θεὸν ἀναγωγήν· τὴν δὲ κατωτέραν τάξιν αὐτὴν, τὴν ἡμῶν παιδαγωγὸν, καὶ τὰς βαθμηδὸν ὑπερκειμένας αἱ ἀνώτεραι ὡς ὑποβεβηκυίας μυσταγωγοῦσι.

Τῆς ἀποπληρώσεως.] Τουτέστι, τῆς τελευταίας, τῆς τῶν Ἀγγέλων φημί. Σημείωσαι δὲ, ὅτι δοξάζει κοινὰς εἶναι πάσας τὰς ὀνομασίας τῶν ἐννέα ταγμάτων ἑκάστου τάγματος, διὰ τὸ κοινῶς ἐλλάμπεσθαι ἐκ τοῦ θεοειδοῦς εἰς τὴν ἐκ Θεοῦ φωτοδοσίαν, εἰ καὶ μὴ ὁμοίως. Ἔστι, φησὶ, κοινῶς ὀνομάσαι πάσας τὰς νοερὰς καὶ ἀσωμάτους τάξεις καὶ καθ' ἕτερον τρόπον, τουτέστι κατὰ τὸ θεοειδὲς, ὅπερ ἐστὶ κατὰ τὸ τῷ Θεῷ ἐοικέναι, καθ' ὅσον ἐφικτὸν ἑκάστη αὐτῶν· ὥστε πάσας μὲν τὰς ὑπερκοσμίους τάξεις, θεοειδεῖς καλεῖσθαι, καὶ ἑτέραν δὲ κοινωνίαν ἔχειν πάσας αὐτὰς τὴν τῆς φωτεινοτάτης ἐλλάμψεως ἐκ Θεοῦ δωρεὰν, κἂν πρὸς τὸ ἑκάστη ἐφικτὸν, ἡ ἐπ' ἔλαττον ἢ ἐπὶ πλεῖον ἡ ἔλλαμψις δίδεται. Ἐν δὲ τῷ περὶ Θείων ὀνομάτων λόγῳ φησὶν, ὅτι θεῖοι μόνοι λέγονται, οἱ παντὸς τάγματος ταξίαρχοι.

Ἰδιότητας.] Σημείωσαι πῶς ἰδιότητας λέγει τὰς ἑκάστης τάξεως ἀναλογίας.

PARAPHRASIS PACHYMERÆ.

REPONENS ea quæ dicta sunt, Hæc quidem, inquit, quàtum quoad nos, & secundùm facultatem nostram dicere licet, causa Angelicæ denominationis.

Cur omnes spiritus cælestes Angeli dicti.

Inquirendum porrò est, quam ob rationem Theologi cælestes omnes virtutes pariter Angelos appellēt; quando autem ad eorum ordinum manifestationem declarationemque veniunt, propriè Angelos vocent ordinem infimum, qui complet ac terminat ordines cælestes; qui verò supra hunc est, Archangelorũ, ac


ΠΟΤΙΘΕΜΕΝΟΣ τὰ λεχθέντα φησὶν, Αὕτη μὲν ὡς καθ' ἡμᾶς καὶ τὴν ἡμετέραν δύναμιν εἰπεῖν, ἡ αἰτία τῆς Ἀγγελικῆς ἐπωνυμίας. Ζητῆσαι δὲ χρὴ δι' ἣν αἰτίαν οἱ Θεολόγοι τὰς οὐρανίους ἁπάσας δυνάμεις ἅμα Ἀγγέλους φασίν· ὅτε δὲ πρὸς τὴν ἐκφαντορίαν καὶ διασάφησιν τῶν ταγμάτων ἔρχονται, ἰδίως φασὶν Ἀγγέλους τὴν κατωτάτω τάξιν, τὴν συμπληροῦσαν καὶ ἀποπερατοῦσαν τὰ οὐράνια τάγματα· ὑπεράνω δὲ ταύτης, τὴν τῶν Ἀρχαγγέλων· καὶ ἐπέκεινα,

τὴν

PARAPHRASIS PACHYMERÆ.

τὴν τῶν Ἀρχῶν· καὶ ἐπέκεινα, τῶν Ἐξουσιῶν καὶ τῶν Δυνάμεων, ὅσας τε πάλιν τούτων ὑπερβεβηκυίας οὐσίας οἴδασιν αἱ τῶν Γραφῶν παραδόσεις.

Λύει τὴν ἀπορίαν ἐντεῦθεν, λέγων, ὅτι κατὰ πᾶσαν ἱερὰν διακόσμησιν, κατὰ τὰς τρεῖς τριάδας τῶν ταγμάτων, αἱ μὲν ὑπερβεβηκυῖαι ἔχουσι καὶ τὰς τῶν ὑφειμένων ἐλλάμψεις καὶ δυνάμεις, οὐ μὴν δὲ καὶ τὸ ἀνάπαλιν, αἱ κατώτεραι τῶν ἀνωτέρων κατὰ πάντα μετέχουσι, καθὼς ἐστὶ καὶ ἐφ' ἡμῖν. Ὁ μὲν γὰρ λογικὸς ἄνθρωπος ἔχει πάντως καὶ τὰς ἀλόγους καὶ τὰς φυτικὰς δυνάμεις, οὐ μὴν δὲ κατὰ ταύτας ἰδίως δὲ τὴν λογικὴν ἔχουσι δύναμιν. Τούτου γοῦν ἕνεκα καὶ τὰς μὲν ἀνωτάτας οὐσίας, καὶ τὰς μετ' αὐτάς, οἱ Θεολόγοι Ἀγγέλους καλοῦσι τῷ τῶν ὑφειμένων καὶ κατωτάτων ὀνόματι, καὶ γὰρ καὶ αὗται ἐκφαίνουσι καὶ ἐξαγγέλλουσι τὴν ἀπὸ Θεοῦ ἔλλαμψιν· αὐτοὺς δὲ τοὺς Ἀγγέλους, τὴν κατωτάτω τάξιν, οὐκ ἔχει λόγον Σεραφὶμ ἢ Θρόνους καλεῖν· οὐδὲ γάρ εἰσιν οὗτοι κατὰ πάντα ἐν μετουσίᾳ ἐκείνων τῶν ὑπερτάτων ἐλλάμψεων, ἀλλ' ὥσπερ ἡ τῶν Ἀγγέλων τάξις, τοὺς καθ' ἡμᾶς ἐνθέους ἀνάγει πρὸς τὰς ἐλλάμψεις τὰς ἐγνωσμένας αὐτῇ παρὰ τοῦ Θεοῦ, οὕτω καὶ αἱ περὶ ταύτης οὐσίαι ταύτην ἀνάγουσι, τὴν ἀποπληροῦσαν δηλονότι τὴν ἀγγελικὴν διακόσμησιν. Εἰ μὴ ἄρα τις καὶ τοῦτο λέγει καθ' ἑτέραν λύσιν, ὅτι κοινὴν ἔχουσι τὴν ὀνομασίαν καὶ τὰ ἐννέα τάγματα, διότι κοινὴν καὶ τὴν φωτοδοσίαν ἔχουσι, καὶ τὴν θείαν αὐτὴν κοινωνίαν, εἰ καὶ μὴ ὁμοίως, ἀλλ' ὑφειμένην καὶ προύχουσαν· ὥσπερ καὶ κοινῶς εἰ τύχοι λευκὰ ἐπὶ τοῖς ἡμετέροις ὁ κύκνος καὶ ἡ χίων, διότι κοινῶς μετέχουσι τῆς λευκότητος, εἰ καὶ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. Ἀγγέλλουσι γὰρ καὶ τὰ οὐράνια τάγματα τὴν θείαν φωτοδοσίαν, καθὼς ταύτην λαμβάνουσι· λαμβάνουσι δὲ, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον. Κατὰ τοῦτο γοῦν κοινῶς ἅπαταν λέγοιντ' ἂν Ἄγγελοι. Ἀλλ' ἵνα μᾶλλον ὁ λόγος εὐκρινὴς γένηται, ἴδωμεν ἱερῶς τὰ ἐν τοῖς Λογίοις ἱερά, τὰς ἁγιοπρεπεῖς λέγω ἰδιότητας ἑκάστης οὐρανίας τάξεως.

deinde Principatuum, supraq; illum Potestatum ac Virtutum, & quascumque rursum hisce superiores essentias agnoscunt Scripturarum traditiones.

Dubium autem soluit, dicens, quòd per omnem sacram distributionem, secundùm tres ordinum terniones, superiores quidem habeant inferiorum illustrationes ac virtutes; sed non è contra, inferiores cum superioribus secundùm omnia communicent: sicut etiam in nobis vsu venit. Siquidem homo rationalis habet omnino etiam irrationales vegetantesque virtutes, non tamen hæ propriè vt sic ratiocinandi vim obtinent. Idcircò igitur etiam supremas quidem essentias, quæque eas consequuntur, inferiorum atque infimorum nomine Angelos Theologi appellãt, etenim etiam ipsæ manifestant & enuntiant illuminationem Dei; Angelos autem ipsos, seu ordinem infimum, nulla subest ratio, vel Seraphim vel Thronos appellandi: siquidem illi non secundùm omnia participant horum sublimissimas illustrationes, sed sicut Angelorum ordo eos, qui apud nos diuini sunt, adducit ad illustrationes quas à Deo ipsi acceperunt, sic etiam naturæ istæ hanc distributionem, quæ videlicet Angelicam complet, adducunt. Nisi fortè quis etiam hoc dicat, secundùm aliam solutionem, quòd nouem etiam ordines communem habeant appellationem, quia communem quoque habent illustrationem, & diuinam communicationem, tametsi non æqualem, sed remissiorem præstantiorémve; quemadmodum etiam in nostratibus cygno & niui communiter albis esse contingit, quòd albedinem communiter participent, licet secundùm magis ac minus. Cælestes enim ordines diuinam annuntiant illustrationem eo modo quo eam accipiunt; suscipiunt autem illam, alij quidem magis, alij verò minus. Iuxta illud itaque, omnes communiter Angeli vocari possunt. Verùm vt sermo magis distinctus sit, considerabimus ea quæ in Scripturis sacrosancta sunt, sacras inquã proprietates cuiuslibet ordinis cælestis.

CAPVT VI.

Quænam sit prima cælestium essentiarum distinctio, quæ media, quæ postrema.

ΚΕΦΑΛΑΙΟΝ ς.

Τίς ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις, τίς ἡ μέση, τίς ἡ τελευταία.

SYNOPSIS CAPITIS.

1. Docet, solum Deum exactè nosse quæ ad omnes ordines Angelorum spectant. 2. Tradit, nouem ordines Angelorum in tres Hierarchias esse distributos.

§. 1. *Deus solus eminenter & exactè nouit quæ ad omnes Angelorũ ordines spectant.*

QVANTAE quidem sint & quales supercælestium essentiarum dispositiones, & quo pacto earumdem sacri ordines initientur, solum exactè nosse censeo diuinum illum, à quo consecrantur, principatum; præterquam quòd & ipsis virtutes atque illustrationes propriæ sint perspectæ vnà cum sacrâ suâ supermundialique ordinatione: neque enim intelligere valemus supercælestium istarum mentium mysteria, & sanctissimas illarum perfectiones, nisi illa fortè nos scire quis asserat, quæ illorum, sua scilicet ritè callentium, ministerio Diuinitas ipsa nos docuit. Itaque nos quidem nihil motu proprio dicemus, sed, quæ Angelica spectacula sanctis Theologis visa fuerint, edocti, pro viribus exponemus.

§. 2. *Nouem ordines Angelorum in tres Hierarchias distributi.*

Substātias cælestes omnes Theologia nouē explanatoriis nominibus appellauit: has diuinus noster initiator, in tres ternarias distinxit distributiones. Ac primam quidem ait esse illam, quę circa Deum assiduò versatur, illique iugiter inhærere, ac præ ceteris immediatiùs vniri traditur: sanctissimos enim

Ezech. 1. Isa. 6.

ΠΟΣΟΙ μὲν εἰσὶ καὶ οἷοι τῶν ὑπερουρανίων οὐσιῶν οἱ διάκοσμοι, καὶ ὅπως αἱ κατ' αὐτοὺς ἱεραρχίαι τελοῦνται, μόνην ἀκριβῶς εἰδέναι φημὶ τὴν θεωπικὴν αὐτῶν τελεταρχίαν· προσέτι καὶ αὐτοὺς ἐγνωκέναι τὰς οἰκείας δυνάμεις τε καὶ ἐλλάμψεις, καὶ τὴν ἱερὰν αὐτῶν καὶ ὑπερκόσμιον εὐταξίαν· ἀδύνατον γὰρ ἡμᾶς εἰδέναι τὰ τῶν ὑπερουρανίων νοῶν μυστήρια, καὶ τὰς ἁγιωτάτας αὐτῶν τελειώσεις, εἰ μή πού φαίη τις, ὅσα δι' αὐτῶν ἡμᾶς ὡς τὰ οἰκεῖα καλῶς εἰδότων, ἡ θεαρχία μεμυσταγώγηκεν. Οὐκοῦν ἡμεῖς μὲν οὐδὲν αὐτοκινήτως ἐξεροῦμεν· ὅσα δὲ τῶν Ἀγγελικῶν θεαμάτων ὑπὸ τῶν ἱερῶν Θεολόγων ἐθεωρήθη, ταῦτα μυηθέντες ἡμεῖς, ὡς οἷοί τέ ἐσμεν, ἐκθησόμεθα.

Πάσας ἡ Θεολογία τὰς οὐρανίους οὐσίας ἐννέα κέκληκεν ἐκφαντορικαῖς ἐπωνυμίαις· ταύτας ὁ θεῖος ἡμῶν ἱεροτελεστὴς εἰς τρεῖς ἀφορίζει τριαδικὰς διακοσμήσεις. Καὶ πρώτην μὲν εἶναί φησι, τὴν περὶ Θεὸν οὖσαν ἀεὶ, καὶ προσεχῶς αὐτῷ καὶ πρὸ τῶν ἄλλων ἀμέσως ἡνῶσθαι παραδεδομένην· τούς τε γὰρ ἁγιωτάτους

Θρόνους,

TEXTVS S. DIONYSII.

Θρόνους, καὶ τὰ πολυόμματα καὶ πολύπτερα τάγματα, Χερουβὶμ Ἑβραίων φωνῇ καὶ Σεραφὶμ ὠνομασμένα, κατὰ τὴν πάντων ὑπερκειμένην ἐγγύτητα περὶ Θεὸν ἀμέσως ἱδρῦσθαι, φησὶ παραδιδόναι τὴν τῶν ἱερῶν Λογίων ἐκφαντορίαν. Τὸν τριαδικὸν οὖν τοῦτον διάκοσμον, ὡς ἕνα καὶ ὁμοταγῆ καὶ ὄντως πρώτην Ἱεραρχίαν, ὁ κλεινὸς ἡμῶν ἔφη καθηγεμών· ἧς οὐκ ἔστιν ἑτέρα θεοειδεστέρα, καὶ ταῖς πρωτουργοῖς τῆς θεαρχίας ἐλλάμψεσιν ἀμέσως προσεχεστέρα. Δευτέραν δὲ εἶναί φησι, τὴν ὑπὸ τῶν Ἐξουσιῶν, καὶ Κυριοτήτων, καὶ Δυνάμεων συμπληρουμένην. Καὶ τρίτην, ἐπ' ἐσχάτων τῶν οὐρανίων Ἱεραρχιῶν, τὴν τῶν Ἀγγέλων τε καὶ Ἀρχαγγέλων καὶ Ἀρχῶν διακόσμησιν.

Thronos, & pluribus oculis alisque præditos ordines, Cherubim Hebraico vocabulo & Seraphim appellatos, immediatè iuxta Deum ante alios eminenti propinquitate locatos esse, sacrorum asserit Eloquiorum explanatione comprobari. Hanc igitur ternariam distributionem, vt vnam æqualemque ac primam reuerà Hierarchiam, inclytus præceptor noster memorauit, quâ non est altera Deiformior, primoribúsve Diuinitatis illustrationibus immediatâ coniunctione propinquior. Secundam verò designat illam, quæ Potestatibus, Dominationibus, Virtutibusq; completur. Tertiam denique, eamque cælestium Hierarchiarum vltimam, esse dicit Angelorum & Archangelorum, atque Principatuum distributionem.

ANNOTATIONES CORDERII.

§.1. *S. Dionysij modestia.*



NOTA S. Dionysij insignem humilitatem, dum, antequam Angelicos ordines distinctiùs explicet, se iis intelligendis, nedum explicandis, imparem profitetur; ideoque se nihil motu proprio dicturum, sed eas dumtaxat visiones expositurum, quas ex Apostolis aliisque Scripturæ sacræ Scriptoribus apparuisse acceperat. Quomodo autem Angeli à nobis in hac vitâ exactè cognosci nequeant, vide quæ dicta sunt in Annotationibus ad Cap. 1. Cælestis Hierarchiæ, §.2. vbi ostendimus, mentem nostram non posse per se Angelos contemplari.

§.2. Nota, S. Dionysium cælestes spiritus, οὐσίας, id est, substantias seu essentias appellare, scilicet per excellentiam, vt qui inter ceteras substātias primatum obtinent; alibi illos δυνάμεις seu virtutes, & ἐνεργείας seu operationes vocat. Vide quæ suprà dicta sunt ad Cap. III. §.1. & infrà Cap. XI. Hos autem ordines Angelorum ait S. Paulum, quem suum præceptorem vocat, distribuisse in tres Hierarchias, quarum singulæ tres ordines cōplectuntur: prima scilicet Thronos, Cherubim & Seraphim; secunda Potestates, Dominationes & Virtutes; tertia Angelos, Archangelos & Principatus. Vbi aduerte, S. Dionysium in duabus postremis Hierarchiis ordinem inuertisse.

Ordo Angelorum, secundùm Gregorium. S. Gregorius lib. 2. Moral. cælestes Hierarchias nonnihil alio ordine recenset, scilicet, in primâ Seraphim, Cherubim & Thronos: quorum primi considerant Dei bonitatem, secundi veritatem, tertij æquitatem. Ac in primis quidem Deus amat vt charitas, in secundis noscit vt veritas, in tertiis sedet vt æquitas.

In mediâ ponit Dominationes, Principatus, Potestates: quorum primi officia regunt Angelorum, sequentes capitibus præsunt populorum, alii dæmonum coërcent potestatem. Item in primis Deus dominatur vt Maiestas, in sequentibus regit vt Principatus, in vltimis tuetur vt salus.

In postremâ Hierarchiâ collocat Virtutes, Archangelos, Angelos: ad quorum priores pertinet miraculorum operatio, ad secundos magnorum negotiorum denuntiatio, ad tertios humanæ custodiæ sollicitudo. Item in primis Deus operatur vt virtus,

in secundis reuelat vt lux, in tertiis nuntiat vt inspirans.

Moraliter quomodo Angelis conformemur. Nos autem assimilari debemus Seraphim per charitatem, Cherubim per cognitionem, Thronis per æquitatem: item Dominationibus, carnem subiugando; Principatibus, reuerentiam maioribus nostris exhibendo; Potestatibus, tentationibus diabolicis resistendo: item assimilari debemus Virtutibus per compassionem, Archangelis per instructionem, Angelis per obsequij exhibitionem.

SCHOLIA S. MAXIMI.

§. 1. *Quis norit rectè Angelos.* SOLVM EXACTE.] Quia solus Deus, qui quoque ipsos Deificat, exactè nouit cùm ipsos tum ipsorum ministeria; quin & ipsi quoque se suaque norunt: nos enim nihil exactè de rebus ipsorum cognoscimus, præter ea quæ ex diuinis Scripturis didicimus.

NOVEM.] Nota, nouem esse ordines Spirituum diuinorum.

§. 2. *Quis sit initiator Dionysij.* SACRORVM INITIATOR.] Suum quidem in sacris initiatorem vocare solet diuinissimum Apostolum Paulum, vel sanctum Hierotheum; sicut in libro de Diuinis nominibus dictum est: nunc autem existimo ipsum nullum alium dicere quàm S. Paulum; nullius enim alterius erat quàm illius, qui vsque ad tertium cælum euectus, de hisce rebus edoctus fuerat.

Primus ternarius ordo,

Throni, Cherubim, Seraphim.

ASSIDVO.] De primo sacrorum ordinum, qui Deo est propinquus.

SANCTISSIMOS.] Primum hûc ternarium ac Deiformem ordinis Principatum, attentus ac dignus Dei contemplator cognoscere poterit ex Ezechiele, qui describit primùm thronum illum in quo Deus visus est, ac statim pòst diuinos istos Cherubim assistentes: apud Isaiam verò diuinissimos Seraphim, qui hos in circuitu Dei stantes contemplatur. Hæc vtiq; supremam eorum apud Deum supra omnes sortem declarant. Simili ferè modo hæc explicantur in Apocalypsi sancti Ioannis Apostoli, Euangelistæ atque Theologi.

IMMEDIATE.] Immediatè dixit, quoniam non est alius ordo ante ipsum. Nota verò vt dicat, Thronos, & multis oculis alisque præditos Cherubim ac Seraphim, virtutes esse vnius Hierarchiæ tripartitæ, atque omnibus celsiores.

ΜΟΝΗΝ ἀκριβῶς.] Ὅτι μόνος ὁ Θεὸς, ὁ καὶ θεοποιῶν αὐτοὺς, οἶδεν ἀκριβῶς αὐτούς τε καὶ τὰς αὐτῶν λειτουργίας· καὶ αὐτοὶ δὲ ἴσασιν αὐτοὺς καὶ τὰ ἑαυτῶν· ἡμεῖς γὰρ οὐδὲν ἀκριβῶς τῶν κατ' αὐτοὺς ἐπιστάμεθα, εἰ μὴ ὅσα ἐκ τῆς θείας ἐδιδάχθημεν Γραφῆς.

Ἐννέα.] Σημείωσαι, ὅτι ἐννέα εἰσὶ τάγματα θεῖα τῶν νοητῶν.

Ἱεροτελεστής.] Ἱεροτελεστὴν μὲν οἰκεῖον εἴωθε καλεῖν, ἢ τὸν θειότατον Ἀπόστολον Παῦλον, ἢ τὸν ἅγιον Ἱερόθεον, ὡς ἐν τῷ περὶ Θείων ὀνομάτων ἐλέχθη λόγῳ· νῦν δὲ οὐδένα ἕτερον ἡγοῦμαι λέγειν αὐτὸν ἢ τὸν ἅγιον Παῦλον· οὐδενὸς γὰρ ἦν ἄλλου ἢ αὐτοῦ τοῦ ἄχρι τρίτου οὐρανοῦ φθάσαντος, καὶ τὰ περὶ τούτων μυηθέντος.

Πρώτη τριαδικὴ τάξις

Θρόνοι, Χερουβὶμ, Σεραφίμ.

Προσεχῶς.] Περὶ τοῦ Θεῷ ἐγγίζοντος πρώτου τῶν ἱερῶν ταγμάτων.

Ἁγιωτάτους.] Τὴν πρώτην τριαδικὴν ταύτην καὶ θεοειδῆ ταξιαρχίαν ἐστὶ τὸν νουνεχῶς καὶ ἀξίως Θεοῦ κατοπτεύοντα καταλαβεῖν ἀπό τε τοῦ Ἰεζεκιὴλ, ὅς φησι θρόνον πρῶτον, ἐφ' οὗ ὤφθη ὁ Θεός· εἶτα εὐθὺς ἐχόμενα τὰ θεῖα Χερουβίμ· παρὰ δὲ τῷ Ἡσαΐᾳ τὰ ἁγιώτατα Σεραφὶμ κύκλῳ ἱστάμενα τοῦ Θεοῦ θεωροῦντα. Ταῦτα δὲ δηλοῖ τὴν ὑπὲρ πάντας ἀνωτάτω παρὰ τὸν Θεὸν αὐτῶν λῆξιν. Σαφηνίζεται δὲ ταῦτα σχεδὸν παραπλησίως καὶ ἐν τῇ Ἀποκαλύψει τοῦ ἁγίου Ἰωάννου τοῦ Ἀποστόλου, Εὐαγγελιστοῦ καὶ Θεολόγου.

Ἀμέσως.] Ἀμέσως εἴρηται, ἐπειδὴ οὐκ ἔστιν ἄλλο τάγμα πρὸ αὐτῆς. Σημείωσαι δὲ, ὅτι τοὺς Θρόνους, ἤτοι τὰ πολυόμματα καὶ τὰ πολύπτερα Χερουβὶμ καὶ Σεραφὶμ, λέγει ἀνωτέρας εἶναι πασῶν δυνάμεις, καὶ τῆς μιᾶς τριαδικῆς Ἱεραρχίας.

Ὁ κλει-

Ὁ κλεινός.] Τὸν ἅγιον Παῦλον αἰνίττεται.

Ἐξουσιῶν.] Τὰς ἐφεξῆς δύο τριαδικὰς τῆς νοητῆς ἁγίας ἱεραρχίας κάτωθεν εἰς ἄνω καταλέγει· πρῶται γὰρ εἰσὶν αἱ Κυριότητες, εἶτα ἑξῆς αἱ Δυνάμεις, εἶτα αἱ Ἐξουσίαι. Αὐτὸς δὲ τὰς Ἐξουσίας πρώτας τάξας, μέσας ἔλαβε τὰς Κυριότητας. Καὶ τῆς τρίτης λειτουργικῆς τριάδος, πρῶται αἱ Ἀρχαί, εἶτα λοιπὸν οἱ Ἀρχάγγελοι, καὶ τὸ τελευταῖον Ἄγγελοι. Νῦν οὖν οὐχ οὕτως αὐτῶν ἐμνημόνευσεν ἐν τῷ ἑξῆς κεφαλαίῳ, ἀλλὰ κάτωθεν εἰς ἄνω λαβὼν ὠνόμασεν. Ὁ μὲν οὖν Ἀπόστολος ἔν τε τῇ πρὸς Ῥωμαίους καὶ ἐν τῇ πρὸς Ἐφεσίους μέμνηται ἐνίων Ἀγγελικῶν ταγμάτων, οὐ ταύτην δὲ τὴν τάξιν ὑφηγεῖται. Δηλοῖ δὲ ὁ μέγας Διονύσιος, ὅτι ἐν μυστηρίῳ ταῦτα παρέδωκε τοῖς ἁγίοις ὁ θεῖος Ἀπόστολος.

INCLYTVS.] Sanctum Paulum insinuat.

POTESTATVM.] Sequentes duos ternarios sacrarum mentium ordines, ab infimo ad supremum recenset. Primæ enim sunt Dominationes, deinde sequuntur Virtutes, denique Potestates. ipse verò Potestates primas collocans, medias accepit Dominationes. Et tertij ternionis ministratorij, primi sunt Principatus, sequentes deinde Archangeli, postremi verò Angeli. Nunc autem non hoc ordine eorum meminit sequenti Capite; sed eorum nomina, ab infimo ad supremum ascendendo, recensuit. Apostolus vtique in Epist. ad Romanos & Ephesios, quorumdam ordinum Angelicorum mentionem fecit; sed non eumdem ordinem exponit: Magnus autem Dionysius significat, D. Apostolum quibusdam hæc in mysterio tradidisse.

PARAPHRASIS PACHYMERÆ.

ΟΣΟΙ μέν εἰσι κατὰ πλῆθος, καὶ οἷοι κατὰ τὴν ποιότητα οἱ τῶν οὐρανίων διάκοσμοι καὶ αἱ θεῖαι τάξεις, καὶ ὅπως τελοῦνται κατ' αὐτὰς τὰ τῆς Ἱεραρχίας μυστήρια, μόνην εἰδέναι λέγω τὴν ὑποστήσασαν αὐτοὺς θεϊκὴν τελεταρχίαν, τὴν πάσης τελετῆς καὶ παντὸς μυστηρίου ἄρξασαν· προσέτι δὲ καὶ αὐτοὺς τούτους γινώσκειν τὰς οἰκείας δυνάμεις, καὶ τὰς ἐλλάμψεις, καὶ τὴν ἱερὰν διάταξιν, οὐκ ἄλλον ἄλλου· τὰ γὰρ ὑποβεβηκότα, τὰ τῶν ὑπερβεβηκότων εἰδέναι διόλου οὐκ ἔχουσιν, ἀλλ' ἕκαστον αὐτὸν ἑαυτοῦ· διὰ τοῦτο γὰρ εἶπε, Τὰς οἰκείας δυνάμεις. Ἀδύνατον γὰρ ἡμᾶς εἰδέναι τὰ ἐκείνων, εἰ μὴ λέγομεν, ὅσα δι' αὐτῶν παρὰ τοῦ Θεοῦ ἐλλαμφθείημεν. Πάντως δὲ τὰ οἰκεῖα ἀκριβῶς ἐκεῖνοι γινώσκοντες, καλῶς καὶ ὑπηρετήσουσιν ἡμῖν εἰς τὴν τοιαύτην μυσταγωγίαν. Οὐκοῦν ἡμεῖς μὲν οὐδὲν ἀφ' ἑαυτῶν λέγομεν, ὅσα δὲ τῶν Ἀγγελικῶν θεαμάτων καὶ γνώσεων ὑπὸ τῶν ἱερῶν Θεολόγων ἐθεωρήθη καὶ ἐγνώσθη, ταῦτα, μυηθέντες παρ' ἐκείνων, πάλιν ἡμεῖς κατὰ τὸ δυνατὸν ἐκθησόμεθα.

Πάσας τὰς οὐρανίους οὐσίας, καὶ τὰ τούτων τάγματα, ἐννέα κέκληκεν ἡ Θεολογία ἐν ἐπωνυμίαις ἐκφαντορικαῖς καὶ ἀγγελλούσαις τὰ τοῦ Θεοῦ μυστήρια, εἴτ' οὖν Ἀγγελικαῖς. Ταύτας δὲ εἰς τρεῖς τριαδικὰς ἀφορίζει τάξεις ὁ κλεινὸς ἱεροτελεστὴς ἡμῶν, ἢ ὁ θεῖος Ἱερόθεος,

§. 1. *Solũ Deum omnes & singulos Angelos, seipsos nosse.*

QVANTI quidem sint multitudine, qualesque conditione cælestium distinctiones atque ordines diuini, & quomodo iuxta illos mysteria Hierarchiæ cõsummentur, solum nosse dico diuinum illum initiandi principatum qui illos condidit, & omni initiationi omniq; mysterio principatur; quin imò ad hæc, ipsos nosse proprias virtutes atque illustrationes, nec non sacrum suum ordinem, non tamen alterum alterius: nam inferiores ea quæ superiorum sunt, omnino nosse nequeunt, sed quilibet res suas nouit. idcircò enim dixit, proprias virtutes. Impossibile enim est ea nos, quæ illorum sunt, nosse; nisi loquamur de iis quæ per ipsos, Deo reuelante, accepimus. Omnino autem illi cùm res proprias exactè noscunt, ritè quoque nobis subministrant istiusmodi eruditionem. Nos itaque nihil omnino quidem à nobismet ipsi dicimus; sed quæ in Angelicis visis ac notionibus sacris Theologis conspecta sunt & nota, eadem nos, ab illis edocti, rursum pro virili exponemus.

§. 2. *Distributio ordinum Angelicorum.*

Omnes essentias cælestes, eorumque ordines, nouem vocauit Theologia cognominibus manifestatiuis, & diuina mysteria denuntiantibus, seu Angelicis. Has autem in tres ternarios ordines digerit inclytus initiator noster, siue is sit diuinus Hierotheus,

PARAPHRASIS PACHYMERÆ.

ſiue potiùs is qui ad tertium cælum euectus, ibidem raptus in paradiſum, Magnus inquam Paulus. Ac primùm quidem ac circa Deum exiſtentem, eique proximè & immediatè vnitum, dicit eſſe Thronos ſanctiſſimos, & multorum oculorũ, quippe cognitionis copiâ pollentium; & multarum alarum, vtpote efficaciſſimorum & incenſorum, quos Cherubim & Seraphim Hebræa lingua vocare ſolet, cuius cauſa in ſequentibus profertur. Primam hanc diſtributionem circa Deum immediatè collocari, aſſerit Oraculorum traditio: hanc etiam inclytus Magiſter noſter vnam & eiuſdem dignitatis eſſe dicebat, quâ non eſt alia diſtributio primigeniis ac diuinis illuſtrationibus attentior. Secunda verò eſt ex Poteſtatibus & Dominationibus atque Virtutibus; & poſt hanc tertia, quæ complet Angelorum & Archangelorum ac Principatuum diſpoſitionem. Notandum autem, aliquos hac enumeratione prouocatos, ita primam diſtributionem ordinare: primùm Thronos, deinde Cherubim, ac poſteà Seraphim; quocircà etiam inſcriptionem ſeptimi capitis, atque inſuper trium horum ordinum doctrinam, conferendam aiunt cum duobus iſtis ternariis ordinum ſequentium: ibi enim illos ſurſum deorſum recenſet; hîc autem non ſic, ſed deorſum ſurſum. Atque alij quidem hoc modo, vt primo loco Seraphim collocent, deinde Cherubim, atque exinde Thronos: ad hoc permoti ab Iſaiâ dicente, in circuitu Dei Seraphim collocari; vel potiùs ab inſcriptionibus octaui ac noni capitis, dicentes, quòd vt ſanctus ſecundùm ordinem illorum, ſic & titulum ſeptimi capitis inſcripſerit. Si quis autem voluerit Thronos eſſe ſuperlatos, ſciat etiam, Seraphim ignitos eſſe, & ſurſum ferri. Aliter etiam hi tres ordines vnam habent eminentem propinquitatem. Hîc autem ita recenſet eos, & à Thronis incipit, vt & ſic vnitati quodammodò conſulat: vel etiam ſecundùm noſtræ cognitionis & illuſtrationis rationem, (quoties enim ab inferioribus ad ſuperiora tranſimus?) vel ſecundùm deſcribendi ac definiendi modum; aſcendendo enim multitudinem in vnum contrahimus, ſicut deſcendendo vnum in multa diuidimus. Cùm itaque adiuuet tres in vnum, idcircò iſtiuſmodi facit enumera-

Quis ſit ordo dignitatis inter illos.

ἢ, ὃ καὶ μᾶλλον, ὁ εἰς τρίτον οὐρανὸν ἀνελθὼν, κἀκεῖθεν ἁρπαγεὶς εἰς παράδεισον, ὁ μέγας δηλαδὴ Παῦλος. Καὶ πρώτην μὲν καὶ περὶ Θεὸν οὖσαν καὶ προσεχῶς αὐτῷ καὶ ἀμέσως ἡνωμένην λέγει, τούς τε ἁγιωτάτους Θρόνους, καὶ τὰ πολυόμματα ὡς πλῆθος γνώσεως ἔχοντα, καὶ πολύπτερα ὡς δραστικώτατα ἐμπύρια, ἃ δὴ Χερουβὶμ καὶ Σεραφὶμ ἡ τῶν Ἑβραίων οἶδε γλῶσσα καλεῖν, δι' ἣν δὲ αἰτίαν, ἐν τοῖς ἑπομένοις ῥηθήσεται. Τοῦτον τὸν πρῶτον διάκοσμον περὶ Θεὸν ἀμέσως ἱδρῦσθαι, φησὶν ἡ τῶν Λογίων παράδοσις. τοῦτον, ἕνα καὶ ὁμοταγῆ ὁ κλεινὸς ἡμῶν ἔφη καθηγεμών. τούτου οὐκ ἔστιν ἄλλος διάκοσμος προσεχέστερος ταῖς πρωτουργοῖς καὶ θείαις ἐλλάμψεσι. Δεύτερος δὲ ἐστὶν, ὁ τῶν Ἐξουσιῶν, τῶν Κυριοτήτων, καὶ τῶν Δυνάμεων· καὶ μετ' αὐτὸν τρίτος, ὁ συμπληρωτικὸς τῆς τῶν Ἀγγέλων τε, καὶ Ἀρχαγγέλων, καὶ Ἀρχῶν διακοσμήσεως. Τοῦτο δὲ σημείωσαι, ὅτι τινὲς ὁρμώμενοι ἀπὸ ταύτης τῆς ἀπαριθμήσεως, οὕτω τάττουσι τὸν πρῶτον διάκοσμον· Θρόνους πρῶτον, εἶτα Χερουβὶμ, καὶ μετέπειτα Σεραφίμ· διὰ τοῦτο καὶ τὴν ἐπιγραφὴν τοῦ ζ. κεφαλαίου, ἔτι δὲ καὶ τὴν διδασκαλίαν τῶν τριῶν τούτων ταγμάτων, παρηλλαγμένην λέγουσι πρὸς τὰς ἑτέρας δύο ἐφεξῆς τριαδικὰς ταξιαρχίας· ἐκεῖσε γὰρ ἄνωθεν εἰς κάτω καταλέγει· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ κάτωθεν εἰς ἄνω. Καὶ οἱ μὲν οὕτως· οἱ δὲ τὰ Σεραφὶμ τιθέασι πρότερα, εἶτα τὰ Χερουβὶμ, ἐφεξῆς δὲ τοὺς Θρόνους· τοῦτο μὲν καὶ ἀπὸ τοῦ Ἠσαΐου ὁρμώμενοι, λέγοντος κύκλῳ τοῦ Θεοῦ τὰ Σεραφὶμ ἵστασθαι· καὶ ἀπὸ τῶν ἐπιγραφῶν δὲ μᾶλλον τοῦ τε η. κεφαλαίου καὶ τοῦ θ. λέγοντες ὅτι ὁ ἅγιος κατὰ τὴν τάξιν ἐκείνων, οὕτω καὶ τὴν ἐπιγραφὴν τοῦ ζ. κεφαλαίου ἐπέγραψεν. Εἰ δὲ λέγει τις, ὅτι οἱ Θρόνοι ὑπερηρμένοι, ἴστω ὅτι καὶ τὰ Σεραφὶμ πύρινα, καὶ ἀναφερῆ. Ἄλλως τε δὲ καὶ τὰ τρία ταῦτα τάγματα μίαν ἔχουσι τὴν ὑπερκειμένην ἐγγύτητα. Λέγει δὲ οὕτως ἐνταῦθα, καὶ ἀπὸ τῶν Θρόνων ἄρχεται, ἵνα καὶ τοῦτό τις ὡς ἑνὸν θεραπεύσειε· ἢ ὅτι κατὰ τὴν ἀναλογίαν τῆς ἡμετέρας γνώσεως καὶ ἐλλάμψεως (ἀπὸ γὰρ τῶν κάτω ποσῶς ἐπὶ τὰ ἀνώτερα μεταβιβαζόμεθα;) ἢ κατὰ τὸν λόγον τῆς περιγραφῆς καὶ τοῦ διορισμοῦ· ἀνερχόμενοι γὰρ, τὸ πλῆθος εἰς ἓν συνάγομεν, ὥσπερ κατερχόμενοι, τὸ ἓν εἰς πολλὰ διαιροῦμεν. Ἐπεὶ γοῦν συνενοῖ τὰς τρεῖς εἰς τὸ ἕν, διὰ τοῦτο καὶ τοιαύτην ποιεῖται τὴν

τὴν ἀπαρίθμησιν· τέως δὲ τάγματα μὲν ἐννέα φησὶν, εἰς τρεῖς δὲ τάξεις διαιρεῖ ταῦτα, πρώτην, ἐσχάτην, καὶ μέσην, ὥστε καὶ τὰ τρία μίαν ἔχουσι τὴν ὑπερκειμένην ἐγγύτητα.

tionem: hactenus autem ordines quidem nouem assignat, quas in tres distributiones diuidit, in primam scilicet, vltimam, & mediam; ita vt etiam tres vnam habeant supereminentem propinquitatem.

ΚΕΦΑΛΑΙΟΝ Ζ´.

Περὶ τῶν Σεραφίμ, καὶ Χερουβίμ, καὶ τῶν Θρόνων, καὶ περὶ τῆς πρώτης αὐτῶν Ἱεραρχίας.

CAPVT VII.

De Seraphim, Cherubim, & Thronis, deque primâ eorum Hierarchiâ.

SYNOPSIS CAPITIS.

1. Docet quid Cherubim, Seraphim, & Throni significent. 2. Quanta sit primæ Hierarchiæ dignitas, contemplandi vis atque perfectio. 3. Quomodo inferiores à superioribus, & supremi ab ipsomet Deo initientur, & quantâ reuerentiâ suas quisque illustrationes excipiat. 4. Quid supremi illi spiritus agant.

Ταύτην ἡμεῖς ἀποδεχόμενοι τὴν τῶν ἁγίων Ἱεραρχιῶν τάξιν, φαμὲν ὅτι πᾶσα τῶν οὐρανίων νοῶν ἐπωνυμία, δήλωσιν ἔχει τῆς ἑκάστου θεοειδοῦς ἰδιότητος. Καὶ τὴν μὲν ἁγίαν τῶν Σεραφὶμ ὀνομασίαν οἱ τὰ Ἑβραίων εἰδότες, ἢ τὸ Ἐμπρηστὰς ἐμφαίνειν, ἢ τὸ Θερμαίνοντας· τὴν δὲ Χερουβίμ, Πλῆθος γνώσεως, ἢ Χύσιν σοφίας. Εἰκότως οὖν ἡ πρώτη τῶν οὐρανίων Ἱεραρχιῶν πρὸς τῶν ὑπερτάτων οὐσιῶν ἱερουργεῖται, τάξιν ἔχουσα τὴν πασῶν ὑψηλοτέραν, τῷ περὶ Θεὸν ἀμέσως ἱδρῦσθαι, καὶ τὰς πρωτουργοὺς θεοφανείας καὶ τελειώσεις εἰς αὐτὴν ὡς ἐγγυτάτην ἀρχικωτέρως διαπορθμεύεσθαι. Θερμαίνοντες γοῦν ὀνομάζονται καὶ Θρόνοι, καὶ Χύσις σοφίας, ἐκφαντορικῷ τῶν θεοειδῶν αὐτῶν ἕξεων ὀνόματι· τὸ μὲν γὰρ ἀεικίνητον αὐτῶν περὶ τὰ θεῖα καὶ

§. I. Hunc sanctarum Hierarchiarum ordinem approbantes, omnem cælestium intelligẽtiarum appellationem, Deiformis, cuilibet earum insitæ, proprietatis declarationem continere profitemur. Ac sanctam quidem Seraphim appellationem, Hebraicè periti aiunt vel Incensores interpretari vel Calefacientes; Cherubim verò, Copiam cognitionis, siue Sapientiæ diffusionem. Meritò igitur prima illa cælestium Hierarchiarum à sublimissimis naturis administratur, cùm hoc ceteris ordinem nacta sit sublimiorem, quò in eam, immediatè Deo assistentem, primæuæ Dei apparitiones, & initiationes, tamquam in proximam, principaliùs deriuantur. Calefacientes igitur nominantur & Throni, Diffusioq; sapientiæ, per explanatoriam Deiformium suarum habitudinum denominationem: perennem siquidem atque incessantem eorum

Seraphim quid significet.

Cherubim quid.

TEXTVS S. DIONYSII. eorum circa res diuinas motionẽ, feruoremque & acumen, & efferuescentiam intentæ ac numquam intermissæ, numquámve declinantis motionis; subditosque ad superna surrigendi, & ad consimilem feruorem reipsâ suscitandi inflammandique, nec non coruscanter penitusque conflagranter eos perpurgandi facultatem, & abscondi nesciam inextinctamque, semper eodem modo se habentem, luciformem, & illuminandi proprietatẽ, omnis tenebricosę obscuritatis expultricem & aboletricem, nomen Seraphim luculẽter designat. Cherubim verò, eorum vim cognoscendi, Deumq; contuendi, & exuberantis capacitatem luminis, atque contemplandi in ipsamet primæuâ virtute diuinam venustatem, nec non sapientificæ traductionis artificium, quoad inferiora donatam sibi sapientiam sine inuidiâ deriuant atque transfundunt.

Throni quid. Thronorum porrò sublimissimorũ & excelsorum nomen denotat id quod ab omni terrenâ humilitate sine admixtione secretũ est, quodq; ad superiora diuino studio fertur, nec in infimis vllis rebus habitat, sed totis viribus in eo, qui verè summus est, immobiliter firmiterque hæret, diuinumque aduentum sine vllâ motione atque materiâ recipit, ac Deum portat, officioseque ad ea, quæ diuina sunt, capienda propensum est.

§. 2. Atque hæc quidem est nominum ipsorum, quantum capere possumus, interpretatio; quam autem eorum Hierarchiam esse

ἀκατάληκτον, καὶ τὸ θερμὸν, καὶ τὸ ὀξὺ, καὶ ὑπερζέον τῆς προσεχοῦς καὶ ἀνενδότου καὶ ἀκλινοῦς ἀεικινησίας, καὶ τὸ τῶν ὑποβεβηκότων ἀναγωγικῶς καὶ δραστηρίως ἀφομοιωτικὸν, ὡς ἀναζέον ἐκεῖνα καὶ ἀναζωπυροῦν ἐπὶ τὴν ὁμοίαν θερμότητα, καὶ τὸ πρηστηρίως καὶ ὁλοκαύτως καθαρτικὸν, καὶ τὴν ἀπερικάλυπτον καὶ ἄσβεστον, ἔχουσαν ὡσαύτως ἀεὶ, φωτοειδῆ καὶ φωτιστικὴν ἰδιότητα, πάσης ἀλαμποῦς σκοτοποιΐας ἐλάτειραν οὖσαν καὶ ἀφανιστικὴν, ἡ τῶν Σεραφὶμ ἐπωνυμία ἐκφαντορικῶς διδάσκει. Ἡ δὲ τῶν Χερουβὶμ, τὸ γνωστικὸν αὐτῶν καὶ θεοπτικὸν, καὶ τῆς ὑπερτάτης φωτοδοσίας δεκτικὸν, καὶ θεωρητικὸν ἐν πρωτουργῷ δυνάμει τῆς θεαρχικῆς εὐπρεπείας, καὶ τῆς σοφοποιοῦ μεταδόσεως ἀναπεπλασμένον, καὶ κοινωνικὸν ἀφθόνως πρὸς τὰ δεύτερα, τῇ χύσει τῆς δωρηθείσης σοφίας. Ἡ δὲ τῶν ὑψηλοτάτων καὶ ἐπηρμένων Θρόνων, τὸ πάσης * ἀκριβῶς ἐξῃρῆσθαι περιπεζίας ὑφέσεως, καὶ τὸ πρὸς ἄναντες ὑπερκοσμίως ἀνωφερὲς, καὶ πάσης ἐσχατιᾶς ἀῤῥεπῶς ἀνῳκισμένον, καὶ περὶ τὸν ὄντως ὕψιστον ὁλικαῖς δυνάμεσιν ἀκατασείστως καὶ εὐσταθῶς ἱδρυμένον, καὶ τῆς θεαρχικῆς ἐπιφοιτήσεως ἐν ἀπαθείᾳ πάσῃ καὶ ἀϋλίᾳ δεκτικὸν, καὶ τὸ θεοφόρον, καὶ θεραπευτικῶς ἐπὶ τὰς θείας ὑποδοχὰς ἀναπεπταμένον. *ἀμιγῶς

Αὕτη μὲν ἡ τῶν ὀνομάτων αὐτῶν ὡς καθ' ἡμᾶς ἐκφαντορία· λεκτέον δὲ, τίνα τὴν Ἱεραρχίαν αὐτῶν

TEXTVS S. DIONYSII.

αὐτῶν οἰόμεθα. Τὸν μὲν γὰρ ἁπάσης Ἱεραρχίας σκοπὸν τῆς θεομιμήτου θεοειδείας ἐξηρτημένον ἀρρεπῶς εἶναι, καὶ τὸ διῃρεῖσθαι πᾶσαν ἱεραρχικὴν πραγματείαν, εἰς μετοχὴν ἱερὰν καὶ μετάδοσιν καθάρσεως ἀμιγοῦς, καὶ θείου φωτὸς, καὶ τελεσιουργοῦ ἐπιστήμης, ἀρκούντως ἤδη πρὸς ἡμῶν εἰρῆσθαι νομίζω· νῦν δὲ εἰπεῖν ἀξίως εὔχομαι τῶν ὑπερτάτων νοῶν, πῶς ἡ κατ᾽ αὐτοὺς Ἱεραρχία διὰ τῶν Λογίων ἐκφαίνεται. Ταῖς πρώταις οὐσίαις, αἳ μετὰ τὴν οὐσιοποιὸν αὐτῶν θεαρχίαν ἱδρυμέναι, καὶ οἷον ἐν προθύροις αὐτῆς τεταγμέναι, πάσης εἰσὶν ἀοράτου καὶ ὁρατῆς ὑπερβεβηκυῖαι γεγονυίας δυνάμεως, ὡς οἰκείαν οἰητέον εἶναι καὶ κατὰ πᾶν ὁμοειδῆ τὴν Ἱεραρχίαν. Καθαρὰς μὲν οὖν αὐτὰς ἡγητέον, οὐχ ὡς ἀνιέρων κηλίδων καὶ μολυσμῶν ἠλευθερωμένας, οὐδ᾽ ὡς προσύλων ἀνεπιδέκτους φαντασιῶν, ἀλλ᾽ ὡς πάσης ὑφέσεως ἁμιγῶς ὑψηλοτέρας, καὶ παντὸς ἀποβεβηκότος ἱεροῦ, κατὰ τὴν ὑπερτάτην ἁγνότητα, πάσαις ταῖς θεοειδεστάταις δυνάμεσιν ὑπεριδρυμένας, καὶ τῆς οἰκείας αὐτοκινήτου καὶ ταυτοκινήτου κατὰ τὸ φιλόθεον ἄτρεπτον τάξεως ἀρρεπῶς ἀντεχομένας, καὶ τὴν ἐπὶ τὰ χείρω κατά τι μείωσιν οὐδ᾽ ὅλως εἰδυίας, ἀλλ᾽ ἄπτωτον ἀεὶ καὶ ἀμετακίνητον ἐχούσας τὴν τῆς οἰκείας θεοειδοῦς ἰδιότητος ἀμιγεστάτην ἵδρυσιν. Θεωρητικὰς δὲ αὖθις, οὐχ ὡς αἰσθητῶν συμβόλων νοερῶν θεωροὺς, οὐδὲ ὡς τῇ ποικιλίᾳ τῆς ἱερογραφικῆς θεωρίας ἐπὶ τὸ Θεῖον ἀναγομένας,

putemus, dicendum eſt. Omnis enim Hierarchiæ ſcopum ex diuinâ Deiformitatis imitatione conſtanter dependere, omnemq; functionẽ Hierarchicam, in ſacroſanctam puriſſimæ mundationis, & diuini luminis, perfectiuæq; ſcientiæ participationem atque collationem diuidi, ſatis ſuperque iam à nobis dictum exiſtimo: nunc autem pro ſupremarum iſtarũ mentium dignitate dicere deſidero, quanam ratione ſacer earum ordo à Scripturis explicetur. *Primæ Hierarchiæ dignitas.* Primis iſtis eſſentiis, quæ poſt ſubſtantificum ipſarum Dei principatum collocatæ, & quaſi in veſtibulo eius ſitæ, creatam virtutem omnem, tam inuiſibilem quàm viſibilem, tranſſcendunt, propriam quamdam & vniformem Hierarchiam eſſe exiſtimandum eſt. Puræ ſiquidem cenſendæ, non quaſi à maculis (dumtaxat) impuris colluuionibuſque ſint liberæ, vel quòd in eas materialia viſa non cadant; ſed quòd omnino imminutione omni, omnique re ſacrâ ſibi ſubditâ celſiores, præ ſummâ puritate, omnibus etiam, vel maximè Deiformibus virtutibus, ſint antepoſitæ, ordiniſque ſui motum proprium æquabilemq; per amorẽ Dei conſtanter teneant inuariatum, neque vllam in deterius agnoſcant imminutionẽ, ſed inconcuſſam ſemper & immobilem Deiformis ſuæ proprietatis ſedem habeant. Contemplatrices item, non quaſi ſymbolorum, quæ vel ſenſu vel mente percipiantur, ſpectatrices, neque varietate contemplationis ſacrarum Scripturarum ad Deum ele-

uatæ; sed tamquam omni cognitione simplici altioris luminis expletæ, & contemplatione illius pulchritudinis, quæ est effectrix & origo pulchritudinis, & quæ supra substantiam est, & in tribus splendet, quatenus fas est, refertæ: communionis verò Iesu similiter participes factæ, non quasi in imaginibus sanctè informatis, quæ veluti formæ in eis Deificam similitudinem exprimant, sed tamquam verè ad eum appropinquantes in ipsâ primâ participatione cognitionis luminum eius Deificorum; nec non quòd Deum imitandi ratio, sublimissimo ipsis modo sit indulta, & in primęuâ, quantum iis fas est, potentiâ diuinis eius humanisque virtutibus communicent. Similiter perfectæ sunt, non quasi varietates istas sacras resoluendi scientiâ sint illustratæ; sed quòd primâ & præcellente Dei vnione satientur, iuxta supremam illam (cuius capaces sunt Angeli) diuinorum operum disciplinam: siquidem non ab aliis quibusdam sanctis spiritibus, sed ab ipsamet Diuinitate sacris initiantur, dum ad Deum immediatè per virtutem ordinemque rebus omnibus superiorem surriguntur, nec non in eo summâ puritate summaque constantiâ stabiliuntur; & pro immateriali ac spiritali decore suo, quãtum fas est, ad contemplationem promouentur, atque scientificis diuinorum operum rationibus, tamquam primę Deoq; proximę, erudiuntur ab ipsomet initiandi principio, eminenti modo consecratę.

Quàm perfecta sit prima Hierarchia.

§. 3. Hoc igitur Theologi perspicuè declarant, vt inferiores quidem

ἀλλ' ὡς πάσης ἀΰλου γνώσεως ὑψηλοτέρου φωτὸς ἀποπληρουμένας, καὶ τῆς τοῦ καλλοποιοῦ καὶ ἀρχικοῦ κάλλους ὑπερουσίου καὶ τριφανοῦς θεωρίας ὡς θεμιτὸν ἀναπιμπλαμένας, τῆς δὲ Ἰησοῦ κοινωνίας ὡσαύτως ἠξιωμένας, οὐκ ἐν εἰκόσιν ἱεροπλάστοις μορφωτικῶς ἀποτυποῦσι τὴν θεουργικὴν ὁμοίωσιν, ἀλλ' ὡς ἀληθῶς αὐτῷ πλησιαζούσας ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως τῶν θεουργικῶν αὐτοῦ φώτων, καὶ μὴν ὅτι τὸ θεομίμητον αὐταῖς ὑπερτάτως δεδώρηται, καὶ κοινωνοῦσι, κατὰ τὸ αὐταῖς ἐφικτὸν, ἐν πρωτούργῳ δυνάμει ταῖς θεουργικαῖς αὐτοῦ καὶ φιλανθρώποις ἀρεταῖς. Τετελεσμένας δὲ ὡσαύτως, οὐχ ὡς ποικιλίας ἱερᾶς ἀναλυτικὴν ἐπιστήμην ἐλλαμπομένας, ἀλλ' ὡς πρώτης καὶ ὑπερεχούσης θεώσεως ἀποπληρουμένας, κατὰ τὴν ὑπερτάτην ὡς ἐν Ἀγγέλοις τῶν θεουργιῶν ἐπιστήμην· οὐ γὰρ δι' ἄλλων ἁγίων οὐσιῶν, ἀλλὰ πρὸς αὐτῆς τῆς θεαρχίας ἱεραρχούμεναι, τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι, τῇ πάντων ὑπερεχούσῃ δυνάμει καὶ τάξει, καὶ πρὸς τὸ πάναγνον καὶ κατὰ παναρρεπὲς ἱδρύονται, καὶ πρὸς τὴν ἄϋλον καὶ νοητὴν εὐπρέπειαν, ὡς θεμιτὸν, εἰς θεωρίαν προσάγονται, καὶ τοὺς τῶν θεουργιῶν ἐπιστημονικοὺς λόγους, ὡς πρῶται καὶ περὶ Θεὸν οὖσαι, μυοῦνται πρὸς αὐτῆς τελεταρχίας ὑπερτάτως ἱεραρχούμεναι.

Τοῦτο γοῦν οἱ Θεολόγοι σαφῶς δηλοῦσι, τὸ, τὰς μὲν ὑφειμένας τῶν

οὐρανίων

οὐρανίων οὐσιῶν διακοσμήσεις, πρὸς τῶν ὑπερβεβηκυιῶν εὐκόσμως ἐκδιδάσκεσθαι τὰς θεουργικὰς ἐπιστήμας· τὰς δὲ πασῶν ὑψηλοτέρας, ὑπ᾽ αὐτῆς θεαρχίας, ὡς θεμιτὸν, τὰς μυήσεις ἐλλάμπεσθαι. Τινὰς μὲν γὰρ αὐτῶν εἰσάγουσι πρὸς τῶν προτέρων ἱερῶς μυουμένας, τὸν Κύριον εἶναι τῶν οὐρανίων δυνάμεων, καὶ Βασιλέα τῆς δόξης, τὸν εἰς οὐρανοὺς ἀνθρωποπρεπῶς ἀναληφθέντα· τινὰς δὲ πρὸς αὐτὸν Ἰησοῦν διαπορούσας, καὶ τῆς ὑπὲρ ἡμῶν αὐτοῦ θεουργίας τὴν ἐπιστήμην μαθητιώσας, καὶ ταύτας αὐτὸν Ἰησοῦν ἀμέσως μυοῦντα, καὶ πρωτοδότως αὐταῖς ἐκφαίνοντα τὴν αὐτοῦ φιλάνθρωπον ἀγαθουργίαν. Ἐγὼ γὰρ, φησὶ, διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Ἄγαμαι δὲ, ὅτι καὶ τῶν ἐπουρανίων οὐσιῶν αἱ πρῶται, καὶ τόσον ἁπάσας ὑπερκείμεναι, τῶν θεαρχικῶν ἐλλάμψεων ὡς μεσοπετεῖς εὐλαβῶς ἐφίενται· καὶ γὰρ οὐκ αὐτόθεν ἐρωτῶσι, Διὰ τί σοῦ ἐρυθρὰ τὰ ἱμάτια; πρὸς ἑαυτὰς δὲ διαποροῦσι πρότερον, ἐνδεικνύμεναι μὲν ὅτι μαθητιῶσι, καὶ τῆς θεουργικῆς γνώσεως ἐφίενται, μὴ προπηδῶσαι δὲ τῆς κατὰ θείαν πρόοδον ἐνδιδομένης ἐλλάμψεως. Οὐκοῦν ἡ πρώτη τῶν οὐρανίων νοῶν Ἱεραρχία, πρὸς αὐτῆς τελεταρχίας ἱεραρχουμένη, τῷ ἐπ᾽ αὐτὴν ἀμέσως ἀνατείνεσθαι, τῆς παναγεστάτης καθάρσεως τοῦ ἀπλέτου φωτὸς τῆς προτελείου τελεσιουργίας ἀναλόγως αὐτῇ πληρουμένη, καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται, πάσης μὲν ὑφέσεως ἀμιγὴς,

cæleſtium eſſentiarum ordines, à ſuperioribus diuinorum operum ſcientiam conuenienti modo percipiant; ij verò qui omnibus antecellunt, ab ipſamet Deitate ſummâ, vti fas eſt, ſacris diſciplinis illuſtrantur. Quoſdam enim eorum introducunt, à ſuperioribus ſacroſanctè eruditos, illum eſſe Dominum cæleſtium virtutum Regemque gloriæ, qui humanâ ſpecie aſſumptus eſt in cælum: nonnullos item circa ipſummet Ieſum hæſitantes, diuiniq; eius pro nobis ſuſcepti operis ſcientiam diſcentes, ipſumque Ieſum eos per ſe docentem, ac primùm eius ſummam in homines benignitatem explicantẽ. *Ego enim*, inquit, *loquor iuſtitiam & iudicium ſalutaris.* Miror autem, primas etiam cæleſtium eſſentiarum, tantumque ceteris prẹſtantes, non ſecùs ac medias, diuinarum quoque illuſtrationum deſiderio timidè affici; neque enim illæ per ſe quærunt, *Cur rubra ſunt veſtimenta tua?* ſed priùs hæſitant attonitẹ, declarantes quidem ſe dicendi auidas, diuinæ operationis appetere cognitionẽ, verùm hanc, ante diuinã indultẹ ſibi illuſtrationis proceſſionem, minimè præuenire. Prima igitur cæleſtium intelligẽtiarum Hierarchia ab ipſomet initiandi principatu conſecrata, per eam, quâ in ipſum immediatè ſurrigitur, ſanctiſſimam purgationem, pro captu ſuo referta copioſo lumine perfectiſſimẹ ſanctificationis, purgatur, & illuminatur, atque perficitur; omnis quidem vilitatis

Inferiores à ſuperioribus, ſupremos à Deo initiari.

Iſa. 63, 1.

Supremorum in illuſtratione recipiendâ reuerentia.

Supremi quomodo expientur, illuſtrentur & perficiantur.

 expers,

TEXTVS S. DIONYSII.

expers, primæ verò lucis plena, primitiuæque cognitionis atque ſcientiæ participatione perfecta. Compendiò denique non abs re dixerim, diuinæ ſcientię participationem eſſe purgationem, & illuminationem, atque perfectionem: dum quidem ignorationem quodammodò expiat per perfectorum myſteriorum ſcientiam, quæ pro ſuâ cuique dignitate conceditur; per diuinam verò cognitionem illuminat, quâ etiam purgat mentem illam, quæ anteà non viderat ea, quæ modò illi per ſublimiorem illuſtrationem elucidantur; rurſumque perficit eodem ipſo lumine, per ſtabilem ſcientiam clariſſimarum eruditionum.

§. 4. Atque hic quidem, quantum capio, primus eſt cæleſtium eſſentiarum ordo, qui in circuitu Dei circaque Deum immediatè conſiſtit, ſimpliciterque & iugiter æternam eius ambit cognitionem, iuxta ſublimiſſimam, quæ in Angelis ineſt ſemper, mobilem conſtitutionem; ita vt & multis beatiſque perfruatur contemplationibus, ſimplicibuſque & immediatis colluſtrationibus illuminetur, diuinoque cibo ſaturetur; atque illo quidem primæuâ diffuſione copioſo, vnico tamen & inuariato vnificoque, propter diuinæ refectionis vnitatem. Quin & multâ quoque Dei conſuetudine operumque communicatione dignus eſt habitus, propter eius cum illo, quanta poteſt exiſtere, habitudinum actionumque ſimilitudinem probatiſſimarum: plurimas quoque res diuinas eminenti quadam ratione cognoſcit, diuinæ

πρώτου δὲ φωτὸς πλήρης, καὶ πρωτοδότου γνώσεως καὶ ἐπιστήμης μέτοχος ἀποτελουμένη. Συνελὼν δὲ καὶ τοῦτο φαίην ἂν οὐκ ἀπεικότως, ὅτι καὶ κάθαρσίς ἐστι, καὶ φωτισμὸς, καὶ τελείωσις, ἡ τῆς θεαρχικῆς ἐπιστήμης μετάληψις, ἀγνοίας μὲν οἷον ἀποκαθαίρουσα, τῇ κατ' ἀξίαν ἐνδιδομένῃ γνώσει τῶν τελειοτέρων μυήσεων, φωτίζουσα δὲ αὐτῇ τῇ θείᾳ γνώσει, δι' ἧς καὶ καθαίρει τὸν οὐ πρότερον ἐποπτεύσασαν ὅσα νῦν ἐκφαίνεται διὰ τῆς ὑψηλοτέρας ἐλλάμψεως, καὶ τελειοῦσα πάλιν αὐτῷ τῷ φωτὶ, τῇ καθ' ἕξιν ἐπιστήμῃ τῶν φανοτάτων μυήσεων.

Αὕτη μὲν οὖν ἐστιν, ὡς κατ' ἐμὴν ἐπιστήμην, ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις, ἡ κύκλῳ Θεοῦ καὶ περὶ Θεὸν ἀμέσως ἑστηκυῖα, καὶ ἁπλῶς καὶ ἀκαταλήκτως περιχορεύουσα τὴν αἰώνιον αὐτοῦ γνῶσιν, κατὰ τὴν ὑπερτάτην ὡς ἐν Ἀγγέλοις ἀεικίνητον ἵδρυσιν, πολλὰς μὲν καὶ μακαρίας ὁρῶσα καθαρῶς θεωρίας, ἁπλᾶς δὲ καὶ ἀμέσους μαρμαρυγὰς ἐλλαμπομένη, καὶ θείας τροφῆς ἀποπληρουμένη· πολλῆς μὲν, τῇ πρωτοδότῳ χύσει, μιᾶς δὲ, τῇ ἀποικίλῳ καὶ ἑνοποιῷ τῆς θεαρχικῆς ἑστιάσεως ἑνότητι. Πολλῆς δὲ κοινωνίας Θεοῦ καὶ συνεργίας ἠξιωμένη, τῇ πρὸς αὐτὸν, ὡς ἐφικτὸν, ἀφομοιώσει τῶν καλῶν ἕξεών τε καὶ ἐνεργειῶν· πολλὰ δὲ τῶν θείων ὑπερκειμένως γινώσκουσα, καὶ θεαρχικῆς ἐπιστήμης καὶ

TEXTVS S. DIONYSII.

γνώσεως ἐν μετουσίᾳ κατὰ τὸ θεμιτὸν γιγνομένη, διὸ καὶ ὕμνους αὐτῆς ἡ Θεολογία τοῖς ἐπὶ γῆς παραδέδωκεν, ἐν οἷς ἱερῶς ἀναφαίνεται τὸ τῆς ὑπερτάτης αὐτῆς ἐλλάμψεως ὑπερέχον. Οἱ μὲν γὰρ αὐτῆς, αἰσθητῶς εἰπεῖν, ὡς φωνὴ ὑδάτων πολλῶν ἀναβοῶσιν, Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ· οἱ δὲ τὴν πολυύμνητον ἐκείνην καὶ σεβασμιωτάτην ἀνακράζουσι θεολογίαν, Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Ταύτας δὲ τὰς ὑπερτάτας τῶν ὑπερουρανίων νοῶν ὑμνολογίας, ἤδη μὲν ἐν τοῖς περὶ τῶν Θείων ὕμνων ὡς ἐφικτὸν ἀνεπτύξαμεν, καὶ εἴρηται περὶ τούτων ἐν ἐκείνοις ὡς καθ' ἡμᾶς ἱκανῶς· ἀφ' ὧν εἰς ὑπόμνησιν ἀρκεῖ φάναι τοσοῦτον κατὰ τὸν παρόντα καιρὸν, ὅτι τὴν θεολογικὴν ἐπιστήμην ἡ πρώτη διακόσμησις, ὡς θεμιτὸν, ἐλλαμφθεῖσα πρὸς τῆς θεαρχικῆς ἀγαθότητος ταύτης, ὡς ἀγαθοειδὴς Ἱεραρχία, καὶ τοῖς μετ' αὐτὴν ἑξῆς μεταδέδωκεν, ἐκεῖνο κατ' ἐπιτομὴν εἰπεῖν ὑφηγουμένη, τὸ τὴν σεβασμίαν αὐτὴν καὶ ὑπερεύφημον καὶ πολυύφημον θεαρχίαν θεμιτὸν εὐλόγως εἶναι πρὸς τῶν θεοδόχων ὡς ἐφικτὸν γινώσκεσθαι καὶ ὑμνεῖσθαι νοῶν· οὗτοι γάρ εἰσιν ὡς θεοειδεῖς οἱ θεῖοι τόποι τῆς θεαρχικῆς, ὡς τὰ Λόγια φησὶ, καταπαύσεως· καὶ μὴν ὅτι μονάς ἐστι καὶ ἑνὰς τρισυπόστατος, ἀπὸ τῶν ὑπερουρανίων οὐσιῶν ἄχρι τῶν ἐσχάτων τῆς γῆς διεῖσα τὴν ἀγα-

scientiæ cognitionisque, quantum fas est, particeps effectus; quamobrem etiam terrigenis laudes eius Theologia tradidit, quibus sublimissimæ illius illustrationis eminētia sacrosanctè declaratur. Nonnulli siquidem ex illo ordine, ad sensum accommodatè loquendo, quasi vox & fremitus aquarum multarum clamant, *Benedicta gloria Domini de loco suo:* alij verò celeberrimum illud & veneratione plenissimum diuinæ laudis canticum exclamant, *Sanctus, sanctus, sanctus Dominus sabaoth, plena est omnis terra gloriâ tuâ.* Has autem sublimissimas cælestium intelligentiarum hymnologias, siue laudum celebrationes, iam pridem in iis, quę de diuinis Hymnis conscripsimus, pro facultate nostrâ explanauimus, ibidemque de illis satis superque pro modulo nostro dictum est; ex quibus id, memoriæ causâ, in præsentiarum repetere sufficiat, vt primus ille ordo à diuinâ bonitate, quātum par est, Theologicâ illustratus scientiâ, eamdem deinde, ceu benefica Hierarchia, sequentibus transscripserit, illud, vt compendio dicam, docens, quemadmodum veneranda, & superbenedicta, omnique laude digna Diuinitas, à Deicapacibus intelligentiis, quantum ab iis cognosci ac celebrari potest, iure debeat deprædicari, cùm sint quasi Deiformes, diuini quidam loci, vt Eloquia testantur, diuinæ requietis: nec non vt monas vnitasque, quæ tribus inest personis, à supercælestibus naturis ad infima vsque terræ

Quid supremi spiritus agāt.

Ezech. 3, 12.

Isa 6, 3.

per

ANNOTATIONES CORDERII.

per suam benignissimam res omnes penetret prouidentiam, tamquam quæ omnis sit essentiæ superprincipiale principium & causa, nec non superessentialiter vniuersa incomprehensibili suo complexu comprehendat.

θωτάτην αὐτῆς ἐπὶ πάντα τὰ ὄντα πρόνοιαν, ὡς πάσης οὐσίας ὑπεράρχιος ἀρχὴ καὶ αἰτία, καὶ πάντων ὑπερουσίως ἀσχέτῳ συνοχῇ περιδεδραγμένη.

ANNOTATIONES CORDERII.

§.1. NGELICIS ordinibus in tres Hierarchias distributis, hoc Capite agit de nominibus ac proprietatibus primæ Hierarchiæ, scilicet Seraphim, Cherubim, Thronorum; retrogrado illos ordine recensens. Ac primùm quidem eorum nomina interpretans ait, Seraphim Incensores seu Calefacientes interpretari, quòd igne & amore diuino quasi ardeant, & alios succendant: *Seraph* enim Hebraicè significat *ardere*. vnde & serpentes illi igniti, quos Deus immisit Israëlitis Num. 21,7. vocantur *seraphim*: Cherubim verò Copiam cognitionis seu Diffusionem sapientiæ, propter quod apud Ezechielem cap. 1. pleni oculis describuntur, ad eorum perspicacitatem insinuandam: quę & Thronis attribuit, quorum nomen sublimem omnino statum insinuat supra res omnes eleuatum, ipsimet summæ Deitati, non secùs ac sedes sedenti, proximum, immobilitate prætereà firmitateque præstantem.

Seraphim & Cherubim quid significent.

Throni quid.

§.2. Quanta huius Hierarchiæ dignitas sit, primùm ostendit ex ordinis locique sublimitate, secundò ab eximiâ puritate, tertiò ex contemplandi præcellentiâ, vt quæ ex ipsamet Diuinitate suas immediatè illustrationes accipiat. Proprium enim est Seraphim, in amore Dei ardere, & alios ad incendium diuini amoris promouere, & ordinatè diligendi formam tribuere: & quia immediatè Deo iunguntur, idcircò principaliùs & perfectiùs in ipsis sunt theophaniæ, & ad aliud extraneum amatum non diuertunt. Cherubim quoque primò & principaliter relucent radio luminis diuini, eò quòd viciniùs primæ veritati coniungantur. Horum officium est, promouere alios ad diuinam cognitionem: idcircò præ ceteris dicuntur lucere, quia plenitudinem, quam suscipiunt, aliis inferioribus communicando transfundunt. Throni verò dicuntur, eò quòd in eis quodammodò Deus sedeat, & iudicia sua decernat; quare in his præcipuè relucet rectitudo iudicij diuini: hi quoque virtutem Dei, quam supernè accipiunt, ad inferiores transfundunt.

Proprietates & officia primæ Hierarchiæ.

Docet, inferiores spiritus à superioribus, & supremos ab ipsomet Deo initiari; & simul in exemplo, quod Isaias ponit de Angelis circa Christi œconomiam illustratis, ostendit, quantâ cum reuerentiâ supremi illi spiritus illustrationem excipiant; & quomodo per eamdem expientur, illuminentur, perficiantur. Locus autem Isaiæ, quem adfert, est ex cap. 63, 1. *Quis est iste, qui venit de Edom*, &c. vbi victoria Christi de peccato, mundo, & dæmone, etsi mystica & incruenta fuerit, describitur tamen per modum victoriæ & cædis cruentæ. Hinc admirantibus Angelis respondet Christus, stolam, id est vestem suam, non suo sanguine (etsi id multi magis sic, quàm litteraliter, accipiant) sed inimicorum cruore esse fœdatam. Dicit etiam, se eosdem virtute propriâ superasse, ac conculcasse quasi in torculari. Estque victoria non absimilis isti 2. Regum 12. quam sumpsit Dauid de Ammonitis qui legatos violauerant, dum super eos ferrata carpenta transire fecit, quibus dissecarentur & cōtererentur. Figuratè autem dicitur ibi Christus venire de Edom & Bosra ciuitate Moabitarum, quasi de hostium suorum regione: quia Idumæi, posteri Esau, & Moabitæ, posteri Lot, acerrimi erant hostes Iudæorum. Pro responsione ergo ait Christus, se esse Messiam, qui iustitiam & salutem, quam promisit, propugnando & expugnando comparauit. §.3.

Exemplum transfusionis Angelicæ cognitionis.

Exponit ex Ezechiele & Isaiâ, quomodo prima illa Hierarchia assiduis Dei laudibus sit intenta. Quantam autem in adorando Deo reuerentiam adhibeant, ostendit ex visione Isaiæ, qui c. 6. ait se vidisse Dominum specie scilicet aliquâ corporeâ, quomodo à Prophetâ in illo statu videri poterat, sedentem in throno; & super thronum, siue, vt Septuaginta habent, iuxta, vel in circuitu, Seraphinos alatos, scilicet sensibili etiam specie. *Sex alæ vni, & sex alæ alteri: duabus velabant faciem eius, & duabus velabant pedes eius*, id est, *suos*; nam Hebræi Pronomina reciproca à non-reciprocis sæpè non distinguunt. Non igitur velare dicuntur faciem §.4.

ANNOTATIONES CORDERII.

ciem vel pedes Dei, quamuis id aliqui velint, sed præ reuerentiâ faciē suam velabant & pedes suos, id est, femora, vel totam inferioris corporis partem; sicut Cherubini ab Ezechiele visi velabant corpora sua, ne scilicet quid indecorum Dei vel Prophetæ videntis oculis obiiceretur. Tropologicè Seraphini ibi typū exhibent humilis & promptæ ac cæcæ obedientiæ, dum tectâ facie atque oculis, quasi proprio iudicio abnegato, & inferiori corporis parte tectâ, per quam affectus designantur, duas alas expeditas retinent ad volandum, id est, diuina iussa peragenda. Vide plura in Opusculo S. Bonauenturæ de Alis Seraphim, vbi singularum mysticam explicationem tradit. *Et clamabāt alter ad alterum*, id est, alternis vocibus seu ἀντιφώνως: ab his enim Seraphinis didicisse Ecclesiam alternis vocibus Psalmos decantare, tradit Damascenus in Opere de Τρεισαγίῳ, id est, Ter-sancto: & hîc insinuat Dionysius, dum ait, ab iis hanc Deum celebrandi formulam sequētibus transscriptam esse. Hinc etiam Ecclesia in præfatione Missæ dicit, *Et beata Seraphim.* Vbi nota genus neutrum, quo & Septuaginta vtuntur; cùm tamen Seraphim, vti & Cherubim, sint terminationis & generis masculini, imò cùm neutro genere Hebræi careant. Cuius rei fundamentum videtur esse, quòd quatuor Cherubini ab Ezechiele visi, speciem haberent animalium, ideoque ab eo

Ezech. 1.

Seraphim mysticè quid.

Cur dicatur, Beata Seraphim.

cap. 1. vocentur animalia, & consequenter vox ista nunc masculino nunc neutro vsurpatur, subintellecto scilicet vel non subintellecto nomine animalis. Iam verò cùm hæc Isaiæ visio illi Ezechielis sit persimilis, vt etiam à quibusdam eadem putetur, hinc Septuaginta interpretes, quos sequitur Ecclesia, nomen Cherubim & Seraphim genere neutro efferunt. Exclamant autem, *Sanctus, Sanctus, Sanctus.* vbi quidam putant, Deum vel Christum tali modo Isaiæ apparentem τρισάγιον, id est, ter-sanctum, à Seraphinis appellari: sed alij communiùs & veriùs tenent cum S. Dionysio, in hac visione totius SS. Trinitatis imaginē Prophetæ obiectam fuisse: & ob personarum quidē Trinitatem, ter-sanctum, ob essentię verò vnitatem, singulariter Dominum Deum vocari. Quod ex ipsomet Isaiâ probatur, Primò, quia c. 6, 8. ideò Deus de mittendo Prophetâ quasi deliberans, dicit, *Quem mittam? & quis ibit nobis?* Secundò, quia Filium speciatim hîc ab Isaiâ visum clarè dicit S. Ioannes c. 12, 41. S. Paulus verò Act. 28, 26. dicit hanc missionem factam esse à Spiritu sancto. ecce clarè duas personas. S. Damascenus verò dicit, etiam Patrem hîc in solio sedentem apparuisse; & satis id confirmat Epistola ad Hebræos, vbi generatim ait, Patrem multifariàm olim locutū per Prophetas. Adde, quòd alioquin pauca sint in antiquo Testamēto de SS. Trinitate testimonia.

SCHOLIA S. MAXIMI.

Πάλιν ἡ ἐπιγραφὴ κάτωθεν ἐπὶ τὰ ὑπέρτερα ἄνεισι· τὰ γὰρ τρίτα Σεραφὶμ, τὰ δὲ δεύτερα Χερουβὶμ, καὶ τὰ πρῶτα Θρόνοι· ἀντιστρόφως οὖν ἐπέγραψεν.

Ἐπωνυμία.] Σημείωσαι, ὅτι πᾶν ὄνομα τὴν ἱερὰν σημασίαν περιέχει τῆς τοῦ τάγματος ἰδικῆς ἐνεργείας, ὡς τῶν ἁγίων Σεραφὶμ καὶ Χερουβὶμ αἱ ἑρμηνεῖαι δηλοῦσιν, ἐπειδὴ οὐκ ἔστιν ἄλλο τάγμα πρὸ αὐτῆς.

Θεοφανείας.] Εἰς γὰρ τοὺς πρώτους ἐργάζονται ἐνεργούμεναι αἱ πρῶται θεοφάνειαι.

Ἐκφαντορικόν.] Ἀντὶ τοῦ, ἑρμηνευτικὸν καὶ παραστατικόν.

Θεοειδῶν.] Ἐπειδὴ θεοειδεῖς ἕξεις φησὶν ἐπὶ τῶν θείων νόων, οὐ χρὴ ὑπολαμβάνειν τὸν μέγαν Διονύσιον τὰς ἀρετὰς ταύτας τὰς νοητὰς, ὡς συμβεβηκὸς, ἅ τε καὶ ἐφ' ἡμῶν, αὐτῶν προσγίνεσθαι λέγειν, ὡς ἄλλη ἐν ἄλλῳ ὑποκειμένῳ, οἱονεὶ ποιότητα προσγινομένην· τὸ γὰρ συμβεβηκὸς καὶ ὑποκείμενον ἐκεῖ-

Rursum inscriptio ab infimo ad supremum ascendit: tertij enim sunt Seraphim, secundi Cherubim, & primi Throni: inuerso igitur ordine inscripsit. §. 1.

Appellatio.] Nota, quodlibet nomen propriæ operationis cuiusque ordinis continere significationem, vti sanctorum Seraphim & Cherubim interpretationes declarant; quoniam non est alius ordo ante ipsum.

Dei apparitiones.] In primis enim operantur efficaces illæ primæ Dei apparitiones.

Explanatoriam.] Hoc est, interpretatoriam, seu repræsentatiuam.

Deiformium.] Quia in diuinis mentibus habitus Deiformes dixit; non oportet existimare, quasi dicat Magnus Dionysius, has virtutes mentium diuinarum, tamquam accidentia in illis, sicut in nobis, vel aliud in alio subiecto, tamquam qualitatē, aduenire: illud enim tamquam accidens, & tamquam subiectum,

Qui sint habitus Deiformes in Angelis.

ctum,non habet illic locum;quia omnis compoſitio, & illud informe materiæ, illinc eiectum eſt. Si enim eſſet aliud in alio, veluti accidens in ſubiecto,non viueret per ſe ſubſtantia illa; neque poſſet per ſe deificari, quantum vires pati poſſunt, propter ſolum ordinem qui ſeruatur, ponendo aliud in alio. Habitus igitur, quos in ipſis diximus, ſunt ipſimet earum ſubſtantiæ inditi, non autem vt accidens in ſubiecto, quia ſunt expertes materiæ. Vnde Magnus Dionyſius infrà in libro de Eccleſiaſticâ Hierarchiâ capite quarto, ſubſtantiales vocat habitus qui in ipſis ſunt.

HABITVDINVM.] Nota, diuinas virtutes deiformitatem ſecundùm habitum habere: habitus autem eſt qualitas ſtabilis & fixa. Hinc igitur patefit,quemadmodum liberi arbitrij ſunt, qui virtutes habent ſecundùm habitus acquiſitas; quod copioſiùs Hammon Adrianopolitanus docet, in iis quæ contra Origenem de Reſurrectione ſcripſit.

Quid ſit habitus.

SVBLIMISSIMORVM.] Propter quod Throni appellantur.

HVMILITATE.] Pro propenſione ad id quod terrenum eſt. Nota autem quis ſit ſcopus vniuerſæ Hierarchiæ.

SVBMISSIONE.] Declarat, Thronos nihil ad terrena propenſos,quamdam eſſe ſublimiſſimam, & poſt Deum, ſtatim ſub ipſo conſtitutam; vt ſignificet, ipſos nullam habere terrenam ſubmiſſionem ſeu procliuitatem,& ad inferiora propenſionem; ſed inſitam quamdam ad Deum aſſurgendi vim, ſurſum aſſiduè tendentem. Rectè autem ſubiunxit *ſupermundialiter*, pro incorporeè, & immaterialiter,& intellectualiter. Porrò ne illud *ad ſupera*, putes viam quamdam eſſe corpoream, ſubiunxit iſtud *immaterialiter.*

Thronorum ſublimitas.

DEIFERVM.] Nota quòd etiam ſanctorum Thronorum ordinem Deiferum dixerit,tamquam qui Deum ferat in ipſo intellectiliter quieſcentem. Cum verò beatus Baſilius Cappadox carnem quoque Deiferam nuncuparit, conſiderandum quo ſenſu id dicatur. Ceterùm caro quidem Domini ſecundùm ſubſtantiã & ſecundùm hypoſtaſim ipſimet Deo Verbo vnita erat;quocircà quoq; dicitur à Patribus, carnem ferre, &, carne indutus eſſe. Quid igitur abſurdi, ſi caro quoq; Deifera dicatur, tamquã quæ ferat Deum Verbum, cùm ſecundùm vnionem indiuulſam propriè ac verè eius caro dicta ſit, & exi-

Deiferum quo ſenſu accipiendũ.

θεν ἀπελήλαται, ὅτε καὶ πᾶσα σύνθεσις καὶ τὸ τῆς ὕλης ἄμορφον, ἐκεῖθεν ἐξώρισαι. Εἰ γὰρ ἦν ἄλλο ἐν ἄλλῳ, οἷον συμβεβηκὸς ἐν ὑποκειμένῳ, οὐκ ἂν ἔζη καθ᾽ ἑαυτὴν ἡ οὐσία ἐκείνη, οὐδὲ θεοῦσθαι καθ᾽ ἑαυτὴν ὡς ἐφικτὸν ἠδύνατο, διὰ μόνην τάξιν τὴν ὡς ἄλλο ἐν ἄλλῳ φυλαττομένην. Αἱ οὖν ἐν αὐτοῖς εἰρημέναι ἕξεις, αὐτουσιωμέναι εἰσὶν, οὐ μὴν ὡς συμβεβηκὸς ἐν ὑποκειμένῳ, διὰ τὸ ἄϋλον. Ὅθεν ὁ μέγας Διονύσιος κάτωθεν ἐν τῷ περὶ τῆς Ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ, κεφαλαίῳ τετάρτῳ, οὐσιώδεις φησὶν εἶναι τὰς ἕξεις τὰς ἐν αὐτοῖς.

Ἕξεων.] Σημείωσαι, ὅτι αἱ θεῖαι δυνάμεις καθ᾽ ἕξιν ἔχουσι τὸ θεοειδές· ἕξις δέ ἐστι ποιότης ἔμμονος. Ἐντεῦθεν οὖν δηλοῦται, ὅτι αὐτεξούσιοί εἰσιν ἕξει τὰς ἀρετὰς κτώμεναι, ὅπερ πλατύτερον παρίστα Ἄμμων ὁ Ἀδριανουπολίτης, ἐν τοῖς περὶ Ἀναστάσεως αὐτῷ κατὰ Ὠριγένους γεγραμμένοις λόγοις.

Ὑψηλοτάτων.] Διὰ τί λέγονται Θρόνοι.

Περιπετείας.] Ἀντὶ τοῦ, τῆς πρὸς τὸ χαμαλὸν βάσεως. Σημείωσαι δὲ, τί ὁ σκοπὸς πάσης Ἱεραρχίας.

Ὑφέσεως.] Ἀνωτάτην τινὰ φύσιν καὶ μετὰ Θεὸν εὐθὺς ὑπ᾽ αὐτοῦ τεταγμένην δηλοῖ, τοὺς Θρόνους, οὐδὲν ἐπὶ τὰ ὑλικὰ προσέχοντας, ὡς σημαίνειν τὸ μηδὲν αὐτοὺς ἔχειν περιπετείας ὑφέσεως, ἤτοι ἐνδόσεως, καὶ τῆς πρὸς τὸ κάτω νεύσεως· ἀλλὰ τὸ ἐπὶ Θεὸν ἀναβατικὸν, ἀνωφερῶς προσέχον. Καλῶς δὲ ἐπήγαγεν Ὑπερκοσμίως, ἀντὶ τοῦ, ἀσωμάτως, καὶ ἀΰλως, καὶ νοητῶς, ἤτοι νοερῶς· ἵνα γὰρ μὴ νομίσῃς τὸ Ἄναντες ὁδὸν εἶναι σωματικὴν, ἐπήγαγε τὸ Ἀΰλως.

Θεοφόρον.] Σημείωσαι, ὅτι καὶ τὸ τῶν ἁγίων Θρόνων τάγμα θεοφόρον εἶπεν, ὡς φέρον ἐπαναπαυόμενον νοητῶς τὸν Θεόν. Ὅρα οὖν ἐπειδὴ καὶ ὁ μακάριος Βασίλειος ὁ Καππαδόκης τὴν θεοφόρον εἶπε σάρκα, σκοπητέον πῶς εἴρηται. Ἀλλ᾽ ἡ μὲν σὰρξ αὐτοῦ τοῦ Κυρίου κατ᾽ οὐσίαν καὶ καθ᾽ ὑπόστασιν ἥνωται αὐτῷ τῷ Θεῷ Λόγῳ· διὸ καὶ σαρκοφορεῖν αὐτὸς λέγεται παρὰ τῶν Πατέρων, καὶ σάρκα ἐνδύσασθαι. Τί ἄτοπον οὖν, εἰ καὶ ἡ σάρξ αὐτοῦ λέγεται θεοφόρος, ὡς φέρουσα τὸν Θεὸν Λόγον καθ᾽ ἕνωσιν ἀδιάστατον, αὐτοῦ σὰρξ καὶ λεγομένη καὶ ὑπάρχουσα κυρίως καὶ κατ᾽ ἀλήθειαν;

Cῦποι

Οὗτοι δὲ καὶ χάριν ἔχοντες ἐν ἑαυτοῖς τὸν Θεὸν ἀῤῥήτῳ τε λόγῳ καὶ ἀνεννοήτῳ τῇ διανοίᾳ, θεοφόροι καὶ αὐτοὶ διὰ τοῦτο λέγονται, ὅτι πρώτως μετέχουσιν αἱ πρῶται δυνάμεις τοῦ Θεοῦ, καὶ οὕτω μεταδιδόασι τὴν ὑποδεεστέραις τὴν γινομένην εἰς αὐτὰς ἔλλαμψιν.

Ταῖς πρώταις.] Οὕτω τὴν καθ' ὑπέρβασιν ἀνάγνωσιν νοητέον· Ταῖς πρώταις οὐσίαις οἰκείαν οἰητέον εἶναι Ἱεραρχίαν, τὴν ὁμοειδῆ αὐταῖς κατὰ πάντα· τὰ δὲ λοιπὰ, διὰ μέσου.

Ἀοράτου.] Σημείωσαι ὅτι πάσης ἀοράτου καὶ ὁρατῆς δυνάμεως μείζους εἰσὶν αἱ πρῶται τρεῖς αὗται τάξεις.

Γεγονυίας.] Τουτέστι κτιστῆς.

Φαντασιῶν.] Ὅτι πάσης φαντασίας προσύλου ἀνεπίδεκτοί εἰσι, καὶ ἀμιγεῖς πάσης ὑφέσεως, ὅτι οὐ μόνον αἱ θεῖαι δυνάμεις αὗται κηλίδων καὶ μολυσμῶν ἠλευθέρωνται, ἀλλὰ καὶ πάσης φαντασίας προσύλου ἀνεπίδεκτοί εἰσι, καὶ ἀμιγεῖς πάσης ἐλαττώσεως, καὶ τὴν ἐπὶ τὰ χεῖρον μείωσιν οὐδόλως εἰδυῖαι. Τοῦτο δὲ νόησον, οὐχ ὅτι κατὰ φύσιν ἄτρεπτοί εἰσιν, ἀλλ' ὅτι αὐτοπροαίρετοι οὖσαι, διὰ τῆς εἰς τὸ ἀγαθὸν ἄγαν ἐφέσεως, ἐπὶ τὸ Θεῖον ῥέψασαι ἔμειναν οὕτως, ἕξιν ὥσπερ ἔχουσαι τὸ ἀμετακίνητον· μόνος γὰρ κατὰ φύσιν ἄτρεπτος ὁ Θεός. Αὗται δὲ εἰ οὕτως ἐδημιουργήθησαν, οὐκ ἂν ἐξέπιπτεν ὁ διάβολος. Ἀλλὰ καὶ αὗται πᾶσαι μιᾶς καὶ ἴσης τάξεως· τὸ γὰρ ἐκ φύσεως ἀγαθὸν ὑπόβασιν οὐκ ἔχει.

Ταυτοκινήτου.] Ταυτοκίνητον φησὶν ὁ Ἅγιος οὕτως εἶναι τὴν κίνησιν αὐτῶν, ὡς ἀπαράλλακτον καὶ ἀμετάβολον, ὡσαύτως δὲ ἔχουσαν. Κινήσεις δὲ εἰσὶν ἐπ' αὐτῶν αἱ ἄπαυστοι περὶ τὰς νοήσεις ἐνέργειαι, νόες γὰρ εἰσὶν ἀσίγητοι. Καὶ σημείωσαι τὸ, Κατὰ τὸ φιλοθέως ἄτρεπτον, καὶ ἀνάγνωθι τὸ τέταρτον κεφάλαιον τοῦ περὶ Θείων ὀνομάτων λόγου, καὶ τὸ ὄγδοον κεφάλαιον τοῦ παρόντος λόγου.

Θεωρητικάς.] Σημείωσαι, πῶς λέγονται θεωρητικαὶ αἱ ἅγιαι τάξεις αὗται καὶ ὅτι οὐ διὰ συμβόλων ἢ θεωρημάτων τῆς Γραφῆς τὴν θεογνωσίαν κτῶνται, ὡς ἡμεῖς.

Νοερῶν θεωρούς.] Θεωροὶ λέγονται οἱ τῶν μυστηρίων ἐπόπται· ταῦτα δὲ τοῖς ἁγίοις διὰ τῶν συμβολικῶς λεγομένων περὶ Θεοῦ αἰσθη-

stat? Hi autem cùm, secundùm gratiam, in semetipsis ineffabili ratione & inconceptibili intelligentiâ Deum habeant, ipsimet quoque idcircò Deiferi dicuntur: quoniam primæ virtutes primùm ipsæ Deum participant, atque insitam sibi illustrationem indigentioribus deinde communicant.

Primis.] Sic per transgressionem hæc intelligenda sunt, [ac si dicat] Primis istis substantiis propriam quamdam & secundùm omnia vniformem Hierarchiam, esse putandum est; cetera autem sunt intermedia. §.2.

Invisibilem.] Nota, tres primos ordines hos, omni visibili & inuisibili virtute maiores existere.

Creatam.] Id est, conditam.

Visa.] Quoniam nullius visi materialis capaces sunt, & ab omni vilitate puri existũt; non eò dumtaxat, quòd ipsęmet virtutes diuinæ à maculis & inquinamentis liberæ sint, verùm etiam nullum materiale visum recipiãt, & omnino immunes sint omnis imminutionis, nec in deterius deficere vllo modo possint. Hoc verò intellige, non quasi secundùm naturam immutabiles existant; sed quòd libero prǣditæ arbitrio, per nimiam ad bonum cupiditatem in diuinum Numen propensæ, hoc modo permanserunt, per modum habitus immobilitatem obtinentes: solus enim Deus secundùm naturam immutabilis existit. Quòd si verò istæ hoc modo conditæ fuissent, nequaquam sanè diabolus cecidisset. Ceterùm hæ omnes vnius & æqualis ordinis existunt: quod enim naturâ suâ bonum est, non admittit decrementum. *In Angelos non cadunt visa.* *Angeli quomodo sint immutabiles.*

Per se mobilem.] Per se mobilem dicit hîc Sanctus ipsorum esse motioñe, tamquam inuariabilem & immutabilem, & eodem modo se habentem. Porrò motiones in ipsis incessantes sunt circa intellectiones & operationes, quoniam mentes sunt silere nesciæ. Nota illud, *per amorem Dei immutabilem*; & lege caput quartum libri de Diuinis nominibus, & octauum caput libri præsentis. *Quomodo sint per se mobiles.*

Contemplatrices.] Nota, quomodo sancti isti ordines dicantur contemplatiui; & vt non per symbola vel Scripturæ contemplationes, vt nos, diuinam obtineant cognitioñe. *Quomodo Angeli cõtemplentur*

Intellectilivm spectatrices.] Spectatores dicuntur, mysteriorum inspectores: hæc autem sanctis reuelantur per illas res sensiles quæ symbolicè de Deo pronuntiantur;

SCHOLIA S. MAXIMI.

tur; quòd in supernis virtutibus nefas est cogitare.

Contemplationis.] Nota vt dixerit, *contemplationem* quæ in tribus splendet, id est, trisuppositatam vnam Deitatem.

Iesv.] Iesu communionem, vocat participationem gloriæ & splendoris ineffabilis corporis Christi; quoniam vnà cum carne Patri considet.

In imaginibvs.] Illud autem Græcè dictum, ἐν εἰκόσιν ἀποτυποῦσι τὴν ὁμοίωσιν, id est, *in imaginibus similitudinem exprimentibus*, dicẽdum erat ἀποτυπούσαις. Nemo solœcismum suspicetur, ac si Magnus Dionysius id ignorasset; sed hoc omnino sciat, ipsum tamquam Atheniensem & valdè Atticum dixisse. Atticorum enim est, participia masculina, femininis coniungere, quemadmodum etiam Homerus fingit Irin ex Ioue ad Iunonem & Palladem dicentem:

Atticè, masculinum participium cõiungi cum nomine feminino.

Non amplius super vestris curribus percussæ fulmine,
Rursus in Olympum venietis:

nam pro πληγέντε, duali masculino, πληγεῖσα, duale femininum dicendum erat. Quin & Comici quoque ponunt femininum pro neutro, vti & masculinum post femininum. Sic Plato. Et Euripides in Bacchis:

Annuens currentibus palpebris.

nemo enim dixerit τὸ βλέφαρον δρομάς. Et in Oreste:

Furiosis supplicationibus.

Quæ sit Deifica similitudo.

Deificam.] Nota, Domini Iesu similitudinem Deificam existere, id est, eos qui ipsi assimilati sunt, Deos efficere: & quomodo immediatè ac sine symbolis ordines hi Christo assimilentur, hoc ab ipso consecuti.

Quæ primæua.

Primæva.] Nota quoque, virtutes has primo loco creatas esse, & virtutes ipsius Domini Iesu Christi, tamquam virtutes, obtinere.

Perfectas avtem.] Nota, quomodo virtutes istæ diuinæ dicantur perfectæ.

Quæ sit resolutoria scientia.

Resolvtoria.] Dicit scientiam interpretandi istas varietates, & declaratoriam expositionem perplexæ illius sacræ traditionis, quâ inferiores quoque ordines opus habent, vti posteà tradit, multò verò magis homines. Nam multifariam sanctarum contemplationum sapientiam, sine resolutoriis explicationibus, neque ipsi neque nos intelligere valemus,

τῶν ἐκκαλύπτονται), ὅπερ ἐπὶ τῶν ἄνω δυνάμεων οὐκ ἔστιν ἐννοεῖν.

Θεωρίας.] Σημείωσαι τὴν εἰρημένην τριφανῆ θεωρίαν, ἀντὶ τοῦ, τρισυπόστατον μίαν θεότητα.

Ἰησοῦ.] Ἰησοῦ κοινωνίαν, τὴν μετοχὴν τῆς δόξης καὶ τῆς ἀρρήτου λαμπρότητος τοῦ σώματος τοῦ Χριστοῦ λέγει· μετὰ σαρκὸς γὰρ συνεδρεύει τῷ Πατρί.

Ἐν εἰκόσιν.] Τὸ δὲ εἰρημένον Ἐν εἰκόσιν ἀποτυποῦσι τὴν ὁμοίωσιν, δέον εἰπεῖν ἀποτυπούσαις. Μηδεὶς ὑπολάβοι σόλοικον, ὡς ἀγνοήσαντος τοῦ μεγάλου Διονυσίου· ἀλλ' ἀκριβῶς ἴστω, ὅτι καὶ τοῦτο, ὡς τῷ ὄντι Ἀθηναῖος καὶ λίαν Ἀττικὸς οὕτω φησίν· Ἀττικῶν γάρ ἐστι τὸ μετοχὰς ἀρσενικὰς θηλυκοῖς συντάττειν, ὡς καὶ Ὅμηρος ποιεῖ τὴν Ἶριν ἐκ Διὸς λέγουσαν πρὸς τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν·

Οὐκ ἔτ' ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ,
Ἂψ ἐς Ὄλυμπον ἵκεσθον.

ἔδει γὰρ ἀντὶ τοῦ Πληγέντε ἀρσενικοῦ ὄντος δυϊκοῦ, εἰπεῖν Πληγεῖσα, δυϊκὸν καὶ θηλυκόν. Καὶ τοῦτο φασὶ καὶ Κωμικοὶ θηλυκὸν ἀντ' οὐδετέρου, ὡς ἀρσενικὸν κατὰ θηλυκοῦ, καὶ Πλάτων, καὶ Εὐριπίδης ἐν Βάκχαις·

Διανεύων δρομάσι βλεφάροις.

τὸ βλέφαρον γὰρ δρομὰς οὐκ ἄν τις εἴποι. Καὶ ἐν Ὀρέστῃ·

Μανιάσι λυσσήμασι.

Θεουργικήν.] Σημείωσαι, ὅτι ἡ πρὸς τὸν Κύριον Ἰησοῦν ὁμοίωσις θεουργική ἐστι, τουτέστιν ἐργάζεται θεοὺς τοὺς ὁμοιουμένους· καὶ πῶς ἀμέσως καὶ δίχα συμβόλων αἱ τάξεις αὗται ὁμοιοῦνται Χριστῷ, παρ' αὐτοῦ τοῦτο λαβοῦσαι.

Πρωτουργῷ.] Σημείωσαι, ὅτι καὶ πρωτόκτιστοι εἰσὶν αἱ δυνάμεις αὗται, καὶ τὰς ἀρετὰς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ὡς δυνάμεις αὗται ἔχουσι.

Τετελεσμένας δέ.] Σημείωσαι, πῶς λέγονται τετελεσμέναι αἱ θεῖαι δυνάμεις αὗται.

Ἀναλυτικήν.] Τὴν τῶν ποικιλιῶν ἐπιστήμην φησὶ, τὴν ἑρμηνευτικὴν καὶ σαφηνιστικὴν ἐξήγησιν τῆς περιπεπλεγμένης ἱερᾶς παραδόσεως, ἧς δέονται καὶ αἱ ὑφειμέναι τάξεις, ὡς ἐφεξῆς φησὶ, πολλῷ δὲ πλέον ἄνθρωποι. Δίχα γὰρ ἐξηγήσεων ἀναλυουσῶν τὴν πολυποίκιλον σοφίαν τῶν ἁγίων θεωρημάτων, οὐ δυνατὸν αὐτὰ νοῆσαι, οὔτε ἡμᾶς, οὔτε τὰ ὑποβεβηκότα,

ἑνηκότα, τὰς πρώτας τρεῖς τάξεις. Ὅθεν φησὶν, ὡς τῶν μὲν ὑποβεβηκυιῶν τάξεων ἑκάστη ἡ πρώτη ἱεραρχεῖ μόνως, καὶ οὐκ ἄλλη δύναμις· τῆς δὲ τῶν ἀνωτάτω τούτων διακόσμων ἱεραρχίας ὁ Θεὸς ἱεραρχεῖ μόνος, καὶ οὐκ ἄλλη δύναμις.

Ἱεραρχούμεναι.] Τουτέστι, μυσταγωγούμεναι.

Τοῦτο γοῦν.] Ἀποδείξεις γραφικαὶ τῶν εἰρημένων.

Ἐκδιδάσκεσθαι.] Σημείωσαι τὸ Ἐκδιδάσκεσθαι· δηλοῖ γὰρ μὴ κατὰ φύσιν εἶναι αὐτὰς τοιαύτας.

Τὰς δὲ πασῶν ὑψηλοτέρας.] Ἐπειδὴ γὰρ πασῶν ἀνώτεραί εἰσι, καὶ οὐδὲν ἔχουσι τὸ ὑπέρτερον, ὅσον εἰς ἑτέρας δυνάμεις, εἰκότως ὑπ' αὐτοῦ τοῦ Θεοῦ μόνου πρῶται ὡς ἀνώτεραι μυοῦνται τὴν θείαν γνῶσιν.

Εἰς οὐρανούς.] Σημείωσαι κατὰ Βασιλειανῶν ἤτοι Νεστοριανῶν, ὅτι ὁ ἀναληφθεὶς καθ' ὃ ἄνθρωπος Ἰησοῦς Χριστὸς, αὐτός ἐστιν ὁ Κύριος τῶν νοητῶν πάντων, καὶ βασιλεὺς τῆς δόξης, ὡς μυούμενοι μανθάνουσι παρὰ τῶν λεγόντων, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ πυνθανόμενοι, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; καὶ αὖθις ἀκούοντες, Κύριος τῶν δυνάμεων, καὶ τὰ ἑξῆς. Κατὰ δὲ Ἀκεφάλων καὶ Εὐτυχιανιστῶν, ὅτι κἂν Κύριος δυνάμεων, ἀλλ' οὖν σὰρξ καὶ σαφὴς ἄνθρωπος, ὡς καὶ πρὸς τὸ ξένον ἐκπλήττεσθαι τὰς ἑξῆς ἀρχάς.

Θεουργίας.] Καλῶς θεουργίαν ἐκάλεσε τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν· Θεοῦ γὰρ ἦν, ὡς ἀληθῶς ἔργα πάντα, τὰ κατὰ οἰκονομίαν τοῦ Κυρίου, ὁ τόκος ὁ ἅγιος, καὶ ἰάσεις, τὰ ἐπὶ τῷ πάθει σημεῖα, καὶ ἡ ἀνάστασις.

Ἐγὼ, γὰρ φησί.] Τὰ δὲ, Ἐγὼ γὰρ διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου, Ἡσαΐου εἰσί. καὶ ὅρα πῶς ταῦτα νενόηκεν.

Ἄγαμαι δέ.] Τὸ ῥητὸν οὕτω συνθετέον, Θαυμάζω πῶς αἱ πρῶται, ὡς μέσαι, τῶν θεαρχικῶν ἐλλάμψεων εὐλαβῶς ἐφίενται.

Μεσοπετεῖς.] Μεσοπετεῖς ἔφη, ὡς μὴ πρὸς τὸ ἄκρον τοῦ ὕψους ἀνιπταμένας, ἀλλὰ τοῦ μέσου ἐφικνουμένας· τὸ δὲ διαπορεῖν, σημαίνει τὸ λέγειν, Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ;

Ἐρωτῶσι.] Ὅρα μετὰ πόσου φόβου καὶ εὐλαβείας αἱ πασῶν ἀνώταται τάξεις, ὡς μέ-

vti nec infimi primos istos tres ordines. Vnde dicit, inferiorum quidem ordinum solùm primum quemque, & non aliam virtutem, sacris præesse; supremorum autem ordinum Hierarchiæ solum Deum præesse, & nullam aliam virtutem.

SACRIS INITIANTVR.] Id est, mysteriis imbuuntur.

HOC IGITVR.] Demonstrationes scripturisticæ eorum quæ dicta sunt.

EDOCERI.] Nota illud *edoceri*; declarat enim, ipsas haudquaquam naturâ suâ tales esse. §. 3.

OMNIBVS AVTEM SVBLIMIORES.] Cùm enim omnibus superiores sint, & respectu virtutum ceterarum nihil supra se habeant, meritò ab ipsomet solo Deo primi, tamquam superiores, diuinâ cognitione imbuuntur.

Christum esse Regem Angelorū.

IN CÆLVM.] Nota, contra Basilianos siue Nestorianos, Iesum Christum vt hominem in cælos assumptum, ipsum etiam Dominum omnium spirituum & Regem gloriæ existere, quemadmodum mysteria edocti discunt à dicentibus, *Attollite portas principes vestras*; Psal. 23,8.
& sciscitantes, *Quis est iste Rex gloriæ?* atque rursum audientes, *Dominus virtutum*, &c. Contra Acephalos verò & Eutychianos, quòd quamuis Dominus virtutum sit, caro tamen ac manifestus homo existat; adeò vt propter rei istius nouitatem sequentes etiam Principatus obstupescerent.

DIVINI OPERIS.] Rectè diuinum opus appellauit illam pro nobis dispensationem: Dei enim erat, vti verè sunt omnia opera, quę secundùm dispensationem Domini fiunt, vt partus sanctus, & curationes, signa quæ in passione & resurrectione contigerunt.

EGO, ENIM INQVIT.] Illa verò, *Ego enim* Isa. 63,1.
loquor iustitiam, & iudicium salutaris, sunt verba Isaiæ; & vide quomodo ista intellexerit.

MIROR AVTEM.] Dictum illud hoc modo construendum, Miror quomodo primi, non secùs ac medij, diuinas illustrationes timidè expetant.

IN MEDIO VOLANTES.] In medio volantes dixit, vt qui ad celsitudinis fastigium non euolent, sed medium teneant: dubitare autem hîc, idem est quod inquirere, quis sit iste qui aduenit ex Edom.

INTERROGANT.] Obserua quanto metu ac reuerentiâ supremi omnium ordines, vt me-

Isa. 63, 1. dij & non primi, inuicem interrogent primùm apud Isaiam, *Quis iste qui venit de Edom, fuluor vestium de Bosra?* & tum, quasi cum Dei veniâ, dicunt ad ipsum, *Quare rubra sunt vestimenta tua?*

SANCTISSIMAM PVRGATIONEM.] Nota, quomodo dicat expiari, & illustrari, & perfici ordines diuinos.

EXPIATIONIS.] Nota quæ sit expiatio in mentibus, & quæ ignoratio.

COPIOSO LVMINE.] Græcè ἄπλετον, est magnum & multum.

PERFICITVR.] Nota, quomodo hi ordines diuini purgentur, & illustrentur, atque perficiantur.

SECVNDVM HABITVM.] Secundùm habitum scientia, est inhærens, & quæ abiici nequit, illustratæ cogitationis comprehensio.

§. 4. *Quid sit Angelos stare in circuitu Dei; quid moueri, &c.*

IN CIRCVITV.] Quandoquidem primicerios hosce ordines, immediatè in circuitu Dei cùm stantes, tum tripudiantes introducat, declarandum quâ ratione & stent, & in circuitu Dei, quasi in tripudio moueantur. Et hactenus quidem occasionem accepit ex Isaiâ, qui dicit, Isa. 6, 1. *Seraphim stabant in circuitu eius, sex alæ vni,* &c. subiungit autem, *& duabus volabant.* Quomodo enim stantes in circuitu volarent? Atqui hoc ita intelligendum est, vt omnis mens, ex omnium rerum auctore Deo relucens, hoc ipso quo à creatore in lucem edita est, circa ipsum, tamquam centrum suum, moueri dicatur, non motu quidem locali aliquo, sed spiritali ac vitali. *Quo motu Angeli moueantur.* Porrò motus circularis mentis est huiusmodi: Omne quod intelligit, vel vt mens existens intelligit, vel vt mentis particeps. Ac mens quidem existens, primùm intelligit; secundariò verò intelligit id quod mentis particeps existit. Secundùm hoc itaq;, quatenus mens existens intelligit, dici possit moueri. Concipitur autem hic motus circularis, quatenus [mens] se reflectens circa se, hoc modo semetipsam considerabit, & priorem illam ex quâ illuxit. Itaque tamquam ex Deo volente promanans, circa ipsum, id est, circa Dei desiderium & amorem, non secùs ac circa centrum, versabitur: neque enim secunda prioribus vniuntur, sed choreæ cuidam simile est quod geritur: dum enim nata in proprio loco esse gestiunt, genitorem circumspiciunt; quamobrẽ id quod intellectione ad ea quæ se priora sunt cõuersum est, circularis motionis

σαι, καὶ οὐχὶ πρώτισαι, ἐρωτῶσιν ἀλλήλας πρῶτον τὰ παρὰ τῷ Ἡσαΐᾳ, Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδὼμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βόσορ; καὶ τότε, ὥσπερ ἐπιτρεπόμεναι παρὰ Θεοῦ, πρὸς αὐτὸν λέγουσι, Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια;

Παναγεστάτης καθάρσεως.] Σημείωσαι, πῶς φησὶ καθαίρεσθαι, καὶ φωτίζεσθαι, καὶ τελεσιουργεῖσθαι τὰς θείας τάξεις.

Τῆς καθάρσεως.] Σημείωσαι τίς ἡ κάθαρσις ἐπὶ τῶν νόων, καὶ τίς ἡ ἄγνοια.

Ἀπλέτου φωτός.] Ἄπλετον, τὸ μέγα καὶ πολύ.

Τελεσιουργεῖται.] Σημείωσαι, πῶς καθαίρονται, καὶ φωτίζονται, καὶ τελεσιουργοῦνται αἱ θεῖαι τάξεις αὗται.

Καθ' ἕξιν.] Καθ' ἕξιν ἐπιστήμη, ἐστὶν ἡ ἔμμονος καὶ ἀναπόβλητος τῆς ἐλλαμφθείσης γνώσεως κατάληψις.

Ἡ κύκλῳ.] Ἐπειδὴ καὶ ἑστηκυίας, καὶ κύκλῳ Θεοῦ περιχορευούσας ἀμέσως τὰς πρώτας ταύτας ταξιαρχίας φησὶ, σαφηνιστέον, πῶς καὶ ἑστᾶσι, καὶ κινοῦνται, καθάπερ ἐν χορείᾳ, κύκλῳ τοῦ Θεοῦ. Καὶ τέως μὲν ἐξ Ἡσαΐου τὴν ἀφορμὴν εἴληφεν, ὅς λέγει, Καὶ Σεραφὶμ εἱστήκει κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ τὰ ἑξῆς. ἐπάγει δὲ, Καὶ ταῖς δυσὶν ἐπέταντο. Πῶς γὰρ ἑστῶτα περιεπέταντο κύκλῳ; Καὶ νοητέον οὕτως, πᾶς νοῦς τῆς πάντων αἰτίου Θεοῦ ἐκλάμψας, ἐπειδὴ ἀπὸ τοῦ δημιουργήσαντος ἐξέλαμψε, λέγεται περὶ αὐτὸν ὡς περὶ κέντρον κινεῖσθαι, τῆς κινήσεως οὐ τοπικῆς τινὸς οὔσης, ἀλλὰ νοερᾶς καὶ ζώσης. Ἔστι δὲ νοῦ κύκλῳ κίνησις τοιαύτη· πᾶν τὸ νοοῦν, ἢ νοῦς ὢν νοεῖ, ἢ ὡς μετέχον νοῦ. Ὁ μὲν νοῦς ὢν, πρώτως νοεῖ· τὸ δὲ μετέχον νοῦ, δευτέρως νοεῖ. Κατὰ τοῦτο μὲν οὖν, καθ' ὃ νοῦς ὢν νοεῖ, κινεῖσθαι λέγοιτο ἄν. Κυκλικὴ δὲ ἐπινοεῖται ἡ κίνησις αὕτη, καθ' ὃ ἀνακάμπτων καὶ περὶ αὐτὸν γινόμενος, οὕτως ἑαυτὸν νοήσει, καὶ τὸν πρὸ αὐτοῦ ἐξ οὗ ἐξέλαμψεν. Ὡς οὖν ἐκ Θεοῦ βουληθέντος προβληθεὶς, περὶ αὐτὸν, ἀντὶ τοῦ περὶ τὴν Θεοῦ ἔφεσιν καὶ ἀγάπην, ὡς περὶ κέντρον ἔσται· οὐ γὰρ ἑνοῦνται τὰ δεύτερα τοῖς πρὸ αὐτῶν, ἀλλὰ χορείᾳ τινὶ τὸ γινόμενον ἔοικε· τὰ γὰρ γεννώμενα εἶναι ἐν τῷ οἰκείῳ ἐφιέμενα, τὸν γεννῶντα περιαθρεῖ. τὸ οὖν τῇ νοήσει πρὸς τὰ πρὸ αὐτοῦ ἐπεστραμμένον, κυκλικῆς κινήσεως ἔννοιαν εἰσάγει.

SCHOLIA S. MAXIMI.

εἰσάγει. Ἐπειδὴ οὖν πανταχοῦ ἐστὶν ὁ Θεός, αἱ πανταχοῦ αὐτῷ συνακολουθοῦσαι τῷ θέλειν αὐτὸν νοεῖν ἀεί, ἐπὶ τούτῳ ἀγάλλονται, καὶ περιχορεύουσιν, ὥσπερ τῇ εὐφροσύνῃ. λέγεται οὖν νοῦς ἐν ἑαυτῷ εἶναι, καὶ πρὸς ἑαυτὸν σπεύδειν. Ὁ οὖν ἐν ἑαυτῷ ἐστὶ, καὶ δηλοῖ ἀθανασίαν, στάσιν ἔχει· κατὰ γὰρ τὸ εἶναι, ὅ ἐστιν ἀθανάτως εἶναι, ἑστάναι νοεῖται· κατὰ δὲ τὸ πρὸς ἑαυτὸν σπεύδειν κινεῖται, μὴ βουλόμενος διαχεῖσθαί πως εἰς τὰς ἔξωθεν αὐτοῦ καὶ προσύλους νοήσεις. Κατὰ μὲν οὖν τὸ ταυτοκίνητον οὐχ ἕστηκεν, ἀλλὰ κινεῖται· κατὰ δὲ τὴν οὐσίαν, ἀεὶ ὡσαύτως ἔχουσαν, στάσιν, ἀλλ' οὐ κίνησιν ἔχει. Ἔστι τοίνυν καὶ κατὰ φύσιν ἑκάστῳ τῶν νόων ὁρμὴ, ἡ πρὸς Θεὸν ἔφεσις, καὶ ἡ περὶ αὐτὸν, ὡς περὶ κέντρον, κυκλικὴ χορεία, ὡς ἡ τοῦ κύκλου περὶ τὸ σημεῖον ἤτοι κέντρον ἀφ' οὗ συνέστη· καὶ γὰρ καὶ κατὰ φυσικὴν ἀνάγκην ἕκαστον τῶν ὄντων τὴν περὶ τὸν Θεὸν χορεύει χορείαν, τῷ εἶναι ἐφιέμενον τοῦ εἶναι. Οὕτως οὖν περὶ τὸν πάντων Βασιλέα πάντα ἐστὶ, καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο ἁπάντων καλῶν αἴτιον. Ὁ δὲ εἶπεν, ἀμέσως τὰ πρῶτα περὶ Θεὸν χορεύειν, ὡς μὴ ἔχοντά τι πρὸ αὐτοῦ δηλοῖ· ὅτι τὰ δεύτερα, καὶ τὰ τρίτα, τουτέστι τὰ αἰσθητὰ, διὰ μέσων τῶν πρὸ αὐτῶν περὶ τὸν Θεὸν, ὡς εἴρηται, ἀναλόγως χορεύει.

Τὰ νοητά.] Εἴδη μὲν εἰσὶ καὶ ἰδιότητες ὑπάρξεων διακεκριμένων· ἐν δὲ τῇ ἀσωματίᾳ, καὶ τὸ μὴ τόπου δεῖσθαι τὰ ἄϋλα ἵνα χωρισθῶσιν, ὡς τὰ σώματα πάντα· ὅπου γὰρ σῶμα, καὶ τόπος ὁ μέλλων χωρεῖν ἀμάχως τὰ σώματα.

Ὡς φωνή.] Ταῦτα τοῦ Ἰεζεκιήλ.

Ἐκ τοῦ τόπου αὐτοῦ.] Πῶς χρὴ νοῆσαι τόπον ἐπὶ Θεοῦ, τῆς Γραφῆς ἁπανταχοῦ λεγούσης ἀπεριόριστον εἶναι τὸ Θεῖον; καὶ τὸ, Οὐρανὸς θρόνος αὐτοῦ, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. καὶ πάλιν, Ἔστησε τὰς νάπας ζυγῷ, καὶ τὴν γῆν δρακί. καὶ αὖθις, Ἐὰν πορευθῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ· ἐὰν δὲ καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ποῖον οὖν ὁ Ἰεζεκιὴλ ἐπενόησε τῷ Θεῷ τόπον; Λέγομεν, ὅτι τὰ δοκοῦντα ἡμῖν ἄπορα, ὁ Θεὸς τοῖς ἐξ ὅλης αὐτὸν ἐπιζητοῦσι κινήσεως φωτίζει. Λέγει γὰρ ἡ θεία Γραφή· Ἐὰν τὰς ἐντολάς μου φυλάττῃ τις, ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ὥστε οὖν καὶ αἱ

Quid sibi velit motus circularis, & status eorum.

notionem introducit. Cùm itaque Deus sit vbique, mentes istæ, quæ ipsum semper intelligere volendo vbique secutæ sunt, in hoc exultant,& quasi præ letitiâ circumsaliunt: atque ita mens in seipsâ esse, & ad seipsam properare perhibetur. Quod igitur in seipso est,& designat immortalitatem, statum obtinet: nam secundùm esse, quod est immortaliter esse, stare intelligitur; per hoc autem quod ad se ipsam properat, ita mouetur, vt nolit vsquam ad extraneas & materiales distrahi cogitationes. Quatenus igitur per se mobilis est, non stat, sed mouetur; secundùm essentiam verò semper eodem modo se habentem, statum habet, & non motum. Impetus itaque singulis mentibus secundùm naturam insitus, est Dei desiderium, & circa ipsum, tamquam circa centrum, veluti chorea quædam circularis; non secùs ac circuli circa punctum seu centrum à quo deducitur: enimuerò, naturæ quadam necessitate, res quælibet istam circa Deum choream obit, dum hoc ipso quod est, esse cupit. Hac igitur ratione circa Regem omnium existunt vniuersa, & propter ipsum sunt omnia,& ipsemet bonorum omnium auctor existit. Quòd autem dixit, primos immediatè Deum ambire, significat, illos nihil habere quod ipsos antecedat; & secunda tertiaque, id est, sensilia, mediantibus iis quæ præcedunt, circa Deum, vt dictum est, pro captu suo versari.

Intellectilia.] Species siquidem ac proprietates afficiunt res distinctas; at res incorporeæ & immateriales, secùs quàm corpora omnia, loco non indigent quo excipiantur: vbi enim corpus est, ibi etiam locus erit corporibus sine controuersiâ excipiendis.

Qvasi vox.] Hæc sunt Ezechielis.

Quomodo Deus in loco sit.

De loco svo.] Quomodo intelligendus est in Deo locus, cùm Scriptura vbique dicat, Deum esse incircumscriptum? *Et cælum sedes eius, terra autem scabellum pedum eius.* & rursus: *Statuit colles staterâ, & terram pugillo.* & iterùm: *Si ascendero in cælum, tu illic es: si descendero in infernum, ades.* Qualem igitur excogitauit Ezechiel Deo locum? Respondemus, Deum de rebus istis, quæ nobis inexplicabiles videntur, illustrare illos qui ipsum toto impetu quærunt. Ait enim diuina Scriptura: Si quis præcepta mea custodierit, *ego & Pater veniemus, & mansionem apud eum faciemus:* ita vt

Isa. 66, 1. Isa. 40, 12. Psal. 138, 8. Ioan. 14, 23.

virtutes intellectiles; atque sanctorum, omniumque præcepta seruantium animæ, meritò Dei locus ac requies vocari possint; nam & alibi dicit, *Requieuit spiritus meus in eis.*

IN IIS QVÆ DE DIVINIS HYMNIS.] Nota, etiam alium Tractatum de Diuinis Hymnis ab ipso fuisse elaboratum.

DIVINI LOCI.] Quis sit Dei locus.

LOCI DIVINI, &c.] Id quod scriptum est, *Quam domum ædificabitis mihi, dicit Dominus? aut quis locus requietionis meæ?* declarat non dici de re sensili aliquâ, sed de diuinis istis mentibus. Vel etiam hac ratione voluit Deus significare, diuinam naturam circumscribi non posse. Item aliter, quòd in istis auditoribus, propter ipsorum incredulitatem, non esset Deo locus requietionis; vti in Euangelio Dominus ait: *Filius autem hominis non habet vbi caput reclinet.*

Act. 7, 49.

Luc. 9, 58.

Quid hymnus τρισάγιος insinuet.

VNITAS EST.] Hymnus, inquit, ille tersanctus, & vox ista de loco ipso Dei laudes recitans, non solùm declarant, inferioribus etiam ordinibus concessum esse, vt Deum cognoscerent ac laudarent, sed præter hæc quoq; aliud quidpiam significant. Quod autem hæc sententia declarat, est, quòd nimirùm dicamus quoque, Deum esse vnitatem ac monadem in tribus suppositis existentem, atque omnibus prospicere, à primis istis essentiis ad extremitates vsque terræ, incomprehensibiliter, id est, non corporeâ ratione, sed diuinâ prouidentiâ, supersubstantialiter cuncta complectentem. Quòd autem vnitas sit & monas, ipsemet impius ille Euagrius in secundâ Centuriâ capite tertio ita tradit: Ipse est monas, quia diuinitas simplex est & indiuisa, idcircò existit monas; etenim monas, arithmeticè loquendo, simplex est & incomposita: vnitas autem ideò, quia sancta Trinitas etiam naturaliter in se vnita est, atque omnes ad ipsam accedentes vnit, secundùm quod in Euangelio dictum est: *Vt sint ipsi vnum, sicut & nos vnum sumus.*

Ioã. 17, 21.

INCOMPREHENSIBILI.] Incomprehensibilem complexum vocat hîc, exemptam omnino & à rebus contentis attingi nesciam Dei prouidentiam ac dominationem.

νοηταὶ δυνάμεις, καὶ αἱ τῶν ἁγίων ψυχαί, καὶ πάντων τῶν φυλασσόντων τὰς ἐντολὰς, τόπος κληθεῖεν ἂν εἰκότως τοῦ Θεοῦ, καὶ ἀνάπαυσις· καὶ ἀλλαχοῦ γὰρ φησὶν, Ἐπαναπέπαυται τὸ πνεῦμά μου ἐπ' αὐτούς.

Ἐν τοῖς περὶ τῶν Θείων ὕμνων.] Σημείωσαι, ὅτι καὶ ἄλλο σύνταγμα αὐτῷ περὶ Θείων ὕμνων πεπόνηται.

Οἱ θεῖοι τόποι.] Τίς ὁ τοῦ Θεοῦ τόπος.

Τόποι τῆς θεαρχικῆς.] Τὸ εἰρημένον, Ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μου; δηλοῖ μὴ λέγεσθαι περὶ αἰσθητοῦ τινὸς, ἀλλὰ περὶ τῶν θείων τούτων νόων. Ἢ καὶ οὕτως ἠβουλήθη ὁ Θεὸς σημᾶναι, ὅτι ἀπερίγραπτον τὸ Θεῖον. Καὶ ἄλλως, ὅτι ἐν αὐτοῖς τοῖς ἀκούουσιν οὐκ ἦν τῷ Θεῷ τόπος καταπαύσεως, διὰ τὴν ἀπιστίαν αὐτῶν, ὡς φησὶν ἐν Εὐαγγελίοις ὁ Κύριος· Ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνει.

Μονάς ἐστι.] Οὐ μόνον, φησὶν, ὁ τρισάγιος ὕμνος δηλοῖ, καὶ ἡ ἐκ τοῦ τόπου αὐτοῦ τὸν Θεὸν δοξολογοῦσα φωνὴ, τὸ μεταδεδόσθαι καὶ ταῖς ὑφειμέναις τάξεσι γινώσκειν· καὶ ὑμνεῖν τὸν Θεὸν, ἀλλὰ καὶ ἕτερόν τι σημαίνει πρὸς τούτοις. Τοῦτο δὲ δηλοῖ τὸ ῥητὸν τὸ λέγον, καὶ μὴν καὶ ἑνάδα καὶ μονάδα τρισυπόστατον λέγομεν εἶναι τὸν Θεὸν, καὶ προνοεῖν ἁπάντων, ἀπὸ τῶν πρώτων καὶ μέχρι τῶν ἐσχάτων τῆς γῆς, περιδεδραγμένον ἁπάντων ἀσχέτως, τουτέστιν οὐ σωματικῇ κατέχοντα, ἀλλὰ θεϊκῇ προνοίᾳ ὑπερουσίως. Ὅτι δέ ἐστιν ἑνὰς καὶ μονὰς, καὶ Εὐάγριος ὁ ἀνόσιος ἐν τῇ δευτέρᾳ ἑκατοντάδι, κεφαλαίῳ τρίτῳ φησὶ τοῦτο· Αὐτός ἐστι μονὰς, ἐπειδὴ τὸ Θεῖον ἁπλοῦν καὶ ἀδιαίρετόν ἐστι, τούτου χάριν μονάς· καὶ μονὰς γὰρ, ἀριθμητικῶς εἰπεῖν, ἁπλῆ καὶ ἀσύνθετός ἐστιν· ἑνὰς δὲ διὰ τοῦτο, ἐπειδὴ καὶ πρὸς ἑαυτὴν ἥνωται ἡ ἁγία Τριὰς φυσικῶς, καὶ ἑνοῖ πάντας τοὺς αὐτῇ πλησιάζοντας, κατὰ τὸ εἰρημένον ἐν τῷ Εὐαγγελίῳ, Ἵνα ὦσιν αὐτοὶ ἓν, ὥσπερ καὶ ἡμεῖς ἓν ἐσμέν.

Ἀσχέτως.] Ἄσχετον συνοχὴν λέγει τὴν ἐξῃρημένην πάντῃ καὶ ἀσυναφῆ πρὸς τὰ συνεχόμενα πρόνοιαν τοῦ Θεοῦ καὶ περικράτησιν.

PARA-

PARAPHRASIS PACHYMERÆ.

Τὸ ζ. κεφάλαιον, περὶ τῆς πρώτης καὶ ὑπερκειμένης τῶν τάξεων τριάδος τῶν Σεραφὶμ καὶ τῶν Χερουβὶμ καὶ τῶν Θρόνων διαλαμβάνει. Ταύτην οὖν, φησὶ, τιμῶντες, λέγομεν, ὅτι πᾶσα ἐπωνυμία τῶν οὐρανίων τάξεων καθ' ἡμᾶς μὲν λέγεται, ἀναγωγὴν δὲ ἔχει τῆς ἑκάστου ὑποκειμένης ἰδιότητος· οὐ μόνον γὰρ τοπικῶς καὶ αἰσθητῶς μορφοῦνται διὰ τὴν ἡμετέραν ἀσθένειαν, ἀλλὰ καὶ αἰσθητῶς λέγονται, καθ' ὅσον ἡ ἀκοὴ χωρεῖ. Εἰ δέ τις λέγει, ὅτι καὶ ἡ τῶν ὀνομάτων ἑρμηνεία χωρητικῶς τῇ ἀκοῇ ἡμῶν λέγεται, καὶ λοιπὸν τί ἐστι τὸ νοητὸν καὶ ὑψηλότερον (καὶ γὰρ γινώσκομεν τὸ ὄνομα, ὅτι Θερμαίνοντες τυχὸν, ἀλλὰ καὶ τὴν ἐξήγησιν γινώσκομεν, τί δηλοῖ τὸ Θερμαίνοντες·) καὶ τί ἂν εἴποι τις τὸ ὄνομα αἰσθητῶς λέγεσθαι, πλέον τῆς ἐξηγήσεως τοῦ ὀνόματος· γινωσκέτω, πρῶτον μὲν, ὅτι εὐληπτότερόν ἐστι τὸ ὄνομα, παρ' ὃ οἱ λόγοι, ὅσον εἰς κατανόησιν· ἤγουν τὸ εἰπεῖν Θερμαίνοντας, ἢ τὸ εἰπεῖν τὴν τούτων ἐξήγησιν· καὶ τὸ εἰπεῖν ἄνθρωπον, ἢ τὸ εἰπεῖν τὸν ὁρισμὸν αὐτοῦ· τὸ μὲν γὰρ ἐγγὺς τῆς αἰσθήσεως, τὸ δὲ, λόγου καὶ ἑρμηνείας δεῖται. Τί γοῦν ξένον, εἰ καὶ ἐνταῦθα καὶ τοῦ ὀνόματος τῶν οὐρανίων αἰσθήσει τῇ ἀκοῇ ὑποπίπτοντος, ἀλλὰ καὶ τῆς δηλώσεως τοῦ ὀνόματος ὑποπιπτούσης τῇ ἀκοῇ, ὅμως λέγομεν, ὅτι αἰσθητικωτέρως δηλοῦμεν τῷ ὀνόματι, παρ' ὃ τῇ τοῦ ὀνόματος ἐξηγήσει; Καὶ πρῶτον μὲν τοῦτο· δεύτερον δὲ, ὅτι οὐδὲ πάλιν τόσον τῇ ἐξηγήσει ἐμμένομεν, ὡς μὴ ἔχειν νοεῖν τι ὑψηλότερον, ἀλλὰ καὶ ἔτι τῷ νοῒ παραπέμπομεν τὴν ἐξήγησιν, καὶ Θερμαίνοντας ἀκούοντες, τὸ δραστικόν τε καὶ φωτεινὸν ἐννοοῦντες ἐξηγούμεθα, αὐτὸ δὲ πάλιν τὸ δραστικόν τε καὶ φωτεινὸν εἰς ὑψηλοτέραν ἀνάγομεν θεωρίαν. Ὅθεν καλῶς ἐλέγομεν, ὅτι μὴ μόνον αἰσθητῶς μορφοῦνται, ἀλλὰ καὶ αἰσθητῶς λέγονται. Καὶ ἡ μὲν ἁγία ὀνομασία τῶν Σεραφὶμ, ὡς ἡ γλῶττα τῶν Ἑβραίων βούλεται, ἢ τὸ Ἐμπρηστὰς δηλοῖ, ἢ τὸ Θερμαίνοντας, ἃ δὴ ταῦτα τὰ ὀνόματα, καὶ ταυτά εἰσι, καὶ ἕτερα. Ταυτὰ μὲν, ὅτι ἀμφότερα ἐκ πυρός εἰσι, τό τε

SEPTIMVM caput, quod est de primo ac supremo ordinum ternione, Seraphim & Cherubim ac Thronos complectitur. Hunc igitur, inquit, celebrantes, dicimus, omnem cognominationem ordinum cælestium secundùm nos quidem pronuntiari, sed in se vniuscuiusque superlatæ proprietatis anagogen continere: non solùm enim localiter & sensibiliter efformantur propter nostram imbecillitaté, verùm etiam sensibiliter nominantur, quantum auditus capit. Si quis autem dicat, nominum quoque interpretationem ad captum auditus nostri proferri, atque insuper quid intellectuale esse ac sublimius (siquidem & nomen intelligimus, verbi gratiâ Calefacientes, quin etiam eius explicationem, quid significet Calefacientes, rectè scimus:) & si quis dixerit, nomen ipsum magis sensibiliter efferri quàm nominis interpretationem; Primùm quidem sciat, faciliùs nomé capi quàm eius rationes, quoad intelligentiam: v. g. facilius est pronuntiare nomen Calefacientes, quàm horum explicationem adferre; atque hominem nominare facilius est, quàm eius definitionem tradere: illud enim sensu obuium, ad hoc verò ratione ac interpretatione opus est. Quid igitur nouum, si etiam hîc, tam nomine rerum cælestium, quàm nominis explicatione sub sensum auditus cadente, nihilominùs dicimus, nos magis sensibiliter demonstrare aliquid per nomen, quàm per nominis explicationem? Atque hoc quidem primum: secundum verò, quòd denuò non tantùm interpretationi immoramur, quasi nihil sublimius, quod cogitemus, habeamus; verùm etiam ipsam prætereà interpretationé mente recondimus, & dum audimus nominari Calefacientes, efficiendi & illuminandi facultatem, quam mente cócipimus, interpretamur, ipsamque vim efficiendi atque illuminandi denuò ad sublimiorem contemplationem adducimus. Quapropter rectè dicebamus, quòd non solùm sensibiliter efformentur, verùm etiam sensibiliter efferantur. Ac sanctum quidem nomen Seraphim, vt lingua fert Hebręorum, vel Incensores significat, vel Calefacientes, quæ vtiq; nomina & eadem sunt, & diuersa: eadem quidem, quoniam vtraque ab igne §.1.

Quid nomen Seraphim significet.

PARAPHRASIS PACHYMERÆ.

igne desumpta, scilicet incendere, & quasi totum comburere (hoc enim declarat verbum ἐμπρῶ, id est penetro, incendo; quasi totum peruadens) & calefacere. Rursum verò diuersa sunt, quoniam aliud est, totum comburere; & aliud, tantùm calefacere. Nomen autem Cherubim significat Multitudinem cognitionis, vel Fusionem sapientiæ; quòd nimirum multa cognoscant, idque sapienter, & constanter, & non solùm superficialiter, ac si quis dicat quæ confirmata sunt in semetipsis. Meritò igitur prima dictinctio ab excellentissimis essentiis sanctè efficitur (hoc enim insinuat illud Sanctificatur) quoniam ordinem habent omnibus superiorem, vt qui iuxta Deum immediatè collocatur (nam ante hunc nullus alius ordo est) & immobiliter manet, vnde etiam in ipsum, tamquam vicinissimum, primitus initiatio seu perfectio deriuatur. Primigenias autem apparitiones Dei vocat, quòd in eis primùm operando vim suam exerant: comprehendunt enim diuinam illustrationem, & euadunt sapientes; indeque ipsis illustratio est atque cognitio. Hinc etiam sex alas habere perhibentur, quòd valdè eleuatæ sint: senarius enim numerus perfectus est, quòd constet suis partibus, quæ sunt, dimidium, nempe tria; tertium, nempe duo; & sextum, nempe vnum: tria autem, & duo, & vnum rursum sex sunt. Cherubim autem multos oculos, tamquam multitudinem cognitionis, habent. Eiuscemodi itaque nominibus appellantur, secundùm manifestationem ac declarationem habituum suorum, id est, affectuum immanentium. Nam virtutes diuinæ secundùm habitum habent Deiformitatem, habitus autem est qualitas immanens: eiuscemodi autem habitus essentiam suam habet secundùm gratiam diuinam, non autem est vt accidens in subiecto, propter eorum immaterialitatem, & incorporeitatem. inde enim omnis tam compositio materialis, quàm informitas materiæ, exulat. Quamobrem dicere non possumus, quòd primùm in aliquo alio statu existentes, posteà virtutes eiuscemodi acceperint (hoc enim compositorum est;) neque quòd informes essent materiæ, posteà istiusmodi virtutibus adornatæ sint: sed ab initio tales diuinâ gratiâ creatæ sunt. Quod clarè patet cùm ex ipso S. Dionysio, dicente sub finem quarti capitis Ecclesiasticæ Hierarchiæ, istiusmo-

Nomen Cherubim quid.

Multi oculi Cherubim quid signent.

Quales sint eorum habitus.

ἐμπρήθειν, οἱονεὶ ὁλοκαυτοῦν (τοῦτο γὰρ δηλοῖ, ἀπὸ τοῦ Ἐμπρῶ, οἱονεὶ τὸ δι᾽ ὅλου διερχόμενον) καὶ τὸ θερμαίνειν. Ἕτερα δὲ πάλιν εἰσὶν, ὅτι ἄλλο δηλοῖ τὸ δι᾽ ὅλου καίειν, καὶ ἄλλο, τὸ μόνον θερμαίνειν. Ἡ δὲ ὀνομασία τῶν Χερουβὶμ, Πλῆθος δηλοῖ γνώσεως, ἢ Χύσιν σοφίας· τοῦτο δέ ἐστιν, ὅτι καὶ πολλὰ γινώσκουσι, καὶ σοφῶς καὶ ἀραρότως ταῦτα γινώσκουσιν, οὐκ ἐπιπολαίως, καὶ ὡς ἄν τις εἴποι διαπιστοῦντα αὐτὰ ἑαυτοῖς. Εἰκότως οὖν ἡ πρώτη τῶν διακοσμήσεων ἐκ τῶν ὑπερτάτων οὐσιῶν ἱερῶς ἐνεργεῖται (τοῦτο γὰρ ἐστὶ τὸ ἱερουργεῖται) τάξιν γὰρ ἔχουσι τῶν πασῶν ὑψηλοτέραν, τὴν περὶ Θεὸν ἀμέσως ἱδρύσθαι (οὐ γὰρ ἐστὶ πρὸ αὐτῆς ἑτέρα τάξις) καὶ ἀμετακινήτως εἶναι, κἀκεῖθεν εἰς αὐτὴν ἀρχικώτερον ὡς ἐγγυτάτω μεταβιβάζεσθαι τὴν τελείωσιν. Πρωτουργοὺς δὲ λέγει θεοφανείας, ὅτι εἰς αὐτοὺς πρώτους ἐργάζονται ἐνεργούμεναι αἱ θεοφάνειαι· ἐπιδράττονται γὰρ τῆς θείας ἐλλάμψεως, καὶ σοφίζονται· ἐκεῖθέν ἐστιν αὐτοῖς καὶ τὸ ἐλλάμπεσθαι, καὶ τὸ γινώσκειν. Ὅθεν κἀκεῖνα μὲν ἑξαπτέρυγα λέγονται, ὡς κατὰ πολὺ ὑπερηρμένα· ἓξ γὰρ τέλειος ἀριθμός ἐστιν, ὅτι σύγκειται ἐκ τῶν μερῶν αὐτοῦ, ἅπερ εἰσὶ τὸ ἥμισυ, ἤγουν τὰ τρία· τὸ τρίτον, ἤγουν τὰ δύο· καὶ τὸ ἕκτον, ἤγουν τὸ ἕν· τρία δὲ καὶ δύο καὶ ἓν, πάλιν ἕξ. Τὰ δὲ Χερουβὶμ πολυόμματα, ὡς πλῆθος γνώσεως ἔχοντα. Τὰ γοῦν τοιαῦτα ὀνόματα ὀνομάζονται, κατὰ ἐκφαντορίαν καὶ δήλωσιν τῶν ἕξεων αὐτῶν, ὅ ἐστι τῶν ἐμμόνων διαθέσεων. Αἱ γὰρ θεῖαι δυνάμεις καθ᾽ ἕξιν ἔχουσι τὸ θεοειδὲς, ἕξις δέ ἐστι ποιότης ἔμμονος· ἡ δὲ τοιαύτη ἕξις οὐσιωμένη ἐστὶ κατὰ θείαν χάριν, οὐ μὴν ὡς συμβεβηκὸς ἐν ὑποκειμένῳ, διὰ τὸ ἄϋλον αὐτῶν καὶ ἀσώματον· ἐκεῖθεν γὰρ ἀπελήλαται καὶ πᾶσα σύνθεσις ὑλικὴ, καὶ τὸ τῆς ὕλης πάλιν ἄμορφον ἐκεῖθεν ἐξώρισται. Οὔτε γοῦν δυνάμεθα λέγειν, ὅτι πρώτως οὖσαι ἐν ἑτέρᾳ τινὶ καταστάσει, ὕστερον προσελάβοντο τὰς τοιαύτας ἀρετὰς, (τοῦτο γὰρ τῶν συνθέτων·) οὔτε ἀμόρφωτοι ὗλαι οὖσαι, ὕστερον εἰδοποιήθησαν ἐν ταῖς τοιαύταις ἀρεταῖς· ἀλλ᾽ ἐξ ὑπαρχῆς οὕτως θείᾳ ἐκτίσθησαν χάριτι. Τοῦτο δὲ δῆλον ἐκ τοῦ αὐτοῦ τοῦ ἁγίου Διονυσίου, λέγοντος πρὸς τῷ τέλει τοῦ τετάρτου κεφαλαίου τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας, οὐσιώ-

PARAPHRASIS PACHYMERÆ.

δεις εἶναι τὰς τοιαύτας ἕξεις· καὶ ἐκ τοῦ, τὰ πεσόντα, ἀποβαλόντα τὰς ἀρετὰς, μεταχθῆναι εἰς ἀλλοίαν, ὡς ἂν τις εἴποι, κατάστασιν φύσεως, σκοτεινήν τε καὶ φθονερὰν, καὶ κακίας πλήρη, καὶ ἐναντίαν κατὰ πάντα τῇ θείᾳ καὶ ἀγγελικῇ πολιτείᾳ· τοιαύτη γὰρ ἡ τῶν Ἀγγέλων ἕξις οὐσιώδης, οἵα καὶ ἡ τοῦ πυρὸς καθ᾽ ἕξιν καῦσις. Τὸ γοῦν τῶν Σεραφὶμ ὄνομα ἐξηγούμεθα, ὅτι τὸ πῦρ ἀεικίνητόν ἐστι, θερμόν ἐστι, ὀξύ ἐστι (καὶ αὐτοὺς γὰρ τοῦ λίθου τοὺς πόρους εἰσδύνει) ἀναγωγικόν ἐστι τῶν ὑποβεβηκότων, καὶ δῆλον ἐκ τῶν ἀναθυμιάσεων, πῶς τῇ θερμῇ τοῦ ἡλίου ἀνάγονται)· δραστήριόν ἐστι πρὸς τὴν τῶν ἐγγιζόντων ὁμοίωσιν, πυρώδη γὰρ ποιεῖ τὰ ἐγγίζοντα, ὁλοκαυτοῖ, καθαίρει· ἀπερικάλυπτόν ἐστιν, ἄσβεστον ἔχει τὸ φωτοειδὲς καὶ φωτιστικὸν, καὶ πόρρω τὸ σκότος ἐλαύνει. Ταύτας ἔχουσι τὰς ἕξεις ὑπερκοσμίως τὰ Σεραφίμ· ἀκατάληκτά εἰσι καὶ ὑπερζέοντα, καὶ ἀνένδοτα πρὸς τὴν περὶ Θεὸν ἀεικινησίαν, καὶ τὰς ὑποβεβηκυίας τάξεις ἀνάγουσι, καὶ πρακτικῶς ἀναζωπυροῦσι, καὶ ἀφομοιοῦσι πρὸς τὴν ὁμοίαν ζέσιν καὶ τὸν πόθον τὸν ἔνθεον, καὶ δι᾽ ὅλου πρηστηρίως καθαρτικά εἰσι, καὶ τὸ φωτοειδὲς ὅπερ ἔχουσιν ἐκ Θεοῦ, καὶ τὸ φωτιστικὸν καθ᾽ ὃ τὰ ἄλλα φωτίζουσιν, ἀπερικάλυπτον καὶ ἄσβεστον ἔχουσιν· ἔστι γὰρ ὡς ὕλη ὁ θεῖος πόθος αὐτοῖς, καὶ πάσης σκοτοποιΐας ἐπέκεινά εἰσιν, ὡς τῇ θείᾳ λαμπρότητι ἀναπτόμενα.

Τὰ δὲ Χερουβὶμ εἰσὶν ὀνομαζόμενα κατὰ τὸν λόγον τῆς παρ᾽ ἡμῖν γνώσεως· ἡ ἡμετέρα γὰρ γνῶσις, καὶ γνωστικὴ ἀφ᾽ ἑαυτῆς ἐστι, καὶ δεκτικὴ τῆς ἔξωθεν μαθήσεως. Ὥσπερ γὰρ ἡ ἀγνωσία διττή ἐστιν, ἡ μὲν κατὰ ἀπόφασιν, ὅτε τὸ δέ τι οὐ γινώσκομεν, γινώσκομεν δὲ ὅτι οὐ γινώσκομεν, ἣν καὶ ἁπλῆν ἄγνοιαν λέγουσιν· ἡ δὲ κατὰ διάθεσιν, ὅτε οὐ γινώσκοντες ἀπατώμεθα, καὶ οἰόμεθα γινώσκειν, καὶ οὐδὲ αὐτὸ τοῦτο οἴδαμεν, ὅτι οὐ γινώσκομεν, ἣν δὴ καὶ διπλῆν καλοῦσιν ἄγνοιαν, τῷ τε μὴ γινώσκειν, καὶ τῷ μὴ γινώσκειν ὅτι οὐ γινώσκει· οὕτω καὶ ἡ γνῶσις διττὴ, ἡ μὲν ὅτι γινώσκει, καθ᾽ ὃ καὶ γνωστικὴ λέγεται· ἡ δὲ ὅτι μανθάνει καὶ δέχεται γνῶσιν, καὶ γινώσκει ὅτι ὠφέληται, καθ᾽ ὃ λέγεται καὶ γνωριστική. Ἔστιν ἡ ἡμετέρα γνῶσις καὶ θεωρητικὴ, οἱονεὶ ἐρευνητικὴ τῶν ὑπὲρ αὐτήν· Ἔστι καὶ κοινωνικὴ, ἐξ ὧν ἐν τῷ ἀναπιμπλᾶσθαι τῶν νοημάτων χέει πρὸς τοὺς ὑποδεεῖς τὴν

di habitus esse substantiales; tum etiam ex eo, quòd is qui cecidit, virtutibus abiectis, ad aliũ, vt ita quis dixerit, naturæ statum sit translatus, obscurum scilicet, & inuidiæ malitiæque plenum, atque diuinæ & Angelicæ vitæ instituto contrarium: istiusmodi enim Angelorum habitus substantialis est, non secùs atque ignis secundùm habitũ adustio est. Nomen itaq; Seraphim explicamus, quòd sit ignis semper mobilis, calidus, subtilis, (quoniam etiã ipsius lapidis poros penetrat) qui inferiora sursum eleuat, vti perspicuum fit ex exhalationibus, quomodo calore solis attollantur: qui sui similitudinem appropinquãtibus ingenerat, propinqua enim omnia ignita reddit, penitus adurit, purgat: qui abscondi nequit, luciformitatẽ & illuminandi vim inexstinctam obtinet, & procul tenebras propellit. Hisce habitibus supermundialiter præditi sunt Seraphim: indefessi sunt & supra quàm feruentes, & ad Deum incessabili semper motu cientur, inferioresque ordines adducunt, ac reipsâ suscitant, & ad consimilem feruorem diuinumque desiderium excitant & informant, & omnino ignitè purgant, atque formam lucis quam ex Deo habent, & illuminandi vim quâ cetera illuminant, inabsconsam & inextinctam possident: diuinum enim desiderium illis est vice materiæ; & omni obtenebratione superiores sunt, vt qui diuino splendore sunt succensi.

Cherubim autem nominati sunt, secundùm rationem nostræ cognitionis: siquidem notitia nostra etiam intelligens est à se, & externam suscipit disciplinam. Sicut enim ignoratio duplex est, vna nimirum negatiua, vt quando aliquid non cognoscimus, scimus autem nos id non nosse, quam simplicem vocãt ignorantiam; alia verò est habitualis, quando ignorantes decipimur, & putamus nos intelligere, neque id ipsum agnoscimus quòd non sciamus; quam idcircò duplicem ignorantiam appellant, cùm quòd ignoret, tum quòd id ipsum nesciat se ignorare: sic etiam cognitio duplex, vna quidem quia cognoscit, secundùm quod cognoscens appellatur; alia verò quia discit atque accipit notitiam, & agnoscit quid prosit, secundùm quod etiam gnara dicitur. Est insuper cognitio nostra speculatiua, vt quæ superiora se scrutatur: est etiam communicatiua, vt quando illarũ, quibus plena est, *Ignoratio & cognitio duplex.*

ſcientiarum diſciplinam in alios, qui eâ indigent, transfundit. Hæc etiam omnia habent Cherubim: intelligunt ac contemplantur diuinam claritatem, cognitione mouentur ad id quod verè eſt amabile, nec non illuſtrationem accipiunt à Deo per virtutes ipſis anteriores, & diuinam ſcrutantur pulchritudinem, in virtute nimirum primigeniâ, ſecundùm quam præ ceteris primo loco vnà cum Thronis ac Seraphim hauriunt apparitionem. Hi enim tres ordines vna quædam ſunt Hierarchia, & primigeniam in omnibus virtutem ſortiuntur: omni enim tam inuiſibili quàm viſibili virtute maiores ſunt primi tres iſti ordines. Sunt Cherubim etiam cõmunicatiui, eam, quâ repleti ſunt, ſapientificam diſtributionẽ inferioribus inſtillando profuſione ſapientiæ ſuæ.

Thronorum proprietates. Agedum, etiam ſanctorum & ſublimiſſimorum atque excelſorum Thronorum nomen conſideremus. Thronus ſublimis à terrenis elatus, thronus ſurſum ferens, & ſeſſores ſuos conſtanter ac compactè ſurſum ferri faciens: thronus eſt capax illius quem fert, & receptaculum ſeſſoris ſui. Idem in ſanctis iſtis Thronis conſiderare liceat: eximuntur enim ab omni humi reptatione, & ad anteriora ſurſum efferũtur, ita vt nulla illos teneat abiecta propenſio vel inſtinctus, & ad inferiora nutus. Verumenimuerò nota, quòd noſter thronus ſurſum ferri faciat ſeſſorẽ ſuum; ſanctiſſimos autem Thronos ab eo quòd ſurſum ferantur denominari, & indeficienter in ſublimi habitare, & iuxta Altiſſimum inconcuſſè collocari, & diuinum illapſum excipere. Verùm abſque paſſione hæc intellige, & immaterialiter (id eſt enim *ſupermundialiter*) ne quis illam ad anteriora viam eſſe corporalem exiſtimet, ne in iis Deus circumſcribi videatur. Et Deiferi ſunt, non ſubſtantiâ, ſed gratiâ, & miniſtrorum more prompti ad diuinas ſuſceptiones. Illud verò Deiferũ dixi non ſubſtãtiâ, quia & beatus Baſilius carnem dixit eſſe Deiferam; ſed caro Domini ſecundùm ſubſtantiam & ſecundùm hypoſtaſim vnita erat ipſi Verbo Deo, tamquam quæ ferebat Deum Verbum ſecũdùm vnionem inſeparabilem, propriè ac verè ipſius caro & dicta & exiſtens: Throni verò non ſecundùm ſubſtantiam, ſed ſecundùm gratiam, vt dictum eſt, habentes Deum in ſemetipſis ineffabili ratione, Deiferi nuncupantur.

μάθησιν. Ταῦτα πάντα ἔχουσι καὶ τὰ Χερουβίμ· γνωστικά εἰσι καὶ θεοπτικὰ τῆς θείας λαμπρότητος, κίνησιν ἔχοντα γνώσεως πρὸς τὸ ὄντως ἐράσμιον, καὶ δεκτικὰ φωτοδοσίας ἐκ τοῦ Θεοῦ διὰ τῶν πρὸ αὐτῶν δυνάμεων, καὶ ἐξεταστικὰ τῆς θείας εὐπρεπείας, ἀλλ' ἐν πρωτουργῷ δυνάμει, καθ' ἣν δηλονότι πρώτως τῶν ἄλλων τὰς ἐμφανείας ἔχουσιν, ὡς καὶ οἱ Θρόνοι, καὶ ἔτι τὰ Σεραφίμ. Ταῦτα γὰρ τὰ τρία τάγματα, μία τις Ἱεραρχία ἐστὶ, καὶ πρωτουργὸν ἐπὶ πᾶσι τὴν δύναμιν ἔχουσι· πάσης γὰρ ἀοράτου καὶ ὁρατῆς δυνάμεως, μείζους εἰσὶν αἱ προειρημέναι τρεῖς αὗται τάξεις. Ἔστι τὰ Χερουβὶμ καὶ κοινωνικὰ ἐν τῷ ἀναπιμπλάμενα τῆς σοφοποιοῦ μεταδόσεως ἀφθόνως μεταδιδόναι τοῖς δευτέροις κατὰ τὴν χύσιν τῆς σοφίας αὐτῶν.

Φέρε καὶ τὴν τῶν ἁγίων καὶ ὑψηλοτάτων καὶ ἐπηρμένων Θρόνων ἐπωνυμίαν κατίδωμεν. Ὁ θρόνος ὑψηλὸς τῶν γηΐνων ἐπηρμένος, ὁ θρόνος ἀνωφερὴς, καὶ ποιῶν τοὺς ἐν αὐτῷ ἄνω φέρεσθαι ἱδρυμένως, παγίως· ὁ θρόνος δεκτικὸς τινὸς ὃν φέρει, καὶ τοῦ καθημένου ὑποδοχή ἐστιν. Οὕτως ἐστὶν ἰδεῖν καὶ ἐπὶ τῶν ἁγίων τούτων Θρόνων· ἐξαίρονται γὰρ πάσης χαμαιλαφοῦς ὑφέσεως, καὶ πρὸς τὸ ἄναντες ἀναφέρονται, ὡς μηδὲν αὐτοὺς ἔχειν περιπετείας ὑφέσεως, ἤτοι ἐνδόσεως, καὶ τῆς πρὸς τὰ κάτω νεύσεως. Πλὴν σημείωσαι, ὅτι καὶ ὁ ἐνταῦθα θρόνος ἄνω ποιεῖ φέρεσθαι τοὺς ἐν αὐτῷ· οἱ δὲ ἁγιώτατοι Θρόνοι, ἐν τῷ ἄνω φέρεσθαι, οὕτως ἐπονομάζονται, καὶ ἀνῳκισμένοι εἰσὶν ἀκλινῶς, καὶ περὶ τὸν Ὕψιστον ἀκατασείστως ἱδρυμένοι, καὶ δεκτικοὶ τῆς θείας ἐπιφοιτήσεως. Πλὴν ἀπαθῶς νόει ταῦτα, καὶ ἀΰλως (τοῦτο γάρ ἐστι τὸ Ὑπερκοσμίως) ἵνα μὴ νομίσῃ τις τὸ Ἄναντες ὁδὸν εἶναι σωματικὴν, ἵνα μὴ περιορίζεσθαι δόξῃ Θεὸς ἐν αὐτοῖς. Καὶ θεοφόροι εἰσὶν, οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ χάριν, καὶ θεραπευτικῶς ὕπτιοι πρὸς τὰς θείας ὑποδοχάς. Οὐ κατ' οὐσίαν δὲ εἶπον τὸ θεοφόροι, ὅτι ὁ μακάριος Βασίλειος τὴν θεοφόρον εἶπε σάρκα· ἀλλ' ἡ μὲν σὰρξ τοῦ Κυρίου κατ' οὐσίαν καὶ καθ' ὑπόστασιν ἥνωτο αὐτῷ τῷ Θεῷ Λόγῳ, ὡς φέρουσα τὸν Θεὸν Λόγον καθ' ἕνωσιν ἀδιάσπαστον, αὐτοῦ σὰρξ καὶ λεγομένη καὶ ὑπάρχουσα κυρίως καὶ κατ' ἀλήθειαν· οἱ δὲ Θρόνοι οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ χάριν, ὡς εἴρηται, ἔχοντες ἐν ἑαυτοῖς τὸν Θεὸν ἀρρήτῳ λόγῳ, θεοφόροι λέγονται.

Αὕτη

PARAPHRASIS PACHYMERÆ. §.2.

Αὕτη μὲν ἡ τῶν ὀνομάτων ἐκφαντορία καὶ δήλωσις, ὡς καθ' ἡμᾶς εἰπεῖν, καὶ τὴν ἡμετέραν δύναμιν· λεκτέον δὲ μετὰ ταῦτα, τίνα τὴν Ἱεραρχίαν αὐτῶν καὶ τὴν μυσταγωγίαν οἰόμεθα. Τὸ μὲν γὰρ, εἶναι τὸν τῆς ἁπάσης Ἱεραρχίας σκοπὸν, κἂν τὴν καθ' ἡμᾶς εἴποι τις, κἂν τὴν οὐρανίαν, ἐξηρτημένον καὶ ἐκκρεμῆ τῆς θεομιμήτου θεοειδείας ἀκλινῶς, καὶ τὸ διαιρεῖσθαι πᾶσαν πραγματείαν ἱερατικὴν εἰς δύο ταῦτα, εἴς τε μετοχὴν καὶ διάδοσιν (πρῶτον γὰρ μετέχομεν, καὶ εἶτα μεταδίδομεν καὶ ἡμεῖς καὶ οἱ Ἄγγελοι. Τίνος δὲ μετέχομεν, καὶ τίνος μεταδίδομεν; πάντως καθάρσεως ἀμιγοῦς καὶ ἀΰλου, καὶ θείου φωτὸς, καὶ τελεσικῆς καὶ μυστικῆς ἐπιστήμης· πρῶτον γὰρ καθαιρόμεθα, εἶτα φωτιζόμεθα, μετέπειτα δὲ τελειούμεθα μετ' ἐπιστήμης, καὶ θεοποιούμεθα, ὥσπερ δὲ καὶ πρῶτον καθαίρομεν, εἶτα φωτίζομεν, μετέπειτα δὲ τελοῦμεν ἐπιστημονικῶς,) ἀρκούντως ἤδη διελάβομεν· νῦν δὲ εὔχομαι ἀξίως τῶν προκειμένων εἰπεῖν, πῶς ἡ κατ' αὐτοὺς Ἱεραρχία παρὰ τῆς ἱερᾶς καὶ θείας Γραφῆς δηλοῦται ἡμῖν. Ταῖς πρώταις οὐσίαις, αἵ τινες μετὰ τὴν θείαν οὐσιοποιὸν καὶ δημιουργικὴν οὐσίαν ἵδρυνται, καὶ οἷον ἐν προθύροις ταύτης εἰσὶ τεταγμέναι, καὶ ὑπερβεβήκασι πάσης κτιστῆς ὁρατῆς καὶ ἀοράτου φύσεως, ἤγουν τῇ πρώτῃ διακοσμήσει τῶν θείων δυνάμεων, οἰκείαν ὑποληπτέον εἶναι καὶ κατὰ πᾶν ὁμοφυῆ τὴν Ἱεραρχίαν. Καθεξῆς δὲ τίθησι τὰ τῆς Ἱεραρχίας ἰδιώματα, πῶς καθαραὶ αὗται, πῶς θεωρητικαὶ, πῶς τετελεσμέναι, ἐξῃρημένως πάντως καὶ οὐ κατ' ἄνθρωπον, ἵνα οἰκεία ταῖς οὐσίαις ἡ Ἱεραρχία ᾖ. Καθαραὶ τοίνυν εἰσὶν, οὐ κατὰ ἄνθρωπον· ἐπὶ γὰρ τῶν ἀνθρώπων καθαροὶ λέγονται, ἢ οἱ ἀπὸ κηλίδων καὶ μολυσμῶν καθαρθέντες, ἢ καὶ οἱ μείναντες ἐκ γενέσεως προσύλων φαντασιῶν ἀνεπίδεκτοι. Οὐ τοίνυν αἱ πρῶται δυνάμεις καθαραὶ τοιουτοτρόπως λέγονται, ἀλλ' ὡς ὑψηλότεραι καὶ ἐπέκεινα πάσης μολυντικῆς ὑφέσεως, καὶ παντὸς ὑποβεβηκότος καθαροῦ τε καὶ ἱεροῦ ἁγιώτεραι, κατὰ τὴν ὑπερτάτην καὶ οὐκ ἐκ συγκρίσεως καθαρότητα. Καὶ ὥσπερ τὸ φῶς ἐν φωτιστικαῖς δυνάμεσιν ἵδρυται, καὶ ἄλλη τις οὐκ ἔστιν οἰκειοτέρα δύναμις τοῦ φωτὸς, εἰ μὴ φαίνοι· οὕτως καὶ αὗται ἐν δυνάμεσι θεοειδεστάταις ὑπερίδρυνται, καὶ ἀντέχονται μὲν κατὰ τὸ ἄτρεπτον αὐτῶν, ὅπερ

Hæc quidem, quantum effari possumus, & pro facultate nostrâ, nominum ipsorum est explanatio declaratioque: post hæc verò dicendum, quam Hierarchiam & mystagogiam eorum existimemus. Illud namque, omnis nimirum Hierarchiæ scopum, siue nostram quis dixerit siue cælestem, ex Deum imitante Deiformitate indeclinabiliter dependere, atque omnem Sacerdotalem functionẽ in hæc duo, scilicet participationem & transfusionem, diuidi, (siquidem primùm participamus, ac deinde transfundimus tam nos quàm Angeli. Quid verò participamus, aut quid transfundimus? omnino puram & immaterialem expiationem, siue diuinum lumen, siue perfectiuam mysticamque scientiam: primùm enim expiamur, deinde illuminamur, ac tandem scientiâ perficimur atque deificamur; eodem vtique modo primùm expiamus, deinde illuminamus, tandemque scientificè perficimus) sufficienter est demonstratum: nunc autem opto dignè de rebus propositis disserere, quomodo nimirum illorum Hierarchia ex sacris diuinisque Litteris nobis declaretur. Primis essentiis, quæ post diuinã illam substantificam atque creantem naturam collocantur, & quasi in vestibulis eius dispositæ sunt, omnemque superant creatam visibilem & inuisibilem naturam, primæ inquam diuinarum virtutum distributioni, propriam & in omnibus æqualem Hierarchiam esse putandum est. Deinde ponit huius Hierarchiæ proprietates, quomodo puræ sint, quomodo contemplatiuæ, quomodo perfectæ, per excellentiam videlicet, & non secundùm hominem, vt propria naturis iis Hierarchia sit. Puræ itaque sunt, non secundùm hominem: apud homines enim puri dicuntur, vel qui à maculis & inquinamentis expiati sunt, vel qui sic manent à natiuitate, vt materiales nullas phantasias admittant. Primæ itaque virtutes non hoc modo puræ nominantur, sed vt sublimiores & excelsiores omni deiectione inquinante, atq; omni transcendentali sacraq; puritate sanctiores, secundùm sublimissimam & incomparabilem puritatem. Et sicuti lux in illuminantibus virtutibus collocatur, & non est alia magis propria virtus lucis, si non apparet: sic etiam hæ inter maximè deiformes virtutes supercollocantur, ac perseuerant secundùm immutabilitatem

Quàm puræ sint cælestes Hierarchiæ.

PARAPHRASIS PACHYMERÆ.

Quomodo Angeli sint immutabiles.

suam, quam Dei gratiâ obtinuerunt. Quod sic intellige, non quasi à naturâ sint immutabiles (nam immutabilitas soli Deo à naturâ competit,) sed quòd, præ ingenti ad bonum propensione, ad Numen diuinum conuersæ, hoc modo permanserint, immutabilitatem quasi habitum obtinentes: hæc enim illarum est in Deo amando immutabilitas. Ex eo itaq; quòd Deum totaliter amẽt, suum semper & eodem modo se mouentem ordinem tenent, quem quodam modo immutabilẽ, & constantem, & eodem modo habent: motiones autẽ illis sunt, indesinentes intellectionũ operationes; mentes enim sunt, quæ numquam silent. Vox autem ἀντεχομένας, id est, perseuerantes, scribitur etiam ἀνεχομένας, id est, sustinentes: sustinent autem, quia neque satietatem, neque grauedinem, neque vertiginem habent ex eo quòd semper circa idem moueantur, vti nobis accidit, iuxta tritum illud, Omniũ variatio dulcis est; verùm ipsæ constanter quidem ordinẽ suum tenent, & in deterius imminutionem omnino non agnoscunt: sed inconcussam semper & immobilem deiformis suæ proprietatis sedem habent, rebus nullis vilioribus admixtam, neque cum contrario habitu & operatione. Dixit quomodo puræ sint, nunc quomodo contemplatiuæ sint pandit; quoniam etiam hoc non secundùm hominem: siquidem hominibus contemplantes dicuntur, qui mysteria contuentur per ea quæ symbolicè dicta vel sensibiliter perfecta sunt circa Deum. Sancti autem quasdam apparitiones Dei habuerunt, cùm per sensilia symbola, sicut Abraham & Iacob; tum per intellectilia, sicut quidã è Prophetis, qui dixit, Et ecce plena gloria domus Domini. quænã enim esset gloria ista, mente percipimus. Non sic vtique cælestes virtutes contemplantur, neque varietate scripturisticarum contemplationum ad diuinum Numen adducuntur; sed contemplatiuæ dicuntur, tamquam adimpletæ lumine sublimiori: neq; tantùm sensibili, verùm omni immateriali cognitione plenæ, eius quod verè ac propriè bonum est, diuinâ, inquam, contemplatione sanctissimæ Trinitatis: ipsius quoq; Iesu communione gaudent, participatione inquam gloriæ ac splendoris Christi corporis; siquidem vnà cum carne Patri assidet, vt Filius & Verbum eius. Cùm autem vniuersim Hierarchia definita sit sacer ordo, & scientia, & operatio, accedens, quantum fas est, ad

Quomodo Angeli sint immutabiles, & quomodo moueantur.

Quomodo Angeli contemplentur.

Isa. 6, 1.

ἔχον τοῦ Θεοῦ χάριτι. Τοῦτο δὲ νόησον, οὐχ ὅτι κατὰ φύσιν ἄτρεπτοί εἰσι (μόνον γὰρ τὸ κατὰ φύσιν ἄτρεπτον τοῦ Θεοῦ ἐστιν) ἀλλ' ὅτι διὰ τῆς ἐπὶ τὸ ἀγαθὸν ἄγαν ἐφέσεως ἐπὶ τὸ Θεῖον ῥέψασαι, ἔμειναν οὕτως, ἕξιν ὥσπερ ἔχουσαι τὸ ἀμετακίνητον· τοῦτο γάρ ἐστι τὸ φιλοθέως ἄτρεπτον τούτων. Ἐκ γοῦν τοῦ τὸ Θεῖον φιλεῖν ὁλικῶς, τῆς οἰκείας ἀεικινήτου καὶ ταυτοκινήτου τάξεως ἀντέχονται, τῆς οἱονεὶ ἀπαραλλάκτου καὶ ἀμεταβόλου καὶ ὡσαύτως ἐχούσης· κινήσεις δέ εἰσιν ἐπ' αὐτῶν, αἱ ἄπαυστοι περὶ τὰς νοήσεις ἐνέργειαι, νόες γάρ εἰσιν ἀσίγητοι. Τὸ δὲ Ἀντεχομένας γράφεται καὶ Ἀνεχομένας· ἀνέχονται δέ, ὅτι οὐκ ἔχουσι κόρον τινά, οὐδὲ βάρος, οὐδ' ἴλιγγον, διὰ τὸ ἀεὶ κινεῖσθαι περὶ ταὐτόν, ὅπερ ἐφ' ἡμῶν συμβαίνει, καθ' ὃ εἴρηται, Μεταβολὴ πάντων ἡδύ· ἀλλ' ἐκεῖναι ἀνέχονται μὲν ἀρρεπῶς τῆς οἰκείας τάξεως, καὶ τὴν ἐπὶ τὰ χείρω μείωσιν παντελῶς ἠγνοήκασιν· ἄπτωτον γὰρ καὶ ἀμετακίνητον ἔχουσι τὴν τῆς οἰκείας θεοειδοῦς ἰδιότητος ἵδρυσιν, καὶ ἀμιγεστάτην πρὸς τὰ χείρω καὶ τὴν ἐναντίαν ἕξιν τε καὶ ἐνέργειαν. Εἶπε πῶς καθαραί, νῦν δὲ λέγει πῶς θεωρητικαί, ὅτι καὶ τοῦτο οὐ κατὰ ἄνθρωπον· ἐπὶ γὰρ τοῖς ἀνθρώποις θεωροὶ λέγονται, οἱ τῶν μυστηρίων ἐπόπται διὰ τῶν συμβολικῶς λεγομένων, ἢ αἰσθητῶς τελουμένων περὶ Θεοῦ. Ἔσχον δὲ καὶ οἱ ἅγιοι τινὰς ἐμφανείας Θεοῦ, καὶ δι' αἰσθητῶν συμβόλων, ὡς ὁ Ἀβραὰμ καὶ ὁ Ἰακώβ· καὶ διὰ νοερῶν, ὡς ὁ ἐκ τῶν Προφητῶν εἰπών, Καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου· τίς γὰρ ἦν ἡ δόξα ἐκείνη κατανοήσωμεν. Οὐχ οὕτω τοίνυν καὶ αἱ οὐράνιαι δυνάμεις θεωροί, οὐδὲ τῇ ποικιλίᾳ τῶν ἱερογραφικῶν θεωριῶν ἐπὶ τὸ Θεῖον ἀνάγονται· ἀλλὰ θεωρητικαὶ λέγονται, ὡς ἀποπληρούμεναι φωτὸς ὑψηλοτέρου· καὶ μὴ μόνον αἰσθήσεως, ἀλλὰ καὶ πάσης ἀΰλου γνώσεως, καὶ ἐμπιπλάμεναι τῆς τοῦ ὄντως καὶ κυρίως καλοῦ, τῆς θείας λέγω καὶ τριαδικῆς θεωρίας· τῆς δὲ Ἰησοῦ κοινωνίας ἠξιωμέναι, τῆς μετοχῆς λέγω καὶ τῆς δόξης, καὶ τῆς λαμπρότητος τοῦ σώματος τοῦ Χριστοῦ· μετὰ σαρκὸς γὰρ τῷ Πατρὶ συνεδρεύει ὁ Υἱὸς καὶ Λόγος αὐτοῦ. Ἐπεὶ δὲ καθόλου ἡ Ἱεραρχία, τάξις ἱερὰ ὡρίσθη, καὶ ἐπιστήμη, καὶ ἐνέργεια, ἀφομοιουμένη ὡς ἐφι-

κτὸν

 PARAPHRASIS PACHYMERÆ.

κτὸν πρὸς τὸ θεοειδὲς, καὶ ἀναλόγως ταῖς ἐνδιδομέναις ἐλλάμψεσιν ἐπὶ τὸ θεομίμητον ἀναγομένη, ἐνταῦθα σκέψαι τὸ μέρος τῆς Ἱεραρχίας, τὴν ἐπιστήμην, ἤγουν θεωρίαν, πῶς πρὸς τὸ θεοειδὲς ἀφομοιοῦται, καὶ πῶς ἀνάγεται πρὸς τὸ θεομίμητον· οὐκ ἐν εἰκόσι γοῦν ἱεραῖς πλαθείσαις κατὰ τὴν Προφητῶν ἀποτυποῦσι τὴν θείαν ὁμοίωσιν, πρὸς τὸ θεοειδὲς ἀφομοιοῦνται, (τὸ Ἀποτυποῦσι δὲ ἀντὶ τοῦ ταῖς Ἀποτυπούσαις, τὸ ἀρσενικὸν ἀντὶ θηλυκοῦ Ἀττικῶς, ὥς τὸ, Κλυτὸς Ἱπποδάμεια) ἀλλὰ πῶς θεωρητικαί, ὡς ἀληθῶς αὐτῷ πλησιάζουσαι, καὶ δίχα τῆς ἱεροπλασιῶν· τοῦτο γάρ ἐστι τὸ ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως, οἱονεὶ ἀμέσως καὶ δίχα συμβόλων ὑποτυπούντων τὴν ὁμοίωσιν. Τί γὰρ ἐκείναις ὁ σάπφειρος, καὶ ὁ ἤλεκτρος, καὶ πᾶν εἴ τι τοιουτότροπον πρὸς θεωρίαν τῆς θείας μαρμαρυγῆς, ἐν ἀμέσῳ οὔσαις μετουσίᾳ τῆς γνώσεως; Πῶς δὲ ἡ γνῶσις καὶ ἡ θεωρία ἀφομοιοῖ πρὸς τὸ θεοειδὲς τὸ γινώσκοντα; ὅτι ὁ θεωρῶν θαυμάζει, ὁ θαυμάζων ποθεῖ, ὁ ποθῶν καθαίρεται, ὁ καθαιρόμενος ἀναλόγως δὲ ταῖς οὐρανίαις οὐσίαις νοεῖ τὴν κάθαρσιν, καθὼς ἀνωτέρω ἐλέχθη, θεοειδὴς γίνεται, καὶ πρὸς τὸ θεοειδὲς ἀφομοιοῦται. Πῶς δὲ καὶ πρὸς τὸ θεομίμητον ἀνάγεται φησί. Δεδώρηται δὲ καὶ αὐτὸ ταύταις, καὶ κοινωνοῦσιν οὐ δι᾽ ὅλου, ἀλλ᾽ ὅσον ἐφικτόν ἐστι ταῖς φιλανθρώποις αὐτοῦ ἀρεταῖς, ταῖς καλυπτούσαις κατὰ τὸν Προφήτην τοὺς οὐρανοὺς τῆς θεωρητικαῖς, εἰς ἃς διὰ τῆς θεωρίας ἀνάγονται ἐν πρωτουργῷ δηλαδὴ δυνάμει· τὴν γὰρ ἔλλαμψιν ἑτέρα δι᾽ ἄλλης λαμβάνει ἐκ τοῦ Θεοῦ, τὴν δὲ πρὸς αὐτὸν τάσιν, καὶ θεωρίαν, καὶ ἔφεσιν, ὥσπερ εἰ ἦσαν ἅπασαι πρῶται, οὕτως ἐργάζονται, ἢ ἐν πρωτουργῷ, οἱονεὶ πρωτοτάκτῳ· πρῶται γὰρ αὗται ἐτάχθησαν. Ὁμοίως πάλιν καὶ τὴν μετάδοσιν τῆς ἐλλάμψεως πρὸς τὰς ὑπ᾽ αὐτὰς, καὶ πρὸς τοὺς ἀνθρώπους οὐ μετὰ φθόνου καί τινος ποιοῦνται γλισχρότητος, ἀλλ᾽ ἀφθόνως καὶ πληρεστάτως, ὥσπερ ἂν ἦσαν πᾶσαι τὰ τῆς ἐλλάμψεως πρῶται δεχόμεναι· τοῦτο γὰρ καὶ πρώην ἡ θεομιμησία ἐλέγετο, τὸ πρὸς τοὺς δεομένους καὶ ἀξίους μεταδοτικόν· καὶ νῦν τοῦτο λέγεται, ὅτι κατὰ τοῦτο κοινωνοῦσι τῆς φιλανθρώποις ἀρεταῖς τοῦ Θεοῦ. Ὥσπερ γὰρ τὸ θεοπρεπὲς κάλλος μεταδοτικόν ἐστι κατ᾽ ἀξίαν τοῦ οἰκείου

deiformitatem, nec non, insitis sibi diuinitus illustrationibus, proportione quadam ad Dei adducta imitationem; considera hîc illam Hierarchiæ partem, quæ est scientia siue contemplatio, quomodo ad Deiformitatem componatur, & quonam modo ad imitandum Deum adducatur: vtique non in imaginibus sacro modo fictis, Prophetarum more, diuinam exprimentibus similitudinem, ad deiformitatem conformantur (Grecè ἀποτυποῦσι, pro ἀποτυπούσαις, masculinũ pro feminino posuit, Atticorum more, sicut κλυτὸς Ἱπποδάμεια,) sed dicuntur contemplantes, tamquam ipsi verè appropinquantes, sine sacris efformationibus. hoc enim est in primariâ participatione cognitionis, quasi immediatè & citra symbola similitudinem effigiantia. Quid enim illis conferat sapphirus, & electrũ, & quidlibet generis eiusdem, ad diuinæ coruscationis contemplationem, cùm eius immediatè participent cognitionem? Quomodo autem cognitio atque contemplatio ad deiformitatem assimilat cognoscentem? quia contemplans admiratur, admirans desiderat, desiderans expiatur, expiatus verò pro conditione cælestium essentiarum cognoscit expiationem, &, sicut suprà dictum est, Deiformis efficitur, & ad deiformitatem assimilatur. Quomodo verò etiam ad Dei-imitationem adducantur, tradit. Hoc ipsum verò etiam iis donatum est, ipsumque participant, non in totum, sed quantum fas est amicis eius virtutibus, quæ iuxta Prophetam cælum obtegunt, contemplantibus, ad quas per contemplationes adducuntur, in primæuâ scilicet virtute: nam illustrationem aliæ per alias accipiunt à Deo, sed ad ipsum intentionem, & contemplationem, & affectũ, ita dirigunt, ac si omnes essent primæ, vel in primæuo ac primo quasi ordinato; primæ enim ipsæ ordinatæ sunt. Similiter iterùm, etiam munus transfundendi illustrationem in inferiores, & in homines minimè cum inuidiâ vel aliquâ tenacitate faciũt, sed sine liuore & luculentissimè, ac si omnes essent primæ quæ illustrationem excipiunt: istiusmodi namque in egenos & dignos distributio, diuina quondam dicebatur imitatio; vti etiamnum dicitur, quòd secundùm hoc amicis Dei virtutibus communicet. Quemadmodum enim ea quæ Deum decet pulchritudo communicat secundùm dignitatem lumen

Quomodo Angeli transfundant illustrationes.

 suum;

PARAPHRASIS PACHYMERÆ.

suum; ita etiam hæ sine inuidiâ plenissimeq; in eos qui merentur distribuunt illustrationẽ. Demum dicit, quomodo diuinæ virtutes perfectæ nominentur. Cùm itaque nos perficiamur per peritiam resoluendi, explanandi scilicet & explicandi, & adducendi sacram varietatem, symbolicorum videlicet spectaculorũ, institutionis, diuinæ virtutes nequaquam hoc modo initiantur, sed quasi à primâ, & nequaquam mediis signis, supereminente Deitate replentur, secundùm illam summam scientiam operum Dei, quem & omnis Hierarchia præceptorem scientiæ atque operationis habet. Quales porrò sunt diuinæ scientiæ & operationes, expiare, illuminare, perficere, quemadmodum in Angelis dixit, quoniam etiam in hominibus ista fiunt; verùm in his per aliam disciplinam traditur illuminatio atque perfectio. Hæ verò virtutes supremæ non ab aliis quibusdam sanctis spiritibus, sed ab ipsamet Diuinitate sacris initiantur, dum in ipsammet immediatè in virtute ordineque suo extenduntur: non enim ex ordine solùm habent quòd ad Deum extendantur, verùm etiam ex virtute. Hoc enim est quod etiam Gregorius Theologus ait, Nescio vtrùm ex splendore habeant ordinem, an ex ordine splendorem: etenim virtutem habent supereminentem, & ordinem eminentissimum & sublimissimum. Et idcircò, quatenus quidem virtutem habẽt, in eo quod omnino purum & inconcussum est stabiliuntur, & non cõquassantur; hoc enim est ἀῤῥεπὲς seu constans: quatenus verò ordinem habent sublimissimum, ad intellectilem decorem ac contemplationem adducuntur. Quantum autem fas & possibile est, scientificas etiam diuinorum operum rationes, tamquam primæ & quæ iuxta Deum sunt, ab ipsomet initiandi principio, id est Deo, erudiuntur.

§. 3. Hoc etiam Prophetæ perspicuè declarant. Quale hoc? quòd nimirum primi ordines ex Deo immediatè collustrentur, inferiores verò per superiores. Scripturisticas itaque dictorum adfert demonstrationes, quòd aliqui quidem Theologorum Prophetarum inferiores introducant à prioribus edoctas, eum qui humanâ specie ad cælos assumebatur, dicentibus cùm

Psal. 23, 10 interrogarent, *Quis est iste Rex gloriæ?* sicut in vigesimo tertio Psalmo Dauid ait, *Domi-*

φωτὸς, οὕτω καὶ αὗται πρὸς τοὺς ἀξίους μεταδιδόασι τῆς ἐλλάμψεως ἀφθόνως ταύτῃ καὶ πληρεστάτως. Ἤδη φησὶ καί, πῶς λέγονται τετελεσμέναι αἱ θεῖαι δυνάμεις. Ἐπεὶ τοίνυν ἡμεῖς τελούμεθα διὰ τῆς ἀναλυτικῆς ἐπιστήμης, τῆς ἐξαπλωτικῆς δηλονότι καὶ ἐξηγητικῆς καὶ ἀναγωγικῆς, τῆς ἱερᾶς ποικιλίας τῆς τῶν συμβολικῶν δηλονότι θεαμάτων μυήσεως, αἱ θεῖαι δυνάμεις οὐχ οὕτως τελοῦνται, ἀλλ' ὡς ἀποπληρούμεναι τῆς πρώτης καὶ οὐ τῆς διὰ μέσων συμβόλων ὑπερεχούσης θεώσεως κατὰ τὴν ὑπερτάτην τῶν ἔργων τοῦ Θεοῦ ἐπιστήμην, ὃν δὴ καὶ πᾶσα Ἱεραρχία καθηγεμόνα τῆς ἐπιστήμης καὶ τῆς ἐνεργείας ἔχει. Ποῖαι δὲ εἰσὶν αἱ θεῖαι ἐπιστῆμαι καὶ αἱ θεουργίαι, τὸ καθαίρειν, τὸ φωτίζειν, τὸ τελεῖν, ὡς ἐν Ἀγγέλοις δὲ εἶπεν, ἐπειδὴ αἱ τοιαῦται θεουργίαι καὶ ἐν ἀνθρώποις γίνονται, ἀλλὰ δι' ἑτέρας ἐπιστήμης ὁ φωτισμὸς δίδοται τούτοις καὶ ἡ τελείωσις. Αὗται δὲ αἱ ὑπερβεβηκυῖαι δυνάμεις οὐ δι' ἄλλων ἁγίων οὐσιῶν, ἀλλὰ παρ' αὐτῆς τῆς θεαρχίας μυσταγωγοῦνται ἐν τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι ἐν τῇ δυνάμει τούτων καὶ τάξει· οὐδὲ γὰρ ἐκ τάξεως μόνον ἔχουσι τὸ πρὸς Θεὸν ἀνατείνεσθαι, ἀλλὰ καὶ ἐκ δυνάμεως. Τοῦτο δέ ἐστιν ὅπερ λέγει καὶ ὁ Θεολόγος Γρηγόριος, Οὐκ οἶδα εἴτε ἐκ τῆς λαμπρότητος ἔχουσι τὴν τάξιν, εἴτε ἐκ τῆς τάξεως τὴν λαμπρότητα· καὶ γὰρ δύναμιν ἔχουσιν ὑπερέχουσαν, καὶ τάξιν ὑπερβεβηκυῖαν καὶ ἀνωτάτην. Καὶ διὰ τοῦτο, ὡς μὲν δύναμιν ἔχουσαι, πρὸς τὸ πάναγνον καὶ ἀῤῥεπὲς ἑδραιοῦνται, καὶ οὐ διασείονται, τοῦτο γάρ ἐστι τὸ Ἀῤῥεπές· ὡς δὲ τάξιν ὑψηλοτάτην, πρὸς τὴν νοητὴν εὐπρέπειαν καὶ θεωρίαν προσάγονται. Καθὼς δέ ἐστι θεμιτόν τε καὶ δυνατὸν, καὶ τοὺς ἐπιστημονικοὺς λόγους τῶν θεουργιῶν, ὡς πρῶται καὶ περὶ Θεὸν οὖσαι, παρ' αὐτῆς τῆς τελεταρχίας, δηλονότι τοῦ Θεοῦ, μυσταγωγοῦνται.

Τοῦτο δηλοῦσι καὶ οἱ Προφῆται σαφῶς. Τοῦτο ποῖον; ὅτι αἱ μὲν πρῶται τάξεις ἐκ τοῦ Θεοῦ ἀμέσως ἐλλάμπονται, αἱ δὲ ὑφειμέναι διὰ τῶν ὑπερβεβηκυιῶν. Ἀποδείξεις τοίνυν τῶν εἰρημένων τίθησι γραφικὰς, ὅτι τινὲς μὲν τῶν Θεολόγων Προφητῶν τὰς ὑποβεβηκυίας εἰσάγουσι μυουμένας παρὰ τῶν προτέρων, τὸν ἀνθρωποπρεπῶς εἰς οὐρανοὺς ἀναλαμβανόμενον, λεγουσῶν ἐν τῷ ἐρωτᾶσθαι, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; καθὼς ἐν τῷ εἰκοστῷ τρίτῳ Ψαλμῷ ὁ Δαβὶδ λέγει,

γει, Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης· ἄλλοι δραματουργοῦσιν αὐτὰς πρὸς αὐτὸν διαπορούσας τὸν Κύριον, καὶ γλιχομένας μαθεῖν τὸ τῆς ὑπὲρ ἡμῶν οἰκονομίας μυστήριον, τὸ ἔργον τὸ προσῆκον Θεῷ· τοῦτο γάρ ἐστιν ἡ θεουργία, ἡ ὑπὲρ ἡμῶν οἰκονομία· Θεοῦ γὰρ ὡς ἀληθῶς ἔργα ἦν τὰ κατὰ τὴν οἰκονομίαν πάντα. Ὁ Ἡσαΐας τοίνυν φησί, Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; καὶ, Ἵνα τί σου ἐρυθρὰ τὰ ἱμάτια; ἐκεῖνο πρὸς ἑαυτὰς, τοῦτο πρὸς τὸν σωτῆρα Χριστόν. Πρὸς ἃς ὁ Σωτὴρ πρωτοδότως καὶ αὐτὸς ἀφ᾽ ἑαυτοῦ, καὶ οὐ δι᾽ ἄλλου, ἐκφαίνει τὴν αὐτοῦ φιλάνθρωπον ἀγαθουργίαν. Ἐγὼ, γάρ φησι, διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου. Τέως δὲ, ἐπεὶ ἐκλαμβάνει τὰς ἐρωτώσας Δυνάμεις ὁ Ἅγιος, οὐκ ἄλλας τινὰς ὑποβεβηκυίας τάξεις, ἀλλ᾽ αὐτὰς τὰς ὑπερτάτας καὶ πρώτας, αἳ δὴ καὶ ἀμέσως τὰ τῆς θείας μαθητείας δέχονται, Θαυμάζω, λέγει, πῶς καὶ αἱ τῶν ἐπουρανίων οὐσιῶν πρῶται, καὶ πολὺ τόσον ὑπερκείμεναι τὰς ἄλλας πάσας, εὐλαβῶς καὶ αὗται ἐφίενται τῶν θεαρχικῶν ἐλλάμψεων, ὥστε μαθεῖν παρ᾽ ἀλλήλων, ὥσπερ ἂν ἦσαν μεσοταγεῖς, αἵπερ ἔμελλον παρὰ τῶν ὑψηλοτέρων λαμβάνειν τὴν ἔλλαμψιν. Καὶ γὰρ αἱ μέσαι, ὡς εἴπομεν, τὴν μὲν θεωρίαν καὶ αὗται ἀκλινῆ πρὸς τὸν Θεὸν ἔχουσι, καὶ τὴν ἔφεσιν· ὃ δὲ θεωροῦσαι ἀποροῦσι, τοῦτο παρὰ τῶν ὑψηλοτέρων μανθάνουσιν, ὥσπερ ἄν τις ὁλικὴν μὲν ἔχοι τῆς καρδίας τὴν τάσιν πρὸς τὸν βασιλέα, ἐφ᾽ ᾧ δὲ ἀπορεῖ θεώμενος, τὴν λύσιν λαμβάνει παρὰ τοῦ ὑπερέχοντος. Τοῦτο γοῦν κἀνταῦθα φαίνεται, ὥσπερ ἂν ἦσαν αἱ Δυνάμεις μεσοταγεῖς, καὶ ἔβλεπον μὲν πρὸς τὸν ἀνερχόμενον, ἀποροῦσαι δὲ ἐπεζήτουν τὴν λύσιν παρὰ τῶν ἄλλων, καθὼς αἱ θεῖαι δυνάμεις ἔχουσι τάξεως. Καὶ γὰρ, φησὶν, οὐκ αὐτόθεν ἐρωτῶσι τὸν Κύριον, Διά τί σου ἐρυθρὰ τὰ ἱμάτια; πρὸς ἑαυτὰς δὲ διαποροῦσι πρότερον, Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; λέγουσαι. Θαυμάσας τοίνυν, λύει τὴν ἀπορίαν ὁ Ἅγιος, λέγων, ὅτι ἐνδείκνυνται μὲν ὅτι τῆς μαθητείας γλίχονται, καὶ ἐφίενται γνῶναι τὴν θεουργίαν, τὸν τρόπον λέγω τῆς οἰκονομίας τὸν ἄρρητον, οὐ προπηδῶσι δὲ τὴν κατὰ θείαν πρόοδον ἐνδιδομένης ἐλλάμψεως, ὅτι τυχὸν εἰ καὶ ἡ πρώτη καὶ ὑπερτάτη τῶν ἄλλων τριὰς οἱ ἀπορῶντες ἦσαν, οὐκ εὐθέως ἠπόρησαν πρὸς τὸν Κύριον, ὅτι ἔμελλε καὶ ἡ τῆς ἐλλάμψεως πρόοδος κατὰ τά-

PARAPHRASIS PACHYMERÆ.

nus virtutum ipse est Rex gloriæ: alij personas earum inducunt circa ipsum Dominum dubitantes, ac discere cupientes mysterium dispensationis nostræ, quod opus Deo competit; quoniam nostra dispensatio, Dei operatio est: verè enim Dei opera erant quæcumque ad nostram spectabant dispensationem. Hinc Isaias ait, *Quis est iste qui venit ex* Isa. 63. 1
Edom? &, *Quare rubra sunt vestimenta tua?* Ibid. 2.
illud ad semetipsas, hoc ad Christum Saluatoré dixisse: quibus Saluator ipse per se primâ largitione, & non per alium, manifestat suam humanã beneficentiam. *Ego*, enim inquit, *qui loquor iustitiã, & iudicium salutaris.* Hactenus autem Sanctus, cùm hîc introducat Virtutes interrogantes, non aliquos alios ordines inferiores, sed ipsosmet supremos ac primos, qui etiã immediatè diuinas disciplinas excipiunt, Miror, inquit, quomodo etiam ipsæ primæ cęlestium essentiarum, tantumque ceteris præstantes, diuinarum illustrationum desiderio ita reuerenter afficiantur, vt discant etiam ab inuicem, ac si medij ordinis essent, quæ à sublimioribus illustrationem accipere deberent. Etenim mediæ, vt dicebamus, contemplationem quidem & ipsæ indeficientem ad Deum habent, propensionemque: quod autem contemplantes dubitant, hoc à sublimioribus addiscunt, veluti si quis toto quidem cordis affectu feratur in Regem, de eo autem quod videns dubitat, solutionem accipiat à præfecto. Idem omnino etiam hîc apparet, ac si Virtutes essent medij ordinis, & viderent quidem ascendentem, dubitantes autem solutionem peterent ab aliis, secundùm ordinem quem diuinæ Virtutes habent; neque enim illicò, inquit, Dominum interrogãt, *Quare rubra sunt vestimenta tua?* sed priùs secũ hæsitant attonitę, dicẽtes, *Quis est iste qui ascendit de Edom?* Admirans tandem Sanctus ipse dubium soluit, aiens, declarari quidem illas discendi auidas, & desiderare scire diuinam operationem, modum inquam ineffabilem dispensationis, attamen diuinam indultæ sibi illustrationis processionem minimè præuenire, quòd nimirum, licet fortè primus ille Virtutum ternio hæsitaret, non tamen illicò dubitaret circa Dominum, quoniam futurum erat, vt illustrationis

pro-

PARAPHRASIS PACHYMERÆ.

processus secundùm ordinem obtingeret supremis illis tribus ordinibus. Quid igitur mirum, si Cherubim accesserint ad Seraphim, vel hi ad Thronos? cùm futurum esset, vt his prima illustratio obtingeret, atque ita per eos Cherubinis. Vt quid igitur præuenirent, & non secundùm diuinam processionem illustrationem expectarent? Absoluit deinde suam quæstionem. Erat autem hæc; quam putaremus esse Hierarchiam primarum essentiarum. Prima igitur cælestium intelligentiarum Hierarchia non ab aliâ virtute, sed ab ipsomet initiandi principatu mysticâ diuinaq; illustratione consecrata gubernataque, hoc ipso quo ad primarum istarum mentium cælestium Hierarchiam surrigitur, sanctissimâ quidem purgatione referta expiatur, & immenso infinitoque lumine denuò repleta, illustratur, perfectissimaq; consecratione iterùm plena, secundùm ordinis conditionem perficitur. Hanc enim Hierarchiam suprà vocabamus expiationem, illuminationem, & perfectionem seu cõsecrationem. Est autem istiusmodi primarum mentium cælestium Hierarchia, omnis cùm vilitatis tum subiectionis expers (siquidem Throni eminent) & primæ lucis plena, quoniã Incensores appellantur Seraphim; nec non primæ scientiæ cognitionisq; particeps, vt ex nomine patet Cherubini. Verumenimuerò haud propriè hæc cuilibet conueniunt, sed omnia singulis secundùm ipsis à Deo datam gratiam. Et propterea primùm Thronorum proprietatem exposuit, secundo loco Seraphinorum, & posteà medio loco Cherubinorum, ita vt medius quodammodò ab extremis concludatur, vnusque ordo fiat. Quocircà etiam dicitur sublimitas eorum omnis deiectionis expers, & lumen primum, & scientia primitus data; quoniam tres isti ordines in vnum coëunt, & vnus quidam perficitur ternarius, qui in communi possidet eleuationem, supra omnem submissionem sublimitatem, primariũ lumen, & primitus datam cognitionem. Hoc igitur modo de primâ dispositione sentiendũ est, quia tres isti ordines in vnum coadunantur, & quæ propriè per gratiam indulta sunt, in communi primarioq; possident. Atque hic ordo primus nuncupatur, vti ex huius septimi capitis inscriptione videre licet: primã enim Hierarchiam trium horum simul ponit. Ecquid, inquit, dico,

ξιν γίνεσθαι τοῖς ὑπερτάτοις τρισὶ τάγμασι. Τί οὖν ξένον, εἰ τὰ Χερουβὶμ διηπόρησαν πρὸς τὰ Σεραφίμ, ἢ ταῦτα πρὸς τοὺς Θρόνους; τῆς ἐλλάμψεως μελλούσης γίνεσθαι πρώτης εἰς τούτους, εἶθ' οὕτως καὶ δι' αὐτῶν εἰς τὰ Χερουβίμ. Ἵνα τί γοῦν προεπηδήσαιεν, καὶ μὴ τὴν κατὰ θείαν πρόοδον ἔλλαμψιν ἀναμείνειαν; Συμπεραίνει ἐντεῦθεν τὸ ζήτημα αὐτοῦ. Ἦν δὲ τὸ ζήτημα αὐτοῦ, τίνα οἰόμεθα τὴν τῶν πρώτων οὐσιῶν Ἱεραρχίαν. Οὐκοῦν τοίνυν ἡ πρώτη τῶν οὐρανίων νόων Ἱεραρχία οὐ παρ' ἄλλης δυνάμεως, παρ' αὐτῆς δὲ τῆς τελεταρχίας, τῆς μυστικῆς καὶ θείας ἐλλάμψεως ἱεραρχουμένη καὶ οἰκονομουμένη, ἐν τῷ ἐπ' αὐτὴν δὴ τὴν τῶν πρώτων οὐρανίων νόων Ἱεραρχίαν ἀνατείνεσθαι, τῆς παναγίας μὲν καθάρσεως πληρουμένη καθαίρεται, τοῦ ἀπλέτου δὲ καὶ ἀπείρου φωτὸς πάλιν πληρουμένη, φωτίζεται, τῆς περιτελείου τελεσιουργίας πάλιν πληρουμένη, κατ' ἀναλογίαν τῆς τάξεως τελεσιουργεῖται. Ταύτην γὰρ τὴν Ἱεραρχίαν προεθέμεθα, κάθαρσιν, φωτισμὸν, καὶ τελείωσιν. Ἔστι δὲ ἡ τοιαύτη Ἱεραρχία τῶν πρώτων οὐρανίων νόων, καὶ πάσης ὑφέσεως καὶ ὑποβιβασμοῦ ἀμιγὴς (οἱ γὰρ Θρόνοι ἐξαίρονται) καὶ πρώτου φωτὸς πλήρης, Ἐμπρησταὶ γὰρ τὰ Σεραφὶμ λέγονται· καὶ πρωτοδότου ἐπιστήμης καὶ γνώσεως μέτοχος, τοιαῦτα γὰρ τὰ Χερουβίμ. Πλὴν οὐκ ἰδίως ἑνὶ ἑκάστῳ ταῦτα, ἀλλὰ πάντα πᾶσι κατὰ τὴν ἀπὸ Θεοῦ πρὸς αὐτὰς χάριν. Διὰ τοῦτο καὶ πρώτως τὴν τῶν Θρόνων ἰδιότητα εἶπε, δευτέραν δὲ τὴν τῶν Σεραφίμ, καὶ εἶθ' οὕτως τὴν τῶν μέσων αὐτῶν Χερουβίμ, ὥσπερ εἰλημμένου τοῦ μέσου διὰ τῶν ἄκρων, καὶ μιᾶς γινομένης τάξεως. Διὰ τοῦτο λέγεται καὶ τὸ ὕψος τούτων πάσης ὑφέσεως ἀμιγὲς, καὶ τὸ φῶς πρῶτον, καὶ ἡ γνῶσις πρωτόδοτος, ὅτι καὶ τὰ τρία τάγματα εἰς μίαν συνάγονται τάξιν, καὶ μία τις ἀποτελεῖται τριὰς, κοινὸν καὶ τὸ ὑπερηρημένον, καὶ πάσης ὑφέσεως ὑψηλότερον, κοινὸν καὶ τὸ πρῶτον φῶς, κοινὴν καὶ τὴν πρωτόδοτον γνῶσιν ἔχουσα. Διὰ τοῦτο τοίνυν οὕτως ἔχει νοεῖν ἐπὶ τῇ πρώτῃ διακοσμήσει, ὅτι τὰ τρία τάγματα εἰς μίαν τάξιν συνάγονται, καὶ τὰ ἰδίως ἀπονεμημένα τούτοις παρὰ τῆς χάριτος κοινῶς καὶ πρώτως ἔχουσι. Καὶ αὕτη ἡ τάξις πρώτη λέγεται, καθὼς καὶ ἀπὸ τῆς ἐπιγραφῆς τοῦ παρόντος ἑβδόμου κεφαλαίου ἐστὶν ἰδεῖν· πρώτην γὰρ Ἱεραρχίαν τὴν τῶν τριῶν ὁμοῦ τίθησι. Καὶ τί λέγω, φησὶν,

ὅτι

ὅτι πληρουμένη καθάρσεως, καθαίρεται· καὶ φωτισμοῦ, φωτίζεται· καὶ τελεσιουργίας, τελεσιουργεῖται; τοῦτο γὰρ καὶ παρατεταμένην ἔχει τὴν πρᾶξιν, καὶ οἷον ἀτελοῦς τινος κινήσεως ἔννοιαν δίδωσιν. Ἀλλὰ συνελὼν λέγω, καὶ τάχα οὐκ ἀπεικότως, αὐτὸ τὸ προσεγγίσαι καὶ μεταλαβεῖν τῆς θεαρχικῆς ἐπιστήμης. Ἐπιστήμην δὲ καλεῖ τὰ τρία ταῦτα, τὴν κάθαρσιν, τὸν φωτισμὸν, τὴν τελείωσιν· ὅτι καθ᾽ ἕξιν, μᾶλλον δὲ καὶ ὑπὲρ ἕξιν ἀρρήτως ταῦτα πρόσεισι τῷ Θεῷ. Αὐτὸ γοῦν τὸ μεταλαβεῖν τῆς θείας ἐπιστήμης, κάθαρσίς ἐστι, καὶ φωτισμὸς, καὶ τελείωσις, ἀγνοίας μὲν ἀποκαθαίρουσα ἐν τῇ γνώσει τῶν τελειοτέρων μυήσεων κατὰ τὴν τάξιν τῆς στάσεως (ἄλλας γὰρ ἔχει τελειοτέρας μυήσεις τὰ Σεραφὶμ, καὶ ἄλλας οἱ Ἄγγελοι· τυχὸν γὰρ ἃς ἔχουσι τελειοτέρας καὶ ὑψηλοτέρας ἐλλάμψεις οἱ Ἄγγελοι, ταύτας τὰ Σεραφὶμ ἑκτικῶς κατέχει παρὰ τῆς θείας χάριτος) φωτίζουσα δὲ ἐν αὐτῇ ταύτῃ τῇ γνώσει, δι᾽ ἧς καὶ καθαίρει τὴν οὐ πρότερον κατανοήσασαν δύναμιν, ἐκεῖνα, ἅπερ νῦν γινώσκει διὰ τῆς ὑψηλοτέρας ἐλλάμψεως· καὶ τελειοῦσα πάλιν ἐν αὐτῷ τῷ φωτὶ ἐν τῇ καθ᾽ ἕξιν γνώσει τῶν ὑψηλῶν καὶ λαμπροτάτων νοήσεων. Σὺ δὲ ὅρα, ὅτι ἐν τῇ γνώσει καὶ καθαίρεται καὶ φωτίζεται ἡ οὐρανία δύναμις· ἐν δὲ τῷ φωτισμῷ, ὅταν καθ᾽ ἕξιν φωτισθῇ, καὶ ἀμετάβλητος καὶ ἀμετακίνητος ἐν ἐκείνῳ μείνῃ, τότε δὴ τελειοῦται. Διὰ τί δὲ καὶ ἐν τῇ καθ᾽ ἕξιν καθάρσει οὐ τελειοῦται, εἰ μὴ ἐν τῷ καθ᾽ ἕξιν φωτισμῷ; διότι ἡ μὲν κάθαρσις τὰς ἀγνοίας ἀποκαθαίρει, καὶ οὐ πᾶς καθαρθεὶς ἤδη καὶ εἰς τὸ ἄκρον πέφθακε. τῷ δὲ καθαρθέντι ὁ φωτισμὸς ἐπεισερχόμενος τελειοῖ, ὅπερ ἐστὶ τελειότερος φωτισμός τε καὶ ἔλλαμψις. Τοιοῦτον γάρ ἐστι καὶ τὸ, Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, δηλονότι ἐν τῷ φωτισμῷ τὴν τελείωσιν.

Αὕτη μὲν οὖν ἐστιν, ὡς κατ᾽ ἐμὴν θεωρίαν καὶ γνῶσιν εἰπεῖν, ἣν καὶ ἐπιστήμην λέγει, ἀπὸ τῶν προκειμένων λόγων, περὶ τῶν οὐρανίων δυνάμεων· ὅτι τῇ καθ᾽ ἕξιν ἐπιστήμῃ μυεῖται τὰ φανότατα ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις, ἡ κύκλῳ Θεοῦ καὶ περὶ Θεὸν ἀμέσως ἑστηκυῖα. Καὶ σημειωτέον, ὅτι οὐ δίδωσιν ἡ Θεολογία ταῖς θείαις Δυνάμεσι τὴν ἐπ᾽ εὐθείας, ἀλλὰ τὴν κύκλῳ στάσιν, κατὰ τὸ, Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. Τὴν δὲ κίνησιν καὶ κυκλικὴν δίδωσι, καὶ κατ᾽ εὐθεῖαν, καὶ ἑλικοειδῆ, ὡς αὐτός

quòd expiatione plena expietur, & illustratione plena illuminetur, consecrationeq; plena perficiatur? hoc enim extensam habet operationẽ, & quasi imperfecti cuiusdã motus sensum ingerit. Verùm summatim dico, & fortè non immeritò, id ipsum esse appropinquare & cõmunicare diuinæ scientiæ. Scientiam autem vocat hæc tria, scilicet expiationem, illuminationem, perfectionem; quoniam secundùm habitum, vel potiùs supra habitũ, ineffabiliter ista sunt in Deo. Ipsamet itaq; participatio diuinę scientiæ, expiatio est, & illuminatio atque perfectio, ignorantiam quidem expians notitiã perfectiorum institutionum secundùm ordinem status (nam alias perfectiores institutiones habent Seraphim, & alias Angeli; fortassis enim perfectiores ac sublimiores illustrationes quas Angeli habent, easdem Seraphim diuinâ gratiâ habitualiter continent) illuminans verò eâ ipsâ notitiâ, quâ expiat virtutem illam, quæ priùs non cognoscebat ea quæ nunc cognoscit per sublimiorẽ illustrationem; atque perficiens rursum eodẽ lumine in scientiâ habituali sublimiorum & illustrissimarum intelligẽtiarum. Tu verò considera, quomodo cælestis virtus cognitione & expietur & illuminetur, in illuminatione autem, quando secundùm habitum illuminata fuerit, immutabilisque & inuariabilis in eâ permanserit, perficiatur. Vt quid autem habituali expiatione quoq; non perficitur, sed tantùm in habituali illuminatione? quoniam expiatio quidem purgat ignorantias, & non omnis expiatus statim ad summum peruenit, sed expiatum illuminatio superueniens perficit, ea nimirum quæ perfectior est illuminatio & illustratio. Istiusmodi enim est & illud, *In lumine tuo videbimus lumen*, nempe in illuminatione perfectionem. Pf. 35, 10.

Quid expiatio, illuminatio & perfectio in Angelis.

§.4. Hæc itaque, secundùm meam quidem speculationem ac notitiam loquendo, est ea quam & scientiam appellat, à propositis circa cælestes virtutes rationibus; quoniã habituali scientiâ res præclarissimas edocetur illa prima cælestium essentiarum distributio, quæ in circuitu Dei ac circa Deum immediatè consistit. Atq; notandum, quòd Theologia diuinis Virtutibus tribuat non rectam, sed in circuitu stationem, iuxta illud, *In circuitu eius tabernaculum ipsius*. Motum autem etiam orbicularem tribuit, & rectum, & obliquum, vt in capite Pf. 17, 12.

O quar-

PARAPHRASIS PACHYMERÆ.

quarto libri de Diuinis nominibus tradit: orbicularem quidem, quando principio carentibus pulchri boniq; ſplendoribus vniuntur, & ad Deum vergunt: rectum autem, quando ad inferiorum prouidentiã procedunt, tunc enim rectè ad ea tendunt: obliquum verò, dum inferioribus conſulentes, indiuulſæ ſuæ immanent idemtitati, circa cauſam idemtitatis pulchrum & bonum inceſſanter circumgyrantes. Ille enim Angelorum circuitus, eſt perpetua Dei cognitio, quæ perpetuo motu circulariter in eodem ſtabilita eſt, iuxta illud Iſaiæ, Et *Seraphim ſtabant* in circuitu eius; & proſequẽdo ait, *Et duabus alis volabant*. Quomodo itaq; ſtant ſimul & mouentur? manifeſtũ vtique, quòd in eodem quidem conſiſtant, moueantur verò ad illam illuſtrationẽ. Quemadmodum enim vniuerſum hoc, vt ſic dicam, eo ipſo dum circulariter mouetur, pariter perpetuò mobile eſt, & immobile; immobile quidẽ, ſecundùm totum, non enim de loco ad locum migrat; perpetuò verò mobile, ſecundùm partes: ita cæleſtem quoque circuitum intelligit. nam & ipſe quoque perpetuo motu ſtabilitur, ac ſi fixus maneret circa idem ſemper conuerſus, eoque vergens, quod numquam fit in motu recto. Cùm itaq; ad diuinum Numen hoc modo ſemper vergat, multas quidem & beatas videt contemplationes, idque purè, ſecundùm habitũ ſuum, non ſecundùm diuinorum radiorum euibrationem, vt in ſe ſunt, quandoquidem hi quoq; obuelentur, ſecundùm Scripturas Prophetarũ. Sed ſicut is qui ſanos habet oculos, ſolem purè videt omnino ſecundùm ſuum habitum, nullo, quantum eſt ex parte oculorum, eius impedimento interueniente; ſed ſi quod obſtaculum ſit, id accidit emiſſioni radiorum ſolis, vt quæ nequeat plenè oculis ſe immittere: idem cogita etiam in virtutibus diuinis. Atq; ita quidem purè contemplationes intuetur, illuſtratur autem ſimplicibus & immediatis coruſcationibus, & nequaquã mediantibus ſymbolis, quæ priùs vocauit compoſitiones. Satiatur porrò diuino cibo, multo ſimul, & vno: multo, ſecundùm diffuſionem; vno, quia minimè varia eſt & vnifica comeſtio. Comeſtio autẽ cibuſq; Angelorum, eſt illuſtratio & eruditio: ſi enim etiã eruditio cibus nutrientis appellatur, iuxta Theologum magnumq; Gregorium, multò magis etiã eruditio cibus eruditi dici poſſit. Quomodo au-

Quid in Angelis motus circularis, rectus, & obliquus.
Iſa. 6, 2.

Quis ſit cibus Angelorum.

φησὶν ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ περὶ θείων ὀνομάτων βιβλίου· κυκλικὴν μὲν, ὅτε ταῖς ἀνάρχοις ἑνοῦνται τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐλλάμψεσι, καὶ εἰς Θεὸν ῥέπουσι· τὴν ἐπ' εὐθείας δὲ, ὁπόταν προΐωσιν εἰς τὴν τῶν ὑφειμένων πρόνοιαν, τότε γὰρ εὐθέως πρὸς ἐκεῖνα περαίνονται· ἑλικοειδῆ δὲ, ὅταν καὶ προνοοῦντες τῶν καταδεεστέρων ἀνεκφοιτήτως μένωσιν ἐν ταυτότητι, περὶ τὸ τῆς ταυτότητος αἴτιον καλὸν καὶ ἀγαθὸν ἀκαταλήκτως περιχορεύοντες. Τοῦτο γάρ ἐστι καὶ τὸ τῶν Ἀγγέλων περιχόρευμα, ἡ αἰώνιος περὶ Θεοῦ γνῶσις, ἡ κατὰ κύκλον ἀεικινήτως ἱδρυμένη εἰς τὸ αὐτὸ, καὶ τοῦτο ἐκ τοῦ Ἡσαΐου, Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· καὶ προκατιὼν, Ταῖς δυσὶν ἐπέταντο, φησί. Πῶς τοίνυν ἵστανται ἅμα καὶ κινοῦνται; δῆλον οὖν ὅτι ἵστανται μὲν περὶ τὸ αὐτὸ, κινοῦνται δὲ πρὸς ἐκείνην τὴν ἔλλαμψιν. Ὡς γὰρ τὸ πᾶν τοῦτο, φέρε εἰπεῖν, ἐν τῷ κύκλῳ κινεῖσθαι, καὶ ἀεικίνητόν ἐστι, καὶ ἀκίνητον· ἀκίνητον μὲν, κατὰ τὸ ὅλον, οὐ γὰρ ἐκ τόπου εἰς τόπον μεταβαίνει, ἀεικίνητον δὲ, κατὰ τὰ μέρη· οὕτω πως νόει καὶ τὴν οὐρανίαν περιχόρευσιν· καὶ γὰρ καὶ αὕτη ἀεικινήτως ἵδρυται, οἱονεὶ παγία μένει, περὶ τὸ αὐτὸ ἀεὶ στρεφομένη, κἀκεῖσε νεύουσα, ὅπερ οὐκ ἂν γένοιτο πώποτε ἐπὶ τῆς ἐπ' εὐθείας κινήσεως. Τοίνυν καὶ ἐπεὶ τοιουτοτρόπως πρὸς τὸ Θεῖον ἀεὶ νεύει, πολλὰς μὲν καὶ μακαρίας ὁρᾷ θεωρίας, καθαρῶς κατὰ τὴν ἑαυτῆς ἕξιν, οὐ κατὰ τὴν θείαν ἀκτινοβολίαν, καθὼς ἔχει, ἐπεὶ καὶ περικαλύπτονται, κατὰ τὰς τῶν Προφητῶν θεολογίας. Ἀλλ' ὡς βλέπει ὁ τοὺς ὀφθαλμοὺς ὑγιαίνων, τὸν ἥλιον καθαρῶς, πάντως κατὰ τὴν ἑαυτοῦ ἕξιν, οὐδενὸς ἐμποδὼν γινομένου ὅσον ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ, ἀλλ' εἴ τι ἂν εἴη τὸ ἐμπόδιον, τῆς τοῦ ἡλίου ἀκτινοβολίας ἐστὶν, ὡς μὴ φύσιν ἐχούσης πληρεστάτως ἐπιπολάζειν τοῖς ὀφθαλμοῖς· τοῦτο νόει καὶ ἐπὶ τῶν θείων δυνάμεων. Καὶ οὕτω μὲν καθαρῶς τὰς θεωρίας ὁρᾷ, ἐλλάμπεται δὲ τὰς ἁπλᾶς καὶ ἀμέσους μαρμαρυγὰς, οὐ τὰς διὰ μέσων συμβόλων, ἃς δὴ καὶ συνθέσεις πρώην ἐκάλεσεν. Ἀποπληροῦται δὲ τῆς θείας τροφῆς, πολλῆς ἅμα, καὶ μιᾶς· πολλῆς, κατὰ τὴν χύσιν, μιᾶς, ὅτι ἀποίκιλτος καὶ ἑνοποιὸς ἡ ἑστίασις. Ἑστίασις δὲ καὶ τροφὴ τῶν Ἀγγέλων, πάντως ἡ ἔλλαμψις καὶ ἡ μάθησις· εἰ γὰρ καὶ ἡ μάθησις τροφὴ τοῦ τρέφοντος λέγεται κατὰ τὸν Θεολόγον καὶ μέγαν Γρηγόριον, πολλῷ γε μᾶλλον καὶ ἡ μάθησις τροφὴ ἂν τοῦ τρεφομένου λέγοιτο. Πῶς

PARAPHRASIS PACHYMERÆ.

δὲ ἡ ἑστίασις ἀποίκιλτος καὶ ἑνοποιός; ὅτι ἁπλῆ, καὶ οὐκ ἐξ ἄλλων καὶ ἄλλων συγκειμένη, νῦν μὲν τυχὸν νοστίμων, νῦν δὲ οὐ τοιούτων, ἀλλ' ὅλη νόστιμος, καὶ ἀγαθή, καὶ θεοποιός, καὶ ἀγνοοῦσα καθόλου τὸν ἴλιγγον, καθὼς καὶ πρόσθεν ἐλέγομεν. Οὐ χεῖρον δὲ καὶ τὴν τοῦ νοῦ κυκλικὴν κίνησιν καταμαθεῖν. Λέγομεν τοίνυν, ὅτι πᾶν τὸ νοοῦν, ἢ νοῦς ὂν νοεῖ, ἢ νοῦν ἔχον· ὁ μὲν νοῦς ὤν, πρώτως νοεῖ· τὸ δὲ νοῦν ἔχον, δευτέρως νοεῖ. Καθ' ὃ γοῦν νοῦς ὢν νοεῖ, κινεῖσθαι λέγοιτο ἄν· καθ' ὃ δὲ ἀνακάμπτων καὶ περὶ αὑτὸν γινόμενος, ἑαυτὸν νοεῖ, καὶ τὸ πρὸ αὐτοῦ ἐξ οὗ συνέστη, κυκλικὴ ἐπινοεῖται ἡ κίνησις. Ὡς οὖν ἐκ Θεοῦ βουληθέντος προβληθείς, περὶ τὴν τοῦ Θεοῦ ἔφεσιν καὶ ἀγάπην, ὡς περὶ κέντρον, ἕσται· οὐ γὰρ ἑνοῦται τὰ δεύτερα τοῖς πρὸ αὐτῶν, ἀλλὰ χορείᾳ τινὶ τὸ γινόμενον ἔοικε· κυκλικῶς γὰρ τῶν γεννωμένων, τῶν γεννώντων ἐπιδράττεσθαι ἐφιεμένων· μόνον δὲ περιαθροιζόντων, καὶ τοῦ ἐκεῖθεν κάλλους ἀποπληρουμένων. Τὸ οὖν ἐν τῇ νοήσει πρὸς τὸ πρὸ ἑαυτοῦ ἐπεστραμμένον, κυκλικῆς κινήσεως ἔννοιαν εἰσάγει. Ἐπεὶ οὖν πανταχοῦ τὸ Θεῖον, τὰ πανταχοῦ αὐτῷ συνακολουθοῦντα, καὶ αὐτὸ νοεῖν ἀεὶ ἐθέλοντα, ἐπὶ τούτῳ ἀγάλλονται καὶ περιχορεύουσιν, ὥσπερ τῇ νοήσει κυκλούμενα. Λέγεται γοῦν νοῦς ἐν ἑαυτῷ εἶναι, καὶ πρὸς ἑαυτὸν σπεύδειν· ᾧ μὲν οὖν ἐν ἑαυτῷ ἐστι, στάσιν ἔχει· κατὰ δὲ τὸ πρὸς ἑαυτὸν σπεύδειν, κινεῖται, μὴ βουλόμενος διαχεῖσθαι εἰς τὰς προσύλους καὶ ἀλλοτρίας αὐτοῦ νοήσεις. Κατὰ μὲν οὖν τὸ ταυτοκίνητον, κινεῖται· κατὰ δὲ τὴν οὐσίαν, στάσιν, ἀλλ' οὐ κίνησιν ἔχει. Ἔστι τοίνυν καὶ ἐπὶ τῶν θείων καὶ οὐρανίων νόων ὁρμὴ καὶ κίνησις, ἡ πρὸς τὸ Θεῖον ἔφεσις, καὶ ἡ περὶ αὐτὸ ὡς περὶ κέντρον κυκλικὴ χορεία, ὡς ἡ τοῦ κύκλου περὶ τὸ σημεῖον ἤτοι κέντρον, ἀφ' οὗ συνέστη. Καὶ γὰρ καὶ κατὰ φυσικὴν ἀνάγκην ἕκαστον τῶν ὄντων τὴν περὶ τὸν Θεὸν χορεύει χορείαν, ἐφιέμενον τοῦ αἰτίου κατὰ τὸ εἶναι. Οὕτως οὖν περὶ τὸν πάντων Βασιλέα πάντα ἐστί, καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο ἁπάντων καλῶν αἴτιον. Ἐπεὶ νεύει πρὸς Θεόν, πολλῆς κοινωνίας καὶ συνεργίας ἠξίωται, ἐν τῇ πρὸς αὐτὸν ὡς ἐφικτὸν ἀφομοιώσει· ἐπεὶ γὰρ ἐν Θεῷ ἕξις ἐστὶ καὶ ἐνέργεια, δηλονότι τὸ

tem hæc comestio minimè varia & vnifica? quia simplex est,& non ex alijs atque aliis cõposita, modò quidem fortè dulcibus, modò verò non talibus; sed tota dulcis est,& bona, & deifica, & omnino nesciens vertiginem, sicut etiam antè dicebamus. Neque verò minoris momenti est,circularem motum cognoscere. Dicimus itaque quoad intellectũ, quidlibet intelligere vel vt intellectus est, vel in quantum habet intellectum. Qui quidem intellectus est, primariò intelligit; qui verò intellectum habet,secundariò intelligit. In quãtum itaque intelligit vt intellectus est, dici posset moueri; in quantum verò actu reflexo se recolligẽs semetipsum intelligit,& id à quo proficiscitur circularis motus intelligitur. Itaque cùm ex Deo volente profectus sit, circa Dei desiderium & dilectionem, tamquã circa centrũ, versabitur: non enim vniuntur secunda prioribus, sed quod factũ est,cuidã choreæ comparatur, dum nimirum ea quæ producta sunt,productores suos complecti cupiunt; solùm autem in circuitu congregantur, atque inde pulchritudine replentur. Quod itaque intelligendo ad id,à quo processit,conuertitur, circularis motus intelligentiã introducit. Cùm igitur diuinũ Numen sit vbique, ea quæ vbiq; ipsum insequuntur, ipsumque semper intelligere desiderant,in hoc exultãt, & choreas ducunt,vtpote intelligendo circumgyrantia. Dicitur itaque mens in semetipsâ esse, & ad se ipsam properare: atque eo quidem quòd in se ipsâ est, statum habet; in quantum verò ad semetipsam properat, mouetur, nolens effundi in terrenas & alienas à se intelligentias. itaque secundùm id quidem quod se mouet, mouetur,secundùm substantiam autem statum, sed non motum,habet. Est igitur etiam in diuinis cælestibusque mentibus impetus quidam ac motus,illud ad diuinum Numen desiderium, atque illa circum ipsum, tamquam circumcirca cẽtrum, chorea, non secùs ac circuli circum punctum seu cẽtrum à quo deductus est. Enimuerò etiam secundùm necessitatem naturalem res quælibet circa Deum choream ducit, dum causam suam ambit secundùm esse. Hoc vtiq; modo circum Regem omnium sunt omnia,& propter ipsum sunt vniuersa, ipseq; auctor est omnium bonorum. Quando aliquis ad Deum vergit, multâ eius communione cooperationeque dignus efficitur, per eam quæ cum ipso fieri potest assimilationẽ: cùm enim in Deo habitus est & opera-

Quid sit motus & status in Angelis.

PARAPHRASIS PACHYMERÆ.

tio, ſcilicet puritas & expiatio, lumen & illuminatio, perfectio & id quod perficit (quorum alterum quidem habitus eſt, alterum autem operatio) mens quoque bonorum habituum communione digna redditur, vt & ipſa per gratiam pura, lux, & perfecta ſit: quin & in partem venit cooperationis, dum & ipſa purgat, & illuminat, & perficit: multa quoque cognoſcit, ſed eminenter, & non ſecũdùm hominem, &, quoad fieri poteſt, diuinæ ſcientiæ cognitioniſque particeps efficitur. Quamobrem quòd multa cognoſcat, hymnos quoq; Theologia terrigenis tradidit: niſi enim crediidiſſent, nequaquam laudes ceciniſſent; & niſi ſecundùm ſuperiorem partem illuſtrati fuiſſent, nequaquam vox eorũ, ſenſibiliter loquendo, fuiſſet quaſi vox aquarum multarum. clamant enim, iuxta diuiniſſimum

Ezech. 3, 12. Ezechielẽ, *Benedicta gloria Domini de loco ſuo:* atque alij celeberrimum illud venerationeq; pleniſſimum diuinæ laudis canticum proclamant,

Iſa. 6, 3. *Sanctus, Sanctus, Sanctus Dominus* ſabaoth, *plena eſt omnis terrâ gloriâ* tuâ. Has autẽ ſublimiſſimas cæleſtium virtutũ hymnologias iam pridẽ in Tractatu de Diuinis hymnis examinauimus & explicuimus, ibidemq; de iis ſatis ſuperq; pro modulo noſtro dictũ eſt: è quibus ſermonibus ſufficiat in præſentiarum, hoc dixiſſe, quòd prima diſtributio diuinum hoc laudum canticum, quoad fas erat, per illuſtrationem à diuinâ bonitate acceperit, ab eâ, inquam, Theologiâ ſeu diuinâ bonitate, quæ etiam boniformis Hierarchia & ordo exiſtit. Dicitur enim Hierarchia nõ tantùm ipſemet eorum habitus, & ſcientia, & operatio, ſed etiam ipſamet diſtributio: ſicut ſacerdotium, & ipſamet dignitas, & qui eam participant. ita dicimus, Sacerdotium hoc & illud beneficium accepit, & hoc & illud paſſum eſt. Itaque ordo iſtiuſmodi ac diſtributio, tamquam boniformis, Theologiam hanc inferioribus tranſmittit: ſiquidem hæc eſt boniformitas, vt quis alios boni ſui participes efficiat. Tranſſcripſit, inquam, illud explicando, vt ſic dicam, per epitomen & ſummatim; quòd omnino æquum & iuſtum ſit, ab omnibus Dei capacibus virtutibus cùm ſciri, tum decantari, quoad fieri poteſt, ipſam venerandam, & ſupra quàm laudandam, omnique laude dignam Deitatem, vt vno motu per omnia glorificetur: ſiquidem hi ſunt

καθαρὸν καὶ ἡ κάθαρσις, τὸ φῶς καὶ ὁ φωτισμὸς, τὸ τέλειον καὶ τὸ τελειοποιὸν (τούτων γὰρ, τὸ μὲν ἐστὶν ἕξις, τὸ δὲ ἐνέργεια) ἠξίωται καὶ αὕτη κοινωνίας τῶν καλῶν ἕξεων, ὡς εἶναι καὶ ταύτην, κατὰ χάριν, καθαρὰν, καὶ φῶς, καὶ τελείαν· ἠξίωται καὶ συνεργίας, ὡς καθαίρειν καὶ ταύτην, καὶ φωτίζειν, καὶ τελειοῦν· πολλὰ δὲ γινώσκει, ἀλλ' ὑπερκειμένως, καὶ οὐ κατὰ ἄνθρωπον, καὶ ἐν μετουσίᾳ τῆς θείας ἐπιστήμης καὶ γνώσεως, καθ' ὅσον ἐστὶ, γίνεται. Διὸ ὡς πολλὰ γινωσκούσης αὐτῆς, καὶ ὕμνους ἡ Θεολογία τοῖς ἐπὶ γῆς παραδέδωκε· εἰ μὴ γὰρ ἐπίσταντο, οὐκ ἂν ὕμνουν· καὶ εἰ μὴ ἐνελάμποντο κατὰ τὸ ὑπερέχον, οὐκ ἂν ἡ φωνὴ τούτων ἦν, αἰσθητῶς εἰπεῖν, ὡς φωνὴ ὑδάτων πολλῶν. ἀναβοῶσι γὰρ, κατὰ τὸν θεοληπτικώτατον Ἰεζεκιὴλ, Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ· καὶ ἄλλοι τὴν πολυύμνητον Θεολογίαν ἀνακράζουσι τὸ, Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Ταύτας δὲ τὰς ὑψηλὰς ὑμνολογίας τῶν ὑπερουρανίων δυνάμεων, ἤδη μὲν ἐν τῷ περὶ Θείων ὕμνων συντάγματι, ὡς δυνατὸν, διηρευνήσαμεν καὶ ἐξηγησάμεθα, καὶ εἴρηται περὶ τούτων ἐκεῖσε, ὡς κατὰ τὴν ἡμετέραν δύναμιν, ἱκανῶς· ἀφ' ὧν λόγων ἀρκεῖ, κατὰ τὸ παρὸν, τοσοῦτον εἰπεῖν, ὅτι ἡ πρώτη διακόσμησις ἐλλαμφθεῖσα ταύτην δὴ τὴν τῶν ὕμνων Θεολογίαν, καθ' ὅσον ἐνεχώρει παρὰ τῆς τοῦ Θεοῦ ἀγαθότητος, ταύτης δὴ τῆς Θεολογίας, ὡς ἀγαθοειδὴς Ἱεραρχία καὶ τάξις· Λέγεται γὰρ Ἱεραρχία, μὴ μόνον ἡ τούτων ἕξις, καὶ ἐπιστήμη, καὶ ἐνέργεια, ἀλλὰ καὶ αὐτὴ δὴ ἡ διακόσμησις· ὥσπερ ἡ ἱερωσύνη, καὶ αὐτὴ ἡ ἀξία, καὶ οἱ μετέχοντες αὐτῆς. ὡς φαμὲν, πᾶσα ἡ ἱερωσύνη τὸ καὶ τὸ εὐηργετήθη, καὶ τὸ καὶ τὸ πέπονθε. Τοίνυν ἡ τοιαύτη τάξις καὶ διακόσμησις ὡς ἀγαθοειδὴς, ταύτης τῆς Θεολογίας τοῖς μετ' αὐτὴν μεταδίδωσι· τοῦτο γάρ ἐστι τὸ ἀγαθοειδὲς, τὸ κοινωνοὺς ποιεῖσθαι καὶ ἑταίρους τοῦ ἰδίου καλοῦ. Μεταδέδωκε γοῦν ἐκεῖνο ὑφηγουμένη, ὡς ἂν εἴπω, κατ' ἐπιτομὴν καὶ συντόμως· ὅτι πάντως θεμιτὸν καὶ δίκαιόν ἐστι, παρὰ πασῶν τῶν θεοδόχων δυνάμεων, καὶ γινώσκεσθαι, καὶ ὑμνεῖσθαι, πλὴν ὡς ἐφικτὸν, αὐτὴν δὴ τὴν σεβασμίαν καὶ ὑπερεύφημον καὶ πανεύφημον Θεότητα, ὡς ἂν ἐν μιᾷ κινήσει διὰ πάντων δοξάζηται· οὗτοι γὰρ

εἰσιν,

εἰσιν, ὡς Θεῷ πρέποντες, οἱ θεῖοι τόποι τῆς αὐτοῦ καταπαύσεως, καθὼς ἐν τῇ ἱερᾷ Γραφῇ λέγεται), Ποῖον οἶκον οἰκοδομήσετέ μοι; λέγει Κύριος· ἢ τίς τόπος τῆς καταπαύσεώς μου; αὐτοῦ τοῦ ἔχοντος δηλονότι τὰς ἁγίας καὶ μακαρίας οὐσίας τόπους, οἱονεὶ δεκτικοὺς τῆς αὐτοῦ λαμπρότητος· ὡς γὰρ ὁ τόπος δεκτικός ἐστι σώματος, οὕτω καὶ αὗται τῆς θείας λαμπρότητος. Πῶς δὲ, τῆς Γραφῆς ἁπανταχοῦ λεγούσης ἀπερίόριστον τὸ Θεῖον, (ὡς τὸ, Ὁ οὐρανὸς, θρόνος αὐτοῦ, ἡ δὲ γῆ, ὑποπόδιον· καὶ πάλιν, Ἔστησε τὰς νάπας ζυγῷ, καὶ τὴν γῆν δρακί· καὶ αὖθις, Ἐὰν πορευθῶ εἰς τὸν οὐρανὸν, πάρει· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, ἐκεῖ ἡ χείρ σου) ποῖον τόπον ὁ Ἰεζεκιὴλ ἐπενόησε τῷ Θεῷ; Θεοπρεπῶς νοεῖται τοῦτο· λέγει γὰρ καὶ ἐν Εὐαγγελίοις ὁ Κύριος, Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα, ὥστε καὶ αἱ νοηταὶ Δυνάμεις, καὶ τῶν Ἁγίων αἱ ψυχαὶ, τόπος εἰκότως κληθεῖεν ἂν καὶ ἀνάπαυσις τοῦ Θεοῦ. Ἀπὸ κοινοῦ ἡ σύνταξις. Κἀκεῖνο πάλιν ὑφηγουμένη ἡ πρώτη διακόσμησις τῇ μετ' αὐτὴν ἀγαθοειδῶς, τὸ ὅτι μονάς ἐστι καὶ ἑνὰς τρισυπόστατος, ἡ μακαρία καὶ παναγία Τριὰς καὶ μονὰς, διήκουσα καὶ διαπέμπουσα τὴν αὐτῆς ἀγαθωτάτην πρόνοιαν, ἀπ' αὐτῶν τῶν πρώτων οὐρανίων οὐσιῶν ἐπὶ πάντα τὰ ὄντα, μέχρι τῶν λεπτοτάτου, κατὰ τὸ, Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου· ὡς πάσης οὐσίας ἀρχὴ ὑπεράρχιος, καὶ ὑπὲρ πᾶσαν ἀρχὴν οὖσα αἰτία, καὶ πάντων τῶν ὄντων περιδεδραγμένη ὑπερουσίως, ἐν ἀσχέτῳ συνοχῇ. Ἄσχετον δὲ συνοχὴν λέγει, τὴν ἐξῃρημένην πάντη καὶ ἀσυναφῆ πρὸς τὰ συνεχόμενα περικράτησιν· εἰ γὰρ καὶ πάντων περιδεδραγμένον ἐστὶ τὸ Θεῖον, καὶ πάντα περικρατοῦν κατὰ τὴν ἰδίαν ἀγαθωτάτην πρόνοιαν, ἀλλὰ καὶ ἐξῃρημένον ἐστὶ πάντων ὑπερουσίως κατὰ τὴν φύσιν αὐτοῦ, ὅτι οὐδὲν τῶν ὄντων ἐστὶν, ἀλλὰ πάντων αὐτῶν ἀσυγκρίτως ἐπέκεινα. Μονὰς δέ ἐστι καὶ ἑνὰς ἡ ἁγία καὶ μακαρία Τριάς· μονὰς μὲν, ὡς ἁπλῆ καὶ ἀσύνθετος· ἑνὰς δὲ, ἐπειδὴ καὶ πρὸς ἑαυτὴν ἥνωται φυσικῶς, καὶ ἑνοῖ πάντας τοὺς αὐτῇ πλησιάζοντας, κατὰ τὸ εἰρημένον ἐν τοῖς Εὐαγγελίοις, Ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμέν.

diuini loci Deo conuenientes, in quibus requiescit, quemadmodum in sacrâ Scripturâ dicitur, Qualem *domum ædificabitis mihi? dicit Dominus:* vel *quis locus requietionis meæ?* Actor.7,49
Quis sit Dei locus.
ita nimirum vt ipse possideat sanctas istas beatasque naturas, tamquam locos capaces splendoris sui: sicut enim locus capax est corporis, sic & ipsæ diuini splendoris. Quomodo autem, dicente Scripturâ vbique Deum esse incircumscriptum (vt cùm ait, cælum esse sedem eius, terram autem scabellum; & iterum, Isa.66,1.
Statuit colles staterâ, & terram pugno; & rursus, *Si ascendero in cælum, ades; si descendero in infernum,* illuc manus tua) qualem locum Ezechiel Deo excogitauit? Deo dignè hoc intelligitur: dicit enim etiam in Euangeliis Dominus, Ego & Pater *veniemus, & mansionem apud eum faciemus:* ita vt etiam Virtutes spiritales atque animæ Sanctorum, meritò locus ac requietio Dei nuncupari possint. Ex more cõmuni desumpta hęc est locutio. Quin & illud quoque prima distributio sequenti se boniformiter manifestat, quòd nimirum monas vnitasque quæ tribus inest personis, sit beata sanctissimaque Trinitas & vnitas, quæ optimam suam prouidentiam, ab ipsis primis naturis cælestibus, in res omnes vsque ad minimam diffundit ac transmittit, iuxta illud, *Imperfectum meum viderunt oculi tui;* tamquam omnis substantiæ principium superprincipiale, & super omne principium existens causa, atque res omnes superessentialiter continens incomprehensibili complexu. Incomprehensibilem autem complexum vocat, eminentem omnino continentiam, & quæ à rebus contentis attingi nequeat: siquidem diuinum Numen cùm omnia circumdet, & optimâ suâ prouidentiâ contineat, insuper ab omnibus, secundùm naturam suam, superessentialiter exemptum est; quia nihil est eorum quæ sunt, sed omnibus istis incomparabiliter sublimius. Porrò sancta beataque Trinitas monas etiam est & vnitas: monas quidem, vtpote simplex & incomposita; vnitas autem, quoniam etiam ad seipsam naturaliter vnitur, vnitque omnes sibi propinquantes, iuxta quod dictum est in Euangeliis: *Vt sint vnum, sicut & nos vnum sumus.*

Isa. 40,12. Psal.138,8. Ioan. 14, 23. Ps. 138,16 Ioan. 17, 22.

TEXTVS S. DIONYSII.

CAPVT VIII.

De Dominationibus, Virtutibus & Potestatibus, & de mediâ earum Hierarchiâ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν Κυριοτήτων, καὶ τῶν Δυνάμεων, καὶ τῶν Ἐξουσιῶν, καὶ περὶ τῆς μέσης αὐτῶν Ἱεραρχίας.

SYNOPSIS CAPITIS.

1. *Explicat quid significent Dominationes, Virtutes, ac Potestates; & quanam ratione media ista Hierarchia initietur seu illustretur.*

2. *Exemplo declarat, quomodo illustratio à superioribus spiritibus ad inferiores deriuetur.*

§. I. MODÒ nobis transeundum est ad mediam cælestium spirituum distinctionem, Dominationes istas supermundanis oculis, prout possumus, contemplando, vnà cum potentibus reuerà spectaculis diuinarum Potestatum atque Virtutum. quęlibet enim naturarum appellatio supernarum, Diuinitatis imitatrices earumdem deiformes denotat proprietates. Nomen itaque quod sanctas designat Dominationes, existimo declarare absolutum aliquem & ab omni terrenâ vilitate liberum ad superna transitum, nullaque penitus tyrannicâ dissimilitudine vllo modo inclinatam, sed liberaliter seueram dominationem, quæ omni abiectâ seruitute celsior, omni deiectione superior, & ab omni dissimilitudine remota, veriquе dominatus, nec non principij dominationis iugiter auida, cum ipsâ se, tunc sibi subdita ad genuinam eius similitudinem, quoad potest, beneficè trâsformat; & ad nihil eorum quæ inaniter apparent, sed ad id quod verè est totaliter conuersa, Dominicæ semper deiformitatis particeps existit.

Dominationes quid significent.

ΜΕΤΙΤΕΟΝ δὲ νῦν ἡμῖν ἐπὶ τὴν μέσην τῶν οὐρανίων νοῶν διακόσμησιν, τὰς Κυριότητας ἐκείνας ὑπερκοσμίοις ὀφθαλμοῖς ὡς ἐφικτὸν ἐποπτεύουσι, καὶ τὰ ὄντως δυνατὰ θεάματα τῶν θείων Ἐξουσιῶν καὶ Δυνάμεων· καὶ γὰρ ἑκάστη τῶν ὑπὲρ ἡμᾶς οὐσιῶν ἐπωνυμία, τὰς θεομιμήτους αὐτῶν ἐκφαίνει τοῦ θεοειδοῦς ἰδιότητας. Τῶν μὲν οὖν ἁγίων Κυριοτήτων τὴν ἐκφαντορικὴν ὀνομασίαν οἶμαι δηλοῦν ἀδούλωτόν τινα καὶ πάσης ὑποπτεζίας ὑφέσεως ἐλευθέραν ἀναγωγήν, οὐδὲ μιᾷ τῶν τυραννικῶν ἀνομοιοτήτων, οὐδενὶ τρόπῳ καθόλου καταλινομένην αὐτὴν ἐλευθεροπρεπῶς ὡς ἀμείλικτον κυριότητα, πάσης μειωτικῆς δουλοποιΐας ὑπερκειμένην, ἀνένδοτον ὑφέσει πάσῃ, καὶ ἐξῃρημένην ἁπάσης ἀνομοιότητος, τῆς ὄντως κυριότητος καὶ κυριαρχίας, ἀκαταλήκτως ἐφιεμένην, καὶ πρὸς τὴν αὐτῆς κυρίαν ἐμφέρειαν, ὡς ἐφικτὸν, ἑαυτήν τε καὶ τὰ μετ' αὐτὴν ἀγαθοειδῶς διαπλάττουσαν πρὸς οὐδὲν τῶν εἰκῆ δοκούντων, ἀλλὰ πρὸς τὸ κυρίως ὂν ὁλικῶς ἐπεστραμμένην, καὶ κυριαρχικῆς ἀεὶ θεοειδείας ἐν μετουσίᾳ.

Καὶ

Κατὰ τὸ δυνατὸν αὐτῇ γινομένην. Τὴν δὲ τῶν ἁγίων Δυνάμεων ἀρρενωπόν τινα καὶ ἀκατάσειστον ἀνδρίαν, εἰς πάσας τὰς κατ' αὐτὴν θεοειδεῖς ἐνεργείας, πρὸς μηδεμίαν ὑποδοχὴν τῶν ἐνδιδομένων αὐτῇ θεαρχικῶν ἐλλάμψεων ἀδρανῶς ἐξασθενοῦσαν, δυνατῶς ἐπὶ τὸ θεομίμητον ἀναγομένην, οὐκ ἀπολείπουσαν ἑαυτῆς ἀνανδρίᾳ τὴν θεοειδῆ κίνησιν, ἀλλ' ἀρρεπῶς ἀφορῶσαν εἰς τὴν ὑπερούσιον καὶ δυναμοποιὸν δύναμιν, καὶ ταύτης εἰκόνα δυναμοειδῆ κατὰ τὸ ἐφικτὸν γινομένην, καὶ πρὸς μὲν αὐτὴν ὡς ἀρχιδύναμον δυνατῶς ἐπεστραμμένην, πρὸς δὲ τὰ δεύτερα δυναμοδότως καὶ θεοειδῶς προϊοῦσα. Τὴν δὲ τῶν ἁγίων Ἐξουσιῶν, τὴν ὁμοταγῆ τῶν θείων Κυριοτήτων καὶ Δυνάμεων, τὴν εὔκοσμον καὶ ἀσύμφυρτον περὶ τὰς θείας ὑποδοχὰς εὐταξίαν, καὶ τὸ τεταγμένον τῆς ὑπερκοσμίου καὶ νοερᾶς ἐξουσιότητος, οὐ τυραννικῶς ἐπὶ τὰ χείρω ταῖς ἐξουσιαστικαῖς δυνάμεσιν ἀποκεχρημένης, ἀλλ' ἀκρατήτως ἐπὶ τὰ θεῖα μετ' εὐταξίας ἀναγομένης τε, καὶ τὰ μετ' αὐτὴν ἀγαθοειδῶς ἀναγούσης, καὶ πρὸς τὴν ἐξουσιοποιὸν ἐξουσιαρχίαν ὡς θεμιτὸν ἀφομοιουμένης, καὶ ταύτην, ὡς δυνατὸν, Ἀγγέλοις ἀναλαμπούσης, ἐν ταῖς κατ' αὐτὴν εὐκόσμοις τάξεσι τῆς ἐξουσιαστικῆς δυνάμεως. Ταύτας ἔχουσα τὰς θεοειδεῖς ἰδιότητας ἡ μέση τῶν οὐρανίων νοῶν διακόσμησις, καθαίρεται μὲν καὶ φωτίζεται καὶ τελεσιουργεῖται καθ' ὃν εἴρηται τρόπον, ὑπὸ τῶν θεαρχικῶν ἐλλάμψεων, ἐν-

TEXTVS S. DIONYSII.

Virtutes quid.

Sanctarum autem appellatio Virtutum, fortem quamdam & inconcuſſam denotat virilitatem, in omnes deiformes earum actiones redundantem, ne quidquam admittant, quo ipſis inſitæ diuinitus illuſtrationes imminutæ deficiant; quæ magnis viribus ad Dei nititur imitationem, neque motui diuino ignauiâ ſuâ deeſt, ſed conſtanter ad ſupereſſentialem ac potentificam virtutem intuens, nec non ipſiuſmet virtutis, quantum fas eſt, effecta ſimulacrum, ad eamdem quidem, ceu virtutem principalem, validè conuertitur; ad ea verò quæ poſteriora ſunt, virtutem iis ſuppeditando, deiformiter dimanat. Porrò ſanctarum nomen Poteſtatum, coæqualem diuinis Dominationibus Virtutibuſque diſtributionem ſignat, & inconfuſum diuinis rebus excipiendis ordinem, nec non intellectualis ac ſupermundialis poteſtatis diſpoſitionem, quę nequaquam tyrannicè in peius potentiæ ſuæ viribus abutatur, ſed & ipſamet animo inuicto aptè ad diuina dirigatur, atque ſe ſequentia benigniſſimè promoueat, & ad potentificæ poteſtatis principatum, quantum fas eſt, accedat, eumdemque, prout valent Angeli, præclariſſimis poteſtatiuæ virtutis ſuæ functionibus illuſtret. Deiformibus hiſce freta proprietatibus, media illa cęleſtium intelligentiarum diſpoſitio purgatur, & illuminatur, atque perficitur, eo modo quo dictum eſt, diuinis illuſtrationibus, per

Poteſtates quid.

Quomodo media Hierarchia initietur.

TEXTVS S. DIONYSII.

per primum ordinem hierarchicum ſecundo ſibi loco inditis, perque ipſum medium, ſecundâ manifeſtatione diffuſis.

§. 2. Dictam itaque notitiam, quæ ab vno Angelo in alterum deriuatur, indicium faciamus perfectionis eius quæ eminus procurata, progreſſu ac profuſione ſubobſcurè ad inferiores peruenit. Quemadmodum enim ſacrorum noſtrorum myſteriorum periti, ſeipſis apparentes diuinorum luminum expletiones præſtare cenſent iis, quarum aliqui aliorum interiectu participes exiſtunt: ſimiliter exiſtimo, Angelicorum ordinum, qui primi in Deum extenduntur, immediatam illuſtrationem perſpicaciorem eſſe participatione illorum qui per medium perficiuntur. Hanc ob cauſam quoque primæ intelligentiæ in Sacerdotali noſtrâ traditione, perfectiuæ ac lucificæ, expiatoriæque virtutes nominantur earum quæ inferioris ordinis exiſtũt; quippe quæ per illas ad ſupereſſentiale omnium principium ſubuehantur, atque myſticarum expiationum, & illuminationum, perfectionumque, quoad iis fas eſt, participes reddantur. Hoc enim vniuerſim diuinâ ordinatione diuinitùs ſtatutum, vt quæ ſecunda ſunt, per prima diuinas participent illuminationes. Quòd vtique multoties à Theologis expreſſum reperias: nam cùm diuina paternaque clementia populum Iſraëliticum, conuerſionis eius ac ſalutis ergô, corripuiſſet, vltricibuſque ac crudelibus nationibus corrigendum tradidiſſet; vt quos prouidè guber-

διδομένων αὐτῇ δευτέρως διὰ τῆς πρώτης ἱεραρχικῆς διακοσμήσεως, καὶ διὰ μέσης ἐκείνης δευτεροφανῶς διαπορθμευομένων.

Ἀμέλει τὴν δι' ἄλλου λεγομένην φοιτᾶν εἰς ἄλλον Ἄγγελον ἀκοὴν, σύμβολον ποιησώμεθα τῆς πόῤῥωθεν ἐπιτελουμένης, καὶ διὰ τὴν πρόοδον ἀμυδρουμένης εἰς δευτέρωσιν τελειώσεως. Ὡς γὰρ οἱ δεινοὶ περὶ τὰς ἱερὰς ἡμῶν τελετάς φασὶ, τὰς αὐτοφανεῖς τῶν θείων ἀποπληρώσεις, τῶν δι' ἑτέρων θεοπτικῶν μεθέξεων εἶναι τελειοτέρας· οὕτως οἶμαι καὶ τῶν Ἀγγελικῶν τάξεων τὴν ἄμεσον μετουσίαν τῶν πρώτως ἐπὶ Θεὸν ἀνατεινομένων, ἐναργεστέραν εἶναι τῶν διὰ μεσότητος ἀποτελουμένων. Διὸ καὶ πρὸς τῆς ἡμῶν ἱερατικῆς παραδόσεως τελεστικαὶ καὶ φωτουργοὶ, καὶ καθαρτικαὶ δυνάμεις, οἱ πρῶτοι νόες ὀνομάζονται τῶν ὑφειμένων, ὡς δι' αὐτῶν ἐπὶ τὴν πάντων ὑπερούσιον ἀρχὴν ἀναγομένων, καὶ τῶν τελεταρχικῶν καθάρσεων, καὶ φωτισμῶν, καὶ τελειώσεων ἐν μετουσίᾳ κατὰ τὸ αὐτοῖς θεμιτὸν γινομένων. Τοῦτο γάρ ἐστι καθόλου τῇ θείᾳ ταξιαρχίᾳ θεοπρεπῶς νενομοθετημένον, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα τῶν θεαρχικῶν μετέχειν ἐλλάμψεων. Εὑρήσεις δὲ τοῦτο καὶ πολλαχοῦ τοῖς Θεολόγοις ἐκπεφασμένον· ἡνίκα γὰρ ἡ θεία καὶ πατρικὴ φιλανθρωπία, τὸν Ἰσραὴλ ἐπιστρεπτικῶς ὑπὲρ τῆς ἱερᾶς αὐτοῦ σωτηρίας παιδεύσασα, καὶ τιμωροῖς καὶ ἀπηνέσιν ἔθνεσιν εἰς ἐπανόρθωσιν ἐκδεδωκυῖα, τῇ παντοίᾳ τῶν προ-

νουμέ-

TEXTVS S. DIONYSII.

νουμένων ἐπὶ τὸ κρεῖττον μεταγωγῇ, καὶ τῆς αἰχμαλωσίας ἠφίει, καὶ πρὸς τὴν προτέραν ἐπιεικῶς ἐπανήγαγεν εὐπάθειαν, ὁρᾷ τῶν Θεολόγων εἷς, ὁ Ζαχαρίας, ἕνα τῶν πρώτων, ὡς οἶμαι, καὶ περὶ Θεὸν Ἀγγέλων (κοινὸν γὰρ, ὡς ἔφην, ἐστὶ πᾶσι τὸ τῆς Ἀγγελικῆς ἐπωνυμίας) πρὸς αὐτοῦ Θεοῦ μαθόντα τοὺς περὶ τούτου παρακλητικοὺς, ὡς εἴρηται, λόγους· ἕτερον δὲ τῶν ὑφειμένων Ἀγγέλων, πρὸς ὑπάντησιν τοῦ πρώτου προπορευόμενον, ὡς πρὸς ἐλλάμψεως ὑποδοχὴν καὶ μετάληψιν, εἶτα πρὸς αὐτοῦ τὴν θείαν βουλὴν ὡς πρὸς Ἱεράρχου μυούμενον, καὶ τὸ μυῆσαι τὸν Θεολόγον ἐπιτρεπόμενον, ὅτι κατακάρπως κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων. Ἕτερος δὲ τῶν Θεολόγων Ἰεζεκιὴλ, καὶ πρὸς αὐτῆς φησὶ τοῦτο πανιέρως νομοθετηθῆναι, τῆς τοῖς Χερουβὶμ ἐπιβεβηκυίας ὑπερενδόξου Θεότητος· τὸν γὰρ Ἰσραὴλ, ὡς εἴρηται, πατρικὴ φιλανθρωπία διὰ παιδείας ἐπὶ τὸ κρεῖττον μετάγουσα, δικαιοσύνῃ θεοπρεπεῖ τῶν ὑπευθύνων ἀποκρίνεσθαι τοὺς ἀνευθύνους ἐδικαίωσε. Τοῦτο μυεῖται πρῶτος μετὰ τὰ Χερουβὶμ, ὁ τὴν ὀσφὺν σαπφείρῳ διεζωσμένος, ὃς τὸν ποδήρη κατὰ σύμβολον ἱεραρχικὸν ἐνδεδύκει. Τοὺς δὲ λοιποὺς Ἀγγέλους, οἳ τοὺς πελέκεις εἶχον, ἡ θεία ταξιαρχία κελεύει πρὸς τοῦ προτέρου μυεῖσθαι τὴν περὶ τούτου θεοκρισίαν· τῷ μὲν γὰρ ἔφη μέσην διελθεῖν τὴν Ἱερουσαλὴμ, καὶ δοῦναι τὸ σημεῖον εἰς τὰ μέτωπα τῶν ἀνευθύνων ἀνδρῶν· τοῖς ἄλ-

Exemplo declaratur, quomodo illustratio transfundatur. Zach. 1, 22

nabat; omni modo ad meliorem frugem adduceret, à captiuitate quoque liberos ad pristinam fortunam benignè reuocauit, Theologus quidam nomine Zacharias visu percepit, primorum quemdam, vt opinor, ex iis qui Deo proximi sunt Angelorum (communis enim, vti dixi, omnibus Angelica cognominatio est) ab ipso, sicut dictum est, Deo hac ipsâ de re verba consolationis percepisse: alterum autem ordinis inferioris Angelum, obuiàm priori, lucis capiendæ ac participandæ causâ, præcedentem, cùm ab eodem deinde diuinum consilium, tamquam à Sacerdote summo, percepisset, illud ipsum ex imposito munere Theologum docuisse, fore vt Ierusalem frugiferè à magnâ hominum multitudine incoleretur. Quidam alius item Theologus Ezechiel, hoc à Deitate ipsâ supergloriosâ, quæ Cherubim transcendit, sacrosanctè sancitum asserit: Israëliticum enim populum cùm, vt dictum est, clementia paterna per disciplinam ad frugem traduceret meliorem, æquitate Deo dignâ reos ab insontibus secernendos censuit. Hoc primus secundùm Cherubim docetur ille, cuius renes sapphiro præcincti erant, quique talari veste, pontificatus insigni, amiciebatur. Ceteros exinde Angelos securibus armatos, à priori illo diuina iubet ordinatio diuinum hac de re iudicium edoceri: huic siquidem præcepit, vt per mediam Ierusalem transiret, atque signum insontium virorum frontibus im-

Ezech. 9. 10. & 11.

prime-

TEXTVS S. DIONYSII.

primeret; aliis autem ait, Exite in ciuitatem post eum, & percutite, & nolite parcere oculis vestris; ad omnes autem super quos est signum, ne appropinquetis. Quid autem de illo dicat quis Angelo, Dan. 9, 23. qui Danieli ait, Egressus est sermo? Ezech. 10. aut de primo illo, qui ignem de medio Cherubim accepit? vel, quod Angelicam luculentiùs confirmat distinctionem, de Cherubim ignem ingerente in manus eius qui stolam sanctam indutus erat? aut de illo, qui Gabrieli diuinissimo, cùm eum accersisset, dixit, *Fac illum intelligere visionem?* Dan. 8, 16. aut de omnibus aliis, quæ de cælestium ordine Hierarchiarum prorsus deiformi à sacris sunt Theologis commemorata? ad cuius vtique imaginem si sacer hic ordo noster se componat, eique, quantum potest, assimiletur, Angelicum profectò decorem illum velut in figuris exprimet, formam inde capiens; ac per eum ad superessentialem omnis sacri ordinis originem attolletur.

λοις δὲ, Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε, καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε. Τί ἂν τις εἴποι περὶ τοῦ φήσαντος Ἀγγέλου τῷ Δανιήλ, Ἐξῆλθεν ὁ λόγος; ἢ περὶ αὐτοῦ τοῦ πρώτου, τὸ πῦρ ἐκ μέσου τῶν Χερουβὶμ ἀνειληφότος; ἢ τὸ τούτου περισσότερον εἰς διαταξίας Ἀγγελικῆς ἀπόδειξιν, ὅτι τὰ Χερουβὶμ ἐμβάλλει τὸ πῦρ εἰς τὰς χεῖρας τοῦ τὴν ἁγίαν στολὴν ἐνδεδυκότος; ἢ περὶ τοῦ κεκληκότος τὸν θειότατον Γαβριὴλ, καὶ φήσαντος αὐτῷ, Συνέτισον ἐκεῖνον τὴν ὅρασιν; ἢ ὅσα ἄλλα πρὸς τῶν ἱερῶν Θεολόγων εἴρηται περὶ τῆς τῶν οὐρανίων ἱεραρχιῶν θεοειδοῦς διακοσμίας; πρὸς ἣν ἡ τῆς παρ' ἡμῖν Ἱεραρχίας διάταξις, κατὰ τὸ δυνατὸν ἀφομοιουμένη, τὴν Ἀγγελικὴν εὐπρέπειαν ὡς ἐν εἰκόσιν ἕξει, τυπουμένη δι' αὐτῆς, καὶ ἀναγομένη πρὸς τὴν ὑπερούσιον ἁπάσης Ἱεραρχίας ταξιαρχίαν.

ANNOTATIONES CORDERII.

§. 1. ESCRIBIT mediam Hierarchiam quæ continet Dominationes, Potestates atque Virtutes; & mysticam cuiusq; interpretationem ac proprietatem exponit.

Dominationes autem dicuntur, quia ceteris Angelis dominantur, & ab omni oppressione sunt liberæ, & nulli inferiori subiiciuntur. Harum officium est, secundùm Dionysiũ, timore seruili deposito, in Deum moueri, & incessanter ei famulari: secundùm Gregorium autem officium earum est, in bello spiritali instruere, qualiter oporteat prælationis officium exercere, & qualiter debeant subditis dominari.

Proprietates & officia secundæ Hierarchiæ.

Virtutes sunt infatigabiles ad executionem faciendorũ, & robustæ ad perceptionem munerum. Harum officium est, secundùm Dionysium, docere Prælatos, vt facilè & perseueranter, quæ ad officium prælationis pertinent, exequantur, & ipsius onera sustineant patienter: item per istas miracula fiunt, & virtus faciendi miracula perfectis conceditur.

Potestatibus virtutes aduersariæ subiectæ sunt, ne mundo tantum noceat, quantum cupiunt. Harum officium est, secundùm Dionysium, Angelos inferiores, quoad fieri potest, diuinæ potentiæ conformare: &, secundùm Gregorium, illos, qui in spirituali certamine desudant, confirmare, &, ne regnum spiritale amittant, defendere.

Ostendit, illustrationes quò per plures transfunduntur, eò obscuriores existere in postremis. Inferiores autem Angelos à superioribus illuminari, probat ex Zachariæ cap. 1. §. 2.

Quomodo Angeli illustrationes diffundant.

 ANNOTATIONES CORDERII.

cap. 1. vbi duplici visione ostenditur Prophetæ, Angelorum tutelarium Deique in Ierosolymam & Iudæos studium: & simul, quomodo vnus Angelus ab altero, quid Ierosolymæ futurum esset, edoceretur. & cap. 2. videt Zacharias Angelum cum funiculo mensorio, vt metiatur Ierusalem à Nehemiâ & Zorobabele reædificandam: cùm ex funiculo exiguo, vtpote conuoluto, coniiceret, timeretq; Zacharias exiguam fore nouam Ierusalem, mox audit alterum Angelum promittentem, absque muro Ierusalem habitandam præ multitudine. Vbi videtur hic Angelus superior prioris illius propositum reuocare, qui funiculo dimensorio magnitudinem vrbis dimensurus venerat: nam antequam post reductionem muris cingeretur ciuitas, Ecclesiæ typum gerere debebat; quæ, post orbem à Christo redemptum, omnibus omnino gentibus patuit. posterior ergo Angelus priorem instruxit, & tamquam superior inferiorem docuit. Quomodo autem Angeli ab ipsomet Deo immediatè res aliquas edoceantur, ostendit ex Ezechielis cap. 9. vbi iubet Deus Angelo, vt signet Tau in fronte eorum qui à cæde Ierosolymorum erant liberandi; & sex aliis Angelis mandat, vt signatis parcant, ceteris omnibus interfectis. Item ex Danielis cap. 9, 23. declarat, quomodo ad Prophetam missus sit Gabriel, significans non tantùm soluendam captiuitatem Iudæorum, sed & totius generis humani per Christum, post septuaginta hebdomadas annorum. Similiter iterùm ex Ezechielis cap. 10. vbi iubet Deus viro lineis induto accipere prunas è medio currus sui Cherubim, easque spargere per Ierusalem; vt hoc signo portendat vrbis incendium per Chaldæos: & rursus ex Danielis 8, 16. vbi Michaël iubet Gabrielem exponere Danieli visionem. Ex quibus omnibus locis manifestè colligitur, Angelos superiores inferiores suos multis de rebus, quas ignorabant, instruere.

SCHOLIA S. MAXIMI.


YNATA.] Ἰσχυρότατα.

Ἐπωνυμία.] Ὅτι ἡ ἐπωνυμία αὐτῶν σημαίνει, τίς ἡ ἰδιότης αὐτῶν.

Μέση τριαδικὴ τάξις,

Κυριότητες, Δυνάμεις, Ἐξουσίαι

Ἀδούλωτον.] Ὅτι πᾶσα νοητὴ δύναμις ἀμειλίκτως πρὸς τὸ χεῖρον ἔχει.

Ὡς ἀμείλικτον κυριότητα.] Ἐνταῦθα σφάλματι τῶν Ἑλληνικῶν Φιλοσόφων, εὐσεβῶς ἐπισκώπτει, οἵτινες ἰδικὰς τρεῖς δυνάμεις τινὰς ἀμειλίκτους προσηγόρευσαν, προελθούσας εἰς ὕπαρξιν ἐκ τινῶν πρὸ αὐτῶν ἑτέρων τριῶν δυνάμεων, οὐ μὴν ἐκ Θεοῦ φα-τα δημιουργηθείσας ἰδικῶς· καὶ φασὶν εἶναι τοὺς ἀμειλίκτους τούτους, ὑποπεζίους τῶν προβαλλομένων αὐτοὺς νοητῶν δυνάμεων, ἀναστέλλοντας καὶ ὥσπερ ἀντιβαίνοντας, καὶ ἐφεκτικοὺς τῶν πρὸ αὐτῶν καὶ ἑαυτῶν, τοῦ μὴ πεσεῖν εἰς ὕλην, καὶ ἀσθενεστέρους κατὰ τοῦτο τῶν προβαλλομένων ἑαυτοὺς, καθ' ὃ δέονται τοῦ κατέχειν εἰς τὸ ἄπτωτον ἑαυτούς. Ταῦτα μὲν οὖν ὡς ἐν ἐπιτομῇ τὰ ἐκείνων. Ὁ δὲ μέγας Διονύσιος σοφῶς τὰ ἐναντία πάντα αὐτοῖς φησίν· ἐκ Θεοῦ γὰρ αὐτὰς δημιουργικῶς ὑποστῆναί φησιν, οὗ καὶ τὴν ἐμφέρειαν ἔχουσιν εἰς κυριότητα,


OTENTIA.] Robustissima. §. 1.

APPELLATIO.] Quia nomen eorum significat quæ sit ipsorum proprietas.

Medius ordo ternarius,

Dominationes, Virtutes, Potestates.

ABSOLVTVM.] Quia omnis intellectilis virtus ad malum inflexibilis est.

VT SEVERAM DOMINATIONEM.] Hîc errorem quemdam Gentilium Philosophorum religiosè perstringit, qui proprias quasdam virtutes tres inflexibiles appellabant, quæ ex aliis quoque tribus prioribus virtutibus in lucem prodierant, non autem à Deo propriè fuerant procreatæ: aiuntque, has inflexibiles spiritalibus iis, à quibus productæ fuerant, virtutibus substratas, vt retinerent quodammodò, & subirent ac cohiberent priores illas, ne in materiam dilaberentur, atque hoc infirmiores esse iis quæ seipsas produxerunt, quòd debeant semetipsas continere, ne labantur. Hæc quidem tamquam in compendio sunt illorum. Magnus autem Dionysius sapienter iis omnia contraria tradit: ex Deo enim eas per creationem productas asserit, cuius etiam similitudinem in dominatu tenent, non secùs

Quales virtutes inflexibiles finxerunt Gentiles.

ac nos qui secundùm similitudinem creati sumus. Ipsas tamen inflexibilitatem erga omnem submissionem ratione dominationis habere dicit, quasi cædentes & dissecantes, & non sinentes sensilium cupiditatem præualere, nequaquam tamen eas quæ præcedunt inhibentes. Sensilia verò & corporea vocat seruilitatem & illiberalitatem, vanamq; gloriam. Δουλοποιΐας autem dixit pro δουλοπρεπείας: quia non permittunt ea quæ verè existunt cogitare, sed ex indeclinabili stabilitate ad inflexionem vanitatum inducunt. Inæqualitatem hîc rursum vocat materialia, vt quæ numquam in idemtitate maneant, sed semper immutentur.

PRINCIPII DOMINATIONIS.] Principium dominationis hîc vocat Deitatem; quoniam hæc principium & causa est omnis dominationis.

Superiores inferiores confirmare.

QVÆ NON DEEST.] Nota, quomodo vbique Virtutes superiores dona sua sequentibus communicare dicat, & virtutes sibi subditas corroborare. Scimus vtique scriptum esse, Angelum quemdam, Danielem & alios, &, quod omnibus maius est, ipsum quoque Dominum nostrum Iesum Christum, in quantum hominem, confirmasse, prout in Euangelio secundùm Lucam habetur. *Luc. 22, 43*

BONVM ORDINEM.] Hæc quoque referenda sunt ad id quod superiùs positum est, subaudiendo, *arbitror significare*.

ASSIMILATÆ.] Quoniam intellectiles etiam virtutes, quantum ipsis fas est, sequentibus, nempe Angelis, potestatem cõmunicant.

EXPIATVR ENIM.] Quomodo & per quid ordines isti medij expientur, & illustrentur atque perficiantur: & quòd Scriptura tradat, vnum Angelum ad alterum diuina symbola transmittere.

Traductiones luminis remotiores, esse obscuriores.

ET PER MEDIVM.] Initiationes mediatas obscuriores esse illis quæ ex Deo per primam apparitionem fiunt, quæ primæ sunt.

§. 2. QVÆ PER ALIVM DICITVR.] Secundùm ea quæ in Zachariâ & Daniele & Ezechiele Prophetis habentur.

OBSCVRÆ.] Obscuræ dixit, non propter propriam eius remissionem, sed propter recipientium imbecillitatem: hoc enim indicat, cùm perfectionem istam secundo loco inditam dicit, ita nempe, vt ea quæ secunda sunt obscuriori ratione initientur.

ὥσπερ καὶ ἡμεῖς οἱ καθ᾽ ὁμοίωσιν κτισθέντες. Αὐτοὺς δὲ τὸ ἀμείλικτον κατὰ πάσης ὑφέσεως τῷ λόγῳ τῆς κυριότητος ἔχειν λέγει, κόπτοντας ὥσπερ καὶ διατέμνοντας, καὶ οὐκ ἐῶντας κρατεῖν τὴν πρὸς τὰ αἰσθητὰ ἐπιθυμίαν, οὐ μὴν τοὺς πρὸ αὐτῶν ἀναστέλλοντας. Τὰ δὲ αἰσθητὰ καὶ σωματικὰ, δουλοπρέπειάν φησι καὶ ἀνελευθερίαν καὶ εἰκαίαν δόξαν. Δουλοποιΐας δὲ, ἀντὶ τοῦ Δουλοπρεπείας, ἐπεὶ μὴ συγχωροῦσι τὰ ὄντως ὄντα ἐννοεῖν, ἀλλὰ κατάγουσιν ἐκ τῆς ἀκλινοῦς ἑδραιότητος ἐπὶ τὴν τῶν ματαιοτήτων ὑποκατάκλισιν. Ἀνομοιότητα δὲ αὖθις καλεῖ τὰ ὑλικὰ, ὡς μηδέποτε μένοντα ἐπὶ ταυτότητος, ἀλλ᾽ ἀεὶ μεταβάλλοντα.

Κυριαρχίας.] Κυριαρχίαν, τὴν Θεότητα ἔφη, ὅτι πάσης κυριότητος ἀρχὴ καὶ αἰτία καθέστηκεν.

Οὐκ ἀπολείπουσαν.] Σημείωσαι πῶς πανταχοῦ φησι τὰς ὑπερβεβηκυίας Δυνάμεις μεταδιδόναι τῶν οἰκείων ταῖς μετ᾽ αὐτὰς, καὶ τὰς δυνάμεις δυναμοῦν τὰς ὑποκειμένας. Ἴσμεν δὲ, ὅτι καὶ τὸν Δανιὴλ γέγραπται Ἄγγελος ἐνισχύων, καὶ ἄλλους, καὶ τὸ δὴ πάντων μεῖζον, καὶ αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἅτε καὶ ἄνθρωπον, ὡς ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ κεῖται.

Εὐταξίαν.] Πρὸς τῷ ἀνωτέρω κειμένῳ καὶ ταῦτα συντακτέον· κατὰ κοινοῦ γὰρ τὸ, Οἶμαι δηλοῦν.

Ἀφομοιουμένης.] Ὅτι καὶ τῆς ἐξουσίας, ὅσον αὐταῖς θεμιτὸν, ὡς Ἀγγέλοις ἐστὶν, αἱ νοηταὶ δυνάμεις τοῖς μετ᾽ αὐτοὺς μεταδιδόασι.

Καθαίρεται γάρ.] Πῶς καὶ διὰ τίνος καθαίρονται, καὶ φωτίζονται, καὶ τελεσιουργοῦνται αἱ μέσαι τάξεις· καὶ ὅτι ἔχει ἡ Γραφὴ, ὡς ἄλλος ἄλλῳ Ἄγγελος διαπορθμεύει τὰ θεῖα σύμβολα.

Καὶ διὰ μέσης.] Ὅτι αἱ διὰ μέσων τελειώσεις ἀμυδρότεραι τῶν πρωτοφανῶς ὑπὸ Θεοῦ ἐνεργουμένων, αἵ τινες εἰσὶ πρῶται.

Τὴν δι᾽ ἄλλου λεγομένην.] Κατὰ τὰ ἐν τῷ Ζαχαρίᾳ, καὶ Δανιὴλ, καὶ Ἰεζεκιὴλ, τοῖς Προφήταις κείμενα.

Ἀμυδρουμένης.] Ἀμυδρουμένης ἔφη, οὐ παρὰ τὴν οἰκείαν αὐτῆς ἀτονίαν, ἀλλὰ παρὰ τὸ ὑφειμένον τῶν δεχομένων· τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν, Δευτέρωσιν τελειώσεως, τουτέστι, τὸ ἀμυδρότερον τελεῖσθαι τὰ δεύτερα.

Οἱ

Οἱ δεινοί.] Σημείωσαι, ὅτι Ἱερεῖς ταῦτα παραδεδώκασι τῷ μεγάλῳ Διονυσίῳ. Αὐτοφανεῖς δὲ ἐκάλεσε τὰς πρώτας θείας δυνάμεις, ἐπειδὴ ἀφ' ἑαυτῶν τὰς θείας δέχονται ἐλλάμψεις· αἱ γὰρ λοιπαὶ δυνάμεις, οὐ δι' ἑαυτῶν τὰ θεῖα δέχονται δῶρα τῆς γνώσεως, ἀλλὰ διὰ τῶν ὑπερκειμένων.

Ἱερατικῆς.] Σημείωσαι, ὅτι ἱερατικὴ παράδοσίς ἐστι, τὸ περὶ τῆς τάξεως τῶν νόων εἰδέναι.

Ἐλλάμψεων.] Ἀπόδειξις τοῦ ῥηθέντος, ὅτι τὰ δεύτερα παρὰ τῶν πρώτων μυοῦνται, ἀπὸ Ζαχαρίου τοῦ Προφήτου.

Ἀτιθάσοις.] Ἀνημέροις.

Ἐκδεδωκυῖα.] Περὶ τῶν παραδοθέντων τῷ Βαβυλωνίῳ.

Τῇ παντοίᾳ] Ὅρα ὅτι ὁ Θεὸς πάντα μηχανᾶται πρὸς τὸ ἐπιστρέψαι τοὺς πλανωμένους.

Ἐπιεικῶς ἐπανῆγεν.] Τὸ Ἐπιεικῶς, ἀντὶ τοῦ φιλανθρώπως, ἢ πάνυ καὶ μεγάλως νόησον.

Κοινὸν γάρ.] Ὅτι κοινῷ ὀνόματι πᾶσαι αἱ δυνάμεις αἱ νοηταὶ Ἄγγελοι λέγονται.

Ὑφειμένων.] Ὑποβεβηκότων, δευτερευόντων.

Προπορευόμενον.] Προπορευόμενον τάχα τοῦ Προφήτου· τάχα δὲ, πρὸ τοῦ τὸν μείζονα Ἄγγελον ἐλθεῖν ἐπ' αὐτόν.

Εἶτα πρὸς αὐτοῦ τὴν θείαν.] Τοῦτο θέλει δεῖξαι, ὅτι καὶ ἐν τοῖς Ἀγγελικοῖς τάγμασιν οἱ πρῶτοι τοῖς δευτέροις διαγγέλλουσι τὴν τοῦ Θεοῦ βουλήν. Καρποκάρπως δὲ, ἀντὶ τοῦ πάνυ, ἐκ τοῦ Ἰεζεκιήλ.

Ἀποκρίνεσθαι.] Καλῶς εἶπεν ὁ Κύριος ἐν τῷ Προφήτῃ Ἰεζεκιὴλ, ὥστε χωρισθῆναι τῶν δικαίων τοὺς ἁμαρτωλούς· τοῦτο γὰρ καὶ ἐν τοῖς Εὐαγγελίοις φαίνεται πεποιηκὼς, ὅτε τὰ πρόβατα ἐκ τῶν ἐρίφων διεμέρισεν. Ἰδοὺ, συνᾴδει καὶ ἐν τούτῳ ἡ παλαιὰ Διαθήκη τῇ νέᾳ.

Ὃς τὸν ποδήρη.] Περὶ τοῦ τὸν ποδήρη ἐνδεδυκότος χιτῶνα. Σημείωσαι δὲ, ὅτι τῷ μὲν Ἀγγέλῳ, τῷ τὸ μὲν σημεῖον ἐπιθεῖναι κελευσθέντι, ποδήρης ἦν χιτὼν, καὶ ζώνη περὶ τὴν ὀσφὺν, σχῆμα πρέπον ἱερεῖ. Τοῖς δὲ Ἀγγέλοις ἄλλοις πέλεκυς ἐν ταῖς χερσὶν, ὅπερ δηλοῖ τιμωρητικήν τινα δύναμιν· ὡς ἐκ τούτου νοεῖν ἡμᾶς, ὅτι πρὸς τὸ μέλλον ἀποτελεῖσθαι καὶ τὸ τῶν Ἀγγέλων εἶδος σχηματίζεται. Ὅπερ ἐννοῆσαι ὀφείλομεν περὶ τῶν Σεραφὶμ καὶ Χερουβὶμ, καὶ τῶν ἄλλων

PERITI.] Nota, Sacerdotes hæc Magno Dionysio tradidisse. Seipsis autem apparentes appellauit primas illas virtutes diuinas, quandoquidem per seipsas diuinas accipiant illustrationes: ceteræ enim Virtutes non per se ipsas diuina suscipiunt munera cognitionis, sed per superiores.

Primos à Deo ipsos illustrari.

SACERDOTALIS.] Nota, istam de spirituum ordine cognitionem, sacerdotalem esse traditionem.

ILLVSTRATIONVM.] Demonstratio ex Zachariâ Prophetâ eius quod dixit, secundas per primas sacris initiari.

CRVDELIBVS.] Feris.

TRADITA.] De iis quæ Babylonio Angelo tradita fuerunt.

OMNI MODO.] Obserua, Deum omnia moliri ad errantes conuertendos.

CLEMENTER ADDVXIT.] *Clementer*, id est, humaniter, vel omnino & vehementer intellige.

COMMVNE ENIM.] Quoniam communi nomine, virtutes omnes spiritales Angeli vocantur.

INFERIORVM.] Subiectorum, secundum locum obtinentium.

PRÆCEDENTEM.] Præcedentem fortassis Prophetam; fortassis etiam antequam maior ille Angelus ad ipsum accessisset.

DEINDE AB IPSO DIVINVM.] Hoc vult significare, in Angelicis quoque ordinibus primos sequentibus diuinum consilium annuntiare. *Frugiferè* autem, id est, omnino, ex Ezechiele.

RESPONDERE.] Rectè dixit Dominus in Ezechiele Prophetâ, vt à peccatoribus iusti segregarentur: nam & hoc ipsum in Euangelio fecisse apparet, quando oues ab hœdis separauit. Vide, vt etiam in hoc antiquum Testamentum cum nouo consentiat. Ezech. 9. Matth. 25. 32.

QVI TALARI VESTE.] De illo qui amictus erat tunicâ talari. Nota verò, Angelum istum qui [populum] signare iubebatur, talarẽ tunicam & cingulum circa lumbos habuisse; qui habitus decebat Sacerdotem. Alij autẽ Angeli tenebant manibus securim, quod vltricem quampiam virtutem denotat: vt nos hinc intelligamus, speciem etiam Angelorum secundùm id effingi, quod iis erat exequendum. Hoc item de Seraphim & Cherubim, aliisque vir-

Quid vestes Angelicæ designent.

virtutibus intelligendum: ita nimirum, vt etiam habitum habeant suo ordini conformem. Qui enim Hymnum istum ter-sanctum proferunt, multis faciebus figurantur, Scripturâ declarante, Hymnum ipsorum incessabilem multiplicemque existere. Sic etiam de ceteris intellige.

Quid sibi velit signũ ab Angelis impressum frontibus innocentũ.

SIGNVM IN FRONTIBVS.] Nota, vt hinc diuinâ quadam præfiguratione insinuauerit, fideles viuificum sigillum frontibus suis imprimere debere, quo ab exterminatore preseruentur. Sed tum quidem Angeli in habitu Sacerdotum innocentibus id facere iussi sunt (cingulum enim ac tunica talaris decentem Sacerdotum habitum designat:) modò autem etiam nos fideles, frontibus ipsi nostris signum Crucis imprimentes, abigimus inimicũ. En & aliam quoque veteris cum nouo Testamento similitudinem. Obserua verò, hos esse tres trinos ordines intellectilium virtutum: primus ternio sunt Throni, deinde Cherubim, deinde Seraphim; secundus ternio, Dominationes, Virtutes, Potestates, hæ quoque mediæ dicuntur; tertius ternio, Principatus, Archangeli, Angeli. Communi autem nomine [vocantur] omnes Angeli.

BONI ORDINIS.] De bono ordine secundorum erga superiores.

DIVINISSIMVM GABRIELEM.] Nota, etiam Gabrielem non esse ex superioribus istis virtutibus, sed ex inferioribus.

Nostra Hierarchia cum cælesti similitudo.

HIERARCHIÆ.] Nota, ista quæ hodie in Ecclesiâ geruntur, imitationem esse supernæ illius mysticæ Hierarchiæ: nam Sacerdotes etiam viuificæ Crucis signũ imprimunt iis qui ad Sacramentum accedunt, quo ab infidelibus segregentur, & effugiant inimicum. Aliter etiam in Ecclesiâ sanctâ hic ordo seruatur: quoniam id quod Subdiaconi curæ commissum est, nequaquam hoc faciunt inferiores; & quod facit Sacerdos, non facit Diaconus; & simpliciter loquendo, vnusquisque sibi conueniens ministerium gerit: omnes autem, non secus atque Angeli, communi nomine Clerici & ministri appellantur. Hinc etiam oportet intelligere, quomodo à D. Stephano

Act. 7, 53. dictum sit, *Qui accepistis legem in dispositione Angelorum, & non custoditis.*

δυνάμεων· ὅτι πρὸς τὴν οἰκείαν τάξιν καὶ τὸ σχῆμα ἔχουσιν. Οἱ γὰρ τὸν τρισάγιον ὕμνον λέγοντες, πολυπρόσωποι σχηματίζονται, δηλοῦντος τοῦ λόγου, ὅτι ἀσίγητός ἐστι καὶ πολὺς ὁ αὐτῶν ὕμνος. Οὕτω δὲ περὶ τῶν ἑξῆς νόησον.

Τὸ σημεῖον εἰς τὰ μέτωπα.] Σημείωσαι, ὅτι τὴν θείαν προτύπωσιν διὰ ἐκείνου προεμήνυσε, τὸ τοὺς πιστοὺς κατὰ τὸ μέτωπον τὴν ζωοποιὸν ἐπιτιθέναι σφραγῖδα, καὶ περισώζεσθαι ἐκ τοῦ ὀλοθρευτοῦ. Ἀλλὰ τότε μὲν Ἄγγελοι ἐν σχήματι ἱερέων τοῦτο ποιεῖν ἐκελεύσθησαν τοῖς ἀνευθύνοις (ἡ γὰρ ζώνη καὶ ὁ ποδήρης χιτὼν τὸ ἱεροπρεπὲς τῶν Ἱερέων δηλοῖ σχῆμα·) νῦν δὲ καὶ ἡμεῖς ἑαυτοῖς οἱ πιστοὶ τὴν τοῦ Σταυροῦ σφραγῖδα κατὰ τὸ μέτωπον ἐντυποῦντες, διαφεύγομεν τὸν ἐχθρόν. Ἰδοὺ καὶ ἄλλη ὁμοίωσις παλαιᾶς πρὸς τὴν νέαν. Σημείωσαι δὲ, ὅτι αὗταί εἰσιν αἱ τρεῖς τριαδικαὶ τάξεις τῶν νοητῶν δυνάμεων· πρώτη τριὰς Θρόνοι, εἶτα Χερουβίμ, εἶτα Σεραφίμ· δευτέρα τριὰς Κυριότητες, Δυνάμεις, Ἐξουσίαι, αὗται καὶ μέσαι λέγονται· τρίτη τριὰς, Ἀρχαὶ, Ἀρχάγγελοι, Ἄγγελοι. Κοινῷ δὲ ὀνόματι πάντες Ἄγγελοι.

Εὐταξίας.] Περὶ εὐταξίας τῶν δευτέρων πρὸς τοὺς ἀνωτέρους.

Τὸν θειότατον Γαβριήλ.] Σημείωσαι, ὅτι καὶ ὁ Γαβριὴλ οὐκ ἔστι τῶν ἀνωτέρων δυνάμεων, ἀλλὰ τῶν ὑφειμένων.

Ἱεραρχίας.] Σημείωσαι, ὅτι μίμημα τῆς ἄνω μυστικῆς Ἱεραρχίας, τὰ ἐν τῇ Ἐκκλησίᾳ γινόμενα σήμερον· καὶ γὰρ οἱ Ἱερεῖς σφραγῖδα ἐπιτιθέασι τοῦ ζωοποιοῦ Σταυροῦ τοῖς προσιοῦσι τῷ μυστηρίῳ, διὰ τὸ χωρισθῆναι αὐτοὺς τῶν ἀπίστων, καὶ ἵνα τὸν ἐχθρὸν διαφύγωσιν. Ἄλλως τε καὶ τάξις φυλάττεται κατὰ τὴν ἁγίαν Ἐκκλησίαν· ὃ γὰρ ποιεῖν ἐπιτέτραπται ὁ Ὑποδιάκονος, οὐ ποιοῦσιν οἱ ὑποδεέστεροι· καὶ ὃ ποιεῖ ὁ Πρεσβύτερος, οὐ ποιεῖ ὁ Διάκονος· καὶ ἁπλῶς εἰπεῖν, ἕκαστος ἔχει τὴν πρέπουσαν αὐτῷ λειτουργίαν. Κοινῷ δὲ ὀνόματι πάντες Κληρικοὶ καὶ Λειτουργοὶ καλοῦνται, ὡς καὶ οἱ Ἄγγελοι. Ἐντεῦθεν χρὴ νοεῖν, πῶς εἴρηται τῷ θείῳ Στεφάνῳ, Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς Ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

PARA-

PARAPHRASIS PACHYMERÆ.

PARAPHRASIS PACHYMERÆ.

ΜΕΤΕΝΕΚΤΕΟΝ τὸν λόγον ἀπάρτι καὶ ἐπὶ τὴν μέσην τῶν οὐρανίων δυνάμεων τάξιν. Οὐκ εἶπε δὲ τάξιν, ἀλλὰ διακόσμησιν, διότι αὕτη πάλιν τρία ἔχει τὰ τάγματα. Κόσμου γοῦν λεγομένης τῆς τάξεως, καὶ τῆς Διὰ δηλούσης τὴν διαχώρησιν, διακόσμησιν εἶπε, δηλονότι τάξιν εἰς τρία μεμερισμένην. Ἴδωμεν γοῦν, ἀλλ' ὑπερκοσμίοις καὶ νοητοῖς ὀφθαλμοῖς, καθὼς ἐστι δυνατὸν, τὰς Κυριότητας, καὶ τὰς Δυνάμεις, καὶ τὰς Ἐξουσίας. Τὰ γοῦν δύο ταῦτα τάγματα, αἱ Δυνάμεις καὶ Ἐξουσίαι, ἐπεὶ ἐπωνυμοῦνται ἀπὸ τῆς δυνάμεως· οὐδὲ γάρ ἐστιν ἡ ἐξουσία ἄλλο τι, εἰ μὴ ἕξις, σύνδρομον τὴν δύναμιν τῇ προσηκούσῃ θελήσει ἔχουσα. Προσηκούσῃ δὲ εἶπον, ὅτι θελήσοι ἂν καὶ τὰ ἀδύνατα ὁ ἐξουσιάζων, ἀλλ' οὐ τεύξεται τῆς θελήσεως· διὰ τοῦτο τούτων ἀμφοτέρων τὰ δυνατὰ εἶπε θεάματα. Οὐκ εἶπε δὲ Νοήματα· τὸ γὰρ νόημα, κίνησις ψυχῆς ἐστιν ἀνυπόστατος· ἀλλὰ Θεάματα, ἤγουν ἐνύπαρκτα πράγματα, θεατὰ ὡς ἐφικτὸν ὀφθαλμοῖς ὑπερκοσμίοις καὶ ὑπὲρ αἴσθησιν. Καὶ γὰρ ἑκάστη ἐπωνυμία τῶν θείων νόων, ἐκφαίνει καὶ δηλοῖ τὰς θεομιμήτους ἰδιότητας τοῦ θεοειδοῦς αὐτῶν. Θεομίμητος δὲ ἰδιότης τῶν Ἀγγέλων ἐστὶν ἄλλη μὲν ἄλλου, εἴτ' οὖν, τοῖς μὲν Δυνάμεσι τὸ δυνατὸν, τοῖς δὲ Κυριότησι τὸ ἐλεύθερον· ἃ δὴ ἐπὶ Θεοῦ ἀσύγκριτά εἰσι καὶ ὑπέρτατα· αὐτελεύθερον γὰρ τὸ Θεῖον καὶ αὐτοδύναμον, κοινῶς δὲ πάλιν τοῖς πᾶσι τὰ πάντα ἐστί. Τέως δὲ ἀπονενέμηται ἑνὶ ἑκάστῳ ἐπὶ πλέον τὸ ἴδιον παρὰ τοῦ ποιητοῦ αὐτῶν, ἵνα τὰ τῆς τάξεως αὐτῶν κατὰ τὸ ἰδιάζον φυλαχθήσηται. Τῶν μὲν οὖν ἁγίων Κυριοτήτων τὴν ἐκδηλωτικὴν ὀνομασίαν, ὑπολαμβάνω δηλοῦν ἀναγωγήν τινα καὶ ἀναφορὰν ἀδούλωτον, καὶ πάσης χαμαλῆς ταπεινότητος ἐλευθέραν· διὸ γὰρ ἐλευθεροπρεπής ἐστιν, οὐδενὶ τρόπῳ καθόλου καὶ συνελόντα εἰπεῖν. Μὴ γὰρ εἴπῃς, ὅτι καθόλου εἶπε, διότι μερικῶς ποσῶς κατακλίνεται· οὐδενὶ τοίνυν τρόπῳ κατακλίνεται τινὶ τῶν τυραννικῶν ἀνομοιοτήτων. Τρόποι δέ εἰσι τῆς δουλοπρεπείας καὶ τῆς κατακλίσεως, ἢ φόβος, ἢ αἰδὼς, ἢ κολακεία, ἢ ἔνδεια, ἢ

TRADVCENDVS modò sermo est ad medium cælestium virtutum ordinem. Non dixit autem ordinem, sed adornationem; quoniam hæc ipsa rursum tres ordines habet. Κόσμου itaque seu ornatu pro ordine dicto, & Præpositione διὰ seu *per* trãsitum vel distinctionem denotante, διακόσμησιν, id est, adornationem seu distributionem dixit, ordinem nimirum in tria distributum. Videamus igitur, sed supermundialibus intellectilibusque oculis, quoad possumus, Dominationes ac Virtutes ac Potestates. Duo itaque hi ordines, Virtutes sunt ac Potestates, quoniam à virtute nomen acceperunt: potestas enim nihil aliud est quàm habitus, qui cõgruæ voluntati virtutẽ congruentem obtinet. Dixi autem *congruæ*, quoniam qui potens est, posset etiam velle impossibilia, sed non adipiscetur quæ cupit; atq; idcircò vtrorumq; possibilia dixit spectacula. Non autem dixit Cogitationes; siquidem cogitatio motus est animæ, qui non subsistit: sed Spectacula, siue res quæ effectum sortiuntur, & oculis supermundialibus supraque sensum, quoad fieri potest, spectantur. Etenim vnumquodque cognomen mentium diuinarum, Diuinitatis imitatrices earumdem deiformes demonstrat ac signat proprietates. Angelorum autem Deum imitans proprietas alia est alîus, v. g. Virtutum est potentia, Dominationum verò libertas; quæ vtique in Deo indistincta sunt & superlata: siquidem diuinum Numen ipsum per se liberum, per se potens est, communiter autem omnibus omnia est. Hactenus autem vt plurimùm cuilibet eorum quid proprium ab Auctore distributum est, vt ea quæ sunt ordinis eorum, secundùm proprietatem suam conseruarentur. Nomen itaque quod sanctas designat Dominationes, existimo declarare absolutũ aliquem, & ab omni terrenâ vilitate liberum ad superna transitum: idcircò enim liber est, quòd nullo prorsus modo quidquam sit quo detineri dicatur. Caue verò dicas, eum prorsus dixisse, quòd partialiter quandoque inclinetur: nullo itaque modo tyrannicâ dissimilitudine quapiam inclinatur. Modi autem seruitutis atq; inclinationis sunt, vel timor, vel pudor, vel adulatio, vel egestas, vel passio, vel

§. 1.

Quid Dominationes mysticè designent.

PARAPHRASIS PACHYMERÆ.

vel etiam omnia simul, vel aliqua: quæ omnia profectò longè absunt à Dominationibus, per quæ fortè deterioribus subiiceretur, vel istiusmodi ad superna transitus impediretur. Hæc enim deteriora dicit & materialia, tyrannicasque inæqualitates, secundùm quas qui modò elatus est, per timorem vel quid simile deiicitur; & qui modò deiectus est, rursum elatus fit per affectionem: quoniam hic etiam ab istiusmodi affectione tyrannicè gubernatur. Istiusmodi etiam sunt illa materialia, vt quæ numquam in eodem statu permanent, sed semper permutantur. Hisce omnibus tyrannicis, materialibus & inanibus inæqualitatibus liberæ sunt Dominationes, vtpote incorruptæ, omnique seruitute superiores. Ne quis mihi dicat hîc, eos non habere timorem ac seruitutem Dei: audiat enim, vt non istiusmodi timorem, neque talem seruitutem dicat, sed eam quæ est rerum deteriorum, sensibilium inquam, & corporearum; illa enim non sinunt ea quæ vera sunt considerare. Nam à quo quis deuictus est, eius & seruus factus est, hanc etiam imminuentem vocat. Idcircò etiam ab omni deiectione ac subiectione liberę sunt, & eximuntur ab omni inæqualitate, ne modò quidem fortè sublimes sint, modò verò omnibus subiectæ. Desiderant autem verum dominatum, & principium dominationum, id est, Diuinitatem; atque boniformiter semper non semetipsas tantùm, verùm etiam inferiores, quoad fieri potest, semper transformant ad propriam veramque Dei, siue dominatus principij, similitudinem & assimilationem. Obserua verò, quomodo non appetant omnino gradum sublimiorem: ambiuerant enim aliquæ primam distributionem, & affectio erat in eis, atque tyrannicæ passioni subiectæ sunt. Non ita istæ, sed appetunt, & quodammodò obtinent per dilectionem, dominatum, & principij dominatus similitudinem; ita vt aliàs non essent dominationes, nisi hoc modo erga Conditorem suum afficerentur, ita vt inde statum dominationis accipiant. Ad nihil autem eorum quæ temerè apparent conuertuntur, quales sunt res corporeæ & indecorę; sed ad id quod verè est, scilicet Deum, atque ita, quantum in eis est, participes fiunt deiformitatis ipsiusmet principij dominationum, sic vt etiam ipsæ sint Dominatus ac Dominationes. Eorum autem ad superna

ἐμπάθεια, ἢ καὶ πάντα ὁμοῦ, ἢ τινά· ἃ δὴ πάντα τῆς Κυριότητος πόῤῥω εἰσὶ, δι' ἃ τυχὸν ὑποκλιθεῖεν τοῖς χείροσιν, ἢ διακοπεῖεν τῆς τοιαύτης ἀναγωγῆς. Ταῦτα γὰρ τὰ χείρω καὶ ὑλικὰ λέγει, καὶ τυραννικὰς ἀνομοιότητας, καθ' ἃς ὁ νῦν τυχὸν ὑψηλὸς, χαμηλὸς διὰ φόβον, ἢ διά τι τοιοῦτον· καὶ ὁ νῦν χαμηλὸς, αὖθις ὑψηλὸς δι' ἐμπάθειαν· τυραννεῖται γὰρ καὶ οὗτος παρὰ τῆς ἐμπαθείας. Τοιαῦτα δέ εἰσι καὶ τὰ ὑλικὰ, ὡς μηδέποτε μένοντα ἐπὶ ταυτότητος, ἀλλ' ἀεὶ μεταβάλλοντα. Τούτων ἁπάντων τῶν τυραννικῶν ἀνομοιοτήτων, τῶν ὑλικῶν τε καὶ εἰκαίων, ἐλεύθεροί εἰσιν αἱ Κυριότητες, ὡς ἀμείλικτοι, καὶ πάσης δουλοπρεπείας ὑπερκείμεναι. Μή μοι οὖν λεγέτω τις, ὅτι καὶ τί πρὸς τὸν Θεὸν οὐκ ἔχουσι τὸν φόβον καὶ τὴν δουλοποιΐαν· ἀκουέτω γὰρ, ὅτι οὐ τοιοῦτον φόβον καὶ οὐ τοιαύτην φησὶ δουλοπρέπειαν, ἀλλὰ τὴν πρὸς τὰ χείρω, τὰ αἰσθητά φημι καὶ σωματικά· ταῦτα γάρ οὐ συγχωροῦσι τὰ ὄντως ὄντα ἐννοεῖν. Ὧι γὰρ ἥττηταί τις, τούτῳ καὶ δεδούλωται, ταύτην καὶ μειωτικὴν λέγει. Διὸ καὶ ἀνένδοτοί εἰσιν ὑφέσει πάσῃ καὶ ὑποβιβασμῷ, καὶ ἐξῄρηνται ἁπάσης ἀνομοιότητος, ὡς νῦν μὲν ἴσως εἶναι ὑψηλὰς αὐτὰς, νῦν δὲ ὑποβεβηκυίας παντάπασιν. Ἐφίενται δὲ τῆς ὄντως κυριότητος, καὶ τῆς τῶν κυριοτήτων ἀρχῆς, ἤγουν τῆς Θεότητος· καὶ ἀγαθοειδῶς ἀεὶ διαπλάττουσι μὴ μόνον ἑαυτὰς, ἀλλὰ καὶ τὰς μετ' αὐτὰς, ὡς ἐφικτὸν, πρὸς τὴν ἐμφέρειαν καὶ τὴν ὁμοίωσιν τὴν κυρίαν καὶ ἀληθινὴν αὐτῆς, ἤγουν τῆς κυριαρχίας. Ὅρα δὲ ὅτι οὐκ ἐφίενται πάντως ὑψηλοτέρου βαθμοῦ· εἶχον γὰρ ἂν τὴν ἔφεσιν πρὸς τὴν πρώτην διακόσμησιν, καὶ ἐμπάθεια ἦν ἐν αὐτοῖς, καὶ τυραννικῷ ἐδεδούλωντο πάθει. Οὐ τοῦτο γοῦν, ἀλλ' ἐφίενται, καὶ οἱονεὶ ἀγαπητικῶς ἔχουσι τῆς κυρίας καὶ κυριαρχικῆς ἐμφερείας, ὡς ἄλλως μὴ ὂν Κυριότητας αὐτὰς εἶναι, ἢ οὕτως ἐχούσας πρὸς τὸν Ποιητὴν αὐτῶν, ὡς λαμβάνειν ἐκεῖθεν τὴν τῆς κυριότητος σύστασιν. Ἐπιστρέφονται δὲ πρὸς οὐδὲν τῶν εἰκῇ δοκούντων, ἤγουν τῶν σωματικῶν καὶ μὴ προσηκόντων, ἀλλὰ πρὸς τὸ κυρίως ὂν, τὸν Θεὸν, καὶ γίνονται ἐν μετουσίᾳ τῆς κυριαρχικῆς θεοειδείας κατὰ τὸ δυνατὸν αὐτῆς, ὡς εἶναι καὶ ταύτας κυρείας καὶ κυριότητας. Ἀμείλικτον δὲ φησὶ κυριότητα,

τὴν

PARAPHRASIS PACHYMERÆ.

τὴν ἀναγωγὴν αὐτῶν, οἱονεὶ ἀκολάκευτον, ἀπαρέγκλιτον, μηδενὶ γαργαλισμῷ τῆς ὕλης ὑποκλινομένην. Λύει δὲ ἐνταῦθα καὶ σφάλματι τῶν Ἑλληνικῶν Φιλοσόφων, καὶ εὐσεβῶς ἐπισκήπτει· ἐκεῖνοι γὰρ ἰδίας τινὰς δυνάμεις τρεῖς ἀμειλίκτους προσηγόρευσαν, προελθούσας εἰς ὕπαρξιν ἔκ τινων περὶ αὐτῶν ἑτέρων τριῶν δυνάμεων, οὐ μὴν ἐκ Θεοῦ δημιουργηθείσας ἰδικῶς· καί φασιν εἶναι τοὺς ἀμειλίκτους τούτους ὑποπεζίους τῶν προβαλλομένων αὐτὰς νοητῶν δυνάμεων, ἀναστέλλοντας ὥσπερ καὶ ἐπιβαίνοντας καὶ ἀντεχομένους τῶν περὶ αὐτῶν, τοῦ μὴ πεσεῖν εἰς ὕλην, καὶ ἀσθενεστέρους κατὰ τοῦτο, καὶ προβαλλομένων ἑαυτοὺς, καθ᾽ ὃ δέονται, εἰς τὸ κατέχειν ἑαυτοὺς εἰς τὸ ἄπτωτον. Ταῦτα μὲν οὖν ὡς ἐν ἐπιτόμῳ, τὰ ἐκείνων, ὁ δὲ Ἅγιος σοφῶς τὰ ἐναντία πάντα αὐτοῖς φησίν· ἐκ Θεοῦ γὰρ αὐτὰς δημιουργικῶς ὑποστῆναι φησὶν, οὗ καὶ τὴν ἐμφέρειαν ἔχουσιν εἰς κυριότητα· αὐτὰς δὲ τὸ ἀμείλικτον κατὰ πάσης ὑφέσεως τῷ λόγῳ τῆς κυριότητος ἔχειν λέγει, κοπτούσας ὥσπερ καὶ διατεμνούσας, καὶ οὐκ ἐώσας κρατεῖν τὴν πρὸς τὰ αἰσθητὰ ἐπιθυμίαν, οὐ μὴν τὰς περὶ αὐτῶν ἀναστελλούσας. Ἄρα τοίνυν λέγει, ὅτι καὶ ἀμείλικτοι εἰσὶ πρὸς τὸ χεῖρον, καὶ τὴν κυριότητα ἔχουσι· κἀντεῦθεν τῶν περὶ αὐτῶν οὐκ ἐξέρχονται, ὅπως μὴ εἰς ὕλην πέσοιεν. Τὴν δὲ τῶν ἁγίων Δυνάμεων ὀνομασίαν οἴομαι δηλοῦν κατὰ κοινοῦ ἀῤῥενωπόν τινα καὶ ἑδραίαν ἀνδρίαν, ἄθικτον, ἀθήλυντον, ἀνένδοτον. Μὴ γὰρ ἀκούων θηλυκῷ ὀνομαζομένας ὀνόματι, εἰς θηλυπρεπές τι κατάξῃς τὰς θείας Δυνάμεις· ἡ γὰρ τοῦ ἀῤῥενωποῦ σημασία καὶ λέξις, ἐπὶ γυναικῶν ἀνδριζομένων καὶ ἀῤῥενοφρόνων λέγεται, ἢ ἀῤῥένων ἰσχὺν ἐχουσῶν. Ἔχουσι δὲ τὴν ἀνδρείαν· εἰς τί; οὐ πρὸς τὰ ἐπαγόμενα δυσχερῆ τε καὶ λυπηρὰ, καθάπερ ἐστὶν ἐν ἡμῖν, ταῦτα γὰρ οὔτε ταῖς θείαις Δυνάμεσι προσήκοντα· καὶ ἔξωθεν τὴν κίνησιν ἔχουσιν, ὡς ἄλλως μὴ ὂν φανῆναι τὴν τοιαύτην ἀνδρείαν, εἰ μὴ ἐπαναστάίη τὸ δυσχερές. Οὐ πρὸς ταῦτα γοῦν, ἀλλ᾽ εἰς πάσας τὰς κατ᾽ αὐτὴν θεοειδεῖς ἐνεργείας. Κατ᾽ αὐτὴν δὲ εἶπον, ὅτι ἐστὶν ἑκάστῃ ἰδία ἡ θεία ἐνέργεια, ὥστε μὴ ἐξασθενεῖν πρὸς μηδεμίαν ὑποδοχὴν τῶν ἐνδιδομένων ἐλλάμψεων, καὶ οἷον πάσχειν ὑπ᾽ αὐτῆς· οἷός ἐστιν ὁ μὴ τῷ πυρὶ δαπανώμενος λίθος, ὃς πυροῦται μὲν, οὐ καίεται δέ· οὕτως καὶ ἐνταῦθα δυνατῶς ἐπὶ

transitum, dominationem vocat inflexibilem, quasi adulationis & criminis exortē, nullâ materiæ titillatione inclinatā. Soluit autem hîc etiam errorē quemdam Philosophorum Gentilium, quem religiosè perstringit: illi enim proprias quasdā virtutes tres inflexibiles appellabāt, quę ex aliis quoq; tribus prioribus virtutibus in lucem prodierant, non autē à Deo propriè fuerant procreatę: aiuntq;, has inflexibiles spiritalibus iis, à quibus productæ fuerant, virtutibus substratas, vt retinerent quodāmodò & subirent, ac cohiberent priores illas, ne in materiam dilaberentur; atque hoc infirmiores esse iis quæ seipsas produxerunt, quòd debeāt semetipsas continere, ne labantur. Hæc quidem tamquam in compendio sunt illorum, hic autem sanctus sapienter iis omnia contraria tradit: ex Deo enim eas per creationem productas asserit, cuius etiam similitudinem in dominatu tenent. ipsas tamen inflexibilitatem erga omnem submissionem ratione dominationis habere dicit, quasi cædentes & dissecantes, & non sinentes superare cupiditatem sensibilium, non tamen eas quæ præcedunt cohibentes. Dicit itaque, quòd & inflexibiles sint ad malum, & dominatum teneant; atque hinc pręcedentes minimè excedunt, ne in materiam dilabantur. Sanctarum autem Virtutum nomen existimo in communi significare masculam quamdam & constantem virilitatem, rigidam, asperam, seueram. Neque verò audiens, Virtutes illas diuinas femineo nomine nuncupatas, muliebre quid iis ad scribas: virilis enim significatio dictióque de feminis virilibus, & virili mente præditis, aut virili robore pollentibus, enuntiatur. Habent autem virilitatem: ad quid? non ad difficultates incidentes, tristitiasque, vt in nobis accidit, hæc enim neque Virtutibus diuinis conueniunt: & ab extrinseco mouentur, vt aliter istiusmodi virilitas apparere nequeat, nisi difficultas exoriatur. Non itaque ad hæc tantùm virilitatem obtinent, sed ad omnes suas deiformes actiones. Dixi autem suas, quia cuilibet sua propria diuina competit operatio, ita vt non deficiat in vllâ sibi inditâ illustratione suscipiendâ, nec ab eâ quidquam patiatur; qualis est lapis qui igne non consumitur, qui ignescit quidem, sed non comburitur: sic etiam hîc,

Gentilium virtutes inflexibiles quales fuerint.

PARAPHRASIS PACHYMERÆ.

dum potenter ad Deum imitandum adducitur, attamen non deiicitur, neque præ imbecillitate deiformem motum deserit, sed constanter intuetur in virtutem omni substantiâ superiorem, & ipsarummet virtutum conditricem, eiusdemque, quoad fieri potest, imago virtutiformis efficitur. Quemadmodum enim natura diuina illi virtutem suppeditat, sic & hæc inferioribus: & secundùm quod quidem ipsa virtus est, secundùm primam rationem, ad differentiam earum quæ post ipsam sunt (hoc enim est *ἀρχιδύναμος* seu princeps virtutum) iuxta gratiam sibi à Deo datam habet, vt ad Deum virtutum auctorem validè conuersa sit: in quantum verò etiam inferiores ab hac habent quòd virtutes sint, vim suam in illas traiicit ac distribuit, secundùm diuinam prorsus imitationem. Porrò nomen sanctarum Potestatum declaratiuum, existimo significare ordinem prædictis illis duobus æqualem, benè ordinatum, decorum, & inconfusum circa diuinas illustrationes: proprium enim potestatis est, ea quæ incidunt in ordinem dirigere, idque sine temeritate ac confusione. Cùm enim potestas virtus sit secundùm voluntatem ipsi conuenientem (vt inordinatè quid & confusè vel dicat vel agat is qui præditus est potestate, in quod solum potens sit & potestatem habeat, idque quando nihil incidit extrinsecus quod impediat potestatem; tunc vtique non est potestas ista potestatem habētis, sed temporis, vel fortè inimici, vel tristitiæ vel alicuius alterius) hoc in Potestatibus etiam diuinis locum habet. Cùm enim hæc omnia ab ipsis aliena sint, habeât autem potestatem à diuinâ gratiâ indiuisam atque indeficientem, diuinas etiam illustrationes ordinatè & inconfusè recipiunt, ac benè dispositi sunt ad spiritalem & supermundialem arbitrij libertatem; quoniam semper arbitrij sui potestatem habent, nec modò quidem sic, modò verò aliter affecti sunt. Cùm autem potestas alia quidem legitima sit, alia verò tyrannica (infert enim potestas etiam tyrannidem, iuxta illud, Tyrannum non facile est colere) & quando quidem legitima potestas obtinetur, impotens est ad bonum; quando autem illegitima & tyrannica, tunc propriâ vi ad malum abutitur: facit hîc Sanctus diuisionem potestatis, ac dicit, Virtutes sanctas non tyran-

Quid Potestates mysticè designent.

τὸ θεομίμητον ἀναγομένη, ὅμως οὐχ ἡττᾶται καὶ ἀπολείπει ἀνανδρίᾳ τὴν θεοειδῆ κίνησιν, ἀλλ' ἀῤῥεπῶς ἀφορᾷ εἰς τὴν ὑπὲρ πᾶσαν οὐσίαν, δύναμιν τὴν καὶ αὐτὰς τὰς δυνάμεις δημιουργήσασαν, καὶ ταύτης εἰκὼν γίνεται κατὰ τὸ ἐφικτὸν δυναμοειδής. Ὡς γὰρ ἡ θεία φύσις ἐνδυναμοῖ, οὕτω καὶ αὕτη τὰς ὑποβεβηκυίας· καὶ καθ' ὃ μὲν αὕτη ἐστὶ δύναμις κατὰ πρῶτον λόγον, πρὸς ἀντιδιαστολὴν τῶν μετ' αὐτήν (τοῦτο γάρ ἐστι τὸ Ἀρχιδύναμος) δυνατῶς ἔχει κατὰ τὴν δοθεῖσαν χάριν ἀπὸ Θεοῦ ἐπιστρέφεσθαι πρὸς τὴν αἰτίαν τῶν δυνάμεων, τὸν Θεόν· καθ' ὃ δὲ καὶ ὑποβεβηκυῖαι ταύτῃ δυνάμεις εἰσί, πρόεισιν εἰς ἐκείνας, διδοῦσα τὴν δύναμιν κατὰ θείαν πάντως μίμησιν. Τὴν δὲ τῶν ἁγίων Ἐξουσιῶν ἐκφαντορικὴν ὀνομασίαν οἶμαι δηλοῦν, ἥτις ἐστὶ καὶ ὁμοταγὴς τῶν προῤῥηθέντων δύο ταγμάτων, τὴν εὐταξίαν τὴν εὔκοσμον καὶ ἀσύμφυρτον περὶ τὰς θείας ἐλλάμψεις· τοῦτο γάρ ἐστιν ἴδιον τῆς ἐξουσίας, τὸ κατὰ τάξιν τὰ παρεμπίπτοντα διαθετεῖν, καὶ δίχα τινὸς περπερισμοῦ καὶ συμφύρσεως. Ἐπεὶ γὰρ ἡ ἐξουσία δύναμίς ἐστι κατὰ τὴν ἑαυτῆς προσήκουσαν θέλησιν (ἵνα τί ἀτάκτως καὶ συμφυρτικῶς ἢ εἴποι ἢ διαπράξεται ὁ ἐξουσιάζων, εἰς ὃ μόνον δύναται καὶ ἐξουσιάζει, καὶ ὅτε μὴ παρεμπίπτει ἔξωθέν τι τὴν ἐξουσίαν διακόπτον· τότε γὰρ οὐ τοῦ ἐξουσιάζοντός ἐστιν ἡ ἐξουσία, ἀλλὰ τοῦ καιροῦ, ἢ τυχὸν τοῦ ἐχθροῦ, ἢ τῆς λύπης, ἢ ἄλλου τινός) τοῦτο ἐστι καὶ ἐπὶ τῶν θείων Ἐξουσιῶν. Ἐπεὶ γὰρ ταῦτα πάντα ἀλλότρια εἰσι τούτων, ἔχουσι δὲ τὴν ἐξουσίαν κατὰ θείαν χάριν ἀδιεχῆ καὶ ἀδιάκοπον, ὑποδέχονται καὶ τὰς θείας ἐλλάμψεις εὐκόσμως καὶ ἀσυμφύρτως, καὶ εὔτακτοί εἰσι πρὸς τὴν νοερὰν καὶ ὑπερκόσμιον αὐτεξουσιότητα· ἀεὶ γὰρ αὐτεξούσιοί εἰσι, καὶ οὐ ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἄλλως. Ἐπεὶ δὲ τῆς ἐξουσίας, τὸ μέν ἐστιν ἔνθεσμον, τὸ δὲ τυραννικὸν (ἐπιφέρεται γὰρ ἡ ἐξουσία καὶ τὴν τυραννίδα κατὰ τό, Τὸν τύραννον οὐ ῥᾴδιον εὐσεβεῖν) καὶ ὅτε μὲν τοῦ ἐνθέσμου ἔχεται ἡ ἐξουσία, ἀκράτητός ἐστι πρὸς τὸ ἀγαθόν· ὅτε δὲ τοῦ ἀθέσμου καὶ τυραννικοῦ, τῇ σφετέρᾳ δυνάμει πρὸς τὰ χείρω ἀποκέχρηται· ποιεῖται ἐνταῦθα τὴν διαίρεσιν τῆς ἐξουσίας ὁ Ἅγιος, καὶ λέγει, ὅτι οὐ τυραννικῶς ἐπὶ τὰ χείρω τῶν δυνάμεων ἀποκέχρηνται αἱ ἅγιαι Ἐξουσίαι,

PARAPHRASIS PACHYMERÆ.

ἀλλὰ ἐπὶ τὰ θεῖα ἀκρατήτως, ὅπερ ἐστὶν ἴδιον τῆς ἐξουσίας μετ' εὐταξίας, ὃ καὶ αὐτὸ τοῦ ἐνθέσμου τῆς ἐξουσίας. Μὴ μόνον αὗται ἀνάγονται, ἀλλὰ καὶ τὰ μετ' αὐτὰς ἀνάγουσιν ἀγαθοειδῶς (οὐκ ἔστι γὰρ φθόνος, οὐδὲ γλισχρότης τις, οὐδὲ φειδωλία περὶ ἀγαθοῦ) καὶ πρὸς τὴν αἰτίαν αὐτῶν, ἣν καὶ ἐξουσιοποιὸν καὶ ἐξουσιαρχίαν φησὶ (τὸ μὲν, ὡς τὰς Ἐξουσίας δημιουργήσασαν καὶ ποιήσασαν, τὸ δὲ, ὡς τῶν Ἐξουσιῶν ἄρχουσαν), ἀφομοιοῦνται ὡς θεμιτόν. Τοῦτο γάρ ἐστιν αὐταῖς ἡ τελείωσις, ἡ κατὰ τὸ ἐφικτὸν ἀφομοίωσις· καὶ ταύτην τὴν θείαν ἀφομοίωσιν, καθὼς ἔνι ἐν τοῖς Ἀγγέλοις, ἀναλάμπουσιν ἐν ταῖς κατὰ ταύτας εὐκόσμοις τάξεσι τῆς ἐξουσιαστικῆς δυνάμεως, δηλονότι ἐν ταῖς Δυνάμεσι καὶ ἐν ταῖς Κυριότησιν· αὗται γὰρ εἰσὶν αἱ κατ' αὐτὰς τάξεις. Εἰ γὰρ μιμνησκόμεθα, ἐλέγομεν ἔμπροσθεν, ὅτι τὰ πᾶσιν ὑπάρχοντα, ἰδίως ἑκάστῳ ἐπὶ πλέον ἀπονενέμηται, ἵνα ἐντεῦθεν τὰ τῆς τάξεως διαφυλαχθήσονται· τοῦτο γὰρ σημαίνει καὶ τὸ Ἀναλαμπούσης. Ἢ καὶ ἄλλως τὸ Ἀναλαμπούσης, διὰ τὴν τοῦ φωτὸς ἰδιότητα· ἀνωφερὲς γὰρ τὸ φῶς, εἰ καὶ ἡ τούτου ἔλλαμψις καὶ ἐν τοῖς κάτω γίνεται. Πληρώσας τὰς θεοειδεῖς ἰδιότητας τῆς μέσης διακοσμήσεως, μέτεισιν ἐπὶ τὴν Ἱεραρχίαν αὐτῶν, τὴν κάθαρσιν, τὸν φωτισμὸν, τὴν τελείωσιν. Καθαίρεται τοίνυν, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται καθ' ὃν εἴρηται τρόπον ἐπὶ τῇ πρώτῃ διακοσμήσει, ὅτι κἀκείνη καὶ αὕτη ὑπὸ τῶν θεαρχικῶν ἐλλάμψεων, πλὴν αὕτη δευτέρως διὰ τῆς πρώτης· διὰ γὰρ μέσης ἐκείνης τῆς πρωτοφανῶς ἐχούσης τὰς τελειώσεις, δευτεροφανῶς αἱ ἐλλάμψεις διαπορθμεύονται.

Διὰ τοῦτο τὴν ἀκοὴν τὴν δι' ἄλλου εἰς ἄλλον Ἄγγελον λεγομένην διαπορθμεύεσθαι παρά τε τῷ Ζαχαρίᾳ, καὶ Δανιὴλ, καὶ Ἰεζεκιὴλ τοῖς Προφήταις, σύμβολον ποιησόμεθα τῆς πόῤῥωθεν ἐπιτελουμένης, καὶ διὰ μέσης ἑτέρας τάξεως τελειώσεως, τῆς διὰ τὴν πρόοδον τὴν εἰς δευτέρωσιν ἀμυδρουμένης. Ἀμυδρουμένην δὲ τὴν τελείωσιν εἶπεν, οὐ διὰ τὴν οἰκείαν αὐτῆς ἀτονίαν, ἀλλὰ παρὰ τὸ ὑφειμένον τῶν δεχομένων· τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν Δευτέρωσιν τελειώσεως, τουτέστι τὸ ἀμυδρότερον τελεῖσθαι τὰ δεύτερα. Ἀναλογίαν ποιεῖται τῶν λόγων αὐτοῦ, ἀπὸ τῶν παρ' ἀνθρώποις τελειώσεων, καὶ τοῦτο οὐ τίθησιν ἀφ' ἑαυτοῦ, ἀλλ' ἀπὸ τῶν δεινῶν περὶ τὰς ἱερὰς ἡμῶν τελετάς. Ὡς γοῦν

ad mala virtutibus abuti, sed animo inuicto ad diuina tendere; quod est proprium potestatis benè ordinatæ, atque adeò etiam legitimæ. Neque tantùm ipsæ ad superna transeunt, verùm etiam inferiores suas boniformiter adducunt (non enim est inuidia, neque tenacitas, neque parsimonia bono) & ad Auctorem suum, quem Potentificũ & potentiæ principatum vocat (illud quidem, quoniam Potestates condidit ac creauit; hoc verò, quia Potestates regit) quantum fas est, assimilantur. Siquidem ipsarum perfectio est Dei, quanta fieri potest, assimilatio: hancque diuinam assimilationem, quantum licet Angelis, accendunt in suis ornatissimis ordinibus potestatiuæ virtutis, scilicet in Virtutibus & Dominationibus. hæ enim sunt ordinis eiusdem cum iis. Siquidem rectè meminimus, diximus anteà, quidquid vniuersim accidit, cuilibet vt plurimùm secundùm modum proprium distribui, vt sic ea quæ sunt ordinis seruentur; hoc enim propter lucis proprietatem significat etiam vox *accendit*. Vel etiam aliter *accendit*, propter lucis proprietatem: lux enim sursum fertur, tametsi eius illustratio deorsùm etiam fiat. Deiformibus proprietatibus mediæ distributionis absolutis, transit ad earum Hierarchiam, id est, expiationem, illuminationem, & perfectioñe. Expiatur itaque, & illuminatur atque perficitur eo modo quo dictum est in primâ distributione, quoniam tam illa quàm hæc sub diuinis est illustrationibus, verùm hæc secundo loco per primam; illa enim mediante quæ primâ luce perficitur, secundæ illustrationis radij traiiciuntur.

Quomodo à superioribus ad inferiores transmittantur illustrationes.

Itaque notitiam, quæ à Zachariâ, & Daniele, & Ezechiele Prophetis, per alium ad alium Angelum transfusa dicitur, exemplum faciamus perfectionis quæ eminus procurata, progressu ac profusione subobscurè ad inferiores peruenit. Obscuram autem perfectionem dixit, non propter propriam eius remissionem, sed propter imbecillitatem recipientium: hoc enim significat, vocando secundas partes initiationis, id est obscuriùs initiari secunda. Verborum suorum exemplum sumit ab iis quæ apud homines sunt initiationibus, idque non à semetipso, sed ab ipsismet sacrorum peritis initiatoribus nostris. Quem- §.2.

PARAPHRASIS PACHYMERÆ.

admodum enim illi dicunt, per se apparentes plenitudines atque illustrationes (iuxta illud, Ioan. 1,16. *De plenitudine eius omnes accepimus*) perfectiores esse iis quæ per alias diuinas participationes hauriuntur (initiati enim, siue, vt sic dicam, perfecti sunt diuini Apostoli ab ipsomet Saluatore nostro Iesu Christo ac Deo, vel à sancto viuificoque Spiritu tempore Pentecostes; consecrati etiam sunt summi Sacerdotes per ipsos; attamen perfectior omnino est eorum consecratio:) quemadmodum inquam, qui in diuinis excellentes sunt, de his aiunt; ita etiam existimo hunc Sanctum dicere, immediatam participationem primæ distributionis euidentiorem esse eâ quæ mediantibus aliis confertur. Idcircò etiam ex sacerdotali traditione habemus, primos sequentium perfectores, & illuminatores, & expiatores nominari, vt qui ab eis adducantur ad omnium principium, diuinasque participent expiationes, illuminationes ac consecrationes: siquidem hoc à Deo diuinis etiam ordinibus lege statutum est, vt quæ secunda sunt, per prima diuinas participent illuminationes. ordo enim tam cælestia quàm terrestria continet. Sermonem suum, quòd secunda mediantibus primis illustrentur, confirmat à diuinis sacrisque Prophetis, quos & Theologos vocat, vt qui sermones Dei nobis annuntiant. Hoc vtique, inquit, à Theologis expressum reperias, ac primùm à Zachariâ: cùm enim Dei clementia (nam Dei punitio quoque clementia est, iuxta illud, Paterna etiam correctio benignitas existit: quoniam instar patris deduxit ac direxit Israel, quandoq; quidem promissionibus bonorum, quandoque verò minis ac suppliciis:) quando inquam Dei clementia Israelem erudiens per captiuitatem Babyloniorum (hoc autem pro sacrâ eius salute contigit; omnis enim salus à Deo sacra est, quia non tãtùm corpus seruat, sed etiam animam) vt ad creatorem ipsum conuerteret, vltricibus ac feris gentibus tradidit corrigendum; & vt ad meliorem frugem traduceret, aliquando quidem gentibus tradidit, aliquando verò à captiuitate liberauit, & ad pristinã benignè clementerque ac magnificè fortunam reduxit. Videt ille Theologus Zacharias quemdam primorum (vt existimo, propter eorum quæ dicuntur reuerentiam) Angelorum (Angelorum inquam, pro-

ἐκεῖνοι φασὶ τὰς αὐτοφανεῖς ἀποπληρώσεις καὶ ἐλλάμψεις (κατὰ τὸ, Ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν) τῶν δι᾽ ἑτέρων θείων μεθέξεων τελειοτέρας εἶναι (ἐτελέσθησαν γάρ, φέρε εἰπεῖν, οἱ θεῖοι Ἀπόστολοι παρ᾽ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ· ἢ παρὰ τοῦ ἁγίου καὶ ζωαρχικοῦ Πνεύματος, ἐν τῷ καιρῷ τῆς Πεντεκοστῆς, ἐτελέσθησαν καὶ οἱ Ἀρχιερεῖς δι᾽ αὐτῶν, καὶ τελειοτέρα πάντως ἐστὶν ἐκείνων ἡ τελείωσις·) ὡς γοῦν οἱ δεινοὶ τὰ θεῖα φασὶ περὶ τούτων, οὕτως οἶμαι φησὶν ὁ Ἅγιος, τὴν ἄμεσον μετουσίαν τῆς πρώτης διακοσμήσεως ἐναργεστέραν εἶναι τῶν δι᾽ ἑτέρων μέσων ἀποτελουμένων. Διὸ καὶ ἐξ ἱερατικῆς παραδόσεως ἔχομεν, ὅτι τελεσταὶ καὶ φωτουργοὶ καὶ καθαρτικοὶ οἱ πρῶτοι τῶν δευτέρων ὀνομάζονται, ὡς δι᾽ αὐτῶν ἀναγομένων τούτων ἐπὶ τὴν πάντων ἀρχήν, καὶ ἐν μετουσίᾳ γινομένων τῶν θείων καθάρσεων φωτισμῶν καὶ τελειώσεων· τοῦτο γάρ ἐστι νενομοθετημένον καὶ περὶ τοῦ Θεοῦ τοῖς θείοις τάγμασι, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα, τῶν θείων μετέχειν ἐλλάμψεων. τάξις γὰρ συνέχει τά τε οὐράνια καὶ τὰ ἐπίγεια. Συνιστᾷ τὸν λόγον αὐτοῦ, ὅτι διὰ μέσων τῶν πρώτων οἱ δεύτεροι ἐλλάμπονται, ἀπὸ τῶν θείων καὶ ἱερῶν Προφητῶν, οὓς καὶ Θεολόγους φησίν, ὡς λόγους Θεοῦ ἡμῖν ἐξαγγέλλοντας. Εὑρήσεις γοῦν, λέγει, τοῦτο δηλούμενον τοῖς Θεολόγοις· καὶ πρῶτον τῷ Ζαχαρίᾳ· ἡνίκα γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία (ἡ γὰρ τοῦ Θεοῦ τιμωρία, φιλανθρωπία ἐστί, κατὰ τό, Γίνεται φιλανθρωπία, ἡ τιμωρία ἡ πατρική· ὡς γὰρ πατὴρ ἦγε καὶ ἐπαιδαγώγει τὸν Ἰσραήλ, ποτὲ μὲν δι᾽ ἐπαγγελιῶν τῶν ἀγαθῶν, ποτὲ δὲ δι᾽ ἀπειλῶν καὶ τιμωριῶν) ἡνίκα γοῦν ἡ τοῦ Θεοῦ φιλανθρωπία τὸν Ἰσραὴλ παιδεύσασα δι᾽ αἰχμαλωσίας τῶν Βαβυλωνίων (τοῦτο δὲ γέγονεν ὑπὲρ τῆς ἱερᾶς αὐτοῦ σωτηρίας· πᾶσα γὰρ σωτηρία παρὰ Θεοῦ, ἱερά ἐστιν, ὅτι οὐχ ἁπλῶς σῶμα σώζει, ἀλλὰ καὶ ψυχήν) ἵν᾽ ἐπιστρέφῃ πρὸς τὸν ποιήσαντα, τιμωροῖς καὶ ἀγρίοις ἔθνεσι παρέδωκεν εἰς ἐπανόρθωσιν· καὶ ἵνα μετάγῃ ἐπὶ τὸ κρεῖττον, ποτὲ μὲν παρεδίδου τοῖς ἔθνεσι, ποτὲ δὲ τῆς αἰχμαλωσίας ἠφίει, καὶ πρὸς τὴν προτέραν ἐπιεικῶς καὶ φιλανθρώπως καὶ μεγάλως ἐπανῆγεν εὐπάθειαν. Ὁρᾷ ὁ Θεολόγος Ζαχαρίας ἕνα τῶν πρώτων (οἶμαι λέγων διὰ τὴν τῶν λεγομένων εὐλάβειαν) καὶ τῶν περὶ Θεὸν Ἀγγέλων (Ἀγγέλων δὲ λέγω, διὰ τὴν κοινὴν

τὴν ἐπωνυμίαν, ἐπεὶ ἄλλως ὕστερον οὐ πρῶτον τάγμα οἱ Ἄγγελοι) παρ' αὐτοῦ τοῦ Θεοῦ μαθόντα τοὺς παρακλητικοὺς λόγους· ἕτερον δὲ τῶν ὑποβεβηκότων Ἀγγέλων, πρὸς ὑπάντησιν τοῦ πρώτου προπορευόμενον (τάχα μὲν τοῦ Προφήτου, τάχα δὲ πρὸ τοῦ τὸν μείζονα Ἄγγελον ἐλθεῖν πρὸς αὐτὸν, τῆς προθέσεως σημαινούσης χρόνον τινα) καὶ ὑπαντῶντα πρὸς ὑποδοχὴν τῆς ἐλλάμψεως· εἶτα καὶ μυούμενον τὴν θείαν βουλὴν παρ' αὐτοῦ, ὡς παρὰ πρώτου Ἱεράρχου, καὶ ἐπιτρεπόμενον εἰς τὸ μυῆσαι τὸν Θεολόγον, ὅτι κατάκαρπος κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων. Λέγει γὰρ ὁ θεοπτικώτατος Ζαχαρίας· Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. Καὶ εἶπα πρὸς αὐτὸν, Ποῦ πορεύῃ; καὶ εἶπε πρός με, Διαμετρῆσαι τὴν Ἱερουσαλὴμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι, καὶ πηλίκον τὸ μῆκος. Καὶ ἰδοὺ Ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει, καὶ Ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτοῦ, καὶ εἶπε πρὸς αὐτὸν, λέγων, Δράμε, καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον, λέγων· Κατάκαρπος κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων. Καὶ ταῦτα μὲν τὰ τοῦ Προφήτου ῥητά· σὺ δὲ ὅρα, πῶς λέγει ὁ Προφήτης Ἐξεπορεύετο, ὁ δὲ θεῖος οὗτος ἀνὴρ Προεπορεύετο. Ἴσθι δὲ, ὅτι ὁ λαλῶν τοὺς παρακλητικοὺς ἐν τῷ Ζαχαρίᾳ, οὗτός ἐστιν ὁ τὸ θεῖον ἀμέσως μαθὼν θέλημα, καθὼς λέγει· Καὶ ἀπεκρίθη Κύριος παντοκράτωρ τῷ Ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ ῥήματα καλὰ, καὶ λόγους παρακλητικοὺς, οὗ τινος ἱσταμένου, προεπορεύθη, ἤγουν ἐξεπορεύθη ἕτερος, πρὸς ὃν εἶπεν ἐκεῖνος ὁ λαλῶν, Δράμε, καὶ εἰπὲ τὸ καὶ τό. Ἕτερος δὲ τῶν Προφητῶν ὁ Ἰεζεκιὴλ, καὶ παρ' αὐτῆς τῆς ἐπὶ τῶν Χερουβὶμ Θεότητος, πανιέρως νομοθετηθῆναι τὸ τοιοῦτον, ἤγουν τὴν τοιαύτην τάξιν· τὸν γὰρ Ἰσραὴλ, ὡς εἴρηται, διὰ τῆς τιμωρίας φιλανθρώπως καὶ πατρικὸν τρόπον ἐπὶ τὸ κρεῖττον μετάγουσα, ἐν δικαιοσύνῃ Θεῷ πρεπούσῃ διαχωρίζεσθαι τῶν ὑπευθύνων τοὺς ἀνευθύνους ἐδικαίωσε. Τοῦτο μυεῖται πρῶτος μετὰ τὰ Χερουβὶμ, ὁ τὴν ὀσφὺν σαπφείρῳ περιεζωσμένος, ὃς τὸν ποδήρη ὡς Ἱεράρχης ἐνδεδύκει· τὸ γὰρ σχῆμα ἱερατικὸν, οὐ γὰρ ἦν τῶν κολαζόντων, ἀλλὰ τῶν λυτρουμένων τοὺς σωτηρίας ἀξίους. Τοὺς δὲ λοιποὺς ἓξ Ἀγγέλους τοὺς τιμωρητικοὺς, οἳ τοὺς πέλυκας εἶχον, ἡ θεϊκὴ ταξιαρχία

PARAPHRASIS PACHYMERÆ.

pter commune nomen; cùm alioquin vltimus, non autem primus ordo Angelorum sit,) ab ipsomet Deo discentem verba consolationis; alterum autem inferiorum Angelorum primo isti obuiàm præcedentem (forsitan quidem Prophetæ, fortè verò antequam maior Angelus ad ipsum venisset, Præpositione nimirum spatium aliquod denotante) & ad illustrationem capiendam occurrentem; deinde etiam ab ipso diuinum consilium, tamquam à Sacerdote summo, percepisse, iussumque Theologum docere, futurum vt frugifera Ierusalem à magnâ hominum multitudine incolenda foret. Ait enim Dei perspicacissimus Zacharias: Et leuaui oculos meos, & vidi: & Zach. 2, 1.
ecce vir, & in manu eius funiculus geometricus. Et dixi ad eum: Quò vadis? & dixit ad me: Vt metiar Ierusalem, & videam quanta sit latitudo eius, & quanta longitudo eius. Et ecce Angelus, qui loquebatur in me, stabat, & alius Angelus egrediebatur in occursum ei. Et ait ad eum dicens: Curre, & loquere ad adolescentem illum, dicens: Frugifera habitabitur Ierusalem à multitudine hominum. Et hæc quidem verba sunt Prophetæ: tu verò considera quomodo dicat Propheta, Egressus est; hic autem vir diuinus, Præcedebat. Scito autem, quòd qui loquitur consolatorios sermones in Zachariâ, ipse sit qui immediatè diuinam voluntatem didicit, quemadmodum ait: Et respondit Dominus omnipotens Angelo loquenti in me verba bona, & sermones consolatorios, quo stante præcessit, siue egressus est alius, ad quem dixit ille qui loquebatur, Curre, & dic hoc & hoc. Quidam etiam alius Propheta Ezechiel, à Ezech. 10, & 12.
Deitate ipsâ, quæ Cherubim transcendit, sacrosanctè quid simile siue talem ordinem sancitum ait: cùm enim Israeliticum populum, vt dictum est, clementia paterna per disciplinam ad frugem traduceret meliorem, æquitate Deo dignâ reos ab insontibus secernendos censuit. Hoc primus post Cherubim docetur ille cuius renes sapphiro præcincti erant, quique talari veste tamquam Pontifex amiciebatur. habitus enim ille sacerdotalis est, nec erat punientium, sed liberantium eos qui salute digni erant. Ceteros deinde sex Angelos securibus armatos iubet diuina ordinatio

PARAPHRASIS PACHYMERÆ.

ab eo qui poderé gerebat diuinum iudicium edoceri: illi enim qui poderem ferebat præcipiebat, vt per mediam Ierusalem transiret, atque signum daret in frontibus innocentum: aliis autem dicebat, Exite post eum, & percutite, & nolite parcere, ad omnes autem super quos est signũ ne appropinquetis. Illud itaque, Exite post eum, quid aliud significat, quàm, Habetote hunc ducem rerum agendarum, vt qui meam quoq; sciat volũtatem? Verba autẽ
Ezech. 9,2 Prophetę sic habẽt: Et ecce sex viri veniebant de viâ portæ excelsæ respicientis ad Aquilonẽ, & vniuscuiusque vas exterminationis in manu eius. Et vir vnus in medio eorum vestitus veste talari, & zona sapphiri super lumbo eius. Et ingressi sunt, & steterunt adhærentes altari æneo: & gloria Dei Israel ascendit de Cherubim existens super eos, & vocauit virum qui indutus erat veste talari, qui habuit super lũbo eius zonã sapphiri, & dixit Dominus ad eum, Transi mediam Ierusalem, & da signum super frontes virorum gementium & dolentium super cunctis iniquitatibus quę fiunt in medio eius. Et illis dixit audiente me: Ite in ciuitatem post eum, & percutite, & nõ parcatis oculis vestris, & non misereamini: Senem & iuuenẽ, & virginem & paruulos, & mulieres interficite ad deletionem, super autem omnes super quos est signum ne appropinquetis. Quid autem quis dicat de illo Angelo, qui Danieli ait hoc & hoc? narratur enim in decimâ visione Danie-
Dan. 9,21. lis: Et ecce vir Gabriel, quem vidi in visione in principio, volans, & tetigit me quasi horâ sacrificij vespertini, & erudiuit me, & locutus est mecum, & dixit, Daniel nunc egressus sum vt præberem intelligentiam. In principio deprecationis tuæ egressus est sermo, & ego veni vt annuntiarem tibi, quia vir desideriorum es tu. Vel iterùm, quid dicat aliquis de illo qui ignem accepit, vt in Ezechiele narratur? ait
Ezech. 10, 6. enim: Et factum est, cùm præcepisset ipse viro qui indutus erat stolâ sanctâ dicens, Sume ignem de medio rotarum, de medio Cherubim: & intrauit, & stetit adhærens rotis, & extendit Cherub manum suam in medium ignis existentis in medio Cherubim, & accepit & dedit in manus eius qui indutus erat stolam sanctam, & accepit & egressus est. Hoc

κελεύει παρὰ τοῦ φοροῦντος τὸν ποδήρη μυεῖσθαι τὴν τοῦ Θεοῦ κρίσιν· τῷ μὲν γὰρ φοροῦντι τὸν ποδήρη ἔφη, μέσην διελθεῖν τὴν Ἱερουσαλὴμ, καὶ δοῦναι σημεῖον ἐπὶ τὰ τῶν ἀνευθύνων πρόσωπα· τοῖς ἄλλοις δὲ λέγει, Πορεύεσθε ὀπίσω αὐτοῦ, καὶ κόπτετε, καὶ μὴ φείδεσθε, ἐπὶ δὲ πάντας, ἐφ' ὅσους ἐστὶ τὸ σημεῖον, μὴ ἐγγίσητε. Τὸ γοῦν Πορεύεσθε ὀπίσω αὐτοῦ, τί ἄλλο δηλοῖ, ἢ ὅτι, Ἔχετε τοῦτον ἔξαρχον τῶν πραττομένων, τὸν εἰδότα καὶ τὸ ἐμὸν βούλημα; Ἔχει δὲ καὶ τὰ τοῦ Προφήτου ῥητὰ ἐπὶ λέξεως οὕτω· Καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς ὑψηλῆς, τῆς βλεπούσης πρὸς Βοῤῥᾶν, καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ εἷς ἀνὴρ ἐν μέσῳ αὐτῶν, ἐνδεδυκὼς ποδήρη, καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ. Καὶ εἰσήλθοσαν, καὶ ἔστησαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ· καὶ δόξα τοῦ Θεοῦ τοῦ Ἰσραὴλ ἀνέβη ἀπὸ τῶν Χερουβὶμ ἡ οὖσα ἐπ' αὐτῶν, καὶ ἐκάλεσε τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη, ὃς εἶχεν ἐπὶ τῆς ὀσφύος τὴν ζώνην· καὶ εἶπε Κύριος πρὸς αὐτὸν, Δίελθε μέσην τῆς Ἱερουσαλὴμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων, καὶ τῶν κατοδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῆς. Καὶ τούτοις εἶπεν ἀκούοντός μου, Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε, καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε· πρεσβύτερον καὶ νεανίσκον, καὶ παρθένον, καὶ νήπια, καὶ γυναῖκα ἀποκτείνατε εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε. Τί ἄν τις εἴποι περὶ τοῦ Ἀγγέλου φήσαντος τῷ Δανιὴλ τὸ καὶ τό; Φέρεται γὰρ ἐν τῇ δεκάτῃ ὁράσει τοῦ Δανιήλ· Καὶ ἰδοὺ ὁ ἀνὴρ Γαβριὴλ, ὃν εἶδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετόμενος, καὶ ἥψατό μου ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς, καὶ ἐσυνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπε, Δανιὴλ, νῦν ἐξῆλθον συμβιβάσαι σύνεσιν. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. Ἢ πάλιν, τί λέγοι ἄν τις περὶ τοῦ τὸ πῦρ ἀνειληφότος, καθὼς ἐν τῷ Ἰεζεκιὴλ φέρεται; λέγει γὰρ, Καὶ ἐγένετο αὐτὸν ἐν τῷ ἐντέλλεσθαι τῷ ἀνδρὶ τῷ ἐνδεδυκότι τὴν στολὴν τὴν ἁγίαν, λέγων, Λάβε πῦρ ἐκ μέσου τῶν τροχῶν, καὶ ἐκ μέσου τῶν Χερουβίμ· καὶ εἰσῆλθε, καὶ ἔστη ἐχόμενος τῶν τροχῶν· καὶ ἐξέτεινεν ὁ Χεροὺβ τὴν χεῖρα αὐτοῦ εἰς μέσον τοῦ πυρὸς τοῦ ὄντος ἐν μέσῳ τῶν Χερουβὶμ, καὶ ἔλαβε, καὶ ἔδωκεν εἰς τὰς χεῖρας τοῦ ἐνδεδυκότος τὴν στολὴν τὴν ἁγίαν, καὶ ἔλαβε, καὶ ἐξῆλθε. Τοῦτο

λέγει

 PARAPHRASIS PACHYMERÆ.

λέγει καὶ περισσότερον εἰς εὐταξίας λόγον ὁ Ἅγιος, ὅτι ἐνετείλατο τῷ ἐνδεδυκότι τὴν στολὴν, λαβεῖν τὸ πῦρ· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν λαβεῖν τὸ πῦρ, ἓν τῶν Χερουβὶμ διηκόνησε, καὶ ἔλαβε τὸ πῦρ, καὶ ἔδωκε πρὸς τὰς χεῖρας ἐκείνου. Ἢ πάλιν, τί ἂν λέγοι τις περὶ τοῦ κεκληκότος τὸν θειότατον Γαβριὴλ, καθὼς ἐν τῇ θ ὁράσει τοῦ Δανιὴλ φέρεται; Καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, ἐγὼ Δανιὴλ, τὴν ὅρασιν, καὶ ἐζήτουν σύνεσιν· καὶ ἰδοὺ ἔστη ἐνώπιον ἐμοῦ ὡς ὅρασις ἀνδρὸς, καὶ ἤκουσα φωνὴν ἀνδρὸς ἀναμέσον τοῦ *Οὐβάλ· καὶ ἐκάλεσε, καὶ εἶπε· Γαβριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν. καὶ ἦλθε, καὶ ἔστη ἐχόμενος τῆς στάσεώς μου· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν, ἐθαμβήθην, καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ εἶπε πρός με, Σύνες υἱὲ ἀνθρώπου. Τί δέ; λέγοι τις· καὶ ὅσα ἄλλα παρὰ τῶν ἱερῶν Προφητῶν εἴρηται περὶ τῆς εὐκοσμίας τῶν οὐρανίων, πρὸς ἣν καὶ ἡ εὐταξία τῆς παρ' ἡμῖν Ἱεραρχίας, κατὰ τὸ δυνατὸν ἀφομοιοῦται· μίμημα γὰρ τῆς τῶν ἄνω μυστικῆς Ἱεραρχίας, τὰ ἐν τῇ Ἐκκλησίᾳ τελούμενα, καὶ ταῦτα τῆς ἐκείνων εὐπρεπείας εἰκόνες εἰσί· τυποῦται γὰρ ἡ καθ' ἡμᾶς Ἱεραρχία δι' ἐκείνης, καὶ ἀνάγεται πρὸς αὐτὸν τὸν Θεὸν, τὸν ὑπερούσιον ταξιαρχίαν ἁπάσης Ἱεραρχίας, τὸν πάσης ἱερᾶς τάξεως ἀρχηγόν.

*Οὐλαΐ

Sanctus hîc ait ordinis Angelici rationem luculentiùs confirmare, quòd induto stolam præceptum sit ignem accipere, dumque iret vt ignem acciperet, quemdam Cherubim ei ministrasse, ignemque acceptum in manus ipsi tradidisse. Rursum, quid dicat quis de eo qui vocauit diuinissimum Gabrielem, sicut in nonâ visione Danielis commemoratur? Et factum est, cùm viderem ego Daniel visionem, Dan. 8, 16. & quærerem intelligentiam, & ecce stetit in conspectu meo quasi visio viri, & audiui vocem viri inter Vlai: & vocauit, & dixit: Gabriel fac intelligere illum visionem. & venit, & stetit iuxta stationem meam; & cùm veniret ipse turbatus sum, & cado in faciem meam. & dixit ad me: Intellige fili hominis. Quid verò? dicat quis: etiam cetera, quæ à sacris Prophetis dicta sunt de decoro ordine cælestium, cui sacer hic ordo noster hierarchicus, quoad fieri potest, assimilatur: siquidem superioris illius mysticę Hierarchiæ imitatio quædam sunt quæ in Ecclesiâ perficiuntur, & hæc decoris eorum quædam sunt imagines; siquidē hæc nostra Hierarchia per illam efformatur & ad Deum adducitur, qui supernaturalis ordinis principatus est omnis Hierarchiæ, omnemque sacrum ordinem instituit.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν Ἀρχῶν, καὶ τῶν Ἀρχαγγέλων, καὶ τῶν Ἀγγέλων, καὶ περὶ τῆς τελευταίας αὐτῶν Ἱεραρχίας.

CAPVT IX.

De Principatibus, Archangelis & Angelis, deque vltimâ eorumdem Hierarchiâ.

SYNOPSIS CAPITIS.

1. Exponit quid significent Principatus. 2. Quid Archangeli & Angeli; & quodnam sit horum officium. 3. Ostendit non Angelis imputandum esse, quòd aliqui sub illorum directione non proficiant: illos enim & Deum ex parte suâ nemini deesse, exemplis probat. 4. Declarat diuinam erga omnes prouidentiam; & quo sensu Israël peculiariter pars Domini dictus sit.


ΟΙΠΟΣ ἡμῖν εἰς θεωρίαν ἱερὰν διάκοσμος, ὁ τὰς Ἀγγελικὰς συγκλείων Ἱεραρχίας, ὁ πρὸς τῶν θεοειδῶν Ἀρχῶν, Ἀρχαγγέλων τε καὶ Ἀγγέλων διακοσμούμενος. Καὶ


ELIQVA nobis ad contemplandum superest sacra illa distinctio, quæ Angelicas cōcludit Hierarchias, deiformibus Principatibus, Archangelis, & Angelis adornata. §.1.

TEXTVS S. DIONYSII.

nata. Ac primùm quidem pro virili necessariò mihi explicandas censeo sacrorum eorum nominum significationes : nomen siquidem cælestium Principatuum significat eorum, cum sacro quodam principalibusq; virtutibus conuenientissimo ordine, deiformiter principandi atque gubernandi potestatem, nec non ad superprincipalem principatum totaliter se conuertendi, & ad ipsum alios quoque principaliter ducendi, ipsiusque principificis formam principatus in semetipsis, quantum fas est, exprimendi, eiusdemque superessentialem ordinandi principatum, in principalium virtutum dispositione declarandi facultatem.

Principatus quid significent.

§. 2. Sanctorum verò Archangelorum ordo, cælestibus quidem istis Principatibus æqualis perhibetur. Est equidem, vti dixi, vna illorum atque Angelorum Hierarchia, eademque distinctio ; verùm cùm nulla sit Hierarchia, quæ non primas & medias vltimasque virtutes habeat, sanctus Archangelorum ordo, iure quodam hierarchico communi, medietate suâ continet extremas : sanctissimis enim Principatibus communicat & sanctis Angelis; illis quidem, quoniam ad superessentialẽ Principatum principaliter conuersus est, & ad ipsum, quantum fas est, efformatur, nec non Angelis decoro suo atque ordinato, qui aspectum effugit, ducatu vnionis auctor existit; his autem, quia etiam ordinis est dictatorij, diuinasque illustrationes hierarchicè per primas virtutes suscipiens, exinde iis ipsis Angelis eas-

Archangeli quid.

πρώτας μὲν εἰπεῖν ἀναγκαῖον οἶμαι κατὰ τὸ ἐμοὶ δυνατὸν, τὰς τῶν ἁγίων αὐτῶν ἐπωνυμιῶν ἐκφαντορίας· ἐκφαίνει γὰρ ἡ μὲν τῶν οὐρανίων Ἀρχῶν, τὸ θεοειδῶς ἀρχικὸν καὶ ἡγεμονικὸν μετὰ τάξεως ἱερᾶς, καὶ ταῖς ἀρχικαῖς πρεπωδεστάτης δυνάμεσι, καὶ τὸ πρὸς τὴν ὑπεράρχιον ἀρχὴν αὐτάς τε ὁλικῶς ἐπεστράφθαι, καὶ ἑτέρων ἀρχικῶς ἡγεῖσθαι· καὶ τὸ πρὸς αὐτὴν ἐκείνην ὡς δυνατὸν ἀποτυποῦσθαι τὴν ἀρχοποιὸν ἀρχὴν, ἀναφαίνειν τε τὴν ὑπερούσιον αὐτῆς ταξιαρχίαν, τῇ τῶν ἀρχικῶν εὐκοσμίᾳ δυνάμεων.

Ἡ δὲ τῶν ἁγίων Ἀρχαγγέλων, ὁμοταγὴς μέν ἐστι ταῖς οὐρανίαις Ἀρχαῖς. Ἔστι γὰρ αὐτῶν τε καὶ τῶν Ἀγγέλων, ὡς ἔφην, Ἱεραρχία μία καὶ διακόσμησις· πλὴν ἐπείπερ οὐκ ἔστιν Ἱεραρχία, μὴ καὶ πρώτας, καὶ μέσας, καὶ τελευταίας δυνάμεις ἔχουσα, ἡ τῶν Ἀρχαγγέλων ἁγία τάξις, κοινωνικῶς τῇ ἱεραρχικῇ μεσότητι τῶν ἄκρων συνειλαμβάνεται· ταῖς τε γὰρ ἁγιωτάταις Ἀρχαῖς κοινωνεῖ, καὶ τοῖς ἁγίοις Ἀγγέλοις· ταῖς μὲν, ὅτι πρὸς τὴν ὑπερούσιον ἀρχὴν ἀρχικῶς ἐπέστραπται, καὶ πρὸς αὐτὴν ὡς ἐφικτὸν ἀποτυποῦται, καὶ τοὺς Ἀγγέλους ἑνοποιεῖ κατὰ τὰς εὐκόσμους αὐτῆς καὶ τεταγμένας καὶ ἀοράτους ἡγεμονίας· τοῖς δὲ, ὅτι καὶ τῆς ὑποφητικῆς ἐστι τάξεως, τὰς θεαρχικὰς ἐλλάμψεις ἱεραρχικῶς διὰ τῶν πρώτων δυνάμεων ὑποδεχομένη, καὶ τοῖς Ἀγγέλοις αὐτὰς ἀγα-

θεοειδῶς

θεοειδῶς ἀγγέλλουσα, καὶ δι᾽ Ἀγγέλων ἡμῖν ἀναφαίνουσα, κατὰ τὴν ἱερὰν ἑκάστου τῶν θείων ἐλλαμπομένων ἀναλογίαν. Οἱ γὰρ Ἄγγελοι, καθὼς ἤδη προειρήκαμεν, συμπληρωτικῶς ἀποπερατοῦσι τὰς ὅλας τῶν οὐρανίων νοῶν διακοσμήσεις, καὶ τὸ τελευταῖον ὡς ἐν οὐρανίαις οὐσίαις ἔχοντες τὴν Ἀγγελικὴν ἰδιότητα· καὶ μᾶλλον πρὸς ἡμῶν Ἄγγελοι παρὰ τοὺς προτέρους οἰκειότερον ὀνομαζόμενοι, ὅσῳ καὶ περὶ τὸ ἐμφανέστερον αὐτοῖς ἐστιν ἡ Ἱεραρχία, καὶ μᾶλλον περικόσμιος. Τὴν μὲν γὰρ ὑπερτάτην, ὡς εἴρηται, διακόσμησιν, ὡς τῷ κρυφίῳ πρωτοταγῶς πλησιάζουσαν κρυφιοειδῶς οἰητέον ἱεραρχεῖν τῆς δευτέρας· τὴν δὲ δευτέραν, ἣ συμπληροῦται πρὸς τῶν ἁγίων Κυριοτήτων, καὶ Δυνάμεων, καὶ Ἐξουσιῶν, τῆς τῶν Ἀρχῶν καὶ Ἀρχαγγέλων καὶ Ἀγγέλων Ἱεραρχίας, ἡγεῖσθαι, τῆς πρώτης μὲν Ἱεραρχίας ἐμφανέστερον, τῆς δὲ μετ᾽ αὐτὴν κρυφιωδέστερον· τὴν δὲ τῶν Ἀρχῶν, καὶ Ἀρχαγγέλων, καὶ Ἀγγέλων, ἐκφαντορικὴν διακόσμησιν, ταῖς ἀνθρωπείαις ἱεραρχίαις δι᾽ ἀλλήλων ἐπιστατεῖν, ἵν᾽ ᾖ κατὰ τάξιν ἡ πρὸς Θεὸν ἀναγωγή, καὶ ἐπιστροφή, καὶ κοινωνία, καὶ ἕνωσις, καὶ μὴν καὶ ἡ παρὰ Θεοῦ πάσαις ταῖς ἱεραρχίαις ἀγαθοπρεπῶς ἐνδιδομένη, καὶ κοινωνικῶς ἐπιφοιτῶσα, καὶ μετ᾽ εὐκοσμίας ἱερωτάτης πρόοδος. Ἔνθεν ἡ Θεολογία τὴν καθ᾽ ἡμᾶς Ἱεραρχίαν Ἀγγέλοις ἀπονενέμηκεν, ἄρχοντα τοῦ Ἰουδαίων λαοῦ τὸν Μιχαὴλ ὀνομάζουσα, καὶ ἄλλους ἐθνῶν ἑτέρων· ἔστησε γὰρ ὁ Ὕψιστος ὅρια

dem beneuolè annuntiat, nobisque per Angelos manifestat, pro cuiusque illorum, qui diuinis illustrationibus afflantur, ad res sacras capacitate. Ipsi enim Angeli, sicut *Angeli qui.* prædiximus, omnes cælestium intelligentiarum ordines complendo terminant, vt qui nouissimè cælestes inter essentias, Angelicam sortiti sint proprietatem; adeoque præ superioribus istis, hoc rectiùs à nobis Angeli vocentur, quò magis ipsorum Hierarchia res euidentiores ac mundanas attingat. Siquidem supremam illam, vti dictum est, distinctionem, tamquam secreto illi sacratissimo primo ordine propinquam, magis abditè putandum est secundæ res sacras moderari; secundam verò, quæ sanctis Dominationibus & Virtutibus ac Potestatibus expletur, Potestatum & Archangelorum atque Angelorum Hierarchiæ præsidere, primâ quidem Hierarchiâ manifestiùs, sed occultiùs, sequente: porrò Principatuum, Archangelorum atque Angelorum ordinem explanatorium humanis per vices præesse Hierarchiis, vt hoc ordine ad Deum sit ascensus, & conuersio communioque atque vnio, quæ etiam à Deo omnibus Hierarchiis beneuolè affletur, communicationeque quadam inseratur, cumque decoro sacratissimo promanet. Hinc Theologia nostram Hierar- *Angeli sunt nostri rectores.* chiam Angelis attribuit, cùm populi Iudæorum principem appellet Michaëlem, aliosque gentium aliarum: statuit enim Altissimus *Dan. 10.*

TEXTVS S. DIONYSII.

Deut. 32. terminos gentium, iuxta numerum Angelorum Dei.

§. 3. Quòd si quærat aliquis, quare populus Hebræorum solus ad diuinas illustrationes sit euectus; respondendum vtique, rectis Angelorũ gubernationibus nequaquam imputandum esse, ceterarum gentium ad falsos deos defectionẽ, sed eas ipsas motibus propriis à rectâ, quæ ad Deum ducebat, viâ deflexisse, per amorem proprium, suamque peruicaciam, & rerum, quibus diuini quidpiam inesse arbitrabantur, absurdum cultum. Hoc ipsum Hebræorum populo vsu venisse confirmatur: Osee 4. *Agnitionem*, (enim inquit) *Dei repulisti, & post cor tuum ambulasti*. Neque enim vita nobis est, cui vis illata, aut imposita necessitas, nec eorum quæ prouidentur libertate, diuini radij illustrationis, quæ à prouidentiâ manat, obtunduntur: sed oculorum mentis dissimilitudo facit, vt exundans paternæ bonitatis illustratio vel omnino cassa sit, & propter eorum repugnantiam inutilis; vel eius participationes existant inæquales, paruæ vel magnæ, obscuræ vel claræ, cùm vnus sit & simplex, eodemque modo semper se habeat fontalis ille radius qui iugiter est expansus: præsertim cùm ceteris quoque gentibus (è quibus & nos emersimus ad illud diuini luminis immensum & exundans pelagus, quod in promptu omnibus ad participandum est expansum) non alieni quidam dij præfuerint, sed vnum omnium principium, & ad illud Angeli, qui cuiusque gentis curam gerebant, eos qui sequebantur, reducebant.

Quòd aliqui non proficiant, id non est Angelis imputandum, nec Deo.

Deus nemini deest ex parte suâ.

ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ.

Εἰ δέ τις φαίη, καὶ πῶς ὁ τῶν Ἑβραίων λαὸς ἀνήγετο μόνος ἐπὶ τὰς θεαρχικὰς ἐλλάμψεις· ἀποκριτέον, ὅτι μὴ τὰς τῶν Ἀγγέλων εὐθείας ἐπιστασίας αἰτιᾶσθαι χρὴ τῆς τῶν ἑτέρων ἐθνῶν ἐπὶ τοὺς οὐκ ὄντας θεοὺς ἀποπλανήσεως, ἀλλ' αὐτοὺς ἐκείνους οἰκείαις ῥοπαῖς ἐκ τῆς ἐπὶ τὸ θεῖον εὐθείας ἀναγωγῆς ἀποπεπτωκότας, τῇ φιλαυτίᾳ καὶ αὐθαδείᾳ, καὶ τῇ τῶν αὐτοῖς δοκούντων θεοπρεπῶν ἀναλόγῳ σεβασμιότητι. Τοῦτο μαρτυρεῖται καὶ αὐτὸς ὁ τῶν Ἑβραίων λαὸς πεπονθέναι· Ἐπίγνωσιν γὰρ Θεοῦ, φησὶν, ἀπώσω, καὶ ὀπίσω τῆς καρδίας σου ἐπορεύθης. Οὐδὲ γὰρ ἠναγκασμένην ἔχομεν ζωὴν, οὐδὲ διὰ τὴν τῶν προνοουμένων αὐτεξουσιότητα, τὰ θεῖα φῶτα τῆς προνοητικῆς ἐλλάμψεως ἀπαμβλύνεται· ἀλλ' ἡ τῶν νοερῶν ὄψεων ἀνομοιότης, τὴν ὑπερπλήρη τῆς πατρικῆς ἀγαθότητος φωτοδοσίαν, ἢ παντελῶς ἀμέθεκτον ποιεῖ, καὶ πρὸς τὴν αὐτῶν ἀντιτυπίαν ἀδιάδοτον, ἢ τὰς μετουσίας ποιεῖ διαφόρους, μικρὰς ἢ μεγάλας, ἀμυδρὰς ἢ φανάς, τῆς μιᾶς καὶ ἁπλῆς καὶ ἀεὶ ὡσαύτως ἐχούσης καὶ ὑπερηπλωμένης πηγαίας ἀκτῖνος· ἐπεὶ ὅτι γε καὶ τῶν ἑτέρων ἐθνῶν (ἐξ ὧν καὶ ἡμεῖς ἀνενεύσαμεν ἐπὶ τὸ πᾶσιν ἑτοίμως εἰς μετάδοσιν ἀναπεπταμένον τοῦ θεαρχικοῦ φωτὸς ἄπειρόν τε καὶ ἄφθονον πέλαγος) οὐκ ἔκφυλοί τινες ἐπεστάτουν θεοί· μία δὲ πάντων ἀρχὴ, καὶ πρὸς ταύτην ἀνῆγον τοὺς ἑπομένους,

μθύες, οἱ καθ' ἕκαςον ἔθνος ἱεραρχοῦντες Ἄγγελοι. Τὸν Μελχισεδὲκ ἐννοητέον Ἱεράρχην ὄντα φιλοθεώτατον, οὐ τῶν οὐκ ὄντων, ἀλλὰ τοῦ ὄντως ὄντος ὑψίςου Θεοῦ· καὶ γὰρ οὐχ ἁπλῶς τὸν Μελχισεδὲκ οἱ Θεόσοφοι οὐ φιλόθεον μόνον, ἀλλὰ καὶ Ἱερέα κεκλήκασιν, ἢ ἵνα τοῖς ἐχέφροσιν ἐναργῶς ἐμφαίνωσιν, ὅτι μὴ μόνον αὐτὸς ἐπὶ τὸν ὄντως ὄντα Θεὸν ἐπέςραπτο, προσέτι δὲ καὶ ἄλλοις ὡς Ἱεράρχης ἡγεῖτο τῆς ἐπὶ τὴν ἀληθῆ καὶ μόνην θεαρχίαν ἀναγωγῆς.

Καὶ τοῦτο δὲ τὴν σὴν Ἱεραρχικὴν σύνεσιν ὑπομνήσωμεν, ὅτι καὶ τῷ Φαραὼ πρὸς τοῦ τοῖς Αἰγυπτίοις ἐπιςατοῦντος Ἀγγέλου, καὶ τῷ Βαβυλωνίων ἄρχοντι πρὸς τοῦ οἰκείου, ἡ τῆς πάντων προνοίας καὶ κυριότητος κηδεμονικὸν καὶ ἐξουσιαςικὸν κατὰ τὰς ὁράσεις διεπορθμεύετο, καὶ τοῖς ἔθνεσιν ἐκείνοις οἱ τοῦ ὄντως Θεοῦ θεράποντες, ἡγεμόνες καθίςαντο τῆς τῶν τυπωθεισῶν ὑπὸ τῶν Ἀγγελικῶν ὁράσεων ἐκφαντορίας, τοῖς τῶν Ἀγγέλων ἐγγὺς ἱεροῖς ἀνδράσι, τῷ Δανιὴλ, καὶ τῷ Ἰωσὴφ ἐκ Θεοῦ δι' Ἀγγέλων ἀποκαλυφθείσης· μία γάρ ἐςιν ἡ πάντων ἀρχὴ καὶ πρόνοια. Καὶ οὐδαμῶς οἰητέον, Ἰουδαίων μὲν ἀποκληρωτικῶς ἡγεῖσθαι τὴν θεαρχίαν, Ἀγγέλους δὲ ἰδίως, ἢ ὁμοτίμως, ἢ ἀντιθέτως, ἢ θεούς τινας ἑτέρους ἐπιςατεῖν τοῖς ἄλλοις ἔθνεσιν· ἀλλὰ καὶ τὸ Λόγιον ἐκεῖνο κατὰ τὴν δὲ τὴν ἱερὰν ἔννοιαν ἐκληπτέον, οὐχ ὡς μερισαμένου Θεοῦ μεθ' ἑτέρων θεῶν ἢ Ἀγγέλων τὴν καθ' ἡμᾶς ἡγεμονίαν, καὶ τοῦ Ἰσραὴλ εἰς ἐθναρχίαν καὶ ἐθναγὸν ἀποκλη-

titus sit gubernationem, atque

que nationi præfecti erant, sequaces suos adducerent. Considerare libet Melchisedech Pontificem illum Deo charissimum, qui nequaquã inanium deorum, sed altissimi veriq; Dei Sacerdos fuit: neque enim simpliciter Melchisedechum Theologi non solùm Dei amicum, sed & Sacerdotem appellarunt; vt vel sic prudentioribus apertè indicarent, non modò ipsum ad verum Deum fuisse conuersum, verùm etiam aliis ad veram & solam supremamque Deitatem prouehendis ducem extitisse.

Probatur exemplo Melchisedech. *Gen. 14.*

§. 4. Illud quoque Pontificiæ tuæ scientiæ commemorabimus, vt & Pharaoni ab Angelo Ægyptiorum præside, & Babyloniorum Principi à proprio itidem, omnibus prospicientis atque dominantis prouidentia potestasque per visiones fuerit intimata, vtq; gentibus istis veri Dei ministri, ductorum instar, fuerint præfecti, ad figuratas illas Angelicas visiones interpretandas, quæ viris sanctis Angelorum similibus, Danieli inquam & Iosepho, ex parte Dei per Angelos antè fuerant reuelatæ: vnum quippe omnium est principium vnaque prouidentia. Neque vllo modo putandum est, quasi Iudæis quidem sortitò Deus præfuerit, Angeli autem seorsum, vel æqualiter, vel oppositè, aut alij etiam dij ceteris gentibus imperitarint: sed hoc Eloquium sano quodam sensu sacro intelligendum est, non quasi Deus cum aliis diis Angelísve nostri partem... Israëliticæ gentis principatum at-

Gen. 41. *Dan. 2.* *Prouidentia Dei in omnes.*

TEXTVS S. DIONYSII.

que ducatum ipse sortitus sit; sed quòd, cùm Altissimi vnica illa rerum omnium prouidentia, cunctos homines ad salutem Angelorum ductibus tradiderit promouendos; solus fermè Israël, præ omnibus, ad veri Dei notitiam & illustrationem fuerit conuersus. Itaque Theologia, cùm populum Israëliticum se veri Dei cultui mancipasse narrat, ait, *Factus est pars Domini*; cùm autem ostendit, eum quoque, pari cum ceteris nationibus iure, sanctorum cuidam Angelorum fuisse consignatum, vt eius operâ vnicum illud rerum omnium principium agnosceret, Michaëlem Iudaico populo præfectum tradit, apertè docens, vnicam esse omnium prouidentiam, quæ cunctis simul tam inuisibilibus quàm visibilibus virtutibus superessentialiter præstet; omnes autem Angelos singularum gentium præfectos, ad illud ipsum principium, vt proprium, eos, qui vltrò ac sponte sequantur, deducere.

Psal. 134. Deut. 32. *Israel quomodo pars Domini dictus.*

Dan. 10.

ρωθέντος· ἀλλ' ὡς, αὐτῆς μὲν τῆς μιᾶς ἁπάντων ὑψίστου προνοίας, πάντας ἀνθρώπους σωστικῶς ταῖς τῶν οἰκείων Ἀγγέλων ἀναγωγικαῖς χειραγωγίαις διανεμησάσης, μόνου δὲ σχεδὸν παρὰ πάντας τοῦ Ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως Κυρίου φωταγωγίαν καὶ ἐπίγνωσιν ἐπιστραφέντος. Ὅθεν ἡ Θεολογία, τὸ μὲν ἑαυτὸν ἀποκληρῶσαι τὸν Ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως Θεοῦ θεραπείαν ἐμφαίνουσα, τὸ, Ἐγενήθη μερὶς Κυρίου, φησίν· ἐνδεικνυμένη δὲ τὸ, καὶ αὐτὸν ἐν ἴσῳ τοῖς λοιποῖς ἔθνεσιν ἀπονεμηθῆναι τινὶ τῶν ἁγίων Ἀγγέλων, εἰς τὸ δι' αὐτοῦ τὴν μίαν ἁπάντων ἀρχὴν ἐπιγνῶναι, τὸν Μιχαὴλ ἔφη τοῦ Ἰουδαίων ἡγεῖσθαι λαοῦ, σαφῶς ἡμᾶς ἐκδιδάσκουσα τὸ, μίαν εἶναι τῶν ὅλων πρόνοιαν, ἁπασῶν τῶν ἀοράτων καὶ ὁρατῶν δυνάμεων ὑπερουσίως ὑπεριδρυμένην· πάντας δὲ τοὺς καθ' ἕκαστον ἔθνος ἐπιστατοῦντας Ἀγγέλους, ἐπ' αὐτὴν ὡς οἰκείαν ἀρχὴν τοὺς ἑπομένους ἐθελουσίως ὅση δύναμις ἀνατείνοντας.

ANNOTATIONES CORDERII.

§. I.



EXPLICAT nomina proprietatesque Principatuum, Archangelorum & Angelorũ, qui vltimam constituunt Hierarchiam. Ac Principatus quidem subditis Angelis præsunt, & eos ad ministerium diuinum explendum disponunt. Ad hos pertinet, secundùm Dionysium, vniuersale regimen, v.g. vnius regni vel gentis, vel regni ad Dei similitudinem manuductio; secundùm Gregorium quoque, eorum ministerium est, docere homines, exhibere reuerentiam vnicuique secundùm gradum suum. Horum etiam est promouere homines, vt non propter vtilitatem propriam, sed propter solius Dei amorem & honorem, faciant iustitiam.

Proprietates & officia tertiæ Hierarchiæ.

Archangeli vocantur summi nuntij, qui summa nuntiant. Horum officium est, secundùm Dionysium, prophetias reuelare; ipsi quoque illuminationes, quas à superioribus accipiunt, inferioribus annuntiant, & per eosdem nobis. Secundùm Gregorium verò munus eorum est, de illis quę pertinẽt ad promotionem fidei, & præcipuis mysteriis, vt de Natiuitate Christi, & similibus, homines reddere certiores, atque dęmones ab hominibus remouere.

Angeli sunt in cælesti dispositione vltimi, & hominibus magis propinqui. Nomen autem Angeli est nomen officij, non naturæ. Isti minora nuntiant, & homines ad diuinam cognitionem ducunt, &, vt iustè viuant, instruunt: hi sursum extenduntur

tur per dilectionem Dei, & in semetipsis firmantur per custodiam sui, ac sub se progrediuntur ad auxilium proximi.

§.2. Cùm in qualibet Hierarchiâ sint tres ordines, scilicet primus, medius & vltimus, ostendit quâ ratione Archangeli, qui medij sunt inter Angelos & Principatus, vtrisque communicent: Angelos autem ait res humanas moderari.

Angeli quid præstent iis quos custodiunt.

Angeli enim nobis ad custodiam deputati tenent nos stantes, ne cadamus; & cadentes nos subleuant, vt surgamus: nec vmquam nos deserunt, etiam peccantes, quin semper sint parati opem ferre, si velimus.

Effectus Angelicæ custodiæ.

Effectus autem Angelicæ custodiæ multiplex est. Primus est, impedimenta boni & occasiones mali remouere: Exod. 33, 2. *Mittam Angelum præcursorem, qui eyciat Iebusæum.* Secundus est, tentationes mitigare: Dan. 3, 49. *Angelus autem Domini descendit cum Azariâ & socijs eius in fornacem*, &c. Tertius est, contra hostes visibiles adiuuare: 4. Reg. 19, 35. *Angelus Domini percußit in castris Aßyriorum*, &c. Quartus est, orationes nostras & eleëmosynas Deo præsentare, & pro nobis orare: Tob. 12, 12. *Quando orabas cum lacrymis*, &c. *ego obtuli orationem tuam Domino.* Quintus est, viam ostendere: Tob. 5, 20. *Ego sanum ducam, & reducam.* Sextus est, in agendis docere: Zachariæ 2. de Angelo qui instruxit eũ. Septimus est, seipsũ & alia secreta reuelare: Tob. 12, 15. *Ego sum Raphaël Angelus*, &c. Octauus est, à peccatis arcere: Genes. 19, 15. *Cumq; esset manè, cogebant eum Angeli, dicentes: Surge, ne & tu pariter pereas in scelere ciuitatis.* Nonus, ad feruorem excitare: 3. Reg. 19, 7. *Surge: grandis enim tibi restat via.* Decimus est, consolari: Tob. 5, 13. *Forti animo esto, in proximo est vt à Deo cureris.* Vndecimus, Potestates contrarias arcere, ne tantum nocere valeant, quantum vellent: Tob. 8, 3. vbi Angelus Asmodæum ligauit. Duodecimus, de peccato increpare: Iud. 2, 2. *Dixit Angelus populo Israël: Cur hoc fecistis?* &c.

§.3. *Deum & Angelos nulli deesse.*

Reddit rationem, cur cùm Angeli hominum præsides sint & tutelares, tamen adhuc tam multæ nationes infideles reperiantur, ac pereant: & ostendit id ex hominum malitiâ prouenire, suauem Angelorum ductum sequi nolentium, & ex prauo vsu libertatis; Deum enim & Angelos ex parte suâ nemini deesse, sed omnibus, solis instar, beneficos suos radios expandere, ad quos se ex Gentilitatis tenebris Dei gratiâ emersisse confitetur. Hoc etiam probat exemplo Melchisedechi, qui non solùm è gentibus ad lumen veritatis emersit, verùm etiam aliis præluxit, atq; Sacerdos summus effectus est, & ipsiusmet Christi typus exstitit.

§. 4. *Populus Israel cur peculiariter dicatur esse Dei.*

Ostendit, quantâ Dei in omnes prouidentiâ non solùm Iudæis, sed aliis etiam gentibus Angeli tutelares dati sint; vt probat in Pharaone & Nabuchodonosore, quibus per Angelos visiones contigerunt, quas Ioseph atque Daniel ab Angelis edocti ipsis explicuerunt. Et simul exponit illud Deut. 32, 8. *Quando diuidebat Altißimus gentes, statuit terminos populorum iuxta numerum Angelorum Dei. Pars autem Domini populus eius, Iacob funiculus hereditatis eius:* quod non ita intelligendum ait, quasi Deus ceteras gentes Angelis regendas dederit, solo Israële sibi, id est suæ prouidentiæ & gubernationi retento, vt videlicet ipse Israëlem sine Angelis, vel Angeli reliquas gentes regerent, quia & Israëli Michaël præfectus legitur, & Deus omnes gentes in Scripturis possidere & gubernare memoratur; sed ita intelligendum est, quòd cùm Deus omnibus gentibus Angelos dederit, vt eorum ductibus ad Veritatis lumen peruenirent, solus Israël reipsâ ad verum conuersus sit.

SCHOLIA S. MAXIMI.

ΥΠΕΡΟΥΣΙΟΝ αὐτὴν ταξιαρχίας.] Αὐτῆς τῆς ἀρχοποιοῦ ἀρχῆς ἀναφαίνει τὴν ὑπερούσιον ταξιαρχίαν, αὐτὴ ἡ τῶν Ἀρχῶν τάξις.

Ἀρχαγγέλων.] Περὶ τοῦ Ἀρχαγγελικοῦ κόσμου, καὶ τί δηλοῖ.

Ἱεραρχία.] Σημείωσαι τὸ καθολικὸν, ὅτι πᾶσα Ἱεραρχία ἔχει πρώτας, καὶ μέσας, καὶ τελευταίας δυνάμεις, τουτέστιν αἱ τρεῖς τριαδικαὶ τάξεις.

Ἁγιωτάταις.] Γράφε, Καὶ ἱερωτάταις.

SVPERESSENTIALEM EIVS ORDINANDI PRINCIPATVM.] Hic ordo Principatuum designat ipsummet principificis principij superessentialem principatum. §.1.

ARCHANGELORVM.] De Archangelorum ornatu, & quid significet. §.2.

HIERARCHIA.] Nota, vniuersim omnem Hierarchiam habere primas, & medias, & vltimas virtutes, id est, tres trinos ordines.

SANCTISSIMIS.] Scribe, Et sacratissimis.

[Nota] quomodo etiam Archangeli isti diuini, cum præcedentibus & sequentibus communicent.

SECVNDVM POSTREMVM.] Quoniam ordo Angelorum postremus est, & circamundialis.

Postremus trinus ordo,

Principatus, Archangeli, Angeli.

ET MAGIS AD.] Quia postremus cælestium Virtutum ordo magis dignus est appellatione Angelorum; quippe vt ad homines accedens, & per quem homines diuina edocentur.

NAM SVPREMVM QVIDEM.] Quoniam supremus ternio secundo in sacris præest, & secundus tertio, tertius verò Sacerdotibus hominum, & attendunt iis quæ ab ipsis fiunt.

OCCVLTIVS.] Quomodo aliæ quidem Hierarchiæ sint occultiores, aliæ verò manifestiores.

HVMANIS HIERARCHIIS.] Quinam nobis hierarchicè præsint. Obserua illam ex Daniele demonstrationem, quâ nimirum ostenditur extremus ordo nostram Hierarchiam moderari.

QVÆ ETIAM.] Subaudiendo, *vt hoc ordine*; ita vt talis sit constructio, Vt nimirum hoc ordine sit, quæ etiam à Deo, &c.

§. 3. *Cur solus Israel Deum agnouerit.* QVOD SI QVÆRAT ALIQVIS.] Quomodo, cùm boni Angeli gentibus præfecti sint, solus Israël Deum nouerit: quælibet enim natio habet Angelum sibi assignatum, quemadmodum Iudæi Michaëlem, quem & postremi ordinis sanctorum Angelorum esse dicit.

NEQVAQVAM ANGELORVM.] Respondet nequaquam Angelorum præsidum culpâ id accidisse, sed propter liberum motum proprium ad res absurdas.

AMORE PROPRIO.] Nota, quemque sibi ipsi boni malique causam existere: porrò amor proprius ac peruicacia pariter designant sui ipsius complacentiam.

HOC IPSVM CONFIRMATVR.] Nempe, Deum non solum Israëlem elegisse, sed solum Israëlem Deum sequi voluisse; id enim ipsiusmet vocis interpretatio designat, *Mens*
Deut. 32, 9. *Deus est omnium Deus.* *Deum videns*. Sic etiam intelligẽda sunt quę in Cantico Moysis dicta sunt, *Et fuit pars Domini, funiculus Iacob*, quod significat Israëlem: non enim Deus solum Israëlem diligit, sicut

Πῶς καὶ οἱ θεῖοι Ἀρχάγγελοι τῶν περὶ αὐτῶν καὶ μετ' αὐτοὺς κοινωνοῦσι.

Κατὰ τὸ τελευταῖον.] Ὅτι ἐσχάτη τάξις Ἀγγέλων, καὶ περικόσμιος.

Ἡ τελευταία τριαδικὴ τάξις,

Ἀρχαὶ, Ἀρχάγγελοι, Ἄγγελοι.

Καὶ μᾶλλον πρός.] Ὅτι ἡ τελευταία τάξις τῶν οὐρανίων δυνάμεων μᾶλλον ἀξία ἐστὶν Ἄγγελοι προσαγορεύεσθαι, ὡς πλησιάζουσα ἀνθρώποις, δι' ἧς καὶ τὰ θεῖα μυοῦνται ἄνθρωποι.

Τὴν μὲν γὰρ ὑπερτάτην.] Ὅτι ἡ πρώτη τριὰς τῆς δευτέρας ἱεραρχεῖ, καὶ ἡ δευτέρα τῆς τρίτης, ἡ δὲ τρίτη τῶν ἐν ἀνθρώποις ἱερέων, καὶ ἐφορῶσι τὰ παρ' αὐτῶν τελούμενα.

Κρυφιοειδέστερον.] Πῶς αἱ μὲν κρυφιότεραι, αἱ δὲ ἐμφανέστεραι Ἱεραρχίαι.

Ταῖς ἀνθρωπείαις Ἱεραρχίαις.] Τίνες ἡμῶν ἱεραρχικῶς ἐφεστήκασι. Σημείωσαι τὴν ἀπόδειξιν ἐκ τοῦ Δανιὴλ, τουτέστιν ἐσχάτην τάξιν ἐπιστατεῖν τῆς καθ' ἡμᾶς Ἱεραρχίας.

Καὶ μὴν καὶ ἡ.] Κατὰ κοινοῦ τὸ, Ἵνα ᾖ κατὰ τάξιν, ὡς εἶναι τὴν σύνταξιν, Καὶ μὴν ἵνα κατὰ τάξιν ᾖ καὶ ἡ παρὰ Θεοῦ, καὶ τὰ ἑξῆς.

Εἰ δέ τις φαίη.] Πῶς, Ἀγγέλων ἀγαθῶν ἐφεστώτων τοῖς ἔθνεσι, μόνος ὁ Ἰσραὴλ ἐγίνωσκε τὸν Θεόν· ἕκαστον γὰρ ἔθνος Ἄγγελον ἔχει ἀποκεκληρωμένον αὐτῷ, ὡς Ἰουδαῖοι τὸν Μιχαὴλ, ὃν καὶ τῆς ἐσχάτης τάξεως τῶν ἁγίων Ἀγγέλων φησίν.

Ὅτι μὴ τὰς τῶν Ἀγγέλων.] Οὐ παρὰ τὴν τῶν ἐπιστατούντων Ἀγγέλων αἰτίαν φησὶ τὸ τοιοῦτο, ἀλλὰ παρὰ τὴν οἰκείαν αὐτεξούσιον πρὸς τὰ μὴ δέοντα ῥοπήν.

Τῇ φιλαυτίᾳ.] Σημείωσαι, ὅτι ἕκαστος ἑαυτῷ αἴτιος καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. τὸ δὲ φιλαυτία καὶ αὐθάδεια ἐκ παραλλήλου, τὸ αὐτάρεσκον δηλοῖ.

Τοῦτο δὲ μαρτυρεῖται.] Οὐχ ὅτι ὁ Θεὸς τὸν Ἰσραὴλ μόνον ἐξελέξατο, ἀλλ' ὅτι ὁ Ἰσραὴλ μόνος ἐβουλήθη ἕπεσθαι Θεῷ· οὕτω γὰρ ἡ ἑρμηνεία τῆς λέξεως σημαίνει, Νοῦς ὁρῶν Θεόν. Οὕτω νοεῖν ὀφείλομεν τὰ ἐν τῇ Ὠιδῇ Μωσέως εἰρημένα, Ἐγενήθη μερὶς Κυρίου, σχοίνισμα Ἰακὼβ, ὅπερ δηλοῖ τὸν Ἰσραήλ· οὐχ ὁ Θεὸς γὰρ τὸν Ἰσραὴλ μόνον ἀγαπᾷ, ὡς

καὶ

καὶ ὁ Ἀπόστολος πολλαχοῦ ἐδήλωσεν, εἰπών, Μὴ οὐκ ἔστιν ὁ Θεὸς καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν, εἴπερ εἷς ὁ Θεός. Ἀλλ' ὁ Ἰσραὴλ πρῶτος ἐπορεύθη ὄπισθεν Θεοῦ, ἐπεὶ ὕστερον ἀποστὰς, καὶ αὐτὸς ἀπεδιώχθη· τὸ γὰρ αὐτεξούσιον ἔχοντες οἱ ἄνθρωποι, ὅτε θέλουσι, ποιοῦσι τὸν Θεὸν μεθ' ἑαυτῶν.

Πεπονθέναι.] Ὅτι καὶ ὁ Ἰσραὴλ αὐτὸς ἀπέστη.

Ζωήν.] Ὅτι αὐτεξούσιος ὁ ἄνθρωπος.

Ὄψεων.] Ὅπερ ἐνταῦθά φησιν ὁ Πατὴρ, τοῦτο καὶ ἐπὶ τοῦ ἡλιακοῦ φωτὸς γινόμενον ἐστὶν ἰδεῖν, ἐπὶ μὲν τῶν διαφανῶν ὑλῶν τὴν οἰκείαν διάδοσιν ποιουμένου, ἐπὶ δὲ τῶν παχυτέρων οὐχ ὁμοίως, ἀλλ' ἢ πάντη ἀδιαδότως ἢ ἀμυδρῶς. Ὅπερ οὖν ἐνταῦθα τὸ τῆς ὕλης διάφορον ποιεῖ, τοῦτο ἐπὶ τῆς θείας ἐλλάμψεως ἡ ἀνισότης τῆς αὐτεξουσίου ἐργάζεται ῥοπῆς.

Ἀνομοιότης.] Τουτέστι, τῶν τοῦ νοῦ ὀφθαλμῶν ἡ παρατροπή.

Ἢ παντελῶς ἀμέθεκτον ποιεῖ.] Ὅρα πῶς φησὶν ἡμᾶς αὐτοὺς αἰτίους εἶναι τοῦ δέξασθαι τὴν ἔλλαμψιν τὴν θείαν, ἢ ὀλίγον ἢ πολὺ αὐτῆς δέχεσθαι, ἢ παντελῶς μηδὲν αὐτῆς εἰσδέξασθαι, ὅταν πρὸς αὐτὴν ἀντίτυποι γινώμεθα, οἱονεὶ σκληροὶ ἤτοι λίθινοι. Φησὶν οὖν ἐν Εὐαγγελίοις αὐτὸς ὁ Κύριος, Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ· ὅπερ γὰρ ἡμῖν σκληρὸν καὶ ἀδύνατον, τοῦτο τῷ Θεῷ δυνατόν.

Ἡμεῖς ἀνενδύσαμεν.] Σημείωσαι, μάλιστα ἐντεῦθεν ἐπιστομίζεσθαι τὴν ἄκαιρον τινῶν καὶ ἀδιάκριτον ἀπαιδευσίαν, οἳ τολμῶσι φάσκειν, τὰ θεῖα ταῦτα συγγράμματα Ἀπολιναρίου εἶναι, μὴ ἐκ τῶν προσώπων, ὧν μνημονεύει, καταστοχαζόμενοι τῆς ἀρχαιότητος τοῦ ἀνδρὸς, ἀλλὰ ψευδεπίγραφον λέγοντες τὴν Διονυσίου προσηγορίαν· μηδὲ ὅτι νῦν ἐξ εἰδωλολατρῶν εἶπεν αὐτὸν ἐπιστρέψαι· καίτοι Ἀπολινάριος οὐκ ἐκ τοιούτων ἦν.

Ἐπὶ τὸ πᾶσιν ἑτοίμως.] Ὅτι ὁ Θεὸς φύσει ὢν ἀγαθὸς, ἕτοιμον ἑαυτὸν τοῖς πᾶσι παρέχει εἰς τὸ μεταλαμβάνειν τῆς ἁγιότητος αὐτοῦ καὶ φωτισθῆναι τὴν ψυχήν· λοιπὸν τὸ ἐφ' ἡμῖν ζητεῖται τὸ, πῶς ἐρῶμεν μετασχεῖν τῆς γνώσεως αὐτοῦ, ἵνα δειχθῇ τὸ αὐτεξούσιον. οὐ γὰρ αἴτιος τῶν κακῶν ὁ Θεὸς, ὅπερ ἐστὶν ὁ ἐξ αὐτοῦ χωρισμός.

etiam Apostolus sæpenumerò declarauit, dicens: *Nonne est Deus etiam gentium? imò & gentium, quoniam vnus est Deus.* Rom.3,29. Sed Israël primùm post Deum ambulauit; at vbi postmodum defecit, etiam ipse reiectus est: quoniam homines qui libero pollent arbitrio, quando volunt Deum sibi propitium reddunt.

Passvm esse.] Quoniam etiam Israël ipse defecit.

Vitam.] Quoniam homo liberum habet arbitrium.

Ocvlorvm.] Quod hoc loco Pater ait, id quoque videre licet fieri in lumine solari, quod in materiis quidem transparentibus suam facit distributionem, in opacioribus autem non ita, sed vel omnino illas non penetrat, vel subobscurè. Quod igitur hîc diuersitas materiæ facit, hoc in diuinâ illustratione liberæ propensionis inæqualitas operatur.

Quid sit in causâ quòd aliqui non illustrentur.

Dissimilitvdo.] Id est, oculorum mentis auersio.

Avt omnino cassam facit.] Vide quomodo dicat, nos ipsos causas esse quòd diuinam illustrationem suscipiamus, eamq; vel exilem, vel copiosam, vel omnino nullam excipiamus, quando ipsi refractarij, tamquam duri seu lapidei, existimus. Sic vtique in Euangeliis Dominus ait: *Potens est Deus de lapidibus istis suscitare filios Abrahæ.* Matt.3,9. quod enim nobis durum & impossibile, hoc ipsum Deo possibile existit.

Nos emersimvs.] Nota, hinc maximè retundi ineptam atque indiscretam inscitiam quorumdam, qui diuinos hosce libros Apolinario adscribere non verentur, dum ex personis, quarum mentionem facit, minimè colligunt viri huius antiquitatem, sed eos falsò Dionysij nomine inscriptos tradunt; neque considerant, quod modò dicat, se ex idololatris conuersum fuisse: atqui Apolinarius ex talibus non erat oriundus.

Qvod in promptv omnibvs.] Quoniam Deus naturâ suâ bonus ad sanctitatem suam communicandam, & animam illuminandam, paratum se exhibet: ceterùm requiritur id quod partium est nostrarũ, vt nimirum cognitionis eius participes esse desideremus, quo nostra libertas demonstretur. neq; enim Deus malorum, quæ ab ipso separant, auctor existit.

SCHOLIA S. MAXIMI.

existit. Constructio autem est huiusmodi: Cùm ceteris quoque gentibus non alieni quidam dij præfuerint, sed vnum omnium principium (atque ita etiam cetera intermedia construenda sunt) vt quod ceteris quoque gentibus vnus Deus imperarit, atque etiam tum per proprios Angelos dirigerentur.

MELCHISEDECH.] Nota quæ de Melchisedech traduntur, vt quòd Pontifex fuerit, & Angelorum ductu verum Deum agnouerit. *Sequentes* verò dixit, propter arbitrij libertatem, & nullam coactionem.

§. 4. PHARAONI.] Nota, quòd per Angelos dicat in somniis Pharaoni & Nabuchodonosori exhibitas visiones, earumque explanationes seu interpretationes.

FAMVLI.] Dum Iosepho quidem Ægyptiorum, Danieli verò Babyloniorum Angeli, qui hisce gentibus præsidebant, Dei voluntate visiones reuelabant.

QVASI SORTITO.] Nota interpretationem verborum Cantici Moysis: *Quando diuidebat Altißimus gentes: quando disseminauit filios Adam, constituit terminos gentium, iuxta numerum Angelorum Dei. Et fuit pars Domini populus eius Iacob, funiculus hereditatis eius Israël.* Non oportet, inquit, arbitrari, Deum cum aliis diis aut Angelis gentes partitum esse: neque enim Deo Israël, alij verò aliis Angelis seorsim, sortitò obtigerunt, ac si ipsi ad nihil aliud Domino Deo seruirent, quasi v.g. gens hæc huic Angelo sorte obtigisset, nec vlla huius gentis cura Deum tangeret, aut huius gentis Angelus nullâ in re aliâ Deo vacaret: sed neque æqualiter vel opposité Deus hanc gentem, & quilibet Angelorum peculiarem quamdam gentem suscepit, quemadmodum in Isaiâ dicitur, diabolum montes, id est, gentes ad Aquilonem, in se continere, ac Deo contrariari, & similé esse Altissimo, gloriatum fuisse: nam omnia subiecta sunt Deo, & ipse omnibus imperat; præ ceteris tamen honorat eos qui ipsum norunt: & idcirco ipsos gubernare dicitur, tametsi Angelum quemdam præsidem habeant, vt Israël Michaëlem. atq; ita quodammodò Deus, qui omnibus imperat, per excellentiam Deus Israëlis nuncupatur, vti & Israël populus ipsius. Dicimus itaq;, Deum omnium esse Deum: ad ipsum tamen accedentium, ipsumque solum adorantium

Dan. 32, 8.

Quomodo singulis gentibus Angeli præsint.

Isa. 14, 13.

Ἡ δὲ σύνταξις αὕτη· Ἐπεὶ ὅτι γε καὶ τῶν ἑτέρων ἐθνῶν οὐκ ἔκφυλοί τινες ἐπεστάτουν θεοί, μία δὲ πάντων ἀρχὴ (καὶ οὕτως τἄλλα διὰ μέσου) καὶ ὅτι καὶ τῶν ἄλλων ἐθνῶν μία ἀρχὴ τοῦ Θεοῦ ἦρχε, καὶ τότε διὰ τῶν ἰδίων Ἀγγέλων ἱεραρχούντων.

Μελχισεδέκ.] Σημείωσαι τὰ περὶ τοῦ Μελχισεδὲκ, ὡς Ἱεράρχου ὄντος, καὶ τῇ δι' Ἀγγέλων ὁδηγίᾳ τὸν ὄντως ὄντα Θεὸν ἐπεγνωκότος. Ἑπομένους δὲ εἶπε, διὰ τὸ αὐθαίρετον, καὶ οὐ κατηναγκασμένον.

Τῷ Φαραώ.] Σημείωσαι, ὅτι δι' Ἀγγέλων φησὶ τὰς καθ' ὕπνους γενέσθαι ὁράσεις τῷ Φαραώ, καὶ τῷ Ναβουχοδονόσορ, καὶ τὰς τούτων ἐκφαντορίας, ἤγουν ἑρμηνείας.

Θεράποντες.] Ὁ μὲν Ἰωσὴφ τῶν Αἰγυπτίων, ὁ δὲ Δανιὴλ τῶν Βαβυλωνίων, Ἀγγέλων τῶν ἐπιστατούντων τοῖς ἔθνεσι τούτοις, βουλῇ Θεοῦ ἀποκαλυπτόντων τὰ ὁράματα.

Ἀποκληρωτικῶς.] Σημείωσαι τὴν ἑρμηνείαν τοῦ ῥητοῦ τῆς Μωσέως Ὠιδῆς· Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ· ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ. Καὶ ἐγενήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Οὐ γὰρ δεῖ, φησὶν, οἴεσθαι, μερίσασθαι πρὸς ἑτέρους θεοὺς ἢ Ἀγγέλους τὰ ἔθνη· οὐ γὰρ ἀποκληρωτικῶς ἔλαχε τῷ Θεῷ μὲν Ἰσραὴλ, τοῖς δὲ ἄλλοις Ἀγγέλοις ἰδίως, ὡς μὴ διακονεῖν αὐτοὺς εἰς ἄλλο τι τῷ Θεῷ· οἷον φέρε εἰπεῖν, τόδε τὸ ἔθνος τῷδε τῷ Ἀγγέλῳ ἔλαχε, καὶ οὐ μέλει τῷ Θεῷ τοῦ ἔθνους αὐτοῦ, ἢ οὐ σχολάζει ἑτέρῳ τινὶ πρὸς Θεὸν, ὁ τοῦ ἔθνους Ἄγγελος· ἀλλ' οὐδ' ὁμοτίμως ἢ ἀντιθέτως ἔλαβεν ὁ Θεὸς τόδε τὸ ἔθνος, καὶ ἕκαστος τῶν Ἀγγέλων ἴδιον ἔθνος, ὡς ἐν τῷ Ἡσαΐᾳ εἴρηται, ὅτι ὁ διάβολος τὰ πρὸς Βοῤῥᾶν ὄρη, τουτέστι τὰ ἔθνη, εἶπεν ἐν ἑαυτῷ ἔχειν, καὶ ἐναντιοῦσθαι τῷ Θεῷ, καὶ εἶναι ὅμοιος τῷ Ὑψίστῳ· πάντα γὰρ δοῦλα τοῦ Θεοῦ, καὶ πάντων αὐτὸς ἄρχει, ἀλλὰ τοὺς γινώσκοντας αὐτὸν προτιμᾷ· καὶ διὰ τοῦτο καὶ αὐτὸς λέγεται αὐτῶν ἄρχειν, κἂν ἔχοιεν Ἄγγελον ἐφεστῶτα, ὡς ὁ Ἰσραὴλ τὸν Μιχαήλ. καὶ πῶς πάντων ὁ Θεὸς ἄρχων, κατ' ἐξαίρετον τοῦ Ἰσραὴλ λέγεται Θεὸς, καὶ ὁ Ἰσραὴλ αὐτοῦ. Καὶ λέγομεν, ὅτι ὁ Θεὸς πάντων ἐστὶ Θεός· τῶν δὲ πλησιαζόντων αὐτῷ, καὶ αὐτὸν μόνον προσκυνούντων

κινουμένων λέγεται Θεὸς δικαίως· οἱ δὲ λοιποὶ εἴδωλα σέβοντες, ἑτέρους ποιοῦσιν ἑαυτῶν θεούς.

Ἐγενήθη μερὶς Κυρίου.] Καλῶς ἑρμηνεύει τὸ, Ἐγένετο μερὶς Κυρίου Ἰσραήλ. Ἐχρῆν οὖν, εἴπερ ὁ Ἰσραὴλ μόνος ἐπεγίνωσκε Θεὸν, αὐτὸν μόνον ὑπὸ τοῦ Κυρίου ἐπισκοπεῖσθαι, καὶ τῶν Ἀγγέλων αὐτοῦ. Ἀλλὰ καὶ ἐν τούτῳ δείκνυται τὸ ἀμέτρητον καὶ ἀνεξιχνίαστον ἔλεος τοῦ Θεοῦ, ὅτι καὶ τοῖς δοκοῦσι μὴ εἶναι τῆς μερίδος αὐτοῦ, ἴδιον Ἄγγελον προεβάλετο φύλακα τοῦ ἔθνους· ἀνατέλλει γὰρ τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους· καὶ πάλιν, Ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Ἀλλ' ἐρεῖς, Καὶ πῶς οἱ ἔχοντες Ἀγγέλους παρὰ τοῦ Θεοῦ δεδομένους εἰς τὸ ἐπιστατεῖν καὶ ἡγεῖσθαι αὐτῶν, ἀπέστησαν ἀπὸ Θεοῦ ζῶντος, καὶ προσεκύνησαν εἰδώλοις; Λέγομεν, ὅτι πᾶσα ἀνάγκη ἐκ τῶν εἰς Θεὸν ὁρώντων ἐλήλαται καὶ ἀντεισήχθη τὸ αὐτοπροαίρετον. Εἴ τις οὖν αἱρεῖται σὺν Θεῷ εἶναι, καὶ φρουρεῖται ὑπὸ τοῦ Ἀγγέλου, καὶ τάττεται· Κύριος, γάρ φησι, γινώσκει ὁδὸν δικαίων· καὶ πάλιν, Νεώτερος ἤμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον. Εἴ τις δὲ τὴν ἐναντίαν αἱρεῖται, οὐκ ἀναγκάζεται ὑπὸ τοῦ Ἀγγέλου τὸ δέ τι ποιεῖν· οὗτος γὰρ ὁ βίος καὶ κτηνώδης μᾶλλον, καὶ οὐκ αὐτοπροαίρετος ἀμέλει. Καὶ περὶ τοῦ Ἰσραήλ φησιν, ὅτι ἥμαρτε, καὶ ἐμοσχοποίησεν. Ἐπίγνωσιν, γάρ φησι, Θεοῦ ἀπώσω, καὶ ὀπίσω τῆς καρδίας σου ἐπορεύθης, τουτέστι, τὸ ἴδιον θέλημα προετίμησας.

Τὸν Μιχαήλ.] Ὅτι καὶ ὁ Ἰσραὴλ, εἰ καὶ μερὶς Κυρίου ἐγένετο, ἀλλ' οὖν καὶ αὐτοὶ ἰδικὸν Ἄγγελον εἶχον τὸν Μιχαήλ.

Ἐθελουσίως.] Τοῦτό φησι διὰ τὸ αὐτεξούσιον καὶ ἀβίαστον.

meritò Deus dicitur; quoniam illi qui idola colunt, alios ſibi deos fingunt.

FACTVS EST PARS DOMINI.] Pulchrè interpretatur illud, *Fuit pars Domini Iſraël*. Oportebat itaque, quoniã Iſraël ſolus Deum cognoſcebat, ipſum ſolum à Deo & Angelis eius curari. Verùm etiam in hoc immenſa & inueſtigabilis Dei miſericordia demonſtratur, quòd iis quoque qui non videntur eſſe partis eius, peculiarem Angelum gentis tutelarem præfecerit: *oriri* enim *facit ſolem ſuum ſuper iuſtos & iniuſtos*. Matth. 5, 45. & rurſum: *Nolo mortem* Ezech. 33, 11. *peccatoris, quantum vt conuertatur, & viuat.* Sed quomodo, inquies, qui habent Angelos ſibi in præfectos ac duces datos, receſſerunt à Deo viuo, & idola adorarunt? Dicimus, omnem neceſſitatem ab iis qui Deum intuentur amotam, & eius loco liberum introductum arbitrium. Si quis igitur cum Deo verſari appetat, ab Angelo protegitur atque dirigitur: *Nouit*, enim inquit, *Dominus viam iuſtorum*. Pſ. 36, 18. & iterùm: *Iunior fui, etenim ſenui, & non vidi* Ibid. v. 25. *iuſtum derelictum.* Si quis autem contrariam viam eligat, non cogetur ab Angelo ad certi quidpiam faciendum: hæc enim viuendi ratio pecuaria potiùs eſt quàm libera. Denique de Iſraële quoque dicit quòd peccauerit, & vitulum fabricarit. *Agnitionem*, enim inquit, *Dei* Oſee 4. *repuliſti, & poſt cor tuum ambulaſti*, id eſt, voluntatem propriam prætuliſti.

MICHAELEM.] Quoniam quoque Iſraël, etſi pars Domini fuerit, peculiarem tamen & ipſi Angelum tutelarem Michaëlem habuerunt.

VOLVNTARIE.] Hæc dicit propter propriam libertatem, & à violentiâ immunitatem.

PARAPHRASIS PACHYMERÆ.

ΕΠΙΛΟΙΠΟΝ ἂν εἴη λέγειν καὶ περὶ τῆς ἐσχάτης τριαδικῆς τάξεως, ἀπό τε τῶν Ἀρχῶν, τῶν Ἀρχαγγέλων, καὶ τῶν Ἀγγέλων συμπληρουμένης καὶ διακοσμουμένης· καὶ πρῶτον ἂν εἴη καλὸν κατὰ τὸ δυνατὸν, τὰς τῶν ἐπωνυμιῶν ἐνδηλώσεις εἰπεῖν. Τὸ γοῦν τῶν Ἀρχῶν ὄνομα, τὸ θεοειδῶς καὶ τῷ Θεῷ ὁμοιωμένως, ἀρχικὸν αὐτῶν καὶ ἡγεμονικὸν δηλοῖ. Τέως δὲ ἐπεὶ ἡ ἡγεμονία ἐν τάξει φαίνεται, μετὰ τάξεως φημὶ ἱερᾶς,

RELIQVVM eſt vt etiam de nouiſſimo trino ordine dicamus, qui §. 1. conſtat Principatibus, Archangelis & Angelis, è quibus concinnatur: ac primùm non abs re fuerit, pro virili explicare ſacrorum eorum nominum ſignificationes. Nomen itaque Principatuum, deiformiter & ad Dei ſimilitudinem, principandi ac gubernandi poteſtatem declarat. Iam verò cùm ducatus etiam in ordine appareat, cum ordine inquam ſacro, *Quid Principatus myſticè.*

PARAPHRASIS PACHYMERÆ.

& istiusmodi Principatibus ac Virtutibus conuenienti, atque aliàs etiam ad verum ac superprincipalem principatum totaliter conuertantur: sicut enim lucidus existit qui ad solem conuersus est, ita quoque Principatus, qui ad principatum superprincipalem intuentur. Vel etiam aliter: Quoniam aliis, Archangelis inquam & Angelis, duces sunt istiusmodi conuersionis, adeoque ad superprincipalem illum ipsum principatum, ac ceterorum Principatuum auctorem & conditorem conformationis, &, secundùm Apostolum, ad inuisibilia ipsius creaturis intellecta contuentur. Non possumus autem nosse supernaturalem illum omnium ordinum principatum. Appellantur verò Principatus, quòd principatum illum manifestent, potéter & habitualiter eum ad principalem talem ornatum ac statum obtinendo.

§. 2. Sanctorum verò Archangelorum ordo cælestibus quidem istis Principatibus æqualis est (nam vna est Hierarchia, ipsorum nempe Principatuum, & Archangelorum, atque ipsorum etiam Angelorum, atque idcircò ad vnum ordinem reducuntur. quid enim aliud sunt Archangeli, quàm ordo ex Principatibus & Angelis conflatus?) Verùm cùm nulla sit Hierarchia, quæ non primas & medias & postremas virtutes habeat, idcircò Archangelorum ordo, tamquam medietas, extremas quodammodò complectitur vtrarumq; communicatione. Siquidem communicat Principatibus, quoniam ad superessentialẽ quoq; Principatum, scilicet Deum, totaliter conuersus est, & ad ipsum efformatur, sicut etiam Principatus: & quoniam Principatus ducendi & vnificandi vim habent, non permittentes ordines dissipari, Angelos etiam decoro ordine componunt. Angelis verò etiam communicant; quia etiam sunt ordinis interpretis, & per primas Virtutes illustrationes accipiunt. Etiam alio modo medij Angelis communicant; quoniam has diuinas illustrationes Angelis annuntiant, & per Angelos nobis manifestant: quamobrem etiam secundùm hoc Angelis communicant, quòd Angelis vtantur ad nostras manifestationes, iuxta conditionẽ eorum qui à Deo illustrantur. Ipsi enim Angeli, sicut de iis diximus, omnem cælestem ornatum complendo terminant, tamquam nimirum id quod vltimum est nouissimumque: complent

Archangeli quales.

καὶ προσηκούσης τοιαύταις Ἀρχαῖς καὶ Δυνάμεσιν, ἄλλως τε καὶ πρὸς τὴν ἀρχὴν τὴν ὄντως καὶ ὑπεράρχιον, ὁλικῶς ἐπεστράφθαι· ὡς γὰρ φωτεινὸς ὁ ἐπεστραμμένος πρὸς ἥλιον, οὕτω καὶ Ἀρχαὶ αἱ πρὸς ἀρχὴν τὴν ὑπεράρχιον ἀφορῶσαι. Ἢ καὶ ἄλλως· Διότι ἑτέρων ἡγοῦνται, Ἀρχαγγέλων φημὶ καὶ Ἀγγέλων, πρὸς τὴν τοιαύτην ἐπιστροφὴν, καὶ διὰ τὸ πρὸς αὐτὴν ἐκείνην τὴν ὑπεράρχιον ἀρχὴν, τὴν καὶ τὰς Ἀρχὰς ποιήσασαν καὶ δημιουργήσασαν, ἀποτυποῦσθαι, καὶ ἐπὶ τὰ ἀόρατα αὐτοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶσθαι κατὰ τὸν Ἀπόστολον. Οὐκ ἔχομεν δὲ εἰδέναι τὴν ὑπερούσιον ἐκείνην ἀρχὴν τῶν ἁπασῶν τάξεων. Ἐπωνυμοῦνται Ἀρχαὶ, ὡς ἐκείνην τὴν ἀρχὴν ἀναφαίνουσαι, ἐν τῷ δυνατῶς καὶ καθ᾽ ἕξιν ἔχειν αὐτὴν πρὸς τὴν τοιαύτην ἀρχικὴν εὐκοσμίαν τε καὶ κατάστασιν.

Ἡ δὲ τῶν ἁγίων Ἀρχαγγέλων, ἐστὶ μὲν ὁμοταγὴς ταῖς ῥηθείσαις οὐρανίαις Ἀρχαῖς (μία γὰρ ἡ Ἱεραρχία, αὐτῶν τε δηλονότι τῶν Ἀρχῶν, καὶ τῶν Ἀρχαγγέλων, καὶ ἔτι τῶν Ἀγγέλων αὐτῶν, καὶ διὰ τοῦτο εἰς μίαν τάξιν περιλαμβάνονται· τί γὰρ ἄλλο εἰσὶν οἱ Ἀρχάγγελοι, εἰ μὴ τάγμα ἐξ Ἀρχῶν καὶ Ἀγγέλων συγκείμενον;) ἀλλ᾽ ἐπειδὴ οὐκ ἔστιν Ἱεραρχία, μὴ πρώτας καὶ μέσας καὶ τελευταίας δυνάμεις ἔχουσα, διὰ τοῦτο ἡ τῶν Ἀρχαγγέλων τάξις, ὡς μεσότης, τῶν ἄκρων ἀντιλαμβάνεται κατά τινα καὶ ἀμφοτέρων κοινωνίαν. Ταῖς μὲν γὰρ Ἀρχαῖς κοινωνεῖ, ὅτι καὶ αὐτὴ πρὸς τὴν ὑπερούσιον Ἀρχὴν, τὸν Θεὸν, ὁλικῶς ἐπέστραπται, καὶ πρὸς ἐκείνην ἀποτυποῦται, καθὼς ἄρα καὶ αἱ Ἀρχαί· καὶ ἐπεὶ αἱ Ἀρχαὶ ἡγεμονικαί εἰσι καὶ ἑνοποιοὶ, μὴ ἐῶσαι τὰς τάξεις σκεδάννυσθαι, ἑνοποιοῦσι καὶ τοὺς Ἀγγέλους εὐκόσμως καὶ τάττουσι. Τοῖς δὲ Ἀγγέλοις πάλιν κοινωνεῖ, ὅτι εἰσὶ καὶ αὗται τῆς ὑποφητικῆς τάξεως, καὶ ὑποδέχονται τὰς ἐλλάμψεις διὰ τῶν πρώτων Δυνάμεων. Καὶ ἄλλως τοῖς Ἀγγέλοις κοινωνοῦσιν αἱ μέσαι, ὅτι ταύτας τὰς θείας ἐλλάμψεις τοῖς Ἀγγέλοις ἀγγέλλουσι, καὶ δι᾽ Ἀγγέλων ἡμῖν ἀναφαίνουσι· διὸ γοῦν καὶ κατὰ τοῦτο τοῖς Ἀγγέλοις κοινωνοῦσιν, ὅτι τοῖς Ἀγγέλοις χρῶνται πρὸς τὰς πρὸς ἡμᾶς δηλοποιήσεις, κατὰ ἀναλογίαν τῶν ἀπὸ Θεοῦ ἐλλαμπομένων. Οἱ γὰρ Ἄγγελοι, ἵνα καὶ περὶ αὐτῶν εἴπωμεν, συμπληρωτικοί εἰσι πάσης οὐρανίου διακοσμήσεως, πλὴν κατὰ τὸ τελευταῖον καὶ τὸ ἔσχατον· συμπληροῦσι γὰρ

καὶ

καὶ οἱ Θρόνοι, ἀλλὰ κατὰ τὸ πρῶτον, καὶ διὰ τοῦτο ἔχουσι τὴν Ἀγγελικὴν ἰδίως ἐπωνυμίαν, καὶ μᾶλλον, ὡς τοῖς ἀνθρώποις πλησιάζοντες, οἳ δὴ καὶ μιμοῦνται διὰ τούτων τὰ θεῖα. Τοῦτο γάρ ἐστι τὸ ἐμφανέστερον τῆς Ἱεραρχίας αὐτῶν· οὐ γὰρ δεόμεθα πάλιν ἑτέρων πρὸς τὰς ὑπ' αὐτῶν ἐλλάμψεις καὶ ἀγγελίας· εἰ γὰρ ἦν τοῦτο, τὸ κρύφιον ἂν εἶχον καὶ οὗτοι κατὰ πολύ, καὶ τὸ ἔσχατόν τε καὶ περικόσμιον οὐκ ἂν ἐν αὐτοῖς ἦν. Νῦν δέ, μηδεμιᾶς ἑτέρας οὐσίας κατωτέρας τάξεως, τὴν τάξιν τῶν Ἀγγέλων ἀνάγκη εἶναι ἐσχάτην καὶ περικόσμιον. Ἐξηγεῖται ὁ Ἅγιος, πῶς εἶπε, Περὶ τὸ ἐμφανέστερόν ἐστιν ἡ Ἱεραρχία τοῖς Ἀγγέλοις, δηλονότι ἐμφανέστερον πρὸς ἡμᾶς· ἡ γὰρ ὑπερτάτη τάξις, ὡς τῷ κρυφίῳ Θεῷ πλησιάζουσα, κρυφιωτέρως ὅσῳ πρὸς τὴν δευτέραν τάξιν ἱεραρχεῖ· ἡ δὲ δευτέρα, ἡ τῆς μέσης ἱεραρχίας, ἡγεῖται τῆς ἐσχάτης ἱεραρχίας, ἐμφανεστέρως μὲν πρὸς τὴν πρώτην, κρυφιωδεστέρως δὲ πρὸς τὴν μετ' αὐτήν· ἡ δὲ ἐσχάτη τάξις, ταῖς ἀνθρωπίναις ἱεραρχίαις ἐπιστατεῖ. Πλὴν ἐπεὶ τρία τάγματά εἰσι, δι' ἀλλήλων ἐμφαίνουσι τὰς ἐλλάμψεις. Πλὴν ἀπορητέον, πῶς ἡ μὲν πρώτη ταξιαρχία, ἅμα ἐνεδίδου τὴν ἔκφανσιν τῇ μετ' αὐτήν, καὶ οὐκ ἄλλη δι' ἄλλης, καὶ ἡ δευτέρα ὁμοίως· ἡ δέ γε τρίτη, ἄλλη δι' ἄλλης τὰς πρὸς ἡμᾶς ἐλλάμψεις ἐνδίδωσιν. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπὶ ταῖς προτέραις τάξεσιν, ἐπεὶ καὶ οἱ μεταδιδόντες καὶ οἱ μετέχοντες, Ἄγγελοί εἰσιν, οὐκ ἔστι τὸ μέσον αὐτῶν πολὺ κατὰ φύσιν παραλλάττον, ἵνα πως διὰ τοῦτο οἱονεὶ κατακερματισθείη ἡ ἔλλαμψις, καὶ εὔθετος τοῖς ὑστέροις πρὸς ὑποδοχὴν γένηται. Ἐνταῦθα δέ, ἐπεὶ τὸ μέσον ἡμῶν τε καὶ τῶν Ἀγγέλων πολύ, διὰ τοῦτο ἄλλη δι' ἄλλης λαμβάνει τὴν λάμψιν ἢ καὶ τὴν ἀγγελίαν, ὡς ἂν ἀπονωτέρα κατ' ὀλίγον ἡμῖν καταστῇ, καὶ ἐμφανέστερον τὸ βούλημα δηλωθήσεται. Διὰ τοῦτο λέγει ὁ Ἅγιος, ἵνα ᾖ κατὰ τάξιν ἡ πρὸς Θεὸν ἀναγωγὴ διὰ θεωρίας, καὶ ἐπιστροφὴ διὰ πράξεως, καὶ κοινωνία δι' ἐλλάμψεως, καὶ διὰ τῆς κατὰ χάριν θεώσεως ἕνωσις. Ἔχομεν γοῦν κατὰ βαθμοὺς τὴν πρὸς Θεὸν ἄνοδον. καὶ ἵν' ᾖ πάλιν κατὰ τάξιν καὶ ἡ ἀπὸ Θεοῦ πρὸς ἡμᾶς ἐνδιδομένη πάσαις ταῖς ἱεραρχίαις, καὶ κοινωνικῶς ἐπιφοιτῶσα δι' ἀγαθότητα πρόοδος. Διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ τοῖς Ἀγγέλοις τὰ καθ' ἡμᾶς ἀπονενέμηκε· ποῦ μὲν ἄρχοντα τοῦ Ἰουδαίων λαοῦ τὸν Μιχαὴλ ὀνομά-

enim etiam Throni, sed tamquam id quod primum est; & idcircò propriè nomen Angelicum obtinent, & præsertim quòd hominibus appropinquent, qui & propter illos diuina imitantur. Quin & eorum Hierarchia manifestior est, quia nobis non opus est iterùm aliis ad illustrationes & nuntia ab iis recipienda: aliàs enim & ipsi perquam occulti essent, nec vltimi ac circummundiales existerent. Nunc autem cùm nulli spiritus sint inferioris ordinis quàm ipsi, Angelorum ordinem postremum ac circummundialem existere necesse est. Exponit autem Sanctus hîc, quomodo dixerit Angelorum Hierarchiam esse manifestiorem, scilicet quoad nos: nam supremus ordo, vtpote secreto Deo appropinquans, magis occultè secundo ordini res sacras subministrat; secundus verò, qui est mediæ Hierarchiæ, vltimam Hierarchiam moderatur, manifestiùs quidem quàm primus, occultiùs verò quàm sequens; porrò vltimus ordo humanis hierarchiis præest. Ceterùm cùm tres ordines sint, illustrationes sibi mutuò manifestant. Verumtamen dicendum, quomodo primus quidem ordinis principatus sequenti simul manifestationem infuderit, & non alius per alium, & similiter secundus ordo; tertius verò, alius per alium nobis infundat illustrationes. Dicendum itaque, quòd in prioribus ordinibus, cùm tam dantes quàm accipientes Angeli sint, in illis secundùm naturam non magnam esse diuersitatem, vt toties opus sit quodammodò subdiuidi illustrationem, quò posterioribus captu facilis euadat. Hîc autem, cùm multum intersit inter nos & Angelos, idcircò alius per alium accipit illustrationem ac nuntium, vt faciliùs ita breuî ad nos perueniat, manifestiusque decretum Dei nobis declaretur. Idcircò ait hîc Sanctus, vt hoc ordine ad Deum sit ascensus per contemplationem, & conuersio per operationem, & communio per illustrationem, nec non per gratiæ deificationem vnio. Habemus itaque per gradus adscensum ad Deum, & vt sit vicissim etiam secundùm ordinem à Deo inditus omnibus Hierarchiis ad nos processus, per bonitatem communicanter exundans. Idcircò etiam diuina Scriptura, Angelis ea quæ ad nos spectant, distribuit: quandoque enim Principem populi Iudęorum vocasse reperitur in Daniele

Angeli quales.

Eorum subordinatio.

PARAPHRASIS PACHYMERÆ.

Michaëlem, vti & alios gentium aliarum; quandoq; verò ait, Statuit terminos gentium (Deut. 32,8.) Altissimus iuxta numerum Angelorum Dei, vt in secundo Cantico Moysis inuenitur.

§. 3. *Cur cùm omnes habeant Angelos tutelares, non sint omnes probi.* Hinc soluit emergentem aliquam quæstionem. Quæstio autem hæc est: Quomodo, inquit, cùm boni Angeli gentibus præfecti sint, solus Israël Deum cognouit, alij autem idolis adhæserunt? Solutio verò est ista, quòd nimirum ceterarum gentium ad idola defectio deceptioque rectis Angelorum gubernationibus nequaquam imputanda sit (obserua verò, quomodo defectioni rectam gubernationem opponit,) sed illis ipsis, quòd propriis spontaneisque motibus à rectâ, quæ ad Deum ducebat viâ per amorem proprium refractarium deflexerint, & per suam peruicaciam ad id, cui diuinum quidpiam inesse arbitrabantur, colendum desciuerint. Non solùm enim ab eâ, quæ ad Deum ducebat, viâ deuiarunt, verùm etiam iis qui non erant dij pro placito suo cultum diuinum tribuerunt. Quod ipsum etiam Hebræorum populo contigisse memoratur, quando peccauit, & vitulum conflauit. (Osee 4.) Agnitionem enim Dei repulisti (quando nimirum à viâ Dei desciuit) & post cor tuum ambulasti (quando nimirum amore proprio peruicaciaq; suâ diuinum cultum decreuerunt iis qui non erant dij.) Neque enim vita nobis est, cui vis illata aut imposita necessitas, vt brutis, sed per rationem libertate prædita: neque rursus dicamus, propter illam ipsam libertatem nostram diuinæ prouidentiæ diuina lumina obtundi. Sed dictorum horum exemplum accipe à lumine solis: sicut enim ibi videre licet, in transparentibus quidem corporibus radiorum fieri distributionem, eoque magis vel minus, pro subiecti ad lumen excipiendum capacitate; in crassioribus autem non similiter, sed aut omnino indistributè aut obscurè: id ipsum etiam in diuinâ illustratione inæqualitas liberæ propensionis operatur. Suppone enim, vitam nostram visionem esse spiritalem, sed inæqualem, propter arbitrij libertatem; diuinæ autem bonitatis illustrationem, vnam esse & eamdem, superplenam, & indeficientem, & simplicem, & eodem semper modo se habentem: tunc vtique visionum libera propensio vel omnino incommunicatum reddit radium diuinum, iis nimirum qui

ζουσα ἐν τῷ Δανιὴλ εὕρηται, καὶ ἄλλους ἄλλων ἐθνῶν· ποῦ δὲ λέγουσα, Ἔστησεν ὅρια ἐθνῶν ὁ Ὕψιστος, κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ, ὡς ἐν τῇ δευτέρᾳ Ὠδῇ τοῦ Μωσέως εὕρηται.

Ἐντεῦθεν λύει ἀνακύψασάν τινα ἀπορίαν. Ἡ γοῦν ἀπορία· Καὶ πῶς, φησὶν, Ἀγγέλων ἀγαθῶν ἐφεστώτων τοῖς ἔθνεσι, μόνος ὁ Ἰσραὴλ ἐγίνωσκε τὸν Θεὸν, οἱ δὲ ἄλλοι τοῖς εἰδώλοις προσανεῖχον; Ἡ δὲ λύσις, ὅτι οὐ χρὴ αἰτιᾶσθαι τῆς ἐπὶ τὰ εἴδωλα ἀποπλανήσεως τῶν ἑτέρων ἐθνῶν, τὰς εὐθείας ἐπιστασίας τῶν Ἀγγέλων (ὅρα δὲ, ὅτι πρὸς τὴν ἀποπλάνησιν, εὐθεῖαν εἶπεν ἐπιστασίαν) ἀλλ' αἰτιᾶσθαι χρὴ αὐτοὺς ἐκείνους, ἀποπεπτωκότας τῆς πρὸς τὸν Θεὸν ἀναγωγῆς οἰκείαις καὶ αὐτεξουσίοις ὁρμαῖς ἐν φιλαυτίᾳ ἀνυποτάκτῳ, καὶ αὐθαδείᾳ πρὸς τὸ δοκοῦν αὐτοῖς ἀποπλανηθέντας σεβάσμιον. Οὐ γὰρ μόνον τῆς πρὸς τὸ Θεῖον ἀναγωγῆς ἀποπεπτώκασιν, ἀλλὰ καὶ τοῖς μὴ οὖσι θεοῖς ἀνάλογον τῇ δοκήσει ἑαυτῶν τὸ σέβας ἀποδεδώκασιν. Ὃ δὴ καὶ αὐτὸς ὁ τῶν Ἑβραίων λαὸς πεπονθέναι λέγεται, ὅτε ἥμαρτε, καὶ ἐμοσχοποίησεν. Ἐπίγνωσιν γὰρ Θεοῦ ἀπώσω (τοῦτ᾽ ἔστιν, ὅτι τῆς πρὸς τὸ Θεῖον ἀναγωγῆς ἀποπέπτωκε) καὶ ὀπίσω τῆς καρδίας σου ἐπορεύθης (τοῦτο, ὅτι ἐν τῇ φιλαυτίᾳ καὶ αὐθαδείᾳ τοῖς μὴ οὖσι θεοῖς τὸ σέβας ἀπένειμαν.) Οὔτε γὰρ ἡμεῖς ἠναγκασμένην ἔχομεν ζωὴν, ὡς τὰ ἄλογα, ἀλλὰ διὰ τὸν λόγον τὸ αὐτεξούσιον· οὔτε πάλιν δι' αὐτὸ τοῦτο τὸ αὐτεξούσιον ἡμῶν, εἴποιμεν ἂν ὅτι τὰ Θεῖα φῶτα τῆς προνοίας τοῦ Θεοῦ ἀπαμβλύνονται. Ἀλλ' εἰκόνα τῶν λόγων λάβε ἀπὸ τοῦ ἡλιακοῦ φωτός· ὡς γὰρ ἐκεῖσε ἔστιν ἰδεῖν, ὅτι ἐπὶ μὲν τῶν διαφανῶν αἱ τῶν ἀκτίνων διαδόσεις γίνονται, καὶ ἐπὶ τούτοις μᾶλλον καὶ ἧττον, καθὼς ἂν ἔχοι τὸ ὑποκείμενον πρὸς τὴν τοῦ φωτὸς μετάληψιν ἐπιτηδειότητος· ἐπὶ δὲ τῶν παχυτέρων οὐχ ὁμοίως, ἀλλ' ἢ πάντη ἀδιαδότως ἢ ἀμυδρῶς· τοῦτο καὶ ἐπὶ τῆς θείας ἐλλάμψεως ἡ ἀνισότης τῆς αὐτεξουσίου ῥοπῆς ἐργάζεται. Ὑπόθου γὰρ, τὴν ἡμετέραν ζωὴν ὄψιν εἶναι νοερὰν, ἀλλ' ἀνόμοιον, διὰ τὸ αὐτεξούσιον· ἡ δὲ τῆς θεϊκῆς ἀγαθότητος φωτοδοσία, μία καὶ ἡ αὐτή ἐστιν, ὑπερπλήρης, καὶ ἀνελλιπὴς, καὶ ἁπλῆ, καὶ ἀεὶ ὡσαύτως ἔχουσα (ἡ γοῦν τῶν ὄψεων αὐτεξουσιότης, ἢ παντελῶς ἀμέθεκτον ποιεῖ τὴν θείαν ἀκτῖνα, ἐν ὅσοις δηλαδὴ ἀντιτυπία ἐστὶ,

ἐστὶ, κἀντεῦθεν οὐδόλως ἡ ἀκτὶς διαδίδοται· ἢ διαφόρους ποιεῖ τὰς μετοχὰς, μικρὰς ἢ μεγάλας, ἀμυδρὰς ἢ φανάς. Τὸ γοῦν, μικρὸν καὶ μέγα, ἐπὶ ποσοῦ· καὶ μικρὰ χάρις, τυχὸν ἡ τῆς διδασκαλίας· μεγάλη, ἡ τῆς προφητείας. Τὸ δὲ, ἀμυδρὰς ἢ φανὰς, ἐπὶ ποιοῦ· ὅτε τυχὸν ἡ προφητεία δυσί τισιν ὑπάρχει, καὶ τῷ μὲν ἐπὶ πλέον ἐστὶ, τῷ δὲ ἐπ' ἔλαττον. Ἐπεὶ ὅτι γε καὶ τῶν ἑτέρων ἐθνῶν (ἐξ ὧν καὶ ἡμεῖς Ἕλληνες ὄντες ἀνεδύσαμεν) οὐ ξένοι τινὲς καὶ ἀλλόκοτοι ἐπεστάτουν θεοὶ ἐπὶ τὸ ἐξηπλωμένον πᾶσι τοῖς θέλουσιν εἰς μετάδοσιν ἑτοίμως δι' ἀγαθότητα τοῦ θεαρχικοῦ φωτὸς ἄπειρον πέλαγος, ἀλλ' ἐπειδὴ μία πάντων ἀρχὴ ὁ Θεός· διὰ τοῦτο πρὸς ταύτην ἀνῆγον οἱ καθ' ἕκαστον ἔθνος ἐπιστατοῦντες Ἄγγελοι τοὺς ἑπομένους κατὰ τὸ αὐθαίρετον, καὶ οὐκ ἠναγκασμένον. Μάρτυς ὁ Μελχισεδὲκ, Βασιλεὺς μὲν τῆς Σαλὴμ ὢν ἐπὶ τῶν χρόνων τοῦ Ἀβραὰμ, ἐξ ἐθνῶν δὲ, καὶ ἐν μέσῳ τῶν ἐθνῶν, Ἱεράρχης φιλοθεώτατος γνωριζόμενος· οὐ γὰρ ἁπλῶς φιλόθεον τοῦτον αἱ Γραφαὶ παραδιδοῦσιν, ἀλλὰ καὶ Ἱερέα τοῦ ὄντως ὄντος Θεοῦ, ἵνα πάντες δηλώσωσι τοῖς ἐχέφροσιν, ὅτι μὴ μόνον οὗτος ἦν φιλόθεος, ἀλλὰ καὶ ἄλλοις εἰς φιλοθείαν ἡγεῖτο. ὅπερ πῶς ἂν ἦν, εἴπερ ἅπαξαπλῶς καὶ παντάπασιν ἐκ τῶν ἐθνῶν ἡ θεογνωσία ὑπέλειπε.

Καὶ τοῦτο δὲ ὑπομνήσω τὴν σὴν ἱεραρχικὴν σύνεσιν (φησὶ πρὸς τὸν Ἐφέσου Τιμόθεον) ὅτι καὶ αἱ καθ' ὕπνους ὁράσεις τοῦ Φαραὼ καὶ τοῦ Ναβουχοδονόσορ, διὰ τῶν Ἀγγέλων τῶν ἐπιστατούντων ἰδίως τοῖς ἔθνεσιν ἐγεγένηντο, καθ' ἃς ὁράσεις τὸ τῆς πάντων προνοίας καὶ κυριότητος κηδεμονικὸν τοῦ Θεοῦ διεπορθμεύετο· οὗτος γὰρ Κύριος καὶ προνοητὴς πάντων καὶ Θεὸς, ὡς καὶ ὁ Παῦλος πολλαχοῦ ἐδήλωσεν εἰπὼν, Μὴ οὐκ ἔστιν ὁ Θεὸς καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν, εἴπερ εἷς ὁ Θεός. Ἀλλ' αἱ ὁράσεις μὲν διὰ τῶν Ἀγγέλων, αἱ δὲ λύσεις ἀλλαχόθεν, καὶ οὐ διὰ τούτων, ὅσῳ καὶ Θεοῦ θεράποντες ὑπῆρχον οἱ συγκρίνοντες τὰ ὀνείρατα, καὶ τῶν Ἀγγέλων ἐγγὺς, ὥστε ἀπὸ Θεοῦ δι' αὐτῶν τὰ τῶν ἐπιλύσεων γίνεσθαι. Ὁ γὰρ Ἰωσὴφ τὰ τοῦ Φαραὼ ὀνείρατα ἔλυεν ὑπὲρ τῶν Αἰγυπτίων, ὁ δὲ Δανιὴλ τὰ τοῦ Ναβουχοδονόσορ κατὰ τῶν Βαβυλωνίων. Διὰ τοῦτο φημὶ, μία ἐστὶν ἡ πάντων ἀρχὴ, καὶ διὰ τοῦτο μία πρόνοια. Καὶ οὐδαμῶς ὑποληπτέον, ὅτι

reluctantur, propter quod omnino radius non distribuitur; vel diuersas facit participationes, paruas vel magnas, obscuras vel claras. Illud itaque, paruum & magnum, ad quantitatem refertur: & parua est gratia, fortè eruditionis; magna, prophetiæ. Illud autem, obscuras vel claras, ad qualitatem refertur, quando fortè prophetia duobus aliquibus obtingit; atque vni quidem plenior, alteri verò tenuior. Quin etiam quia ceteris gentibus (è quibus & nos emersimus) non alieni quidam & prodigiosi præfuerunt dij ad diffusum omnibus, qui vltrò per bonitatem eius participationem appetunt, diuini luminis infinitum pelagus, sed est vnus omnium principatus Deus; idcircò ad ipsum quoque Angeli, qui cuique nationi præfecti erant, eos qui sequebantur, liberè & non coactè adduxerunt. Testis est Melchisedech, qui quidem Rex Salem temporibus Abrahæ erat, verumtamen ex gentibus, & in medio gentium, Sacerdos Deo gratissimus est agnitus: non enim simplici modo ipsum Deo charum extitisse Scripturæ tradunt, verùm etiam Sacerdotem verè existentis Dei; ita vt omnibus intellectu præditis significent, ipsum non solùm Deo charum extitisse, verùm & alios quoque ad Dei amicitiam adduxisse. quòd vtique ille fuit, licet vniuersim & omnino, & apud omnes gentes Dei notitia defecisset.

§.4. Illud quoque pontificiæ tuæ scientiæ commemorabo (alloquitur Timotheum Ephesi Episcopum) quomodo etiam Pharaoni & Nabuchodonosori per Angelos, nationum præsides proprios, in somnis visiones sint exhibitæ, per quas omnium prouidentiæ ac Dominationis Dei cura iis insinuabatur: siquidem hic est Dominus, & prouisor, & Deus omnium, sicut etiam Paulus multis locis declarauit, dicens, Numquid est Deus etiam Rom.3,29 gentium? imò & gentium, quoniam vnus est Deus. Verùm visiones quidem per Angelos, resolutiones autem aliunde, & non per hos; ita vt Dei famuli fuerint, Angelisque propinqui, qui somnia dijudicarunt, ita vt à Deo per illos eorum resolutio fieret. Ioseph enim soluit somnia Pharaonis super Ægyptios, Daniel verò Nabuchodonosoris contra Babylonios. Idcircò inquam, vnus est omnium principatus, adeoque vna prouidentia. Neque vllo modo

PARAPHRASIS PACHYMERÆ.

putandum est, quasi Iudæis quidem sortitò Deus & propriè præfuerit, aliis autem nationibus præfuerint aut Angeli modo sibi proprio sine subordinatione, vel æquales Deo, vel Deo contrarij, vel etiam alij quidam dij. Deut.32,9. Quin etiam quod in Cantico Scriptura dicit, Et factus est pars Domini populus eius Iacob, funiculus hereditatis eius Israël, secundùm hunc sensum accipiendum est, non quasi Deus mundum hunc nostrum cum ceteris diis Angelísve diuiserit, eique quasi sors Israël assignatus sit. Sed quomodo? Quòd nimirum ipsamet altissima rerum omnium prouidentia res omnes hominum, salutaribus quidem quoad ipsos, ad Deum verò sursum erigentibus manuductionibus, Angelis suis propriis commiserit, ex omnibus autem illis gentibus solus Israël ad veri Dei illustrationem conuersus sit. Vnde sacra Scriptura, significans quòd seipsum Israël ad veri Dei ministerium destinarit, Factus est, inquit, pars Domini. Vt autem iterùm ostenderet, quomodo etiam Israël, pariter cum ceteris gentibus, peculiari cuidam Angelo commissus fuerit, per quem ad Dei notitiam traduceretur, si ipse nimirum etiam vellet, Michaëlem in Ducem populi illius dedit; apertè hinc docens, vnicam esse omnium prouidentiam, quæ cunctis tam visibilibus quàm inuisibilibus præsit, omnesque ac singulas gentes peculiarem Angelum habuisse, qui eos, qui vltrò ac sponte sequerentur, ad Deum rerum omnium principium dirigeret.

ἀποκληρωτικῶς καὶ ἰδίως ὁ Θεὸς ἡγεῖτο τῶν Ἰουδαίων· τοῖς δὲ ἄλλοις ἔθνεσιν ἐπεστάτουν, ἢ Ἄγγελοι ἰδιοτρόπως ἀνυπότακτοι, ἢ ὁμότιμοι τῷ Θεῷ, ἢ ἀντίθετοι, ἢ καὶ θεοί τινες ἕτεροι. Ἀλλὰ καὶ τὸ ἐν τῇ Ὠδῇ Λόγιον, τὸ φάσκον, Καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ, κατὰ τήνδε τὴν ἔννοιαν ἐκληπτέον, οὐχ ὅτι ἐμερίσατο ὁ Θεὸς μεθ' ἑτέρων θεῶν, ἢ καὶ Ἀγγέλων, τὸν καθ' ἡμᾶς τοῦτον κόσμον, καὶ τούτῳ ἐπενεμήθη ὡς κλῆρος ὁ Ἰσραήλ. Ἀλλὰ πῶς; Ὅτι αὐτὴ μὲν ἡ μία τῶν ἁπάντων ὕψιστος πρόνοια, πάντα τὰ εἰς ἀνθρώπους, ταῖς σωστικαῖς μὲν πρὸς ἀνθρώπους, ἀναγωγικαῖς δὲ πρὸς Θεὸν χειραγωγίαις τῶν οἰκείων Ἀγγέλων διενείματο, ἐκ τούτων δὲ πάντων τῶν ἐθνῶν, μόνος ὁ Ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως Κυρίου φωτοδοσίαν ἐπεστράφη. Ὅθεν ἡ θεία Γραφὴ, δηλοῦσα μὲν ὅτι ἀπεκλήρωσεν ἑαυτὸν ὁ Ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως Θεοῦ θεραπείαν, Ἐγενήθη μερὶς Κυρίου φησίν. Ἐνδεικνυμένη δὲ πάλιν τὸ, καὶ αὐτὸν δὴ τὸν Ἰσραὴλ ἐν ἴσῳ τοῖς λοιποῖς ἔθνεσιν ἑνί τινι τῶν Ἀγγέλων ἀπονεμηθῆναι εἰς τὸ δι' αὐτοῦ εἰς τὴν θεογνωσίαν ἀναχθῆναι, θέλοντος δηλαδὴ καὶ αὐτοῦ, τὸν Μιχαὴλ ἐφ' ἡγεμόνα τοῦ τοιούτου λαοῦ· ἐκδιδάσκουσα ἐντεῦθεν ἡ Γραφὴ τὸ, μίαν εἶναι πρόνοιαν ἐπὶ πᾶσιν, ὑπερκειμένην καὶ ὁρατῶν καὶ ἀοράτων ἁπάντων, καὶ ὅτι πάντα τὰ καθ' ἕκαστον ἔθνη ἴδιον ἐσχήκασιν Ἄγγελον, ἀνατείνοντα τοὺς ἑπομένους ἐθελουσίως κατὰ τὸ αὐτεξούσιον, εἰς τὴν πάντων ἀρχὴν, τὸν Θεόν.

CAPVT X.

Repetitio & conclusio Angelici ordinis.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Ἐπανάληψις καὶ συναγωγὴ τῆς Ἀγγελικῆς εὐταξίας.


SYNOPSIS CAPITIS.

1. DOcet, sublimiores Angelos sublimiori quoque modo illustrari. 2. In illustrationibus seruari quoque subordinationem. 3. Omnes siue Angelos siue homines triplicem habere potentiam.

§.1. *Sublimiores Angelos sublimiori modo illustrari.*



CONCLVSVM igitur à nobis, quomodo illa quidem antiquissima, quæ Deo præstò est, intelligentiarum distributio, ab ipsamet



ΣΥΝΗΚΤΑΙ τοίνυν ἡμῖν, ὡς ἡ μὲν πρεσβυτάτη τῶν περὶ Θεὸν νοῶν διακόσμησις, ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἱεραρχουμένη,

 TEXTVS S. DIONYSII.

τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι, κρυφιωτέρᾳ καὶ φανοτέρᾳ τῆς θεαρχίας φωτοδοσίᾳ καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται. Κρυφιωτέρᾳ μὲν, ὡς νοητοτέρᾳ, καὶ μᾶλλον ἁπλωτικῇ καὶ ἑνοποιῷ· φανοτέρᾳ δὲ, ὡς πρωτοδότῳ καὶ πρωτοφανεῖ καὶ ὁλικωτέρᾳ, καὶ μᾶλλον εἰς αὐτὴν ὡς διειδῆ κεχυμένῃ. Πρὸς ταύτης δὲ πάλιν ἀναλόγως ἡ δευτέρα, καὶ πρὸς τῆς δευτέρας ἡ τρίτη, καὶ πρὸς τῆς τρίτης ἡ καθ' ἡμᾶς ἱεραρχία, κατὰ τὸν αὐτὸν τῆς εὐκόσμου ταξιαρχίας θεσμὸν, ἐν ἁρμονίᾳ θείᾳ καὶ ἀναλογίᾳ, πρὸς τὴν ἁπάσης εὐκοσμίας ὑπεράρχιον ἀρχὴν καὶ περάτωσιν ἱεραρχικῶς ἀνάγεται.

Ἐκφαντορικοὶ δὲ πάντες εἰσὶ, καὶ ἄγγελοι τῶν πρὸ αὐτῶν, οἱ μὲν πρεσβύτατοι, Θεοῦ τοῦ κινοῦντος, ἀναλόγως δὲ οἱ λοιποὶ, τῶν ἐκ Θεοῦ κεκινημένων· τοσοῦτον γὰρ ἡ πάντων ὑπερούσιος ἁρμονία, τῆς ἑκάστου τῶν λογικῶν τε καὶ νοερῶν ἱερᾶς εὐκοσμίας καὶ τεταγμένης ἀγωγῆς προενόησεν, ὅτι καὶ αὐτὴ τῶν ἱεραρχιῶν ἑκάστῃ τάξεις ἱεροπρεπεῖς ἔθετο, καὶ πᾶσαν ἱεραρχίαν ὁρῶμεν εἰς τὰς πρώτας, καὶ μέσας, καὶ τελευταίας δυνάμεις διῃρημένην. Ἀλλὰ καὶ αὐτὴν ἑκάστην, ἰδικῶς εἰπεῖν, διακόσμησιν ταῖς αὐταῖς ἐνθέοις ἁρμονίαις διέκρινε· διὸ καὶ αὐτοὺς τοὺς θειοτάτους Σεραφὶμ οἱ Θεολόγοι φασὶν ἕτερον πρὸς τὸν ἕτερον κεκραγέναι, σαφῶς ἐν τούτῳ καθάπερ οἶμαι δηλοῦντες, ὅτι τῶν

primitus initiante illuminatione consecrata, immediatè illi intendendo, secretiori simul & manifestiori diuini principatus illustratione purgetur & illuminetur atque perficiatur. Secretiori quidem, quia spiritaliori magisque simplificâ vnificaque: manifestiori autem, quia primitiuâ primilucaque & vniuersaliori, ipsique (vtpote liquidiori) intimiùs infusa. Ab hac autem vt iterùm secunda pro suâ portione, & à secundâ tertia, & à tertiâ noster hic sacer ordo, iuxta primææ illius rectæ constitutionis legem, diuinâ prorsus harmoniâ congruentiaque ad superoriginalem omnis bonæ ordinationis originem & terminationem sacro quodam ordine promoueatur.

Singuli autem ordines sunt eorum qui præcedunt interpretes ac internuntij; primi quidem illi, motoris sui Dei, ceteri autem eadem ratione, motorum à Deo: adeò enim illa superessentialis rerum omnium harmonia cuilibet sacro tam rationaliũ quàm spiritalium creaturarum ordini, ratoque ductui consuluit, vt & ipsa singulis Hierarchiis decoros ordines statuerit, atque omnem Hierarchiam in virtutes primas, & medias atque postremas distributam esse videamus. Quin imò singulas, vt propriè dicam, spirituum descriptiones iisdem diuinis harmoniis discreuit, propter quod ipsos etiam diuinissimos Seraphim Theologi alterum ad alterũ clamare aiunt; quâ quidem re, meâ sententiâ, manifestè declarãt, primos participes facere

§. 2. *Subordinatio in illustrando.*

Isa. 6.

TEXTVS S.DIONYSII.

facere secundos diuinarum rerum atque notionum.

θεολογικῶν γνώσεων οἱ πρῶτοι τοῖς δευτέροις μεταδιδόασι.

§.3. *Omnes tam Angelos quàm homines triplici facultate pollere.* Hoc quoque non immeritò possum addere, quamlibet cælestem & humanam mentem seorsum proprios in se continere & primos, & medios, & vltimos ordines atque facultates, quæ eodem modo, quo superiores singularum Hierarchiarum illustrationũ proprij ductus, eluceant, quibus vnaquæq; mens pro suo captu quàm nitidissimæ purgationis, copiosissimi luminis, absolutæq; perfectionis fit particeps. Nihil est enim per se absoluteque perfectum, aut quod omninò perfectionis non indigeat, nisi quod per se reuerà perfectum est, & præperfectum.

Προσθείην δ' ἂν καὶ τοῦτο οὐκ ἀπεικότως, ὅτι καὶ καθ' αὑτὸν ἕκαστος οὐράνιός τε καὶ ἀνθρώπινος νοῦς, ἰδικὰς ἔχει καὶ πρώτας καὶ μέσας καὶ τελευταίας τάξεις τε καὶ δυνάμεις, πρὸς τὰς εἰρημένας τῶν καθ' ἕκαστον ἱεραρχικῶν ἐλλάμψεων οἰκείας ἀναγωγὰς ἀναλόγως ἐκφαινομένας, καθ' ἃς ἕκαστος ἐν μετουσίᾳ γίνεται κατὰ τὸ αὐτῷ θεμιτόν τε καὶ ἐφικτὸν, τῆς ὑπεραγνοτάτης καθάρσεως, τοῦ ὑπερπλήρους φωτὸς, τῆς προτελείου τελειώσεως. Ἔστι γὰρ οὐδὲν αὐτοτελὲς, ἢ ἀπροσδεὲς καθόλου τελειότητος, εἰ μὴ τὸ ὄντως αὐτοτελὲς καὶ προτέλειον.

ANNOTATIONES CORDERII.

§. 1. Ex præcedentibus capitibus concludit, Angelos, quantò sublimiores sunt, tantò sublimiori quoque & secretiori ratione illustrari; eò nimirum quòd Deo ἀρχιφώτῳ propinquiores sint, atque adeò etiam magis Deum participent, vt infrà cap. 5. de Diuinis nominibus, & suprà cap. 4. & 8. Cælestis Hierarchiæ docet. vbi vide nostras Annotationes. Tantùm hîc obserua, quomodo nos ab Angelis purgemur, illuminemur, perficiamur.

Quomodo Angeli nos purgent, illuminẽt, perficiant. Purgant itaque nos Angeli, amouendo phantasmata quæ impediunt illuminationem, quam Angelus intendit facere in nobis: vnde tria remouent ab animâ, scilicet ignorantiam, & nubila phantasiarum, ac falsas opiniones rationum reuelationi contrariarũ. Illuminant verò animam tripliciter, scilicet ad sensum, vt patet, quãdo manifestatur aliquid in assumpto corpore (& hanc potestatem etiam diabolus habet:) item ad intellectum, & talis illuminatio solùm perfecta est. Notandum autem, quòd Angelus non illuminet intellectum efficiendo cognitionem in animâ; quia non potest in intellectu nouam speciem neque habitum noui luminis creare, sed nec intentionem: *Quæ requirantur, vt intellectus noster intelligat.* nam tria requiruntur vt intellectus noster aliquid intelligat, scilicet species quâ cognoscatur, & lumen in quo cognoscatur, & intentio quâ intellectus conuertatur super speciem. Illuminat autem intellectum nostrum Angelus excitando ac disponendo, & lumen diuinum in nos transfundendo: facit enim (vt dictum est) in phantasiâ transmutationem specierum, componendo & diuidendo eas secundùm rei exigentiam quam vult reuelare: item irradiat lumen intellectus sui super illas, vt moueant intellectum nostrum, & sic plura & subtiliora videri possunt in lumine duplicato: item excitat intentionem animæ motu aliquo, quo se super illa phantasmata reflectat, ab aliis se abstrahendo. Perficiunt etiam, id est, promouent ad melius.

Vtrùm autem Angelus incendere possit affectum humanum, id tripliciter intelligi potest, scilicet vel efficiendo, vel mouendo, vel excitando & adiuuando. *Quomodo Angelus incendat affectum nostrum.* Primo modo solus Deus inflammare potest affectum; secundo modo res ipsa desiderata affectum, inflammat, scilicet alliciendo & mouendo; tertio modo potest Angelus affectum nostrum incendere, scilicet excitando & adiuuando motum eius congruâ propositione. De his habemus exemplum in naturis: quia primo modo ignis accendit ligna, secundo modo ligna incendũt ignem, & tertio modo is qui ligna igni apponit, ignem accendit.

Differentia inter immittere cogitationem, & incendere, & illuminare. accendit. Differentia autem est inter immittere cogitationem, & incendere & illuminare: quia cogitationem immittere, est intus creare & facere cogitationem; sed incendere, est cogitationem iam factam inflammare; illuminare verò, est dare reuelationem de aliquo occulto intelligibili.

Hîc tantùm pro pleniori intelligentiâ istiusmodi Angelicæ illuminationis, nota ex S. Thomâ, in Parte primâ quæst. 106. art.1. vnum Angelum alium illuminare, in quantum ei veritatem quam cognoscit, manifestam facit; vel confortando ipsius intellectum, vel ex parte similitudinis rei intellectæ. Cùm autem ad intelligendum duo concurrant, scilicet virtus intellectiua, & similitudo rei intellectæ, secundùm hæc duo vnus Angelus alteri veritatem notam notificare potest: Primò virtutem eius intellectiuam fortificando. Sicut enim virtus imperfectioris corporis confortatur ex situali propinquitate corporis perfectioris, vt v.g. minùs calidū crescit in calore ex præsentiâ magis calidi: ita virtus intellectiua inferioris Angeli confortatur ex cōuersione superioris Angeli ad ipsum. Hoc enim facit in spiritualibus ordo conuersionis, quod facit in corporalibus ordo localis propinquitatis. Secundò autem vnus Angelus manifestat alteri veritatē ex parte similitudinis intellectæ. Superior enim Angelus notitiam veritatis accipit in vniuersali quadam conceptione, ad quam capiendam inferioris Angeli intellectus non esset sufficiens, sed est ei connaturale, vt magis particulariter accipiat veritatem. Superior verò Angelus veritatem quam velociter concipit, quodammodò distinguit, vt ab inferiori capi possit, & sic eam cognoscendam ei proponit. Sicut etiam apud nos, qui in paucis multa capiunt, multipliciter illa distinguunt, aliorum capacitati prouidentes. Et hoc est quod S. Dionysius infrà cap. 15. §. 3. ait, quamlibet essentiam spiritalem, vniusmodi intelligentiam, quam à diuiniore traditam accepit, pro inferioris ductu captuque prouidâ virtute diuidere ac multiplicare, vide infrà nostras Annotationes ad c.xii. §.2.

Quomodo Angeli se mutuò illuminent.

§. 2. Notat, in diuinarum traductione illustrationum seruari subordinationem, ita nimirum, vt supremi illi spiritus sint ipsiusmet Dei internuntij, & sic deinceps sequentes præcedentium Angelorum, vt suprà Cap.8. docuit, & nos ibidem §.2. annotauimus.

Vnde sit inter Angelos tanta communicatio. Huius mutuæ communicationis & illustrationis rationem reddit D. Thomas in primâ Parte quæst. 106. art.4. Quia nimirum omnes creaturæ ex diuinâ bonitate participant, vt bonum quod habent, in alia diffundant. Nam de ratione boni est, quòd se aliis communicet. Hinc etiam agentia corporalia, similitudinem suam aliis tradunt quantam possunt. Atque ideò quantò aliqua agentia magis diuinam bonitatem participant, tantò etiam magis perfectiones suas, quoad possunt, in alios transfundere conantur. Vnde B. Petrus monet eos qui diuinam bonitatem per gratiam participāt, dicens: *Vnusquisque sicut accepit gratiam, in alterutrū illam administrantes, sicut boni dispēsatores multiformis gratiæ Dei.* Multò igitur magis SS. Angeli, qui sunt in plenissimâ participatione diuinæ bonitatis, quidquid à Deo percipiūt, subiectis impartiuntur. Non recipitur tamen hæc illuminatio ab inferioribus ita excellēter, sicut est in superioribus, atq; ideò superiores semper remanent in altiori ordine, & perfectiorem cognitionē habent; sicut vnam & eamdem rem pleniùs intelligit magister, quàm discipulus qui ab eo addiscit. Hinc quamuis in societate Angelorum omnia possideantur communia; tamen quædam excellentiùs habentur à quibusdam quàm ab aliis. Vnumquodque autem perfectiùs habetur ab eo qui potest illud communicare, quàm ab eo qui non potest. Sicut perfectius est calidum quod potest calefacere, quàm quod non potest; & perfectiùs scit qui potest docere, quàm qui non potest: & quantò perfectiùs donum aliquis communicare potest, tantò in perfectiori gradu est: sicut in perfectiori gradu magisterij est, qui potest docere altiorem scientiam. Et secundùm hanc similitudinem consideranda est diuersitas graduum vel ordinum in Angelis, secundùm diuersa officia & actus.

ANNOTATIONES CORDERII.

1. Pet. 4.

§. 3. Obseruat, quamlibet mentem siue Angelicam siue humanam & primas & medias & vltimas potentias habere, quæ capaces sint expiationis, illustrationis, atque perfectionis. Hæc vide apud Pachymeram explicata. Quibus adde ex D. Thomâ, in primâ Parte, quæst. 108. art. 2. quòd ipsa ratio Hierarchiæ requirat ordinum diuersitatem, quæ quidem diuersitas ordinum secundùm diuersa officia & actus consideratur; sicut apud homines in qualibet ciuitate sunt diuersi ordines, secundùm diuersos actus. Nam alius est ordo iudicantium, & alius pugnantium, & alius in agris laborantium; & sic de aliis. Sed quamuis multi sint vnius ciuitatis ordines, omnes tamen ad tres reduci possunt, secundùm quod quælibet multitudo perfecta habet principium, medium, & finem. Vnde & in ciuitatibus triplex ordo hominum reperitur. Quidam enim sunt supremi, vt optimates; quidam autem sunt infimi, vt vilis plebecula;

Vnde sit in Angelis ordinum diuersitas.

la; quidam autem sunt medij, vt populus honoratus. Sic igitur etiam in qualibet Hierarchiâ Angelicâ ordines distinguuntur secundùm diuersos actus & officia: & omnis ista diuersitas ad tria reducitur, scilicet ad summum, medium, & infimum; & propter hoc S. Dionysius in qualibet Hierarchiâ ponit tres ordines.

SCHOLIA S. MAXIMI.

§. 1. RIMITVS INITIANTE.] Primitùs initiantem causam [vocat] eam, quę principium dat eorum initiationi seu perfectioni.

SECRETIORI QVIDEM.] Nota, ipsum hîc clarè significare, quam ob causam cælestium Virtutum ordines sint tales, vt vnus quidem supremus sit, alter medius, alter verò postremus: hoc enim ait propter ordinem supremũ, qui sunt Throni, Seraphim & Cherubim, qui ab ipsamet diuinâ cognitione illustrantur, eò quòd immediatè in ipsam intendant, nihilq; ipsos anteuertat; atque ita [hic ordo] ab ipsomet diuino initiandi principatu expiatur & illuminatur atque perficitur. Cùm enim ita conditus sit, vt primus existat, neque expiatione neque illustratione ei opus fuerit, cùm sic effictus sit, vt primo etiam ordine dignus existat. Alioquin vide quid paulò pòst vir hic diuinus dicat, quòd nimirum magis secreta sit, quia intelligibilior simpliciorque: ex his enim ampliùs liberum eorum arbitrium colligere licet. Nisi enim præ inferioribus magis se explicaret intelligeretque, nequaquam sanè ad Deum accederet: verùm cùm voluntariè Deo magis appropinquet, præstantiori modo expiatur & illuminatur atque perficitur, id est, perfecta operatur, scilicet quæ Deum tangunt. Atque hoc arbitror Scripturam insinuare [cùm ait:] *Accedite ad eum, & illuminamini; & facies vestræ non confundentur.* Ita etiam de ceteris Virtutibus intellige, nempe quamlibet pro captu suo Deum cernere; quod clariùs explicat in fine Capitis.

Supremus ordo à Deo immediatè gubernatur.

Psal. 33, 6.

§. 2. INTERPRETES.] Quoniam omnes Angeli lumina ad se à superioribus delata inferioribus manifestant. Subaudienda est vox *interpretes.* Cùm autem dicit, *à Deo motorum* [intellige] primi ordinis Seraphinorum.

SERAPHIM] Idcircò de Seraphim diuinus Hymnus ait alterum ad alterum clamasse; quia nimirum primi secundis diuina mysteria annuntiant.

§. 3. NON IMMERITO.] Ex rudioribus institu-

ΕΛΕΤΑΡΧΙΚΗΣ.] Τελεταρχικὴν, τὴν ἀρχηγὸν καὶ αἰτίαν τῆς αὐτῶν τελειώσεως.

Κρυφιωτέρα μὲν.] Σημείωσαι, ὅτι ἐνταῦθα σαφῶς δηλοῖ, διὰ ποίαν αἰτίαν αἱ τάξεις τῶν οὐρανίων Δυνάμεων οὕτως εἰσὶν, ὥστε, τὴν μὲν ὑπερτέραν εἶναι, τὴν δὲ μέσην, τὴν δὲ τελευταίαν· λέγει γὰρ διὰ τὴν ἀνωτέραν τάξιν, ἥτις ἐστὶ Θρόνοι, Σεραφὶμ, καὶ Χερουβὶμ, ὅτι ὑπ' αὐτῆς τῆς θείας γνώσεως ἐλλαμπόμεναι, διὰ τὸ ἀμέσως ἐπ' αὐτὴν ἐπανατείνεσθαι, καὶ μὴ ἔχειν τὸ προλαμβάνον, οὕτως ὑπ' αὐτῆς τῆς τελεταρχίας τῆς θείας καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται. Εἰ γὰρ οὕτως ἐδημιουργήθη, ὥστε πρώτη εἶναι, οὔτε καθάρσεως οὔτε φωτισμοῦ ἐδέετο, οὕτως πλασθεῖσα, ὥστε καὶ ἀξία εἶναι τῆς πρώτης τάξεως. Ἄλλωστε ὅρα τί λέγει μετὰ μικρὸν ὁ θεῖος οὗτος ἀνὴρ, ὡς κρυφιωτέρα μᾶλλόν ἐστιν, ὅτι νοητοτέρα, καὶ μᾶλλον ἁπλωτική· ἐκ τούτων γὰρ ἐστὶ πλέον λαβεῖν τὸ αὐτοπροαίρετον αὐτῶν. Εἰ γὰρ μὴ πλέον τῶν ὑποδεεστέρων ἥπλου ἑαυτὴν, καὶ διενοεῖτο, οὐκ ἂν ἐπλησίαζε Θεῷ· ἐγγίσασα δὲ Θεῷ ἑκουσίως, κρεῖττον καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται, τουτέστιν ἐνεργεῖ τὰ τέλεια, ἀντὶ τοῦ τὰ περὶ Θεόν. Καὶ τοῦτο οἶμαι τὴν Γραφὴν αἰνίττεσθαι, Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὕτω καὶ περὶ τῶν ἐφεξῆς Δυνάμεων νόησον, ὅτι ἑκάστη κατὰ τὴν οἰκείαν ἀναλογίαν ὁρᾷ τὸν Θεόν· τοῦτο σαφέστερον λέγει καὶ ἐν τῷ τέλει τοῦ κεφαλαίου τούτου.

Ἐκφαντορικοί.] Ὅτι πάντες οἱ Ἄγγελοι τὰ παρὰ τῶν πρὸ αὐτῶν εἰς αὐτοὺς φερόμενα φῶτα, τοῖς ὑποδεεστέροις ἐκφαίνουσι. Κατὰ κοινοῦ ληπτέον τὸ Ἐκφαντορικοί. Ἐκ Θεοῦ δὲ κεκινημένων φησὶ περὶ τῆς πρώτης τῶν Σεραφὶμ ταξιαρχίας.

Σεραφίμ.] Διὰ τί περὶ τῶν Σεραφὶμ ὁ θεῖος ὕμνος φησὶ κεκραγέναι ἕτερον πρὸς τὸν ἕτερον, διὰ τὸ τοὺς πρώτους ἀγγέλλειν τοῖς δευτέροις τὰ θεῖα μυστήρια.

Οὐκ ἀπεικότως.] Ἐκ γὰρ τῶν ἁπλουστέρων

ρον μυήσεων (ὅπερ γάλακτος ποτισμὸν ἐκάλεσεν ὁ Ἀπόστολος) πρὸς τὰ μέσα, καὶ ἐκ τούτων πρὸς τὰ μείζονα, ἤγουν τὴν τῶν τελείων τροφὴν ἀνιών, τὴν τελευταίαν ἀναφαίνει τάξιν καὶ δύναμιν. Ἔστι δὲ καὶ ἑτέρως τὰ κατὰ τὸν τόπον νοῆσαι· καὶ πρώτην μὲν εἰπεῖν, τὴν πρὸς τὸ ὑπερκείμενον ἀνάτασιν· μέσην δέ, τὴν περὶ αὐτὴν ἀναστροφὴν καὶ συνέλιξιν· τελευταίαν δέ, τὴν τὸ ὑποδεέστερον ἀνάγουσαν, ὃ καὶ μᾶλλον ἐπὶ τῶν Ἀγγέλων νοητέον.

Καὶ πρώτας καὶ μέσας.] Ὅτι ἑκάστου ἡμῶν ὁ νοῦς πρώτας καὶ μέσας καὶ τελευταίας τάξεις ἔχει εἰς τὸ νοεῖν περὶ Θεοῦ τὰς τρεῖς τάξεις ταύτας, νοητέον οὕτως, ὅτι πᾶς νοῦς ἔχει οὐσίαν, καθ' ἣν πρῶτόν ἐστιν· εἶτα καὶ δύναμιν, καθ' ἣν διαρκεῖ· τελευταῖον δὲ ἐνέργειαν, καθ' ἣν τὰ οἰκεῖα πράττων εὐσεβεῖ. Ταῦτα καὶ ἐν τῷ ἑξῆς κεφαλαίῳ σαφηνίζει. Ὅθεν ἐντεῦθεν σαφῶς καὶ ἀναντιρρήτως ἐστὶ λαβεῖν, ὅτι ἀληθῆ πρὸ μικροῦ παρεγράψαμεν. Ἰδοὺ γὰρ πῶς φησιν, ἕκαστος οὐράνιος καὶ ἀνθρώπινος νοῦς, πρώτας καὶ μέσας καὶ τελευταίας ἔχει ἀναγωγάς, καθ' ἃς ἕκαστος ἐν μετουσίᾳ γίνεται τῶν θείων καὶ ἱεραρχικῶν ἐλλάμψεων. Πρῶτον μέν, ὅτι ἴσην τάξιν εἶπε τῶν ἀνθρώπων, καὶ τῶν ἄνω δυνάμεων, καὶ οὐδένα τῶν ἀνθρώπων ἴσμεν οὔτε Προφήτην, οὔτε δίκαιον, μηδὲν θέντα τῆς ἰδίας προφάσεως εἰς τὸ πλησιάσαι Θεῷ. Ὅρα γὰρ τί φησιν ὁ ἕως τρίτου οὐρανοῦ φθάσας, Ὅτι ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. Ἔπειτα σαφῶς ὧδε φησὶ τὸ αὐτεξούσιον καὶ τῶν Ἀγγέλων, καὶ τὴν τῆς ἰδίας αὐτῶν ὁρμῆς ἔφεσιν. Ἵνα δὲ μηδεὶς τῶν λίαν ἐριστικῶν φιλονεικήσῃ, ὡς ἐν ἐπιλόγῳ φησίν, ὅτι οὐδὲν ἀπροσδεὲς καὶ αὐτοτελές, τοῦτ' ἔστιν ἀφ' ἑαυτοῦ τέλειον, εἰ μὴ μόνος ὁ Θεός, ὥστε Ἄγγελοι καὶ ἄνθρωποι προκοπῆς καὶ τελειώσεως δέονται.

tionibus (quod lactis potationem vocabat Apostolus) ad media, & ex his ad maiora siue perfectorum cibum ascendens, postremum ordinem virtutemque manifestat. Licet verò hæc etiam aliter secundùm locum intelligere: ac primam quidem dicere, ad id quod supereminet intentionem; mediam autem, circa ipsum conuersionem ac conuolutionem; postremam verò, imbecillioris adductricem, quod potiùs de Angelis intelligendum est.

In omni Hierarchiâ esse primos, medios & postremos ordines.

Et primos et medios.] Vniuscuiusque nostrûm mentem primos & medios & postremos ordines habere, vt in Deo tres hosce ordines intelligat, sic accipiendum est, quòd omnis mens habeat substantiam, secundùm quam primùm existit; deinde etiam virtutem, secundùm quam perseuerat; postremò autem efficacitatem, secundùm quam quæ sua sunt agens, pia est. Hæc etiam in Capite sequenti declarat. Vnde licet hinc apertè ac sine contradictione inferre, nos paulò antè vera scripsisse. Ecce enim quomodo dicat, vnamquamq; cælestem atq; humanam mentem primas & medias extremasque habere sublimationes, secundùm quas vnaquæque diuinarum & hierarchicarum illustrationum particeps efficitur. Primum quidem, quia hominum virtutumque supernarum ordinem æqualem esse dixit, neque hominem vllum, siue Prophetam, siue iustum nouimus, qui non habuerit peculiarem rationem aliquam ad Deum accedendi. Vide enim quid dixerit is qui vsque ad tertium cælum peruenit: *Castigo corpus meum, & in seruitutem redigo; ne fortè cùm aliis prædicauerim, ipse reprobus efficiar.* 1.Cor.9,27 Deinde clarè hîc etiam astruit liberum arbitrium Angelorum, & peculiare propensionis eorum desiderium. Ne autem contentiosorum quispiam rixetur, tamquam pro conclusione ait, nihil esse non indigum, & per se siue à seipso perfectum, nisi solum Deum, adeò vt Angeli hominesque profectu perfectioneque indigeant.

PARPAHRASIS PACHYMERÆ.

ΕΠΑΝΑΛΑΜΒΑΝΕΙ τὰ ῥηθέντα ὁ Ἅγιος, καὶ φησίν, Ὅτι συμπεπέρασται τοίνυν ἡμῖν, ὡς ἡ μὲν πρεσβυτάτη (οὐ κατὰ χρόνον, ἀλλὰ κατὰ τάξιν) πάντως διακόσμησις τῶν περὶ Θεὸν καὶ κύ-

§. 1.

Repetit hîc Sanctus ea quę dicta sunt, & ait: Conclusum igitur à nobis, quomodo illa quidem antiquissima (non secundùm tempus, sed secundùm ordinē) omnino distributio earum quæ circa Deum & in

PARAPHRASIS PACHYMERÆ.

Pſ. 17, 12.

circuitu Dei ſunt intelligentiarum (iuxta illud, *In circuitu ipſius tabernaculum eius*; etſi etiam ſuper omnem terminum & infinitatem ſit Numen diuinum) ab ipſamet primitus initiante illuminatione & ceterarum initiationum causâ conſecrata (eò quòd non ſit alius ordo ante ipſam, ſed ipſamet immediatè ad eam extendatur, attracta quodammodò ab ipſomet per ſe bono, & naturâ bono quod omnia appetunt; hoc enim eſt extendi: non enim ineffabilis ille radius illucens permittit ipſam ſolitariam & quodammodò dormitare) purgatur, & illuminatur atque perficitur ſecretiori ſimul & manifeſtiori diuinâ illuſtratione. Vnde etiam patet, quòd ſub ordine vberiorem habeant illuſtrationem. Si enim ita condita eſſet illa diſtinctio, vt omnino prima eſſet, neque purgatione neque illuminatione opus haberet, cùm ita formata foret, vt primo ordine digna eſſet. Secretiorem autem & manifeſtiorem eamdem vocauit illuſtrationem, quæ vtique circa idem videntur quaſi eſſe contraria. Quod enim occultum eſt, non eſt manifeſtum; & quod manifeſtum, non eſt occultum, iuxta eumdem modum. Etſi enim etiam contraria ſunt reſpectu eiuſdem, ad aliud tamen atque aliud intelliguntur. Occultior quidem eſt nobis, quia ſpiritualior; ſpiritales enim ſunt ſuperiorum ordinum illuſtrationes: ſpiritualior autem eſt illa primæ diſtributionis nobiſque ignotior; idcircò etiam ſimplifica (vt quæ non cognoſcitur per aliquam è rebus noſtris terrenis, quæ compoſitæ ſunt) quin & vnifica. Quantum enim à materiâ mens noſtra recedit, tantumdem ad vnum tendit, & immaterialiùs, vt ita quis dixerit, rem intellectilem comprehendit. Ecquid dico in his, cùm id ſenſui quoque accidat quoad res ſenſiles? ſiquidem eminus quidpiam videntes, putamus illud vel animal eſſe, vel fortè lapidem, vel arborem, vel quid aliud; appropinquantes verò cognoſcimus eſſe animal, & quidem tale animal, hominem v.g. & hunc hominem. Sic pueri primùm omnes viros patres vocant, matreſque feminas, poſteà verò horum cognitio vnificatur, agnoſcuntque veros parentes. Vides quomodo ſenſus vnificetur: idem etiam menti accidit, dum ad res intellectiles accedit. Verùm hinc ſuboritur neceſſaria dubitatio, quî ſenſus circa id quod vicinius eſt magis vnificetur, mens verò cir-

Cur ſupremi Angeli ſimpliciores & claras habeãt illuſtrationes.

κλῳ Θεοῦ νόων (κατὰ τὸ, Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ· κἂν καὶ ὑπὲρ πᾶν πέρας καὶ ἄπειρον τὸ Θεῖόν ἐστιν) ὑπὸ τῆς ἐλλάμψεως τῆς ἀρχηγοῦ καὶ αἰτίας ἁπάντων τῶν τελειώσεων, μυσταγωγουμένη (διὰ τὸ μὴ εἶναι ἑτέραν πρὸ αὐτῆς τάξιν, ἀλλ' αὐτὴν ἀμέσως ἐπ' αὐτὴν ἀνατείνεσθαι, ἑλκομένην οἷον ὑπὸ τοῦ αὐταγάθου καὶ φυσικῶς ἀγαθοῦ οὗ καὶ πάντα ἐφίενται· τοῦτο γὰρ ἐστὶ τὸ ἀνατείνεσθαι· οὐ γὰρ ἀφίησιν αὐτὴν ἠρεμεῖν, καὶ οἷον ἐπινυστάζειν, ἡ ἄρρητος ἐκείνη ἀκτὶς ἐπιλάμπουσα) καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται, ἐν κρυφιωτέρᾳ καὶ φανοτέρᾳ θείᾳ φωτοδοσίᾳ. Κἀντεῦθεν δῆλον, ὅτι ὑπὸ τῆς τάξεως ἔχουσι τὴν ἔλλαμψιν πλείονα. Εἰ γὰρ οὕτως ἐδημιουργήθη, ὥστε πρώτη εἶναι, οὔτε καθάρσεως οὔτε φωτισμοῦ ἐδέετο, οὕτω πλασθεῖσα, ὥστε καὶ ἀξία εἶναι τῆς πρώτης τάξεως. Κρυφιωτέραν δὲ καὶ φανοτέραν τὴν αὐτὴν εἶπεν φωτοδοσίαν, ἃ δὴ καὶ ἐναντία περὶ τὸ αὐτὸ φαίνεταί πως εἶναι. Τὸ γὰρ κρύφιον, οὐ φανόν· καὶ τὸ φανὸν, οὐ κρύφιον, κατὰ τοῦτον τὸν τρόπον. Εἰ γὰρ καὶ ἐναντία εἰσὶ περὶ τὸ αὐτὸ, ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο νοοῦνται. Κρυφιωτέρα μὲν γὰρ πρὸς ἡμᾶς, ὡς νοητοτέρα, (νοηταὶ γὰρ καὶ αἱ τῶν ὑποβεβηκυιῶν τάξεων ἐλλάμψεις) νοητοτέρα δὲ ἡ τῆς πρώτης καὶ ἡμῖν ἀγνωστοτέρα, διὰ τοῦτο καὶ ἁπλωτικὴ (ὡς μὴ κατανοουμένη ἀπεντεῦθεν διά τινος τῶν ἡμετέρων καὶ χαμαλῶν, ἃ δὴ καὶ συνθέσεις εἰσὶν) ἀλλὰ καὶ ἑνοποιός. Ὅσῳ γὰρ τῆς ὕλης ἡμῶν ὁ νοῦς ἀποδιΐσταται, τοσοῦτον περὶ τὸ ἓν χωρεῖ, καὶ ἀϋλωτέρως, ὡς ἄν τις εἴποι, τοῦ νοητοῦ ἐπιδράττεται. Καὶ τί λέγω εἰς ταῦτα, ὅπου γε τῇ αἰσθήσει τοῦτο συμβαίνει εἰς τὰ αἰσθητὰ πράγματα; πόῤῥωθεν γὰρ βλέποντές τι, οἰόμεθα ἢ ζῶον εἶναι, ἢ λίθον τυχὸν, ἢ δένδρον, ἢ ἄλλο τι· προσεγγίζοντες δὲ, ζῶον μανθάνομεν, καὶ τοιόνδε ζῶον, ἄνθρωπον τυχὸν, καὶ τόνδε τὸν ἄνθρωπον. Καὶ τὰ παιδία πρότερον πάντας τοὺς ἄνδρας, πατέρας καλεῖ, καὶ μητέρας τὰς γυναῖκας· ὕστερον δὲ ἑνοποιεῖται ἡ γνῶσις τούτων, καὶ γινώσκουσι τοὺς ἀληθεῖς πατέρας. Εἶδες πῶς ἡ αἴσθησις ἑνοποιεῖται· τοῦτο καὶ ὁ νοῦς πάσχει τοῖς νοητοῖς ἐμβατεύων. Ἀλλ' ἐντεῦθεν ὑπανακύπτει ἀπορία ἀναγκαία, πῶς ἡ μὲν αἴσθησις εἰς τὸ ἐγγύτερον μᾶλλον ἑνοποιεῖται, ὁ δὲ νοῦς εἰς τὸ

πόῤῥω-

PARAPHRASIS PACHYMERÆ.

πορρώτερον, καὶ ὃ αὐτὸς λέγει κρύφιον. Καὶ ἔστιν εἰπεῖν, ὅτι κατ' ἀλήθειαν ἐκεῖνο ἔχει ὁ νοῦς ἐγγύτερον, τὸ ἐπέκεινα πάσης ὑλικῆς συνθέσεως καὶ αἰσθήσεως· τοῦτο γάρ ἐστι καὶ προσῆκον τῷ νῷ καὶ ταῖς τοῦ νοῦ ἐνεργείαις. Νοῒ γὰρ πορρώτερα, τὰ αἰσθήσει πως ὑποπίπτοντα. Κατὰ τοίνυν ἀναλογίαν (ἐπεὶ κρυφιωτέρα καὶ νοητοτέρα ἡ τῶν πρώτων ἐλλάμψεις παρὰ τὰς τῶν δευτέρων ἐλλάμψεις) μᾶλλον αὕτη ἑνοποιός ἐστι, καὶ οὕτω μὲν κρυφιωτέρα πρὸς ἡμᾶς καὶ τὸν ἡμέτερον νοῦν· φανοτέρα δὲ πάλιν, πρὸς αὐτὴν τὴν δεχομένην τὴν ἔλλαμψιν· πρωτόδοτος γὰρ καὶ πρωτοφανὴς καὶ ὁλικωτέρα μᾶλλον ἡ ἔλλαμψις ἡ εἰς αὐτὴν κεχυμένη. Εἰ δὲ ἡ αὐτὴ καὶ ὑπερπλήρης, ἀλλὰ παρὰ τὸ τῶν ὑποδεχομένων πως παραλλάττον· διὰ τοῦτο γὰρ ἐτέθη, Καὶ ὡς διειδῆ, ἵνα δείξῃ, ὅτι τὸ τῶν ὑποκειμένων διάφορον, ἀλλοίαν τὴν ἔλλαμψιν τίθησι. Παρὰ ταύτης δὲ πάλιν τῆς πρώτης τάξεως, ἀναλόγως ἡ δευτέρα, καὶ παρὰ τῆς δευτέρας ἡ τρίτη, καὶ παρὰ τῆς τρίτης ἡ καθ' ἡμᾶς αὕτη ἱεραρχία, ἣν οὐκ ἀνθρωπίνην φημὶ (θεία γὰρ καὶ αὐτή, καὶ θείας ἐλλάμψεις δέχεται) ἀλλὰ τὴν καθ' ἡμᾶς τοὺς ἀνθρώπους ἐνεργουμένην τῇ τοῦ Θεοῦ χάριτι. Τί δὲ παρὰ τῆς πρώτης ἡ δευτέρα, καὶ παρ' αὐτῆς ἡ τρίτη, καὶ παρ' ἐκείνης ἡ καθ' ἡμᾶς λαμβάνει; Πάντως ἱεραρχεῖται. Τὰ δὲ τῆς Ἱεραρχίας καλά, τὴν κάθαρσιν, τὸν φωτισμόν, τὴν τελείωσιν, ἑκάστη παρὰ Θεοῦ διὰ τῆς πρὸ ταύτης λαμβάνει. Τὸ τοίνυν παρὰ τῆς πρώτης ἱεραρχεῖσθαι τὴν δευτέραν, ἀνάγεσθαι εἶπεν ἱεραρχικῶς πρὸς αὐτὴν τὴν ὑπεράρχιον ἀρχήν, καὶ πάσης εὐκοσμίας περάτωσιν· πάντα γὰρ τὰ ἀγαθὰ περατοῖ καὶ ὁρίζει τὸ Θεῖον, ὅτι οὐδὲν ἀγαθὸν ἔξωθεν τούτου ἐστίν, ἢ λέγεται, οὐδ' ἂν ἐννοηθείη ποτέ. Γίνεται δὲ τοῦτο, κατὰ τὸν αὐτὸν τῆς εὐκόσμου ταξιαρχίας ὅτι· εἰ καὶ διὰ τούτων ἀνάγονται, ἀλλὰ παρὰ τοῦ Θείου δέχονται τὰς ἐλλάμψεις, τῆς ἀρχῆς καὶ αἰτίας πάσης τάξεως, μὴ μόνον τῆς πρώτης, ἀλλὰ καὶ τῆς δευτέρας καὶ τῆς τρίτης, καὶ εἴ τις ἄλλη ἐστί. Τοῦτο γάρ ἐστι νόμος, ὡς ἄν τις εἴποι, τοῦ παραγωγέως ἀμετάθετός τε καὶ εὔκοσμος, τὸ τὰ πράγματα συντηρεῖν τε καὶ τελειοῦν ἀφ' ἑαυτοῦ, εἰ καὶ διὰ τινῶν ἄλλων τὸ τοιοῦτον ἐπί τισι γίνεται.

Ἐκφαντορικοὶ δὲ πάντες εἰσὶ καὶ αὐτοὶ οἱ Ἄγγελοι, ἤγουν ἡ ἐσχάτη τάξις· παρακατιὼν γὰρ λέγει περὶ αὐτῶν μόνων τῶν Ἀγγέλων, νῦν δὲ περὶ

ca remotius,& quod ipſe vocat occultius. Ac liceat dicere, illud verè menti propinquius eſſe, quod omni materiali compoſitione ſenſationeque ſuperius eſt; quoniam id menti mentiſque operationibus eſt conformius. Menti enim ſunt remotiora, quæ ſenſui quodammodò ſubiacent. Secundùm hanc itaque proportionem (cùm occultior intelligibiliorque ſit primorum illuſtratio, ſequentium illuſtrationibus comparata) ipſa magis vnifica eſt,adeoque ſecundùm nos quidem mentemque noſtram obſcurior & occultior, ſimul tamen illi, qui illuſtrationem eam excipit, manifeſtior: ſiquidem primigenia primilucaque & integrior eſt illuſtratio quæ ad eam diffunditur. Etſi autem ipſa ſuperplena ſit, attamen pro ſuſcipientiũ conditione variatur: idcircò enim addidit, Et quaſi liquidior,vt indicaret, ſubiectorum diuerſitatem,variationem quamdam adferre illuſtrationi. Ab hac autem primâ diſpoſitione iterùm ſecunda pro ſuâ portione, & à ſecundâ tertia, & à tertiâ noſtra hæc Hierarchia, quam non humanam dico (quoniam & ipſa diuina eſt, diuinaſque ſuſcipit illuſtrationes) ſed eam quæ apud nos homines diuinâ gratiâ conſecratur. Quid porrò à primâ ſecunda, & ab hac tertia, & ab illâ noſtra hæc accipit? Quòd in ſacris omnino dirigatur. Bona verò Hierarchiæ expiationem, illuminationem, perfectionem, quælibet à Deo per primam accipit. Secundam itaque à primâ in ſacris regi, vocat hierarchicè adduci ad ſuperprincipale principium, atque omnis rectæ ordinationis conſummationẽ: diuinum enim Numen bona cuncta terminat ac definit,quia nihil extra ipſum boni eſt,vel dicitur, vel vmquam cogitatur. Fit autem hoc iuxta benè ordinati ordinis principatus ſanctionem: quia licet ab his adducantur, attamen ab ipſo Numine accipiunt illuſtrationes, quod eſt principium & cauſa omnis ordinis, non tantùm primi,ſed & ſecundi,& tertij,& ſi quis ſit alius. Iſta enim lex eſt,vt ita quis dicat,adductionis immutabilis & benè ordinata, vt ab ipsâ res conſeruentur ac perficiantur, etſi per alias quaſdam id in ipſis fiat.

Qualis ſit ſubordinatio Hierarchica.

Manifeſtatorij autem ſunt omnes,etiam ipſi Angeli, ſiue ordo poſtremus: progrediendo enim de ipſis Angelis ſolis loquitur,modò au- §.2.

PARAPHRASIS PACHYMERÆ. tem etiam de tribus ordinibus. Interpretes itaque sunt eorum qui præcedunt, manifestant enim per alios voluntatem Dei, quæ ipsis à prioribus erat manifestata, & his iterùm per alios. Ac primi quidem internuntij sunt motoris sui Dei; sequentes verò, quos & reliquos vocat (scilicet ordo secundus) interpretes sunt eorum qui ex Deo moti sunt. Habes itaq; tres ordines cælestium Virtutum. Tantum autem curæ fuit bono Deo, superessentiali inquam concinnitati & ordini: (Principes enim suos Lacedæmonij Concinnatores appellabant, tamquam quidlibet concinnantes ac ordinantes.) vniuersorum itaque Deo (qui non simplex concinnator est, sed ipsamet concinnitas superessentialis) tanta cura fuit cuiuslibet sacræ cælestium ordinationis, vt & ordinem habeant & adductionem, vt per priores posteriores adducantur; quoniam vnicuique Hierarchiæ tres sacros ordines constituit. Habet enim prima Thronos, Cherubim & Seraphim, & sequentes aliæ similiter existunt, & distinguuntur in primas & medias & postremas virtutes. Adhæc considera, minutiorem esse illarum distributionem; quoniam iterùm vnamquamq; peculiariter dispositionem abusiuè distributionem appellauit: siue vnumquemque ordinem cuiuslibet trini ordinis iisdem congruentiis ordinibusque distinxit. Hoc autem Sanctus asserit, demonstrationem mutuando ex Prophetiâ Isaiæ: quoniam ibi diuinissimi Seraphim alter ad alterum clamāt incessabilem illam hymnologiā, Scripturâ hinc demonstrante, primos sequentibus theologicas ipsas notiones communicare. Theologicam autem notionem vocat Hymnum illum, in quo ter Sanctus pronuntiatur: etenim tres sanctas hypostases in vnicam dominationem ac Deitatem coëuntes ipsi didicerunt, & nos per illos discimus.

§. 3. Adhæc addit etiam subtiliorem demonstrationem benè ordinatæ in omnibus constitutionis, aitque, quamlibet per se cælestem ac humanam mentem peculiares habere primas & medias ac postremas virtutes, in ordine ad dictas adductiones ac manifestationes: intellige expiationem, illuminationem ac perfectionem; sic enim etiam proportione apparent illustrationes, secundùm quas quilibet, quoad illi fas ac possibile est, particeps fit Dei. Quantum enim proprio cuique ordini com-

τῶν τριῶν φησὶ τάξεων. Ἐκφαντορικοὶ γοῦν τῶν πρὸ αὐτῶν, ἐκφαίνουσι γὰρ τὸ διὰ τῶν πρὸ τούτων ἐκφανὲν πάλιν ἐκείνοις δι᾽ ἄλλων, καὶ τούτοις δι᾽ ἄλλων, βούλημα τοῦ Θεοῦ. Καὶ οἱ μὲν πρῶτοι τῇ τάξει, ἐκφαντορικοὶ τοῦ κινοῦντος τούτους Θεοῦ· οἱ δὲ μετ᾽ αὐτούς, οὓς λέγει καὶ λοιπούς (ἤγουν ἡ δευτέρα τάξις) τούτων δὴ τῶν ἐκ Θεοῦ κεκινημένων ἐκφαντορικοί. Ἔχεις τοιγαροῦν τὰς τρεῖς τάξεις τῶν οὐρανίων Δυνάμεων. Τοσοῦτον δὲ ἐμέλησε τῷ ἀγαθῷ Θεῷ, τῇ ὑπερουσίῳ λέγω ἁρμονίᾳ καὶ τάξει (Ἁρμοστὰς γάρ, τοὺς Ἄρχοντας οἱ Λακεδαιμόνιοι ἔλεγον, ὡς ἁρμόζοντας καὶ τάττοντας ἕκαστον.) τῷ γοῦν ἐπὶ πάντων Θεῷ, (τῷ μὴ ἁπλῶς ἁρμοστῇ, ἀλλὰ τῇ ὑπερουσίῳ αὐθαρμονίᾳ) τοσοῦτον ἐμέλησε τῆς ἱερᾶς ἑκάστου τῶν οὐρανίων εὐκοσμίας, καθὼς ἔχουσι τάξεως καὶ ἀναγωγῆς, καθὼς ἀνάγονται διὰ τῶν προτέρων τὰ ὕστερα· ὅτι καὶ μιᾷ ἑκάστῃ ἱεραρχίᾳ τρεῖς ἱερὰς τάξεις ἔθετο. Ἔχει γὰρ ἡ πρώτη Θρόνους, Χερουβὶμ, καὶ Σεραφίμ· καὶ καθεξῆς αἱ ἄλλαι οὕτως εἰσί, καὶ διαιροῦνται εἰς πρώτας καὶ μέσας καὶ τελευταίας δυνάμεις. Καὶ ἔτι νόει λεπτοτέραν τὴν εὐκοσμίαν αὐτῶν, ὅτι πάλιν μίαν ἑκάστην ἰδικῶς διακόσμησιν, καταχρηστικῶς εἶπε τὸ διακόσμησιν, ἤγουν ἓν ἕκαστον τάγμα τῆς μιᾶς τριαδικῆς τάξεως, ταῖς αὐταῖς διεχώρισεν ἁρμονίαις καὶ εὐκοσμίαις. Τοῦτο δὲ λέγει ὁ Ἅγιος, λαμβάνων τὴν ἀπόδειξιν ἐκ τῆς τοῦ Ἡσαΐου προφητείας· οἱ γὰρ θειότατοι Σεραφὶμ ἕτερος πρὸς τὸν ἕτερον κράζει τὴν ἀκατάπαυστον ἐκείνην ὑμνολογίαν, δηλοῦντος ἐντεῦθεν τοῦ λόγου, ὅτι καὶ αὐτῶν τῶν θεολογικῶν γνώσεων οἱ πρῶτοι τοῖς δευτέροις μεταδιδόασι. Θεολογικὴν δὲ γνῶσιν, τὸν τρισάγιον Ὕμνον λέγει· καὶ γὰρ τὰς τρεῖς ἁγίας ὑποστάσεις εἰς μίαν κυριότητα καὶ θεότητα συνιούσας, κἀκεῖνοι ἔμαθον, καὶ ἡμεῖς δι᾽ ἐκείνων μανθάνομεν.

Ἔτι προστίθησι καὶ λεπτοτέραν ἀπόδειξιν τῆς εὐτάκτου ἐπὶ πᾶσι καταστάσεως, καὶ φησίν, ὅτι καὶ καθ᾽ αὑτὸν ἕκαστος οὐράνιός τε καὶ ἀνθρώπινος τοὺς ἰδικὰς ἔχει πρώτας καὶ μέσας καὶ τελευταίας δυνάμεις, πρὸς τὰς εἰρημένας ἀναγωγὰς καὶ ἐκφάνσεις· νόει δὲ τὴν κάθαρσιν, τὸν φωτισμόν, τὴν τελείωσιν· οὕτως γὰρ καὶ ἀναλόγως αἱ ἐλλάμψεις ἐκφαίνονται, καθ᾽ ἃς ἕκαστος ἐν μετουσίᾳ γίνεται κατὰ τὸ αὐτῷ θεμιτὸν καὶ ἐφικτόν. Ὅσον γὰρ ἀνήκει τῇ

ἰδίᾳ

ἰδίᾳ ἑκάστου τάξει, τόσον καὶ ἐφικνεῖται τῆς καθάρσεως, τοῦ φωτισμοῦ, καὶ τῆς τελειώσεως, αὐτοῦ δὴ τοῦ ἀγαθοῦ Θεοῦ. Τέως δέ ἐστι Θεοῦ καὶ ἡ κάθαρσις ὑπεραγνοτάτη, καὶ τὸ φῶς ὑπερπλῆρες, καὶ προτέλειος ἡ τελείωσις. Ἐπεὶ δὲ αἱ εὐθεῖαι ἐλλάμψεις ἄπειροι, κατὰ μίαν ἑκάστην ἔλλαμψιν ἕκαστος οὐράνιος νοῦς πρῶτον καθαίρεται, εἶτα φωτίζεται, ἔπειτα τελειοῦται. Οὐδὲν γὰρ ἀπεικὸς, εἰ ὁ κατά τι τέλειος, κατ' ἄλλο καθαίρεται· καὶ εἰ ὁ κατά τι πεφωτισμένος, κατ' αὐτὸ μὲν τελειοῦται, κατ' ἄλλο δὲ πάλιν καθαρθεὶς φωτίζεται· οὐδὲν γὰρ αὐτοτελὲς ἢ ἀπροσδεὲς τελειότητος, εἰ μὴ τὸ ὄντως αὐτοτελὲς, τὸ ὄντως προτέλειον. Καὶ οὕτω μὲν ὁ οὐράνιος νοῦς ἰδικὰς ἔχει τὰς τρεῖς ταύτας τάξεις τε καὶ δυνάμεις. Πῶς δὲ καὶ ὁ ἀνθρώπειος νοῦς ταύτας ἔχει, πλὴν καὶ αὐτὸς εἰς τὴν κατὰ Θεὸν κίνησιν; οὐδὲ γὰρ περὶ τῶν κοσμικῶν κινήσεων ὁ λόγος ἐστὶν ἡμῖν. Ἤδη λέγομεν, πᾶς νοῦς ἔχει οὐσίαν, καθ' ἣν πρῶτόν ἐστιν· εἶτα καὶ δύναμιν, καθ' ἣν διαρκεῖ· τελευταίαν δὲ ἐνέργειαν, καθ' ἣν τὰ οἰκεῖα πράττων εὐσεβεῖ· ταῦτα δὲ ἐν τῷ ἑξῆς κεφαλαίῳ σαφηνίζει. Ἄλλως τε δὲ οὐδένα τῶν ἀνθρώπων ἴσμεν, οὔτε Προφήτην, οὔτε δίκαιον, μὴ δεηθέντα τῆς οἰκείας προφάσεως εἰς τὸ πλησιάσαι Θεῷ. Ὅρα γὰρ τί φησιν ὁ ἕως τρίτου οὐρανοῦ φθάσας· Ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Καὶ ταῦτα εἰσὶν ἡ πρώτη τάξις καὶ μέση· ὁ γὰρ ὑπωπιασμὸς τῆς σαρκὸς, πρώτη, ἡ δὲ δουλαγωγία τῆς ἐμπαθοῦς ὀρέξεως, δευτέρα, τὸ δὲ δόκιμον, τελευταῖον καὶ τέλειον. Ἢ ὅτι ἐκ τῶν ἁπλουστέρων μυήσεων, ὅπερ γάλακτος ποτισμὸν ἐκάλεσεν ὁ Ἀπόστολος, περὶ τὰ μέσα, καὶ ἐκ τούτων πρὸς τὰ μείζονα, ἤγουν τὴν τῶν τελείων τροφὴν, ἀναγόμεθα, ὃ καὶ ἐν Εὐαγγελίοις ὁ Κύριος δηλοῖ, λέγων πρὸς τοὺς ἁγίους Ἀποστόλους. Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Εἰ δὲ θέλεις, ὅρα καὶ τὴν παραδοχὴν τοῦ παναγίου Πνεύματος ἐν τοῖς Ἀποστόλοις· ἐδόθη γὰρ τοῦτο, πρῶτον μὲν εἰς σημεῖα, δεύτερον δὲ δι' ἐμφυσήσεως, καὶ τρίτον ἐν πυρίναις γλώσσαις, οὐσιωδῶς, ὡς ἂν εἴποι τὶς, κατὰ τὸν μέγαν Θεολόγον Γρηγόριον. Τοῦτο δὲ ἡ τελείωσις. Ἔστι δὲ καὶ ἑτέρως τοῦ-

petit, tantumdē etiam de ipsiusmet boni Dei expiatione, illuminatione, ac perfectione consequitur. Est itaque Dei quoque expiatio plusquam purissima, lumenque supra quàm plenum, perfectioque præperfecta. Cùm autem rectæ illustrationes infinitæ sint, secundùm vnamquamque illustrationem quælibet mens cælestis primùm expiatur, deinde illustratur, ac posteà perficitur. Nihil enim absurdi est, si is qui secundùm quid perfectus est, secundùm aliud expiatur; & si secundùm quid illustratus, secundùm idem quidem perficitur, secundùm aliud verò iterùm expiatus illuminatur: nihil enim per se perfectum, vel quod non indigeat perfectione, nisi quod per se verè perfectum, verè præperfectum est. Atq; ita quidem mens cælestis particulares hos tres ordines habet atque virtutes. At quomodo etiam mens humana iis prædita est, cùm existat quoque secundùm motum Dei? neque enim de mundanis motibus nobis sermo est. Modò dicimus, omnem mentem habere essentiam, secundùm quam primùm est; deinde etiam virtutem, secundùm quam potens est; postremùm verò operationem, secundùm quam, ea quæ sibi propria sunt agendo, pia est: hæc etiam in sequenti Capite declarat. Ceterùm neminem omnino, neque Prophetam, neque iustum cognoscimus, qui non opus habeat propriâ cooperatione atque oratione, vt appropinquet Deo. Aduerte enim quid dicat is qui ad tertium vsque cælum peruenerat: *Castigo corpus meum, & in seruitutem redigo; ne fortè cùm aliis prædicauerim, ipse reprobus efficiar*. Atque hic est primus & medius ordo: nam castigatio carnis primus est, secundus verò subactio effrenatæ cupiditatis, probitas verò postremus atq; perfectus. Vel etiam quia à simplicioribus doctrinis, quas lactis potionem Apostolus vocauit, ad medias, & ex his ad maiores siue perfectorum cibum adducimur; quod etiam in Euangeliis Dominus significat ad sanctos Apostolos dicens: *Multa habeo vobis dicere, sed non potestis portare modò.* Obserua quoque, si placet, sancti Spiritus in Apostolis susceptionem: datus enim fuit primùm propter signa, deinde verò per insufflationem, ac tertiâ vice in linguis igneis substantialiter, vt ita quis dicat, secundùm magnum Theologum Gregorium. Hæc autem est perfectio. Liceat id quoque aliter considerare,

Angeli à quibus expientur, & quos expient.

Omnes opus habemus expiatione.

1. Cor. 9, 27.

Ioan. 16, 12.

ac

ac primum quidem ordinē dicere, ad id quod superius est extensionem; medium verò, ad idem conuersionem atque collectionem; postremum verò eum, qui quod demissius est erigit. Nisi enim quis amando ad diuina extendatur, non ad illa conuertetur ac colligetur, atque adeò etiam non adducetur. Nam nisi cor calefactum fuerit ex assiduâ circa rem dilectam meditatione & conuersione collectioneque, non accendetur ignis eleuationis
Ps. 38, 4. ac perfectionis, iuxta illud, Calefactum est *cor meum intra me, & in meditatione meâ exardescet ignis:* quod menti quoque cælesti quadrabit.

τὸ νοῆσαι, καὶ πρώτην μὲν εἰπεῖν, τὴν πρὸς τὸ ὑπερκείμενον ἀνάτασιν· μέσην δὲ, τὴν περὶ αὐτὸ στροφὴν καὶ συνέλιξιν· τελευταίαν δὲ, τὴν τὸ ὑποδεέστερον ἀνάγουσαν. Εἰ μὴ γὰρ ἀγαπήσας τις ἀνατεθείη πρὸς τὰ θεῖα, οὐκ ἂν περὶ ἐκεῖνα στραφείη καὶ συνελιχθείη· εἰ δὲ μὴ τοῦτο, οὐκ ἂν ἀναχθείη. Εἰ μὴ γὰρ ἡ καρδία θερμανθείη ἐκ τῆς συνεχοῦς περὶ τὸ ἀγαπώμενον μελέτης καὶ στροφῆς καὶ ἑλίξεως, οὐκ ἂν ἐγκαυθείη τὸ τῆς ἀναγωγῆς καὶ τελειώσεως πῦρ, κατὰ τὸ, Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐγκαυθήσεται πῦρ· τοῦτο ἁρμόσοι ἂν καὶ ἐπὶ τοῦ οὐρανίου νοός.

CAPVT XI.

Cur omnes cælestes naturæ communi nomine Virtutes cælestes appellentur.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Διά τι πᾶσαι αἱ οὐράνιοι οὐσίαι, κατὰ κοινοῦ Δυνάμεις οὐράνιαι καλοῦνται.

SYNOPSIS CAPITIS.

1. *Docet, cælestes omnes spiritus non eadem ratione virtutes quâ Angelos vocari.* 2. *Nomen hoc commune virtutum non introducere confusionem ordinum ac proprietatum, sed sicut omnes essentiâ, virtute & operatione constant, ita modò quidem essentias, modò verò virtutes & energias nuncupari.*

§.1. His ita definitis, illud consideratione dignum, cur
Psal. 23. omnes simul Angelicas
Psal. 79. essentias, Virtutes cæle-
Ps. 102. stes appellare soleamus. Neque enim, vt in Angelis dicere possumus, sanctarum illam virtutum nouissimam esse distributionem: atque superiorum quidem essentiarum dispositiones, sanctam & decoram nouissimarum illustrationem participare, secùs quàm vltimę primarum. ob eamq; causam, cælestes quidem virtutes omnes, diuinos spiritus appellari, Seraphim autem & Thronos atque Dominationes nullo modo; nouis-

Τούτων δὲ διωρισμένων, ἐκεῖνο ἄξιον ἐννοῆσαι, δι' ἣν αἰτίαν ἁπάσας ὁμοῦ τὰς Ἀγγελικὰς οὐσίας, Δυνάμεις οὐρανίας καλεῖν εἰώθαμεν. Οὐ γάρ ἐστιν εἰπεῖν ὡς ἐπὶ τῶν Ἀγγέλων, ὅτι πασῶν ἐστιν ἐσχάτη διακόσμησις, ἡ τῶν ἁγίων δυνάμεων· καὶ τῆς μὲν τῶν ἐσχάτων ἁγιοπρεποῦς ἐλλάμψεως, αἱ τῶν ὑπερκειμένων οὐσιῶν διακοσμήσεις μετέχουσιν, αἱ τελευταῖαι δὲ τῶν πρώτων οὐδαμῶς. καὶ τούτου χάριν, οὐράνιαι μὲν δυνάμεις, ἅπαντες οἱ θεῖοι νόες ὀνομάζονται, Σεραφὶμ δὲ, καὶ Θρόνοι, καὶ Κυριότητες, οὐδαμῶς· ἀμέθεκτοι

θεκτοι γὰρ αἱ τελευταῖαι τῶν ὑπερτάτων εἰσὶν ὁλικῶν ἰδιοτήτων. Οἱ γὰρ Ἄγγελοι καὶ πρὸ τῶν Ἀγγέλων Ἀρχάγγελοι, καὶ Ἀρχαὶ, καὶ Ἐξουσίαι, μετὰ τὰς Δυνάμεις ὑπὸ τῆς Θεολογίας ταττόμενοι, καὶ κοινοῦ πολλάκις ὑφ' ἡμῶν ὁμοῦ ταῖς ἄλλαις ἁγίαις οὐσίαις, οὐράνιαι Δυνάμεις ἀποκαλοῦνται.

Φαμὲν δὲ, ὅτι κοινῶς ἐπὶ πάσαις κεχρημένοι τῇ τῶν οὐρανίων ἐπωνυμίᾳ δυνάμεων, οὐ σύγχυσίν τινα τῶν ἑκάστης διακοσμήσεως ἰδιοτήτων εἰσάγομεν· ἀλλ' ἐπειδὴ εἰς τρία διῄρηνται τῷ κατ' αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντες θεῖοι νόες, εἰς οὐσίαν, καὶ δύναμιν, καὶ ἐνέργειαν, ὅταν ἅπαντας, ἤ τινας αὐτῶν, ἀδιατηρήτως οὐρανίας οὐσίας, ἢ οὐρανίας δυνάμεις ἀποκαλοῦμεν, αὐτοὺς περιφραστικῶς τοὺς περὶ ὧν ὁ λόγος, ἐμφαίνειν ἡμᾶς οἰητέον ἐκ τῆς καθ' ἕκαστον αὐτῶν οὐσίας, ἢ δυνάμεως. Οὐδὲ γὰρ τὴν ὑπερκειμένην ἰδιότητα τῶν ἤδη καλῶς ἡμῖν διακεκριμένων ἁγίων δυνάμεων, καὶ ταῖς ὑφειμέναις ὁλικῶς προσάπτειν οὐσίαις, ἐπ' ἀνατροπῇ τῆς ἀσυγχύτου τῶν Ἀγγελικῶν διακόσμων ταξιαρχίας. Κατὰ γὰρ τὸν πολλάκις ἡμῖν ὀρθῶς ἀποδοθέντα λόγον, αἱ μὲν ὑπερβεβηκυῖαι διακοσμήσεις περιουσίως ἔχουσι καὶ τὰς τῶν ὑφειμένων ἱερὰς ἰδιότητας, αἱ δὲ τελευταῖαι τὰς τῶν πρεσβυτέρων ὑπερκειμένας ὁλότητας οὐκ ἔχουσι, μερικῶς εἰς αὐτὰς τῶν πρωτοφανῶν ἐλλάμψεων διὰ τῶν πρώτων ἀναλόγως αὐταῖς διαπορθμευομένων.

ſimæ ſiquidem ſuperiorum proprietates haud vniuerſim participant. Angeli itaque, & ante Angelos Archangeli & Principatus ac Poteſtates, cùm poſt Virtutes à Theologiâ collocentur, frequenter à nobis vnà cum aliis naturis ſanctis, cæleſtes paſſim virtutes appellantur.

§. 2. Verumtamen negamus, nos, cùm communi cæleſtium Virtutum nomine in omnibus vtimur, confuſionem vllam cuiuſque ordinis proprietatum introducere: ſed quoniam in tria omnes diuinæ mentes cæleſti ratione ſuâ diuiſæ ſunt, in eſſentiam videlicet, & in virtutem, & in operationem, cùm omnes, aut aliquas earum, indiſcriminatim cæleſtes eſſentias, vel cæleſtes virtutes appellamus, eas, de quibus ſermo eſt, circuitione deſcribere putandi ſumus, ex eâ quæ ſingulis earum ineſt eſſentiâ, vel virtute. Neque enim fas ſit eminentem illam ſanctarum virtutum proprietatem, à nobis iam ritè digeſtam, inferioribus naturis vniuerſim attribuere, vnde inconfuſus ille Angelicarum diſtinctionum ordo perturbaretur. Iuxta enim rationem iam à nobis ſæpè redditam, ſuperiores iſtæ diſtinctiones inferiorum quoque ſacras proprietates abundè continent, nouiſſimæ verò antiquiorum eminentibus iſtis vniuerſitatibus carent, primitiuis iſtis illuſtrationibus in illas pro cuiuſque captu partiliter deriuatis.

Cæleſtes Spiritus diuidi in eſſentiam, virtutem & operationem.

ANNOTATIONES CORDERII.

§.1. *Virtutis nomen dupliciter Angelis conuenit.*

NOTANDVM hîc ex Dionysio, quòd virtutes in Angelis dicantur dupliciter. Quandoque enim nomen virtutis vni ordini appropriatur, qui secúdùm ipsum est medius mediæ Hierarchię, secundùm verò Gregorium Hom. 14. in Euangelia, est supremus infimæ Hierarchiæ. Alio modo sumitur communiter, scilicet pro omnibus cęlestibus spiritibus, quatenus nimirum sunt in participatione virtutis diuinæ. Hanc distinctionem secutus D. Thomas in 1. Parte, quæst. 108. artic. 5. ad 1. *Virtus*, inquit, *dupliciter accipi potest. Vno modo communiter, secundùm quod est media inter essentiam & operationem: & sic omnes cælestes spiritus, cælestes virtutes nuncupantur, sicut & cælestes essentiæ. Alio modo, secundùm quod importat quemdam excessum fortitudinis: & sic est proprium nomen ordinis. Vnde Dionysius cap. 8. dixit nomen Virtutum significare quamdam virilem & inconcussam fortitudinem, primò quidem ad omnes diuinas operationes ipsis conuenientes: secundò ad diuina suscipienda, atque ita significat eas sine timore aggredi diuina quæ ad ipsas pertinent, quod videtur ad fortitudinem animi pertinere.*

§.2. *Quid virtutes & energia in Angelis.*

Nota, per virtutes & energias seu operationes, non vt in nobis qualitates aliquas accidentarias intelligi, sed vt S. Maximus ad cap. 4. de Diuinis nominibus ait, ipsęmet omnes mentes intellectiles, & intelligentes, & substantiæ, & virtutes, & energiæ sunt: intelligunt enim & ipsæ, quia omnes sunt mentes, & substantiæ, vitæ, à mente supremâ creatæ, imò & energiæ illic per se subsistentes sunt & substantiæ. Et ad cap. 7. Cælestis Hierarchiæ ait idem Maximus, non esse habitus in Angelis tamquam accidens in subiecto; quod non solùm verum est in habitibus materialibus, vt S. Thomas in 1. 2. q. 5. in resp. ad 1. interpretatus est, quia huiusmodi habitus, vt idem ait, sunt dispositiones ad esse naturale, cuiusmodi habitus non habent locum in Angelis, quia materiâ carent, quales sunt proprietates quædam naturales, quæ in animatis & inanimatis reperiuntur, & ad secundam speciem qualitatis pertinent, quæ potentiæ etiam naturales dicuntur: non solùm, inquam, in huiusmodi habitibus & accidentibus verum est, sed etiam in habitibus qui sunt qualitates, & ad primam speciem in Prædicamento Qualitatis pertinent; quos idem S. Thomas dixit excludi à sancto Maximo in Angelis. Quod quidem non ita esse, ex Scholiis eiusdem sancti Maximi in eumdem Dionysium perspici potest. Vbi enim dicit Dionysius, quem D. Thomas citat, in cælesti Hierarchiâ cap. 7. esse habitus in Angelis Deiformes, id est quibus Deo assimilantur, Scholium his verbis scripsit: Σημείωσαι, ὅτι αἱ θεῖαι δυνάμεις καθ' ἕξιν ἔχουσι τὸ θεοειδές· ἕξις δέ ἐστι ποιότης ἔμμονος. Ἐντεῦθεν οὖν δηλοῦται, ὅτι αὐτεξούσιοί εἰσιν, ἕξει τὰς ἀρετὰς κτώμεναι. Τοῦτο πλατύτερον παρίστησιν Ἄμμων ὁ Ἀδριανουπολίτης ἐν τοῖς περὶ Ἀναστάσεως αὐτῷ καὶ Ὠριγένους γεγραμμένοις λόγοις. *Nota*, inquit, *quòd diuinæ potestates* (Angelos dicit) *similitudinem Dei secundùm habitum habent; habitus autem est qualitas stabilis & fixa. Hinc igitur patefit, quemadmodum liberi arbitrij sunt; siquidem virtutes habent secundùm habitus acquisitas. Quod copiosiùs Hammon Adriopolitanus docet in iis quæ contra Origenem de Resurrectione scripsit.* Hactenus S. Maximus. Hos ergo habitus dicit S. Maximus non esse tamquam accidens in subiecto, sicut in nobis; & rationem reddidit, quia Angeli carent materiâ & omni materiali compositione. Dicendum igitur est summatim, quomodo in nobis sint habitus scientiæ & virtutum, tamquam accidentia in subiecto, vt S. Maximus rectè dixit. Habitus scientiæ in nobis acquiritur principiò per conuersioné ad phantasmata, quę sunt in potentiis materialibus sensuum; vnde materialiter & dispositiuè, vt ait sanctus Thomas, actus, ex quo habitus generatur, in potentiis sensitiuis est. Idcircò corrumpi potest in intellectu habitus scientiæ per obliuionem ex parte memoriæ, in quâ seruantur phantasmata sensilium, à quibus species intellectiles abstrahuntur: & per deceptionem falsæ argumentationis, quâ suadetur contrarium eius quod priùs sciebatur. Neutrum autem horum in Angelo euenire potest, qui nec obliuisci potest, neque decipi; quia liber ab omni materiâ per species rerum à Deo inditas & congenitas, quibus habitualiter, vt ait S. Thomas, perficitur, omnes naturas rerum scire potest. Quare huiusmodi habitus non est in eo tale accidens quale in nobis, vt dixit S. Maximus; nec ipse Angelus huiusmodi habitus tamquam accidentis subiectum est: sed potiùs sic huiusmodi habitus in eo est, vt virtus calefaciendi in igne, vt ait idem S. Maximus. Similiter habitus virtutum quas per sensum capimus, vt ait S. Diadochus in libro de Perfectione spiritali, id est, per iustum vsum sensuum, & earum rerum quæ sub sensus cadunt, quas Isaac Syrus ἐξωτέρας τάξεως, id est *exterioris ordinis*, vocat, in nobis tamquam

Habitus in Angelis quales sint.

Quomodo sint habitus in nobis.

quam accidentia adesse & abesse possunt; quia sunt materialiter in potentiis sensitiuis, & tamquam in subiecto in appetitiuis, quibus accidit obedire, aut non obedire rationi. Vnde iusti auditu & aspectu, & similiter in reliquis dicimur, sicut sanctus Petrus in 2. suâ Epistolâ cap. 2. de sancto Lot dixit, *Erat enim aspectu & auditu iustus.* Et compositio ex subiecto harum virtutum, & ex ipsis virtutibus, materialis compositio est, propter organa corporea. Virtutes etiam illæ ordinis interioris, quæ *Theologicæ* dicuntur, fides, spes, charitas, accidentia quoque sunt in nobis, quia adesse & abesse possunt, propter carnem, quæ potest subiici & non subiici legi spiritus. Aliud enim est caro, aliud prudentia

Rom. 8. carnis, quam Apostolus ait legi Dei non esse subiectam. At in Angelis non sunt virtutes tamquam qualitates mutabiles, quæ dicuntur & sunt accidentia, vt quidem essent, si in Angelis materia esset & compositio ex materiâ, sicut in nobis; sed potiùs quasi naturæ fiunt. Sic enim ait S. Diadochus Episcopus Photices in Epiro, quẽ S. Maximus citare & sequi solet, in libello aureo quarumdam quæstionum de Animâ separatâ & Angelis, quem inscripsit Apocalypsim: Ἐπὶ γὰρ τῶν ἀσωμάτων φύσεων, ὅπερ ἂν κτήσηται ἡ ἐνέργεια, τοῦτο ὥσπερ τῆς φύσεως διὰ πολλὴν, ὡς ἔφην, λεπτότητα γίνεται. id est, *In naturis incorporeis quodcumque operatio acquirit, hoc tamquam naturæ efficitur, propter multam, vt dixi, subtilitatem.* Subtilitatem vocat ἀϋλίαν, id est *immaterialitatem.* Propositum itaque fuit S. Maximo interpretari quomodo intelligendum esset, quòd Dionysius dixit, esse in Angelis habitus Deiformes; ne quis erraret, si suspicaretur esse virtutes Angelorũ tamquam qualitates quasdam mutabiles, sicut in nobis, more accidentium. Hæc enim quia possunt adesse & abesse præter subiecti corruptionem, propriè accidentia dicuntur, & sunt.

Illud etiam notandum, quòd istos habitus virtutum in Angelis idem S. Maximus cap. 8. de Diuinis nominibus ἐπιτηδειότητας vocat, nos *habilitates* siue *aptitudines* interpretamur. S. Thomas participationes diuinæ sapientiæ & bonitatis esse dicit, cùm ait 1. Parte quæst. 5. art. 6. in resp. ad 2. quia ad attingendum Deum per intellectum & voluntatem indigent participare aliquid ab exteriori, scilicet sapientiam & bonitatem diuinam, vt ibidem ait: ideò, inquit, necesse est ponere in eis habitus. Habitus istos dicit Dionysius cap. 4. de Diuinis nominibus corrupisse Angelos qui ceciderunt, quatenus aberrarunt ab operatione habitibus istis congruente, quos Iudas Apostolus in Epistolâ suâ dicit non seruasse *principium*, siue, vt vetus Interpres vertit, τὴν ἀρχὴν *principatum*; creati enim erant, vt ait S. Maximus, ad opera bona. Creationem eorum vocauit Iudas principium. Sic Dionysius locũ Iudæ interpretatus est, vt S. Maximus obseruauit. Præterea quòd Dionysius dixit, corrupisse Angelos suum principium, sumptũ est ex Ezech. 28. cùm de diabolo ait, *Corrupta est scientia tua cum pulchritudine tuâ.* Hactenus de habitibus in Angelis, qui communi vocabulo δυνάμεις quoque, id est potentiæ, à Dionysio vocari solent, vt S. Maximus cap. 5. de Diuinis nominibus notauit, quòd per eos possumus promptè operari. Dicendum est nunc de potentiis eorum, quæ sic propriè δυνάμεις dicuntur, quas etiam à ratione accidentium idem S. Maximus excludit. Si enim, inquit, illud esse aliud in alio, tamquam accidens in subiecto, locum haberet in potentiis Angeli, sequeretur, vt non per se viueret Angelus, sed per accidens; & τὸ ζωτικὸν, id est potestas vitalis, per quam viuit, non esset substantialis in Angelo, sed accidentalis; neque per se deificaretur quoad fieri potest, si potentia item intellectiua Angeli accidens esset, sicut in nobis, & non potiùs ad substantiam Angeli pertineret. Nunc autem cùm potentia Angeli ad viuendum aut intelligendum non sit accidens, sicut in nobis est accidens indiuidui quod consequitur materiam, quæ est principium indiuiduationis, sed potiùs accidens per se, & proprium speciei, quod S. Thomas p. 1. q. 54. art. 3. in resp. ad 2. ad formam pertinere dicit, de potentiâ Angeli loquens, non sequitur, vt per accidens viuat, aut per accidens beatificetur Angelus: quia operari per potentiam propriam quæ ad formam ipsam & rei substantiã pertinet, vnde ἀσιώδης, id est substantialis, à Philosophis vocari solet, non est operari per accidens: quia, vt idem S. Max. cap. 5. de Diuinis nominibus notauit, vt anteà dixi, Philosophi, inquit, proprietates cuiusque substantiæ siue viuentis, siue vita carentis ad prædicamentum substantiæ reuocarunt, & hoc vocabulo substantiæ eas comprehendunt, alioqui non confusis rationibus propriis substantiarum & proprietatum. Ita doctè Turrianus ad Cyparissioti Dec. x. cap. 2.

Quomodo dæmones corruperint habitus Angelicos.

SCHOLIA S. MAXIMI.

§. 1. NEQVE ENIM VT IN ANGELIS DICERE POSSVMVS.] Nam Virtutes sunt secundæ ac mediæ triadis post Dominationes ordinatæ; ita vt, non quòd postremæ sint, omnes ordines vocati sint Virtutes, sicut in Angelis.

Superiores habēt quidquid inferiores, non contrà.

NOVISSIMARVM.] Quoniam superiora habent ea quæ nouissimorum sunt, nouissima tamen non habent ea quæ sunt superiorum; vti quoque superiùs dictum est; nempe prima totalem habere illustrationem, postrema verò partialem, vti postmodum tradit. Idem etiam in Ecclesiâ vsu venit: siquidem Sacerdos potest obire omnia munia inferiorum, v. g. Diaconorum & sequentium; Diaconis autem Sacerdotum munere fungi nefas est. nostram enim Hierarchiam cælestem ordinem imitari suprà diximus. Pulchrè autem apposuit totalem; nam participant partialem. Constructio hæc ab istis verbis, *Neque enim dicere possumus*, huc vsq; connectenda est, & principium quæstionis faciendum.

§. 2. DICIMVS AVTEM.] Quomodo omnes dicantur Virtutes: postremus enim ordo Principatuum & Archangelorum, & Angelorum est, qui tamen etiam aliquando Virtutes appellantur.

IN ESSENTIAM ET VIRTVTEM.] Tamquam in exemplo dicendum, essentiam v. g. appellasse, naturam ignis; virtutem verò eius, vim illuminandi; operationem denique, ipsiusmet effectus absolutionem, scilicet illuminationem & combustionem.

VEL CÆLESTES VIRTVTES APPELLAMVS.] Nomen *virtutum* est æquiuocum: nam sic appellatur ordo proprius, scilicet secundus mediæ trinæ distributionis, atque etiam in communi omnes ordines, vt qui virtutem quoque aliquam habeant.

INFERIORIBVS.] Subaudiendum, *putandi sumus.* Nota, quomodo superiùs quidem dixerit, ordines Angelicos trifariàm diuidi, scilicet in essentiam, & virtutem & operationem; hîc autem assignet rationem, ob quam omnes Virtutes appellentur.

Vnde Angeli virtutes suas habeant.

ABVNDE CONTINENT.] Videtur hîc quodammodò dicere, Angelicas dispositiones, per creationem secundùm dignitatem suam

Οὐ γὰρ ἔστιν εἰπεῖν ὡς ἐπὶ τῶν Ἀγγέλων.] Αἱ γὰρ Δυνάμεις τῆς δευτέρας εἰσὶ καὶ μέσης τριάδος μετὰ τὰς Κυριότητας ταττόμεναι· ὥστε οὐχ ὡς τελευταίων αὐτῶν * οὐσιῶν, πᾶσαι αἱ τάξεις ἐκλήθησαν Δυνάμεις, ὡς ἐπὶ τῶν Ἀγγέλων. *γρ. οὐσῶν

Τῶν ἐσχάτων.] Ὅτι τὰ τῶν ἐσχάτων ἔχουσι τὰ ὑπερκείμενα, τὰ δὲ τῶν ὑπερκειμένων οὐκ ἔχει τὰ ἔσχατα· οὕτω καὶ ἀνωτέρω εἴρηται· ἐπειδὴ τὰ μὲν πρῶτα ὁλικῶς ἔχει τὴν ἔλλαμψιν, τὰ δὲ τελευταῖα μερικῶς, ὡς ἐφεξῆς φησίν. Οὕτως καὶ ἐν τῇ Ἐκκλησίᾳ ἔστιν εὑρεῖν· ὁ γὰρ Ἱερεὺς δύναται ποιεῖν ὅλα τὰ τῶν ὑποδεεστέρων, οἷον Διακόνων, καὶ τῶν ἐφεξῆς· ὁ δὲ Διάκονος τὰ τῶν Ἱερέων οὐκ ἐπιτέτραπται ποιεῖν· ὅτι γὰρ ἡ καθ' ἡμᾶς Ἱεραρχία μιμεῖται τὴν οὐρανίαν τάξιν, εἴπομεν ἄνω. Καλῶς δὲ προσέθηκε τὸ * ὁλικῶν· μερικῶς γὰρ μετέχουσι. Τὴν σύνταξιν δὲ ἀπὸ τοῦ, πῶς Οὐ γὰρ ἔστιν εἰπεῖν, ἕως ὧδε δεῖ συνάψαι, καὶ ἀρχὴν ποιήσασθαι τῆς ἀπορίας. *γρ. ὁλι-

Φαμὲν δέ.] Πῶς πάντες λέγονται Δυνάμεις· τελευταία γὰρ τάξις ἡ τῶν Ἀρχῶν, καὶ Ἀρχαγγέλων, καὶ Ἀγγέλων ἐστί, καὶ ὅμως καὶ αὐτοὶ Δυνάμεις ἔστιν ὅτε ὀνομάζονται.

Εἰς οὐσίαν καὶ δύναμιν.] Ὡς ἐν ὑποδείγματι ῥητέον, οὐσίαν μὲν εἰπεῖν, τὴν πυρὸς φύσιν, δύναμιν δὲ, ταύτης τὸ φωτιστικόν· ἐνέργειαν δὲ, τὸ τῆς δυνάμεως ἀποτέλεσμα, ἤγουν τὸ φωτίζειν καὶ καίειν.

Ἢ οὐρανίας Δυνάμεις ἀποκαλοῦμεν.] Ὁμώνυμόν ἐστιν ὄνομα, Αἱ Δυνάμεις· λέγεται γὰρ οὕτως καὶ τὸ ἰδικὸν τάγμα, τουτέστι τὸ δεύτερον τῆς μέσης τριαδικῆς διακοσμήσεως, καὶ κοινῶς πάντα τὰ τάγματα, ὡς δύναμιν ἔχοντά τινα.

Ταῖς ὑφειμέναις.] Κατὰ κοινοῦ τὸ Ἡμᾶς οἰητέον. Σημείωσαι, πῶς ἀνωτέρω μὲν φησὶν, ὅτι εἰς τρία διαιροῦνται αἱ ἀγγελικαὶ τάξεις, εἰς οὐσίαν, καὶ δύναμιν, καὶ ἐνέργειαν· ἐνταῦθα δὲ λέγει τὸν λόγον, δι' ὃν δυνάμεις πᾶσαι καλοῦνται.

Περιουσίως ἔχουσι καὶ τάς.] Δοκεῖ πως ἐνταῦθα λέγειν, ὅτι κατ' ἀξίαν αἱ ἀγγελικαὶ διακοσμήσεις δημιουργικῶς ἐτάχθησαν, οὐ

σαφῶς

σαφῶς δὲ τοῦτο παρίστησιν· ἄνω γὰρ ἐν τῷ περὶ τούτου κεφαλαίῳ φανερῶς τὴν αὐτῶν ἔφεσιν καὶ νόησιν λέγει αἰτίας αὐτὰς εἶναι τῆς ὑπερτέρας αὐτῶν τάξεως, ἀμέλει ὅτι καὶ καθαίρεσθαι, καὶ φωτίζεσθαι, καὶ τελειοῦσθαι εἶπεν αὐτάς. Ἔστιν οὖν ἐπιχειρήσαντα εἰπεῖν εὐσεβῶς, ὅτι ὁ Θεὸς προειδὼς αὐτῶν τὴν τῆς ἐφέσεως κίνησιν, καὶ τὰς αὐτῶν τάξεις ἀξίας αὐτῶν παρήγαγεν· ἐξ ὧν οὐκ ἂν εἴποι τις αὐτὰς δύνασθαι ἐκπεσεῖν, διὰ τὸ ἕξιν τινὰ κτήσασθαι πρὸς τὸ ἀγαθὸν διὰ τῆς ἄγαν θελήσεως· τοὺς δὲ Ἀγγέλους, τουτέστι τοὺς τελευταίους διακόσμους, ἐνδέχεσθαι ἴσως καὶ ἐπὶ τὸ χεῖρον τραπῆναι· εἶπεν αὐτοὺς γὰρ περικοσμίους. ἐξ ὧν οἶμαι καὶ τὸν διάβολόν ποτε εἶναι, πρὸ τοῦ μὴ ἐκπεσεῖν. Καὶ εἴ τις τούτων τελειότερον οἶδεν, αἰτῶ μαθεῖν. Σημείωσαι δὲ, πῶς κατὰ τάξιν αἱ ἀγγελικαὶ διακοσμήσεις δημιουργικῶς παρήχθησαν.

ordinatas esse, non tamen clarè id exponit: siquidem in præcedenti Capite manifestè dicit, eorum desiderium & intellectionē ipsis causam esse ordinis sublimioris, quatenus nimirum ipsas expiari, & illuminari ac perfici aiebat. Liceat itaque per coniecturam piè dicere, Deum desiderij ipsarum motionem præuidisse, atque ordines earum pro ipsarum dignitate produxisse: vnde nemo dixerit, eas excidere potuisse, quoniam præ vehementi voluntate habitum quemdam ad bonum obtinebant: Angelos verò, scilicet postremos, forsitan ad malum etiam præuerti potuisse; siquidem ipsos circamundiales appellauit. ex quibus etiam arbitror diabolum extitisse, antequam corruerat. Quòd si quis perfectius istis aliquid nouerit, discere postulo. Nota verò, quomodo secundùm ordinem Angelicæ dispositiones per creationem productæ fuerint.

PARAPHRASIS PACHYMERÆ.

PARAPHRASIS PACHYMERÆ.

ΤΟΥΤΩΝ δὲ διευκρινημένων, ἐκεῖνο ἄξιον ἀπορῆσαι, τί δή ποτε ἁπάσας ὁμοῦ τὰς Ἀγγελικὰς οὐσίας, δυνάμεις οὐρανίας καλεῖν εἰώθαμεν. Οὐ γὰρ ἔχει τις ἐκεῖνο εἰπεῖν, ὅτι ὥσπερ ἐπὶ τῶν Ἀγγέλων ἐλέγομεν, ὅτι τὰ τῶν ἐσχάτων ἔχουσι τὰ ὑπερκείμενα ὁλικῶς, τὰ δὲ τελευταῖα τὰ τῶν ὑπερκειμένων οὐχ ὁλικῶς ἔχουσιν, εἰ καὶ μερικῶς· καὶ διὰ τοῦτο ὡς τελευταίων τῶν Ἀγγέλων ὄντων, τὰ ὑπερκείμενα πάντα, Ἄγγελοι ἐκλήθησαν τῷ τῶν ὑποδεεστέρων ὀνόματι· οὕτως ἔχει καὶ ἐπὶ τῶν ἁγίων Δυνάμεων, ὅτι ἐστὶ τυχὸν ἐσχάτη διακόσμησις ἡ τῶν ἁγίων Δυνάμεων, καὶ διὰ τοῦτο ἅπαντες οἱ νόες τὰ τούτων ἔχουσιν ὁλικῶς, καὶ τῷ ὑποδεεστέρῳ ὀνόματι Δυνάμεις ὀνομάζονται, Σεραφὶμ δὲ, καὶ Θρόνοι, καὶ Κυριότητες οὐ λέγονται· αἱ γὰρ τελευταῖαι τῶν ὑπερτάτων ἰδιοτήτων, πλὴν ὁλικῶν, καὶ οὐκ ἐκ μέρους (τὸ γὰρ ἐκ μέρους ἔχουσιν, ὡς ὑπὸ μίαν ἀναγόμεναι κυριότητα) ἀμέθεκτοί εἰσιν. Ὃ δὴ καὶ ἐν τῇ Ἐκκλησίᾳ ἔστιν εὑρεῖν, ὅτι καὶ ἡ καθ' ἡμᾶς Ἱεραρχία τὴν οὐρανίαν τάξιν μιμεῖται. Ὁ γὰρ Ἱερεὺς δύναται ποιεῖν ὅλα παρὰ τὰ τῶν ὑποδεεστέρων, ἤγουν Διακόνων καὶ τῶν ἑξῆς· ὁ δὲ Διάκονος τὰ τῶν Ἱερέων οὐκ ἐπιτέτραπται ποιεῖν. Μὴ γοῦν διὰ τοῦτο οἰηθείη τις, ἁπάσας τὰς Ἀγγελικὰς οὐσίας, Δυνάμεις λέγεσθαι, ὅτι

His ritè definitis, illud indagatione dignum, cur omnes simul Angelicas essentias, virtutes cælestes appellare soleamus. Neque enim id dicere quis possit, quod de Angelis diximus, superiores nimirum integrè habere illa quæ sunt inferiorum; verùm inferiores, licet ex parte, non integrè tamen habere illa quę superiorum sunt. & idcircò, cùm postremi sint Angeli, superiores omnes Angeli vocati sunt nomine inferiorum: ita etiam in Virtutibus sanctis se rem habere, quòd nimirum vltima distributio sanctarum sit Virtutum, atque idcircò mentes omnes integrè habeant quæ illarum sunt, atque inferiori nomine Virtutes appellentur, Seraphim autem & Throni ac Dominationes nequaquam nuncupentur: postremæ enim superiorum proprietatibus, maximè totalibus, & quæ non ex parte sunt (nam quod ex parte est habent, velut ad vnum principatum adductæ) minimè communicant. Quod etiam in Ecclesiâ locum habet; quoniam quoque nostra Hierarchia cælestem ordinem imitatur. Nam Sacerdos potest facere quæcumque ordines inferiores, scilicet Diaconi & sequentes; verùm non permissum est Diacono Sacerdotum munia peragere. Non itaque idcircò quis existimet, omnes Angelicas essentias Virtutes

§. 1.

Superiores posse quidquid inferiores, non contrà.

PARAPHRASIS PACHYMERÆ.

appellari, quòd fortè Virtutes vltimi sint ordinis: nam Angeli, & ante hos Archangeli & Principatus, atque insuper in secundo ternario Potestates, post Virtutes à Theologiâ collocantur; attamen in communi etiam hi ordines inferiores, Virtutes appellantur.

§. 2. Dicimus itaque nos, cùm communi virtutis nomine in omnibus vtimur, nullam confusionem ordinis cuiusquam introducere, vt v. g. modò quidem propriè Virtutes appellemus eas quæ in secundo ordine secundæ sunt, modò verò omnes ordines cælestes: verùm hoc nomen Virtutis est æquiuocum; nam tam ordo proprius quàm in communi omnes ordines ita nominantur, vtpote aliquâ virtute præditi. Cùm itaque pro sublimi suâ ratione in tria diuidantur (nam sublimia sublimiter, & supermundialia supramundialiter distingui debent) diuiduntur, inquam, diuinæ mentes in essentiam, in virtutem, & operationem; ita vt, exempli gratiâ, essentia quidem sit natura ignis, virtus verò vis illuminandi & vrendi, operatio denique virtutis complementum, quale est illuminare & vrere. Cùm itaque sæpenumerò etiam ab essentiâ nomen accipiant, vt quando mentes vel spiritus vocantur; quandoque etiam ab operatione nominentur, vt cùm Angeli nuncupantur: non immeritò etiam à virtute Virtutes appellantur. Quando igitur omnes vel aliquas earum sine vllâ obseruatione cælestes essentias vel cælestes virtutes appellamus, existimandum est, nos illos insinuare ac demonstrare de quibus nobis sermo est, secundùm phrasim aliquam abundantem: pro eo enim quòd diceremus Angelos, dicimus Cælestes essentias, vel cælestes virtutes, ex communi illorum essentiâ, vel etiam virtute quæ in singulis relucet. Nequaquam autem existimandum est, nos ritè digestarum sanctarum Virtutum proprietatem inferioribus essentiis attribuere (superpositæ vtique sunt superiores Virtutes inferioribus.) Hoc enim dico, ne quis quid simile existimet, quasi inferioribus superiores coæquemus. Atque hinc soluimus illam quæstionem siue doctrinam, quomodo cælestes ordines vulgò Angeli appellentur. De superioribus autem, adeoque de ipsis Virtutibus, nullus mihi sermo est, tametsi hæ quoque Virtutes nuncu-

Diuisio spirituum supernorum.

τάχα αἱ Δυνάμεις, τάγμα τελευταῖόν ἐστιν· οἱ γὰρ Ἄγγελοι, καὶ πρὸ τούτων οἱ Ἀρχάγγελοι, καὶ αἱ Ἀρχαὶ, καὶ ἔτι ἀπὸ τῆς δευτέρας τριάδος αἱ Ἐξουσίαι, μετὰ τὰς Δυνάμεις ὑπὸ τῆς Θεολογίας τάττονται· ἀλλ' ὅμως κοινῶς καὶ ταῦτα τὰ ὑποκάτω τάγματα Δυνάμεις καλοῦνται.

Λέγομεν τοίνυν, ὅτι κοινῶς ἐπὶ πᾶσι κεχρημένοι τῷ τῆς δυνάμεως ὀνόματι, οὐ σύγχυσίν τινα ἑκάστου εἰσάγομεν τάγματος, ὡς φέρε εἰπεῖν, νῦν μὲν λέγεσθαι ἰδίως τὰς ἐν τῇ δευτέρᾳ τριάδι κατὰ τάξιν δευτερευούσας δυνάμεις, νῦν δὲ ἅπαντα τὰ οὐράνια τάγματα· ἀλλ' ὁμώνυμόν ἐστιν ὄνομα, αἱ Δυνάμεις· λέγεται γὰρ οὕτως καὶ τὸ ἰδικὸν τάγμα, καὶ κοινῶς πάντα τὰ τάγματα, ὡς δύναμιν ἔχοντά τινα. Ἐπειδὴ τοίνυν εἰς τρία διῄρηνται τῷ κατ' αὐτοὺς ὑψηλῷ λόγῳ (τὰ γὰρ ὑψηλὰ ὑψηλῶς, καὶ τὰ ὑπερκόσμια ὑπερκοσμίως ὀφείλουσι λέγεσθαι) διῄρηνται τοίνυν οἱ θεῖοι νόες εἰς οὐσίαν, εἰς δύναμιν, καὶ ἐνέργειαν, ὡς ἐν ὑποδείγματι, οὐσίαν μὲν εἶναι τὴν τοῦ πυρὸς φύσιν, δύναμιν δὲ ταύτης τὸ φωτιστικὸν καὶ τὸ καυστικὸν, ἐνέργειαν δὲ τὸ τῆς δυνάμεως ἀποτέλεσμα, οἷον τὸ φωτίζειν καὶ τὸ καίειν. Ἐπειδὴ ταῦτα καὶ καλοῦνται πολλάκις καὶ ἐκ τῆς οὐσίας, ὅτε λέγονται νόες ἢ πνεύματα· καλοῦνται καὶ ἀπὸ τῆς ἐνεργείας, ὅτε Ἄγγελοι λέγονται· οὐκ ἀπεικότως καλοῦνται καὶ ἀπὸ τῆς δυνάμεως Δυνάμεις. Ὅτε τοίνυν ἅπαντας ἢ τινὰς αὐτῶν, δίχα τινὸς παρατηρήσεως, οὐρανίας οὐσίας ἢ οὐρανίας δυνάμεις ἀποκαλοῦμεν, οἰητέον ἐμφαίνειν καὶ ἐνδεικνύειν ἡμᾶς αὐτοὺς τοὺς περὶ ὧν ὁ λόγος, κατά τινα περιοστὴν φράσιν· ἀντὶ γὰρ τοῦ εἰπεῖν Ἀγγέλους, λέγομεν Οὐρανίας οὐσίας, ἢ οὐρανίας δυνάμεις, ἐκ τῆς κοινῆς αὐτῶν οὐσίας, ἢ καὶ δυνάμεως, τῆς καθ' ἕκαστον ἐμφαινομένης αὐτῶν. Οὐ μὴν δὲ οἰητέον, προσάπτειν ἡμᾶς ταῖς ὑποβεβηκυίαις οὐσίαις τὴν ἰδιότητα τῶν καλῶς διακεκριμένων ἁγίων δυνάμεων (αἱ δὴ ἅγιαι δυνάμεις ὑπερκείμεναί εἰσι πρὸς τὰ ὑφειμένα) τοῦτο γὰρ ἐμοὶ λόγος, ἵνα μὴ οἰηθείη τις τὶ τοιοῦτον, ὅτι προσάπτομεν ταῖς ὑφειμέναις τὰ ὑπερκείμενα. Καὶ λύομεν ἐντεῦθεν τὴν περὶ τοῦ, πῶς κοινῶς τὰ οὐράνια τάγματα λέγονται Ἄγγελοι, διδασκαλίαν. Περὶ δὲ τῶν ὑπερκειμένων καὶ αὐτὰς τὰς Δυνάμεις, οὐδείς μοι λόγος, εἰ καὶ ταῦτα Δυνάμεις καλοῦνται·

ται· αὐτὰ γὰρ ὡς ὑπερκείμενα τὰ προσόντα τοῖς ὑφειμένοις ὁλικῶς ἔχουσι, τὰ δ' ὑφειμένα τὰ τῶν ὑπερκειμένων οὐχ ὁλικῶς ἔχουσιν, ἀλλὰ μερικῶς. Ὅθεν οὐκ ἀνατρέπομεν τὴν ἡμετέραν ὁπωσοῦν διδασκαλίαν· κατὰ γὰρ τὸν πολλάκις ἡμῖν ἀποδοθέντα λόγον περὶ αὐτῶν, αἱ μὲν ὑπερβεβηκυῖαι τὰς τῶν ὑφειμένων ἔχουσιν ἰδιότητας, ἀλλὰ περιωσῶς, ὡς καὶ πλέον τι ἔχουσαι· αἱ δὲ τελευταῖαι τὰς τῶν ὑπερβεβηκυιῶν ὁλότητας οὐδαμῶς, μερικῶς δὲ εἰς αὐτὰς αἱ πρωτοφανεῖς ἐλλάμψεις διὰ τῶν πρώτων ἀναλόγως τοῖς ὑποκειμένοις διαπορθμεύονται). Δοκεῖ δέ πως ἐνταῦθα λέγειν, ὅτι κατ' ἀξίαν αἱ ἀγγελικαὶ διακοσμήσεις δημιουργικῶς ἐτάχθησαν, οὐ σαφῶς δὲ τοῦτο παρίστησιν· ἄνω γὰρ ἐν τῷ περὶ τούτου κεφαλαίῳ φανερῶς τὴν αὐτῶν ἔφεσιν καὶ τὴν νόησιν λέγει αἰτίας αὐτῶν εἶναι τῆς ὑπερτέρας αὐτῶν τάξεως, ἀμέλει καὶ καθαίρεσθαι, καὶ φωτίζεσθαι, καὶ τελειοῦσθαι εἶπεν αὐτάς. Ἔστιν οὖν ἐπιχειρήσαντα εἰπεῖν εὐσεβῶς, ὅτι ὁ Θεός, προειδὼς αὐτῶν τὴν τῆς ἐφέσεως κίνησιν, καὶ τὰς αὐτῶν τάξεις ἀξίας αὐτῶν παρήγαγεν, ἐξ ὧν οὐκ ἂν εἴποι τις αὐτὰς δύνασθαι ἐκπεσεῖν, διὰ τὸ ἕξιν τινὰ κτήσασθαι πρὸς τὸ ἀγαθὸν διὰ τῆς ἄγαν θελήσεως. Τοῦτο ἔστιν ἐκ τῶν τοῦ ἁγίου καὶ μεγάλου Μαξίμου. Τοὺς δὲ Ἀγγέλους, τουτέστι τοὺς τελευταίους διακόσμους, ἐνεδέχετο ἴσως καὶ ἐπὶ τὸ χεῖρον τραπῆναι, εἶπε γὰρ αὐτοὺς περικοσμίους· ἐξ ὧν οἶμαι καὶ τὸν διάβολόν ποτε εἶναι πρὸ τοῦ ἐκπεσεῖν. Καὶ εἴ τις τούτων τελειότερον οἶδεν, αἰτῶ μαθεῖν. Τοῦτο δέ ἐστιν, οἶμαι, τοῦ πολλοῦ τὰ θεῖα καὶ σοφωτάτου Μαξίμου.

pentur; ipsæ siquidem tamquam superiores ea quæ sunt in inferioribus vniuersim habent, verùm inferiores nequaquam vniuersim, sed tantùm ex parte habent ea quæ superiorum sunt. Vnde non euertimus hanc nostram qualemcumque doctrinam: nam iuxta rationem quam sæpè de his dedimus, superiores quidem inferiorum proprietates habent, verùm eminenter, vt etiam quid amplius habeant; postremæ autem superiorum totalitates nequaquam obtinent, sed per primas primilucæ illustrationes in inferiores pro earum captu transfunduntur. Videtur autem quodammodò hîc dicere, secundùm dignitatem Angelicas dispositiones per creationem ordinatas esse, non tamen manifestè hoc exponit: suprà enim præcedenti Capite clarè dicit, earum affectionem & intelligentiam esse causas superioris ipsarum ordinis, videlicet quia dixit ipsas expiari, & illustrari, & perfici. Licet itaque per coniecturam piè dicere, Deum, affectionis eorum motu præuiso, dignos ipsarum ordines produxisse, ex quibus nemo dixerit, ipsas dilabi potuisse, eò quòd affectum quemdam ad bonum habuerint per vehemens desiderium. Hoc est ex sancto & magno Maximo. Angelos autem, id est, postremos ornatus, permisit fortassis etiam ad malum conuerti; dixit enim eos circa mundum affici: è quibus arbitror diabolum etiam fuisse antequam corruisset. Si quidem aliquis perfectius istis quid nouerit, discere postulo. Hoc etiam esse puto diuinissimi sapientissimique Maximi.



CAPVT

CAPVT XII.

Cur hominum Antistites Angeli vocentur.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Διὰ τί οἱ κατὰ ἀνθρώπους Ἱεράρχαι, Ἄγγελοι καλοῦνται.

SYNOPSIS CAPITIS.

1. Petit, cùm inferiores ordines superiorum perfectiones non attingant, cur à Malachiâ cap.2,7. Sacerdos dicatur Angelus Domini omnipotentis. 2. Respondet, inferiores, licet ad æqualitatem superiorum perfectiones minimè attingant, eorum tamen similitudinem imitando exprimere, & officium æmulari, & ideò etiam nomen participare. 3. Confirmat id ex eo, quòd tam Angeli quàm homines ob eamdem causam quandoque etiam Dij appellentur.

§.1. ETERVM & hoc à sedulis Eloquiorum spiritalium cõtemplatoribus quæritur: Etenim si quæ nouissima sunt, totas superiorum suorum rationes minimè attingunt, quam ob causam noster Antistes Angelus Domini omnipotentis ab Eloquiis denominatur? (Malach. 2, 7. Apoc. 2.)

§.2. *Inferiores non in totũ participant superiorum facultates.* Hæc autem ratio non aduersatur iis quæ antè definita sunt: dicimus enim, nouissimas antiquiorum dispositionum integram & eminentem virtutem non attingere; nam partis etiam pro captu suo sunt participes, secundùm vnam omnium concinnam collectamq; communionem. Exempli gratiâ, sanctorũ Cherubim ordo sapientię scientiæque altioris est particeps, naturarum autem illis subditarum distributiones sapientię quidem & ipsæ cognitionisque compotes existunt, verumtamen dumtaxat partialis pro captu suo & inferioris ordinis. Atque vniuersim quidem sapientiæ cognitionisque participem existere, commune est omnibus deiformibus intelligentiis; ve-

ΗΤΕΙΤΑΙ δὲ καὶ τοῦτο τοῖς τῶν νοητῶν Λογίων φιλοθεάμοσι· Καὶ γὰρ ἀμέθεκτα τῶν ὑπερτέρων ὁλοτήτων εἰσὶ τὰ τελευταῖα, δι' ἣν αἰτίαν ὁ καθ' ἡμᾶς Ἱεράρχης, Ἄγγελος Κυρίου παντοκράτορος ὑπὸ τῶν Λογίων ὠνόμασται;

Ἔστι δὲ οὐκ ἐναντίος ὁ λόγος, ὡς οἶμαι, τοῖς προδιωρισμένοις· φαμὲν γάρ, ὅτι τῆς ὁλικῆς καὶ ὑπερεχούσης τῶν πρεσβυτέρων διακόσμων δυνάμεως ἀποδέουσιν οἱ τελευταῖοι· τῆς γὰρ μερικῆς καὶ ἀναλόγου μετέχουσι, κατὰ τὴν μίαν ἁπάντων ἐναρμόνιον καὶ συνδετικὴν κοινωνίαν. Οἷον, ἡ τῶν ἁγίων Χερουβὶμ τάξις μετέχει σοφίας καὶ γνώσεως ὑψηλοτέρας, αἱ δὲ τῶν ὑπ' αὐτοὺς οὐσιῶν διακοσμήσεις, μετέχουσι μὲν καὶ αὐταὶ σοφίας καὶ γνώσεως, μερικῆς δὲ ὅμως ὡς πρὸς ἐκείνους, καὶ ὑφειμένης. Καὶ τὸ μὲν ὅλως ἐν μετουσίᾳ σοφίας εἶναι καὶ γνώσεως, κοινόν ἐστι πᾶσι τοῖς θεοειδέσι τῶν νοερῶν· τὸ δὲ προσεχῶς

καὶ

καὶ πρώτως ἢ δευτέρως καὶ ὑφειμένως, οὐκέτι κοινόν, ἀλλ' ὡς ἑκάστῳ πρὸς τῆς οἰκείας ἀναλογίας ὥρισται. Τοῦτο δὲ καὶ περὶ πάντων τῶν θείων νοῶν, οὐκ ἄν τις ἡμαρτημένως ὁρίζοιτο· καὶ γὰρ ὥσπερ οἱ πρῶτοι περιουσῶς ἔχουσι τὰς τῶν ὑφειμένων ἁγιοπρεπεῖς ἰδιότητας, οὕτως ἔχουσιν οἱ τελευταῖοι, τὰς τῶν προτέρων, οὐ μὴν ὁμοίως, ἀλλ' ὑφειμένως. Οὐδὲν οὖν, ὡς οἶμαι, τὸ ἄτοπον, εἰ καὶ τὸν καθ' ἡμᾶς Ἱεράρχην, Ἄγγελον ἡ Θεολογία καλεῖ, τὸν κατὰ δύναμιν οἰκείαν μετέχοντα τῆς τῶν Ἀγγέλων ὑποφητικῆς ἰδιότητος, καὶ πρὸς τὴν ἐκφαντορικὴν αὐτῶν ὁμοίωσιν, ὡς ἐφικτὸν ἀνθρώποις, ἀνατεινόμενον.

Εὑρήσεις δὲ, ὅτι καὶ θεοὺς ἡ Θεολογία καλεῖ τάς τε οὐρανίας καὶ ὑπὲρ ἡμᾶς οὐσίας, καὶ τοὺς παρ' ἡμῖν φιλοθεωτάτους καὶ ἱεροὺς ἄνδρας, καίτοι τῆς θεαρχικῆς κρυφιότητος ὑπερουσίως ἁπάντων ἐξῃρημένης τε καὶ ὑπεριδρυμένης, καὶ μηδενὸς αὐτῇ τῶν ὄντων ἐμφεροῦς ὀνομάζεσθαι κυρίως καὶ ὁλικῶς δυναμένου· πλὴν ὅσα τῶν νοερῶν τε καὶ λογικῶν πρὸς τὴν ἕνωσιν αὐτῆς ὅση δύναμις, ὁλικῶς ἐπέστραπται, καὶ πρὸς τὰς θείας αὐτῆς ἐλλάμψεις ὡς ἐφικτὸν, ἀκαταλήκτως ἀνατείνεται, τῇ κατὰ δύναμιν, εἰ θέμις εἰπεῖν, θεομιμησίᾳ, καὶ τῆς θεϊκῆς ὁμωνυμίας ἠξίωται.

rùm continenter & immediatè, primóve vel ſecundo inferiorique gradu, non eſt iam commune, ſed prout cuilibet pro cuiuſque captu fuerit diſtributum. Hoc vtique de omnibus quoque mentibus diuinis qui ſtatuerit, minimè errabit: ſicut enim primę eminenter ſacroſanctas inferiorum continent proprietates, ita quoque vltimæ priorum, licet non pari, ſed inferiori gradu. Nihil igitur abſurdi ſit, vt puto, ſi noſtri ordinis Antiſtitem Theologia quoque Angelum appellet, vt qui pro virili parte Angelicam etiam docendo participet proprietatem, atque ad eorum ſimilitudinem, quantum in hominibus eſt, per interpretandi munus accedat. *Antiſtites cur Angeli dicantur.*

§. 3. Pſal. 94. Gen. 32. Pſal. 81. Exod. 7. *Quo ſenſu Angeli & homines Dij dicantur.*

Quin imò reperias, Theologiam quoque Deos appellare cæleſtes illas supernaſque ſubſtantias, vti & ſanctos, qui apud nos ſunt, viros Deoque amiciſſimos; cùm tamen arcanus ille Dei principatus ſuperessentialiter omnibus emineat, vt ſupra omnia locatus, nihilque illi propriè atque ex toto ſimile in rebus vel eſſe, vel nominari poſſit; verumtamen quæcumque ſeu ſpiritalium ſeu rationalium creaturarum ad eius vnionem, quantum valet, integrè conuerſa fuerit, & ad diuinas eius illuſtrationes, quoad poteſt, indeſinenter intenderit, quod pro virili, ſi dictu fas eſt, Deum imitetur, diuino quoque nomine condecoratur.

ANNOTATIONES CORDERII.

§.1. NOTA ex P. Cornelio ad locum Malachiæ citatum septem rationes, ob quas Sacerdos dicatur Angelus Dei:

Septem rationes cur Sacerdos dicatur Angelus.

Prima, quia est nuntius Dei ad homines. vnde Tigurina vertit, *Legatus enim est Domini exercituum.* Sicut enim Legatus non aliud quàm Principis se legantis voluntatem annuntiat, eique nihil addere aut demere potest; ita & Sacerdos Dei voluntatem annuntiat populo, eique nihil addere aut demere potest, ait S. Chrysostomus Hom. 2. in Epist. ad Rom. Ac vicissim vota populi refert ad Deum. Est ergo tam Legatus populi ad Deum, quàm Dei ad populum, puta inter vtrumque internuntius, mediator & sequester.

Secunda, quia sicut Angeli ministrant Deo, ita & Sacerdotes. vnde Chaldæus vertit: *Quia minister est coram Domino exercituum.* Deus autem, inquit Tertullianus lib. contra Iudæos cap. 9. eos vocare consueuit Angelos, quos virtutis suæ ministros præfecit.

Tertia, quia sicut Angeli iugiter assistũt Deo illum collaudantes, ita & Sacerdos iugiter orare & psallere debet, iuxta illud Psal. 137. *In conspectu Angelorum psallã tibi.*

Quarta, quia Angelorum virtutem ac puritatem imitari debet. Vnde Isidorus, Dorothei Presbyteri leuitatem castigans, lib. 1. Epist. 319. ait: Sacerdos enim Domini omnipotentis Angelus est; Angelus autem risum nescit, Deo cum metu & pauore ministrans.

Quinta, Sacerdos Angelus est consecratione diuinâ, quâ maiorem potestatem accepit quàm Angeli, vt pulchrè ac fusè probat S. Chrysostomus in Libris de Sacerdotio.

Sexta, quia Angelorum tria sunt munia, scilicet purgare, illuminare, & perficere, quę item sunt munia Sacerdotis.

Septima, quia Angelorum est perseuerare in sanctitate ac sanctificatione, vt ait Basilius Hom. de Spiritu sancto: qui enim in eâ non perseuerauerunt, facti sunt dæmones; ita Sacerdoti necessaria est perseuerantia in suo opere & officio. de quibus aurea est sententia S. Greg. Nazianzeni in Apol. 1. *Veritatis*, ait, *Antistes & propugnator cum Angelorum classe atque ordine est, cum Archangelis Deum celebrat, ad supernum altare sacrificia transmittit, simulq; cum Christo fungitur Sacerdotio, figmentum instaurat, imaginemq; creatori sistit, & supernum mundo opificem agit, &, vt quod maius est dicam, Deus est, aliosq; Deos efficit.*

§. 2. *Sanctorum Cherubim ordo sapientiæ scientiæq; altioris est particeps, &c.*] Ex hoc loco D. Thomas primâ Parte, quæstione 55. artic. 3. probat, Angelos, quantò superiores sunt, tantò per species vniuersaliores intelligere. Hoc enim, inquit, sunt in rebus aliqua superiora, quò sunt vni primo, quod Deus est, propinquiora & similiora. In Deo autem tota plenitudo intellectualis cognitionis continetur in vno, scilicet in essentiâ diuinâ, per quam Deus omnia cognoscit. Quæ quidem intelligibilis plenitudo in intelligibilibus creaturis inferiori modo & minùs simpliciter reperitur. Vnde oportet ea quæ Deus cognoscit per vnum, inferiorem intellectum cognoscere per multa, & per tantò plura, quantò inferior fuerit intellectus. Sic igitur, quantò Angelus fuerit superior, tantò per pauciores species rerum intelligibilium vniuersitatem poterit apprehendere, atque ideò oportet eius formas seu species esse vniuersaliores, vtpote ad plura se extendentes. Et huius rei aliquod in nobis exemplum habere videmur. Sunt enim quidam qui veritatem intelligibilem capere non possunt, nisi eis particulatim per singula explicetur. Et hoc quidem ex debilitate intellectus eorum accidit. Alij vero qui sunt fortioris intellectus, ex paucis multa capere possunt.

Angeli superiores habent species vniuersaliores.

Angeli quantò sublimiores tantò intelligentiores.

Verùm si S. Dionysij locus hîc exactiùs consideretur, tantùm docet, inferiores Angelos pauciora scire quàm superiores; ideoq; scientiam eorum appellauit partialem respectu scientiæ superiorũ. De speciebus autem, quas Scholastici tribuunt Angelis, vt principium sint cognitionis, Dionysius hîc non agit.

§. 3. *Quin imò reperias Theologiam quoque Deos appellare, &c.*] Sic Psalm 94. dicitur: *Quoniam Deus magnus Dominus, & Rex magnus super omnes Deos.* vbi etiam Angelos intelligit. Et Angelus colluctator se Deum appellat Gen. c. 32. *Nequaquam*, inquit, *Iacob appellabitur nomen tuum, sed Israël: quoniam si contra Deum fortis fuisti, quantò magis contra homines præualebis?*

Angeli & homines Dij dicti.

Ibidem: *Vti & sanctos qui apud nos sunt viros.*] Psalmo 81. *Ego dixi, Dij estis, & filij Excelsi omnes.* Quod ipsemet Christus de hominibus, ad quos Dei sermo factus est, interpretatur Ioannis 10. capite. Et in Exodo cap. 7. ad Moysen Dominus ait: *Ecce constitui te Deum Pharaonis.*

SCHO-

SCHOLIA S. MAXIMI.

Ζητεῖται.] Πῶς οἱ καθ' ἡμᾶς ἱερεῖς Ἄγγελοι λέγονται.

Φαμὲν γὰρ ὅτι τῆς ὁλικῆς.] Σημείωσαι, ὅτι εἰ καὶ τῆς τῶν ἀνωτέρων δυνάμεων ἀποδέουσιν ὁλότητος οἱ ἔσχατοι, ἀλλ' οὖν μερικῆς μετέχουσι σοφίας τε καὶ γνώσεως καὶ αὐτοί.

Αἱ δὲ τῶν ὑπ' αὐτούς.] Τίς ἡ ὁλικὴ σοφία καὶ μέθεξις, καὶ τίς ἡ μερική. Τὸ δέ, Κατὰ δύναμιν οἰκείαν, τὴν προαιρετικὴν δύναμιν νοητέον ἐνταῦθα.

Ὥρισται.] Σημείωσαι, ὅτι τὸ Ὥρισται οὐ δηλοῖ εἱμαρμένην τινὰ καὶ ἀπαράβατον ἀνάγκην, ὡς εἰώθασι πολλοὶ λέγειν· ἀλλὰ τὸ Ὥρισται, ἀντὶ τοῦ, διατέτακται, κατὰ ὡρισμένην τινὰ ἀναλογίαν δυνάμεως, τοῦ νοῦ τυχόν, ὑπὲρ ἣν νοῆσαι οὐ χρή.

Εὑρήσεις.] Πῶς καὶ θεοὶ λέγονται, οἵ τε Ἄγγελοι κοινῷ ὀνόματι, καὶ οἱ φιλόθεοι ἄνθρωποι, κατὰ τό, Ἐγὼ εἶπα, Θεοί ἐστε.

Ἐξῃρημένης.] Πῶς, καὶ ποῖα, καὶ κατὰ τί τῶν θείων ὀνομάτων ἠξίωνται.

QVÆRITVR.] Quomodo noſtri Sacerdotes Angeli vocentur. §.1.

DICIMVS ENIM INTEGRAM.] Nota, poſtremos, licet ab integrâ ſupremarum virtutum perfectione deficiant, earumdem tamen cùm ſapientiæ tum cognitionis etiam ipſos ex parte participes exiſtere. §.2.

INFERIORVM.] Quæ ſit totalis ſapientia atque participatio, & quæ ſit partialis. Quòd autem ait, *ſecundùm propriam virtutem*, intelligendum eſt hoc loco de præeligendi facultate.

DISTRIBVTVM SEV DEFINITVM.] Nota, illud *definitum* non, vti multi dicere ſolent, fatum aliquod vel ineuitabilem neceſſitatem deſignare; verùm, illud *definitum* ponitur hîc pro diſtributum, nempe ſecundùm aliquam virtutis proportionem, v. g. mentis, ſupra quam intelligere non oportet.

INVENIES.] Quomodo etiam Angeli, hominesque pij, communi nomine Dij appellentur, iuxta illud, *Ego dixi, Dij eſtis*. §.3. Pſal. 81, 6.

EXEMPTÆ.] Quomodo, qualiter, & ſecundùm quid diuinis nominibus condecorentur.

PARAPHRASIS PACHYMERÆ.

Εὑρίσκει ὁ Ἅγιος παρὰ τῷ θεοληπτικωτάτῳ Μαλαχίᾳ, τὸν καθ' ἡμᾶς Ἱεράρχην Ἄγγελον Κυρίου ὀνομαζόμενον, Ὅτι Ἄγγελος Κυρίου παντοκράτορός ἐστι λέγοντι. Ἐπεὶ τοίνυν ἀπέδειξεν, ὅτι δικαίως τῷ τῶν ὑποδεεστέρων ὀνόματι οἱ ὑπερκείμενοι ὀνομάζονται, ἔκ τε τοῦ δεῖξαι πῶς ἅπαντα τὰ οὐράνια κατὰ κοινοῦ Ἄγγελοι λέγονται, ἐκ τοῦ λῦσαι τὴν τινῶν ὑπόληψιν περὶ τῶν οὐρανίων Δυνάμεων, ὅτι κατά τινα ἑτέραν ὁμώνυμον δύναμιν, καθ' ἣν δύνανται, δυνάμεις πάντα τὰ τάγματα λέγονται, καὶ τὰ ὑπερκείμενα καὶ τὰ ὑποβεβηκότα· ζητεῖ ἐνταῦθα καὶ πῶς ὁ καθ' ἡμᾶς Ἱεράρχης, ἔσχατος ὢν τῶν οὐρανίων ἁπάντων ταγμάτων, τῷ τοῦ ὑπερκειμένου ὀνόματι ὀνομάζεται, καὶ καλεῖται Ἄγγελος. Ζητεῖται τοίνυν τοῦτο τοῖς φιλοθεάμοσι τῶν ἱερῶν Λογίων, τῶν περὶ τῶν νοητῶν λεγόντων, ὥσπερ ἐν τῷ ιδ. κεφαλαίῳ νοερὰν ἐπιστασίαν φησί, τὴν περὶ τῶν νοερῶν ἐπιστασίαν. Διὰ τί δὲ ἐν-

§.1. Malach. 2, 7.

REPERIT hîc Sanctus, à diuiniſſimo Malachiâ quoque noſtrum Pontificem Angelum Domini eſſe nuncupatum, Quia, inquiente, Angelus Domini omnipotentis eſt. Cùm itaque oſtendit, inferiorum nomine ſuperiores meritò nominari, demonſtrando, quanam ratione cæleſtes omnes ordines in communi Angeli vocentur; vbi quorumdam de cæleſtibus virtutibus opinionem ſoluit, quòd etiam ſecundùm quamdam aliam æquiuocam virtutem quâ pollent, omnes ordines, tam ſuperiores quàm inferiores, Virtutes appellentur; quærit hîc etiam, quomodo noſter Pontifex, cùm inter cæleſtes omnes ordines poſtremus ſit, ſuperioris quoque nomine vocetur, atque Angelus appelletur. Quæritur itaque à ſedulis contemplatoribus ſacrorum Oraculorum, quæ de rebus intellectilibus loquuntur, quemadmodum in decimoquarto Capite ſpiritualem præfecturam vocat, præfecturam rerum ſpiritualium. Cur autem

Cur noſter Pontifex Angelus appelletur.

 hîc

PARAPHRASIS PACHYMERÆ.

hîc Oracula vocat intellectilia, ibi verò præfecturam spiritalem? quia licet Oracula sint de rebus spiritalibus, non tamen rectè vocantur spiritalia vel mentalia; quoniam non sunt spiritus ac mẽtes, & Oracula mente diriguntur. Angelorum autem præfecturam vocat spiritalem, quia rebus spiritalibus intẽdit, & mens quæ intendit spiritalis est. Quæritur itaque à studiosis Oraculorum contemplatoribus, qui omnino illo quod apparet profundiora rimantur: siquidem spectatores sunt qui illud tantùm quod obuium est speculantur, studiosi verò contemplatores sunt, qui amorosè circa visionem afficiuntur, eiusque & quid amplius cognoscendi desiderio tenentur. Hæc ergo quæstio est: Si ea quæ nouissima sunt superiorum integras proprietates minimè attingant, quam ob causam noster Antistes Angelus Domini vocatur?

§. 2. Soluit hîc igitur quæstionem, & dicit, hoc non esse cõtrarium iis quæ antè definita sunt. Dicimus enim, postremas superiorum integras proprietates non obtinere, sed ex parte, pro virium suarum captu, earumdem participes existere; quoniam omnes sub vnius sunt dominatu, & secundùm hunc omnes componuntur ac coniunguntur. Exempli gratiâ, Cherubim participes sunt sapientiæ sublimioris atque scientiæ, inferiores verò & ipsæ sapientiam cognitionemque participant, sed respectu illorũ partialem. Atque vniuersim quidem hanc participare, cõmune est tam Cherubim quàm aliis: verùm primitus & cõtinenter, vel etiam secũdariò & inferiori gradu, non est iam cõmune, sed prout cuilibet, pro cuiusque captu, fuerit definitum. Dixit autem *definitum*, non fatum aliquod aut ineuitabilem necessitatem indicans, quemadmodum multi dicere consueuerunt; sed limitatam aliquam virtutis, fortè mentis, proportionem, supra quam nihil oporteat cogitare. Hoc autem quod de Cherubim, & eis qui sub ipsis sunt, dictum est, si de aliis quoque quis dixerit, non errabit. Quemadmodum enim primi plenissimè habent ea quæ inferiorum sunt, ita quoque vltimi priorum, verùm non ęquali, sed inferiori gradu. Nihil igitur absurdi fit, vt puto, si noster quoque Pontifex Angelus dicatur, vt qui secundùm virtutem propriam Angelorũ participet proprietatem, quæ res diuinas interpretatur; in quo munere perficitur, ad-

ταῦθα νοητὰ Λόγια λέγει, ἐκεῖσε δὲ, τὴν ἐπιστασίαν νοεράν; ὅτι εἰ καὶ περὶ τῶν νοερῶν τὰ Λόγια εἰσὶν, ἀλλ᾽ οὐ καλῶς κληθεῖεν ἂν νοερά· οὐ γὰρ νόες εἰσὶ, καὶ νῷ διοικοῦνται τὰ Λόγια. Τὴν δὲ περὶ τῶν Ἀγγέλων ἐπιστασίαν, νοερὰν φησιν, ὅτι καὶ περὶ νοερῶν ἐφιστᾷ, καὶ ὁ ἐφιστῶν νοῦς, νοερός ἐστι. Ζητεῖται τοίνυν τοῖς φιλοθεάμοσι τῶν Λογίων, τοῖς ζητοῦσι πάντως καὶ τὰ τοῦ φαινομένου βαθύτερα· θεαταὶ γάρ εἰσιν οἱ μόνον τὸ παρεμπίπτον βλέποντες, φιλοθεάμονες δὲ, οἱ ἀγαπητικῶς περὶ τὴν θέαν ἔχοντες, καὶ μαθεῖν καὶ πλέον τι ἐφιέμενοι. Καὶ ἡ ζήτησις ἥδε. Εἰ γὰρ ἀμέθεκτα τῶν ὑπερτέρων καὶ ὁλικωτέρων ἰδιοτήτων τὰ τελευταῖά εἰσι, διὰ τί Ἄγγελος Κυρίου ὁ καθ᾽ ἡμᾶς Ἱεράρχης λέγεται;

Λύει τοίνυν ἐντεῦθεν τὸ ζήτημα, καὶ λέγει, Οὐκ ἐναντίον ἐστὶ τοῦτο τοῖς προδιωρισμένοις, καθὼς ἄρα κατασκευάσει. Φαμὲν γὰρ, ὅτι τῆς ὁλικῆς ἰδιότητος τῶν ὑπερτέρων τὰ τελευταῖα ἀποδέουσι, τῆς δὲ μερικῆς μετέχουσιν, ὡς ἀναλόγου ταῖς δυνάμεσιν αὐτῶν· διότι ὑπὸ μίαν δεσποτείαν εἰσὶν ἅπαντα, καὶ καθ᾽ ἣν καὶ ἐναρμόζονται καὶ συνδέονται. Οἷον ἐπὶ παραδείγματος, τὰ Χερουβὶμ μετέχει σοφίας ὑψηλοτέρας καὶ γνώσεως, αἱ δὲ ὑποβεβηκυῖαι μετέχουσι καὶ αὐταὶ σοφίας καὶ γνώσεως, μερικῆς δὲ πρὸς ἐκεῖνα. Καὶ τὸ μὲν ὅλως ἐν μετουσίᾳ ταύτης εἶναι, κοινόν ἐστι καὶ τοῖς Χερουβὶμ καὶ τοῖς ἄλλοις· τὸ δὲ πρώτως καὶ προσεχῶς, ἢ πάλιν δευτέρως καὶ ὑφειμένως, οὐκέτι κοινὸν, ἀλλὰ καθὼς ἂν ἑκάστῳ παρὰ τῆς οἰκείας ἀναλογίας ὥρισται. Ὥρισται δὲ εἶπεν, οὐ δηλῶν εἱμαρμένην τινὰ καὶ ἀπαράβατον ἀνάγκην, ὡς εἰώθασιν οἱ πολλοὶ λέγειν· ἀλλὰ περιωρισμένην τινὰ ἀναλογίαν δυνάμεως, τοῦ νοῦ τυχὸν, ὑπὲρ ἣν νοῆσαι οὐ χρή. Τοῦτο δὲ τὸ λεγόμενον περὶ τῶν Χερουβὶμ καὶ τῶν ὑποκειμένων αὐτοῖς, οὐκ ἄν τις ἡμαρτημένως εἴποι καὶ περὶ τῶν ἄλλων. Καὶ γὰρ ὥσπερ οἱ πρῶτοι πληρεστάτως ἔχουσι τὰ τῶν ὑφειμένων, οὕτως οἱ τελευταῖοι τὰ τῶν προτέρων, πλὴν οὐχ ὁμοίως, ἀλλ᾽ ὑφειμένως. Οὐδὲν οὖν, ὡς οἶμαι, τὸ ἄτοπον, εἰ καὶ ὁ καθ᾽ ἡμᾶς Ἱεράρχης, Ἄγγελος λέγοιτο, διότι κατὰ δύναμιν οἰκείαν μετέχει τῆς τῶν Ἀγγέλων ἰδιότητος, ἥ τις ἐστὶν ὑποφητικὴ τῶν θείων, ἐν ᾧ διαπράττεται, καὶ διότι ἀνατεί-

νεται,

νεται, ὡς ἐφικτὸν δὲ ἀνθρώποις, καὶ οὐ κατὰ τοὺς Ἀγγέλους πρὸς τὴν ἐκφαντορικὴν ὁμοίωσιν τῶν Ἀγγέλων. Ὡς γὰρ οἱ Ἄγγελοι ἐκφαίνουσι τὸ θεῖον βούλημα, οὕτω καὶ οἱ Ἱεράρχαι διὰ τῆς διδασκαλίας αὐτῶν. Εἰ δὲ καὶ διὰ τῆς πράξεως, κατὰ τὸ, Ὅσα ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν, τοῦτο κρεῖττον καὶ τέλειον.

Εὑρήσεις δὲ, καὶ ἄλλο κοινὸν ὄνομα ὑπερύψηλον ἔχοντας τούς τε Ἀγγέλους καὶ τοὺς φιλοθεωτάτους ἀνθρώπους, ἀπὸ τοῦ ἀσυγκρίτως ὑπερβεβηκότος αὐτοὺς Θεοῦ· ἡ γὰρ θεαρχικὴ κρυφιότης ὑπερουσίως ἁπάντων ἐξῄρηται, καὶ ὑπερίδρυται, καὶ οὐκ ἔστι τοιαύτη, ὡς δύνασθαί τι τῶν κτισμάτων ἐμφερὲς εἶναι, καὶ ὁλικῶς ἐξ ἐκείνης ὀνομάζεσθαι, καθὼς ἡ ὑπόθεσις ἔχει, ὅτι ἀπὸ τῶν ὑποβεβηκότων ὀνομάζονται. Τί δὲ τὸ ὄνομα; Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες, τοῦτο περὶ τῶν ἀνθρώπων. καὶ πάλιν καὶ περὶ τῶν Ἀγγέλων, καὶ περὶ τῶν ἀνθρώπων, Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεῶν θεοὺς διακρινεῖ. Τί φήσομεν περὶ τούτου, εἰ μὴ ὅτι ὅσα τῶν νοερῶν πάντων Ἀγγέλων καὶ λογικῶν ἀνθρώπων, πρὸς τὴν ἕνωσιν αὐτῆς ἐπέστραπται ὁλικῶς, (Ἀγαπήσεις γὰρ τὸν Θεὸν, φησὶ τὰ τοῦ νόμου, ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου) καὶ πρὸς τὰς θείας αὐτῆς ἐλλάμψεις, πλὴν ὅσον ἐστὶν ἐφικτὸν, ἀνατείνονται· ἀλλὰ καὶ ἀκαταλήκτως, ἵνα μή πως τὸ ἀγαθὸν μεσολαβηθείη τῷ ἐναντίῳ· πέρας γὰρ ἀρετῆς ἡ κακία, κατὰ τὸ, Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα. Τὰ τοιαῦτα καὶ τῆς θεϊκῆς ἀξιοῦνται ὁμωνυμίας τῇ κατὰ δύναμιν, εἰ θέμις εἰπεῖν, θεομιμησίᾳ· ἐν τῷ μιμεῖσθαι γὰρ τὸν Θεὸν, ὡς ἐφικτὸν ἀνθρώπῳ, καὶ τῆς θεωνυμίας ἀξιοῦνται.

eoque ad Angelorum interpretandi similitudinem extenditur, quantum videlicet hominibus fas est, & non quantum Angelis competit. Quemadmodum enim Angeli diuinam exponunt voluntatem, sic etiam Pontifices per doctrinas suas. Quòd si etiam opere, iuxta illud, Quęcumque fecerunt, & quæ docuerunt, hoc melius atque perfectum est.

§. 3. Quin etiam reperies, aliud quoddam perquam sublime nomen tam Angelos quàm homines Deo gratissimos habere, ab ipso nimirum Deo, qui illis sine comparatione præcellit: nam arcanus ille Dei principatus superessentialiter omnibus eminet, supraque omnia locatus est, minimeque talis est, vt ex rebus creatis quidpiam ei simile vel esse vel omnino dici queat, prout ea ab inferioribus denominari supponitur. Quodnam verò est nomen? *Ego dixi, Dij estis, & filij Excelsi omnes:* hoc de hominibus dictum & iterum etiam de Angelis & de hominibus, *Deus stetit in Synagogâ deorum; in medio autem deorum deos dijudicat.* Quid dicemus de hoc, nisi quòd spiritales omnes Angeli hominesque rationales ad vnionē eius totaliter conuersi sint, (*Diliges enim*, inquit lex, *Deum ex totâ animâ tuâ, & ex totâ mente tuâ, & ex totis viribus tuis*) & ad diuinas eius illustrationes, quantum scilicet fieri potest, expanduntur; idque indesinenter, ne contrario aliquo bonum intercipiatur: terminus enim virtutis malitia est, iuxta illud, *Omnis consummationis vidi finem, latum mandatum tuum nimis.* Eiuscemodi itaque diuino quoque nomine condecorantur propter diuinam, si dictu fas sit, pro virili imitationem: Deum enim, quantum homini possibile est, imitando diuinum quoque nomen merentur.

Psal. 81, 6. — Ibid. 1. — Deut. 6, 5. — Ps. 118, 96

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Διὰ τί ὑπὸ τῶν Σεραφὶμ λέγεται καθαρθῆναι ὁ Προφήτης Ἠσαΐας.

CAPVT XIII.

Cur à Seraphim purgatus fuisse dicatur Isaias Propheta.

SYNOPSIS CAPITIS.

1. *Quærit cur non infimi, sed supremi ordinis Angelus Eliam expiasse dicatur.* 2. *Respondet, dici posse probabiliter non fuisse Seraphinum, sed hoc nomine appellatum, ob modum expiandi per ignem.* 3. *Refert alteram sententiam, quæ censet hunc Angelum fuisse quidem*

TEXTVS S. DIONYSII.

ex inferiori ordine, sed expiandi munus supremo isti ordini attribuisse, quòd virtute eius expiaret; sicut v. g. Summus Pontifex dicitur ordinare per Episcopos, & baptizare per Sacerdotes, quia ipsi potestate ab ipso acceptâ id faciunt. quam sententiam magis probat. 4. Describit visionem Isaiæ 6. vbi vidit Dominum in throno sedentem, & Seraphim in circuitu eius, & narrat quomodo Isaias expiatus sit, & singula mysticè exponit.

§. 1. GEDVM illud quoque pro viribus indagemus, cur ad quemdã ex Theologis Seraphim mitti memoretur. Etenim dubitabit aliquis & hæsitabit, cur non quispiam inferiorum Angelorum, verùm is qui antiquissimis essentiis annumeratur, Prophetam expiet.

Isa. 6.

§. 2. *Quo sensu Seraph Isaiam expiet.* Nonnulli quidem, iuxta superiùs assignatam de omnium intelligentiarum communione definitionem, aiunt, Scripturam minimè nominare quempiam primorum qui Deo præstò sunt spirituum ad Theologum purgandum aduenisse, sed aliquem ex iis qui nobis præfecti sunt Angelis, quòd sacro illo purgandi Prophetam munere fungeretur, per æquiuocationem Seraphim vocatum esse, propter peccatorum quæ recensita erant per incendium obliterationem, & expiati ad diuinam obedientiam resuscitationem: adduntque, Scripturam non aliquem ex iis qui Deo assident commemorasse, sed ex virtutibus expiatricibus quæ nobis præsunt.

§. 3. *Altera sententia.* Alius item haud admodum incongruam huius quæstionis mihi tradidit solutionẽ: aiebat enim, magnum illum (quiscumq; tandem is

ΓΕΔΗ καὶ τοῦτο κατὰ δύναμιν ἐπισκοπήσωμεν, ὅτου ἕνεκα πρὸς ἕνα τῶν Θεολόγων ὁ Σεραφὶμ ἀποστέλλεσθαι λέγεται· καὶ γὰρ ἀπορήσειέ τις, ὅτι μὴ τῶν ὑφειμένων τις Ἀγγέλων, ἀλλ᾽ αὐτὸς ὁ ταῖς πρεσβυτάταις οὐσίαις ἐναρίθμιος, ἀποκαθαίρει τὸν Ὑποφήτην.

Τινὲς μὲν οὖν φασιν, ὅτι κατὰ τὸν ἤδη προαποδοθέντα τῆς πάντων τῶν νοῶν κοινωνίας ὅρον, οὐχ ἕνα τῶν περὶ Θεὸν πρωτίστων νοῶν ὀνομάζει τὸ Λόγιον ἐπὶ τὴν τοῦ Θεολόγου κάθαρσιν ἐληλυθέναι, ἕνα δὲ τῶν ἡμῖν ἐφεστηκότων Ἀγγέλων, ὡς ἱερουργὸν τῆς τοῦ Προφήτου καθάρσεως, τῇ τῶν Σεραφὶμ ὁμωνυμίᾳ κληθῆναι, διὰ τὴν πρηστήριον τῶν εἰρημένων ἁμαρτιῶν ἀναίρεσιν, καὶ τὴν τοῦ καθαρθέντος ἐπὶ τὴν θείαν ὑπακοὴν ἀναζωπύρησιν· καὶ τὸ Λόγιον ἕνα τῶν Σεραφὶμ ἁπλῶς εἰρηκέναι φασίν, οὐ τῶν περὶ Θεὸν ἱδρυμένων, ἀλλὰ τῶν ἡμῖν ἐφεστηκυιῶν καθαρτικῶν δυνάμεων.

Ἕτερος δὲ οὐ σφόδρα ἄτοπον παρέσχετό μοι ἵνα τὴν ἀπολογίαν ὑπὲρ τῆς παρούσης ἐνστάσεως· ἔφη γάρ, ὅτι τὴν οἰκείαν καθαρτικὴν ἱερουργίαν ὁ μέγας ἐκεῖνος (ὅς τίς ποτε ἦν)

TEXTVS S.DIONYSII.

πολε ἦν) ὁ τὴν ὅρασιν διαπλάσας Ἄγγελος, εἰς τὸ μυῆσαι τὰ θεῖα τὸν Θεολόγον, ἐπὶ Θεὸν καὶ μετὰ Θεὸν ἐπὶ τὴν πρωτουργὸν ἱεραρχίαν ἀνέθηκε. Καὶ μήποτε ἄρα οὗτος ὁ λόγος ἀληθεύει; Ἔλεγε γὰρ ὁ τοῦτο φήσας, ὡς ἡ θεαρχικὴ δύναμις ἐπὶ πάντα φοιτῶσα χωρεῖ, καὶ διὰ πάντων ἀσχέτως διήκει, καὶ πᾶσιν αὖθις ἐστὶν ἀφανὴς, οὐ μόνον ὡς πάντων ὑπερουσίως ἐξῃρημένη, ἀλλὰ καὶ ὡς κρυφίως ἐπὶ πάντας διεῖσα τὰς προνοητικὰς αὐτῆς ἐνεργείας, ἀλλὰ μὴν καὶ πᾶσι τοῖς νοεροῖς ἀναλόγως ἐπιφαίνεται, καὶ τὴν οἰκείαν φωτοδοσίαν ἐγχειρίζουσα ταῖς πρεσβυτάταις οὐσίαις, δι' αὐτῶν ὡς πρώτων εἰς τὰς ὑποβεβηκυίας αὐτὴ εὐκόσμως διαδίδωσι, κατὰ τὴν ἑκάστης διακοσμήσεως θεοπτικὴν συμμετρίαν· ἢ ἵνα σαφέστερον εἴπω, καὶ δι' οἰκείων παραδειγμάτων, (εἰ καὶ ἀποδεόντων Θεοῦ τοῦ πάντων ἐξῃρημένου, πλὴν ἡμῖν ἐμφανεστέρων) ἡ τῆς ἡλιακῆς ἀκτῖνος διάδοσις εἰς πρώτην ὕλην εὐδιαδότως χωρεῖ, τὴν πασῶν διαυγεστέραν, καὶ δι' αὐτῆς ἐμφανέστερον ἀναλάμπει τὰς οἰκείας μαρμαρυγάς· προσβάλλουσα δὲ ταῖς παχυτέραις ὕλαις, ἀμυδροτέραν ἔχει τὴν διαδοτικὴν ἐπιφάνειαν, ἐκ τῆς τῶν φωτιζομένων ὑλῶν πρὸς φωτοδοσίαν διαπορθμευτικὴν ἕξιν ἀνεπιτηδειότητος, καὶ κατὰ μικρὸν ἐκ τούτου πρὸς τὸ τελείως σχεδὸν ἀδιάδοτον συστέλλεται. Πάλιν ἡ πυρὸς θερμότης μᾶλλον ἑαυτὴν διαδίδωσιν

fuerit) Angelum, qui visionem hanc effinxerat, vt Prophetam diuinis rebus institueret, expiandi munus, quod sui erat officij, in Deum, & post Deum, ad primæuam illam Hierarchiam retulisse. Ac numquid hæc oratio vera est? Referebat enim qui hoc asserebat, quomodo vis illa Dei principalis, cùm ad omnia emanando pertingeret, liberèque cuncta permearet, etiam tum tamen omnibus inaspectabilis existeret, non solùm quatenus superessentialiter omnibus antecellit, verùm etiam in quantum occultè omnia prouidentiæ suæ penetrat operatione: cunctis item naturis spiritalibus pro cuiusque modulo illucet, dumq; antiquissimis illis spiritibus lucis suæ radios immittit, per eosdem, vtpote primos, inferioribus perquam ordinatè se ad captum cuiusque ordinis ac contemplandi facultatem dispertit. Vt autem dicam clariùs, exemplis vtar familiaribus, (quæ tametsi Deo, qui cunctis eminet, non ita congruant, nobis tamen planiora sunt) solaris inquam radij diffusio materiam sibi proximam, quippe ceteris liquidiorem, facillimè traiicit, & per eam coruscationes suas clariùs succendit: verùm vbi in densiores aliquas materias inciderit, obscuriorem cernitur habere luminis diffusionem, ob materiarum, quæ illuminandæ sunt, ad lumen diffundendum ineptitudinem; atque inde sensim ad hoc contrahitur, vt vix vltrà distribui iam possit. Eodem modo calor ignis magis se diffundit in ea quę ipsius

Exemplis declaratur, quomodo remotiores illustrationes sint obscuriores.

TEXTVS S. DIONYSII.

ipsius sunt capaciora, & ad eius similitudinem facilè cedunt, & adducuntur; verùm in naturis illi reluctantibus contrariísve, vel nullũ aut exile efficacitatis eius igneæ vestigium apparet: quodque hoc maius est, in ea quæ non sunt eiusdem generis, per illa quæ ipsi iam accommodata sunt se ingerit, ita vt primùm, si ita res ferat, ignea faciat ea quæ facilè ignescunt, atque iis adhibitis, aut aquam, aut aliquid aliud eorũ quæ difficilè ignescunt, eodem modo calefaciat. Secundùm hanc igitur naturalis ordinis rationem, supernaturaliter fons omnis ordinis, cùm visibilis tum inuisibilis distributionis, propriæ splendorem illustrationis primordialiter per influxus beatissimos supremis istis essentiis manifestat, & per illas reliquæ deinceps diuinum istum radium participant. Hæ enim cùm primę Deum agnoscerent, diuinęque virtutis eius desiderio summo tenerentur, hoc etiam assecutæ sunt, vt primæ ad diuinæ potestatis atque actionis imitationem pro captu suo peruenirent; eædemque inferiores ad eamdem imitationem, quantum possent, benignè promouerent, dum absque inuidiâ in illas inditæ sibi lucis partem deriuant, ipsæque vicissim in inferiores: atque ita sigillatim, prima sibi proximam eius quod sibi datum est participem facit, sicq; per prouidentiam in omnes pro cuiusque captu diuina lux distribuitur. Est igitur omnium quæ illustrantur illuminandi principium Deus quidem naturâ, &

εἰς τὰ δεκτικώτερα, καὶ πρὸς τὴν αὐτῆς ἀφομοίωσιν εὔκολα καὶ ἀνάγωγα· πρὸς δὲ τὰς ἀντιτυπεῖς ἐναντίας οὐσίας, ἢ οὐδὲν ἢ ἀμυδρόν τι τῆς ἐκπυρωτικῆς ἐνεργείας ἴχνος ἀναφαίνεται· καὶ τὸ τούτου γε πλεῖον, ὅτι ταῖς μὴ συγγενέσι διὰ τῶν οἰκείως πρὸς αὐτὴν ἐχόντων προσβάλλει, πρῶτον, εἰ τύχοι πυρώδη ποιοῦσα τὰ πρὸς ἐκπύρωσιν εὐαλλοίωτα, καὶ δι' αὐτῶν ἢ ὕδωρ, ἢ ἕτερόν τι τῶν οὐκ εὐκόλως ἐκπυρουμένων ἀναλόγως θερμαίνουσα. Κατὰ τὸν αὐτὸν οὖν τῆς φυσικῆς εὐταξίας λόγον, ὑπερφυῶς ἡ πάσης εὐκοσμίας ὁρατῆς καὶ ἀοράτου ταξιαρχία, τὴν τῆς οἰκείας φωτοδοσίας λαμπρότητα πρωτοφανῶς ἐν πολυολβίαις χύσεσι ταῖς ὑπερτάταις οὐσίαις ἀναφαίνει, καὶ διὰ τούτων αἱ μετ' αὐτὰς οὐσίαι τῆς θείας ἀκτῖνος μετέχουσιν. Αὗται γὰρ ἐπιγνοῦσαι πρῶται Θεὸν, καὶ θείας ἀρετῆς ὑπερκειμένως ἐφιέμεναι, καὶ πρωτουργοὶ γενέσθαι τῆς, ὡς ἐφικτὸν, θεομιμήτου δυνάμεως καὶ ἐνεργείας ἠξίωνται, καὶ τὰς μετ' αὐτὰς οὐσίας αὐταὶ πρὸς τὸ ἐφάμιλλον, ὅση δύναμις ἀγαθοειδῶς ἀνατείνουσιν, ἀφθόνως αὐταῖς μεταδιδοῦσαι τῆς εἰς αὐτὰς ἐπιφοιτησάσης αἴγλης, καὶ αὖθις ἐκεῖναι ταῖς ὑφειμέναις· καὶ καθ' ἑκάστην ἡ πρώτη τῇ μετ' αὐτὴν μεταδίδωσι τοῦ δωρουμένου, καὶ εἰς πάσας ἀναλόγως προνοίᾳ διαφοιτῶντος θείου φωτός. Ἔστιν οὖν ἅπασι τοῖς φωτιζομένοις ἀρχὴ τοῦ φωτίζεσθαι, Θεὸς μὲν φύσει, καὶ ὄντως, καὶ κυρίως,

ρίως, ὡς φωτὸς οὐσία, καὶ αὐτοῦ τοῦ εἶναι καὶ ὁρᾶν αἴτιος· θέσει δὲ, καὶ θεομιμήτως, ἡ κατὰ μέρος ὑπερκειμένη τῇ μετ' αὐτὴν ἑκάστῃ, τῷ τὰ θεῖα φῶτα δι' αὐτῆς εἰς ἐκείνην ἐποχετεύεσθαι. Τὴν οὖν ὑπερτάτην τῶν οὐρανίων νοῶν διακόσμησιν, αἱ τῶν λοιπῶν ἁπάντων Ἀγγέλων οὐσίαι κατὰ τὸ εἰκὸς μετὰ Θεὸν ἀρχὴν ἡγοῦνται, πάσης ἱερᾶς θεογνωσίας τε καὶ θεομιμησίας, ὡς δι' ἐκείνων εἰς πάσας καὶ εἰς ἡμᾶς τῆς θεαρχικῆς ἐλλάμψεως διαδιδομένης· διὸ καὶ πᾶσαν ἱερὰν καὶ θεομίμητον ἐνέργειαν, ἐπὶ Θεὸν μὲν ὡς αἴτιον ἀναφέρουσιν, ἐπὶ δὲ τοὺς πρώτους θεοειδεῖς νόας, ὡς πρωτουργοὺς τῶν θείων καὶ διδασκάλους. Οὐκοῦν ἡ πρώτη τῶν ἁγίων Ἀγγέλων διακόσμησις, μᾶλλον ἁπασῶν ἔχει τὴν ἐμπύρειον ἰδιότητα, καὶ τὴν κεχυμένην τῆς θεαρχικῆς σοφίας μετάδοσιν, καὶ τὸ γνωστικὸν τῆς ὑπερτάτης τῶν θείων ἐλλάμψεων ἐπιστήμης, καὶ τὴν θρονικὴν ἰδιότητα τὴν ἀναπεπταμένην θεοδοχίαν ἐμφαίνουσαν· αἱ δὲ τῶν ὑφειμένων οὐσιῶν διακοσμήσεις, τῆς ἐμπυρείου, τῆς σοφῆς, τῆς γνωστικῆς, τῆς θεοδόχου δυνάμεως μετέχουσι μὲν, ὑφειμένως δὲ, καὶ πρὸς τὰς πρώτας ὁρῶσαι, καὶ δι' αὐτῶν ὡς τοῦ θεομιμήτου πρωτουργῶν ἠξιωμένων ἐπὶ τὸ τοῦ θεοειδοῦς ἐφικτὸν ἀναγόμεναι. Τὰς εἰρημένας οὖν ἁγίας ἰδιότητας, ὧν ἐν μετουσίᾳ διὰ τῶν πρώτων αἱ μετ' αὐτὰς οὐσίαι γεγόνασιν, αὐταῖς ἐκείναις μετὰ Θεὸν ὡς Ἱεράρχαις ἀνατιθέασιν.

reuerà propriè vt lucis eſſentia, ipſiuſque ſtatus & aſpectus auctor: ex inſtituto autem Deique imitatione, quælibet ſuperior ex parte cuiuſlibet inferioris, ad quam eius interuentu diuina lumina traijciuntur. Supremam igitur cæleſtium intelligentiarum diſpoſitionem, ceterorum Angelorum omnium eſſentiæ, iure merito poſt Deum, omnis ſacroſanctę Dei cognitionis imitationiſq; principium eſſe cenſent, quod per illas in omnes ad nos vſque Dei principalis illuſtratio deriuetur: quapropter ſacram omnem Deique imitatricem actionē ad Deum quidem vt auctorem referūt, ad primas autem ac Deiformes mentes, vt primarios effectores diuinorum operum ac magiſtros. Prima itaq; ſanctorum Angelorum diſtributio magis præ reliquis igneam proprietatem continet, fuſamque diuinæ ſapientiæ communionem, ac ſummæ diuinarum illuſtrationum ſcientiæ vſum atque peritiam, ſolijque proprietatem, quæ patulam ad Deum excipiendum capacitatem indicat: inferiorum autem eſſentiarum diſpoſitiones huius igneæ, ſapientis, ſcientis, ac Dei capacis virtutis participes quidem ſunt & ipſæ, ſed inferiori gradu, & cum reſpectu ad priores, per quas, vt diuinæ imitationis præformatrices, ad Deiformitatem pro captu ſuo promouentur. Dictas itaque proprietates ſacroſanctas, quarum ſecundæ naturæ per primas participes effectæ ſunt, iis ipſis poſt Deum, tamquam præpoſitis ſuis, acceptas ferunt.

TEXTVS S. DIONYSII.

Supremo ordini poſt Deum attribuitur omnis illuſtratio inferiorum.

§. 4. Aiebat itaque qui hæc referebat, visionem quidem illam exhibitam esse Theologo à quodam eorum, qui nobis præsunt, sanctorum ac beatorum Angelorum, cuius illuminatrice manuductione ad spiritalem istam contemplationem fuerat euectus, in quâ supremas illas essentias (quasi in symbolis, vt sic loquar) vidit infra Deum & iuxta Deum & circa Deum collocatas, atque omnium insuper ipsarum superineffabiliter eminentem superprincipialem verticem, in medio supereminentium virtutum superpositum. Didicit itaque ex hisce visionibus Theologus, diuinitatem, secundùm omnem supernaturalem excellentiam, sine comparatione pręstare omni visibili & inuisibili virtuti, omnibusque insuper exemptam esse, vt quæ ne primis quidem istis essentiis vllo modo similis existat: ad hæc, ipsam omnium esse principium & causam substantificam, indissolubilisque rerum mansionis immutabile firmamentum, ex quo vt essent, & benè essent, supremæ etiam virtutes habuissent: ipsas deinde Deiformes sanctissimorum Seraphim virtutes docebatur, quorũ sacrum nomen quid igneum designat, de quo nos paulò pòst dicemus, prout poterimus interpretari istius igneæ virtutis ad diuinam similitudinem impulsus. Porrò cùm senarum alarum sacræ fictionis absolutã summamq; in Deum in primis ac mediis nouissimisque mentibus excitationem, nec non innumerabi-

Visio Isaia, quâ vidit Cherubim & Seraphim in circuitu Dei.

Quid alæ Seraphim.

Ἔλεγε οὖν ὁ ταῦτα φήσας, τὴν μὲν ὅρασιν ἐκείνην ὑποδειχθῆναι τῷ Θεολόγῳ δι' ἑνὸς τῶν ἐπιστατούντων ἡμῖν ἁγίων καὶ μακαρίων Ἀγγέλων, καὶ πρὸς τῆς φωτιστικῆς αὐτοῦ χειραγωγίας, ἐπὶ τὴν νοερὰν ἐκείνην θεωρίαν ἀνατεθῆναι, καθ' ἣν ἑώρα τὰς ὑπερτάτας οὐσίας, (ὡς ἐν συμβόλοις εἰπεῖν) ὑπὸ Θεὸν καὶ μετὰ Θεοῦ καὶ περὶ Θεὸν ἱδρυμένας, καὶ τὴν ἁπάντων καὶ αὐτῶν ὑπεραρρήτως ἐξῃρημένην ὑπεράρχιον ἀκρότητα ἐν μέσῳ τῶν ὑπερβεβηκυιῶν δυνάμεων ὑπεριδρυμένην. Ἐμάνθανεν οὖν τοῖς ὁρωμένοις ὁ Θεολόγος, ὅτι κατὰ πᾶσαν ὑπερούσιον ὑπεροχὴν, ἀσυγκρίτως ὑπερίδρυται τὸ Θεῖον, ἁπάσης ὁρατῆς καὶ ἀοράτου δυνάμεως, καὶ μὴν, ὅτι πάντων ἐστὶν ἐξῃρημένον ὡς καθόλου, μηδὲ ταῖς πρώταις τῶν ὄντων οὐσίαις ἐμφερές· προσέτι καὶ τὸ πάντων αὐτὸ ἀρχὴν καὶ αἰτίαν οὐσιοποιὸν εἶναι, καὶ τῆς τῶν ὄντων ἀδιαλύτου μονῆς ἀναλλοίωτον ἵδρυσιν, ὑφ' ἧς καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι, καὶ αὐταῖς ταῖς ὑπερβεβηκυίαις ἐστὶ δυνάμεσιν· εἶτα τὰς αὐτῶν τῶν ἁγιωτάτων Σεραφὶμ ἐμυεῖτο θεοειδεῖς δυνάμεις, τῆς μὲν ἱερᾶς αὐτῶν ἐπωνυμίας τὸ ἐμπύριον σημαινούσης, περὶ οὗ μικρὸν ὕστερον ἡμεῖς ἐροῦμεν, ὡς ἡμῖν ἐφικτὸν ὑφηγήσασθαι τὰς ἐπὶ τὸ θεοειδὲς τῆς ἐμπυρίου δυνάμεως ἀναγωγάς. Τῆς δὲ τῶν πτερῶν ἑξαπλῆς ἱεροπλασίας τὴν ἐπὶ τὸ Θεῖον ἐν πρώταις, ἐν μέσαις, ἐν τελευταίαις νοήσεσιν ἀπόλυτον καὶ ὑπερτάτην ἀνάτασιν· ἀλλὰ καὶ τὸ

ἀπει-

ἀπειρόπουν αὐτῶν καὶ πολυπρόσωπον ὁρῶν ὁ ἱερὸς Θεολόγος, καὶ τὸ τοῖς πτεροῖς ἀποδιαστέλλεσθαι, τὴν ὑπὸ τοὺς πόδας καὶ τὴν ὑπὲρ τὰ πρόσωπα θεωρίαν, καὶ τὴν ἐν τοῖς μέσοις πτεροῖς ἀεικινησίαν, πρὸς τὴν νοητὴν τῶν ὁρωμένων ἀνήγετο γνῶσιν, ἐκφαινομένης αὐτῷ τῆς τῶν ὑπερτάτων νοῶν πολυπόρου καὶ πολυθεάμονος δυνάμεως, καὶ τῆς ἱερᾶς αὐτῶν εὐλαβείας, ἣν ἔχουσιν ὑπερκοσμίως εἰς τὴν ὑψηλοτέρων καὶ βαθυτέρων αὐθάδη καὶ θρασεῖαν καὶ ἀνέφικτον ἔρευναν, καὶ τῆς ἐν συμμετρίᾳ τῶν θεομιμήτων ἐνεργειῶν ἀκαταλήκτου καὶ ὑψιπετοῦς ἀεικινησίας. Ἀλλὰ καὶ τὴν θεαρχικὴν ἐκείνην καὶ πολυτίμητον ὑμνῳδίαν ἐμυσταγωγεῖτο, τοῦ τυποῦντος τὴν ὅρασιν Ἀγγέλου κατὰ δύναμιν τῷ Θεολόγῳ μεταδιδόντος τῆς οἰκείας ἱερογνωσίας. Ἐδίδασκεν οὖν αὐτὸν καὶ τοῦτο, ὅτι κάθαρσίς ἐστι τοῖς ὁπωσοῦν καθαροῖς, ἡ τῆς θεαρχικῆς διαυγείας ἁγνότητος ὡς ἐφικτὸν μετουσία. Αὐτὴ δὲ πρὸς αὐτῆς θεαρχίας ἐξῃρημέναις αἰτίαις εἰς πάντας τοὺς ἱεροὺς νόας ὑπερουσίῳ κρυφιότητι τελεσιουργουμένη, ταῖς περὶ αὐτὴν ὡς ὑπερτάταις δυνάμεσιν, ἐκφανεστέρα πως ἐστὶ καὶ μᾶλλον ἑαυτὴν ἐκφαίνει καὶ διαδίδωσιν· ἐπὶ δὲ τῶν δευτέρων, ἢ τῶν ἐσχάτων ἡμῶν νοερῶν δυνάμεων, ὡς αὐτῆς ἑκάστη κατὰ τὸ θεοειδὲς διέστηκεν, οὕτω τὴν φανὴν αὐτῆς ἔλλαμψιν συνάγει, πρὸς τὸ τῆς οἰκείας κρυφιότητος ἑνιαῖον ἄγνωστον. Ἐλλάμπει δὲ τοῖς καθ᾽ ἕκαστον δευτέροις διὰ τῶν πρώτων,

les eorum pedes multasque facies sanctus ille Theologus videret, vtque alis tam pedum quàm facierum aspectus arcerentur, alæque mediæ perpetuò mouerentur, ad intelligibilem eorum quæ cernebat scientiam adducebatur, explicatâ illi supremorum spirituum multiuagâ plurimaque cernendi facultate, sacraque eorum reuerentiâ, quam supermundialiter exhibent in sublimiorum profundiorumque mysteriorum insolenti ac temerariâ impenetrabilique perscrutatione, nec non optimè digestâ Deum imitantium actionum incessabili & altiuolante perpetuâ motione. Quin & diuinum illud præstantissimumque laudis canticum discebat, Angelo qui visionem efformabat, prout poterat, ipsi Theologo sacram suam scientiam communicante. Quin & hoc ipsum edocebat, quomodo diuinæ claritatis ac munditiei pro cuiusque captu participatio, quoquo modo mundis etiam esset expiationi. Quæ cùm præcipuis de causis à Dei principatu in cunctis sacris mentibus superessẽtiali quodam secreto peragatur, supremis tamen Virtutibus Deoque proximis manifestior quodammodò exsistit, iisque magis se explanat & insinuat: secundis verò nouissimísve nostris virtutibus hisce spiritalibus, prout quæque à Deiformitate ipsâ distat, ita claram eius illustrationem ad secreti sui singularem confert ignorationem. Secundas porrò sigillatim per primas illustrat,

Quid hymnologia, Sanctus.

TEXTVS S. DIONYSII.

strat, &, vt summatim dicam, primitus ex occulto in apertum ducitur per virtutes primas. Hoc igitur Theologus ab Angelo, qui ipsum illustrabat, discebat, quomodo cùm ipsamet expiatio, tum ceteræ Deiprincipales operationes omnes, per primas essentias elucentes, in omnes reliquas distribuantur, iuxta cuiuslibet ad Deificas participationes capacitatem: quapropter per ignem expiandi proprietatem meritò ipsis Seraphim secundùm Deum tribuit. Nequaquam igitur absurdum sit, si Theologum expiare Seraphim perhibetur. Vt enim Deus, hoc ipso quòd omnis expiationis causa sit, omnes purificat, vel potiùs (vt magis obuio exemplo vtar) sicut apud nos Pontifex, dum per ministros suos seu Sacerdotes expiat, illuminátve, ipsemet expiare & illuminare dicitur, quòd illi ordines, quos consecrat, sacrosanctas suas in ipsum referant actiones: sic Angelus quoque qui Theologum expiabat, propriam purgandi vim atque scientiam Deo quidem vt auctori, Seraphim verò, tamquam primicerio sacrorum Antistiti, attribuit. ac si dicat, cum angelicâ quadam reuerentiâ eum qui purgabatur instituens: Eius quæ in te meo ministerio perficitur expiationis, principium quidem præcipuum, & essentia, opifexque atque auctor est is, qui primas etiam essentias & in lucem protulit, & iuxta se collo-

Exemplo declaratur quomodo Seraph Isaiam expiasse dicatur.

καὶ, εἰ δεῖ συντόμως εἰπεῖν, πρώτως ἐκ τοῦ κρυφίου πρὸς τὸ ἐμφανὲς ἄγεται διὰ τῶν πρώτων δυνάμεων. Τοῦτο γοῦν ὁ Θεολόγος ἐδιδάσκετο πρὸς τοῦ φωταγωγοῦντος αὐτὸν Ἀγγέλου, τὸ τὴν κάθαρσιν καὶ πάσας τὰς θεαρχικὰς ἐνεργείας, διὰ τῶν πρώτων οὐσιῶν ἀναλαμπούσας, εἰς πάσας τὰς λοιπὰς διαδίδοσθαι κατὰ τὴν ἑκάστης πρὸς τὰς θεουργικὰς μετουσίας ἀναλογίαν· διὸ καὶ τὴν ἐμπυρίως καθαρτικὴν ἰδιότητα, τοῖς Σεραφὶμ εἰκότως μετὰ Θεὸν ἀνατέθεικεν. Οὐδὲν οὖν ἄτοπον, εἰ καθαίρειν λέγεται τὸν Θεολόγον ὁ Σεραφίμ. Ὡς γὰρ ὁ Θεὸς καθαίρει πάντας τῷ πάσης καθάρσεως εἶναι αἰτίας, μᾶλλον δὲ (παραπλησίῳ γὰρ χρήσομαι παραδείγματι) καθάπερ ὁ καθ' ἡμᾶς Ἱεράρχης διὰ τῶν αὐτοῦ λειτουργῶν ἢ Ἱερέων καθαίρων ἢ φωτίζων, αὐτὸς λέγεται καθαίρειν καὶ φωτίζειν, τῶν δι' αὐτοῦ καθιερωμένων τάξεων ἐπ' αὐτὸν ἀνατιθεισῶν τὰς οἰκείας ἱερὰς ἐνεργείας· οὕτω καὶ τὴν οἰκείαν καθαρτικὴν ἐπιστήμην καὶ δύναμιν, ὁ τὴν κάθαρσιν τοῦ Θεολόγου τελεστουργῶν Ἄγγελος, ἐπὶ Θεὸν μὲν ὡς αἴτιον, ἐπὶ δὲ τὸν Σεραφὶμ ὡς πρωτουργὸν ἱεράρχην, ἀνατίθησιν. ὡς ἄν τις φαίη, μετ' εὐλαβείας ἀγγελικῆς τὸν ὑπ' αὐτοῦ καθαιρόμενον ἐκδιδάσκων, Ὅτι τῆς εἰς σε πρὸς ἐμοῦ τελετουργουμένης καθάρσεως, ἀρχὴ μὲν ἐστιν ἐξῃρημένη, καὶ οὐσία, καὶ δημιουργὸς καὶ αἴτιος, ὁ καὶ τὰς πρώτας οὐσίας καὶ πρὸς τὸ εἶναι παραγαγὼν, καὶ τῇ περὶ αὐτὸν ἱδρύ-

σας

σει συνέχων, καὶ διατηρῶν ἀτρέπτοις τε καὶ ἀμεταπτώτοις, αὐτοὺς κινῶν ἐπὶ τὰς πρώτας τῶν οἰκείων προνοητικῶν ἐνεργειῶν μετουσίας· τοῦτο γὰρ ὁ ταῦτά με διδάσκων ἔφη τὴν τοῦ Σεραφὶμ ἐμφαίνειν ἀποστολήν. Ἱεράρχης δὲ καὶ μετὰ Θεὸν ἡγεμὼν, ὁ τῶν πρωτίστων οὐσιῶν διάκοσμος, παρ' οὗ τὸ καθαίρειν ἐγὼ θεοειδῶς ἐμυήθην, οὗτος οὖν ἐστιν ὁ δι' ἐμοῦ σε καθαίρων, δι' οὗ τὰς οἰκείας προνοητικὰς ἐνεργείας ἐκ τοῦ κρυφίου καὶ εἰς ἡμᾶς προήγαγεν ἡ πάσης αἰτία καὶ δημιουργὸς καθάρσεως. Ταῦτα μὲν ἐκεῖνος ἐδίδασκέ με, σοὶ δὲ ἐγὼ μεταδίδωμι· τῆς σῆς δ' ἂν εἴη νοερᾶς καὶ διακριτικῆς ἐπιστήμης, ἢ θατέραν τῶν εἰρημένων αἰτιῶν ἀπολυθῆναι τῆς ἀπορίας, καὶ ταύτην τιμῆσαι πρὸ τῆς ἑτέρας, ὡς τὸ εἰκὸς, καὶ τὸ εὔλογον, καὶ ἴσως τὸ ἀληθὲς ἔχουσαν· ἢ παρ' ἑαυτῆς τι τοῦ ὄντως ἀληθοῦς συγγενέστερον ἐξευρεῖν, ἢ παρ' ἑτέρου μαθεῖν, (Θεοῦ δηλαδὴ διδόντος ῥῆμα, καὶ προξενούντων Ἀγγέλων) καὶ τοῖς φιλαγγέλοις ἡμῖν ἀνακαλύψαι διαυγῆ μᾶλλον (εἴπερ οἷόν τε ᾖ) καὶ ἐμοὶ μᾶλλον ἐραστὴν θεωρίαν.

cando continet, atque conseruat immutabiles, lapsusque expertes, & easdem mouet ad primas prouidentiæ suæ operationes participandas: hoc enim is qui hæc me docuit, Seraphim legationem declarare dixit. Princeps autem sacrorum, & post Deum dux, primarum essentiarum ordo, à quo ego deiformiter expiare didici, is ipsus inquam est, qui per me te expiat, per quem prouidentiæ suæ actiones ex abdito ad nos produxit is, qui est auctor & effector omnis expiationis. Atque hæc ille quidem me docebat, tibi autem ipse trado: tuæ verò intelligendi discernendique scientiæ erit, aut per alteram dictarum causarum omni ambiguitatis scrupulo absolui, eamque alteri, vtpote probabilem, & consentaneam, ac fortè veram, anteponere; aut per te, quid cum veritate coniunctius sit inuenire, aut ab alio discere (Deo scilicet verbum tribuente, quod & Angeli interpretentur,) nobisque Angelorum studiosis reuelare clariorem (si fieri possit) mihique gratiorem contemplationem.

ANNOTATIONES CORDERII.

Quinam Angeli mittantur. Ex hoc Capite S. Dionysij D. Thomas in 1. Parte, q. 112. art. 2. mouet quæstionem, vtrùm omnes Angeli in ministerium mittantur; & in corpore respondet, Angelos inferiores tantùm mitti de lege communi, superiores verò ex diuinâ dispensatione. Hoc enim, inquit, habet ordo diuinæ prouidentiæ, non solùm in Angelis, sed etiam in toto Vniuerso, quòd inferiora per superiora administrentur: sed ab hoc ordine in rebus corporalibus aliquádo ex diuinâ dispensatione receditur, propter ordinem altiorem, secundùm videlicet quod expedit ad gratiæ manifestationem.

Status quæstionis. Determinat etiam hoc Capite S. Dionysius quamdam quæstioné, quę mota fuit ex iis quæ Cap. 6. §. 2. dicta sunt: vbi docet, primam Hierarchiam circa Deum assiduè versari, illiq; iugiter inhærere. Item Cap. 7. §. 2. ait, primas illas essentias, quasi in vestibulo ipsius Diuinitatis collocatas, &c. Quibus locis significari videtur, quòd semper Deo assistant, & ad nos exteriùs non mittantur: cuius contrarium videtur docere Isaias c. 6. vbi dicit, vnum de Seraphim missum ad purgandum Propheram.

§. 1. Proponit quæstionem: quæ cùm fundetur in distinctione muneris assistendi & ministran-

ANNOTATIONES CORDERII. nistrandi, notandum, Angelos posse dici diuersimodè Deo assistere. Ac primò quidem, si *assistere* sumatur pro *faciem Dei contemplari*, sic assistunt omnes boni Angeli, qui semper vident faciem Patris qui in cælis est. Secundò, si *assistere* sumatur pro *immediatè recipere illuminationes à Deo*, sic tantùm assistunt tres primi ordines. Tertiò, si *assistere* accipiatur pro *appropinquare Deo, & extraneum esse ab exteriùs missione*; sic assistunt quatuor primi ordines. Ministrare verò est nuntiare pro temporis opportunitate, vel operari secũdùm officium: est enim ministerium nuntij, & officij.

Assistere quid.

Matt. 18, 10.

Ministrare quid.

§. 2. *Prima solutio.* Tradit primam quæstionis solutionem, scilicet, quòd ille qui purgauit Prophetam, fuerit de inferioribus ordinibus, dictus Seraphim æquiuocè, per imitationem actus superiorum, quia purgauit per ignem.

§. 3. *Secunda solutio.* Ponit secundam solutioñe, scilicet quòd ille qui purgauit Prophetam, fuerit de primo ordine; sed non purgauerit ministerio, sed auctoritate, in quantum videlicet inferior Angelus virtute ipsius receptâ purgauit Prophetam: & sic reducitur operatio in ipsum. Confirmat autem hoc per simile virtutis diuinæ, vniuersaliter in omnia diffusæ, cuius illuminatio peruenit in intellectualia proportionaliter, non secùs atque lux vel calor materialis, ea corpora quæ magis apta ad sui susceptionem inuenit, magis illuminat aut accendit.

§. 4. Describit visionem & expiationem Isaiæ Prophetæ, quam ipse de se cap. 6. narrat, de quâ ita Gregorius Theologus secundo de Theologiâ libro ait: Quid de Isaiâ & Ezechiele, qui vterque maximorum mysteriorum spectator fuit, ac de reliquis Prophetis dicere poteris, ex quibus ille quidem Dominum sabaoth sedentem in throno gloriæ vidit, & hunc à Seraphinis sexaligeris stipatum, laudatum & obtectum, seque carbone ignis purgatum, & ad prophetiam instructum, hic verò vehiculum ex Cherubinis describit, & super eos thronum, & super thronum firmamentum, & eum qui in firmamento apparebat, & voces quasdam & impetus, & actiones: atque hoc quidem, siue erat visum diurnum solis sanctis aspectabile, siue nocturna & vera visio, siue informatio futurorũ tamquam præsentium in mente, siue alia species arcana prophetiæ, non possum affirmare; Deus Prophetarum nouit, & quibus talia contigerunt.

Nota autem ex P. Cornelio congruas aliquot rationes huius visionis. Prima, vt per eam quasi consecraretur Propheta & Apostolus. Secunda, vt à cælestibus spiritibus disceret, quomodo diuina tractanda sint. Tertia, vt animaretur à Deo ad liberè arguendam cæcitatem Iudæorum. Quarta, vt doceretur mysterium SS. Trinitatis, & nobis idem adumbraret. Plura vide apud P. Cornelium, qui ad cap. 6. Isaiæ hanc visionem fusè explicat; & simul illa quæ superiùs ad Cap. 6. & 7. notauimus.

SCHOLIA S. MAXIMI.



§. 1. SERAPHIM.] Nota Seraphim inflexione masculinâ.

ETENIM DVBITABIT ALIQVIS.] Quoniam hoc iis quæ dicta sunt contrarium apparere videtur; dixerat enim anteà, inferiores à superioribus quidem suis, non tamen à supremis erudiri, v.g. tertium ordinem à medio, & medium ab omnium supremo. verùm hæc examinata varieque soluta sunt.

§. 2. PECCATORVM QVÆ RECENSITA ERANT.] Quoniam non licet diuinis initiari, nisi peccata priùs dimittantur. Seraphim autem Incensor ceu Calefaciens interpretatur.

§. 3. ALIVS ITEM HAVD ADMODVM.] Nota, illud *haud admodum* non omnino ad comparationem mediocritatis dictum esse; verbi gratiâ, non ita dictum est illud, *Haud admodum absonam*, vt omnino absonam, sed vt mediocriter absonam intelligere debeamus. Quin imò pro positiuo ponitur, vt idem sit ac,



Ο ΣΕΡΑΦΙΜ.] Σημείωσαι ὁ Σεραφεὶμ, ἀρσενικῇ κλίσει.

Καὶ γὰρ ἀπορήσειέ τις.] Ἐπειδὴ ἐναντιοφανὲς εἶναι δοκεῖ τοῖς λεχθεῖσιν· ἔφη γὰρ περὶ τούτων, ὅτι τὰ κατώτερα ὑπὸ τῶν ὑπερκειμένων αὐτὰ, οὐ μὴν ἐκ τῶν ἀνωτάτω μυοῦνται, οἷον ἡ τρίτη τάξις ἐκ τῆς μέσης, καὶ ἡ μέση ἐκ τῆς ὅλων ἀνωτέρας, ἐζητήθη δὲ ταῦτα καὶ διαφόρως ἐπελύθη.

Εἰρημένων ἁμαρτιῶν.] Ὅτι οὐκ ἔστι μυηθῆναι τὰ θεῖα, εἰ μὴ γένηται πρότερον ἁμαρτιῶν ἄφεσις. Ὁ γὰρ Σεραφεὶμ, Ἐμπρηστὴς, ἤτοι Θερμαίνων ἑρμηνεύεται.

Ἕτερος δὲ οὐ σφόδρα.] Σημείωσαι, ὅτι τὸ, Οὐ σφόδρα, οὐ πάντως πρὸς σύγκρισιν τοῦ μετρίου εἴρηται· οἷον, Οὐχ οὕτως εἴρηται τὸ, Οὐ σφόδρα ἄτοπον, ὥστε νομίσαι ἡμᾶς, ὅτι ἄτοπον μὲν ἐστὶ πάντως, μετρίως δὲ ἄτοπον. Ἀλλὰ καὶ ἀντὶ τοῦ θετικοῦ κεῖται, τουτέστιν,

οὐ δοκεῖ

SCHOLIA S. MAXIMI.

οὐ δοκεῖ μοι ἄτοπον εἶναι εὐλαβῶς ἀποφαινόμενος ἔθει φιλοσόφῳ. Ἀλλὰ καὶ ἀντὶ τοῦ Οὐδαμῶς κεῖται, ὡσεὶ ἔλεγεν, Οὐδαμῶς ἄτοπον.

Διαπλάσας.] Σημείωσαι, ὅτι τὰς θείας τῶν Προφητῶν ὁράσεις, τοὺς ἐφεστῶτας Ἀγγέλους φησὶ διαπλάττοντας εἰς φαντασίαν ἄγειν τῶν δοκούντων ὁρᾶσθαι· αἰνίγματα γὰρ καὶ σύμβολα, οὐ μὴν γυμνὰ πράγματα καὶ οὐσίας ἑώρων.

Ἐπὶ Θεόν.] Ὁρᾷς ὅτι οἱ μυοῦντες Ἄγγελοι τὰς ἀποκαλύψεις τοὺς Προφήτας, οὕτως ἐποίουν, ἀνάγοντες αὐτοὺς πρωτοτύπως μὲν ἐπὶ Θεὸν τὸν πάντων κυρίως αἴτιον, δευτέρως δὲ ἐπὶ τοὺς μετὰ Θεὸν πρώτους νόας θέσει καὶ θεοειδῶς ἄρχοντας τῆς ἐπὶ Θεὸν Ἱεραρχίας. ταῦτα ἐφεξῆς διδάσκει.

Καὶ διὰ πάντων.] Σημείωσαι, ὅτι ἐπὶ πάντας ἡ τοῦ Θεοῦ πρόνοια διήκει κρυφίως, καὶ ὅτι ὁ κατώτερος Ἄγγελος ὁμωνύμως Σεραφεὶμ ὀνομάζεται.

Ἀναλόγως.] Ἤγουν κατὰ τὸ μέτρον τῆς τῶν δεχομένων δυνάμεως, καὶ τὰς ἐλλάμψεις ἐκτείνει.

Κατὰ τὴν ἑκάστης.] Πῶς αἱ θεῖαι ἐλλάμψεις εἰς ἐνίους μὲν φανότεραι, εἰς ἐνίους δὲ ἀμυδρότεραι διαδίδονται, ἐκ παραδείγματος σαφηνίζει.

Ἡλιακῆς.] Τὸ ὑπόδειγμα τοῦτο καὶ ἀνωτέρω παρετέθη. Πρώτην δὲ ὕλην φησὶ τὸν ὕελον καὶ τὰς ὁμοίας, ὥσπερ καὶ παχυτέραν, οἷον οἴκους, καὶ σπήλαια, καὶ τὰ παραπλήσια. Ἄλλως, πρώτην ὕλην τὴν λεπτὴν καὶ ἠερώδη καὶ καθαράν.

Πάλιν ἡ πυρὸς θερμότης.] Καλῶς ἀπεικάζει τῷ Θεῷ τὸ πῦρ· λέγει γὰρ ἡ Γραφή, Ὁ δὲ Θεὸς πῦρ καταναλίσκον ἐστί· καὶ ὅτι τὸ μὲν αὐτοῦ θερμαίνει, τὸ δὲ κατακαίει. Οὕτω καὶ ὁ Θεὸς τοὺς προσιόντας αὐτῷ φωτίζει, τοὺς δὲ ἀπιστοῦντας κατακαίει, τοὺς μὴ ἐν πίστει προσιόντας καὶ προσεγγίζοντας αὐτῷ.

Πρὸς δὲ τὰς ἀντιτυπεῖς.] Οἷον ἀδάμαντα καὶ ὕδωρ.

Φυσικῆς.] Φυσικὰ λέγει τὰ αἰσθητὰ καὶ ὁρατά. Ἰστέον δὲ, ὅτι ἐν τοῖς νοητοῖς αἱ ἀρεταὶ οὐκ εἰσὶ κατὰ συμβεβηκὸς, ὡς παρ' ἡμῖν, ἀλλ' ὁ Θεὸς μὲν ἐστὶ ζῶσα ἀρετὴ, καὶ αὐτοτελὴς, καὶ ἀπροσδεὴς, ὅτι ὑπερουσίως οὐσιοῦται, καὶ μεταδοτικῶς ἐκφοιτᾷ εἰς τὰ ἀπ' αὐτῆς, ὡς αἰτίας οὔσης, ὑπάρξαντα νοητά. Πηγὴ

non videtur mihi absurdum esse, cautè hoc philosophico more pronuntians. Vel etiam ponitur pro *nullo modo*, ac si diceret, Nullo modo absurdum.

QVI EFFINXERAT.] Nota, vt Præsides Angelos dicat, diuinas Prophetarum visiones efformando, inducere in earum quæ cerni videntur rerum imaginationem: quoniam ænigmata symbolaque, non verò ipsas res nudas & substantias intuebantur.

IN DEVM.] Vides, Angelos, qui Prophetis reuelationes exhibebant, hoc modo egisse, vt primariò ipsos ad verum rerum omnium auctorem Deum, secundariò autem ad situ primas post Deum mentes, ac Deiformes diuinæ Hierarchiæ præsides adducerent; vti deinceps docet.

ET AD OMNIA.] Nota, Dei prouidentiam ad omnes occultè peruenire, & Angelum inferiorem æquiuocè Seraphim appellari.

PRO CAPTV.] Id est pro modulo virtutis eorum qui lumen excipiunt, illustrationes etiam porrigit.

SECVNDVM CVIVSQVE.] Declarat exemplo, quomodo diuinæ illustrationes aliquibus quidem clariores, aliquibus verò obscuriores distribuantur.

SOLARIS.] Exemplum hoc etiam suprà propositum fuit. Primam autem materiam vocat vitrum & similes, sicut & densiorem, v.g. domos & specus & similia. Aliàs primam materiam [intelligit] tenuem & aëream & puram.

ITERVM CALOR IGNIS.] Pulchrè Deo ignem assimilat; quia Scriptura dicit, *Deus ignis consumens est*; tum etiam quia partim calefacit, & partim comburit. Sic etiam Deus ad se accedentes illuminat; infideles verò, qui per fidem ad ipsum non accedunt nec ipsi appropinquant, comburit. Deut. 4, 24.

VERVM IN RELVCTANTIBVS.] Vt adamante & aquâ.

NATVRALIS.] Naturalia vocat sensilia visibiliaque. Porrò sciendum, in spiritibus virtutes non esse per accidens sicut in nobis, sed Deus quidem viuens virtus est, & per se perfecta, & nullius egens, quoniam supersubstantialiter substantiam habet, & sese communicando emanat in ea intellectilia quæ per ipsam ceu causam existunt. Deus itaque fons

Qualiter sint in spiritibus virtutes.

est

est illius virtutis, quæ sui participes, quoad fieri potest, viuificat deificatque; simul etiam prouidè ad intellectu prædita, quæ substantiam ei suam acceptam ferunt, emanando procedit, nec idcircò mentium apex & perfectio esse desinit. Nequaquam itaque mentes more nostro per accidens virtutem habent, veluti prudentiam per exercitium & disciplinam, vel iustitiam aut temperantiam per continentiam, vel fortitudinem per bonam corporis & neruorum compositionem: non enim, vt aliud in alio, in his est virtus, sed quòd actiones suas obeant, & incessanter ad Deum ac semetipsos attendant, ista Dei imitatio in ipsis virtus existit; attamen ordinem tamquam alius in alio seruant, iuxta illud, *Viuit in me anima tua*, id est, doctrinæ communicatio. Accidens autem est in subiecto, quod ibi locum non habet: quoniam ipsi sunt compositionis materiæq; expertes, & eorum species vitæ sunt velut à materiâ abstractæ; prout etiam intellexit is qui hæc annotauit. Memineris verò etiam mearum obseruationum quæ ante tria folia habentur: ibi enim vox ἐφιέμεναι, seu *desiderantes*, sensum hunc meum confirmat. Quin & Patres ita senserunt, atque ipse etiam approbat liberum arbitrium.

Ordinis origo.] Id est Deus.

Est igitvr omnibvs.] Nota, Deum esse luminis essentiam, & naturâ statuque suo virtutem existere.

Censent.] Nota, supremas istas primas mentes, per quas diuinam illustrationem accipimus, post Deum virtutis vniuersæ principium existere.

Igneam proprietatem.] Nota, supremas mentes secundùm proprietatem suam igneas existere.

Throni quid. Solii.] Pulchrè explicat quid sint Throni cælestes, quòd apertam nimirum de Deo cognitionem habeant. Porrò solij proprietatem vocat sanctorum Thronorum principatum, quem sortitò ipsis assignatum esse ostendimus.

Inferiorvm.] De subiectis ordinibus, quomodò per primos rerum diuinarum participes existant.

Dictas.] Venit ad propositi explanationẽ.

§. 4. *Qualem Angelũ viderit Isaias.* Aiebat itaqve.] Agit de eo qui dixerat, Angelum istum quem viderat Isaias, non fuisse Seraphinum, sed aliquem ex inferioribus

μὲν οὖν τῆς ἀρετῆς, ζωούσης καὶ θεούσης κατὰ τὸ ἐφικτὸν τοὺς μετέχοντας, ὁ Θεὸς, ἀλλ' ὅμως εἰς πρόοδον προνοητικῶς ἐκφοιτᾷ εἰς τὰ οὐσιωθέντα ὑπ' αὐτοῦ νοητὰ, καὶ ἀκρότης καὶ τελειότης κατὰ τοῦτο εἶναι τῶν νόων οὐκ ἀποβάλλει. Οὐ κατὰ συμβεβηκὸς οὖν οἱ νόες, ὡς ἡμεῖς, ἔχουσι τὴν ἀρετὴν, τὴν φρόνησιν ἐξ ἀσκήσεως οἷον ἢ μαθήσεως, ἢ τὴν δικαιοσύνην ἢ τὴν σωφροσύνην δι' ἐγκρατείας, ἢ τὴν ἀνδρίαν ἐξ εὐθεσίας σώματος καὶ νεύρων· οὐ γὰρ, ὡς ἄλλο ἐν ἄλλῳ, ἐν τούτοις ἡ ἀρετὴ, ἀλλὰ τὸ τὰ οἰκεῖα ἐνεργεῖν, καὶ ἀπαύστως ἀνατετάσθαι πρὸς Θεὸν καὶ εἰς ἑαυτοὺς, τοῦτο ἐν αὐτοῖς θεομίμητον ἀρετή· τάξιν δὲ ὅμως τὴν ὡς ἄλλου ἐν ἄλλῳ διαφυλάττει, ὡς τὸ, Ζῇ ἐν ἐμοὶ ἡ ψυχή σου, ἀντὶ τοῦ, ἡ τῆς διδασκαλίας μετάδοσις. Τὸ δὲ συμβεβηκὸς ἐν ὑποκειμένῳ, ὅπερ οὐκ ἔστιν ἐκεῖ· ἀσύνθετα γὰρ καὶ ἄϋλα ἐκεῖνα, καὶ τὰ εἴδη αὐτῶν ζωαὶ, οὐχ ὡς ἐν ὕλῃ· καὶ ταῦτα μὲν ὁ παραγράψας ἐνόησεν. Ἔχε δὲ κατὰ νοῦν τὰς ἐμὰς σημειώσεις τὰς πρὸ τριῶν φύλλων· καὶ ἐνταῦθα γὰρ τὸ Ἐφιέμεναι τῇ ἐμῇ νοήσει συνεργεῖ. Καὶ οἱ Πατέρες δὲ οὕτως ἐνόησαν, καὶ αὐτὸς δὲ δοκεῖ τὸ αὐτοπροαίρετον.

Ταξιαρχία.] Τουτέστιν ὁ Θεός.

Ἔστιν οὖν ἅπασι.] Σημείωσαι, ὅτι φωτὸς οὐσία, ὁ Θεὸς, καὶ τὸ φύσει ἀρετὴ, καὶ θέσει ἀρετή.

Ἡγοῦνται.] Σημείωσαι, ὅτι μετὰ Θεὸν ἀρχὴ πάσης ἀρετῆς οἱ ἀνώτατοι νόες, δι' ὧν πρώτων ἔχομεν τὴν τοῦ Θεοῦ ἔλλαμψιν.

Ἐμπύριον ἰδιότητα.] Σημείωσαι, ὅτι κατὰ ἰδιότητα ἐμπύριοι οἱ ἀνώτατοι νόες.

Θρονίαν.] Καλῶς ἑρμηνεύει τί εἰσι Θρόνοι τῶν οὐρανίων, τὸ ἀνεῳγμένην τὴν περὶ Θεοῦ νόησιν ἔχειν. Θρονίαν δὲ φησὶν ἰδιότητα, τὴν ἀποκληρωτικῶς ἀποφανθεῖσαν τῶν ἁγίων Θρόνων ἀρχήν.

Ὑφειμένων.] Περὶ τῶν ὑποβεβηκυιῶν τάξεων, ὅπως διὰ τῶν πρώτων μετέχουσι τῶν θείων.

Τὰς εἰρημένας.] Ἦλθεν εἰς ἐξήγησιν τοῦ προκειμένου.

Ἔλεγεν οὖν.] Περὶ τοῦ εἰπόντος φησὶν, ὅτι οὐχ ὁ Σεραφεὶμ ἐτύγχανεν ὁ ὀφθεὶς τῷ Ἡσαΐᾳ, ἀλλά τις τῶν κατωτέρων Ἀγγέ-

SCHOLIA S. MAXIMI.

λων. Ταύτῃ γὰρ τῇ δόξῃ ἐπαγωνίζεται, ἣν περὶ ὀλίγου ἀναφαίνει τῇ ἀρχῇ τοῦ κεφαλαίου, ἔνθα φησὶν, Ἕτερος δὲ οὐ σφόδρα ἄτοπον, καὶ τὰ ἑξῆς.

Ὡς ἐν συμβόλοις.] Ἐπειδὴ ἑξαπτέρυγα ὁρᾷ τὰ Σεραφίμ.

Καὶ περὶ Θεὸν ἱδρυμένας.] Ἔχει γὰρ τὸ Λόγιον, ὅτι εἱστήκει κύκλῳ αὐτοῦ.

Ἐμάνθανεν οὖν.] Ὅρα τί ἐμάνθανεν ὁ Ἡσαΐας, ὃν καλεῖ Θεολόγον, ὅτι ἄγνωστον τὸ Θεῖον καὶ ταῖς ἀνωτάτω δυνάμεσι, καὶ ὅτι οὐδὲν τῶν ὄντων ἐμφερὲς αὐτοῦ. Ὄντα δὲ εἴπομεν ἐν τῷ περὶ τούτου βιβλίῳ, τὰ νοητὰ καὶ αἰσθητά. Ταῦτα δὲ μυεῖται ὁ Προφήτης, μετὰ τὸ καθαρθῆναι τῶν ἰδίων ἁμαρτιῶν, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν.

Σεραφὶμ ἐμυεῖτο.] Τί ἐμυεῖτο διὰ τὰ Σεραφίμ.

Ἐπωνυμίας.] Ἑρμηνεία Σεραφίμ.

Πτερῶν.] Τί δηλοῖ τὰ πτερά.

Τὴν ἐπὶ τὸ Θεῖον ἐν πρώταις.] Εἶπεν ἄνω γὰρ ἐν τῷ τέλει τοῦ δεκάτου κεφαλαίου, ὅτι πᾶς καὶ ἀνθρώπειος νοῦς, καὶ πρώτας καὶ μέσας καὶ τελευταίας ἔχει τάξεις. Εἰκότως οὖν ἓξ πτέρυγας εἶπεν ἔχειν τὴν δύναμιν, ἵνα ταῖς μὲν δυσὶ καλύπτῃ τὰ πρόσωπα, ταῖς δὲ μέσαις τοὺς πόδας, ταῖς δὲ λοιπαῖς τὸ Θεῖον περιπετῆται, ὅπερ εἶπεν αὐτὸς τὴν ὑπερτάτην ἀνάτασιν. Σημείωσαι δὲ, τί τὸ πολύπουν καὶ τὸ πολυπρόσωπον τῶν Σεραφίμ, καὶ διὰ τί σκέπονται ἔνια.

Ἑξαπλῆς.] Σημείωσαι, πῶς ἀνάγει τὰς ἓξ πτέρυγας τῶν ἁγίων Σεραφίμ.

Ὁρωμένων.] Τουτέστι τῶν ὑπὸ τοῦ Προφήτου θεωρουμένων.

Τῶν ὑψηλοτέρων.] Διὰ τὸ καλύπτειν τὰ πρόσωπα· τῶν δὲ βαθυτέρων, διὰ τὸ καλύπτειν τοὺς πόδας· διὰ δὲ τῶν μέσων, τὴν συμμετρίαν.

Καὶ πολυτίμητον ὑμνῳδίαν.] Τὸ Ἅγιος, ἅγιος, ἅγιος. Σημαίνει δὲ, ὅτι καὶ Ἄγγελος κατ᾽ ἀναλογίαν τῆς ἰδίας δυνάμεως δέχεται τὴν θείαν ἔλλαμψιν, καὶ αὐτὸς μεταδίδωσι τοῖς Προφήταις, ὅσον χωροῦσιν, οὐχ ὅσα γινώσκει αὐτός.

Ὅτι κάθαρσίς ἐστι.] Τί ἐστι κάθαρσις, καὶ πῶς εἰς τὰ νοητὰ γίνεται παρὰ τοῦ Θεοῦ.

Αὕτη δέ.] Ἡ κάθαρσις δηλαδὴ, ἢ ἡ μετουσία.

Ἐξῃρημέναις.] Οὐ γὰρ οἵα ἐστὶν ἐπὶ τῶν ἀν-

ordinibus. Hanc enim ipſe ſententiam tuetur, quam paulò antè ſub initium Capitis declarat, cùm ait, *Alius item non admodum incongruam*, &c.

TAMQVAM IN SYMBOLIS.] Quia ſex aligeros Seraphim conſpexit.

ET CIRCA DEVM COLLOCATAS.] Habet enim Scriptura, quòd ſtabant in circuitu eius.

DIDICIT ITAQVE.] Vide quid Iſaias diſceret (quem & Theologum appellat) nempe diuinitatem ipſiſmet etiam ſupremis Virtutibus ignotam eſſe, & nihil in rebus ipſi ſimile exiſtere. Porrò per ὄντα ſeu *res* in præcedenti Libro diximus res intellectiles ac ſenſiles intelligi. Hæc autem Propheta docebatur, poſtquam à peccatis ſuis erat expiatus, de quo paulò pòſt agemus.

SERAPHIM DOCEBATVR.] Quidnam per Seraphim doceretur.

NOMEN.] Interpretatio nominis Seraphim.

ALARVM.] Quid alæ deſignent.

IN DEVM IN PRIMIS.] Suprà enim in fine decimi Capitis dixerat, omnem, etiam humanam mentem, primos & medios ac poſtremos ordines habere. Meritò igitur Virtutem ſex alas habere dixit, & duabus quidem faciem velaret, mediis autem pedes, reliquis verò circa Deum volitaret; quod ipſe ſupremam intentionem appellauit. Nota item, in Seraphim quid ſibi velint multæ iſtæ facies ac pedes, & cur aliqua tegantur.

SENARVM.] Nota quomodo adducat ſex alas ſanctorum Seraphim.

VISORVM.] Id eſt, à Prophetâ ſpectatorum.

SVBLIMIORVM.] Quia faciem velabant; *profundiorum*, quia pedes tegebant: *mediorum* verò [meminit] propter proportionem.

ET CELEBERRIMVM LAVDIS CANTICVM.] Scilicet, *Sanctus, ſanctus, ſanctus*. Significat verò, etiam Angelum iuxta virtutis ſuæ proportionem diuinam ſuſcipere illuſtrationem, qui & hanc Prophetis pro illorum captu, non tamen quantum ipſe cognoſcit, communicat.

QVIA EXPIATIO EST.] Quid ſit expiatio, & quomodo in ſpiritibus à Deo fiat.

HÆC AVTEM.] Scilicet expiatio, aut participatio.

PRÆCIPVIS.] Non enim qualis expiatio

SCHOLIA S. MAXIMI.

est in hominibus, talis etiam est in rebus incorporeis.

QVÆ CIRCVM EAM.] Circum eam, scilicet diuinitatem, siue Deum.

EXISTIT MANIFESTA.] Scilicet expiatio.

IN SECVNDIS AVTEM.] Considerandum, vt omnem virtutem incorpoream haud mediocriter differre dicat in dissimilitudine. Ac supremos quidem spiritus multum habere deiformitatis, ceteras verò mentes, vsque ad postremas, tantum obtinere quantum earum ordo ratioque postulat, plus tamen quàm nostræ animæ, quandoquidem hæ ab omnibus illis spiritibus plurimum absint, vnde diuina quoque illustratio coacta quodammodò & contracta conspicitur, dum in tam longâ quasi distantiâ accessionis ad Deum ipsamet diuina illustratio suam quadam ratione manifestationem ad vnitam illam ac simplicem colligit ignorationem. Deus enim ignotus est, non propter argumentorum nobis ignotam varietatem, sed secundùm vnam quamdam in nobis simpliciter & absolutè incomprehensibilem ignorationem.

PER IGNEM.] Nota, igneam proprietatem esse Seraphinorum, & quomodo Angelo expiante Seraphini & ante hos Deus expiare dicantur.

AVT SACERDOTVM.] Nota, Sacerdotes Præsulibus inferiores existere; & aliud esse illuminare, & aliud expiare; atque aliud esse ministrum, & aliud Sacerdotem. Atqui Sacerdotibus expiantibus aut illustrantibus, id ipsum Præsul facere perhibetur.

CONSERVANS IMMVTABILES.] Quoniam Deus, qui omnium quoque spirituum creator est, ipse etiam primas essentias continet, atque conseruat, ne immutentur aut excidant. Porrò immutabiles intelligendæ sunt secundùm id quod existunt, scilicet in immortalitate, in vitâ secundùm quam essentialiter sunt lumen; quoniam in his quoque essentialiter immutabiles existunt, & cùm sint liberi arbitrij, Deus ipsas continet, atque præseruat, ne ad extraneas cupiditates deflectant. Nam quòd in Deum intendant, ab intellectili ipsarum electione pendet; quòd autem semper in eâ perseuerent, à diuino pendet auxilio. siquidem omnia diuinæ opis egent.

θρώπων ἡ κάθαρσις, τοιαύτη ἐστὶ καὶ ἐπὶ τῶν ἀσωμάτων.

Ταῖς περὶ αὐτήν.] Περὶ αὐτήν, τὴν θεαρχίαν δηλονότι, τουτέστι περὶ τὸν Θεόν.

Ἐκφαίνει.] Ἡ κάθαρσις δηλονότι.

Ἐπὶ δὲ τῶν δευτέρων.] Σκοπεῖν δεῖ, ὅτι διαφέρειν φησὶν οὐ μετρίως ἐν τῷ θεοειδεῖ πᾶσαν ἀσώματον δύναμιν. Πολὺ μὲν γὰρ ἔχειν τὸ θεοειδὲς τοὺς ἀνωτάτω νόας, ὑφειμένον δὲ λοιπὸν, καθ' ὅσον καὶ ἡ τάξις ἀπαιτεῖ τοὺς λοιποὺς νόας, μέχρι τῶν ἐσχάτων, πλέον δὲ καὶ τῶν ἐσχάτων τὰς ἡμετέρας ψυχὰς, ἐπεὶ καὶ πάντων τῶν νόων πολὺ λείπεται ἡ καθ' ἡμᾶς ψυχὴ, καὶ ἡ θεία τοίνυν ἔλλαμψις συνηγμένη πως μᾶλλον καὶ συνεσταλμένη θεωρεῖται πρὸς τὴν οἷον εἰς μῆκος ἀπόστασιν τῆς εἰς Θεὸν πλησιάσεως, συνάγουσα οἱονεὶ αὐτὴ ἡ θεία ἔλλαμψις τὴν οἰκείαν φανέρωσιν πρὸς τὸ ἑνιαῖον καὶ ἁπλοῦν αὐτῆς ἄγνωστον. Ἄγνωστος γὰρ ἐστὶν ὁ Θεὸς, οὐ διὰ ποικιλίαν συλλογισμῶν ἀγνοουμένην ἡμῖν, ἀλλὰ κατὰ ἑνιαίαν τινὰ πρὸς τὰ καθ' ἡμᾶς, καθ' ἓν καὶ καθάπαξ ἀκατάληπτον* ἀθανασίαν. *γρ. ἀγνωσίαν.

Ἐμπυρίως.] Σημείωσαι, ὅτι ἐμπύριος ἰδιότης τῶν Σεραφὶμ ἐστι, καὶ πῶς Ἀγγέλου καθαίροντος, τὰ Σεραφὶμ εἴρηται καθαίρειν, καὶ πρὸ τούτων ὁ Θεός.

Ἢ Ἱερέων.] Σημείωσαι, ὅτι οἱ Ἱερεῖς ὑποβεβήκασι τὸν Ἱεράρχην· καὶ ὅτι ἄλλο φωτίζειν, καὶ ἄλλο καθαίρειν· καὶ ὅτι ἄλλο λειτουργὸς, καὶ ἄλλο Ἱερεύς. Καὶ τῶν Ἱερέων καθαιρόντων ἢ φωτιζόντων, ὁ Ἱεράρχης λέγεται ποιεῖν.

Διατηρῶν ἀτρέπτους.] Ὅτι ὁ Θεὸς, ὁ καὶ πάντων ὁμοίως τῶν νοητῶν δημιουργὸς, αὐτὸς καὶ τὰς πρώτας οὐσίας συνέχει καὶ διατηρεῖ πρὸς ἀτρεψίαν καὶ ἀμεταπτωσίαν. Ἀτρέπτους δὲ νοεῖν δεῖ, κατ' ἐκεῖνο καθ' ὅ εἰσιν, οἷον εἰς τὸ ἀθάνατον, εἰς τὴν ζωὴν καθ' ἣν οὐσίωνται εἰς τὸ εἶναι φῶς· ἐν τούτοις γὰρ καὶ ἀμεταβόλους οὐσιωδῶς, καὶ εἰς τὸ μὴ τρέπεσθαι εἰς ἐκφύλους ἐπιθυμίας, ἅτε καὶ αὐτεξουσίους, ὁ Θεὸς συνέχει αὐτοὺς καὶ διατηρεῖ. Τὸ μὲν γὰρ πρὸς αὐτὸν ἀνατείνεσθαι, τῆς αὐτῶν ἐστι νοερᾶς προαιρέσεως· τὸ δὲ εἰσαεὶ περὶ τοῦτο διαρκεῖν, τῆς ἀντιλήψεώς ἐστι τοῦ Θεοῦ. πάντα γὰρ δεῖται Θεοῦ βοηθείας.

Ὁ ταῦτά με διδάσκων.] Σημείωσαι, ὅτι ταῦτα παρ' ἑτέρου ἔμαθεν ὁ μέγας Διονύσιος.

QVI HÆC ME DOCEBAT.] Nota, Magnum Dionysium hæc ab alio didicisse.

PARAPHRASIS PACHYMERÆ.

Ἱεράρχης.] Σημείωσαι, ὅτι μετὰ Θεὸν ἡγεμόνες καὶ οἱ ἀνωτάτω διάκοσμοι.

Θεοειδῶς ἐμυήθην.] Ἡ τοῦ Ἀγγέλου ἠθοποιΐα, ὡσανεὶ ὁ καθαίρων Ἄγγελος τὸν Ἠσαΐαν, ταῦτα αὐτῷ ἔλεγε περὶ τῶν Σεραφίμ.

Ἢ παρ' ἑαυτοῦ.] Τὴν καθ' ὑπέρβασιν τοῦ ῥητοῦ σύνταξιν μετὰ πλεῖστα ἀποδιδομένην, οὕτω συντακτέον· Τῆς σῆς δ' ἂν εἴη νοερᾶς ἐπιστήμης, ἢ τὴν αἰτίαν ταύτην δέξασθαι, ἢ παρ' ἑαυτοῦ εὑρεῖν, ἢ παρ' ἑτέρου μαθεῖν, καὶ ἀνακαλύψαι μᾶλλον ἑαυτῷ, εἴπερ δὲ οἷόν τε, καὶ ἐμοὶ ὡσαύτως ἀνακαλύψαι περὶ Ἀγγέλων ἐραστὴν θεωρίαν. Τὸ Τιμῆσαι δὲ, ἀντὶ τοῦ Προτιμῆσαι.

Προξενούντων.] Σκόπει, ὅτι Θεοῦ διδόντος ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, Ἄγγελοι προξενοῦσι, δῆλον ὡς ὑπὲρ ἡμῶν πρεσβεύοντες.

HIERARCHA.] Nota, supremos ordines esse post Deum duces.

DEIFORMITER EDOCTVS SVM.] Hæc est fictio quædam morum Angelicorum, ac si Angelus, qui Isaiam expiabat, hæc ipsi de Seraphim dixisset.

AVT PER TE.] Sententiæ huius constructio, secundùm transgressionem post plurima redeuntem, sic est construenda: Tuæ verò intelligentis scientiæ esset, aut causam hanc admittere, aut per te inuenire, aut ab alio discere, quia potiùs tibi ipsi, &, quoad fieri possit, etiam mihi charam de Angelis contemplationem reuelare. Τιμῆσαι ponitur pro προτιμῆσαι seu præferre.

INTERPRETIBVS.] Considera, Deo nobis in oris nostri apertione verbum suppeditante, Angelos illud interpretari; vnde patet, eos ceu Legatos intercedere pro nobis.

PARAPHRASIS PACHYMERÆ.

§. 1. ΦΕΡΕ καὶ ἑτέραν ἀπορίαν ζητήσωμεν, ἐπεὶ ἐναντιοφανὲς εἶναι δοκεῖ τοῖς λεχθεῖσιν· ἔφη γὰρ πρὸ τούτων, ὅτι τὰ κατώτερα ὑπὸ τῶν ὑπερκειμένων, οὐ μὴν τῶν ἀνωτάτω μυοῦνται. Ὅρα δὲ, ὅτι καὶ τότε ἐζητήθη ταῦτα, καὶ διαφόρως ἐπελύθη. Ζητεῖται γὰρ, τίνος ἕνεκα πρὸς τὸν Ἠσαΐαν ὁ Σεραφὶμ ἀποστέλλεται, καὶ οὐκ ἐκ τῶν κατωτάτω ταγμάτων, ἐπεὶ ἐλέγομεν, εὐτάκτως ἡ μύησις γίνεται διὰ τῶν πρώτων εἰς τὰ δεύτερα. διὰ τί γοῦν καθαίρει τὸν Προφήτην ὁ ταῖς ἀνωτάτω τάξεσιν ἐναρίθμιος;

AGEDVM etiam aliam quæstionem indagemus, quoniam videtur esse dictis contraria: dixit enim anteà, inferiores à præcedentibus, non autem à supremis doceri. Obserua autem, vt & hæc tunc quæsita, & diuersimodè soluta sint. Quæritur enim, cur ad Isaiam Seraphim mittatur, & non aliquis ex ordinibus inferioribus, quandoquidem dixerimus, ordinatè doctrinam tradi per primos inferioribus: quare ergo Prophetam expiat is qui supremis ordinibus annumeratur?

§. 2. *Quomodo Isaias à Seraphim expiatus.*

Τινὲς μὲν οὖν φασιν, ὅτι καὶ ὁ κατώτερος Ἄγγελος ὁμωνύμως Σεραφὶμ ὀνομάζεται, κατ' αὐτὸν τὸν τῆς κοινωνίας λόγον, ὃν καὶ πρότερον ἐλέγομεν, ὅτι μετέχουσι καὶ τὰ κάτω τῶν ὑπερβεβηκότων, καὶ τὰ ὑπερβεβηκότα τῶν κάτω· εἰ καὶ ταῦτα μὲν ὁλικῶς, τὰ δὲ κάτω τῶν ὑπερβεβηκότων μερικῶς τε καὶ ἀμυδροτέρως. Διὰ τοῦτο οὐχ ἕνα τῶν πρωτίστων Σεραφὶμ ὀνομάζει τὸ Λόγιον ἐπὶ τὴν κάθαρσιν τοῦ Προφήτου ἐληλυθέναι, τινὰ δὲ τῶν κατωτάτων Ἀγγέλων, καὶ τοῖς ἀνθρώποις ἐφεστηκότων, ὡς ἱερουργὸν τῆς καθάρσεως, Σεραφὶμ ὁμωνύμως κληθῆναι· Σεραφὶμ γὰρ Ἐμπρηστὴς ἢ Θερμαίνων ἑρμηνεύεται. Ἐπεὶ οὖν ἔδει πρότερον ἀπὸ τῶν ἁμαρτιῶν καθαρθῆναι τὸν Προφήτην, καὶ εἶτα μυηθῆναι

Aliqui itaque dicunt, inferiorem Angelum vniuocè Seraphim nominari, secundùm eamdem communicationis rationem quam anteà assignauimus, quòd nimirum inferiores ea quę superiorum sunt participent, vti & superiores ea quæ sunt inferiorum; licet hi quidem totaliter, illi verò tantùm ex parte & remissiori gradu. Quocircà non dicit Oraculum, primorum aliquem Seraphim ad Prophetam expiandum aduenisse, sed quemdam ex inferioribus Angelis qui hominibus præsunt, tamquam expiationis administrum, eodem cum Seraphim nomine vocatum: Seraphim enim Incensor vel Calefactor interpretatur. Cùm itaq; primùm oporteret à peccatis Prophetam expiari, ac deinde diuina edoceri, is Angelus,

PARAPHRASIS PACHYMERÆ.

qui eum expiabat ac resuscitabat, propter istiusmodi operationem Seraphim vocabatur. Tamquam incensor itaque peccata comburebat, tamquam calefactor verò ad diuinam obedientiam ipsum excitabat. Ecce enim me, inquit. Quare etiam ab isto actu Angelus, Seraphim vocatus est, cùm non esset vnus ex primo isto ordine, & qui circa Deum sunt.

§. 3. Quidam alius item non admodum incongruam huius quæstionis solutionem tradidit. Illud autem non omnino ad comparationem mediocritatis retulit, ac si fortè absurdum quidem, sed non valdè, at mediocriter absurdum esset. Non ita: sed neque absurdum, neque valdè absurdum, iuxta communem loquendi formam, quemadmodum Magnus ille Gregorius Theologus in quodam Sermone suo docet. vt in illo: Non secundùm iustificationes nostras, quas fecimus nos; neque
Ioan. 3, 34. enim fecimus. & iterùm: *Non ad mensuram dat Deus spiritum*, sicut in Euangelistâ Ioanne reperitur. Protulit itaque honestam præcautionem, quòd non absimile esset, Prophetam adductum esse per aliquem nobis præpositorum Angelorum. Hic autem Angelus effinxerat eiusmodi visionem: non enim nudas res & essentias Prophetæ videbant, sed ænigmata symbolaque ab Angelis effictа. Iste igitur Angelus qui Theologum erudiebat, adduxit hunc ad Deum, & ad primã quæ post Deum est Hierarchiam, scilicet Seraphim: ita vt iterùm adductio esset Angeli adducentis. Et ait Sanctus, istam fortassis orationem esse veram. Quomodo autem vera sit, demonstrat explicando ea quæ dixit. Referebat enim, inquit, ille, quomodo diuina vis ad omnia pertingeret, & ad omnia incomprehensè ac sine mixtione permearet: non enim ita continetur ab aliquo, vt alibi non prodeat. Et iterùm, omnibus est occultus ob duas has causas, quòd nimirum ab omnibus superessentialiter exemptus sit, & dissimilis; (simile autem à simili cognoscitur) & occultè prouidẽtias suas transfundat; (quis enim nouit sensum Domini?) vt meritò semper vigilemus, nescientes rationes eius, & horam quâ res quælibet vtiliter disponetur. Hanc itaque illustrationem etiam spiritalibus essentiis transmittit, verùm pro cuiusque captu, & iuxta mensuram virtutis

τὰ θεῖα, ἐκλήθη ὁ καθαίρων καὶ ἀναζωπυρῶν Ἄγγελος, διὰ τὴν τοιαύτην ἐνέργειαν, Σεραφίμ. Ὡς γοῦν ἐμπρηστὴς τὰς ἁμαρτίας κατέκαυσεν· ὡς δὲ θερμαίνων, τὴν πρὸς τὴν θείαν ὑπακοὴν ἐνήργησεν ἀναζωπύρησιν. Ἰδοὺ γὰρ ἐγώ, φησίν. Ὅθεν καὶ ἀπὸ τῆς ἐνεργείας ἐκλήθη ὁ Ἄγγελος Σεραφίμ, καὶ οὐκ ἦν εἷς τῶν περὶ τὸν Θεὸν καὶ τῆς πρώτης τάξεως.

Ἕτερος δέ τις δέδωκε λύσιν τῆς τοιαύτης ἀπορίας οὐ σφόδρα ἄτοπον. Τοῦτο δὲ οὐ πάντως πρὸς σύγκρισιν τοῦ μετρίου εἴρηκεν, ἤγουν τυχὸν, Ἄτοπον μὲν, ἀλλ' οὐ σφόδρα, ἀλλὰ μετρίως ἄτοπον. Οὐ τοῦτο, ἀλλὰ οὔτε ἄτοπον, οὔτε σφόδρα, κατὰ σχῆμα τὸ ἀπὸ κοινοῦ· καθὼς καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος ἔν τινι τῶν αὐτοῦ Λόγων διδάσκει. ὡς τό, Οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν ἃς ἐποιήσαμεν· οὐ γὰρ ἐποιήσαμεν. καὶ πάλιν, Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα, καθὼς παρὰ τῷ Εὐαγγελιστῇ Ἰωάννῃ εὕρηται. Εἶπε τοίνυν ἐκεῖνος ἀπολογίαν εὔλογον, ὅτι οὐκ ἀπεικὸς ἦν, τὸν μὲν Προφήτην ἀναχθῆναι διά τινος τῶν ἐφεστώτων ἡμῶν Ἀγγέλων. Τέως δὲ ὁ τοιοῦτος Ἄγγελος ὁ διαπλάσας τὴν τοιαύτην ὅρασιν· οὐ γὰρ γυμνὰ πράγματα καὶ οὐσίας οἱ Προφῆται ἑώρων, ἀλλ' αἰνίγματα καὶ σύμβολα παρὰ τῶν Ἀγγέλων διαπλαττόμενα. Ὁ Ἄγγελος τοίνυν ἐκεῖνος ὁ τὸν Θεολόγον μυῶν, ἀνῆγε τοῦτον ἐπὶ Θεὸν, καὶ ἐπὶ τὴν πρώτην Ἱεραρχίαν τὴν μετὰ Θεὸν, δηλονότι τὰ Σεραφίμ· ὥστε πάλιν ἡ ὁδηγία, παρὰ τοῦ Ἀγγέλου ἦν τοῦ ἀνάγοντος. Καὶ λέγει ὁ Ἅγιος, Μήποτέ ἐστιν ἀληθὴς οὗτος ὁ λόγος. Πῶς δὲ ἀληθὴς, ἀποδείκνυσι τοῦτο ἀπὸ τῆς τοῦ εἰπόντος ἐξηγήσεως. Ἔλεγε γὰρ ἐκεῖνος, φησὶν, ὡς ἡ θεία δύναμις ἐπὶ πάντα χωρεῖ, καὶ διὰ πάντων διήκει ἀσχέτως καὶ ἀκρατήτως· οὐδὲ γὰρ κατέχεταί τινι, ὡς μὴ ἑτέρωσε φοιτῆσαι. Καὶ πάλιν, πᾶσίν ἐστιν ἀφανὴς διὰ δύο τινὰς αἰτίας, ὅτι τε ὑπερουσίως ἐξῄρηται πάντων, καὶ ἀνόμοιός ἐστι (τὸ ὅμοιον δὲ τῷ ὁμοίῳ γινώσκεται) καὶ ὅτι κρυφίως διαπέμπει τὰς προνοίας αὐτῆς, (τίς γὰρ ἔγνω νοῦν Κυρίου;) ἵνα ἴσως πάντοτε γρηγορῶμεν, οὐκ εἰδότες τοὺς λόγους αὐτῆς, καὶ τὴν ὥραν καθ' ἣν συμφερόντως ἕκαστον διοικηθήσεται. Ταύτην οὖν τὴν φωτοδοσίαν καὶ ταῖς νοεραῖς οὐσίαις διαπέμπει, πλὴν ἀναλόγως καὶ κατὰ τὸ μέτρον τῆς τῶν δεχομένων δυνάμεως,

πρῶτον ταῖς πρωτίσταις, καὶ δι' ἐκείνων ταῖς ὑποβεβηκυίαις· ὃ δὴ καὶ δι' οἰκείου καὶ αἰσθητοῦ παραδείγματος σαφηνίζει, ἀποδέοντος μὲν πάντη πρὸς τὰ λεγόμενα, τέως δὲ γνωρίμου ἡμῖν. Ὑπόθου γὰρ ἡλιακὴν ἀκτῖνα· αὕτη διαδίδοται εἰς πρώτην ὕλην διειδεστέραν, ὕελον τυχὸν, δι' οὗ τινος ὑέλου ἀναλάμπει ἐμφανέστερον. Πῶς ἐμφανέστερον; ἡμῖν δηλονότι, οὐ συγκριτικῶς πρὸς τὴν προτέραν ἔλλαμψιν, συμμέτρου δηλαδὴ γινομένης τῆς ὄψεως εἰς τὸ τὸ φῶς παραδέξασθαι· τὸ γὰρ πολὺ φῶς μᾶλλον τὰς ὄψεις ἀμαυροῖ, εἰ τύχοι ἀσύμμετρον ὂν τοῖς ὑποδεχομένοις αὐτὸ ὀφθαλμοῖς. Διαδίδοται καὶ ταῖς παχυτέραις ὕλαις, καὶ διὰ τὴν ἐκείνων ἀνεπιτηδειότητα, ἣν ἔχουσι πρὸς τὴν τῆς φωτοχυσίας διαπόρθμευσιν, καὶ ἀμυδρὰ γίνεται, καὶ κατὰ μικρὸν πρὸς ἄλλα ἀδιάδοτος γίνεται. Λάβε μοι καὶ ἑτέραν θεωρίαν ἐκ τοῦ πυρός· Ἡ τοῦ πυρὸς θερμότης μᾶλλον διαδίδοται εἰς τὰ δεκτικώτερα, καὶ πρὸς τὴν θέρμην εὔεικτα καὶ εὐάγωγα· πρὸς δὲ τὰς ἀντιτύπους οὐσίας, ὡς τοὺς ἀδάμαντας, ἢ ἐναντίας, ὡς τὸ ὕδωρ, ἢ ὀλίγον ἢ οὐδὲν ἴχνος ἀναφαίνεται τῆς πυρώσεως· καὶ τὸ τούτου πλέον, ὅτι τοῖς μὴ συγγενέσιν, ἤγουν τυχὸν τῷ ὕδατι (τὸ γὰρ ὕδωρ, ψυχρὸν καὶ ὑγρὸν, τὸ δὲ πῦρ, θερμὸν καὶ ξηρὸν) δι' ἄλλων οἰκείως ἐχόντων πρὸς τὴν θέρμην, δηλονότι ἀγγείου, προσβάλλει πρῶτον. Πρῶτον δὲ εἶπεν, οὐχ ὅτι ἀμέσως, ἀλλὰ διὰ τῶν πρώτων, προσβάλλει τοῖς μὴ συγγενέσι πρῶτον, πρὸς τὰ μετὰ ταῦτα τυχὸν θερμαινόμενα· πυρώδη γὰρ πρῶτον ποιοῦσα τὰ ποσῶς συγγενῆ, δι' ἐκείνων καὶ τὰ μὴ συγγενῆ θερμαίνει. Κατὰ τὸν αὐτὸν οὖν φυσικὸν λόγον, νόει καὶ τὰ ὑπερφυῆ· ἡ πάσης γὰρ εὐκοσμίας ταξιαρχία, ὁ Θεὸς, τὴν τῆς αὐτοῦ φωτοδοσίας λαμπρότητα, περιφανῶς ταῖς ὑπερβεβηκυίαις ἀναφαίνει κατὰ χύσιν ἄφθονον καὶ πανθαύμαστον, καὶ διὰ τούτων μετέχουσι τῆς ἀκτῖνος τὰ δεύτερα. Αἱ γὰρ ὑπερβεβηκυῖαι ἐπιγνοῦσαι πρώτως τὸν αὐτῶν δημιουργὸν, καὶ τῆς ἐκείνου καλλονῆς ἐφιέμεναι, πρωτουργοὶ γενέσθαι κατηξιώθησαν τῆς θεομιμήτου ἐνεργείας τε καὶ δυνάμεως· πρώτως γὰρ δι' αὐτῶν αἱ μετ' αὐτὰς τὴν ἔλλαμψιν δέχονται, καθὼς καὶ αὗται παρὰ τοῦ Θεοῦ ταύτην δέχονται· ἀνατείνουσι γὰρ τὰς ὑπ' αὐτὰς ἀγαθοειδῶς καὶ δίχα παντὸς φθόνου (ἀγαθῷ γὰρ οὐδεὶς ἐγγίνεται φθόνος, κατὰ τὸν Πλάτωνα) πληρεστάτως μετα-

eorum qui illam recipiunt, primum nempe primis, & per illos inferioribus: vti etiam proprio ac sensibili exemplo declarat, quod iis quidem quæ dicuntur non satis congruit, nobis tamen notum est. Propone enim radium solarem: hic traiicitur in primam materiam pellucidiorem, vitrum v. g. per quod clariùs affulget. Quomodo clariùs? nobis videlicet, minimè factâ comparatione cum priori illustratione, sed cum proportione visus ad lumen recipiendum: siquidem lux copiosa visum potiùs obtundit, si non sit commensa oculis se excipientibus. Distribuitur etiam materiis crassioribus, & propter ineptitudinem, quam habent ad illustrationem traiiciendam, & obscura fit, eoque sensim contrahitur, vt distribui aliis non possit. Accipe & aliam ab igne contemplationem: Calor ignis magis se diffundit in ea quæ ipsius sunt capaciora, & ad calorem facilè cedunt & adducuntur: verùm in naturis illi reluctantibus, vt adamantis, vel contrariis, vt aquæ, vel nullum aut exile efficacitatis eius igneæ vestigium apparet: quodque hoc maius est, ad ea quæ non sunt cognata, v. g. aquam, (nam aqua frigida & humida est, ignis verò calidus & siccus) per alia quę illi sunt cognata, v.g. per vas, primùm accedit. Primùm autem dixit, non quòd immediatè, sed per ea quæ prima sunt, accedat primùm ad ea quæ non sunt cognata, ad ea postmodum v. g. calefacienda: primùm enim ignita faciendo illa quę quoquo modo cognata sunt, per eadem etiam quæ non sunt cognata calefacit. Secundùm hanc itaque rationem naturalem, ea quoque quæ supra naturam sunt cōsidera: Deus enim omnis rectę ordinationis ordinisq; principatus, illustrationis suæ splendorem primordialiter, luculentâ & admirandâ fusione supremis illis mentibus manifestat, & per illas reliquæ deinceps istum radium participant. Hæ enim supremę cùm primùm auctorem suum agnoscerent, pulchritudinisq; eius desiderio tenerentur, hoc etiam assecutæ sunt, vt primæ ad diuinæ potestatis atque actionis imitationem peruenirent: sequentes enim primùm per ipsas illustrationem accipiunt, quemadmodum ipsæ à Deo illam accipiunt; quoniam his eam benignè & absque vllâ inuidiâ expandunt, (bono enim nullo inest inuidia, vt Plato ait) plenissimè splendorem suum transfundentes,

PARAPHRASIS PACHYMERÆ.

Similitudo à luce & igne.

PARAPHRASIS PACHYMERÆ.

quamuis ipsæ tantum, quantum capiunt, accipiunt. Quod etiam reliquis ad postremas vsque vsuuenit. Est igitur omnium quæ illustrantur illuminandi principium Deus, naturâ quidem & reuerà propriè vt fons lucis, & per se lux & auctor omnibus vt & sint, & ipsum lumen videant; ex instituto autem, & secundùm gratiam Dei imitatione ex parte vna alteri, prima sequenti, dum per ipsam ad illam transit illustratio; hoc vtique deriuandi vocabulo vsus per metaphoram, à canalibus per quos aqua transit. Porrò quòd quæ sua sunt agant, & incessanter in Deum intendant, & in semet ipsi denuò colligantur, illud quidem affectu, hoc verò attentione ac reuerentiâ, vocari possit virtus, quæ Deum imitatur. Quin & ordinem quoque vt alius in alio obseruat, iuxta illud, Viuit in me anima tua, id est doctrina tua, eiusque communicatio. Verùm quidem illud ex instituto sic se habet, at non omnino per accidens ita aliquid vocari posset: nam accidens in subiecto est; sed illa sunt incomposita & materiæ expertia, speciesque illorum vitæ, non sicut in materiâ, sunt. Supremam igitur cælestium intelligentiarum dispositionem reliquæ cælestes essentiæ, huc vsque post Deum diuinæ cognitionis imitationisque suæ principium esse censent, quòd per illas in ipsas illustratio deriuetur: quapropter etiam omnem actionem suam, ad Deum quidem vt principem & auctorem referunt, deinde verò post ipsum ad primas illas mentes, tamquam quæ primæ in semetipsis diuinas imitationes & exhibeant & doceant. Ceterùm primus ille ordo qui Seraphim est, reliquis magis in se igneam continet seu sapientię fusionem, atque insuper scientiæ diuinarum illustrationum peritiam (scientia enim ad res scibiles refertur) Thronorumque proprietatem, quæ nimirum patulam ad Deum intelligentiam habet, quod Dei susceptio & est & appellatur. Ordo qui hunc sequitur istiusmodi quidem virtutes participat, sed inferiori gradu, & cum respectu ad priores, per quos, tamquam diuinæ imitationis primicerios, ad deiformitatem pro captu suo promouentur: quare etiam primis illis, tamquam præpositis suis, post Deum acceptas ferunt proprietates istas quarum participes facti sunt.

Quomodo primis Angelis sequentium functiones attribuantur.

διδοῦσαι τῆς αἴγλης, κἀν ἐκεῖναι, ὅσον χωροῦσι, δέχωνται. Τοῦτο γίνεται καὶ ἐπὶ ταῖς ἑτέραις ἕως καὶ τῶν ἐσχάτων. Ἔστιν οὖν ἅπασι τοῖς φωτιζομένοις, ἀρχὴ τοῦ φωτίζεσθαι ὁ Θεός, φύσει καὶ ὄντως κυρίως ὡς φωτὸς πηγή, καὶ αὐτοφῶς, καὶ αἴτιος πᾶσι καὶ τοῦ εἶναι, καὶ τοῦ ὁρᾶν, αὐτὸ δὴ τὸ φῶς· θέσει δὲ καὶ κατὰ χάριν θεομιμήτως κατὰ μέρος μία τῇ ἑτέρᾳ, ἡ πρώτη τῇ μετ' αὐτήν, ἐν τῷ δι' αὐτῆς εἰς ἐκείνην τὴν ἔλλαμψιν διέρχεσθαι, ὃ δὴ ἐποχετεύεσθαι εἶπεν, ἀπὸ μεταφορᾶς τοῦ διὰ σωλήνων διερχομένου ὕδατος. Τὸ δὲ, τὰ οἰκεῖα ἐνεργεῖν, καὶ ἀπαύστως ἀνατετάσθαι πρὸς τὸν Θεόν, καὶ εἰς ἑαυτὰς συστέλλεσθαι πάλιν, τὸ μὲν τῇ ἐφέσει, τὸ δὲ τῇ προσοχῇ καὶ τῇ εὐλαβείᾳ, τοῦτο ἂν κληθείη θεομίμητος ἀρετή. Τάξιν δὲ ὅμως τὴν ὡς ἄλλου ἐν ἄλλῳ διαφυλάττει· ὡς τὸ, Ζῇ ἐν ἐμοὶ ἡ ψυχή σου, ἀντὶ τοῦ, ἡ διδασκαλία σου, καὶ ἡ ταύτης μετάδοσις. Τέως δὲ τὸ μὲν θέσει ἐστὶν ἐκεῖ, τὸ δὲ συμβεβηκὸς οὐ πάνυ τι κληθείη· τὸ γὰρ συμβεβηκὸς ἐν ὑποκειμένῳ ἐστίν· ἀσύνθετα δὲ καὶ ἄϋλα ἐκεῖνα, καὶ τὰ εἴδη αὐτῶν, ζωαὶ οὐχ ὡς ἐν ὕλῃ εἰσί. Τὴν γοῦν ἀκροτάτην διακόσμησιν αἱ λοιπαὶ οὐράνιαι οὐσίαι, τέως μετὰ Θεὸν ἀρχὴν ἡγοῦνται τῆς θεογνωσίας καὶ τῆς θεομιμησίας αὐτῶν, ὡς δι' ἐκείνων εἰς αὐτὰς διαδιδομένης τῆς ἐλλάμψεως· διὸ καὶ πᾶσαν ἐνέργειαν ἐπὶ Θεὸν μὲν ἀναφέρουσιν, ὡς εἰς ἀρχηγὸν καὶ αἴτιον, αὖθις δὲ μετ' αὐτὸν ἐπὶ τοὺς πρώτους, ὡς πρώτους εἰς αὐτοὺς τὰ τῆς θεομιμησίας ἀναφαίνοντας καὶ διδάσκοντας. Λοιπὸν ἡ πρώτη τάξις, μᾶλλον τῶν ἄλλων, τὰ προσόντα ἑαυτῇ ἔχει τὸ ἐμπύριον, ὅπερ ἐστὶ τῶν Σεραφίμ, τὴν τῆς σοφίας χύσιν, ἔτι δὲ καὶ τὸ γνωστικὸν τῆς ἐπιστήμης τῶν θείων ἐλλάμψεων (ἡ ἐπιστήμη γὰρ πρὸς τὰ ἐπιστητά ἐστι) καὶ τὴν τῶν Θρόνων ἰδιότητα, τὸ ἀνεῳγμένην δηλονότι τὴν περὶ τοῦ Θείου νόησιν ἔχειν, ὃ δὴ θεοδοχία ἐστί τε καὶ ὀνομάζεται. Ἡ δὲ μετ' αὐτὴν τάξις μετέχει μὲν τῶν τοιούτων δυνάμεων, ὑφειμένως δὲ, καὶ πρὸς τὰς πρώτας ὁρῶσαι, δι' αὐτῶν ὡς πρώτως ἠξιωμένων τῆς θεομιμησίας ἐπὶ τὸ θεοειδὲς ὡς ἐφικτὸν ἀνάγονται· ἀνατιθέασι γοῦν ταῖς πρώταις ὡς Ἱεράρχαις μετὰ Θεὸν, τὰς ἰδιότητας ἐκείνων, ὧν αὗται ἐν μετουσίᾳ γίνονται.

Ἔλεγε γοῦν ὁ ταύτην τὴν λύσιν ποιούμενος (οἶμαι δὲ, ὁ μέγας οὗτος Ἱερόθεος, ἢ εἴ

§. 4. Aiebat itaque qui hanc solutionem tradiderat (puto autem sanctum Hierotheum

τις

PARAPHRASIS PACHYMERÆ.

τις ἄλλος κατ' ἐκεῖνον) ὅτι ἡ μὲν ὅρασις ἐκείνη ὑπεδείχθη τῷ Προφήτῃ δι' ἑνὸς τῶν Ἀγγέλων, ἀναχθέντι παρὰ τῆς χειραγωγίας ἐκείνου εἰς τὴν θεωρίαν ἐκείνης, καθ' ἣν ἑώρα τὰς ὑπερτάτας οὐσίας ὡς ἐν συμβόλοις ἑξαπτερύγους, ὑπὸ Θεὸν (ὅτι μέγα ἦν τὸ τοῦ καθημένου ὑπεξῃρημένον) καὶ μετὰ Θεοῦ (οὐ γὰρ ἦσαν πρὸ ἐκείνων ἕτεραι τάξεις) καὶ περὶ Θεὸν, ὅτι κύκλῳ ἵσταντο. Τὸ δὲ ἱδρυμένον τῶν τάξεων, τὸ πρὸς τὰ κάτω ἀκλινὲς δηλοῖ καὶ ἀμετακίνητον. Ἑώρα δὲ καὶ τὴν ἐξῃρημένην ἀκρότητα ἐν μέσῳ τούτων ὑφιδρυμένην· κἀντεῦθεν ἐκ τῆς διὰ τῶν συμβόλων ὁράσεως, εἰς διδασκαλίαν ἀνήγετο, ὅτι ἀσυγκρίτως κατὰ πᾶσαν ὑπεροχὴν καὶ ὑπερουσίως τὸ Θεῖον ὑπέρκειται πάσης ὁρατῆς καὶ ἀοράτου οὐσίας· ἐμάνθανεν, ὅτι καὶ πάντων ἐστὶν ἐξῃρημένον τὸ Θεῖον, ὡς δεσπότης δούλων, καὶ ποιητὴς κτισμάτων· καὶ οὐκ ἐμφερὲς, μὴ μόνον τοῖς ἄλλοις, ἀλλ' οὐδὲ ταῖς πρώταις αὐταῖς οὐσίαις· ἐκεῖνο μὲν, ὅτι τὸ μὲν ἐπὶ θρόνου ἑώρα, τὰς δὲ τάξεις μετὰ φόβου ἱσταμένας· τοῦτο, ὅτι τὰς πρώτας εἶδε τάξεις. Εἰ γοῦν ταῖς πρώταις οὐκ ἦν ἐμφερὲς τὸ Θεῖον, ἐπὶ τοῖς δευτέροις τί ἂν ἐννοοῖτό τις; Καὶ τρίτον ἐμάνθανε, τὸ πάντων ἀρχὴν καὶ αἰτίαν εἶναι ἀδιάλυτόν τε καὶ ἀναλλοίωτον, ὑφ' ἧς καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι κἀκείναις ἐστί. Πόθεν δὲ καὶ τοῦτο κατεμάνθανεν; ἐκ τοῦ τὰ πάντα πρὸς αὐτὸν ἀφορᾶν, καὶ πάντα πρὸς αὐτὸν ἀνατείνεσθαι, πανευλαβῶς πάντῃ ἀποπληροῦντα τὸ ἐπινίκιον. Πῶς μετὰ τὴν περὶ τὸ Θεῖον θεωρίαν, εἶτα τὰς θεοειδεῖς δυνάμεις τῶν Σεραφὶμ κατεμάνθανε, καὶ οὐ κατὰ τάξιν ἀνήγετο; Καὶ ἔστιν εἰπεῖν, ὅτι τὸ ὑπερβάλλον τῆς δόξης τοῦ καθημένου πεποίηκε τοῦτον ἐκεῖσε πρώτως ἀνατεθῆναι, εἶτα μεθ' ὃ ἔμαθε τὸ μέσον τοῦ δεσπότου καὶ τῶν δούλων τὸ διάφορον, ἐμυεῖτο τὰς δυνάμεις τῶν Σεραφὶμ, ὅτι δυνάμεις ἐμπύριοί εἰσι, κατὰ τὴν αὐτῶν ἐπωνυμίαν, ὡς μικρὸν ὕστερον ὁ Ἅγιος εἴποι καὶ ὑφηγήσεται ἐν τῷ ιε. κεφαλαίῳ. Ἐμάνθανε τὴν τῶν πτερῶν ἑξαπλῆν ἱεροπλαστίαν, ὅτι καθὼς καὶ πρότερον ἔλεγεν, ὡς πᾶς νοῦς καὶ πρώτας, καὶ μέσας, καὶ τελευταίας ἔχει τάξεις. Ἦν οὖν κἀκεῖσε ἡ τοιαύτη τριττὴ τάξις ἐν τῇ ὑπερτάτῃ καὶ ἀπολύτῳ ἀνατάσει· αἱ γὰρ δύο πτέρυγες ἀπόλυτοι κατεφαίνοντο. Ἀλλὰ καὶ τὸ ἀπερόπουν καὶ πολύπουν αὐτῶν, καὶ τό, τοῖς μὲν δυσὶ πτεροῖς ἀποδια-

fuisse, vel si quis alius illi secundus sit) visionem quidem illam exhibitam Prophetæ per aliquem Angelum, cuius manuductione ad istam contemplationem fuerat euectus, in quâ supremas illas essentias, quasi in symbolis, sex alas habentes vidit infra Deum (quoniam perquam eximia erat maiestas sedentis;) & iuxta Deum (quia non erant alij ordines priores iis;) & circa Deum, quoniam in circuitu stabant. Quòd autẽ ordines illi firmati essent, designat illos erga inferiora esse inflexibiles & immobiles. Adhæc vidit eminentem verticem in medio eorum desuper firmatum: ex quorum symbolorum visionibus didicit, diuinum Numen secundùm omnem supernaturalem excellentiam, sine comparatione antecellere visibilem omnem & inuisibilem naturam: didicit, ab omnibus insuper diuinum Numen exemptum esse, tamquam dominum à seruis, & creatorem à creaturis: & non solùm aliis, sed ne primis quidem substantiis simile existere; tum quia illud in throno ordinesque cum tremore circumstantes vidit, tum quia primos ordines vidit. Si itaque diuinum Numen ne primis quidem simile existebat, quid cogitabit quis de sequentibus? Tertiò quoque didicit, Deum omnium esse principium & causam, indissolubilem & immutabilem, ex quâ tam esse quàm benè esse illis obtigit. Vnde autem & illud didicit? ex eo quòd omnia ad ipsum spectent, omniaq; ad eum tendant, vt qui benignè omnino victoriæ præmium tribuat. Quomodo post contemplationem circa Numen diuinum deiformes deinde Virtutes ac Seraphim didicit, & non secundùm ordinem ista patefacta sunt? Ac dicere liceat, quòd supereminens gloria sedentis ipsum fecerit illìc primùm obtutum figere, ac deinde, postquam id quod Domini erat medium, ac ministrorum diuersitatem didicerat, virtutes Seraphim edoctum esse; quoniã virtutes igneæ sunt, iuxta denominationem suam, vti paulò pòst hic Sanctus tradidit & explicuit capite decimo quinto. Didicit quoque senarum alarum sacram fictionem, quemadmodum etiam antè dixerat, mentem omnem & primos, & medios, & postremos ordines habere. Erat itaque illic etiam istiusmodi triplex ordo in supremâ & absolutâ intentione: siquidem duæ alæ solutæ apparebant. Quin & carentia pedum, & multitudo pedum eorum, ac quòd dua-

Quid didicerit Isaias ab Angelo.

PARAPHRASIS PACHYMERÆ.

duabus quidem alis absconderent ac tegerent pedes suos, duabus item aspectum facierum suarum abderent, duabus verò mediis semper mouerentur, hæc, inquam, ab ipso visa ad notitiam eam adducebant, per multas quidem facies ipsi declarando vim multiuagam plurimaque cernendi facultatem; per obuelationem verò, eam quam exhibent reuerentiam in sublimiorum profundiorumque mysteriorum audaci & inscrutabili inuestigatione (sublimiorum quidem, quia facies, profundiorum verò, quoniam pedes tegunt) per continuam verò motionē, altiuolantis & incessabilis Dei imitationis operationes. Quin & laudis illud canticum, quod à Deo incipit, & in Deum
Isa. 6, 3. desinit, *Sanctus, sanctus, sanctus*, Propheta edocebatur ab Angelo, ipsi eiuscemodi sacram notitiam communicante: nam istiusmodi scientiam ipse primus à præcessoribus suis accipiens, Prophetæ tradebat. Adhæc ipsum edocebat, Dei participationem quoquo modo puris expiationi esse. Vnde verò hoc docebat? ex iis vnde Seraphim ipsum expiabat. Qui enim purus est aliter mundare non potest, nisi ipse plenus sit munditiei. Quomodo autem communicatio diuinæ illustrationis quoquo modo puris est expiatio? quia non fas est aliter diuinæ lucis compotem fieri, nisi quis particeps sit diuinæ expiationis, & nisi quoquo modo iam à passionum materiæque sordibus sit remotus. Hoc ipso enim quo Propheta compungebatur ac deplorabat, se immundum esse, & immunda labia habere, & in medio populi immundi habitare, vidit Dominum sabaoth; quia ipsi hoc dicenti partialis quædam expiatio existebat, quocircà etiam particeps fit perfectioris expiationis. Porrò hæc, exemptis istis causis, expiatio scilicet est vel participatio: neq; enim vt in hominibus, sic & in rebus incorporeis & omnino spiritalibus iis mentibus perficitur efficitúrve expiatio, sed haud simplici ratione, at per modum mysticę initiationis, iis quæ circa Deum sunt, primisq; essentiis manifestior accidit: hoc autem fit, quia magis se proximis manifestat. In secundis verò, vel postremis, vel etiam spiritalibus nostris viribus, secundùm cuiusque ordinem quodammodò collecta magis & contracta conspicitur, dum diuina illustratio pro interuallo distantiæ, quâ ad Deum acceditur, suam quodammodò

στέλλεσθαι καὶ σκέπεσθαι τὴν ὑπὲρ τοὺς πόδας, τοῖς δὲ δυσὶ τὴν ὑπὲρ τὰ πρόσωπα θεωρίαν, τοῖς δὲ μέσοις ἀεὶ κινεῖσθαι, ταῦτα δὴ τὰ παρ' ἐκείνου ὁρώμενα, εἰς γνῶσιν ἀνῆγον αὐτὴν, δηλουμένης αὐτῷ διὰ τούτων, διὰ μὲν τὸ πολυπρόσωπον, τῆς πολυπόρου καὶ πολυθεάμονος δυνάμεως· διὰ δὲ τὸ σκέπεσθαι, τῆς εὐλαβείας, ἣν ἔχουσιν εἰς τὴν τῶν ὑψηλοτέρων καὶ βαθυτέρων αὐθάδη καὶ ἀνέφικτον ἔρευναν (τῶν μὲν ὑψηλοτέρων, διὰ τὸ τὰ πρόσωπα· τῶν δὲ βαθυτέρων, διὰ τὸ τοὺς πόδας σκέπεσθαι) διὰ δὲ τὸ ἀεικίνητον, τῆς ὑψιπετοῦς καὶ ἀκαταλήκτου θεομιμήτου ἐνεργείας. Ἀλλὰ καὶ τὴν ὑμνῳδίαν ἐκείνην τὴν ἐκ Θεοῦ ἀρχομένην καὶ εἰς Θεὸν λήγουσαν, τὴν Ἅγιος, ἅγιος, ἅγιος, ἐμυσταγωγεῖτο ὁ Προφήτης, τοῦ Ἀγγέλου μεταδιδόντος αὐτῷ τῆς τοιαύτης ἱερᾶς γνώσεως· τὴν γὰρ τοιαύτην γνῶσιν αὐτὸς πρῶτος διὰ τῶν πρὸ αὐτοῦ δεξάμενος, τῷ Προφήτῃ παρέπεμπε. Πρὸς τούτοις, ἐδίδασκεν αὐτὸν καὶ τοῦτο, ὅτι ἡ τοῦ Θεοῦ μετουσία τοῖς καθαροῖς ὁπωσοῦν κάθαρσίς ἐστιν. Ἐκ τίνων δὲ τοῦτο ἐδίδασκεν; ἐξ ὧν ὁ Σεραφὶμ αὐτὸν ἐκάθαιρεν. Ὁ γὰρ καθαρὸς, ἄλλως οὐκ ἔχει καθαίρειν, εἰ μὴ αὐτὸς πληρεστάτως ἔχει τὴν κάθαρσιν. Πῶς δέ ἐστι τοῖς ὁπωσοῦν καθαροῖς ἡ μετουσία τῆς θεϊκῆς διαυγείας κάθαρσις; ὅτι ἄλλως οὐκ ἔστι μετασχεῖν τινα τοῦ θείου φωτὸς, ἢ τῆς θείας καθάρσεως, εἰ μή γε ποσῶς ἔξω τοῦ ἐμπαθοῦς καὶ ὑλικοῦ ῥύπου πολιτεύεται. Αὐτὸ γὰρ τὸ, τὸν Προφήτην κατανυγῆναι καὶ σχετλιάσαι, ὅτι ἀκάθαρτος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, καὶ μέσον ἀκαθάρτου λαοῦ κατοικῶν, εἶδε τὸν Κύριον σαβαὼθ, οἷον μερική τις κάθαρσις ἐγεγόνει τῷ λέγοντι, διὰ τοῦτο καὶ ἐν μετουσίᾳ γίνεται τῆς τελειοτέρας καθάρσεως. Αὐτὴ δὲ, ἡ κάθαρσις δηλαδὴ, ἡ μετουσία, ἐξῃρημέναις αἰτίαις· οὐ γὰρ ὡς ἐπὶ τῶν ἀνθρώπων ἡ κάθαρσις, οὕτω καὶ ἐπὶ τῶν ἀσωμάτων εἰς πάντας τοὺς νοεροὺς νόας τελεσιουργουμένη, οἱονεὶ γινομένη, ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ κατὰ λόγον μυστικῆς τελετῆς, ταῖς περὶ αὐτὴν καὶ πρωτίσταις οὐσίαις ἐκφανεστέρα πως ἐστί· τὸ δὲ ἐστὶν, ὅτι μᾶλλον ἑαυτὴν ἐκφαίνει τοῖς προσεχέσιν. Ἐπὶ δὲ τῶν δευτέρων, ἢ τῶν ἐσχάτων, ἢ καὶ ἐπὶ τῶν νοερῶν ἡμῶν δυνάμεων, κατὰ τὴν ἑκάστου τάξιν συνῃρημένη πως μᾶλλον καὶ συνεσταλμένη θεωρεῖται, πρὸς τὴν οἷον εἰς μῆκος ἀπόστασιν τῆς πρὸς τὸν Θεὸν πλησιάσεως, συνάγουσα

οἱονεὶ

οἱονεὶ αὐτὴ ἡ θεία ἔλλαμψις τὴν οἰκείαν φανέρωσιν πρὸς τὸ ἑνιαῖον καὶ ἁπλοῦν αὐτῆς ἄγνωστον. Ἄγνωστος γάρ ἐστιν ὁ Θεὸς, οὐ διὰ ποικιλίαν συλλογισμῶν ἀγνοουμένην ἡμῖν, ἀλλὰ κατὰ ἑνιαίαν τινὰ καὶ πρὸς τὰ καθ' ἡμᾶς καθὲν καὶ καθάπαξ ἀκατάληπτον ἀγνωσίαν. Κατὰ τοῦτο λέγεται ὅτι καὶ ἀναβάλλεται φῶς ὡς ἱμάτιον, οἱονεὶ ἀναστέλλει τὸ φῶς προνοητικῶς, ἵνα χωρητὸν τῇ ἕξει τῶν ὑποδεεστέρων γένηται, ὃ δὴ ἐλλάμπει τοῖς καθ' ἕκαστον δευτέροις διὰ τῶν πρώτων· καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἐκ τοῦ κρυφίου τὸ φῶς ἐμφανίζεται καὶ τοῖς ἑτέροις, ἀλλὰ διὰ τῶν πρώτων δυνάμεων. Τοῦτο γοῦν καὶ ὁ Προφήτης ἐδιδάσκετο (ὃν καὶ Θεολόγον φησὶν, ἢ ὡς μύστην τῶν κρυφίων, ἢ ὡς Θεοῦ λόγους λέγοντα) παρὰ τοῦ Ἀγγέλου τοῦ πρὸς τὸ φῶς τοῦτον ἄγοντος, ὅτι καὶ ἡ κάθαρσις καὶ πᾶσα ἐνέργεια θεία δι' αὐτῶν ἐνεργουμένη, ἂν καὶ παρὰ τούτων τισὶν ἐπιχορηγῶνται. Ἀλλ' οὖν εἰσὶ πρῶται οὐσίαι καὶ προσεχεῖς, δι' ὧν καὶ αὐταῖς τὰ τοιαῦτα παρὰ τοῦ Θεοῦ ἐπιχορηγοῦνται κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου τάξεως· διὸ καὶ τὴν καθαρτικὴν ἰδιότητα, ἀλλὰ τὴν οἱονεὶ διά τινος πυρώδους ἐνεργείας (εἰσὶ γὰρ καὶ ἄλλοι τρόποι καθάρσεων τοῖς Σεραφὶμ) ὡς καὶ τὴν ἐπωνυμίαν ἔχουσιν, εἰκότως μετὰ Θεὸν ἀνατέθεικεν. Οὐδὲν οὖν ἄτοπον, εἰ καθαίρειν τὸν Προφήτην ὁ Σεραφὶμ λέγεται. Ὅρα γὰρ καὶ ἐπὶ Θεοῦ, ὅτι παρ' ἄλλων καθαιρόμενοι, λεγόμεθα παρὰ Θεοῦ καθαίρεσθαι, ἐν τῷ εἶναι τοῦτον πᾶσαν αἰτίαν καθάρσεως. Μᾶλλον δὲ ἵνα χθαμαλωτέρῳ ἐκ τῆς καθ' ἡμᾶς Ἱεραρχίας χρήσωμαι παραδείγματι, καθάπερ ὁ καθ' ἡμᾶς Ἱεράρχης, διὰ τῶν αὐτοῦ λειτουργῶν, ἤτοι Διακόνων ἢ Ἱερέων καθαίρων ἢ φωτίζων, αὐτὸς λέγεται καθαίρειν καὶ φωτίζειν, τῶν δι' αὐτοῦ καθιερωμένων τάξεων, δηλαδὴ χειροτονουμένων, ἐπ' αὐτὸν ἀνατιθεισῶν τὰ τῆς οἰκείας ἐνεργείας· οὕτω καὶ ὁ τὴν καθαρτικὴν ἐπιστήμην τοῦ Θεολόγου τελετουργῶν Ἄγγελος, ἐπὶ τὸν Θεὸν μὲν ὡς αἴτιον, ἐπὶ δὲ τὸν Σεραφὶμ ὡς πρώτως τὰ τῆς καθάρσεως δεχόμενον καὶ ἐκπέμποντα, ἀνατίθησιν, οὐ σφετεριζόμενος τὴν τιμὴν καὶ οἷον φιλοτιμούμενος (πόρρω γὰρ τὰ θεῖα τῆς τοιαύτης φιλοτιμίας) ἀλλ' οἷον μετ' εὐλαβείας Ἀγγελικῆς ἐκδιδάσκων, καὶ λέγων πρὸς τὸν Προφήτην· Ὅτι τῆς εἰς σε παρ' ἐμοῦ γινομένης καθάρσεως, ἀρχὴ μέν ἐστιν ὃν ὁρᾷς ἐπὶ τοῦ ἐπηρμένου θρόνου Θεόν. Οὗτος αὐτοκάθαρσίς ἐστι καὶ οὐσία καθάρσεως, ὡς οὐσία φωτός.

colligit manifestationem ad ipsiusmet incognitam vnitatem ac simplicitatem. Ignotus enim est Deus, non propter varietatem ratiocinationum nobis ignotam, sed secundùm vnam aliquam in nobis simpliciter & absolutè incomprehensibilem ignorationem. Secundùm hoc dicitur etiam induere lumen sicut vestimentum; ac si quodammodò lumen prouidentiâ suâ cohiberet, vt ab inferioribus capi posset, dum videlicet singulis sequentium illucet per primos; &, si summatim dicere oportet, ex occulto lumen manifestatur etiam aliis, sed per virtutes primas. Hoc itaq; etiam Propheta docebatur (quem & Theologum nominat, vel vt doctorem rerum occultarum, vel vt Dei sermones proferentem) ab Angelo qui ipsum ad lumen hoc adducebat, quomodo cùm ipsamet expiatio, tum omnis diuina operatio per ipsas effecta, ab ipsis quoque aliis suppeditetur. Sunt itaque primæ essentiæ & assiduæ, per quas etiam ipsis ista, secundùm captum cuiusq; ordinis, à Deo suppeditantur: atque adeò etiam proprietatem expiandi per igneam quasi aliquam operationem (nam & Seraphim aliam quoque expiandi rationem habent) cùm hoc nomen habeant, meritò post Deum iis attribuit. Nihil itaque absurdi est, si Seraphim Prophetam expiare dicitur. Aduerte enim, vt dum ab aliis etiam expiamur, à Deo tamen expiari dicimur, quòd is omnis expiationis causa sit. Vel potiùs, vt magis obuio è nostrâ Hierarchiâ exemplo vtar: quemadmodum apud nos Pontifex dum per Ministros aut Diaconos aut Sacerdotes expiat illuminátve, ipsemet dicitur expiare & illuminare, quòd illi ordines, quos consecrat, suas ad ipsum referant actiones; sic Angelus quoque qui Theologum expiabat, suam expiandi scientiam Deo quidem vt causæ adscribit, Seraphim verò, tamquam illi qui primo loco expiationem excipit & emittit, honorem istum sibi minimè vendicans, & quasi ambitiosè sumẽs (procul enim à diuinis istiusmodi ambitio est) sed cum Angelicâ quodammodò reuerentiâ docens ac dicens ad Prophetam: Eius quæ per me in te perficitur expiationis principium quidem est Deus, quem in throno eleuatum cernis. Hic est ipsa per se expiatio & essentia expiationis, vtpote essentia

PARAPHRASIS PACHYMERÆ.

luminis. Hic eſt qui primas eſſentias, quas circa eum vides, produxit, & iuxta ſe collocando continet, atque conſeruat ab immutatione & lapſu. Immutabiles autem cogitandæ ſunt ſecundùm eſſentiam, velut in immortalitate, in vitâ, ſecundùm quam eſſentiâ ſuâ habent vt ſint lumen, & ad extraneas aliquas cupiditates conuerti nequeant. Quòd enim in Deum extendantur, id ex eorum ſpiritali pendet libertate: quòd autem in hoc ſemper perſeuerent, opis eſt Dei. omnia enim Dei auxilio opus habent. Ipſe eſt qui etiam alios mouet ad primas eas prouidentiæ ſuæ operationes participandas, quas primi ordines ſuſcipiunt, & ad eaſdem iterùm transfundendas: hoc enim miſſionem ſeu legationem declarare dixit, qui hanc ſolutionem tradidit. Sed hic quidem eſt expiationis auctor ſcilicet Deus, poſt Deum verò is qui expiationi præpoſitus eſt Seraphim, à quo & ego expiare ſum edoctus. Hic itaque eſt Seraphim qui per me te expiat, per quem ſuas operationes ex abdito ad nos Deus ipſe produxit, qui eſt auctor expiationis. Hæc quidem ſanctus ille vir me docuit; tibi autem ipſe trado, ô Timothee, ſecũdùm imaginem quam iam tradidimus Seraphim & Angeli; tuæ autẽ ſcientiæ erit, aut alteram dictarum cauſarum admittere, & omni ambiguitate liberari, quin potiùs poſteriorem honorare tamquam probabilem, vel per te quid magis affine ac commodius reperire, vel ab alio rerum diuinarum perito addiſcere, Deo verbum ſuppeditante,
Pſal.67,12 iuxta illud, *Dominus dabit verbũ euangeliZantibus*, conciliantibus nimirum & intercedentibus diuinis Angelis, per quos omnis illuſtratio ad nos traducitur. Atq; iterùm tuæ erit ſcientiæ, dum vel à temet ipſe inuenis vel ab altero diſcis, nobis etiam Angelorum, ſi dictu fas ſit, amatoribus eiuſcemodi amabilem cõtemplationem reuelare. Conſidera autem hinc Patris huius modeſtiã, quomodo, dum docet, etiam ex parte diſcere cupiat. Etenim ſpiritus Prophetarum Prophetis ſubiiciuntur, ſecundùm illam, quę cuncta peruadit, rectam à Deo bono ac Saluatore noſtro ſtatutam ordinationem.

Οὗτος ὁ καὶ τὰς πρώτας οὐσίας ἃς περὶ αὐτὸν θεωρεῖς παραγαγὼν, καὶ τῇ περὶ αὐτὸν ἱδρύσει συνέχων, καὶ διατηρῶν πρὸς ἀῤῥεψίαν καὶ ἀμεταπτωσίαν. Ἀῤῥεπεῖς δὲ δεῖ νοεῖν αὐτοὺς, κατ' ἐκεῖνο καθ' ὅ εἰσιν, οἷον τὸ ἀθάνατον εἰς τὴν ζωὴν, καθ' ἣν οὐσίωνται) εἰς τὸ εἶναι φῶς, καὶ εἰς τὸ μὴ τρέπεσθαι εἰς ἐκφύλους τινὰς ἐπιθυμίας. Τὸ μὲν γὰρ εἰς Θεὸν ἀνατετάσθαι, τῆς αὐτῶν ἐστι νοερᾶς προαιρέσεως· τὸ δὲ εἰς ἀεὶ περὶ τοῦτο διαρκεῖν, τῆς ἀντιλήψεώς ἐστι τοῦ Θεοῦ. πάντα γὰρ δεῖται Θεοῦ βοηθείας. Αὐτός ἐστιν ὁ καὶ τοὺς ἄλλους κινῶν ἐπὶ τὰς μετουσίας τὰς πρώτας τῶν αὐτῶν προνοητικῶν ἐνεργειῶν, ἃς αἱ πρῶται τάξεις δέχονται, καὶ πάλιν αὐτὰς εἰς τὸ μεταδιδόναι· τοῦτο γὰρ δηλοῦν καὶ τὴν ἀποστολὴν, ὁ τὴν λύσιν λέγων ἐδίδασκεν. Ἀλλ' οὗτος μὲν ἐστὶν ὁ τῆς καθάρσεως αἴτιος, ὁ Θεὸς δηλονότι· μετὰ δὲ Θεὸν, Ἱεράρχης τῆς καθάρσεως ὁ Σεραφὶμ, παρ' οὗ κἀγὼ τὸ καθαίρειν ἐμυήθην. Οὗτος οὖν ἐστιν ὁ Σεραφὶμ, ὁ δι' ἐμοῦ σε καθαίρων, δι' οὗπερ ὁ δημιουργὸς τῆς καθάρσεως ὁ Θεὸς, τὰς οἰκείας ἐνεργείας, ἐκ τοῦ ἑαυτοῦ κρυφίου εἰς ἡμᾶς προήγαγε. Ταῦτα μὲν ἐκεῖνος ὁ ἱερὸς ἀνὴρ ἐδίδασκέ με· σοὶ δὲ, ὦ Τιμόθεε, ἐγὼ μεταδίδωμι, κατὰ τὴν εἰκόνα ἣν ἀρτίως ἐλέγομεν τοῦ Σεραφὶμ καὶ τοῦ Ἀγγέλου· τῆς σῆς δ' ἂν εἴη συνέσεως, ἢ θατέραν τῶν εἰρημένων δυοῖν αἰτιῶν δέξασθαι, καὶ ἀπολυθῆναι τῆς ἀπορίας· καὶ μᾶλλον τὴν ὑστέραν τιμῆσαι ὡς τὸ εὔλογον ἔχουσαν, ἢ παρ' ἑαυτοῦ τι συγγενέστερον καὶ ἁρμοδιώτερον ἐξευρεῖν, ἢ παρ' ἑτέρου πεπαιδευμένου τὰ θεῖα μαθεῖν, Θεοῦ διδόντος ῥῆμα, κατὰ τὸ, Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις, προξενούντων δηλαδὴ καὶ μεσιτευόντων καὶ τῶν θείων Ἀγγέλων, δι' ὧν πᾶσα ἔλλαμψις εἰς ἡμᾶς διαπορθμεύεται. Καὶ πάλιν τῆς σῆς εἴη ἐπιστήμης, ἐν τῷ ἢ ἀφ' ἑαυτοῦ ἐξευρεῖν, ἢ παρ' ἑτέρου μαθεῖν, ἀνακαλύψαι καὶ ἡμῖν τὴν τοιαύτην ἐραστὴν θεωρίαν, ὡς φιλαγγέλοις, εἰ οἷόν τέ ἐστιν. Ὅρα δ' ἐντεῦθεν τὸ τοῦ Πατρὸς μέτριον, πῶς διδάσκων, καὶ ἐκ μέρους ζητεῖ μαθεῖν· καὶ πνεύματα γὰρ Προφητῶν Προφήταις ὑποτάσσονται, κατὰ τὴν διήκουσαν ἐπὶ πᾶσιν εὐταξίαν παρὰ τοῦ ἀγαθοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν νομοθετουμένην.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Τί σημαίνει ὁ παραδεδομένος Ἀγγελικὸς ἀριθμός.

CAPVT XIV.

Quid significet traditus Angelorum numerus.

SYNOPSIS CAPITIS.

EX Danielis cap. 7, 10. docet, maximum esse Angelorum numerum, qui licet propriè quidem non sit infinitus, sed limitatus, maior tamen sit vt ab hominibus comprehendi poßit; soliq́ Deo cognitus, & rerum omnium corporearum numerum excedat.

ΚΑΙ τοῦτο δὲ ἄξιον, ὡς οἶμαι, νοερᾶς ἐπιστασίας, ὅτι τῶν Λογίων ἡ περὶ τῶν Ἀγγέλων παράδοσις χιλίας χιλιάδας εἶναί φησι, καὶ μυρίας μυριάδας, τοὺς παρ' ἡμῖν ἀκροτάτους τῶν ἀριθμῶν εἰς ἑαυτοὺς ἐπανακύκλουσα, καὶ πολλαπλασιάζουσα, καὶ διὰ τούτων ἐναργῶς ἐμφαίνουσα, τὰς ἡμῖν ἀναριθμήτους τῶν οὐρανίων οὐσιῶν διατάξεις. Πολλαὶ γάρ εἰσιν αἱ μακάριαι στρατιαὶ τῶν ὑπερκοσμίων νοῶν, τὴν ἀσθενῆ καὶ συνεσταλμένην ὑπερβεβηκυῖαι τῶν καθ' ἡμᾶς ὑλαίων ἀριθμῶν συμμετρίαν, καὶ πρὸς μόνης γνωστικῶς ὁριζόμεναι τῆς κατ' αὐτὰς ὑπερκοσμίου καὶ οὐρανίας νοήσεως καὶ ἐπιστήμης, τῆς πανολβίως αὐταῖς δωρουμένης ὑπὸ τῆς θεαρχικῆς καὶ ἀπειρογνώστου σοφοποιίας, τῆς πάντων ὁμοῦ τῶν ὄντων ὑπερουσίως οὔσης ἀρχῆς, καὶ αἰτίας οὐσιοποιοῦ, καὶ συνεκτικῆς δυνάμεως, καὶ περιεκτικῆς ἀποπερατώσεως.

Angeli sunt innumerabiles.

EQVIDEM & hoc spirituali commentatione dignum censeo, vt Eloquiorum de Angelis traditio millies eorum esse millia dicat, deciesque millies dena millia, summos illos quos adhibemus numeros, in seipsos glomerando ac multiplicando, quò per hos apertè declararet cælestium essentiarum ordines à nobis annumerari non posse. Multi namque sunt beati supermundanarum mentium exercitus, qui infirmam & contractam materialium nostrorum numerorum rationem penitus excedunt, sciteque definiuntur à solâ ipsorum supermundiali cælestique intelligentiâ scientiaque, quæ illis abundantissimè conceditur à Deiprincipali & infinitorum consciâ creatrice sapientiâ, quæ superessentialiter omnium simul rerum & principium, & causa substantifica, & continens virtus & complectens determinatio existit. *Dan. 7.*

ANNOTATIONES CORDERII.

Vnde proueniat quòd Angeli tanto numero sint.

EX hoc capite S. Thomas in primâ Parte, q. 50. art. 3. probat, Angelos, cùm longè perfectiores sint corporalibus creaturis, in maximâ quadam multitudine esse, omnem materialem multitudinem excedentes. Et huius rei ratio est, Quia cùm perfectio vniuersi sit illud quod præcipuè Deus intendit in creatione rerum, quantò aliqua sunt magis perfecta, tantò in maiori excessu à Deo creata sunt. Sicut au-

ANNOTATIONES CORDERII.

tem in corporibus attenditur excessus secundùm magnitudinem, ita in rebus incorporeis potest attendi excessus secundùm multitudinem. Videmus autem, corpora incorruptibilia, quæ inter corpora perfectiora sunt, quodammodò sine comparatione quoad magnitudinem excedere corpora corruptibilia (nam tota sphæra actiuorum & passiuorum est quid modicum respectu corporum cælestium.) vnde rationi consonum est, substantias immateriales excedere secundùm multitudinem substantias materiales, idque sine comparatione.

An Angelorum multitudo maior sit numero rerum corporearum.

Verùm hoc verba Dionysij non concludunt, sed tantùm, Angelorum multitudinem numerari à nobis non posse quâuis numeri multiplicatione, quâ in rebus corporeis numerandis vti consueuimus, vt centenario, millenario, &c. Hoc enim significat, cùm ait: Πολλαὶ γὰρ εἰσὶν αἱ μακάριαι στρατιαὶ τῶν ὑπερκοσμίων νοῶν, τὴν ἀσθενῆ καὶ συνεσταλμένην ὑπερβεβηκυῖαι τὴν καθ' ἡμᾶς ὑλαίων ἀριθμῶν συμμετρίαν. *Multi namque sunt beati supermundanarum mentium exercitus, qui infirmam & contractam materialium nostrorum numerorum rationem penitus excedant*, id est, breuem & paruum numerum, quo ad numerandas res vtimur. Non ergo de rebus numeratis, sed de numero ipso loquitur. Concedit tamen, ipsismet Angelis notam esse suam multitudinem, pro lumine sibi à Deo concesso.

Nota, locum Danielis cap. 7, 10. ad quem alludit, in Vulgatâ legi, *Millia millium ministrabant ei, & decies millies centena millia assistebant ei.* Septuaginta: χίλιαι χιλιάδες, id est, millies millia, siue millio, puta decies centena millia, id est plurima millia Angelorum ministrabant Deo, assignando nimirum numerum certum pro incerto: καὶ μύριαι μυριάδες, id est decies millies dena millia, siue centum milliones, id est plurimæ myriades, assistebant ei. Tertullianus contra Praxeam legit: *Millies centies centena millia assistebant ei, & millies centena millia apparebant ei.* Vnde Cyrillus Ierosolymitanus Catechesi 15. notat, longè plures esse Angelorum myriades; Danielem tamen has tantùm assignare, quia maiorem numerum, quem homines mente concipere possent, exprimere nequibat. Sensus ergo est, q. d. Plurimi & quasi innumerabiles Angeli assistebant ei, vti hîc accipit etiam Dionysius, & obseruat Cornelius Dan. 7.

Differentia inter assistere & ministrare.

Aduerte hîc differentiam inter assistere & ministrare: quia assistere est, faciem Dei contemplari; & sic assistunt omnes boni Angeli. Item assistere est, immediatè recipere illuminationes à Deo; & sic tantùm assistunt tres primi ordines. Item assistere est appropinquare Deo, & extraneum esse ab exteriùs missione; & sic assistunt quatuor primi ordines. Ministrare verò, est nuntiare pro temporis opportunitate, vel operari secundùm officium. Est enim ministerium nuntij, & officij.

SCHOLIA S. MAXIMI.



MILLE.] Hæc in Daniele dicta sunt.

INFIRMAM ET CONTRACTAM.] Infirmam vocauit numerum hominum respectu Angelorum: dictum enim etiam est ab alio quopiam, nempe Didymo Cæco, nonaginta nouem oues esse Angelos, vnam autem quæ perierat, esse nos homines.

SCIENTER.] Nota, vt ipsos etiam Angelos dicat scienter & non more discipulorum cognoscere eorum determinationes, v. g. quantus sit cælestium essentiarum numerus, hoc ipsum etiam illustratione diuinâ percipientes.



ΧΙΛΙΑΣ.] Ταῦτα ἐν τῷ Δανιὴλ εἴρηται.

Τὴν ἀσθενῆ καὶ συνεσταλμένην.] Ἀσθενῆ συμμετρίαν ἐκάλεσε, τὸν τῶν ἀνθρώπων ἀριθμὸν πρὸς τὸν τῶν Ἀγγέλων· εἴρηται γὰρ καὶ ἑτέρῳ τινὶ, Διδύμῳ δηλονότι τῷ Τυφλῷ, τὰ μὲν ἐννενήκοντα ἐννέα πρόβατα εἶναι τοὺς Ἀγγέλους, τὸ δὲ ἓν τὸ ἀπολωλὸς, ἡμᾶς τοὺς ἀνθρώπους.

Γνωστικῶς.] Σημείωσαι, ὅτι καὶ αὐτοὺς τοὺς Ἀγγέλους φησὶ γνωστικῶς οὐ μαθητικῶς εἰδέναι τοὺς ὁρισμοὺς, οἱονεὶ τὸ, πόσος τῶν οὐρανίων οὐσιῶν ὑπάρχει ὁ ἀριθμὸς, ἐκ Θεοῦ καὶ τοῦτο φωτισθέντας.

PARAPHRASIS PACHYMERÆ.



DIGNVM censet spiritali indagatione, quæ videlicet, vt antè dicebamus, rebus spiritalibus conueniat, vel quæ spiritali mente coordinet, ac digerat id, quod



ΑΞΙΟΝ ὑπολαμβάνει ζητήσεως νοερᾶς, οἱονεὶ, ὃ καὶ πρώην ἐλέγομεν, ἀνηκούσης τοῖς νοεροῖς, ἢ νοερῷ νοΐ διοικουμένης καὶ διατεθειμένης τὸ περὶ

τοῦ

PARAPHRASIS PACHYMERÆ.

τοῦ ἀριθμοῦ τῶν Ἀγγέλων ἐν τοῖς Λογίοις παράδοσιν. Εὑρίσκομεν γοῦν καὶ δώδεκα λεγεῶνας Ἀγγέλων, ἃς καὶ πλέον τούτων, τὸν Κύριον δύνασθαι ζητῆσαι τὸν ἴδιον Πατέρα, καὶ παραστῆσαι εἰς τὴν τῶν ἐπηρεαζόντων ἀποτροπήν. Ὀλίγος γοῦν οὗτος ὁ ἀριθμὸς, πρὸς τὴν τοῦ Δανιὴλ ὅρασιν, ὅτι χίλιαι χιλιάδες, καὶ μύριαι μυριάδες τῷ Θεῷ παρεστήκεισαν. Ὁ γὰρ λεγεὼν, τάγμα ἐστὶν ἐκ τόσων συγκείμενον (ἐκ τοῦ Λέγω, τὸ Συλλέγω ἐτυμολογούμενον) ὅπερ εἰ ἐξ ἑκατὸν συγκεῖσθαι εἴποιμεν, οὐδὲν πρὸς τὰς τόσας χιλιάδας καὶ μυριάδας· εἰ δὲ καὶ ἐκ μυρίων συλλέγεσθαι εἴποιμεν, οὐδὲν πάλιν τοῦτο πρὸς τὸν κατὰ τὰ μύρια πολλαπλασιασμόν. Περὶ μὲν τῶν δώδεκα λεγεώνων ἄλλος μὲν ἄλλο τι εἴποι τυχὸν ὑψηλότερον καὶ σοφώτερον, κατὰ τὴν διδομένην παρὰ τοῦ ἀγαθοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάριν. ὃ γοῦν ἐμοὶ πρὸς τὸ παρὸν καταφαίνεται, εἰ χρή τι καὶ ἐμὲ τολμῆσαι πρὸς ταῦτα, ὅτι μεγάλης φιλανθρωπίας ἔνδειξιν ἔχει τὸ ἱερὸν Λόγιον. Εἰ γὰρ καὶ ἕνδεκα ἦσαν οἱ δῆθεν ἑτοιμαζόμενοι βοηθεῖν, τοῦ Πέτρου οἷον προμαχοῦντος, ἀλλ' οὖν ἡ πάντα λόγον νικῶσα τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φιλανθρωπία, οἷον ἐξεχομένη, καὶ τοῦ ἑταίρου, καὶ ἔτι κηδεμονικῶς πρὸς ἐκεῖνον ἔχουσα, τὸν ἀπολωλότα τούτοις συναριθμεῖ· καὶ καθ' ἕνα τούτων, λεγεῶνα Ἀγγέλων ζητῆσαι λέγει δύνασθαι· ἔτι δὲ πλέον εἰς ἔνδειξιν τοῦ τῶν Ἀγγέλων πλήθους, καὶ τῆς τοῦ αἰτουμένου μεγαλειότητος καὶ θεότητος. Τίνι γὰρ ἑτέρῳ τόσοι βεβοηθήκασι πώποτε; Περὶ μὲν τούτων, ἕτερος λόγος· περὶ δὲ τῶν χιλίων χιλιάδων καὶ μυρίων μυριάδων φησὶν ὁ Ἅγιος, ὅτι τοὺς παρ' ἡμῖν ἀκροτάτους ἀριθμοὺς, τὸν χίλια δηλαδὴ καὶ τὸν μύρια, εἰς ἑαυτοὺς ἐπανεκύκλωσε καὶ ἐπολλαπλασίασεν ἡ ἱερὰ καὶ θεία Γραφὴ, καὶ διὰ τούτου ἐναργῶς καὶ φανερῶς ἐνέφηνε καὶ παρέδειξε τὰς ἡμῖν ἀναριθμήτους τῶν οὐρανίων ταγμάτων διατάξεις, δηλονότι τὰς τῶν οὐρανίων δυνάμεων ὑποστάσεις. Ἡμῖν δὲ εἶπον ἀναριθμήτους, ὅτι εἰ καὶ ἡμῖν ἄγνωστοί εἰσιν, οὐ πάντως ἄπειροι καὶ τῇ φύσει, ἀλλὰ πεπέρασται τὸ πλῆθος αὐτῶν. Τέως δὲ περὶ τούτων τις ἐκ τῶν καθ' ἡμᾶς σοφῶν, (ὁ Ψελλὸς οὗτος ὤν, ἐπιστημονικὴν καὶ λογικὴν ποιούμενος τὴν ἀπόδειξιν, καὶ κανόνι χρώμενος διαλεκτικῷ, ὅτι τὰ τῇ ἀρχῇ πλησιάζοντα, ἐλάττονα μέν εἰσι τῷ πο-

in Scripturis de numero Angelorum traditur. Inuenimus igitur & duodecim legiones Angelorum, quas, & his plures, Dominus à Patre suo possit postulare, & in acie collocare ad insidiatores repellendos. Exiguus vtique hic numerus, ad Danielis visionem collatus, quoniam millia millium, & decies millies dena millia Deo assistebant. Legio autem ordo est constans aliquot (hac voce nimirum à Verbo Lego & Colligo deriuata) quem si ex centum constare dixerimus, nihil hoc ad tot millia myriadesque: quin imò si ex mille collectum dixerimus, nihil hoc adhuc ad decies millies toties multiplicata. De duodecim quidem legionibus alius aliud fortè adferat sublimius quid ac sapientius, iuxta gratiam à bono Deo ac Saluatore nostro Iesu Christo communicatam: mihi autem in præsentiarum, si oporteat me quoque ad hæc aliquid audere, videtur Scriptura sacra magnæ humanitatis ac beneuolentiæ indicium exhibere. Etsi enim vndecim erant parati succurrere, Petro quasi duce; attamen benignitas magni Dei ac Saluatoris nostri Iesu Christi, quæ omnem superat orationem, quodammodò effusa perditum quoque sodalem illum, cuius adhuc sollicitè curam gerit, iis annumerat, & pro vnoquoque horum legionem Angelorum se petere posse dicit; tum vt etiam magis Angelorum multitudinem, ac postulantis magnificentiam & diuinitatem declararet. Cui enim alteri tot vmquam succurrerunt? De his quidem alius est sermo: hîc verò Sanctus de mille millibus & decies mille decem millibus ait, Scripturam sacram ac diuinam summos illos qui apud nos sunt, numeros, millia videlicet & dena millia, in semetipsos glomerasse ac multiplicasse, ac per hoc apertè declarasse, cælestium ordinum coordinationes, id est cælestium virtutum supposita, à nobis annumerari non posse. Nobis autem dixit innumerabiles esse, quoniam licet nobis ignoti sint, non tamen omnino naturâ infiniti sint; sed eorum multitudo est determinata. Nuper etiam quidam è sapientibus nostris (Psellus is erat, scientificè & logicè regulâ Dialecticorum vtens, ac demonstrans, illa quæ principio viciniora sunt, minora quidem esse secundùm quanti-

Angeli quidem multi, sed non infiniti.

PARAPHRASIS PACHYMERÆ.

tatem, sed maiorem virtutem habere) asserebat, Angelos, vt Deo propinquiores, pauciores esse hominibus, qui sigillatim semper nascuntur & moriuntur, quemadmodum videlicet quoque numerus ad vnitatem accedens, minor est remotiori. Verùm Didymus ille Cæcus alio quodam loco reperitur dicere, nonaginta nouem oues esse Angelos, vnam autem quæ perierat, esse nos homines. Multi enim beati sunt exercitus cælestium virtutum, qui nostrorũ in materiâ apparentium numismatum formarúmve aliarum, infirmam inquam & contractam numerorũ rationem excedant: non enim tanta est numerorum multitudo, vt omnia possint numerari, & in infinitum annumeratio extendi; nam propter eiuscemodi circa numerum imbecillitatem excogitatæ sunt mensuræ & lances, vt numerus proportione quadam secundùm vires nostras contraheretur. Etsi itaque à nobis & humanâ intelligentiâ non definiantur, à cælesti tamen intellectu comprehenduntur, non quidẽ mathematicè, sed scienter, v.g. quantus sit exercituum cælestium numerus, & à quali definiatur intelligentiâ scientiaque, quæ Angelis illustri modo conceditur à vitæ principali infinitorum consciâ per se sapientiâ sapientię in aliis creatrice, quæ superessentialiter rerũ omnium & principium & causa, ceterarumq; essentiarum virtus creans, & continens & cõplectens determinatio existit, ita nimirum vt terminet ac definiat vniuersa, non tamen sit cuiusquam terminus, velut punctum lineæ, vel vt linea superficiei, vel vt superficies corporis: hi enim termini in rebus terminatis sunt, neq; res terminatas continent; siquidem non potest quidquã intelligi determinari sine termino. Quocircà etiam Aristoteles locum ait terminum esse continentis, ita vt nihil, cuius terminus est, continere possit terminum, sed simul cum re terminatâ dicatur terminus & species quasi terminare ac definire materiam. Sed & hoc ipsum simul vnâ cum materiâ apparet. Ceterùm Deus omnium quidem terminatio dicitur, at per excellentiam & complexim, tamquam conditor & super omnia & existens & creditus. Hoc itaque modo Dei vis & continens est & complectens: continens, prouidentiâ; complectens verò, vt supra res omnes & est & prædicatur.

σαι, μείζονα δὲ τὴν δύναμιν ἔχουσι) τῶν ἑκασταχοῦ καὶ ἀεὶ γινομένων καὶ ἀπογινομένων ἀνθρώπων, ἐλάττους ἔλεγε τοὺς Ἀγγέλους, ὡς τῷ Θεῷ πλησιάζοντας· ὥσπερ ἀμέλει καὶ ὁ πλησιάζων ἀριθμὸς τῇ μονάδι, τοῦ πόρρω ἐλάττων ἐστίν. Ὁ δέ γε Δίδυμος ὁ Τυφλὸς ἀλλαχοῦ εὕρηται λέγων, τὰ μὲν ἐνενήκοντα καὶ ἐννέα πρόβατα, εἶναι τοὺς Ἀγγέλους, τὸ δὲ ἓν τὸ ἀπολωλὸς, ἡμᾶς τοὺς ἀνθρώπους. Πολλαὶ γάρ εἰσιν αἱ μακάριαι στρατιαὶ τῶν οὐρανίων δυνάμεων, ὑπερβεβηκυῖαι καὶ τὴν καθ' ἡμᾶς τῶν μετὰ ὕλης φαινομένων νομισμάτων τυχὸν ἢ ἑτέρων εἰδῶν, ἀριθμῶν συμμετρίαν, τὴν ἀσθενῆ λέγω καὶ συνεσταλμένην· οὐ γὰρ τοσοῦτόν ἐστι τὸ τῶν ἀριθμουμένων πλῆθος, ὥστε πάντα διαρκεῖν εἰς τὸ ἀριθμεῖσθαι, καὶ ἐπ' ἄπειρον τὴν ἀπαρίθμησιν γίνεσθαι· διὰ γὰρ τὴν τοιαύτην περὶ τὸν ἀριθμὸν ἀσθένειαν, ἐπενοήθησαν τὰ μέτρα καὶ οἱ σταθμοὶ, ὡς ἂν ὁ ἀριθμὸς συσταλείη εἰς συμμετρίαν τινὰ κατὰ τὴν ἡμετέραν δύναμιν. Εἰ οὖν παρ' ἡμῶν οὐχ ὁρίζονται καὶ τῆς ἀνθρωπίνης νοήσεως, παρ' αὐτῆς δὴ τῆς οὐρανίας ὁρίζονται, πλὴν οὐ μαθηματικῶς, ἀλλὰ γνωστικῶς, οἱονεὶ τὸ, πόσος τῶν οὐρανίων στρατιῶν ὑπάρχει ὁ ἀριθμὸς, παρὰ ποίας γοῦν νοήσεως καὶ ἐπιστήμης ὁρίζονται, τῆς δωρουμένης πανευκλεῶς τοῖς Ἀγγέλοις ὑπὸ τῆς ζωαρχικῆς ἀπειρογνώστου αὐτοσοφίας, καὶ σοφίαν ἐν τοῖς ἄλλοις ποιούσης, τῆς πάντων τῶν ὄντων ὑπερουσίως ἀρχῆς καὶ αἰτίας, καὶ δυνάμεως δημιουργικῆς τῶν ἑτέρων οὐσιῶν, καὶ συνεκτικῆς, καὶ ἀποπερατώσεως περιεκτικῆς, δηλονότι ἀποπερατοῖ καὶ ὁρίζει τὰ πάντα, οὐ μὴν δέ ἐστιν ὡς πέρας τινὸς, ὡς ἡ στιγμὴ τῆς γραμμῆς, ἢ ὡς ἡ γραμμὴ τῆς ἐπιφανείας, ἢ ὡς ἡ ἐπιφάνεια τοῦ σώματος· ταῦτα γὰρ τὰ πέρατα ἐντὸς τῶν περατουμένων εἰσὶ, καὶ οὐ περιέχουσι τὰ περατούμενα· οὐδὲ γὰρ δύνασαι νοῆσαι περατούμενον δίχα πέρατος. Διὰ τοῦτο καὶ τὸν τόπον ὁ Ἀριστοτέλης φησὶ πέρας τοῦ περιέχοντος, ὡς μηδὲν ἔχοντος περιέχειν τοῦ πέρατος τὸ ὅπερ πέρας ἐστὶν, ἀλλ' ἅμα τῷ περατουμένῳ ὄντος λέγεται τὸ πέρας καὶ τὸ εἶδος ὡς περατοῦν καὶ ὁρίζον τὴν ὕλην. Ἀλλὰ καὶ αὐτὸ σὺν τῇ ὕλῃ φαίνεται. Ἀλλ' ὁ Θεὸς περάτωσις πάντων λέγεται, ἀλλ' ἐξῃρημένως καὶ περιεκτικῶς, ὡς δημιουργὸς καὶ ὑπὲρ πάντα καὶ ὢν καὶ πιστευόμενος. Τέως δὲ ἡ τοῦ Θεοῦ δύναμις καὶ συνεκτικὴ καὶ περιεκτική ἐστι· συνεκτικὴ τῇ προνοίᾳ, περιεκτικὴ δὲ τῷ ὑπὲρ πάντα τὰ ὄντα καὶ εἶναι καὶ λέγεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

CAPVT XV.

SYNOPSIS CAPITIS.

Τίνες αἱ μορφωτικαὶ τῶν Ἀγγελικῶν δυνάμεων εἰκόνες, τί τὸ πυρῶδες, τί τὸ ἀνθρωποειδὲς, τίνες οἱ ὀφθαλμοὶ, τίνες αἱ ῥῖνες, τίνα τὰ ὦτα, τίνα τὰ στόματα, τίς ἡ ἁφὴ, τίνα τὰ βλέφαρα, τίνες αἱ ὀφρύες, τίς ἡ ἀκμὴ, τίνες οἱ ὀδόντες, τίνες οἱ ὦμοι, τίνες αἱ ὠλέναι καὶ αἱ χεῖρες, τίς ἡ καρδία, τίνα τὰ στήθη, τίνα τὰ νῶτα, τίνες οἱ πόδες, τίνα τὰ πτερὰ, τίς ἡ γυμνότης, τίς ἡ ἀμφίασις, τίς ἡ λαμπρὰ ἐσθὴς, τίς ἡ ἱερατικὴ, τίνες αἱ ζῶναι, τίνες αἱ ῥάβδοι, τίνα τὰ δόρατα, τίνες αἱ πέλυκες, τίνα τὰ γεωμετρικὰ σχοινία, τίνες οἱ ἄνεμοι, τίνες αἱ νεφέλαι, τίς ὁ χαλκὸς, τί τὸ ἤλεκτρον, τίνες οἱ χοροὶ, τίνες οἱ κρότοι, τίνες αἱ χρόαι τῶν διαφόρων λίθων, τί τὸ λεοντοειδὲς, τί τὸ βοοειδὲς, τί τὸ ἀετοειδὲς, τίνες οἱ ἵπποι, τίνες αἱ διαφοραὶ τῶν ἱππείων χρωμάτων, τίνες οἱ ποταμοὶ, τίνα τὰ ἅρματα, τίνες οἱ τροχοὶ, τίς ἡ λεγομένη χαρὰ τῶν Ἀγγέλων.

QVæ sint formatæ imagines virtutum Angelicarum, quid ignis, quæ humana species, qui oculi, quæ nares, quæ aures, quæ ora, quis tactus, quæ palpebræ, quæ supercilia, quæ pubertas, qui dentes, qui humeri, quæ vlnæ, quæ manus, quod cor, quod pectus, quod dorsum, qui pedes, quæ alæ, quæ nuditas, quod indumentum, quæ lucida vestis, quæ sacerdotalis, quæ zonæ, quæ virgæ, quæ hastæ, quæ secures, qui funes geometrici, qui venti, quæ nubes, quod æs, quod electrum, qui chori, qui plausus, qui colores diuersorum lapidum, quæ forma leonis, quæ figura bouis, quæ species aquilæ, qui equi, quæ differentiæ colorum equinorum, qui fluuij, qui currus, quæ rotæ, quodnam gaudium dicatur Angelorum.

ΦΕΡΕ δὴ λοιπὸν ἀναπαύοντες ἡμῶν, εἰ δοκεῖ, τὸ νοερὸν ὄμμα τῆς περὶ τὰς ὑψηλὰς θεωρίας ἀγγελοπρεποῦς συντονίας, ἐπὶ τὸ διαιρετὸν καὶ πολυμερὲς πλάτος τῆς πολυειδοῦς τῶν Ἀγγελικῶν μορφοποιιῶν ποικιλίας, καταβάντες, πάλιν ἀπ' αὐτῶν ὡς ἀπ' εἰκόνων ἐπὶ τὴν ἁπλότητα τῶν οὐρανίων νοῶν ἀναλυτικῶς ἀνακάμπτωμεν. Ἔστω δέ σοι προδιεγνωσμένον, ὡς αἱ τῶν ἱεροτύπων εἰκόνων ἀνακαθάρσεις, τὰς αὐτὰς ἔσθ' ὅτε τῶν οὐρανίων οὐσιῶν



§. 1. AGEDVM deinceps, si libet, mentis aciem laxantes, à sublimi, quę Angelos decebat, cōtemplandi contentione ad diuiduam ac multipartitam multiformis Angelicarum efformationum diuersitatis latitudinem descendentes, rursum ab eis, ceu ab imaginibus, ad cælestium mentium simplicitatem retexendo reuertamur. Illud autem tibi antè cognitū esse velim, dum sacrosanctis mysticarum quæ formantur imaginū sensibus anagogicis, eædem cælestium quandoque essentia-

Apoc. 16. & 17. *Angeli respectu diuersorum præsunt & subsunt.*

sentiarũ distributiones præesse sacris, atq; iterùm subesse, nouissimęque sacris pręsidere, primæq; subdi, denique, vt dictum est, cùm primæ tum mediæ tum postremæ virtutibus pollere significantur, istiusmodi modo explicãdi absurdam nullam rationem introduci. Nam si quidem gubernari aliquas à prioribus diceremus, easq; has ipsas exinde gubernare, prioresque, quæ nouissimas sacris imbuunt, imbui denuò ab illis ipsis quas imbuerunt; vtique absurda planè confusionisque plenissima res ista foret. Sin autem sacris illas & erudire & erudiri dicimus, non tamen easdem aut ab iisdem, sed earum singulas instrui quidem à prioribus, instruere verò posteriores, haud incongruè quis dixerit, sacras illas quæ in Eloquiis formantur imagines, easdem aliquãdo posse cùm primis tum mediis tum vltimis virtutibus propriè simul vereq; accõmodari. Quare tam illa in anteriora se conuertens intentio, quàm circum semetipsas constans volutatio, virtutumque custodia propriarum, nec non earumdem, per communicantem se inferioribus processum, prouidæ virtutis participatio cunctis profectò cælestibus intelligẽtiis verissimè competit, licet quidẽ eminẽter aliis & vniuersim (vt sæpè dictũ) aliis verò ex parte ac remissè.

§.2. Ceterùm initium sermonis faciendum, & quærendum in primâ mysticarum figurarum explanatione, quare Theologia præ ceteris ferè sacram illam igneam descri-

διακοσμήσεις ἱεραρχούσας ἐμφαίνουσι, καὶ αὖθις ἱεραρχουμένας, καὶ τὰς ἐσχάτας ἱεραρχούσας, ἱεραρχουμένας τε τὰς πρώτας, καὶ τὰς αὐτάς, ὡς εἴρηται, πρώτας τε καὶ μέσας καὶ τελευταίας ἐχούσας δυνάμεις, οὐδενὸς ἀτόπου λόγου παρεισαγομένου, κατὰ τὸν τοιόνδε τῶν ἀναπτύξεων τρόπον. Εἰ μὲν γὰρ ἱεραρχεῖσθαί τινας ὑπὸ τῶν προτέρων λέγομεν, εἶτα τῶν αὐτῶν ἱεραρχούσας, καὶ τὰς προτέρας αὖθις ἱεραρχούσας τῶν τελευταίων ἱεραρχεῖσθαι πρὸς αὐτῶν ἐκείνων τῶν ἱεραρχουμένων, οὕτως ἄτοπα τὸ πρᾶγμα, καὶ συγχύσεως πολλῆς ἀνάμεστον. Εἰ δὲ τὰς αὐτὰς ἱεραρχεῖν τε καὶ ἱεραρχεῖσθαι λέγομεν, οὐκέτι δὲ τῶν αὐτῶν, ἢ πρὸς τῶν αὐτῶν, ἀλλ' αὐτὴν ἑκάστην ἱεραρχεῖσθαι μὲν ὑπὸ τῶν προτέρων, ἱεραρχεῖν δὲ τῶν τελευταίων, οὐκ ἀπεικότως ἄν τις φαίη, τὰς ἐν τοῖς Λογίοις ἱεροπλάστους μορφώσεις, τὰς αὐτὰς ἔσθ' ὅτε δύνασθαι, καὶ πρώταις καὶ μέσαις καὶ τελευταίαις δυνάμεσιν οἰκείως καὶ ἀληθῶς περιτεθῆναι. Καὶ τὸ πρὸς τὸ ἄναντες συνεπιστρεπτικῶς ἀνατείνεσθαι, καὶ τὸ περὶ αὑτὰς ἀρρεπῶς εἱλεῖσθαι, τῶν οἰκείων οὔσας φρουρητικὰς δυνάμεων, καὶ τὸ τῆς περὶ τὰ δεύτερα κοινωνικῆς προόδου τῆς προνοητικῆς αὐτὰς ἐν μεθέξει δυνάμεως εἶναι, πάσαις ἀψευδῶς ἁρμόζει ταῖς οὐρανίαις οὐσίαις, εἰ καὶ ταῖς μὲν ὑπερεχόντως καὶ ὁλικῶς (ὡς πολλάκις εἴρηται) ταῖς δὲ μερικῶς καὶ ὑφειμένως.

Ἀρκτέον δὲ τοῦ λόγου, καὶ ζητητέον ἐν πρώτῃ τῶν τύπων ἀνακαθάρσει, δι' ἣν αἰτίαν ἡ Θεολογία σχεδὸν παρὰ πάντας εὑρίσκεται τιμῶσα τὴν ἐμπύρειον

TEXTVS S. DIONYSII.

ἐμπύριον ἱερογραφίαν. Εὑρήσεις γοῦν, αὐτὴν οὐ μόνον τροχοὺς πυρώδεις διαπλάττουσαν, ἀλλὰ καὶ ζῶα πεπυρωμένα, καὶ ἄνδρας ὥσπερ ἐξαστράπτοντας, καὶ περὶ αὐτὰς τὰς οὐρανίους οὐσίας σωροὺς ἀνθράκων πυρὸς περιτιθεῖσαν, καὶ ποταμοὺς ἀχέτῳ ῥοίζῳ πυριφλεγέθοντας· ἀλλὰ καὶ τοὺς Θρόνους φησὶ πυρίνους εἶναι, καὶ αὐτοὺς δὲ τοὺς ὑπερτάτους Σεραφὶμ ἐμπρηστὰς ὄντας, ἐκ τῆς ἐπωνυμίας ἐμφαίνει, καὶ τὴν πυρὸς ἰδιότητα καὶ ἐνέργειαν αὐτοῖς ἀπονέμει, καὶ ὅλως ἄνω καὶ κάτω τὴν ἐμπύριον τιμᾷ ἐκκρίτως τυποπλασίαν. Τὸ μὲν οὖν πυρῶδες ἐμφαίνειν οἴομαι, τὸ τῶν οὐρανίων νοῶν θεοειδέστατον· οἱ γὰρ ἱεροὶ Θεολόγοι τὴν ὑπερούσιον καὶ ἀμόρφωτον οὐσίαν, ἐν πυρὶ πολλαχῆ διαγράφουσιν, ὡς ἔχοντι πολλὰς τῆς θεαρχικῆς (εἰ θέμις εἰπεῖν) ἰδιότητος ὡς ἐν ὁρατοῖς εἰκόνας. Τὸ γὰρ αἰσθητὸν πῦρ ἐστι μὲν, ὡς εἰπεῖν, ἐν πᾶσι, καὶ διὰ πάντων ἀμιγῶς φοιτᾷ, καὶ ἐξῄρηται πάντων· καὶ παμφαὲς ὂν, ἅμα καὶ ὡς κρύφιον, ἄγνωστον αὐτὸ καθ᾽ αὑτὸ, μὴ προκειμένης ὕλης εἰς ἣν ἀναφαίνοι τὴν οἰκείαν ἐνέργειαν· ἄχετόν τε καὶ ἀθεώρητον, αὐτοκρατητικὸν ἁπάντων, καὶ τὰ ἐν οἷς ἂν ἐγγένηται, πρὸς τὴν οἰκείαν ἄγον ἐνέργειαν· ἀλλοιωτικὸν, μεταδοτικὸν ἑαυτοῦ πᾶσι τοῖς ὁπωσοῦν πλησιάζουσιν· ἀνανεωτικὸν τῇ ζωοπύρῳ θερμότητι, φωτιστικὸν ταῖς ἀπερικαλύπτοις ἐλλάμψεσιν· ἀκράτητον, ἀμιγὲς, διακριτικὸν, ἀναλλοίωτον, ἀνωφόρον, ὀξύπορον, ὑψηλὸν, οὐδεμιᾶς ἀνεχόμενον ὑποπε-

ptionem comprobasse reperiatur. Siquidem comperias eam non solùm rotas igneas formare, verùm etiam ignita quædam animalia, virosque fulgureos, & circum cælestes essentias prunarum aceruos collocare, fluminaque ingenti fragore flammigerantia: quin imò Thronos igneos esse dicit, ipsosque summos Seraphim incensos ex ipso nomine declarat, eisque proprietatem & actionem ignis tribuit; atque omnino sursum ac deorsum igneam figuram singulariter commendat. Quapropter formam igneam significare censeo, cælestium intelligentiarum maximam cum Deo conformitatem: sancti siquidem Theologi superessentialem, & quæ formari nequit essentiam, in igne sæpenumerò describunt, tamquam qui multas quodammodò visibiles (si dictu fas est) diuinæ proprietatis imagines præ se ferat. Ignis namque sensilis inest omnibus, vt sic dicam, ac purè cuncta peruadit, & ab omnibus excipitur: cumq; totus luceat, simul est & occultus, ignotusque manet per se, non adhibitâ materiâ in quam vim suam exerat: intolerabilis est & inuisibilis, omnia superat, eaque quibus insedit ad suum traducit officium: alterandi vim obtinet, omnibus sibi quoquo modo propinquantibus sui consortium tradit: renouat omnia calore vitali, & fulgoribus apertis illuminat: teneri misceriq; non potest, secernendi vim habet, immutabilis est, sursum fertur, penetrabilis, sublimis, nullam sustinet

In quibus & ad quid ignis in Scripturis celebretur.

Heb. 10.

Ignis proprietates quæ.

TEXTVS S. DIONYSII.

deiectionem, semper mobilis, seipso mouetur, mouet alia, cõprehendendi vi pollet, comprehendi nequit, non eget altero, clàm se amplificat, & in qualibet capaci materiâ suam indicat maiestatem: efficax est, potens, omnibus inuisibiliter præsens: si negligatur, non videtur existere; attritu autem, velut indagine quadam, connaturaliter ac propriè subitò relucet, atque sursum incontinenter auolat, & in omnibus luculentissimis sui communionibus minimè minuitur. Complures item alias quis inuenire potest ignis proprietates, quæ quasi sensiles diuinæ efficacitatis imagines existant. Quod cùm Theologi perspectum habeant, cælestes essentias ex igne formant, declarantes earum diuinam similitudinem, &, quantum licet, Dei-imitationem.

§.3. *Quid humana forma in cælestibus denotet.*

Humanâ quoque illas formâ describunt, propter intelligendi celsaque spectandi vires, formæq; rectitudinem & erectionem, atque naturalem principandi regendiq; prærogatiuam, & quòd homo sensu quidem ceterorum comparatione brutorum minimè valeat, omnibus tamen imperet præstanti vi mentis, ac rationabilis scientiæ dominatu, animoque naturâ libero & inuicto.

Quid sensuum facultates.

Quin imò fas sit etiam ex qualibet, vt arbitror, corporeæ nostræ multipartitione non incongruas imagines haurire, quæ cælestes virtutes repræsentent: vt si dicamus, videndi quidẽ facultates declarare perspicacissimam ad diuina

ζίας ὑφέσεως, ἀεικίνητον, ταυτοκίνητον, κινητικὸν ἑτέρων, περιληπτικόν, ἀπερίληπτον, ἀπροσδεὲς ἑτέρου, λανθανόντως αὐξητικὸν ἑαυτοῦ, πρὸς τὰς ὑποδεχομένας ὕλας ἐκφαῖνον τὴν ἑαυτοῦ μεγαλειότητα· δραστήριον, δυνατόν, ἅπασι παρὸν ἀοράτως· ἀμελούμενον, οὐκ εἶναι δοκοῦν, τῇ τρίψει δὲ καθάπερ τινὶ ζητήσει, συμφυῶς καὶ οἰκείως ἐξαίφνης ἀναφαινόμενον, καὶ αὖθις ἀκαταλήπτως ἀφιπτάμενον, ἀμείωτον ἐν πάσαις ταῖς πανολβίαις ἑαυτοῦ μεταδόσεσι. Καὶ πολλὰς ἄν τις εὕροι τοῦ πυρὸς ἰδιότητας οἰκείας, ὡς ἐν αἰσθηταῖς εἰκόσι, θεαρχικῆς ἐνεργείας. Τοῦτο γοῦν εἰδότες οἱ Θεόσοφοι, τὰς οὐρανίας οὐσίας ἐκ πυρὸς διαπλάττουσιν, ἐμφαίνοντες αὐτῶν τὸ θεοειδὲς, καὶ ὡς ἐφικτὸν θεομίμητον.

Ἀλλὰ καὶ ἀνθρωπομόρφους αὐτοὺς ἀναγράφουσι, διὰ τὸ νοερὸν καὶ τὸ πρὸς τὸ ἄναντες ἔχειν τὰς ὀπτικὰς δυνάμεις, καὶ τὸ τοῦ σχήματος εὐθὺ καὶ ὄρθιον, καὶ τὸ κατὰ φύσιν ἀρχικὸν καὶ ἡγεμονικόν, καὶ τὸ κατ' αἴσθησιν μὲν ἐλάχιστον, ὡς πρὸς τὰς λοιπὰς τῶν ἀλόγων ζώων δυνάμεις, κρατητικὸν δὲ πάντων τῇ τοῦ νοῦ κατὰ περιουσίαν δυνάμει, καὶ τῇ κατὰ λογικὴν ἐπιστήμην ἐπικρατείᾳ, καὶ κατὰ τὸ φύσει τῆς ψυχῆς ἀδούλωτον καὶ ἀκράτητον.

Ἔστι δὲ καὶ καθ' ἕκαστον, ὡς οἶμαι, τῆς σωματικῆς ἡμῶν πολυμερείας, εἰκόνας ἐναρμονίους ἐξευρεῖν τῶν οὐρανίων δυνάμεων, φάσκοντας, τὰς μὲν ὀπτικὰς ἐμφαίνειν δυνάμεις, τὴν πρὸς τὰ θεῖα φῶτα διει-

δεστάτην

TEXTVS S. DIONYSII.

δεσάτην ἀνάδυσιν, καὶ αὖθις τὴν ἁπαλὴν καὶ ὑγρὰν καὶ οὐκ ἀντίτυπον, ἀλλ' ὀξυκίνητον καὶ καθαρὰν καὶ ἀναπεπταμένην ἀπαθῶς ὑποδοχὴν τῶν θεαρχικῶν ἐλλάμψεων.

Τὰς δὲ τῶν ὀσφραντῶν διακριτικὰς δυνάμεις, τὸ τῆς ὑπὲρ νοῦν εὐώδους διαδόσεως, ὡς ἐφικτὸν, ἀντιληπτικὸν, καὶ τὴν μὴ τοιούτων ἐν ἐπιστήμῃ διακριτικὸν, καὶ ὅλικῶς ἀποφευκτικόν.

Τὰς δὲ τῶν ὤτων δυνάμεις, τὸ μετοχικὸν καὶ γνωστικῶς ὑποδεκτικὸν τῆς θεαρχικῆς ἐπιπνοίας.

Τὰς δὲ γευστικὰς, τὴν τῶν νοητῶν τροφῶν ἀποπλήρωσιν, καὶ τὸ τῶν θείων καὶ τροφίμων ὀχετῶν ὑποδεκτικόν.

Τὰς ἁπτικὰς δὲ, τὸ τοῦ προσφυοῦς ἢ τοῦ βλάπτοντος ἐν ἐπιστήμῃ διαγνωστικόν.

Τὰ βλέφαρα δὲ καὶ τὰς ὀφρύας, τὸ τῶν θεοπτικῶν νοήσεων φρουρητικόν.

Τὴν ἡβῶσαν δὲ καὶ νεανικὴν ἡλικίαν, τὸ τῆς ἐπακμαζούσης ἀεὶ ζωτικῆς δυνάμεως.

Τοὺς ὀδόντας δὲ, τὸ διαιρετικὸν τῆς ἐνδιδομένης τροφίμου τελειότητος· ἑκάστη γὰρ οὐσία νοερὰ, τὴν δωρουμένην αὐτῇ πρὸς τῆς θειοτέρας ἑνοειδῆ νόησιν προνοητικῇ δυνάμει διαιρεῖ καὶ πληθύνει, πρὸς τὴν τῆς καταδεεστέρας ἀναγωγικὴν ἀναλογίαν.

Τοὺς ὤμους δὲ καὶ τὰς ὠλένας, καὶ αὖθις τὰς χεῖρας, τὸ ποιητικὸν καὶ ἐνεργητικὸν καὶ δραστήριον.

Τὴν δ' αὖ καρδίαν, σύμβολον εἶναι τῆς θεοειδοῦς ζωῆς, τῆς τὴν οἰκείαν ζωτικὴν δύναμιν ἀγαθοειδῶς εἰς τὰ προνοούμενα διασπειρούσης.

lumina suspectionem, nec non simplicem ac liquidam minimeque refragantem, sed agilem, puramque patulamque diuinarum illustrationum sine passione susceptionem.

Olfactuum verò discernendi vires vim esse, quæ mentem superantis fragrantiæ diffusionem, quantum fas est, percipit, resque fœtidas peritè discernit, & omnino refugit.

At aurium virtutes, id quod in eis est particeps cognitionis, diuinamq; scitè suscipit inspirationem.

Gustandi autem potentias ipsis esse ciborum spiritalium satietatem, & diuinorum atque deliciosorum riuulorum susceptionem.

Tactiles porrò sensationes, id quod in eis res proficuas noxiásve cum scientiâ discernit.

Palpebras & supercilia, id quod intelligentias notionesque diuini aspectus conseruat.

Quid palpebra, cilia, dentes, & cetera partes corporis.

Pubescentem ætatem ac iuuentutem, vim vitalem quæ semper viget.

Dentes, id quod alimenti adhibiti perfectionem diuidit: quælibet enim essentia spiritalis vniusmodi intelligentiam, quam à diuiniore traditam accepit, pro inferioris ductu captuque prouidâ virtute diuidit multiplicatque.

Humeros, vlnas, & manus, faciendi & agendi ac perpetrandi vim.

Cor autem esse symbolum vitæ deiformis, quæ vim vitalem suam deiformiter in ea quibus consulit dispertit.

TEXTVS S. DIONYSII. Porrò pectus dicamus designare virtutem indomabilem, & quæ viuificam quodammodò suppositi cordis distributionem tueatur.

Dorsum autem, illam vim quæ vitales omnes virtutes continet.

Pedes verò, vim mouendi, celeritatem, & cursum sempiterni motus, quo ad diuina cientur; propter quod etiam pennatos sanctarum intelligentiarum pedes Theologia
Quid penna. finxit. Penna siquidem declarat ad sublimia ducendi velocitatem, & cælestis vitæ cursum, ad anteriora semper atque celsiora promouentem, & supera petendo, terrena fugientem: pennarum enim leuitas designat id quod nullâ ex parte terrenũ est, sed se toto sine admixtio-
Gen. 18. *Quid nuditas.* ne ac grauitate sursum fertur: nuditas verò calceorumque priuatio, virtutem illam abstractam & expeditam, & puram ab omni externo additamento, quæ diuinæ simplicitati, quantũ fas est, assimilatur.

§. 4. Ceterùm cùm rursus simplex illa & multiformis sapientia nudos quoque vestiat, & quædam iis vasa tradat circumferenda; agedum ipsa etiam sacra cælestium spirituum operimenta & instrumenta, prout possumus, explicemus.

Quid vestes diuersæ. Ac lucidam quidem vestem igneamque, significare arbitror deiformitatem ex ignis similitudine, & vim illustrãdi, propter cęli tranquillitatẽ, vbi lux est, & quod omnino spiritaliter illustrat & illustratur: Pontificiam autem, id quod ad diuina mysticaque spectacula conducit, totamque vitam consecrat.

Τὰ στέρνα δὲ αὖθις ἐμφαίνειν τὸ ἀδάμαστον, καὶ τὸ φρουρητικὸν, ὡς ἐπὶ τῆς ὑποκειμένης καρδίας, τῆς ζωοποιοῦ διαδόσεως.

Τὰ δὲ νῶτα, τὸ συνεκτικὸν τῶν ζωογόνων ἁπασῶν δυνάμεων.

Τοὺς πόδας δὲ, τὸ κινητικὸν, καὶ ὀξὺ καὶ ἐντρεχὲς τῆς ἐπὶ τὰ θεῖα πορευτικῆς ἀεικινησίας· διὸ καὶ ὑποπτέρους ἡ Θεολογία τοὺς τῶν ἁγίων νοῶν ἐσχημάτισε πόδας. Τὸ γὰρ πτερὸν ἐμφαίνει τὴν ἀναγωγικὴν ὀξύτητα, καὶ τὸ οὐράνιον, καὶ τὸ πρὸς τὸ ἄναντες ὁδοποιητικὸν, καὶ τὸ παντὸς χαμαιζήλου διὰ τὸ ἀνώφορον ἐξῃρημένον· ἡ δὲ τῶν πτερῶν ἐλαφρεία, τὸ κατὰ μηδὲν πρόσγειον, ἀλλ᾽ ὅλον ἀμιγῶς καὶ ἀβαρῶς ἐπὶ τὸ ὑψηλὸν ἀναγόμενον· τὸ δὲ γυμνὸν καὶ ἀνυπόδετον, τὸ ἄφετον, καὶ εὔλυτον, καὶ ἄσχετον, καὶ καθαρεῦον τῆς τῶν ἐκτὸς προσθήκης, καὶ τὸ πρὸς τὴν ἁπλότητα τὴν θείαν ὡς ἐφικτὸν ἀφομοιωτικόν.

Ἀλλ᾽ ἐπειδὴ αὖθις ἡ ἁπλῆ καὶ πολυποίκιλος σοφία καὶ τοὺς ἀσκεπεῖς ἀμφιέννυσι, καὶ σκεύη τινὰ δίδωσι περιφέρειν αὐτοῖς, φέρε καὶ τὰ τῶν οὐρανίων νοῶν ἱερὰ περιβλήματα καὶ ὄργανα, κατὰ τὸ ἡμῖν δυνατὸν ἀναπτύξωμεν.

Τὴν μὲν γὰρ φανὴν ἐσθῆτα καὶ τὴν πυρώδη, σημαίνειν οἴομαι τὸ θεοειδὲς κατὰ τὴν πυρὸς εἰκόνα, καὶ τὸ φωτιστικὸν διὰ τὰς ἐν οὐρανῷ λήξεις, ὅπου τὸ φῶς, καὶ τὸ καθόλου νοητῶς ἐλλάμπον, καὶ νοερῶς ἐλλαμπόμενον· τὴν δὲ ἱερατικὴν, τὸ πρὸς τὰ θεῖα καὶ μυστικὰ θεάματα προσαγωγικὸν, καὶ τὸ τῆς ὅλης ζωῆς ἀφιερωμένον.

Τὰς

Τὰς δὲ ζώνας, τὸ τῶν γονίμων αὐτῶν φρουρητικὸν δυνάμεων, καὶ τὸ τὴν συναγωγὸν αὐτῶν ἕξιν, εἰς αὐτὴν ἑνιαίως συνεστράφθαι, καὶ κύκλῳ μετ' εὐκοσμίας, τῇ ἀμεταπτώτῳ ταυτότητι περὶ ἑαυτὴν συνελίσσεσθαι.

Τὰς δ' αὖ ῥάβδους, τὸ βασιλικὸν καὶ ἡγεμονικὸν, καὶ εὐθέα τὰ πάντα περαῖνον.

Τὰ δὲ δόρατα καὶ τοὺς πελέκεις, τὸ τῶν ἀνομοίων διαιρετικὸν, καὶ τὸ τῶν διακριτικῶν δυνάμεων ὀξὺ καὶ ἐνεργὲς, καὶ δραστήριον.

Τὰ δὲ γεωμετρικὰ καὶ τεκτονικὰ σκεύη, τὸ θεμελιωτικὸν καὶ οἰκοδομητικὸν, καὶ τὸ τελειωτικὸν, καὶ ὅσα ἄλλα τῆς ἀναγωγοῦ καὶ ἐπιστρεπτικῆς ἐστι τῶν δευτέρων προνοίας.

Ἔστι δὲ ὅτε καὶ τῶν εἰς ἡμᾶς θεοκρισιῶν ἐστι σύμβολα, τὰ πλαττόμενα τῶν ἁγίων Ἀγγέλων ὄργανα· τῶν μὲν, δηλούντων ἐπανορθωτικὴν παιδείαν, ἢ τιμωρὸν δικαιοσύνην· τῶν δὲ περιστάσεων ἐλευθερίαν, ἢ παιδείας τέλος, ἢ προτέρας εὐπαθείας ἐπανάληψιν, ἢ προσθήκην ἑτέρων δωρεῶν, μικρῶν ἢ μεγάλων, αἰσθητῶν ἢ νοητῶν. Καὶ ὅλως οὐκ ἂν ἀπορήσειεν ὁ διορατικὸς νοῦς, οἰκείως ἁρμόζαι τοῖς ἀφανέσι τὰ φαινόμενα.

Τὸ δὲ καὶ ἀνέμους αὐτοὺς ὀνομάζεσθαι, τὴν ὀξεῖαν αὐτῶν ἐμφαίνει καὶ ἐπὶ πάντα σχεδὸν ἀχρόνως διήκουσαν ποίησιν, καὶ τὴν ἄνωθεν ἐπὶ τὰ κάτω, καὶ αὖθις ἐκ τῶν κάτω πρὸς τὸ ἄναντες διαπορθμευτικὴν κίνησιν, τὴν ἀνατείνουσαν μὲν τὰ δεύτερα πρὸς τὸ ὑπέρτερον ὕψος,

Quid zonæ. Zonas autem eſſe virtutum cuſtodiam fecundarum, earumque habitum collectum, qui in ſemet ipſe ſingulariter conuerſus, circuloq́; concinno indiſſipabili idemtitate ſuccinctus ſit.

§. 5. *Virga,* Virgas verò deſignare Regiam & Ducalem dignitatem, rectamq́; rerum diuinarum ordinationem.

Secures, Haſtas & ſecures, vim diſſimilia diuidendi, virtutumque diſcernere valentium acumen, & actiuitatem, atque efficacitatem.

& diuerſa inſtrumenta. Geometrica fabriliaque vaſa, fundandi & ædificandi abſoluendique facultatem, & quæcumque alia inferiores adducendi & conuertendi prouidentiam concernũt.

Accidit quoque nonnumquam, vt inſtrumenta quæ ſanctis Angelis affinguntur, diuinorum erga nos iudiciorum ſymbola exiſtant, dum alia quidem correctricem diſciplinam vindicemque iuſtitiam, alia verò periculi liberationem, vel diſciplinę finem, vel priſtinæ felicitatis reſtitutionem, aliorúmve munerum, cùm exiguorum tum magnorum, cùm ſenſilium tum intellectualium adiectionem manifeſtãt: neque verò dubitabit vllo modo mens perſpicax, viſibilia propriè rebus quæ aſpectum fugiunt accommodare.

Num. 22. 2 Reg. 24. Apoc. 20. Amos 8. Zach. 1. Ierem. 24.

§. 6. *Cur Angeli ventis cõparati.* Dan. 7. Pſal. 17. & 103. Quòd autem venti nominentur, hoc eorum celerem conficiendi rationem indicat ad omnia fermè abſque morâ penetrantem, ſuſque deque vltrò citroque quaquauerſum permeandi facultatem, quæ inferiora quidem ad ſuperiorem promoueat ſublimitatem, prima

TEXTVS S. DIONYSII.

verò moueat ad prouidum & communicantem ſe inferioribus illapſum. Poſſit etiam quis dicere, vētoſum illud nomen ſpiritus aërij, cæleſtium intelligentiarum deiformitatem deſignare: ſiquidem & illi diuinæ efficacitatis imago quædā ineſt ac figura (ſicut in ſymbolicâ Theologiâ, iuxta myſticā quatuor elementorum explicationem, pluribus à nobis demonſtratum eſt) nempe ob viuificam mobilitatem velocemq; & inſuperabilem meatum, nec non inaſpectabile latibulum mouentium principiorum ac

Ioan. 3, 8. terminationum. *Neſcis*, enim inquit, *vnde veniat, aut quò vadat.*

Cur nubibus. Apoc. 10. Quin etiam eis Theologia nubis ſpeciem affingit, hoc ipſo ſacras intelligentias declarans arcano quodam lumine ſupermundialiter repletas, primilucam illam apparitionem ſine faſtu ſuſcipere, atque luculenter eamdem in inferiora per remiſſiorem illuſtrationem pro illorum captu transfundere; nec non illas inſuper fecunditate, atque animandi augendique ac perficiendi virtute præſtare, propter intellectualis imbris generationem, quæ ſubiectum ſibi gremium pinguibus pluuiis ad vitales partitudines informat.

§.7. *Quid æs, electrum & lapides diuerſi.* Quòd ſi quoque æris & electri lapidumq; multicolorum ſpeciem Theologia cæleſtibus eſſentiis accommodat: electrum quidem, vt quod auri argentique formam præ ſe ferat; in auro quidem, putredinis expertem & inconſumptum minuique neſcium atque inuiolabilem ſplendorem: in argento autem,

κινοῦσαν δὲ τὰ πρῶτα πρὸς κοινωνικὴν καὶ προνοητικὴν τῶν ὑφειμένων πρόοδον. Εἴποι δ' ἄν τις, τὴν τοῦ ἀερίου πνεύματος ἀνεμιαίαν ἐπωνυμίαν, καὶ τὸ θεοειδὲς τῶν οὐρανίων νοῶν ἐμφαίνειν· ἔχει γὰρ καὶ τοῦτο θεαρχικῆς ἐνεργείας εἰκόνα καὶ τύπον (ὡς ἐν τῇ συμβολικῇ Θεολογίᾳ, κατὰ τὴν τετραστοιχον ἡμῖν ἀνακάθαρσιν διὰ πλειόνων ἀποδέδεικται) κατὰ τὸ τῆς φύσεως κινητικὸν καὶ ζωογόνον, καὶ τὴν ὀξεῖαν καὶ ἀκράτητον χώρησιν, καὶ τὴν ἄγνωστον ἡμῖν καὶ ἀόρατον κρυφιότητα τῶν κινητικῶν ἀρχῶν καὶ ἀποπερατώσεων. Οὐ γὰρ οἶδας, φησὶ, πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

Ἀλλὰ καὶ νεφέλης αὐτοῖς ἰδέαν ἡ Θεολογία περιπλάττει, σημαίνουσα διὰ τούτου, τοὺς ἱεροὺς νόας τοῦ μὲν κρυφίου φωτὸς ὑπερκοσμίως ἀποπληρουμένους, τὴν πρωτοφανῆ δὲ πρωτοφανεῖ ἀνεκπομπεύτως εἰσδεχομένους, καὶ ταύτην ἀφθόνως εἰς τὰ δεύτερα δευτεροφανῶς καὶ ἀναλόγως διαπορθμεύοντας· καὶ μὴν ὅτι τὸ γόνιμον αὐτοῖς, καὶ ζωοποιὸν, καὶ αὐξητικὸν, καὶ τελειωτικὸν ἐνυπάρχει, κατὰ τὴν νοητὴν ὀμβροτοκίαν, τὴν τὸν ἐκδόχειον κόλπον πιαλέοις ὑετοῖς ἐπὶ ζωτικὰς ὠδῖνας ἐκκαλουμένην.

Εἰ δὲ καὶ χαλκοῦ, καὶ ἠλέκτρου, καὶ λίθων πολυχρωμάτων εἶδος ἡ Θεολογία ταῖς οὐρανίαις οὐσίαις περιτίθησι· τὸ μὲν ἤλεκτρον, ὡς χρυσοειδὲς ἅμα καὶ ἀργυροειδὲς, ἐμφαίνει τὴν ἄσηπτον, ὡς ἐν χρυσῷ, καὶ ἀδάπανον, καὶ ἀμείωτον, καὶ ἄχραντον διαύγειαν· καὶ τὴν φανὴν, ὡς

ἐν

ἐν ἀργύρῳ, καὶ φωτοειδῆ, καὶ οὐρανίαν αἴγλην.

Τῷ δὲ χαλκῷ, κατὰ τοὺς ἀποδοθέντας λόγους, ἢ τὸ πυρῶδες, ἢ τὸ χρυσοειδὲς ἀπονεμητέον.

Τὰς δὲ τῶν λίθων πολυχρωμάτους ἰδέας ἐμφαίνειν οἰητέον, ἢ ὡς λευκὰς, τὸ φωτοειδές· ἢ ὡς ἐρυθρὰς, τὸ πυρῶδες· ἢ ὡς ξανθὰς, τὸ χρυσοειδές· ἢ ὡς χλοερὰς, τὸ νεανικὸν καὶ ἀκμαῖον· καὶ καθ' ἕκαστον εἶδος εὑρήσεις ἀναγωγικὴν τῶν τυπικῶν εἰκόνων ἀνακάθαρσιν.

Ἀλλ' ἐπειδὴ ταῦτα κατὰ δύναμιν ἡμῖν ἀρκούντως εἰρῆσθαι νομίζω, μετιτέον ἐπὶ τὴν ἱερὰν ἀνάπτυξιν τῆς τῶν οὐρανίων νοῶν ἱερογλύπτου θηριομορφίας.

Καὶ τὴν μὲν λέοντος μορφὴν ἐμφαίνειν οἰητέον τὸ ἡγεμονικὸν, καὶ ῥωμαλέον, καὶ ἀδάμαστον, καὶ τὸ πρὸς τὴν κρυφιότητα τῆς ἀφθέγκτου θεαρχίας, ὅση δύναμις, ἀφομοιωτικὸν τῇ τῶν νοερῶν ἰχνῶν περικαλύψει, καὶ τῇ μυστικῶς ἀνεκπομπεύτῳ περιστολῇ τῆς κατὰ θείαν ἔλλαμψιν ἐπ' αὐτὴν ἀναγωγικῆς πορείας.

Τὴν δὲ τοῦ βοὸς, τὸ ἰσχυρὸν, καὶ ἀκμαῖον, καὶ τοὺς νοεροὺς αὔλακας ἀνευρῦνον εἰς ὑποδοχὴν τῶν οὐρανίων καὶ γονιμοποιῶν ὄμβρων· καὶ τὰ κέρατα, τὸ φρουρητικὸν καὶ ἀκράτητον.

Τὴν δὲ τοῦ ἀετοῦ, τὸ βασιλικὸν, καὶ ὑψίφορον, καὶ ταχυπετὲς, καὶ τὸ πρὸς τὴν δυναμοποιὸν τροφὴν ὀξὺ, καὶ νῆφον, καὶ ἐντρεχὲς, καὶ εὐ-

lucidam cælestemque claritatem denotat.

Æri verò, iuxta rationes assignatas, vel ignis vel auri species attribuenda.

Porrò lapidum multicolores species, vel in quantum albæ, quid lucidũ; vel quà rubræ, quid igneum; vel quà flauæ, quid aureum; vel quà virides, iuuenile quidpiam ac vigens significare putandę sunt: atque ita secundùm quamque speciem, quoq; mysticam quamdam typicarum imaginum, quæ ad superna reuocet, reperias expositionem.

Sed quoniam de his satis à nobis pro virili parte dictum esse arbitror, ad sacram cælestium intelligentiarum per bestiarum formas expressarum explicationem transeundum est.

§. 8. *Quid forma leonis.*

Ac leonis quidem forma declarare putanda est vim illam principalem ac robustam atque indomabilem, quâ isti occultissimo ineffabilis diuini principatus arcano pro virili similes euadere nituntur, spiritalium vestigiorum coopertione mysticeque suppresso commeatu viæ, quæ ad ipsum per diuinam illustrationem inducebat. Apoc. 4. Ezech. 1.

Quid bouis. Apoc. 5.

Porrò illa bouis forma earum robur signat ac vigorem, idque quo spiritales sulcos scindunt ac dilatant cælestibus fecundisque imbribus suscipiendis: cornua verò, seruatricem inuictamque vim.

Quid aquila. Apoc. 4.

At aquilę figura Regiam dignitatem, atque supera petentem celeremq; volatum, & ad cibum, qui vires reficiat, capiendum cùm agilitatem,

Ezech. 1. Apoc. 8.

litatem, tum vigilantiam, tum curſum, tum facilitatem, tum virtutem robuſtis videndi facultatum intentionibus, liberè directeque atque irretortè obtuendi vberrimo vti luculentoque radio, quem ſol diuinus euibrat.

Quid equorum diuerſorum. Zach. 7.

Equorum autem ſpecies obedientiam deſignat & facilitatem: ac candidorum quidem, ingenuitatem, vtpote diuino quàm maximè lumini cognatam; cæruleorum verò, ſecretum illud abditum; ruforum verò, igneum vigorem & efficacitatem; albo denique nigroque pilo aſperſorum ſpecies, vim illam denotat, quâ traduce extrema connectuntur, & prima ſecundis, ac ſecunda primis conuerſim prouideque coniunguntur.

Quid ira.

Verùm niſi ſermonis modum quęreremus, ſingulas etiam animalium recenſitorum proprietates, omneſque corporeas eorum efformationes, non incongruè cæleſtibus virtutibus per diſſimiles ſimilitudines accommodaremus. Siquidem vim eorum iraſcibilem ad ſpiritalem fortitudinem, cuius ira nouiſſimum veſtigium exiſtit; concu-

Quid concupiſcentia. Apoc. 20. Zach. 8.

piſcentiam verò, ad amorem diuinum; ac ſummatim dicendo, ſenſus brutorum animantium omnes, parteſque multiplices, ad immateriales cæleſtium eſſentiarum intelligentias atque vniformes virtutes referremus. Verùm enim verò prudentibus non iſta tantùm, ſed vel vnius imaginis obſcurę myſtica declaratio ſatis eſt, ad eorũ quę eiuſdem generis ſunt explanationem.

§. 9. *Quid flumina, rotæ, currus.*

Conſiderandum modò quid ſibi velint flumina, rotæ ac currus,

μήχανον, καὶ τὸ πρὸς τὴν ἄφθονον καὶ πολύφωτον ἀκτῖνα τῆς θεαρχικῆς ἡλιοβολίας, ἐν ταῖς τῶν ὀπτικῶν δυνάμεων εὐρώστοις ἀνατάσεσιν ἀνεμποδίστως καὶ εὐθὺ καὶ ἀκλινῶς θεωρητικόν.

Τὴν δὲ τῶν ἵππων, τὸ εὐπειθὲς, καὶ εὐήνιον· καὶ λευκῶν μὲν ὄντων, τὸ λαμπρὸν, καὶ ὡς μάλιστα τοῦ θείου φωτὸς συγγενές· κυανῶν δὲ ὄντων, τὸ κρύφιον· ἐρυθρῶν δὲ, τὸ πυρῶδες καὶ δραστήριον· συμμίκτων δὲ πρὸς λευκοῦ καὶ μέλανος, τὸ τῇ διαπορθμευτικῇ δυνάμει τῶν ἄκρων συνδετικὸν, καὶ τὰ πρῶτα τοῖς δευτέροις, καὶ τὰ δεύτερα τοῖς πρώτοις, ἐπιστρεπτικῶς ἢ προνοητικῶς συνάπτον.

Ἀλλ᾽ εἰ μὴ τῆς τοῦ λόγου κατεστοχαζόμεθα συμμετρίας, καὶ τὰς κατὰ μέρος τῶν εἰρημένων ζώων ἰδιότητας, καὶ πάσας τὰς σωματικὰς αὐτῶν διαπλάσεις, ἐφηρμόσαμεν ἂν οὐκ ἀπεικότως ταῖς οὐρανίαις δυνάμεσι, κατὰ τὰς ἀνομοίους ὁμοιότητας. Τὸ μὲν θυμοειδὲς αὐτῶν, εἰς τὴν νοερὰν ἀνδρίαν, ἧς ἐστιν ἔσχατον ὁ θυμὸς ἀπήχημα· τὴν δὲ αὖ ἐπιθυμίαν, εἰς τὸν θεῖον ἔρωτα· καὶ συλλήβδην εἰπεῖν, πάσας τὰς τῶν ἀλόγων ζώων αἰσθήσεις τε καὶ πολυμερείας, εἰς τὰς ἀΰλους τῶν οὐρανίων οὐσιῶν νοήσεις, καὶ ἑνοειδεῖς δυνάμεις ἀνάγοντες. Ἀρκεῖ δὲ τοῖς ἐχέφροσιν, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ μιᾶς ἀπεμφαινούσης εἰκόνος ἀνακάθαρσις, εἰς τὴν τῶν παραπλησίων ὁμοιότροπον διασάφησιν.

Ἐπισκεπτέον δὲ καὶ τοὺς ποταμοὺς εἰρημένους, καὶ τροχοὺς, καὶ ἅρματα συν-

ημμένα

ημμένα ταῖς οὐρανίαις οὐσίαις. Οἱ μὲν γὰρ ἐμπύριοι ποταμοὶ σημαίνουσι τοὺς θεαρχικοὺς ὀχετούς, ἄφθονον αὐταῖς καὶ ἀνέκλειπτον ἐπιῤῥοίαν χορηγοῦντας, καὶ ζωοποιοῦ θρεπτικοὺς γονιμότητος· τὰ δὲ ἅρματα, τὴν συζυγικὴν τῶν ὁμοταγῶν κοινωνίαν· οἱ δὲ τροχοί, πτερωτοὶ μὲν ὄντες, ἐπὶ δὲ τὰ πρόσθεν ἀνεπιστρόφως καὶ ἀκλινῶς πορευόμενοι, τὴν κατ' εὐθεῖαν καὶ ὄρθιον ὁδόν, τῆς πορευτικῆς αὐτῶν ἐνεργείας δύναμιν, ἐπὶ τὸν αὐτὸν ἀκλινῆ καὶ ἰθύτομον οἶμον ἁπάσης αὐτῶν τῆς νοερᾶς τροχιᾶς ὑπερκοσμίως ἰθυνομένης.

Ἔστι δὲ καὶ κατ' ἄλλην ἀναγωγὴν ἀνακαθᾶραι τὴν τῶν νοερῶν τροχῶν εἰκονογραφίαν· ἐπεκλήθη γὰρ αὐτοῖς, ὥς φησιν ὁ Θεολόγος, Γέλ, Γέλ. ἐμφαίνει δὲ τοῦτο κατὰ τὴν Ἑβραϊκὴν φωνήν, ἀνακυλισμοὺς καὶ ἀνακαλύψεις. Οἱ γὰρ ἐμπύριοι καὶ θεοειδεῖς τροχοί, τοὺς μὲν ἀνακυλισμοὺς ἔχουσι, τῇ περὶ τὸ ταὐτὸν ἀγαθὸν ἀεικινήτῳ κινήσει· τὰς ἀνακαλύψεις δέ, τῇ τῶν κρυφίων ἐκφαντορίᾳ, καὶ τῇ τῶν περιπεζίων ἀναγωγῇ, καὶ τῇ τῶν ὑψηλῶν ἐλλάμψεων εἰς τὰ ὑφειμένα καταγωγικῇ διαπορθμεύσει.

Λοιπὸς ἡμῖν εἰς διασάφησιν ὁ περὶ τῆς χαρᾶς τῶν οὐρανίων διακοσμήσεων λόγος· καὶ γὰρ ἄδεκτοι παντελῶς εἰσὶ τῆς καθ' ἡμᾶς ἐμπαθοῦς ἡδονῆς· συγχαίρειν δὲ Θεῷ λέγονται, τῇ τῶν ἀπολωλότων εὑρέσει κατὰ τὴν θεοειδῆ ῥᾳστώνην, καὶ τὴν ἐπὶ τῇ προνοίᾳ καὶ σωτηρίᾳ τῶν ἐπὶ Θεὸν ἐπιστρεφομένων ἀγαθοειδῆ καὶ ἄφθονον εὐφροσύνην, καὶ τὴν εὐπάθειαν ἐκείνην τὴν

quæ cælestibus essentiis adiuncta perhibentur. Ac flumina quidem ignea diuinos illos latices significant, largissimam illis ac perennem inundationis copiam suppeditantes, vitalisque fecunditatis altores: currus autem, cōfœderatam æqualium societatem: rotæ verò alatæ, & ad anteriora irremeabili atque irreflexo motu tendentes, vim Angelicæ actiuitatis recto semper tramite pergentem, quâ spiritalis eorum rotatus omnis ad viam illam rectam arduamque supermundialiter dirigitur.

Licet etiam alio sensu anagogico spiritalium rotarum descriptionem interpretari: est enim eis, vt Propheta ait, nomen inditum *Gel, Gel*, quod Hebraico sermone reuolutiones reuelationesque significat. Igneæ enim diuinæque rotæ conuersiones quidem suas habent, quòd sempiterno motu circa idem summum bonum versentur; reuelationes verò, quòd occulta sacramenta reuelent, & humiliores quosque promoueant, sublimesque diuini fulgoris radios ad inferiores transfundant.

Ezech. 10.

Quid rotarum reuolutiones.

Reliqua nobis de cælestium distinctionum gaudio reddenda ratio est: etenim omnino incapaces sunt passibilis nostræ voluptatis; Deo autem congaudere perhibentur, ob eorum qui perierant inuentionem, scilicet secundùm Deiformem suauitatem, quam ex illorum, qui ad Deum conuertuntur, curâ saluteque percipiunt, & iuxta benignæ copiam lætitiæ atque in-

De cælestium gaudio.

TEXTVS S. DIONYSII.

effabilis delectationis, cuius sæpenumerò viri quoque sancti participes effecti sunt, cùm in ipsos diuinæ illius ac deificæ lucis fulgor influeret.

Hæc à me de sacris istis fictionibus dicta sint, quæ licet accuratam earumdem explanationem minimè attingant, multum tamen, vt opinor, conferent intelligentiæ nostræ, ne fictis huiuscemodi imaginationibus immoremur.

Quòd si obieceris, nos nequaquam omnium ex ordine, quæ Scripturis continentur, virtutum aut operationum imaginúmve Angelicarum fecisse mentionem; respondemus id quod res est, nos quarumdã supermundialem scientiam ignorasse, ac potiùs doctore ac illuminatore alio discendis iis indigere; quasdam verò, quòd dictis æquiualerent, pertransire, cùm orationis breuitati consulentes, tum arcana, quæ captum nostrum superant, silentio honorantes.

ἀῤῥήτου, ἧς ἐν μεθέξει πολλάκις γεγόνασι καὶ ἄνδρες ἱεροὶ, κατὰ τὰς θεουργοὺς τῶν θείων ἐλλάμψεων ἐπιφοιτήσεις.

Τοσαῦτά μοι περὶ τῶν ἱερῶν ἀναπλάσεων εἰρήσθω, τῆς μὲν ἀκριβοῦς αὐτῶν ἐκφαντορείας ἀπολειπόμενα, συντελοῦντα δὲ, ὡς οἶμαι, πρὸς τὸ μηδὲ ταπεινῶς ἡμᾶς ἐναπομεῖναι ταῖς τυπωτικαῖς φαντασίαις.

Εἰ δὲ καὶ τοῦτο φαίης, ὡς οὐ πάντων ἐξῆς τῶν Ἀγγελικῶν ἐν τοῖς Λογίοις δυνάμεων, ἢ ἐνεργειῶν, ἢ εἰκόνων ἐποιησάμεθα μνήμην· ἀποκρινούμεθα τἀληθὲς, ὅτι τῶν μὲν τὴν ὑπερκόσμιον ἐπιστήμην ἠγνοήσαμεν, καὶ μᾶλλον ἐπ' αὐτοῖς ἡμεῖς ἑτέρου τοῦ φωταγωγοῦντος, τοῦ μυοῦντος δεόμεθα· τὰ δὲ ὡς τοῖς εἰρημένοις ὁμοδύναμα παραλελοίπαμεν, τῆς τε συμμετρίας τοῦ λόγου προνενοηκότες, καὶ τὴν ὑπὲρ ἡμᾶς κρυφιότητα σιγῇ τιμήσαντες.

ANNOTATIONES CORDERII.

§. 1. NTEQVAM diuersas formas, in titulo recensitas, quibus Angeli describuntur, mysticè explicet, præmonet, eosdem Angelos respectu diuersorum aliquando præesse, scilicet inferioribus, aliquando etiam subesse, scilicet superioribus suis.

§. 2. Exponit quid per ignis formam in Scripturis significetur, & quæ sint ignis proprietates, & quid mysticè insinuent.

Vbi nota ex Epistolâ S. Dionysij ad Titum, aliter eamdem imaginem ignis accipiendam, cùm de Deo dicitur, qui intelligentiam superat; aliter cùm de prouidentiis eius, quas intelligentiâ percipimus, aut de sermonibus, & aliter cùm de Angelis. Atq; illam quidem (inquit) imaginem ignis de Deo dictam, secundùm causam accipere oportet, aliam secũdùm existentiam, aliam verò secundùm participationem; & alia aliter, vt eorum contemplatio & constitutio scienter facta præscribit. Nec enim oportet fortuitò ac temerè miscere symbola, sed potiùs explanare ea conuenienter causis, aut existentiis, aut potestatibus, aut ordinibus, aut dignitatibus, quæ omnia signis declarantur. Quomodo autem imago ignis conueniat pręceptis diuinis, quæ in Scripturâ vocantur Psalm. 11. *eloquia Domini igne examinata*, & quomodo Angelis, non idem sentiunt S. Maximus & Ioannes Cyparissiotus Decad. 6. cap. 2. vt obseruat Turrianus. S. Maximus enim ita interpretatur Dionysium, vt sermones Dei vocentur ignei secundùm existentiam, id est, quia sic eos fecit Deus, id est hanc eis vim indidit, cùm eorum auctor fuit; secundùm verò participationem Angelis conuenit, quia similes

miles esse Deo, qui ignis consumens est, à Deo, inquit S. Maximus, acceperunt, cùm per se essent secundùm substantiam. Ioannes verò Cyparissiotus secundùm existentiam dicit eis conuenire, quod probabilius videtur, vt cum substantiâ simul similitudinem Dei acceperint. Quia si priùs oportet esse, & posteà participare aliud præter quàm esse, Angeli non habent per participationem hoc quod eis tribuitur istis nominibus & figurationibus, sed per existentiã; quia non fuerunt priùs quàm ista participarent, sed potiùs cum his donis creati sunt. Vnde Gregorius Nazianzenus Angelum dicit esse primi luminis quamdam fluxionem & participationem.

Quomodo autem Angeli igneâ figurâ describantur, vide apud Danielem cap. 7. & 10. & Ezechielem cap. 1. & 8. & Matthæum 28. & ad prædicta loca consule P. Cornelium aliosque Interpretes, qui has figuras fusiùs explicant.

§. 3. Explicat quid sibi humana forma & membra velint, quibus Angeli describuntur, quid iuuenilis ætas, &c.

§. 4. Quid designent vestes diuersæ quas Angelis attribuunt, vt Danielis 10. & Ioannis 20, 12. & Actorum 1, 10. vbi apparuerunt Angeli in vestibus albis, &c. Consulat, qui volet, Interpretes ad ista Scripturæ loca.

§. 5. Exponit quid signent diuersa instrumenta quæ Angelis tribuuntur; vt virgæ, Psal. 44, 7. *Virga directionis, virga regni tui.* Ieremiæ 1, 11. *Virgam vigilantem ego video.* Zachariæ 11, 14. *Et præcidi virgam meam*, quæ designant prudentiam regendi, quoniam virga est insigne Iudicum ac Regum. Lanceæ verò & secures sunt vasa interfectionis, Ezechielis 9, 2. *Et ecce sex viri*, &c. *& vniuscuiusque vas interitus in manu eius.* Sapientiæ 5, 21. *Acuet autem duram iram in lanceam*, &c. 2. Machabæorum 15, 16. *Accipe sanctum gladium*, &c. Iob 16, 14. *Circumdedit me lanceis suis*, &c. Signant virtutem separandi reprobos ab electis, bonum à malo, & discernendi inter bonum & bonum, & bonum & melius, & melius & optimum. Instrumenta autem mensurandi & ædificandi, Ezechielis 40. Apocalypseos 21, Amos 7. &c. signant vim inchoandi virtutes, promouendi & perficiendi, &c. Plura qui volet, Interpretes consulat ad loca hîc citata.

Declarat cur Angeli vocentur venti, nubes, & similia, Psalm. 103, 4. Primò, vt designetur eorum agilitas: secundò, cum Deo conformitas. est enim ventus symbolum diuinæ operationis, Actorum 2, 2. Canticorum 4, 16. 3. Regum 19. &c. Tertiò, quia magnam habent & occultam vim operandi, iuxta quod de Deo scriptum est Iob 9. *Si venerit ad me, non videbo eum, & si recesserit, non intelligam.* & Ioannis 3. *Spiritus vbi vult spirat, & nescis vnde veniat, aut quò vadat.* Item Danielis 7, 2. per quatuor ventos intelligit sanctus Hieronymus quatuor Angelos quatuor Regnorum Præsides. vbi vide P. Cornelium, & ad Ezechielis cap. 1. & 10, 4. vbi per nubes etiam ait symbolicè Angelos significari. §. 6.

Explicat cur Angelis æris, electri, lapidumque diuersorum figuræ attribuantur; vt Ezechielis 1, 7. *Quasi aspectus æris candentis.* & cap. 40, 3. *Species quasi species æris.* item Danielis 10, 6. & alibi. Rursum Ezechielis 1, 4. & 7. *Quasi species electri.* & cap. 8, 2. *Et visio electri*, &c. §. 7.

Quid leonum, boum, equorum, aliarumque bestiarum formæ proprietatesque designent. Vide Ezechielis visiones, & ibidem Interpretes consule, qui figuras has fusè explicant. §. 8.

Quid flumina, Danielis 7. Ecclesiastici 24. rotæ, Ezechielis 1. 3. & 10. currus, 4. Regum 2. & 6. & Ezechielis 1. & 10. quid gaudium Angelorum, Luc. 15. &c. §. 9.

SCHOLIA S. MAXIMI.


Γγελοπρεποῦς.] Ὡς ὀθόνη, ὡς ἄνθραξ.

Ἀνακαθάρσεις.] Ἀνακαθάρσεις φησὶ τὰς ἐξηγητικὰς ἑρμηνείας, δι' ὧν καθαίρονται τῶν ἐν τοῖς λεγομένοις δοκούντων ἀτόπων τὰ σύμβολα.

Εἰ μὲν γάρ.] Ἄνω γὰρ εἶπεν, ὅτι αἱ ἀνώτεραι δυνάμεις ἱεραρχοῦσι τὰς μετ' αὐτάς, καὶ αἱ μέσαι τὰς ὑστέρας, καὶ αἱ ὕστεραι αὐτῶν τοὺς ἐν ἀνθρώποις ἱεράρχας. Οὔτε γὰρ εἶπεν, ὅτι ἡ αὐτὴ


ROVT ANGELOS DECET.] Vt linteum, vt carbo. §. 1.

SENSVS ANAGOGICI.] Sensus anagogicos vocat explanatorias istas interpretationes, quibus velut expurgantur illa symbola quæ in rebus dictis videntur absurda.

NAM SI QVIDEM.] Superiùs enim dixerat, supremas illas virtutes inferiorũ sacris pręesse, & medias postremis, & has hominum Pręsulibus pręsidere. Neq; enim dixit, eumdem ordi-

 nem

nem imperare sequentibus, & ab iisdem regi; verùm ita dixit, primum quidem ordinem sequentibus imperare, regi verò à præcedentibus. Sic quoque in ceteris intelligendum.

NAM SI IN SACRIS REGI.] Quod dicit, est eiusmodi: Si primos ordines præesse postremis, ac deinde vicissim eosdem postremos in rebus sacris diceremus præsidere primis istis ordinibus quorum imperio reguntur, absurda res foret.

HAVD INCONGRVE.] Non absurdum, inquit, est imagines, quæ in Scripturæ Oraculis reperiuntur, omnibus virtutibus cælestibus accommodare, cùm omnes, vt ita dicam, sublimes sint ac salutares & peritæ, etsi non æqualiter, sed aliæ quidem excellentes, aliæ verò remissiores.

AD ANTERIORA.] [Id est, id quod] superius & eminens est.

§. 2. INCIPIENDVM ET QVÆRENDVM.] Cur in figuris Angelicis maximè id quod igneum est probetur; & cur vt plurimum Scriptura tradat, res cælestes esse igneas, & Seraphinos Incensores appellari dicat.

INCENSORES.] Interpretatio nominis Seraphim.

SANCTI ENIM.] Cur etiam Deus in igne visus sit.

Quales sint ignis proprietates. SENSILIS ENIM IGNIS.] Admiranda sanè de naturâ ignis dissertatio. Ignem cernimus cuilibet rei aspersum, sed sine mixtione, id est, iis quibus inest impermixtum. Cuncta penetrat, hoc est, non sicut aqua manifestam facit cum terrâ commixtionem, sic etiam ignis dum vniuersa comburit atque consumit. Exemptus est, seu omnibus per excellentiam eminet elementis, scilicet in efficacitate. Ipsum autem vocat ignotum & occultum, vt qui in quibusdam quidem materiis existat, sed minimè appareat, nisi affrictu excitetur, & materia eius operationis capax adhibeatur: per quod etiam ostenditur, teneri viderique non posse. Simili quoque ratione ceteræ proprietates ignis contemplandæ sunt, quas hic Pater secundùm anagogen ac pium quemdam sensum in Deo naturisque Angelicis vsurpauit. Nota verò, cur Dominus Deus tam frequenter visus sit tamquam ignis, & in quo hæc ignis ad Deum similitudo consistat.

τάξις καὶ ἀρχὴ τῶν μετ' αὐτήν, καὶ ἄρχεται ὑπ' αὐτῆς· ἀλλ' οὕτως εἶπεν, ὅτι ἡ πρώτη τάξις ἀρχὴ μὲν τῶν μετ' αὐτήν, ἄρχεται δὲ ὑπὸ τῶν πρὸ αὐτῆς. Οὕτω καὶ εἰς τὰς ἑξῆς νοητέον.

Εἰ μὲν γὰρ ἱεραρχεῖσθαι.] Ὅ φησι τοῦτό ἐστιν, Ὅτι εἰ τὰς πρώτας τάξεις ἐλέγομεν ἱεραρχεῖν τῶν τελευταίων, εἶτα πάλιν αὐτὰς τὰς τελευταίας ἱεραρχεῖν τῶν πρώτων τάξεων ὑφ' ὧν καὶ ἱεραρχοῦνται, ἄτοπον πρᾶγμα ἦν.

Οὐκ ἀπεικότως.] Οὐκ ἄτοπον, φησὶ, τὰς ἐν τοῖς Λογίοις τῆς Γραφῆς εἰκόνας πάσαις ταῖς ἐπουρανίαις δυνάμεσι περιτιθέναι, ὡς πάσας, φέρε εἰπεῖν, εἶναι ὑψηλὰς, καὶ σωτηρίους, καὶ γνωστικὰς, εἰ καὶ μὴ ὁμοίως, ἀλλὰ τὰς μὲν ὑπερκειμένως, τὰς δὲ ὑφειμένως.

Καὶ τὸ πρὸς τὸ ἄναντες.] Ἀνώτερον καὶ ὑπερκείμενον.

Ἀρκτέον καὶ ζητητέον.] Διὰ τί ἐν τοῖς Ἀγγελικοῖς τύποις τὸ ἐμπύριον μάλιστα παραλαμβάνεται, καὶ διὰ τί τὰ περὶ τὰ οὐράνια πυρώδη ὡς ἐπὶ πλεῖστόν φησιν ἡ Γραφὴ, καὶ ὅτι οἱ Σεραφὶμ ἐμπρησταὶ λέγονται.

Ἐμπρηστὰς ὄντας.] Ἑρμηνεία Σεραφίμ.

Οἱ γὰρ ἱεροί.] Διὰ τὸ, καὶ ὁ Θεὸς εἰς πῦρ ἐθεωρήθη.

Τὸ γὰρ αἰσθητὸν πῦρ.] Φυσιολογία θαυμαστὴ περὶ πυρός. Τὸ πῦρ ὁρᾶ μὲν τῷ παντὶ κατεσπαρμένον, ἀμιγῶς δὲ, τουτέστιν, οὐκ ἀναφυρόμενον τοῖς ἐν οἷς ὑπάρχει. Διὰ πάντων δὲ φοιτᾷ, τουτέστιν, οὐ καθάπερ τὸ ὕδωρ προφανῆ τὴν πρὸς τὴν γῆν ποιεῖται μίξιν, οὕτω καὶ τὸ πῦρ, καταφλέγον τὸ πᾶν καὶ ἀναλίσκον. Ἐξῄρηται δὲ, ἤγουν ὑπέρκειται πάντων κατ' ἐξαίρετον, στοιχείων δηλαδὴ, κατὰ τὸ δραστήριον. Ἄγνωστον δὲ αὐτὸ καὶ κρύφιον καλεῖ, ὡς ὑπάρχον μὲν ἐν ὕλαις τισὶν, οὐ φαινόμενον δὲ δίχα παρατρίψεως, ἢ ἄνευ ὕλης δεκτικῆς τῆς ἐνεργείας αὐτοῦ, δεικνύμενον καὶ κατὰ τοῦτο ἄσχετον καὶ ἀθεώρητον. Ὁμοίως καὶ τὰς λοιπὰς τοῦ πυρὸς ἰδιότητας θεωρητέον, ἅς τινας οὗτος ὁ Πατὴρ κατ' εὐσεβῆ ἀναγωγήν τε καὶ ἔννοιαν ἔλαβεν ἐπὶ Θεοῦ τε καὶ Ἀγγελικῶν φύσεων. Σημείωσαι δὲ, διὰ τί Κύριος ὁ Θεὸς ὡς πῦρ ἐθεωρήθη πολλάκις, καὶ κατὰ τί ἡ ὁμοίωσις τοῦ πυρὸς πρὸς τὸν Θεόν.

Ἀκράτητον, ἀμιγὲς, διακριτικόν.] Σημείω-

TENERI MISCERIQVE NON POTEST, SECERNENDI VIM HABET.] Nota expositionem

σαι

σαι ἔκφρασιν αἰσθητοῦ πυρὸς, ἤτοι ἔπαινον· διακρίνει γὰρ καὶ τὰς ὕλας, οἷον μόλιβδον ἀπὸ ἀργύρου, καὶ τὰς κολλήσεις διαλύει. Ἀναλλοίωτον δὲ, καθὸ * δυνατὸν, μένοντος τοῦ ὑποκειμένου, τουτέστιν αὐτῆς τῆς οὐσίας τοῦ πυρὸς, μεταβάλλειν αὐτὸ ἐν τοῖς πάθεσιν, οἷον γενέσθαι αὐτὸ στρογγύλον, ἢ κωνοειδὲς, ὥσπερ ἐν τοῖς γηΐνοις ἐστὶν εὑρεῖν· ἢ παθεῖν τὰ τοῦ ἀέρος, οἷον φθαρῆναι διὰ τῶν ἀναθυμιάσεων, ἢ παχυνθῆναι, ἢ καὶ ὡς τὸ ὕδωρ μεταβολὰς δέξασθαι.

*γρ. ἀδύνατον,

Ὑφέσεως.] Οὐδέποτε γὰρ χωρεῖ ἐπὶ τὰ κάτω.

Ταυτοκίνητον.] Ὡσαύτως κινούμενον.

Ἀπροσδεές.] Ὅτι ἀπροσδεὲς ἑτέρου τὸ πῦρ, καίτοι δέεται τινὸς ὑποκειμένου εἰς τὸ ἐξαφθῆναι. Ἀλλ' οὐ τοῦτο λέγει, ἀλλ' ὅτι τὸ πῦρ οὐ μίγνυται ἑτέρῳ στοιχείῳ, οὐδὲ κιρνᾶται ὡς τὸ ὕδωρ τῇ γῇ, διὸ καὶ ἐν στοιχείοις μονοούσιον αὐτὸ ἔνιοι κεκλήκασιν.

Ἀνθρωπομόρφους.] Διὰ τί καὶ ἀνθρωπόμορφοι διαπλάττονται οἱ Ἄγγελοι.

Καὶ τὸ κατ' αἴσθησιν.] Σημείωσαι τὴν διαφορὰν τῆς αἰσθήσεως τῶν ἀλόγων ζώων, πρὸς τὸ αἰσθητικὸν τῶν λογικῶν ἡμῶν λέγω. Τὰ μὲν γὰρ ἄλογα, τὸ πᾶν αἴσθησίς εἰσι, δι' ἧς καὶ συνίστανται ἀνόητα ὄντα· ἐν δὲ ἡμῖν βραχὺ τὸ αἰσθητικόν· οὐ γὰρ δι' αὐτοῦ συνιστάμεθα, ἀλλὰ διὰ τοῦ νοεροῦ· ὅθεν καὶ μετὰ θάνατον ἔτι ἐσμὲν, ψυχὴ νοερὰ ὄντες· ἐπὶ δὲ τῶν Ἀγγέλων οὐδὲ τὸ βραχύτατόν ἐστι τῶν αἰσθήσεων, ἀλλὰ τύπος ταχὺς τὰ καθ' ἡμᾶς. Ἐλάχιστον δὲ τὸν ἄνθρωπον κατ' αἴσθησίν φησιν, οὐχ ὡς τῶν ἄλλων ζώων πλείονας αἰσθήσεις ἐχόντων, ἀλλὰ δραστικωτέρας καὶ ὀξυτέρας. Αἴνιγμα δὲ τοῦτο λαμβάνει, τὸ, τοὺς Ἀγγέλους μὴ κεχρῆσθαι μὲν τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις, ὑπερέχειν δὲ κατὰ πολὺ τῷ περιόντι τῆς νοερᾶς δυνάμεως, ὥσπερ καὶ ἄνθρωπος τῇ τοῦ νοῦ ὑπεροχῇ καὶ τῷ λογισμῷ, τῆς ἀλόγου φύσεως κρατεῖ.

Τὰς μὲν ὀπτικάς.] Τί οἱ ὀφθαλμοὶ τῶν νοητῶν δηλοῦσι, καὶ τί τὰ * ὀσφραντὰ, τουτέστιν αἱ ῥῖνες· καὶ τί τὰ ὦτα, καὶ τί ἡ γεῦσις, καὶ τί ἡ ἁφὴ, ἣν ἁπτικὴν φησι· καὶ τί τὰ βλέφαρα, καὶ αἱ ὀφρύες, καὶ τί ἡ ἥβη, καὶ τί οἱ ὀδόντες, καὶ τί οἱ ὦμοι, καὶ οἱ βραχίονες, οὓς ὠλέτας φησί· καὶ τί τὸ στῆθος, καὶ τί τὸ νῶτον, καὶ οἱ πόδες, καὶ τί τὸ ἐλαφρὸν τῶν πτερῶν, καὶ τὰ ἑξῆς.

*γρ. ὀσφραντικὰ,

siue laudem sensilis huius ignis: siquidem materias, vt plumbum ab argento, secernit, conglutinationesque dissoluit. Immutabilis est, quatenus impossibile est, manente subiecto, hoc est eâdem ignis naturâ, ipsum in proprietatibus mutari, veluti ipsum rotundum fieri vel angularem, quod in rebus terrestribus locum habet; vel aëris proprietates admittere, v.g. per exhalationes corrumpi, vel condensari, vel instar aquæ suscipere mutationes.

Deiectionem.] Numquam enim inferiora petit.

Seipso movetur.] Eodem modo mouetur.

Non eget.] Quoniam nullius alterius indiget, tametsi subiecto quopiam opus habeat vt accendatur. Verùm non hoc dicit, sed, ignem alteri elemento non commisceri, neque sicut aquam terræ permisceri; quocircà ipsum aliqui in substantiâ suâ solitarium appellarunt.

Humana forma.] Cur Angeli humanâ formâ depingantur. §.3.

Et sensu quidem.] Nota differentiam inter sensum brutorum animantium, & sensum rationalium, nostrum inquam. Bruta enim prorsus sunt sensus, quo etiam reguntur, cùm sint mentis expertia: in nobis autem modicum quid est sensile, neque enim ex eo constamus, sed ex intellectili; ideò etiam post mortem supersumus, cùm constemus animâ spiritali: in Angelis autem neque minimum quid est sensuum, sed nostra sunt quædam rudis illorum figura. Porrò hominem ait esse minimum secundùm sensum, non quòd alia animantia plures sensus habeant, sed efficaciores & acutiores. Assumit verò hoc exemplum, Angelos, cùm non vtantur iis quibus nos sensuum instrumentis, plurimum antecellere intelligentis copiâ facultatis; sicut etiam homo mentis excellentiâ & ratiocinandi scientiâ irrationalem superat naturam.

Homines à brutis in sensu superari.

Videndi facultates.] Quid oculi spirituum significent, quid odorandi facultates, id est nares; quid aures, quid gustus, quid tactus, quem tactilem vim nuncupat; quid palpebræ, quid supercilia, quid pubertas, quid dentes, quid humeri & brachia, quæ vlnas vocat; quid pectus, quid dorsum, quid pedes, quid leuitas alarum, &c.

QVÆ ODORE PERCIPIVNTVR.] Hîc agit de naturali facultate odoratus corporei. Ceterùm hæc ad anagogen transfert, ſicut etiam reliqua humana membra reuocat ad naturalium virtutum Angelicarum contemplationem.

DELICIOSORVM RIVVLORVM.] Riuulum intellige ſupereffluentem ſapientiæ fuſionem, Iſa.44,3. iuxta quod dictum eſt, *Effundam de Spiritu meo ſuper omnem carnem*, & quæ ſequuntur. diuina ſiquidem cognitio à Deo per intellectiles virtutes in diuinos homines pertranſit.

VNIFORMEM.] Secundùm ſuſceptionem intellectionis.

PROVIDA VIRTVTE.] Quælibet, inquit, virtus intellectilis diuinam cognitionem ſibi traditam multiplicat, id eſt, manifeſtat, ea quæ viderat explanando, vt à nobis intelligantur; vti reperies apud Danielem, vbi Angelus illi ſomnium quod viderat exponit.

Cor vitæ radix. COR AVTEM.] Circumplectimur cor noſtrum tamquam centrum & primum vitæ receptaculum; quoniam, ſecundùm D. Baſilium, primum creatur cor, ac deinde velut ex centro vniuerſum corpus effingitur, ad vitam inde per totum corpus diffundendam. Siue enim congenitus calor corpus viuificet, ſiue ſpiritus, ſiue ſanguis, iſtorum omnium fons eſt cor. Quocircà etiam quibuſdam placuit, vim omnem viuificam ſimul hîc primariò maximeq; collectam radicari, licet alioquin etiam per totum corpus diſtributa ſit, nullo loco conſtricta, nullo loco circumſcripta, nec corpore comprehenſa: ſic vtique in inuiſibilibus etiam ordinibus ſe res habet, ſiue vniuerſim ſiue ſpeciatim prouidis vacent miniſteriis. Conſiderandum enim, ipſos veluti in medio ac cordis loco, non ſecùs ac fontalis vitæ centrum, collocari; tametſi contineri nequeant, nec vllo loco partéve corporis eorum quibus diuinitus præfecti ſunt, valeant circumſcribi.

ET QVÆ TVEATVR.] Sententiam hanc ita compone, quæ viuificam diſtributionem tueatur, nempe in ſuppoſito corde.

PROPTER QVOD ETIAM PENNATOS.] Cur pedes Angelorum alati: vt oſtendat ſemetipſos mouendi & in Deum intendendi facultatē, & nullam cum rebus terrenis communionem; ita vt nullo earum affectu teneantur, quamuis etiam in terrâ viſi ſint Angeli.

Τὰς δὲ τῶν ὀσφραντῶν.] Ἐν τούτοις φυσιολογεῖται τὸ ἰδίωμα τοῦ σωματικοῦ* ὀφθαλμοῦ. Κατὰ ἀναγωγὴν δὲ ταῦτα μεταβάλλει, ὥσπερ καὶ τὰ τῶν λοιπῶν ἀνθρωπίνων μελῶν, εἰς θεωρίαν τῶν ἐν Ἀγγέλοις φυσικῶν δυνάμεων.

*γρ. ὀσφραντικοῦ.

Καὶ τροφίμων ὀχετῶν.] Ὀχετὸν νόησον, τὴν τῆς σοφίας ἀνυπέρβλητον χύσιν, κατὰ τὸ εἰρημένον, Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ τὰ ἑξῆς. διαβαίνει γὰρ ἡ θεία γνῶσις ἀπὸ τοῦ Θεοῦ διὰ τῶν νοητῶν δυνάμεων ἐπὶ τοὺς θείους ἀνθρώπους.

Ἑνοειδῆ.] Κατὰ παράληψιν νοήσεως.

Προνοητικῇ δυνάμει.] Πᾶσα, φησὶ, νοητὴ δύναμις τὴν γινομένην εἰς αὐτὴν θείαν γνῶσιν πληθύνει, τουτέστι σαφηνίζει πρὸς τὸ νοηθῆναι ὑφ' ἡμῶν διερμηνεύουσα τὰ ὁραθέντα, ὡς παρὰ τῷ Δανιὴλ εὑρήσεις, ὅτε διερμήνευεν αὐτῷ ὁ Ἄγγελος τὸ ἐνύπνιον ὅπερ εἶδε.

Τὴν δ' αὖ καρδίαν.] Περιείληπται παρ' ἡμῖν ἡ καρδία, οἷον κέντρον πρώτως τὴν ζωὴν δεδεγμένον, ἐπειδὴ κατὰ τὸν θεῖον Βασίλειον πρώτη κτίζεται ἡ καρδία, εἶτα ὡς ἀπὸ κέντρου πᾶν τὸ σῶμα πλαστουργεῖται, ὥστε πανταχοῦ ταύτην τὴν ζωὴν διατείνειν εἰς τὸ σῶμα. Εἴτε γὰρ ἡ σύμφυτος θερμότης ζωοποιεῖ τὸ σῶμα, εἴτε τὸ πνεῦμα, εἴτε τὸ αἷμα, πάντων τούτων πηγὴ ἡ καρδία. Διὸ καί τισιν ἔδοξε πᾶν τὸ ζωτικὸν ἀθρόον καὶ οἷον ἐνταῦθα πρώτως μάλιστα ἱδρύσθαι, καίτοι πανταχοῦ τοῦ σώματος ὂν, καὶ οὐ κατεχόμενον τόπῳ, οὔτε περιγεγραμμένον ἐν τόπῳ, οὔτε συνεχόμενον ὑπὸ τοῦ σώματος· οὕτως οὖν καὶ ἐπὶ τῶν ἀοράτων τάξεων, εἴτε ἐν τῷ παντὶ, εἴτε κατ' εἶδος διακονικῶς προνοοῦσιν. Οἱονεὶ γὰρ ἐν μέσῳ καὶ καρδίας τόπῳ νοητέον αὐτὰς, καὶ ὡς κέντρον πηγαίας ζωῆς ἱδρύσθαι, καίτοι ἀκρατεῖς οὔσας, καὶ οὐ περιγεγραμμένας τόπῳ, ἢ μέρει σωματικῷ, ὧν συνέχουσι προνοεῖν θεόθεν ταχθεῖσαι.

Καὶ τὸ φρουρητικόν.] Τὸ ῥητὸν οὕτως σύνθες, τὸ φρουρητικὸν τῆς ζωοποιοῦ διαδόσεως· εἶτα, ὡς ἐπὶ τῆς ὑποκειμένης καρδίας.

Διὸ καὶ ὑποπτέρους.] Διὰ τί ἐπτερωμένοι οἱ πόδες τῶν Ἀγγέλων· ἵνα δείξῃ τὸ αὐτοκίνητον, καὶ τὸ πρὸς τὸ Θεῖον ἀναστατικὸν, καὶ πρὸς τὰ ἐπίγεια ἀκοινώνητον, ὅσον εἰς τὸ ἐμπαθῶς ἐν αὐτοῖς εἶναι, ἐπεὶ ὤφθησαν καὶ ἐπὶ γῆς Ἄγγελοι.

Πτερῶν

Πτερῶν ἐλαφρία.] Τί ἐλαφρὰ πτερωτά.

Καὶ καθαρεῦον.] Τῆς τῶν ἐκτὸς προσθήκης, οἷον τροφῶν καὶ ἀμφίων, οἷς τὰ καθ' ἡμᾶς συγκρατεῖται.

Πολυποίκιλος σοφία.] Ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ· τοῦτο τὸ ῥητὸν Ἀποστολικόν ἐστι. Καὶ διὰ τί πολυποίκιλον αὐτὴν εἶπεν ὁ θεῖος ἀνήρ; καίτοι τὸ ποικίλον ἐπὶ κακοῦργου δεχόμεθα. Ἄλλως τε καὶ ἐνταῦθα ὁ μέγας Διονύσιος ἁπλῆν καὶ πολυποίκιλον αὐτὴν εἶπεν. Δοκεῖ δὲ τὰ δύο ἐναντία. Λέγομεν οὖν, ὅτι τὸ ἁπλῆ σοφία διὰ τοῦτο εἶπεν, ἵνα δηλώσῃ τὸ ἀσύνθετον τοῦ Θεοῦ, καὶ τὸ μηδεμιᾶς διπλόης ἐπιδεόμενον· οὔτε γὰρ ἐκ μαθήσεως σοφὸς ὁ Θεός, ἀλλ' αὐτόχρημα σοφία ἐστί. Τὸ δὲ πολυποίκιλον, διότι εἰς πολλὰ γνώσεως εἴδη μετατυποῦται, διὰ τὴν τῶν ἐλλαμπομένων ἀσθένειαν. Ἀρχιερεὺς γάρ ἐστι μέγας, συμπάσχων ταῖς ἡμῶν ἀσθενείαις. Ἢ καὶ οὕτως· Ἁπλῆ μὲν λέγεται σοφία Θεοῦ πρὸ τῆς οἰκονομίας, ὅτι πάντα ὡς Θεὸς ἐδημιούργησε, καὶ ἐν τοῖς τότε δικαίοις τὴν ἰδίαν ἀπερικαλύπτως ἐπιδεικνύμενος δύναμιν, ὡς ἐπὶ Μώσεως καὶ Ἀβραάμ, καὶ τῶν ἑξῆς. Ὅτε δὲ τὸ τῆς οἰκονομίας μυστήριον κατειργάζετο, ἡ πολυποίκιλος εἰκότως κληθείη· ἄνθρωπος γὰρ γενόμενος, καὶ ὑπὸ νόμον χρηματίσας, καὶ παθών, καὶ ἐν νεκροῖς εὑρεθείς, οὕτω διὰ σαρκὸς καὶ τῆς ἐνούσης αὐτῇ ἀσθενείας ἐθριάμβευσε πάντα ἐχθρόν, καὶ τὸν ᾅδην ἐνίκησε, τοῖς ἐκεῖ φρουρουμένοις ἀνάστασιν δωρησάμενος. Τοῦτό ἐστι τὸ ποικίλον τῆς αὐτοῦ σοφίας, ὅτι δι' ἀσθενείας περιεγένετο τῶν δοκούντων ἰσχυρῶν.

Καθόλου.] Καὶ ἐν τῷ περὶ Θείων ὀνομάτων Λόγῳ, κεφαλαίῳ δ. πλατέως ἐσαφηνίσθη, τί νοητόν, καὶ τί νοερόν· νῦν δὲ αὐτὸς ὁ μέγας Διονύσιος σαφηνίζει· νοητὸν μὲν γὰρ ἐκεῖνο τυγχάνει τὸ νοούμενον, ὅπερ εἰκότως καὶ ἐλλάμπειν τὸ φῶς λέγεται· νοερὸν δέ, αὐτὸ τὸ νοοῦν ὑπάρχον ἐλλαμπόμενον. καὶ συντόμως εἰπεῖν, αἱ ὑπερβεβηκυῖαι οὐσίαι νοηταί, αἱ δὲ ὑφειμέναι νοεραί, καὶ ὑποβέβηκε τὸ νοοῦν τὸ νοούμενον· νοητῶς μὲν ἐλλάμπον, ἡ θεία φύσις· νοερῶς δὲ ἐλλαμπόμενον ἡ Ἀγγελική.

Ἱερατικήν.] Σημείωσαι τί τὸ ἱερατικὸν ἔνδυμα ἐν Ἰεζεκιὴλ καὶ Δανιήλ.

ALARVM LEVITAS.] Quidnam leues pennæ.

ET PVRAM.] Ab externo additamento, v.g. alimentorum & vestium, quibus nos conseruamur.

MVLTIFORMIS SAPIENTIA.] *Multiformis sapientia Dei*; ista sententia est Apostoli. §.4. Eph.3,10. *Sapientia Dei cur multiformis.* Sed cur vir diuinus ipsam dixit esse multiformem? siquidem multifarium in malam partem accipimus. Verumtamen aliter Magnus Dionysius eamdem sapientiam, simplicem ac multiformem appellauit. Videntur autem hęc duo contraria. Dicimus itaque idcircò dixisse simplicem sapientiam, vt ostenderet Deum esse sine compositione, & nullâ duplicitate indigere; neque enim discendo Deus sapiens fit, sed est ipsa reapse sapientia. Multiformem verò, quia in multas cognitionis species, propter eorum qui illustrantur imbecillitatem, transformatur: Pontifex enim Magnus est, qui nostris infirmitatibus compatitur. Vel etiam sic: Simplex quidem dicitur Dei sapientia secundùm dispensationem, quatenus omnia tamquam Deus creauit, & in iustis illius temporis propriam quoque virtutem declarauit, vt in Moyse & Abrahamo, ceterisque: quando autem dispensationis mysterium in opus deduxit, meritò multiformis est appellata; nam homo factus, & legi subiectus, & passus, & inter mortuos inuentus, ita per carnem & insitam sibi infirmitatem de omni hoste triumphauit, & infernum superauit, & in eo detentos resurrectione decorauit. Hæc vtique est eius sapientiæ multiplicitas, quòd per infirmitatem eos qui fortes videbantur debellarit.

OMNINO.] In libro etiam de Diuinis nominibus cap.4. fusè explanatum est, quid sit intelligibile & quid intelligens; nunc autem ipse Magnus Dionysius id ipsum exponit: quoniam intelligibile est id quod intelligitur, quod probabiliter etiam lumen illustrare dicitur; intelligens verò id quod dum intelligit illustratur. &, vt compendio dicam, superiores ordines sunt intelligibiles, inferiores verò intelligentes, & intelligens intelligibili subordinatur: siquidem natura diuina illustrat intellecta, sed Angelica intellectiliter illustratur.

SACERDOTALEM.] Nota, quid vestis sacerdotalis in Ezechiele & Daniele.

EORVM

EORVM HABITVM COLLECTVM.] Diximus ſuprà, quid ſit habitus in rebus incorporeis. Lege etiam Caput ſeptimum. Per compactionem autem & collectionem cogitationum Pater hîc ſignificat, propriam ipſorum circa diuinas illuſtrationes & in boni Dei manſione idemtitatem ſemper recollectam.

DISSIMILIVM.] Scilicet materialium.

§. 5. GEOMETRICA.] De inſtrumentis Geometricis [agitur] in Ezechiele & Zachariâ.

CORRECTRICEM.] Vt gladius in libris Regum, & falx in Zachariâ Prophetâ.

§. 6. VENTOS.] Exiſtimo ipſum alludere ad il-
Pſ. 103, 3. lud Dauidis, *Qui ambulat ſuper pennas ventorum:* vbi fortè inſinuat Chriſti aſcenſionem; quoniam in ſequentibus Pater ait ipſos effictos eſſe ſpecie nubis, eò quòd dictum ſit,
Act. 1, 9. *Nubes ſuſcepit eum ab oculis eorum.*

ABSQVE MORA.] Dixit *abſque morâ*, quoniam in ſenſilibus propriè res in tempore tardiuſque fiunt, in incorporeis verò ac ſpiritalibus in inſtanti, perpetimque & incunctanter peraguntur. In ſpiritalibus itaque non oportet temporis meminiſſe.

EFFICIENTIAM.] Id eſt ſpirationem, aut volatum.

SVSQVE.] Id eſt ſurſum deorſum, vt in ſcalâ Iacob.

AEREI.] Nota, ipſum hîc ſpiritum aëreum vocare ventum.

VENTOSVM.] Alia contemplatio appellationis ventorum.

SYMBOLICA THEOLOGIA.] Aduerte etiam alium Tractatum ineditum. Quatuor autem elemẽtorum explicationem, vocat anagogicam quatuor elementorum allegoriam; in illo enim Libro fuſiùs videtur quatuor elementorum contemplationem explanaſſe. Ob-
Ioan. 3, 8. ſerua item, quomodo interpretetur illud, *Spiritus vbi vult ſpirat*, per ea quę ſubiunguntur; ait enim, *Neſcis vnde veniat, aut quò vadat.*

SVPERMVNDIALITER REPLETAS.] Quemadmodum enim nubes è mari aquam elicit, & ſupra terræ faciem effundit, iuxta quod di-
Amos 9, 6. citur, *Qui vocat aquas maris, & effundit eas ſuper omnem faciem terræ:* ſic & mentes accipientes notitiam ſuam, inſtar nubium in inferiores explicant.

Συναγωγὸν αὐτῶν ἕξιν.] Εἴπομεν ἀνωτέρω, τί ἐστιν ἕξις ἐπὶ ἀσωμάτων. Καὶ ἀνάγνωθι ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ. Τὸ συμπηγμένον δὲ καὶ ἀσκέδαστον τῶν νοήσεων, διὰ τούτων δηλοῖ ὁ Πατὴρ περὶ τὰς θείας ἐλλάμψεις, καὶ τὴν οἰκείαν ἐν τῇ τοῦ ἀγαθοῦ Θεοῦ μονῇ ταυτότητα συνειλουμένην διὰ παντός.

Ἀνομοίων.] Ὑλικῶν δηλονότι.

Γεωμετρικά.] Περὶ σκευῶν γεωμετρικῶν ἐν Ἰεζεκιὴλ καὶ Ζαχαρίᾳ.

Ἐπανορθωτικήν.] Ὡς τὸ ξίφος ἐν Βασιλείαις, καὶ τὸ δρέπανον ἐκ Ζαχαρίᾳ τῷ Προφήτῃ.

Ἀνέμους.] Τοῦ κειμένου παρὰ τῷ Δαβὶδ οἶμαι αὐτὸν μνημονεύειν, Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. ἴσως τὴν ἀνάληψιν τοῦ Χριστοῦ δηλοῦντος, ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς ὁ Πατὴρ νεφέλης αὐτοὺς περιπλάττεσθαι ἰδέαν φησίν, διὰ τὸ εἰρῆσθαι, Νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Ἀχρόνως.] Ἀχρόνως εἰκότως ἔφη, ἐπὶ γὰρ τῶν αἰσθητῶν κυρίως ἐν χρόνῳ καὶ βραδύτερα τὰ γινόμενα, ἐπὶ δὲ τῶν ἀσωμάτων καὶ νοητῶν, ἀχρόνως καὶ αἰωνίως καὶ ἀμελλητὶ τελεσιουργεῖται. Οὐ δεῖ οὖν χρόνον ἐπὶ τῶν νοητῶν ὀνομάζειν.

Ποίησιν.] Ἀντὶ τοῦ, πνεῦσιν ἢ πτῆσιν.

Καὶ τὴν ἄνωθεν.] Τὸ δὲ ἄνωθεν ἐπὶ τὰ κάτω, ὡς ἐπὶ τῆς Ἰακὼβ κλίμακος.

Ἀερίου.] Σημείωσαι, ὅτι ἀέριον πνεῦμα τὸν ἄνεμον λέγει.

Ἀνεμιαίαν.] Ἑτέρα θεωρία τῆς ἀνέμων ἐπωνυμίας.

Συμβολικῇ Θεολογίᾳ.] Σημείωσαι καὶ ἕτερον αὐτοῦ Σύγγραμμα μὴ φερόμενον. Τετράστοιχον δὲ ἀνακάθαρσιν τῶν τεσσάρων στοιχείων, ἀναγωγικὴν ἀλληγορίαν φησί· τὰ σύμβολα δέ, ὡς ἔοικε, μᾶλλον τῶν τεσσάρων στοιχείων ἐκεῖ διὰ θεωρίας ἀνέπτυξε. Σημείωσαι δέ, πῶς ἑρμηνεύει τό, Πνεῦμα ὅπου θέλει πνεῖ, διὰ τῶν ἐπιφερομένων· φησὶ γάρ, Οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

Ὑπερκοσμίως ἀποπεπληρωμένους.] Ὥσπερ γὰρ ἡ νεφέλη προσκαλεῖται τὸ τῆς θαλάσσης ὕδωρ, καὶ ἐκχεῖ αὐτὸ ἐπὶ τὸ πρόσωπον τῆς γῆς, κατὰ τὸ εἰρημένον, Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· οὕτω καὶ οἱ νόες δεχόμενοι τὴν οἰκείαν γνῶσιν, νεφελῶν δίκην ἐπὶ τοὺς ὑποδεεστέρους ἁπλοῦσιν.

Ἀνεκπομ-

Ἀνεκπομπεύτως.] Ἀνεκπομπεύτως φησίν, ἤγουν συγκεκραμένως· ἀναπόβλητον γὰρ ἐν νεφέλῃ τὸ φῶς.

Ὀμβροτοκίαν.] Ἑτέρως θεωρεῖ, τί νεφέλαι σημαίνουσι. Παρακατιὼν δέ, τί φησὶ σημαίνειν ἤλεκτρον, καὶ χαλκὸν, καὶ τὰ ποιὰ χρώματα καὶ μορφὰς θηρίων ἐπὶ Ἀγγέλων.

Ἐκδοχεῖον.] Ἐκδοχεῖον κόλπον, τὴν τοὺς ὑετοὺς ὑποδεχομένην ὠνόμασε γῆν, δι' αὐτῶν τοὺς οἰκείους τίκτουσαν καρπούς.

Ἀλλ' ἐπειδὴ ταῦτα.] Περὶ τῶν θηριομόρφων τύπων.

Ἰχνῶν.] Σημείωσαι τὸ φυσικὸν τοῦ λέοντος ἐντεῦθεν· φασὶ γάρ, ὅτι τοὺς θηρεύοντας λανθάνειν βουλόμενος, περιπατῶν τῇ οὐρᾷ ἐξαφανίζει τὰ ἑαυτοῦ ἴχνη, ἵνα μὴ γνωσθῶσιν· ὅθεν καὶ περὶ Θεοῦ εἴρηται, Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Ὥσπερ γὰρ ὁδὸς ἐν ὕδασιν οὐ σώζεται, οὔτε ἴχνη λέοντος, οὕτως οὔτε Θεοῦ πορεῖαι.

Εὐμήχανον.] Ὀξυωπέστατον γὰρ ζῷον ὁ ἀετός. Λόγος γάρ, τοὺς ἀετοὺς τῶν τικτομένων τὰ γνήσια ἐκ τῶν νόθων οὕτω διακρίνειν· ἐὰν ἀτενίσωσιν ἀσκαρδαμυκτὶ πρὸς τὸν ἥλιον, γνήσιά εἰσιν· εἰ δὲ μή, ὡς νόθα ἀποβάλλονται τῆς καλιᾶς· οὕτως οὖν καὶ ὁ μὴ δυνάμενος καθαρῶς τῷ Ἡλίῳ τῆς δικαιοσύνης ἀτενίσαι, νόθος τῆς αὐτοῦ γνώσεως εὑρίσκεται.

Καὶ λευκῶν μέν.] Σημείωσαι τί ἵπποι λευκοί, κυανοί, ἐρυθροί, σύμμικτοι. Ἀνόμοιον δὲ ὁμοιότητα ἄνω τελέως ἐσαφηνίσαμεν ἐν δευτέρῳ κεφαλαίῳ τούτου τοῦ βιβλίου.

Τὴν κατ' εὐθεῖαν.] Τὸ Τὴν πρὸς τὸ Δύναμιν ἁρμοστέον· τὰ δὲ λοιπά, διὰ μέσου.

Κατ' ἄλλην.] Ἑτέρα θεωρία εἰς τοὺς τροχούς.

Γὲλ, Γέλ.] Σημείωσαι τί σημαίνει τὸ Γὲλ Γὲλ παρὰ τῷ Προφήτῃ Ἰεζεκιήλ.

Χαρᾶς.] Πῶς λέγονται χαίρειν τὰ οὐράνια καὶ αὐτὸ τὸ Θεῖον.

Ἐμπαθοῦς.] Ἐμπαθῆ ἡδονήν, τὴν ἀνθρωπίνην φησίν, ὡς τῇ περὶ τὸ σῶμα εὐαλλοιώτῳ ἐμπαθείᾳ συνισταμένην.

Ῥαστώνην.] Τὸ τῆς ῥαστώνης ὄνομα τίθεται μὲν ἐπὶ τῶν πονεῖν μὴ βουλομένων, ἀλλὰ διαφόρως ζῆν ἑλομένων· σημαίνει δὲ ἡ λέξις τὸ εὔχερες καὶ οὐκ ἐπίπονον· ἐνταῦθα μέντοι τὸ μακάριον καὶ ἀπαθὲς

SINE FASTV.] Sine faſtu ſeu oſtentatione dixit, id eſt refractè: lumen enim in nube quaſi refractum exiſtit.

IMBRIS GENERATIONEM.] Conſiderat hîc aliter nubium ſignificationem. Deſcendendo autem ait, quid in Angelis electrum, æs, nonnulli colores, & ferarum formæ ſignificent.

RECEPTACVLVM.] Receptaculum ſeu gremium appellauit terram quæ pluuias excipit, è quibus fructus ſuos concipit ac parit.

SED QVONIAM HÆC.] Agit de figuris ferarum formas referentibus. §. 7.

VESTIGIORVM.] Hinc obſerua naturã leonis: aiunt enim, ipſum, dum venatores latere cupit, inter ambulandum veſtigia ſua delere caudâ ſuâ, ne cognoſcantur: vnde etiam de Deo dicitur, *In mari via tua, & ſemitæ tuæ in aquis multis, & veſtigia tua non cognoſcentur.* Quemadmodum enim via in aquis non ſeruatur, neque veſtigia leonis, ita nec greſſus Dei. §. 8. Pſal. 76, 20

FACILITATEM.] Aquila enim animal eſt viſus acutiſſimi. Fama eſt, aquilas pullos genuinos ab adulterinis hac ratione diſcernere, vt ſi irretortis oculis ſoli obtueantur, genuini ſint; ſin ſecùs, tamquam adulterini è nido deturbentur: pari vtique ratione, qui iuſtitiæ Soli purè nequit obtueri, à cognitione eius alienus ac nothus reperitur.

ET ALBORVM QVIDEM.] Nota quid equi albi, cærulei, rubri, diuerſicolores, deſignent. Porrò diſſimilem ſimilitudinem ſuprà cap. 4. huius Libri perfectè expoſuimus.

ΤΗΝ ΚΑΤ' ΕΥΘΕΙΑΝ.] Articulus τὴν referendus eſt ad vocem δύναμιν, reliqua ſunt intermedia.

SECVNDVM ALIAM.] Alia contemplatio de rotis.

GEL, GEL.] Nota quid *Gel*, *Gel*, apud Prophetam Ezechielem ſignificet.

GAVDIO.] Quomodo cæleſtia & ipſe Deus dicantur gaudere.

PASSIBILIS.] Humanam voluptatem vocat paſſibilem, tamquam quæ conſtet mutabili quapiam affectione circa corpus.

SVAVITATEM.] Nomen quidem ῥαστώνη applicatur iis qui nihil volunt agere, ſed indifferenter viuere eligunt: hæc dictio autem ſignificat id quod facile eſt & minimè laborioſum: hîc verò inſinuat beatum, & paſſione

turbationeque vacuum. Aliter: ῥαστώνην vocat animæ quamdam facilitatem tranquillitatemque in quiete passionibus vacante, quod vtiq; in Angelis cum proportione quadam intelligendum est.

Bonam affectionem.] Bonam affectionem hîc eo modo accipit quo solemus in rebus nostris: significat autem benè semper habere, & incolumem statum obtinere.

Viri sancti.] Hæc intelligi non possunt prout sunt, nisi ab iis qui digni habiti sunt tali perfectione; quales viros, ex sancti huius sententiâ, conuenit esse Sacerdotes, vt circa rerum cognitionem diuinis illustrationibus & purâ in Deum intentione dirigantur. Mens enim ex istiusmodi diuinis illustrationibus deificata iam exinde particeps fit Angelicæ voluptatis, & illius quæ in ipsis est tranquillitatis, quâ mens, vtpote meliori sorte suauiter affecta, circa salutem eorum qui seruantur, quoad fieri potest, Deum, qui vult omnes homines saluos fieri, sine passione imitatur, dum deificis, id est, Deos efficientibus ac perficientibus illapsibus, perfruitur.

Quarumdam supermundialem.] Quoniam ignorantem non oportet erubescere in his quæ nescit, sed ignorantiam fateri, neque temerè ad ista quæ ignorat respondere. Ceterùm sciendum est, sanctos sine rubore titulos istos, quos adhuc Gentiles habebant, sibi post conuersionem ad Christum etiam adscripsisse: ecce enim vt hic se vocet Areopagitam; & D. Iustinus libro suo Aduersus Gentiles præfixit nomen Iustini Philosophi.

καὶ ἀόχλητον ὑποφαίνει. Ἄλλως· ῥαστώνην φησὶ τὴν εὐκολίαν καὶ εὐμάρειαν ψυχικὴν ἐν ἀναπαύσει μετὰ ἀπαθείας· ἀναλόγως οὖν καὶ ἐπὶ Ἀγγέλων νοητέον.

Εὐπάθειαν.] Εὐπάθειαν ὡς ἐκ τῶν καθ' ἡμᾶς λαβὼν ἔφη· δηλοῖ δὲ τὸ εὖ ἔχειν διὰ παντὸς, καὶ τὴν ἀπήμονα κατάστασιν.

Ἄνδρες ἱεροί.] Ταῦτα οὐχ οἷόν τε νοεῖν ὡς εἰσὶ, πλὴν εἰ μὴ τοὺς ἀξιωθέντας τοιαύτης τελειότητος· ὁποίους ἄρα καὶ εἶναι προσήκει ἄνδρας, καθάπερ ὁ Ἅγιος οὗτός φησιν, *ἱερεῖς, ὥστε καὶ θείων ἐλλάμψεων ἀξιωθῆναι περὶ τὴν τῶν ὄντων γνῶσιν, καὶ περὶ τὴν πρὸς τὸν Θεὸν καθαρὰν ἀνάτασιν. Ἐκ γὰρ τῶν τοιούτων ἐλλάμψεων θεούμενος, λοιπὸν ὁ νοῦς ἐν ἕξει γίνεται τῆς ἀγγελικῆς ἡδονῆς, καὶ τῆς ἐν ἐκείνοις ἀοχλησίας, καθ' ἣν ῥαστωνευόμενος λοιπὸν ὁ νοῦς, ὡς ἐν ῥᾴονι λήξει γινόμενος, ἐπὶ τῇ σωτηρίᾳ τῶν σωζομένων ἀπαθῶν, καθ' ὅσον δυνατὸν Θεὸν μιμεῖται, τὸν θέλοντα πάντας ἀνθρώπους σωθῆναι, ἀπολαύσας τῶν τοῦ Θεοῦ θεουργῶν ἐπιφοιτήσεων, τουτέστι τῶν θεοὺς ἐργαζομένων καὶ ἀποτελουσῶν. * ἱερέας,

Ὅτι τῶν μὲν τὴν ὑπερκόσμιον.] Ὅτι δεῖ τὸν ἀγνοοῦντα μὴ ἐρυθριᾶν ἐν οἷς ἠγνόησεν, ἀλλ' ὁμολογεῖν τὴν ἄγνοιαν, καὶ μὴ ὡς ἔτυχεν ἀποκρίνεσθαι περὶ ὧν ἠγνόησεν. Ἰστέον δὲ, ὅτι τὰ γνωρίσματα ἅπερ εἶχον ἔτι Ἕλληνες ὄντες οἱ Ἅγιοι, οὕτοι καὶ μετὰ τὸ ἐπιστρέψαι πρὸς Χριστὸν, ἀνερυθριάστως ἐπέγραφον ἑαυτοῖς· ἰδοὺ γὰρ καὶ οὗτος Ἀρεοπαγίτην καλεῖ ἑαυτόν· καὶ ὁ θεῖος Ἰουστῖνος ἐν τῷ πρὸς Ἕλληνας λόγῳ, Ἰουστίνου ἐπέγραψε Φιλοσόφου.

PARAPHRASIS PACHYMERÆ.

§. I. *Quid sit mentem intendere, quid laxare.*



AGEDVM, deinceps mentem nostram relaxemus à sublimibus & intensis contemplationibus (metaphora est à Musicâ, quę concentum habet & remissum, & medium, & intensum) ad diuiduam autem ac multipartitam formarum fictionum latitudinem descendamus. Quantum enim ad materiam & formarũ fictionem deducimur, tantumdem cogitatione diuidimur; & quantum ad intellectilia adducimur, in tantum & colligimur, dum mens nostra vacat à multifidis istis ac terrenis sensilibusque fictionibus. Idcircò descendentes ad has fictiones, in iis nequa-



ΦΕΡΕ λοιπὸν ἀναπαύσωμεν τὸν ἡμέτερον νοῦν ἀπὸ τῶν ὑψηλῶν θεωριῶν καὶ συντόνων (ἀπὸ μεταφορᾶς τῆς Μουσικῆς, ἐχούσης καὶ ἀνειμένην συμφωνίαν, καὶ μέσην, καὶ σύντονον) ἐπὶ δὲ τὸ διαιρετὸν καὶ πολυμερὲς πλάτος τῶν μορφοποιιῶν καταβαίνωμεν. Ὅσῳ γὰρ ἐπὶ τὴν ὕλην καὶ τὰς μορφοποιίας κατάγομεθα, τοσοῦτον τὴν ἔννοιαν διαιρούμεθα· καὶ ὅσον ἀναγόμεθα πρὸς τὰ νοητὰ, τοσοῦτον ἑνοποιούμεθα, σχολάζοντος ἡμῖν τοῦ νοὸς ἀπὸ τῶν πολυμερῶν τύπων καὶ χαμαλῶν καὶ αἰσθητῶν πλάσεων. Διὰ τοῦτο καταβάντες ἐπὶ ταύτας τὰς πλάσεις, μὴ

μείνωμεν

μείνωμεν εἰς αὐτάς, ἀλλὰ πάλιν ἀναχθῶμεν εἰς αὐτὸν, ἀναλυτικῶς ἀνακάμπτοντες ὡς ἀπ' εἰκόνων, ἐπὶ τὴν ἁπλότητα (τοιαύτη γὰρ καὶ ἡ τοῦ συλλογισμοῦ λεγομένη ἀνάλυσις· εὕρηται λόγος σύνθετος, ὃν ἀναλύομεν εἰς προτάσεις, καὶ τὰς προτάσεις εἰς ὅρους, ἐξ ὧν καὶ ὁ συλλογισμὸς συνετέθη.) Ἔστω δέ σοι τοῦτο προδιεγνωσμένον, ὡς αἱ τῶν εἰκόνων ἀνακαθάρσεις, δηλονότι ἐξηγητικαὶ ἑρμηνεῖαι, δι' ὧν καθαίρονται τὰ ἐν τοῖς λεγομένοις συμβόλοις δοκοῦντα ἄτοπα, τὰς αὐτὰς διακοσμήσεις, ἱεραρχούσας καὶ ἱεραρχουμένας παριστῶσι, καὶ τὰς πρώτας, καὶ τὰς μέσας, ὁμοίως καὶ τὰς ἐσχάτας· καὶ πάλιν τὰς αὐτὰς κατὰ τὸ πρῶτον, καὶ τὸ μέσον, καὶ τὸ τελευταῖον, καθὼς ἐν ἑκάστῃ διακοσμήσει εὕρηται. Οὐδὲν οὖν ἐκ τούτου ἄτοπόν τι παρεισάγεται κατὰ τὸν τοιόνδε τρόπον τῶν ἐξηγήσεων· εἰ μὲν γὰρ τὰς αὐτὰς ἱεραρχούσας ἄλλων, καὶ αὖθις παρ' αὐτῶν ἐκείνας ἱεραρχουμένας ἐλέγομεν, ὄντως ἀταξία τὸ πρᾶγμα ἐδόκει καὶ σύγχυσις. Εἰ δὲ τὰς αὐτὰς ἱεραρχεῖν καὶ ἱεραρχεῖσθαι λέγομεν, οὐκ ἔτι δὲ τῶν αὐτῶν καὶ περὶ τῶν αὐτῶν, ἀλλὰ τὴν ἑκάστην ἱεραρχεῖσθαι ὑπὸ τῶν πρώτων, καὶ ἱεραρχεῖν τῶν δευτέρων, οὐκ ἀπεικότως ἄν τις φαίη, τὰς αὐτὰς μορφώσεις δύνασθαι περιτίθεσθαι καὶ ταῖς πρώταις, καὶ ταῖς μέσαις, καὶ ταῖς ἐσχάταις, οἰκείως πάντῃ καὶ ἀληθινῶς. Τοῦτο δὲ προτίθησιν ἐνταῦθα ὁ Ἅγιος, ἐπεὶ μέλλει λέγειν περὶ τῶν μορφώσεων τῶν οὐρανίων ταγμάτων, καὶ βούλεται μὴ ἰδίᾳ ἑκάστῳ τάγματι ἄλλην καὶ ἄλλην περιτιθέναι μόρφωσιν, ἀλλὰ πάσας ἁπλῶς τοῖς πᾶσι, καθὼς ἔχει καὶ ὁ τῆς ἀληθείας λόγος. Προκατασκευάζει γοῦν, ὅτι καὶ τὸ πρὸς τὸ ἄναντες ἀνατείνεσθαι, πλὴν ἐπιστρεπτικῶς· ἀνατείνεται γὰρ πρὸς τὸ ἄναντες καὶ πῦρ, ἀλλ' ἀλόγως καὶ φυσικῶς, μηδεμίαν ἔχον ἐπιστροφὴν καὶ προαίρεσιν. Τὸ γοῦν πρὸς τὸ ἄναντες ἀνατείνεσθαι, καὶ τὸ περὶ ἑαυτὰς ἀρρεπῶς συστρέφεσθαι, καὶ φρουρεῖν τὰς οἰκείας δυνάμεις (εἰ γὰρ καὶ τῶν ὑπερτάτων ἐφίενται, ἀλλ' οὖν οὐχ ὡς καταφρονοῦσαι τῶν οἰκείων δυνάμεων, ἐπιζητοῦσιν ἕτερα, δι' αὐτὸ μὲν οὖν μᾶλλον τοῦτο τὸ ἀγαπητικῶς ἔχειν πρὸς τὰς οἰκείας δυνάμεις, καὶ ἑτέρων ἐφίενται) καὶ τρίτον, τὸ περὶ τὰ δεύτερα κοινωνικὸν καὶ προοδικὸν, πάσαις ἁρμόττει ταῖς οὐρανίαις οὐσίαις, εἰ καὶ ταῖς μὲν ὁλικῶς, ὡς πολλάκις εἴρηται, ταῖς δὲ μερικῶς.

quam commoremur, ſed iterùm per reſolutionem mentem reuocantes, velut ab imaginibus ad ſimplicitatem adducamus (iſtiuſmodi enim eſt & illa quæ ſyllogiſmi reſolutio vocatur; vt cùm reperitur oratio compoſita, quam reſoluimus in propoſitiones, & propoſitiones in terminos, è quibus nimirum conſtabat ſyllogiſmus.) Sit autem hoc tibi antè notum, ſenſus iſtos anagogicos, id eſt interpretatiuas explicationes, quibus ea, quæ in dictis ſymbolis abſurda videntur, expiantur, ſanctas iſtas diſpoſitiones exhibere, partim ſacris præſidentes, partim ſacris ſubiectas, tam primas quàm medias quàm denique poſtremas; idque iterùm, in quantum illud primum & medium & poſtremum in qualibet diſpoſitione reperitur. Nihil itaque abſurdi hinc introducitur ſecundùm iſtiuſmodi modum exponendi: nam ſi illas ipſas quæ præſunt aliis, his ipſis iterùm in ſacris ſubeſſe diceremus, verè res abſurda & cõfuſa videretur. Sin autem ſacris illas preeſſe & ſubeſſe dicimus, non tamen eaſdem, & iiſdem, ſed quamlibet earum ſubeſſe quidem prioribus, præeſſe verò poſterioribus, haud incongruè quis dixerit, eaſdem effformationes & primis & mediis & poſtremis, propriè ſimul ac verè omnino accommodari poſſe. Hoc autem Sanctus hîc proponit, quia verba facturus eſt de cæleſtium ordinum formationibus, & non vult proprio cuique ordini aliam atque aliam formam affingere, ſed omnes ſimpliciter omnibus, ſicut ſeſe habet ratio veritatis. Aſſerit itaque quòd ad anteriora extendantur, verùm conuerſiuè: ſiquidem ad anteriora quoque ignis extenditur, ſed modo irrationali ac naturali, nullam habens conuerſionem ac libertatẽ. Illa igitur ad anteriora extenſio, & circũ ſemetipſas conſtans volutatio, virtutumq; cuſtodia propriarum (etſi enim appetãt ſuperiora, non tamen id faciũt ac ſi virtutum contemptu propriarum alia quærerent; quin potiùs hoc ipſo magis proprias virtutes amant, quò alias appetunt,) tertiò denique inferioribus ſe communicandi, & ad eoſdẽ procedendi virtus, cæleſtibus quoq; omnibus intelligentiis competit, licet aliis quidem vniuerſim, vt ſæpè dictum eſt, aliis verò ex parte.

In cæleſtibus ſpiritibus non eſt confuſio functionũ.

Cùm itaque propoſitum nobis ſit figuras expurgare, id eſt efformationes & imagines ad §. 2. *Quid ſit imagines purgari.*

Ἐπεὶ οὖν προεθέμεθα τοὺς τύπους ἀνακαθᾶραι, δηλονότι τὰς μορφώσεις καὶ τὰς εἰκό-

 ſub-

Quid signet ignis figura in Scripturis.

sublimiore quemdam sensum adducere; age, præ ceteris primùm figuræ ignis expiationem faciamus, quoniam præ reliquis Scripturæ diuinæ materialem ignis efformationem honorant. Etenim non solùm rotas igneas referunt, vt reperitur in Ezechiele dicente, *Et spiritus erat in rotis*, verùm etiã animalia ignita, iuxta illud, *Cumq; ambularent animalia, ambulabant pariter & rotæ*; virosque igneos, atque carbones, iuxta illud, *Carbones succensi sunt in id ipsum*; & fluuios, ac si quis Græcè dicat πυριφλεγέθοντας, id est flammigerantes, iuxta illud, *Et fluuius ignis scaturiebat ante pedes eius*; & iterùm thronos igneos, vt in Ezechiele tradidit: & nomen Seraphim Incensores & Calefactores sonat, calor enim ignis proprietas est, & actio eius vstio, atque omnino sursum & deorsum igneam figuram commendat. Quapropter formam igneam significare censeo cælestium intelligentiarum Deiformitatem: quoniam *Deus noster ignis consumens* dicitur. Quin & in igne Deus visus est, vt essentia formâ carens, & superessentialis, quoniam ignis multas, si dictu fas sit, diuinæ proprietatis imagines præ se fert. Explicat húc ignem sensilem, vt est in omnibus, quandoque quidem ipsemet ignis, quandoque verò ignis proprietas, nempe calor, per quem omnia mouentur: aiunt enim calorem esse causam motus. Non tantùm ergo in aliis, verùm etiam in elemento maximè contrario, scilicet aquâ, calorem reperies. quomodo enim moueretur nisi spiritum haberet? iuxta illud, *Spiritus Domini ferebatur super aquas*. Spiritus autem omnino particeps est caloris, per quem & mobilis est & per omnia meat, verùm impermixtè: neq; enim ipse, dum cum materiâ commiscetur, immutatur, sed materiam in se transmutat. Idem quoque perquam lucidus, cùm materiam apprehendit; & occultus per se, cùm non adest materia. Quis enim videt in ignili ignem, nisi excutiatur, & materiam aliquam prehendat? Ne igitur pete, quomodo sine aliquâ materiâ scintillæ accendantur: nam & ibi quædam est materia. collisus enim aër inter illa quæ colliduntur, ille quasi materia scintillis excussis, in quo & ignis suam efficacitatem manifestat. Intolerabilis est, vt qui nullam aliam habitudinem habeat ad materiam, nisi ad consumendam eam; iuxta

Ezech. 1,21 · Ibid. 19. · Psal. 17,9. · Deut. 4,24 · Gen. 1,2.

Ignis proprietates.

νας ἀνάξαι εἰς τινὰ ὑπερτάτην καὶ μείζονα ἔννοιαν, φέρε πρὸ τῶν ἄλλων πρώτην ἀνακάθαρσιν ποιησόμεθα τῆς τοῦ πυρὸς εἰκόνος, ὅτι καὶ παρὰ τὰς ἄλλας εἰκόνας τὴν ἐμπύριον ὑλογραφίαν ἡ θεία Γραφὴ τιμᾷ. Καὶ γὰρ μὴ μόνον τροχοὺς πυρώδεις, ὡς ἐν τῷ Ἰεζεκιὴλ εὕρηται, Καὶ πνεῦμα ζωῆς ἐν τοῖς τροχοῖς λέγοντι, παραδίδωσιν· ἀλλὰ καὶ ζῷα πεπυρωμένα, κατὰ τὸ, Ἐν τῷ πορεύεσθαι τὰ ζῷα, ἐπορεύοντο καὶ οἱ τροχοί· καὶ ἄνδρας πυρώδεις, καὶ ἄνθρακας, κατὰ τὸ, Ἄνθρακες ἀνήφθησαν ἐπὶ τὸ αὐτό· καὶ ποταμοὺς, ὡς ἄν τις εἴποι κατὰ τοὺς Ἕλληνας, πυριφλεγέθοντας, κατὰ τὸ, Καὶ ποταμὸς πυρὸς εἷλκε πρὸ τῶν ποδῶν αὐτοῦ· καὶ πάλιν θρόνους πυρίνους, ὡς ἐν τῷ Ἰεζεκιὴλ παραδίδωσι· καὶ ἡ ἐπωνυμία τῶν Σεραφὶμ Ἐμπρησταί ἐστι καὶ Θερμαίνοντες, ταῦτα γὰρ εἰσι τοῦ πυρὸς, τὸ μὲν θερμὸν, ἰδιότης· τὸ δὲ καυστικὸν, ἐνέργεια· καὶ ὅλως ἄνω καὶ κάτω τὴν ἐμπύριον τυποπλασίαν τιμᾷ. Τὸ μὲν οὖν πυρῶδες ἐμφαίνειν οἴομαι τὸ θεοειδὲς τῶν οὐρανίων δυνάμεων· καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον λέγεται. Ἐθεωρήθη δὲ εἰς πῦρ ὁ Θεὸς, ἡ ἀμόρφωτος οὐσία καὶ ὑπερούσιος, ὅτι καὶ τὸ πῦρ πολλὰς εἰκόνας ἔχει, εἰ θέμις τέως εἰπεῖν, τῆς θεαρχικῆς ἰδιότητος. Ἐκφράζει τὸ αἰσθητὸν πῦρ, ὅτι ἐστὶν ἐν πᾶσι, ποῦ μὲν καὶ αὐτὸ τὸ πῦρ, ποῦ δὲ καὶ ἡ τοῦ πυρὸς ἰδιότης, τὸ θερμὸν, καθ' ὃ πάντα κινοῦνται· αἴτιον γὰρ τῆς κινήσεως τὸ θερμὸν λέγουσι. Μὴ μόνον οὖν ἐν τοῖς ἄλλοις, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ ἐναντιωτάτῳ στοιχείῳ, τῷ ὕδατι, εὑρήσεις τὸ θερμόν· πῶς γὰρ ἂν καὶ ἐκινήθη μὴ ἔχον πνεῦμα; κατὰ τὸ, Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Τὸ δὲ πνεῦμα πάντως τοῦ θερμοῦ μετέχει, καθ' ὃ καὶ εὐκίνητόν ἐστι, καὶ διὰ πάντων φοιτᾷ, πλὴν ἀμιγῶς· οὐδὲ γὰρ αὐτὸ πρὸς τὴν ὕλην μιγνύμενον μεταβάλλεται, ἀλλὰ τὴν ὕλην εἰς ἑαυτὸ μεθίστησι. Τὸ αὐτὸ καὶ παμφαὲς, ὅτε τῆς ὕλης ἐπιδράξεται· καὶ κρύφιον καθ' αὐτὸ, μὴ παρακειμένης ὕλης· τίς γὰρ βλέπει τὸ ἐν τῇ πυρίτιδι πῦρ, εἰ μή γε ἐκκρουσθῇ καὶ ὕλης τινὸς ἐπιδράξηται; Μὴ οὖν λέγε, Καὶ πῶς δίχα τινὸς ὕλης σπινθῆρες ἐξάπτονται; κἀκεῖ γὰρ ὕλη τις ἐστίν· ὁ γὰρ συνθλιβόμενος ἀὴρ, μέσον τῶν συνθλιβομένων, ἐκεῖνός ἐστιν ὡς ὕλη τοῖς ἀποπαλλομένοις σπινθῆρσιν, εἰς ὃν ἀναφαίνει τὸ πῦρ τὴν οἰκείαν ἐνέργειαν. Ἄσχετόν ἐστιν, οἱονεὶ μηδεμίαν ἑτέραν σχέσιν ἔχον πρὸς τὴν ὕλην, εἰ μὴ κατὰ τὸ δαπανᾶν αὐτήν·

PARAPHRASIS PACHYMERÆ.

αὐτήν· καθ' ὃ σημαινόμενον λέγεται καὶ ἀβίωτος, οὐχ ὁ περιφρονητὴς τῶν πραγμάτων, ἀλλ' ὁ τῷ βίῳ καταχρώμενος. Ὅτι δὲ τοῦτο δηλοῖ τὸ ἄσχετον, καὶ οὐχὶ τὸ ἀκράτητον, ἐκ τοῦ λέγειν πάλιν ἰδίως ἀκράτητον, δῆλον. Ἀθεώρητον, ὅτε δίχα τινὸς ὕλης ἐπινοεῖται. Αὐτοκρατητικὸν ἁπάντων, οἱονεὶ ἀφ' ἑαυτοῦ κρατοῦν, καὶ μὴ παρ' ἑτέρου κινούμενον· ἰδιαιτάτην γὰρ διαφορὰν τὸ θερμὸν ἔχει, ἐξ οὗ καὶ ἐν ἑτέροις ἡ κίνησις γίνεται. Ἀλλοιωτικὸν πρὸς τὴν οἰκείαν ἐνέργειαν, ἐν οἷς ἂν γένηται· καὶ γὰρ καὶ ὁ σίδηρος ἐκπυρωθείς. Μεταδοτικὸν τοῖς ὁπωσοῦν πλησιάζουσι· πρὸς γὰρ τὸν ἢ προσεχῆ ἢ πόῤῥω πλησιασμόν, ἐκπυροῦται τὸ παρακείμενον. Ἀνανεωτικόν, καθ' ὃ θερμόν· ἐπεὶ γὰρ τὸ γῆρας ψυχρὸν καὶ δυσκίνητον, ἡ νεότης θερμή· καὶ θερμουργὸς ὁ τὰ τοῦ νέου ἐργαζόμενος. Κατὰ τοῦτο γὰρ καὶ τὸ ὁπωσοῦν θερμὸν ἐν ἡμῖν, ζώπυρον λέγεται, ὅτι καθ' αὐτὸν νεάζομεν. Φωτιστικόν ἐστι, καὶ ἡ ἔλλαμψις αὐτοῦ ἀπερικάλυπτος καθ' αὐτήν. Μὴ γάρ μοι λέγε τὰ ἔξωθεν ἐπικαλύμματα, αὐτὸ γὰρ πάλιν φωτιστικὸν μένει, κἂν μυριάκις περικαλύπτηται. Ἀκράτητον· εἰ γὰρ καὶ ἐν τῇ ὕλῃ κατέχεται, ἀλλ' οὐχ ἵνα σώσῃ ταύτην, καὶ ταύτῃ συνῇ, ἀλλ' ἵνα δαπανήσαν οἴχηται. Ἀμιγές· τίνι γὰρ καὶ μιχθείη; ὑπείκει γὰρ τούτῳ πάντα καὶ τήκεται. Διακριτικόν· διακρίνει γὰρ τὰς ὕλας, οἷον ἀπὸ ἀργύρου μόλιβδον. Ἀναλλοίωτον, καθ' ὃ οὐ δυνατόν, μένοντος τοῦ ὑποκειμένου, τοῦτ' ἔστιν αὐτῆς τῆς οὐσίας τοῦ πυρός, μεταβάλλειν αὐτὸ ἐν τοῖς πάθεσιν, οἷον γενέσθαι αὐτὸ στρογγύλον, ἢ γωνιοειδές, ὅπερ ἐν τοῖς γηΐνοις ἐστὶν εὑρεῖν· ἢ παθεῖν τὰ τοῦ ἀέρος, οἷον φθαρῆναι διὰ τῶν ἀναθυμιάσεων· ἢ παχυνθῆναι, ἢ καὶ ὡς τὸ ὕδωρ μεταβολὰς δέξασθαι. Ἀνωφορον, ἀλλὰ ὀξέως ῥέπον εἰς ὕψος, καὶ οὐδεμιᾶς ἀνέχεται περιπεζίας ὑφέσεως. Ἀεικίνητον, ἢ διὰ τὴν τοῦ παντὸς κατὰ περιφορὰν κίνησιν, ἢ καὶ διότι ἀεικινεῖται ἔνθεν κἀκεῖθεν τὴν ὕλην δαπανῶν, δηλουμένου ὡσανεὶ ὅτι δυσχεραίνει τὴν ὕλην, καὶ ταχέως θέλει ἀποσκεδάσασθαι τὸν δεσμόν. Ταυτοκίνητον· ταύτην γὰρ καὶ μίαν τὴν πρὸς τὰ ἄνω κίνησιν ἔχει. Κινητικὸν ἑτέρων, κατὰ τὸ θερμὸν ἑαυτοῦ, καθὼς ἀνωτέρω ἐλέγομεν. Περιληπτικόν· οὐδὲ γὰρ ἐντὸς τῆς ὕλης χωροῦν δαπανᾷ, ἀλλὰ περὶ αὐτὴν εἰλεῖται, καὶ περιδράττεται. Εἰ δέ γε ἀπορεῖς περὶ τῶν ἔνδο-

quam significationem dicitur etiam ἀβίωτος, id est, quòd cum eâ viui non possit, non quia contemptor est rerum, sed quia vitâ abutitur. Hoc autem sensu dici ἄσχετον seu intolerabilẽ, & non ἀκράτητον, id est incontinentem, ex eo manifestum, quòd iterùm dicit ἀκράτητον seu teneri nescium. Inuisibilis etiam est, quando sine aliquâ materiâ consideratur. Per se omnia domat, tamquam à semetipso præualens, & non ab alio motus: proprijssima autem eius differentia est calor, ex quo etiam in aliis motus fit. Immutat alteratque ad suam operationem illa quibus insederit: nam & ferrum ignitum vrit. Quoquomodo accedentibus se communicat: id enim quod apponitur, pro ratione vicinæ vel remotæ propinquitatis ignescit. Renouat, in quantum calidus est: siquidem senectus frigida est & difficulter mouetur, iuuentus verò calida est; & feruidè agit quisquis opera facit iuuenilia. Nam etiam, secundùm hoc, quidquid in nobis calidum est, ignitum seu viuificum dicitur, quia secundùm hoc iuuenescimus. Lucidus est, & ipsius illuminatio per se abscondi nequit. Neque verò mihi obieceris extrinseca velamina, ipse enim rursus in se lucidus manet, etsi millies tegatur. Teneri nequit: nam licet in materiâ contineatur, non tamen vt seruet illam, illique vniatur, sed vt eâ consumptâ recedat. Impermixtus: cui enim misceri possit, cùm eo omnia subigantur, cunctaque consumantur? Discernendi vim habet: siquidem materias, vt ab argento plumbum, discernit. Immutabilis est, quatenus impossibile est manente subiecto, hoc est eadem ignis naturâ, mutari ipsum in proprietatibus, velut eum fieri rotundum vel angularem, quod in terrestribus inuenire licet; aut aëris proprietates admittere, sicut per euaporationem corrumpi; vel condensari, vel sicut aquam mutationes suscipere. Sursum fertur, sed celeriter in altum serpens, nullam sustinet deiectionis vilitatem. Semper mouetur, siue secundùm Vniuersi motum circularem, siue quòd semper ibidem moueatur materiam consumendo, quodammodò significans se materiam auersari, & citò velle eius vinculum abrumpere. Seipso mouetur: hunc enim & vnum ad supera motum habet. Mouet alia, per calorem suum, vti suprà diximus. Comprehenendi vi pollet: neque enim materiã subintrando consumit, sed circa illam versatur, & amplectitur. Quòd si inquiras de iis quæ in-

PARAPHRASIS PACHYMERÆ.

trinſecus igne liqueſcunt, ſcito, etiam ibi ex parte aliquem complexum exiſtere, per quem res ſubiecta colliqueſcat; ſic enim etiã incomprehenſus dicitur. etſi enim interiùs in quibuſdam rebus reperiatur, verumtamen & ibi circumplectitur cõiunctam ſibi & quam conſumit materiam, & ab eâ minimè continetur. Non eget altero: neque enim miſcetur neque confunditur cum aliquo alio elemento, vti aqua & terra, quapropter etiam in elementis aliqui ipſum *μονοούσιον*, ſeu in ſubſtantiâ ſolitarium, nuncuparunt. Clàm ſe amplificat: ſecundùm enim multiplicem proportionem augetur. neque enim rationem, quam habet præambuſta materia ad aſſumptam eamdem, etiam habet ignis qui in illâ eſt, ad ignem qui in hac eſt; neque rationem, quam habet aſſumpta materia ad vtramque, ſcilicet ad ſe ipſam & ad eam quæ anteà continebatur, eamdem etiam rationem habet ignis qui poſteà accenſus eſt, ad eum qui accenſus ex vtraque materiâ. Idcircò dixit *latenter*, quoniam ſi appoſita materia ſit exilis, & valdè multum id quod accenſum eſt, in capaci materiâ ſuam indicat maieſtatem: ſiquidem omniuorax eſt, & nulli parcit: id quod ſiccius eſt citò apprehendit; id quod humidius eſt, ſenſim ad ſui ſuſceptionem aptum efficit: calorem conciliat, frigus ferueſacit; & ſimpliciter quidlibet eſt virtute, eſt efficax, potens, omnibus inuiſibiliter adeſt, adſperſus omni rei: & dum videtur non eſſe, negligitur, terribilis eſt & intolerabilis. Attritu, velut indagine quadam, ſubitò vt ſubiecto connaturalis apparet, & rurſum incontinenter auolat, ſicut videre licet in ſcintillis è ſilice excuſſis. In omnibus ſui communionibus, calefaciendo, vrendo, adſtringendo, illuminando, ceteriſque minimè minuitur. Complures item alias quis inuenire poſſet ignis proprietates, velut quaſdam diuinæ efficacitatis imagines, ad quas periti rerum diuinarum cæleſtes virtutes effingunt, per hoc illarum deiformitatem ac diuinam, quantum fas, imitationem declarantes, dum iiſdem imaginibus, quibus diuinum Numen exprimunt, in cæleſtibus quoque virtutibus vtuntur.

§.3. *Cur Angeli humanâ formâ pingantur.*

Cur autem humanas formas iis adſcribunt? propter vim intelligendi. Angeli enim toti mentes ſunt; & quoniam à Deo illuſtrantur, intelligendi vi pollent. Quin & homines quo-

θεν τῷ πυρὶ συμμυχομένων, ἴσθι, ὅτι κἀκεῖσε μερική τις περίληψις γίνεται, καθ' ἣν τὸ ὑποκείμενον ὑποσμύχεται· οὕτω γὰρ καὶ ἀπερίληπτον λέγεται. εἰ γὰρ καὶ ἐντὸς εὑρίσκεται ἔν τισιν, ἀλλ' οὖν κἀκεῖσε περιέχει τὴν προσεχῆ, καὶ ἣν δαπανᾷ ὕλην, οὐ παρ' αὐτῆς περιέχεται. Ἀπροσδεὲς ἑτέρου· οὔτε γὰρ μίγνυται οὔτε κίρναται ἑτέρῳ τινὶ στοιχείῳ, ὡς τὸ ὕδωρ καὶ ἡ γῆ, διὸ καὶ ἐν στοιχείοις μονοούσιον αὐτό τινες κεκλήκασι. Λανθανόντως αὐξητικὸν ἑαυτοῦ· κατὰ γὰρ πολλαπλασίονα ἀναλογίαν αὐξάνεται. οὐ δὲ γὰρ ὃν λόγον ἔχει τυχὸν ἡ προκαιομένη ὕλη πρὸς τὴν προσλαμβανομένην, οὕτω καὶ τὸ ἐν ἐκείνῃ πῦρ, πρὸς τὸ ἐν ταύτῃ πῦρ· οὐδὲ ὃν λόγον ἔχει ἡ προσλαμβανομένη ὕλη πρὸς τὴν συνάμφω, ἑαυτήν τε καὶ τὴν προκατεχομένην, τὸν αὐτὸν λόγον ἔχει καὶ τὸ ὕστερον ἀναφθὲν πῦρ, πρὸς τὸ ἐκ τῆς συνάμφω ὕλης ἐξαναπτόμενον. Διὰ τοῦτο εἶπε Λανθανόντως, ὅτι τυχὸν ἡ προστιθεμένη ὕλη ὀλίγη, καὶ τὸ ἀναπτόμενον πάμπολυ, πρὸς τὰς ὑποδεχομένας ὕλας ἐμφαῖνον τὴν μεγαλειότητα· παμφάγον γάρ ἐστι, καὶ οὐδενὸς φείδεται· τοῦ ξηροτέρου ταχέως ἀντιλαμβάνεται· τὸ ὑγρότερον, κατ' ὀλίγον πρὸς τὴν οἰκείαν ὑποδοχὴν ἐπιτήδειον ἀπεργάζεται· τὸ θερμὸν οἰκειοῦται, τὸ ψυχρὸν ἐκπυροῖ· καὶ ἁπλῶς παντοῖόν ἐστι κατὰ τὴν δύναμιν, καὶ δραστήριον δυνατὸν, ἅπασι πάρεστιν ἀοράτως κατεσπαρμένον ἐν τῷ παντί· καὶ δοκοῦν μὴ εἶναι, ἀμελεῖται, τὸ φοβερόν τε καὶ ἀνυπόστατον. Τῇ τρίψει δὲ καθάπερ τινὶ ζητήσει ἐξαίφνης ὡς συμφυὲς τῷ ὑποκειμένῳ ἀναφαίνεται, καὶ αὖθις ἀκαταλήπτως ἀφίπταται, καθὼς ἐστὶν ὁρᾶν ἐν τοῖς ἀπὸ τοῦ λίθου σπινθῆρσιν. Ἐν πάσαις ταῖς αὐτοῦ μεταδόσεσι, τῇ θερμῇ, τῇ καυστικῇ, τῇ στεγνωτικῇ, τῇ φωτιστικῇ, καὶ ταῖς ἄλλαις ἀμείωτον. Καὶ πολλάς τις ἂν εὕροι τὰς τοῦ πυρὸς ἰδιότητας, εἰκόνας τινὰς τῆς θεαρχικῆς ἐνεργείας, πρὸς ἃς καὶ τὰς οὐρανίας δυνάμεις οἱ θεόσοφοι διαπλάττουσιν, ἐμφαίνοντες αὐτῶν καὶ κατὰ τοῦτο τὸ θεοειδὲς καὶ ὡς ἐφικτὸν θεομίμητον, ὅτι ταῖς εἰκόσι, καθ' ἃς τὸ Θεῖον εἰκονίζεται, ταύταις χρῶνται καὶ ἐπὶ τῶν οὐρανίων δυνάμεων.

Διά τι δὲ ἀνθρωπομόρφους ἀναγράφουσι; διὰ τὸ νοερόν. Οἱ μὲν γὰρ Ἄγγελοι, τὸ πᾶν νόες εἰσί· καὶ ἐν τῷ παρὰ Θεοῦ ἐλλάμπεσθαι, νοερὸν ἔχουσι. Καὶ οἱ ἄνθρωποι νοῦν τὸν ἡγεμόνα

ἡγεμόνα τῆς ψυχῆς, εἰς ὃν πρώτως καὶ ἡ θεία ἔλλαμψις γίνεται, καὶ νοερὸς οὗτος ἀποκαθίσταται ἕτερον, διὰ τὸ πρὸς τὸ ἄναντες ἔχειν τὰς ὀπτικὰς δυνάμεις τὸν ἄνθρωπον (ἀνανεύει γὰρ ὁ μὴ κατὰ τὸν Προφήτην βαρυκάρδιος, ἄνω τῶν ἄλλων ζώων καὶ εἰς γῆν βλεπόντων, καὶ τὰς ὀπτικὰς δυνάμεις πρὸς τὸ κάταντες ἐχόντων) ἄλλο διὰ τὸ τοῦ σχήματος εὐθὺ καὶ ὄρθιον (ἰδυτενεῖς γὰρ πρὸς τὰ ἄνω καὶ οἱ θεῖοι Ἄγγελοι, ὅπου γε καὶ τῶν ἀνθρώπων οἱ τὰ ἄνω ζητοῦντες, ὡς φοίνικες ἀνθεῖν λέγονται, καὶ ὡς κέδροι πληθύνεσθαι) καὶ διὰ τὸ κατὰ φύσιν ἀρχικὸν καὶ ἡγεμονικὸν τῶν ἀνθρώπων, κατ' εἰκόνα πλασθέντων Θεοῦ καὶ ὁμοίωσιν, (περὶ ὧν λέγεται, Καὶ ἀρχέτωσαν τῶν ἰχθύων καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ·) καὶ διὰ τὸ αἰσθητικὸν μὲν ὀλίγον ἔχειν τὸν ἄνθρωπον, ὡς πρὸς τὰς λοιπὰς τῶν ἀλόγων ζώων δυνάμεις, κρατητικὸν δὲ πάντων τῇ τοῦ νοῦ δυνάμει, καὶ τῇ κατὰ λογικὴν ἐπιστήμην ἐπικρατείᾳ. Τοῦτο δέ ἐστι τοιοῦτον, ὅτι οἱ ἄνθρωποι ὀλίγον τὸ κατ' αἴσθησιν ἔχουσι πρὸς τὰ ἄλλα ζῶα· τὰ μὲν γὰρ ἄλογα, τὸ πᾶν αἴσθησις εἰσί, δι' ἧς καὶ διοικοῦνται, ἀνόητα ὄντα. Ἐν ἡμῖν δὲ βραχὺ τὸ αἰσθητικόν· οὐ γὰρ δι' αὐτοῦ συνιστάμεθα, ἀλλὰ διὰ τοῦ νοεροῦ. Ἐπὶ δὲ τῶν Ἀγγέλων οὐδὲ τὸ βραχύτατόν ἐστι τῶν αἰσθήσεων, ἀλλὰ τύπος βραχὺς ἐκείνων τὰ καθ' ἡμᾶς. Ὡς γὰρ οἱ Ἄγγελοι μὴ κεχρημένοι τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις, κατὰ πολὺ ὑπερέχουσι τῷ περιόντι τῆς νοερᾶς δυνάμεως· οὕτως καὶ οἱ ἄνθρωποι τῇ τοῦ νοῦ ὑπεροχῇ, καὶ τῇ λογικῇ ἐπιστήμῃ, τῆς ἀλόγου φύσεως κρατοῦσι. Τὰ γοῦν ἄλογα, μὴ ἔχοντα τὸν νοῦν, εἰκότως δραστικώτερα καὶ ὀξύτερα κατὰ τὰς αἰσθήσεις εἰσίν, ὥσπερ καὶ τὰ φυτά, μὴ ἔχοντα αἴσθησιν, κατὰ τὰς φυτικὰς ἐνεργείας, τὴν θρεπτικήν, τὴν αὐξητικήν, καὶ τὴν τοῦ γεννᾷν τὸ ὅμοιον, ἐνεργεστέρας ἔχουσι. Διὰ τοῦτο γὰρ καὶ ζώου κολοβωθέντος κατά τι, οὐ δύναται ἀναθῆλαι τὸ λεῖπον μέρος· φυτοῦ δὲ μέρους ἐκκοπέντος, ἡ ἀναθήλησις πλείων γίνεται, ὡς πλεοναζούσης ἐν τούτοις τῆς φυτικῆς δυνάμεως. Διὰ ταῦτα τοίνυν πάντα τὸ ἀνθρωπόμορφον ἀναγράφουσι, καὶ διὰ τὸ φύσει τῆς ψυχῆς ἀδούλωτον καὶ αὐτεξούσιον, ὃ καὶ αὐτὸ προσὸν τοῖς Ἀγγέλοις γινώσκεται).

Ἔστι δὲ καὶ καθ' ἕκαστον τῶν ἀνθρωπίνων μερῶν, εἰκόνας ἁρμοδίους ἐξευρεῖν πρὸς τὰ οὐράνια τάγματα. Καὶ πρῶτον ἐκ τῶν αἰσθήσεων. Ὅθεν καὶ αἱ μὲν ὀπτικαὶ δυνάμεις ἐπεὶ διει-

que mentem habent animæ ducem, in quâ primùm Dei illuſtratio oritur, atque ita ſpiritalis efficitur: tum quòd homo videndi vires habeat ad anteriora cõuerſas, (qui enim, iuxta Prophetam, non eſt graui corde, ſupera ſpectat, præ ceteris animantibus quæ terram contuentur, & videndi vires humi defixas habent:) tum etiam propter formæ rectitudinẽ & erectionem (Angeli enim diuini ad ſuperna ſunt erecti; vnde & homines qui ſuperna ſpectant, vt phœnices florere, & tamquam cedri multiplicari perhibentur:) tum etiam propter hominum naturalem principandi & imperandi prærogatiuam, vt qui ad imaginem & ſimilitudinem Dei facti ſunt (de quibus dicitur, Et præſint piſcibus, & volucribus cæli:) tum quòd homo, quamuis ſenſu quidem, ceterorum comparatione brutorum, minimè valeat, omnibus tamen imperet præſtanti vi mentis, ac rationabilis ſcientiæ dominatu. Hoc autem ita ſe habet, quoniam homines parum quid de ſenſu habent, reſpectu aliorum animalium: bruta enim prorſus ſunt ſenſus, quo etiam reguntur, cùm ſint irrationalia. In nobis autem modicum quid eſt ſenſile: neque enim ex eo conſtamus, ſed ex intellectili. In Angelis autem neque minimum quid eſt ſenſuum, verùm noſtratia ſunt rudis illorum figura. Quemadmodum igitur Angeli cùm non vtantur iis quibus nos ſenſuum inſtrumentis, plurimum antecellunt intelligentis copiâ facultatis; ſic etiam homines mentis excellentiâ, & ratiocinandi ſcientiâ irrationalem ſuperant naturam. Bruta itaque, quæ mente carent, meritò efficaciora ſunt & celeriora ſecundùm ſenſus; quemadmodum & plantæ, quæ ſunt ſenſu deſtitutæ, vegetatiuas facultates, vt altricem, & auctricem, & ſui ſimilis generatricẽ, habent efficaciores. Idcircò enim animali mutilato pars abſciſſa nequaquam iterùm poteſt repullulare; plantæ verò ſi pars reſecta ſit, repullulatio fit vberior, ita vt in his vegetatiua vis abundet. Propter hæc itaque omnia humanâ formâ Angelos depingunt, & propter naturalem animẹ ingenuitatẽ & arbitrij libertatẽ, quæ & in Angelis agnoſcuntur.

Gen. 1,26.

Homines non ita pollent ſenſibus vt bruta.

Quin licet etiam ex ſingulis humanis membris aptas imagines cæleſtibus ordinibus accommodare. Et primùm è ſenſibus. Vnde videndi quidem facultates cùm perſpicaces ſint,

Quid viſus.

PARAPHRASIS PACHYMERÆ.

sint,& tenerum, & liquidum, & nequaquam reluctantem sensum habeant, declarant Angelorum perspicacissimam ad diuina suspectionem, & teneram, liquidamque, minimeq; refragantem diuinorum luminum susceptionem; quæ velox sit & pura,& expansa ad diuini luminis exceptionem.

Quid odoratus. Olfactus vires significant fragrantes distributiones excipiendi facultatem, & peritè discernendi ea quæ non sunt eiusmodi: numquid enim audiisti quòd Deus abominationi habeat incensum quod ab indignis offertur? Idem etiam abominationi habent ordines cælestes,& omnino fugiunt.

Quid aures. Aures designant diuinæ inspirationis participationem, & eiusdem scientificam susceptionem: inspiratio enim auribus dignoscitur. Inspirationem autem vocat diuinam ac spiritalem gratiam, vti etiam reperitur in Iobo dicente, Inspiratio autẽ Omnipotentis docet me. *Iob 32,8.*

Quid gustus. Gustus indicat spiritalium ciborum, scilicet diuinarum explicationum, repletionem ac saturitatem, atque insuper diuinorum riuulorum ac potionum deliciosarum susceptionem: sicut enim cibus spiritalis est, sic & potus illi proportionatus est.

Quid tactus. Tactiles facultates signant vim dignoscendi quid prosit vel quid obsit: hoc autem est in nobis multiplex secundùm varias qualitates, vt calidum, vt frigidum;atque iterùm vt asperum,vt leue; & rursus vt durum, vt molle; iterumque vt graue, vt leue, & secundùm alias plurimas qualitates.

Quid palpebræ, supercilia, & ceteræ partes corporis. Palpebræ & supercilia visum conseruant, vnde designant ibi custodiam intelligentiarũ.

Ætatis pubescentia cùm vitæ tum virtutis eorum vigorem declarat;vita enim eorum immortalis est, & virtus stabilis.

Dentes signant id quod discernit illustrationes: quælibet enim cælestium essentiarum vniusmodi intelligentiam sibi traditam, pro inferioris ductu captuque, prouidè distribuit, multiplicatque.

Humeri declarant id quod similes motus efficit: vlnæ verò,vim operandi; & manus,exsequendi potentiam.

Cor symbolum est vitæ Deiformis: sicut enim ex corde vires corpori distribuuntur,sic ex his vitalis vis in ea quæ prouidentiâ reguntur distribuitur.

δεῖς εἰσὶ, καὶ ἁπαλὸν, καὶ ὑγρὸν, καὶ οὐκ ἀντίτυπον τὸ αἰσθητήριον ἔχουσι, τὴν πρὸς τὰ θεῖα τῶν Ἀγγέλων δηλοῦσι διειδεστάτην ἀνάνευσιν, καὶ τὴν ἁπαλὴν, καὶ ὑγρὰν, καὶ οὐκ ἀντίτυπον ὑποδοχὴν τῶν θείων ἐλλάμψεων, τὴν ὀξυκίνητον, καὶ καθαρὰν, καὶ ἀναπεπταμένην πρὸς τὴν ὑποδοχὴν τοῦ θείου φωτός.

Αἱ τῆς ὀσφρήσεως δυνάμεις, τὸ ἀντιληπτικὸν τῆς εὐώδους διαδόσεως, καὶ τῶν μὴ τοιούτων διακριτικὸν ἐν ἐπιστήμῃ· οὐκ ἤκουσας γὰρ, ὅτι καὶ Θεῷ λογίζεται βδέλυγμα τὸ παρὰ τῶν ἀναξίων προσφερόμενον θυμίαμα; Τοῦτο ἡγοῦνται βδέλυγμα καὶ τὰ οὐράνια τάγματα, καὶ ὁλικῶς ἀποφεύγουσι.

Τὰ ὦτα τὸ μετοχικὸν δηλοῦσι, καὶ τὸ γνωστικῶς ὑποδεκτικὸν τῆς θείας ἐπιπνοίας· ἡ γὰρ πνοὴ διὰ τῶν ὤτων γινώσκεται. Πνοὴν δὲ λέγει τὸ θεῖον καὶ πνευματικὸν χάρισμα, καθὼς καὶ ἐν τῷ Ἰὼβ εὕρηται λέγοντι, Πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με.

Ἡ γευστικὴ, τὴν τῶν νοητῶν τροφῶν, δηλονότι τῶν θείων εἰσηγήσεων, ἀποπλήρωσιν καὶ τὸν χορτασμὸν, καὶ ἔτι τῶν ὀχετῶν καὶ πόσεων τῶν καὶ αὐτῶν θείων καὶ τροφίμων ὄντων· ὡς γὰρ ἡ τροφὴ νοητὴ, καὶ ἡ πόσις ἀνάλογος.

Αἱ ἁπτικαὶ δυνάμεις δηλοῦσι τὸ διαγνωστικὸν τοῦ προσφυοῦς ἢ καὶ βλάπτοντος· τοῦτο δέ ἐστιν ἐν ἡμῖν πολλαχῶς τε καὶ κατὰ πολλὰς ποιότητας· ὅτι θερμὸν, ὅτι ψυχρόν· καὶ αὖθις ὅτι τραχὺ, ὅτι λεῖον· καὶ πάλιν ὅτι σκληρὸν, ὅτι μαλακόν· καὶ αὖθις ὅτι βαρὺ, ὅτι κοῦφον· καὶ κατ' ἄλλας πολλὰς ποιότητας.

Τὰ βλέφαρα καὶ αἱ ὀφρύες τὸ ὁρατικὸν φρουροῦσιν, ὅθεν δηλοῦσιν ἐκεῖσε τὸ φρουρητικὸν τῶν νοήσεων.

Τὸ νεανικὸν τῆς ἡλικίας, τὸ ἐπακμάζον τῆς ζωῆς αὐτῶν καὶ τῆς δυνάμεως· ἡ γὰρ ζωὴ ἀτελεύτητος, καὶ βεβαία ἡ δύναμις.

Οἱ ὀδόντες, τὸ διαιρετικὸν τῆς ἐλλάμψεως· ἑκάστη γὰρ τῶν οὐρανίων οὐσιῶν τὴν δωρουμένην ἑνοειδῆ ἕνωσιν, προνοητικῶς ὡς ἂν χωρηθῇ, καὶ τῇ ὑποδεεστέρᾳ, διαιρεῖ καὶ εἰς πλῆθος ἀποκαθίστησιν.

Οἱ ὦμοι, τὸ ποιητικὸν τῶν τοιούτων κινήσεων· αἱ ὠλέναι, τὸ ἐνεργητικόν· καὶ αἱ χεῖρες, τὸ δραστήριον.

Ἡ καρδία σύμβολόν ἐστι τῆς θεοειδοῦς ζωῆς· ὡς γὰρ ἐκ τῆς καρδίας διασπείρονται αἱ δυνάμεις τῷ σώματι, οὕτως ἐκ τούτων ἡ ζωτικὴ δύναμις εἰς τὰ προνοούμενα διαδίδοται.

Τὰ

PARAPHRASIS PACHYMERÆ.

Τὰ στέρνα (ἐπεὶ στέρνον ἐκ τοῦ στερροῦ ἐτυμολογεῖται, καὶ εἰς φυλακὴν πέπλασται τῆς ὑποκειμένης καρδίας, διὰ τοῦτο) δηλοῦσι τὸ ἀδάμαστον καὶ τὸ φρουρητικὸν τῆς τοιαύτης ζωῆς.

Τὰ νῶτα ἐπεὶ συνεκτικά εἰσι τῆς ἐμφύτου δυνάμεως, ὡς οὖν καὶ πᾶν βάρος τῷ σώματι ἐπικείμενον, τοῖς ὤμοις ἐπικεῖσθαι λέγεται· ὅθεν καὶ ἡ ποίησις τὴν τῶν ὅλων βαρύτητα τοῖς ὤμοις ἐπιτίθησι· λέγει γὰρ ὁ Ὅμηρος,

—— Καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο.

διὰ τοῦτο τὰ νῶτα δηλοῦσι τὸ συνεκτικὸν τῶν δυνάμεων, τῶν ἐμφύτων δηλαδὴ καὶ ζωογόνων.

Οἱ πόδες τὸ κινητικὸν καὶ ἐντρεχὲς τῆς περὶ τὰ θεῖα πορευτικῆς ἀεικινησίας ὑποσημαίνουσι· διὰ τοῦτο γὰρ καὶ πτερωτοὶ οἱ πόδες παρὰ τῆς Θεολογίας πλάττονται. Τὸ γὰρ πτερὸν ἀνάγει, καὶ κοῦφον δεικνύει τὸ πτερυσσόμενον. Ἐξήρηνται οὖν παντὸς χαμαιζήλου, καὶ ἀεικινήτως ἔχουσι πρὸς ἀναγωγὴν οἱ θεῖοι καὶ πανευκλεεῖς Ἄγγελοι. Ἰδίως δὲ πάλιν ἡ τῶν περὶ τοὺς ὤμους πτερῶν ἐλαφρία, δηλοῖ τὸ ἀβαρὲς αὐτῶν καὶ κοῦφον, καὶ πρὸς τὸ ἀνωφερὲς ἀνεμπόδιστον.

Τὸ δὲ γυμνὸν καὶ ἀνυπόδετον, τὸ ἄφετον αὐτῶν, καὶ πρὸς τὰ κάτω εὔλυτόν τε καὶ ἄσχετον, κατὰ τό· Λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ὁ γὰρ τόπος, ἐν ᾧ ἵστασαι, ἅγιός ἐστιν· ὁ γὰρ γυμνοποδῶν, ἐλεύθερός ἐστι παντὸς ἐξωτερικοῦ ἐφολκίου. Γυμνοποδεῖν μὲν λέγονται καὶ οἱ νόες, ὡς ἐλεύθεροι τῆς τῶν ἐκτὸς προσθήκης, καὶ διὰ τοῦτο, ἀπρόσθετοι καὶ ἁπλοῖ, κατὰ τὴν ὡς ἐφικτὸν πρὸς τὴν θείαν ἁπλότητα ἀφομοίωσιν.

Πολυποίκιλον λέγει τὴν σοφίαν τοῦ Θεοῦ, κατὰ τὸν μέγαν Ἀπόστολον Παῦλον. Δοκεῖ δὲ τὰ δύο ἐναντία εἶναι, τό τε ἁπλοῦν καὶ τὸ πολυποίκιλον. Ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὸ ἁπλοῦν μὲν εἶπεν, ἵνα δηλώσῃ τὸ ἀσύνθετον τοῦ Θεοῦ, καὶ τὸ μηδεμιᾶς διπλόης ἐπιδεόμενον· οὐ γὰρ ἐκ μαθήσεως σοφὸς ὁ Θεός, ἀλλ' αὐτόχρημα σοφία ἐστί· Τὸ δὲ πολυποίκιλον, διότι εἰς πολλὰ γνώσεως εἴδη μετατυποῦται, διὰ τὴν τῶν ἐλλαμπομένων ἀσθένειαν· Ἀρχιερεὺς γὰρ ἐστὶ μέγας, συμπάσχων ταῖς ἡμῶν ἀσθενείαις. ὥστε ἁπλῆ μὲν λέγεται σοφία Θεοῦ κατὰ τὴν φύσιν, πολύτροπος δὲ κατὰ τὴν πρόνοιαν. Ἐπεὶ δὴ τοίνυν αὕτη καὶ τοὺς ἀσκεπεῖς φυσικῶς ἀμφιέννυσι, καὶ σκεύη τινὰ δίδωσι περιφέρειν αὐτοῖς· φέρε καὶ τὰ τοιαῦτα ἱερὰ προβλήματα

Pectora (cùm pectus, Græcè στέρνον ἐκ τοῦ στερροῦ, id est ex firmo deriuetur, & ad subiecti cordis custodiam formatum sit) designant vim insuperabilẽ & conseruatricem vitæ istiusmodi.

Dorsa verò, quia continent insitam virtutem, sicut etiam omne onus corpori impositum, humeris imponi dicitur: vnde & Poësis vniuersum onus humeris imponit; ait enim Homerus,

Et ab humeris arma deponebant.

idcircò dorsa significant id quod vires continet, interiores scilicet ac vitales.

Pedes vim motricem insinuant, & cursum sempiterni motus quo ad diuina cientur: nam idcircò etiam à Theologiâ pedes eorum alati finguntur. ala siquidem sursum eleuat, & leue esse declarat id quod alatum est. Diuini itaq; illustresque Angeli ab omni re terrestri eximuntur ac perpetuò ad anteriora & excelsa promouentur. Rursum verò illa quæ in humeris est alarum leuitas, propriè designat eorum agilitatem, quæ sine admixtione grauitatis promptè sursum fertur.

Nuditas verò calceorumque priuatio virtutem eorum abstractam denotat, & à rebus infimis expeditam & liberam, iuxta illud, *Solue calceamenta de pedibus tuis, locus enim, in quo stas, sanctus est.* Exod. 3,5. nudipes enim liber est ab omni extrinseco impedimento. Spiritus itaque nudipedes dicuntur, tamquam liberi ab extrinseco additamento, atque ideò expediti simplicesque, secundùm eam quæ diuinę simplicitatis dari potest similitudinem.

Multiformem porrò vocat Dei sapientiam, §.4. *Sapientia Dei cur multifaria.* iuxta magnum Apostolum Paulum. Simplex autem & multifarium videntur esse duo contraria. Verùm dicere licet, simplicem quidem Eph. 3,10. dixisse, vt ostenderet Deum esse sine compositione, & nullâ duplicitate indigere: neque enim discendo Deus sapiens fit, sed est reapse sapientia. Multiformem verò, quia in multas cognitionis species, propter eorum qui illustrantur imbecillitatem, transformatur: Pontifex enim magnus est, qui nostris infirmitatibus compatitur. ita vt Dei quidem sapientia dicatur simplex secundùm naturam, multimoda verò secundùm prouidentiam. *Vestes quid.* Ceterûm cùm hæc quoque naturâ suâ nudos cooperiat, & quædam iis instrumenta circumferenda tradat; agedum etiam ista sacra operi-

PARAPHRASIS PACHYMERÆ.

menta & instrumenta, prout possumus, explicemus. Ac lucidam quidem igneamque vestẽ, vt apud Ezechielem & Danielem reperitur, arbitror significare quatenus nimirum est ignea, deiformitatẽ, iuxta istam ignis imaginem de quâ egimus; quatenus verò est splendida, & lucidam vim illuminandi. Cùm autem etiam vestis possessio seu supellex quædam sit quæ totum corpus ambit, vnde & amictus seu indumentum dicitur; possessionum autem & supellectilium ab alio ad alium hereditates deriuentur, obserua quid Sanctus hîc ad hæc dicat. Ad quid vestis? propter sortes & hereditates cæli, iuxta illud, *Venite benedicti Patris mei, possidete paratum vobis regnum ab origine mundi.* (Mat. 25, 34) Quodnam porrò regnum? illud vtique diuinum sempiternumq; lumen: antiqui enim λῆξιν, id est sortem appellabant hereditatem; vnde etiam legati, & legatarij, scriptumque legatarium, quod heredibus datur qui iam decimum octauum annum excesserunt, vt hereditatis suæ administrationem ac gubernationem propter ætatis perfectionem adeant. Atque hæc quidem propter vestem; quin potiùs vestis propter hæc assumitur. Propter splendorem autem atque igneam qualitatem, totius etiam vestis amplitudinem quasi lucem esse ait. Qualem lucem? quæ nimirum per totum illustrat, & per totum illustratur. atque illa quidem quæ diuina natura est intelligibiliter illustrat; hæc verò quæ Angelica est intelligendo illustratur: intelligibile siquidem illud est quod intelligitur, intelligens verò id quod illustratur & intelligit. (*Quid sit intelligibile, & quid intelligens.*) Itaque per totum illud illustrat sine vllâ parsimoniâ vel contractione, & hoc per totum illustratur, etsi, quantum fas est, suscipiat (neque enim quod mensuratum est suscipit, quia mensuratè illustratur, sed sic dicitur moderatum quid suscipere, quatenus per totum illustratur, & quantum capere potest, accipit:) nam illud illustrantis esset, ac si quis diceret, parsimoniæ vel inuidiæ, quæ procul absunt à diuinâ beataque naturâ; hoc autem omnino facultatis est suscipientium. Porrò stola Sacerdotalis assumitur, (*Quid vestes Sacerdotales.*) eò quòd adducant homines qui merentur ad diuina spectacula mysteriaque; sicut etiam hîc vsuuenit Sacerdotibus, per quos Baptismus, expiatio, illustratio, manus impositio, benedictioq; confertur, præterquam etiam quòd

τε καὶ ὄργανα, ὡς ἡμῖν ἐστι δυνατὸν, ἀναπτύξωμεν. Τὴν μὲν γὰρ φανὴν καὶ πυρώδη ἐσθῆτα, καθὼς παρὰ Ἰεζεκιὴλ καὶ Δανιὴλ εὕρηται, ὑπολαμβάνω σημαίνειν, τὴν μὲν πυρώδη ἐσθῆτα, τὸ θεοειδὲς, κατὰ τὴν τοῦ πυρὸς εἰκόνα καθὼς ἐλέγομεν· τὴν δὲ φανὴν καὶ φωτεινὴν, τὸ φωτιστικόν. Ἐπεὶ δὲ καὶ ἡ ἐσθὴς κτῆμά τι ἐστὶ, καθόλου περιέχει τὸ σῶμα, ὅθεν καὶ ἀμπεχόνη λέγεται, ἐπὶ δὲ τῶν κτημάτων τε καὶ χρημάτων αἱ ἀφ' ἑτέρου εἰς ἄλλον κληρονομίαι γίνονται, ὅρα τί λέγει ἐνταῦθα πρὸς ταῦτα ὁ Ἅγιος. Διὰ τί ἐσθής; διὰ τὰς ἐν οὐρανῷ λήξεις καὶ κληρονομίας, κατὰ τὸ, Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Τίς δὲ ἡ βασιλεία; πάντως ἐκεῖνο τὸ θεῖον καὶ ἀδιάδοχον φῶς· λῆξιν γὰρ τὴν κληρονομίαν οἱ παλαιοὶ ἔλεγον· ὅθεν καὶ ληγάτοι, καὶ ληγατάριοι, καὶ ληξιαρχικὸν γράμμα, τὸ διδόμενον τοῖς ὑπὲρ τὰ δεκαοκτὼ ἔτη οὖσι τῶν κληρονόμων, εἰς τὸ ἄρχειν τῆς οἰκείας κληρονομίας, διὰ τὸ τῆς ἡλικίας τέλειον. Καὶ ταῦτα μὲν διὰ τὴν ἐσθῆτα· μᾶλλον δὲ ἡ ἐσθὴς διὰ ταῦτα παραλαμβάνεται. Διὰ δὲ τὸ φανὸν καὶ πυρῶδες, καὶ ἔτι τὴν καθόλου περιοχὴν τῆς ἐσθῆτος λέγει ὅπου τὸ φῶς. Ποῖον φῶς; καὶ τὸ καθόλου ἐκλάμπον, καὶ τὸ καθόλου ἐκλαμπόμενον· ἀλλ' ἐκεῖνο μὲν, ὅπερ ἐστὶν ἡ θεία φύσις, νοητῶς ἐλλάμπει· τοῦτο δὲ, ὅπερ ἐστὶν ἡ Ἀγγελική, νοερῶς ἐλλάμπεται· νοητὸν μὲν γάρ ἐστιν, ἅτε ἐκεῖνο τυγχάνον τὸ νοούμενον· νοερὸν δὲ, τὸ ἐλλαμπόμενον καὶ νοοῦν. Τέως δὲ, κἀκεῖνο καθόλου ἐλλάμπον, καὶ δίχα τινὸς φειδωλίας τε καὶ γλισχρότητος, καὶ τοῦτο καθόλου ἐλλάμπεται, εἰ καὶ τὸ ἐφικτὸν ὑποδέχεται (οὐδὲ γὰρ τὸ μέτριον ὑποδέχεται, διότι μετρίως ἐλλάμπεται), ἀλλ' οὕτως λέγεται τὸ μέτριον ὑποδέχεσθαι, ὅτι καθόλου ἐλλάμπεται, καὶ τὸ ἐγχωροῦν προσλαμβάνει) ἐκεῖνο γὰρ ἦν ἂν τοῦ ἐλλάμποντος, ὡς ἄν τις εἴποι, φειδωλίας καὶ τοῦ φθόνου, ἅπερ πόῤῥω εἰσὶ τῆς θείας καὶ μακαρίας φύσεως· τοῦτο δὲ πάντως ἐστὶ τῆς τῶν ὑποδεχομένων δυνάμεως. Ἡ δὲ ἱερατικὴ στολὴ παραλαμβάνεται, διὰ τὸ προσάγειν τοὺς τῶν ἀνθρώπων ἀξίους πρὸς τὰ θεῖα θεάματα καὶ μυστήρια, καθὼς καὶ ἐπὶ τῶν ἐνταῦθα Ἱερέων ἐστὶ, δι' ὧν τὸ βάπτισμα, δι' ὧν ἡ κάθαρσις, ὁ φωτισμὸς, ἡ χειροτονία, ἡ εὐλογία, καὶ ἄλλως διὰ τὸ ἀφιε-

ρωμένον

ἀφιερωμένον καὶ ἡγιασμένον τῆς ἁπάσης ζωῆς αὐτῶν.

Αἱ δὲ ζῶναι, ὡς ἐνταῦθα τὰ γόνιμα μέρη τοὺς νεφροὺς περισφίγγουσιν, οὕτως ἐκεῖσε περιφρουροῦσι τὰς γονίμους δυνάμεις αὐτῶν· ἐκφαίνουσι γὰρ αὐτῶν ὡς οἷά τινας γονὰς τὰ θεῖα ἀπαυγάσματα, καὶ ἓν πρὸς ἕτερον τῶν ταγμάτων, καὶ πάντα πρὸς ἡμᾶς. καὶ ἔτι συστρέφουσιν εἰς τὸ ἓν, τὴν συναγωγὸν αὐτῶν ἕξιν, ὡς ἂν ἡ νόησις μείνῃ ἀσκέδαστος καὶ ταυτὴ, εἰ καὶ τοῖς ἑτέροις παραπέμπεται· ἀμετάπτωτος γὰρ συνελίσσεται, καὶ μετ' εὐκοσμίας, ὅπερ καὶ αὐτὸ τῆς ζώνης ἐστὶ, κἂν καὶ μεταδίδοται. Ὡς γὰρ ἡ μονὰς μεταδιδομένη πάλιν μένει ταυτή τε καὶ ἀμετάπτωτος, καὶ περὶ ἑαυτὴν συνελίσσεται, ὅτε δηλαδὴ μία δεκὰς λέγεται καὶ μία ἑκατοντὰς, καὶ μία χιλιοστύς· οὕτω κἀκείνη ἡ θεία νόησις μετεχομένη, ἁπλῆ τις μένει καὶ ἀμετάπτωτος.

Αἱ ῥάβδοι, σύμβολον βασιλείας εἰσὶ, καὶ εὐθεῖς, κατὰ τὸ, Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. Δηλοῦσι τοιγαροῦν τὸ βασιλικὸν, καὶ πρὸς τὰ κάτω ἀδούλωτον. Ἐπεὶ δὲ εὐθύ ἐστι, τὸ ἐξ ἴσου τοῖς ἐφ' ἑαυτοῦ σημείοις κείμενον, καὶ τὸ ἐξ ἴσου περαῖνον, τὸ τῶν ῥάβδων εὐθὺ, δηλοῖ τὸ περαίνειν ἐκείνους πάντα εὐθέως· οὐδὲν γὰρ τελοῦσι μετά τινος σκολιότητος.

Τὰ δόρατα καὶ οἱ πέλυκες δηλοῦσι τὸ διαιρετικὸν τῶν ἀνομοίων, ἤγουν τῶν ὑλικῶν· διαιροῦσι γὰρ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. Τοῦτο γάρ ἐστιν ἡ διακριτικὴ δύναμις, ἡ ὀξεῖα κατὰ τὸ δόρυ, ἡ ἐνεργὴς καὶ δραστηρία κατὰ τοὺς πέλυκας.

Τὰ δὲ γεωμετρικὰ καὶ τεκτονικὰ ὄργανα, καθὼς ἐλέγομεν, χοινίον γεωμετρικὸν, τὸ θεμελιωτικὸν, καὶ οἰκοδομητικὸν, κατὰ τὸ, Εἷς τὸν ἕνα οἰκοδομεῖτε, καὶ ἔτι τὸ τελειωτικόν· οὐδὲ γὰρ λέγεται οἰκοδόμος, ὁ θεμελιῶν καὶ κτίζων μόνον, ἀλλ' ὁ τελειῶν τὴν οἰκίαν· ἡ οἰκία γὰρ τέλος ἐστὶν, ἐκεῖνα δὲ ἀρχὴ καὶ πρὸς τὸ τέλος. οὐδεμία δὲ ἀρχὴ συγγενὴς τοῖς τέλεσιν, ὡς οὐδὲ τρόπις τῇ νηΐ· διὰ τοῦτο γοῦν προστέθειται καὶ, Τὸ τελειωτικὸν, καὶ ὅσα ἄλλα τῆς ἀναγωγοῦ προνοίας τῶν πρώτων, καὶ ἐπιστρεπτικῆς τῶν δευτέρων ἐστί τε καὶ λέγεται.

Ἔστι δὲ ὅτε ταῦτα τὰ ὄργανα δηλωτικά εἰσι τῶν εἰς ἡμᾶς κρίσεων τοῦ Θεοῦ. Καὶ εἰς παιδείαν μὲν ἐπανορθωτικὴν ἡ ῥάβδος παραλαμβάνεται, ὡς φησιν ὁ θεῖος Ἀπόστολος, Ἐν ῥάβδῳ ἔλθω πρὸς ἡμᾶς, ἢ ἐν

tota eorum vita consecrata sit ac sanctificata.

Zonæ autem, quemadmodum hîc membra genitalia renesque succingunt, sic & ibi fecundas eorum virtutes custodiunt: diuinos enim splendores suos, quasi fœtus quosdam, cùm vnus ordo aliis, tum omnes nobis manifestant. quin & collectum suum habitum ad vnum conuertunt, sic vt intellectio eorum maneat indiuulsa, tametsi aliis communicetur: sine lapsu enim & cum decore circumuoluitur, quod etiam zonæ accidit, tametsi communicetur. Quemadmodum enim vnitas communicata rursum manet eadem, & non excidit, & circum semetipsam reuoluitur, quando v.g. dicitur vnus denarius, & vnus centenarius, & vnus millenarius; sic & illa diuina notio dum participatur, simplex in se manet, & non excidit.

§. 5. Quid varia instrumenta.

Virgæ, symbolum sunt regni, & rectè, iuxta illud, *Virga directionis, virga regni tui.* Significant itaque Regiam dignitatem, & à terrenâ seruitute libertatem. Cùm autem rectum sit, quod ex æquo signis suis respôdet, & ex æquo terminat, virgarum rectitudo declarat eos rectè cuncta determinare; nihil enim cum curuitate aliquâ perficiunt. Psal. 44,7.

Hastæ & secures denotant vim inæqualia seu materialia diuidendi: diuidunt enim à malo bonum. Nam hæc est discernendi vis, quæ acumen habet vt hasta, & actiuitatem efficaciamque vt secures.

Geometrica verò fabriliaque instrumenta designât, vti diximus, perpendiculum quidem geometricum, fundandi & ædificandi, iuxta illud, Vnus alterum ædificate, atque insuper perficiendi facultatem: non enim dicitur ædificator, qui fundamentum solùm ponit ac murum erigit, sed qui domum perficit; domus enim finis est, illa verò principium dumtaxat sunt, & ad finem tendunt: nullum autem principium est finibus coæuum, vt neque carina naui: idcircò etiam additur *perficiendi facultatem,* & quæcumque alia, inferiores adducendi & conuertendi prouidentiam concernentia, primis illis insunt & attribuuntur.

Accidit quoque nonnumquam, vt istiusmodi instrumenta diuinorum erga nos iudiciorum symbola existant. Ac virga quidem pro correctrice disciplinâ sumitur, vti cùm diuinus Apostolus ait, *In virgâ veniam ad vos,* 1. Cor. 4, 21.

an in charitate? Pro vindictâ verò iustitiæ gladius, falx & securis, sicut etiam in sacris Euangeliis de ficu inutiliter locum occupante refertur. Pro libertate verò ab insidiis hereditarius funiculus, iuxta illud, *funiculus hereditatis*. Pro fine verò disciplinæ iterùm securis quæ mala resecat, & virga iterùm pro pristinę
Psal.22,4. felicitatis restitutione, iuxta illud, *Virga tua & baculus tuus, ipsa me consolata sunt*. Pro collatione verò munerum, sensilium quidem & in ordine ad dantis dignitatem exiguorum, vt armatura seu vestis militaris, quæ visa est à IESV Naue; spiritalium verò ac magnorum, quæ plurima variaque Sanctis manifestata sunt. Neque verò dubitabit vllo modo mens perspicax, visibilia propriè rebus quæ aspectum fugiunt accommodare.

§. 6. Quòd autem & venti nominentur, iuxta
Ps. 103,3. Quid vēti. illud, *Qui ambulat super pennas ventorum*, celerem eorum volatum significat, & ad omnia fermè absque tempore penetrantem. Rectè dixit *fermè*: nam hoc proprium est ac solius Dei. *Absq; tempore* autem dixit, nam in sensilibus res fiunt tardiùs & in tempore, in incorporeis autem & intelligibilibus, puncto temporis & sine morâ perficitur id quod faciendum est. Est & alia proprietas ventorum, quòd quemlibet motum habeant, & ad quidlibet. Aër enim rectè à Platone definitur, esse elementum cui naturales sint omnes secundùm locum motiones. Ignis siquidem naturâ suâ sursum mouetur, deorsum verò contra naturam; terra verò & aqua è diuerso: sed aër naturâ suâ quaquauersum mouetur. Idem etiam obserua in cælestibus Virtutibus, quoniam desuper quidem deorsum diuinū mandatum transferant, infernè verò sursum adducant inferiora; eademque corroborent, ac rursum moueantur ad iis prouidendum. Posset etiam quis dicere, eiuscemodi ventorum nomen declarare eorum deiformitatem; siquidem & illi diuinæ efficacitatis imagines quædam insunt, sicut in alio Opere, quod hodie non extat, scripto tradidit. Atque hîc ait, spiritum mouere & viuificare: siquidem hoc aërem spiramus ad cor refocillandum: & celeriter & incontinenter & inuisibiliter & occultè transit, eiusque principia ac termini minimè
Ioan.3,8. noscuntur, sicut dictum est, *Spiritus vbi vult spirat, & nescis vnde veniat, aut quò vadat.*

ἀγάπῃ; Εἰς δὲ μετὰ δικαιοσύνης τιμωρίαν, τὸ ξίφος, τὸ δρέπανον, καὶ ὁ πέλεκυς, καθὼς καὶ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις περὶ τῆς συκῆς τῆς καταργούσης τὸν τόπον φέρεται. Εἰς δὲ ἐλευθερίαν περιστάσεως, τὸ κληροδοτοῦν σχοινίον, κατὰ τὸ, Σχοίνισμα κληρονομίας. Εἰς δὲ τέλος παιδείας, πάλιν ὁ τέμνων τὰ χαλεπὰ πέλυξ· εἰς δὲ ἐπανάληψιν τῆς προτέρας εὐπαθείας, ἡ ῥάβδος πάλιν, ὡς τὸ, Ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Εἰς δὲ προσθήκην δωρεῶν, αἰσθητῶν μὲν καὶ μικρῶν ὅσον κατὰ ἀναλογίαν τοῦ διδόντος, τὸ ἀμυντικὸν καὶ στρατιωτικὸν φόρημα, καθὼς ὠράθη τῷ τοῦ Ναυῆ Ἰησοῦ· νοητῶν δὲ καὶ μεγάλων, ἅπερ πολλὰ τοῖς Ἁγίοις καὶ διάφορα ἐξεφάνησαν. Καὶ ὅλως οὐκ ἂν ἀπορήσειεν ὁ διαβατικὸς νοῦς, οἰκείως ἁρμόσαι τοῖς ἀφανέσι τὰ φαινόμενα.

Τὸ δὲ καὶ ἀνέμους αὐτοὺς ὀνομάζεσθαι, κατὰ τὸ, Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, τὴν ὀξεῖαν αὐτῶν πτῆσιν δηλοῖ, καὶ σχεδὸν ἀχρόνως ἐπὶ πάντα διήκουσαν. Καλῶς δὲ τέθειται τὸ Σχεδόν· τοῦτο γὰρ ἴδιον καὶ μόνον Θεοῦ. Ἀχρόνως δὲ εἶπεν, ὅτι ἐπὶ μὲν τῶν αἰσθητῶν, ἔγχρονα καὶ βραδύτερα τὰ γινόμενα· ἐπὶ δὲ τῶν ἀσωμάτων καὶ νοητῶν, συντόμως καὶ ἀμελλητὶ τελεσιουργεῖται τὸ πραττόμενον. Ἔστιν ἕτερον ἰδίωμα τῶν ἀνέμων, ὅτι παντοίαν τὴν κίνησιν ἔχουσι, καὶ ἐπὶ παντί. Καλῶς γὰρ ἔχει καὶ ὁ τοῦ ἀέρος ὁρισμὸς κατὰ Πλάτωνα, ὅτι στοιχεῖόν ἐστιν οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις κατὰ φύσιν εἰσί. Τὸ γὰρ πῦρ ἄνω ἔχει τὴν κατὰ φύσιν κίνησιν, κάτω δὲ τὴν παρὰ φύσιν· ἡ δὲ γῆ καὶ τὸ ὕδωρ ἀνάπαλιν· ὁ δὲ ἀὴρ κατὰ φύσιν κινεῖται πανταχοῦ. Τοῦτο νόει καὶ ἐπὶ τῶν θείων Δυνάμεων, ὅτι ἄνωθεν μὲν πρὸς τὰ κάτω τὴν θείαν διαπορθμεύουσι βούλησιν, κάτωθεν δὲ πρὸς τὰ ἄνω ἀνάγουσι τὰ δεύτερα, καὶ ἀνατείνουσι ταῦτα, καὶ πάλιν κινοῦνται πρὸς τὴν τῶν ὑφειμένων πρόνοιαν. Εἴποι δ' ἄν τις, ὅτι ἡ τοιαύτη τῶν ἀνέμων ἐπωνυμία καὶ τὸ θεοειδὲς ἐμφαίνει· ἔχει γὰρ καὶ τοῦτο εἰκόνας θείας ἐνεργείας, καθὼς ἐν ἑτέρῳ Συντάγματι παραδέδωκεν, ὃ δὴ οὐ φέρεται σήμερον. Καὶ ἐνταῦθα λέγει, ὅτι τὸ πνεῦμα κινεῖ, καὶ ζωογονεῖ· κατὰ τοῦτο γὰρ καὶ τὸν ἀέρα ἀναπνέομεν εἰς τὴν τῆς καρδίας ἀναρρίπισιν· καὶ ὀξέως καὶ ἀκρατήτως χωρεῖ, καὶ ἀοράτως καὶ κρυφίως, καὶ ἄγνωστοί εἰσι τούτου αἱ ἀρχαὶ καὶ αἱ ἀποπερατώσεις, καθὼς λέλεκται, Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, οὐ γὰρ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

ταῦτα

PARAPHRASIS PACHYMERÆ.

ταῦτα εἰσὶν εἰκόνες Θεοῦ· κινεῖ πρὸς σωτηρίαν, ζωογονεῖ κατά τε σῶμα καὶ πνεῦμα, ὀξέως καὶ ἀκρατήτως χωρεῖ· ἓν ἀποδιοπομπεῖ τοῦτο, ἡ παχεῖα συνείδησις· κρύφιός ἐστι, κατὰ τὸ, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· ἀόρατός τε, καὶ ἀκατάληπτος καὶ ἀΐδιος.

Περιπλάττει δὲ νεφέλης ἰδίαν ἡ ἱερὰ Γραφὴ τοῖς Ἀγγέλοις, κατὰ τὸ, Καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Σημαίνει δὲ, ὅτι κρυφίου καὶ θείου φωτὸς ἀποπληροῦνται, καὶ τὴν πρωτοφανῆ τοῦ Θεοῦ φωτοφάνειαν δέχονται· οὐκ ἐκπέμπουσι δὲ ταύτην (ἀναπόβλητον γὰρ ἐν νεφέλῃ τὸ φῶς) ἀλλὰ διαπορθμεύουσι πρὸς τὰ δεύτερα, ὡς καὶ ταῦτα ἔχειν τὴν πρωτοφάνειαν, καὶ ἄλλοις ἐπιχορηγεῖν. Καὶ μὴν καὶ ἄλλως νεφέλαι λέγονται, διὰ τὸ γόνιμον, καὶ ζωοποιὸν, καὶ αὐξητικὸν, καὶ τελειωτικὸν τῶν καρπῶν, διὰ τῶν ἐκχεομένων ἀπὸ τῶν νεφελῶν ὑδάτων, τῶν ἐκκαλουμένων ἐπὶ ζωτικὰς ὠδῖνας τὸν ἐκδόχιον κόλπον, τὴν τοὺς ὑετοὺς ὑποδεχομένην δηλαδὴ γῆν. Ὥσπερ γὰρ ἡ νεφέλη προσκαλεῖται τῆς θαλάσσης τὸ ὕδωρ, καὶ ἐκχεῖ αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, κατὰ τὸ εἰρημένον, Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, ἐκχέων αὐτὸ ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· οὕτω καὶ οἱ νόες, δεχόμενοι τὴν γνῶσιν, νεφελῶν δίκην ἐπὶ τοὺς ὑποδεεστέρους ἁπλοῦσι.

Περιτίθησι καὶ μετάλλων καὶ λίθων προσωνυμίας τοῖς Ἀγγέλοις ἡ ἱερὰ Γραφή. Τὸ ἤλεκτρον μὲν, ὡς χρυσοειδὲς ἅμα καὶ ἀργυροειδὲς (τοιοῦτον γὰρ ὁ ἤλεκτρος) τὸ μὲν τούτου χρυσαυγὲς ἐμφαίνει τὴν ἐν αὐτοῖς, ὡς ἐν χρυσῷ, ἄσηπτον δὲ ἀμείωτον δὲ ἄχραντον διαύγειαν· οὐ γὰρ σήπεται ὁ χρυσὸς, οὐδὲ ἔχει ῥύπον, οὐδὲ ἰοῦται, καὶ μᾶλλον ὅσον καὶ ὄβρυζός ἐστιν. Εἰ δὲ ὁ ἄργυρος τὸν ἰὸν δέχεται, ἀλλ' οὖν ἔστι καθ' ἑτέραν ἀναγωγὴν λαβεῖν τὸ φανὸν αὐτοῦ καὶ λευκὸν (ἐκ τούτου γὰρ καὶ ἄργυρος ἐτυμολογεῖται, ἀργὸν γὰρ τὸ λευκὸν λέγεται) καὶ τοῦτο ἀνάξαι πρὸς τὰς οὐρανίας δυνάμεις. Ὁ δὲ χαλκὸς, ἐπεὶ ὁ μὲν πυρώδης ἐστὶν, ὁ δὲ χρυσοειδὴς, ὡς μὲν πυρώδης ἀναγέσθω κατὰ τὰς τοῦ πυρὸς θεωρίας, ὡς δὲ χρυσοειδὴς κατὰ τὰς τοῦ χρυσοῦ.

Τὰ δὲ διάφορα τῶν λίθων χρώματα, διαφόρους δὲ τὰς ἐκφάσεις τίθησι· τὸ μὲν γὰρ λευκὸν, τὸ φωτεινὸν δηλοῖ· τὸ δὲ ἐρυθρὸν, τὸ πυρῶδες· τὸ δὲ ξανθὸν, τὸ χρυσοειδὲς, περὶ ὧν προείρηται· τὸ δὲ χλωρὸν, ἤγουν τὸ πράσινον, τὸ νεάζον καὶ ἀκμαῖον. Τοῦτο δὲ διὰ τί; ἀπὸ μεταφορᾶς τῶν δένδρων ἢ τῶν φυτῶν·

hæ ſunt imagines Dei: mouet ad ſalutem, viuificat ſecundùm corpus & ſpiritum, citò & incontinenter penetrat: vnum quod eum non admittit, eſt craſſa conſcientia: occultus eſt, iuxta illud, *Poſuit tenebras latibulum ſuum*; inuiſibilis eſt, & incõprehenſibilis & æternus. Pſ. 17, 12.

Sacra quoque Scriptura nubis proprietatem Angelis affingit, iuxta illud, *Et nubes ſuſcepit eum ab oculis eorum.* Significat autem, eos occulto ac diuino lumine repleri, atque primi-lucam Dei illuſtrationem accipere: verùm hanc minimè produnt (lux enim in nube non amittitur) ſed transfundunt eam ad inferiora, vt & hæc primam illuſtrationem habeant, atque aliis impertiant. Quin & aliter quoque nubes dicuntur, propter vim fecundandi, & viuificandi, & augendi, ac perficiendi fructus per aquas quæ è nubibus funduntur, quibus nimirum ſubiectum terræ gremium pluuias excipiens ad vitales prouocant partitudines. Quemadmodum enim nubes è mari aquam elicit, & ſupra terræ faciẽ effundit, iuxta quod dicitur, *Prouocans aquam maris, effundit eam ſuper omnem faciem terræ*: ſic & mentes accipientes notitiam, inſtar nubium in inferiores explicant.

Quid nubes. Act. 1, 9. Amos 5, 8.

§. 7. *Quid metalla.*

Quin etiam metallorum ac lapidum nomina ſanctis Angelis Scriptura tribuit. Electrum quidem, vt quod auri argentique formam præ ſe ferat (eiuſcemodi enim electrum eſt) quaſi in auro imputribilem & inconſumptum & inuiolabilem ſplendorem denotat; quoniam aurum non putreſcit, nec ſordes cõtrahit, nec rubiginem, maximè inquantum obrizum eſt. Etſi autem argentum rubiginem admittat, licet tamen ſecundùm aliam anagogen eius fulgorem ac candorem accipere (à quo & nomen argentum obtinet; ἀργὸν enim idem dicitur quod *candidum*) & hunc cæleſtes virtutes referre. Æs verò, quoniam aliud quidem ignis, aliud verò auri ſpeciem præ ſe fert, id quod igneum ad ignis, id quod aureum ad auri proprietates referatur.

Porrò diuerſi lapidum colores diuerſas etiam explicationes habent: nam albus lucidum ſignificat, ruber igneum, flauus verò aureum, de quibus antè dictum eſt, vernans verò ſiue viridis, iuuenile quid ac vigoroſum. Vnde autem hoc? à metaphorâ nimirum arborum vel

plantarum, nam hæ verno tempore pullulantes, ac nouum quodammodò statum induentes, florent, & viridia folia habent; hoc enim est vernum: in autumno autem folia, vtpote senescentia, quemdam alium colorem assumunt. Atque ita, secundùm vnamquamque speciem, obuiam quamdam anagogen reperies, quam imaginum ac figurarum perpurgationem nominat.

§.8. *Quid formæ bestiarum, vt leonis.* Sed quoniam de humanâ primùm formâ locuti sumus, veniamus modò etiam ad formarum ferinarum explicationẽ. Ac primùm quidem illam leonis contemplemur: est enim leo ferarum princeps, ac per se robustus, & ab aliis indomabilis, ac pedum suorum vestigia διὰ τῆς ἀλκαίας, id est per caudam suam obtegit (ἀλκαία autem vocatur leonis cauda, quòd eâ latera sua concutiens, quodammodò cor excitet ad ea quæ circumstant conuellenda.) Non exprimitur autem gressus eius in terrâ more ceterorum animalium, nec terram eaq; quæ humi sunt spectat. Est & in Angelis suus principatus ac robur ad quæ assumuntur, & rebus materialibus atque externis edomari nequeunt. Et quia diuinum illud arcanum ineffabile esse debet, occultant & ipsi prorsus spiritalia sua vestigia ad imitationẽ Dei, iuxta
Ps. 76, 20. quod de Deo dicitur, *In mari via tua, & semitæ tuæ in aquis multis, & vestigia tua non cognoscentur*. Quemadmodum enim via in aquis non seruatur, neque vestigia leonis venatores latere cupientis, sic neque Dei. Si itaque id, quod per expressum gressum diuinæ mentes suscipiunt, denuò mysticè occultent, & sine ostentatione conseruent, quidnam iis esse possit incomprehensibile, & in diuinis viis inuestigabile?

Quid bouis. Porrò bouis forma, Angelorum robur ac vigorem signat, quo spiritales sulcos viriliter, vt sic dicam, dilatant, proprias inquam mentes, ad fecundos diuinosque imbres suscipiendos: cornua verò seruatricem inuictamq; vim declarant; siquidem his boues se defendunt, ac habent vt ab aliis superari non possint.

Quid aquila. Age etiam aquilæ imaginem contueamur. Regiam enim dignitatem & sublimem volatum etiam habent Angeli, vti & velocitatem. Et sicut aquilæ, dum in sublimi volant, acres sunt, & vigilantes, & intenti, facilesq; ad prædā

κατὰ γὰρ τὸν ἐαρινὸν καιρὸν ἀκμάζοντα, καὶ εἰς νέαν κατάστασιν οἷον ἐρχόμενα, χλωρά εἰσι, καὶ πράσινα τὰ φύλλα ἔχουσι· τοῦτο γάρ ἐστι τὸ χλωρόν. κατὰ δὲ τὸ φθινόπωρον, ἀλλοίαν χροιὰν τὰ φύλλα, ὡς γηρώντων ὡσανεὶ ἐκείνων, λαμβάνουσι. Καὶ καθ' ἕκαστον εἶδος εὑρήσεις τὴν πρόσφορον ἀναγωγὴν, ἣν καὶ εἰκόνων καὶ τύπων ἀνακάθαρσιν ὀνομάζει.

Ἀλλ' ἐπειδὴ περὶ τῆς ἀνθρωπομόρφου πρῶτον εἴπομεν, ἔλθωμεν ἤδη καὶ ἐπὶ τὴν τῆς θηριομορφίας ἀνάπτυξιν. Καὶ πρῶτον τὴν τοῦ λέοντος θεωρήσομεν· ἔστι γὰρ ὁ λέων, ἡγεμονικὸν καὶ ῥωμαλέον καθ' ἑαυτὸ, καὶ ὑπὸ τῶν ἄλλων ἀδάμαστον· καὶ περικαλύπτει τὰ τῶν ποδῶν ἴχνη, διὰ τῆς ἀλκαίας αὐτοῦ, δηλονότι τῆς οὐρᾶς· (ἀλκαία δὲ ἐκλήθη ἡ τοῦ λέοντος οὐρὰ, διότι ἐν αὐτῇ τὰς πλευρὰς περικρούων, τὴν καρδίαν οἷον ἐξυπνοῖ καὶ ἀναζωπυρεῖ πρὸς τὴν τῶν ἐπιτιθεμένων ἀνασόβησιν.) Ἔστι δὲ καὶ ἡ πορεία τούτου ἀνατατικὴ, οὐ κατὰ τὰ ἄλλα ζῷα, πρὸς γῆν καὶ τὰ περὶ γῆν βλέποντος. Ἔστι καὶ ἐν τοῖς Ἀγγέλοις ἡγεμονία καὶ ῥωμαλεότης πρὸς ἅπερ ὑποδέχονται, καὶ ἀδάμαστοί εἰσι τοῖς ὑλικοῖς τε καὶ ἔξωθεν. Καὶ ἐπειδὴ τὸ ἄρρητον ἡ θεία κρυφιότης ὀφείλει ἔχειν, περικαλύπτουσι καὶ αὐτοὶ τὰ νοερὰ ἴχνη θεομιμήτως πάντως, καθ' ὃ περὶ Θεοῦ εἴρηται, Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Ὥσπερ γὰρ ὁδὸς ἐν ὕδασιν οὐ σώζεται, οὔτε ἴχνη λέοντος βουλομένου λανθάνειν τοὺς θηρεύοντας, οὕτως οὐδὲ Θεοῦ. Εἰ γοῦν ὅπερ διὰ τῆς ἀναστατικῆς πορείας οἱ θεῖοι νόες καταλαμβάνουσι, τοῦτο πάλιν περικαλύπτουσι μυστικῶς καὶ ἀνεκπόμπευτα διατηροῦσι, τί ἂν εἴη τούτοις τὸ ἀκατάληπτον, καὶ τὸ τῶν θείων ὁδῶν ἀνεξιχνίαστον;

Ἡ δὲ τοῦ βοὸς εἰκασία, τῶν Ἀγγέλων τὸ ἰσχυρὸν καὶ ἀκμαῖον δηλοῖ, καθ' ὃ καὶ τὰς νοερὰς αὔλακας ἀρρενικῶς, ὡς εἰπεῖν, ἀνδρυνοῦσι, τὰς οἰκείας δηλαδὴ διανοίας, εἰς ὑποδοχὴν τῶν γονιμοποιῶν καὶ θείων ὄμβρων· τὰ δὲ κέρατα δηλοῦσι τὸ φρουρητικὸν καὶ ἀκράτητον· φρουροῦνται γὰρ οἱ βόες διὰ τούτων, καὶ τὸ παρὰ τῶν ἄλλων ἀκράτητον ἔχουσι.

Φέρε καὶ τὴν τοῦ ἀετοῦ εἰκόνα κατίδωμεν. Τὸ βασιλικὸν γὰρ καὶ ὑψιφόρον ἔχουσι καὶ οἱ Ἄγγελοι, καὶ τὸ ταχυπετὲς ὁμοίως. Καὶ ὥσπερ ἐκεῖνοι, ὑψόθι τὴν πτῆσιν ποιούμενοι, ὀξεῖς εἰσι καὶ νηφάλεοι καὶ ἐντρεχεῖς, καὶ εὐμήχανοι εἰς τὸ θεάσασθαι

τὴν

τροφὴν (ὅθεν οὐδὲ λέληθε τούτους ὕψι πετομένους, καὶ ὑπὸ θάμνων κρυπτόμενον ζῶον·) οὕτως κἀκεῖνοι τοιοῦτοί εἰσι πρὸς τὴν ἑαυτοῖς προσήκουσαν καὶ θείαν τροφήν. Πλὴν οὗτοι μὲν κάτωθεν τὴν τροφὴν ἐκπορίζονται, τοῖς δὲ Ἀγγέλοις ἄνωθέν ἐστιν ἡ δυναμοποιὸς τροφή. πᾶσα γὰρ τροφὴ, μὴ μόνον ἄρτος, τὴν τοῦ ζώου καρδίαν στηρίζει. Ἔχουσι καὶ τὸ θεωρητικὸν ἀκλινῶς πρὸς τὴν ἄφθονον καὶ πολύχυτον ἀκτῖνα τῆς θεϊκῆς ἡλιοβολίας, ἐν ταῖς εὐρωστίαις τῶν ὀπτικῶν αὐτῶν δυνάμεων· λόγος γὰρ, τοὺς ἀετοὺς τῶν τικτομένων τὰ γνήσια ἐκ τῶν νόθων οὕτω διακρίνειν. Ἐὰν ἀτενίσωσιν ἀσκαρδαμυκτὶ πρὸς τὸν ἥλιον, γνήσιά εἰσιν· εἰ δὲ μὴ, ὡς νόθα καὶ ξένης γονῆς, ἀποβάλλονται τῆς καλιᾶς. Οὕτως οὖν καὶ ὁ μὴ δυνάμενος τῷ Ἡλίῳ τῆς δικαιοσύνης ἀτενίσαι, νόθος τῆς αὐτοῦ γνώσεως εὑρίσκεται· οἱ δὲ θεῖοι νόες, ἀσκαρδαμυκτὶ ὡς ἐφικτὸν ἀτενίζοντες, γνήσιοί εἰσιν.

Ἡ δὲ τῶν ἵππων εἰκὼν, τὸ εὐπειθὲς σημαίνει καὶ εὐήνιον τῶν Ἀγγέλων, καθ' ὃ εἴρηται, Ὁ κρατῶν τὰς ἡνίας τῶν ἀχράντων δυνάμεων. Καὶ λευκῶν μὲν ὄντων, τὸ λαμπρὸν παραδηλοῖ καὶ ὡς μάλιστα συγγενὲς τοῦ θείου φωτός· κυανῶν δὲ, οἱονεὶ μελάνων, τὸ κρύφιον· τὸ γὰρ μέλαν, καὶ σκοτεινὸν καὶ κρύφιον. ἐρυθρῶν δὲ, ἐπεὶ καὶ τὸ πῦρ ἐρυθρὸν, τὸ πυρῶδες, καὶ διὰ τοῦτο δραστήριον· συμμίκτων δὲ ἀπὸ λευκοῦ τε καὶ μέλανος, δηλονότι φαιῶν, τὴν συνδετικὴν τῶν ἄκρων ἐν τῇ διαπορθμευτικῇ δυνάμει, καθ' ἣν τὰ πρῶτα τοῖς δευτέροις προνοητικῶς, καὶ τὰ δεύτερα τοῖς πρώτοις ἐπιστρεπτικῶς συνάπτονται).

Ἀλλ' εἰ μὴ κατεστοχαζόμεθα τῆς συμμετρίας τοῦ λόγου, (κόρος γὰρ λόγου, πολέμιος ἀκοαῖς,) καὶ τὰς κατὰ μέρος ἰδιότητας τῶν ζώων, καὶ πάσας τὰς σωματικὰς αὐτῶν διαπλάσεις, ἐφηρμόσαμεν ἂν ταῖς οὐρανίαις δυνάμεσιν ἀναλόγως, κατὰ τὰς ῥηθείσας ἀνομοίους ὁμοιότητας, (ἀνομοίους μὲν, ὅτι αἱ εἰκόνες ὑλικαὶ καὶ πολὺ ἀπεμφαίνουσαι· ὁμοιότητας δὲ, κατὰ τὴν νοουμένην ἀλληγορίαν καὶ τὴν προσήκουσαν τοῖς ὑποκειμένοις πράγμασιν ἀναγωγήν·) καὶ εἴχομεν λέγειν περὶ τοῦ θυμοειδοῦς αὐτῶν, ὅτι νοερά τις ἀνδρεία ἐστὶ, καὶ οὐχ ἁπλῶς ψυχῆς ἀρετὴ, πρὸς τὰ παρεμπίπτοντα ἡδέα καὶ λυπηρὰ ἀεὶ μενούσης ἐπὶ τὸ αὐτὸ, μήτε τοῖς ἡδέσι χαυνουμένης, μήτε τοῖς λυπηροῖς κατα-

PARAPHRASIS PACHYMERÆ.

quærendā (vnde ipsas in sublimi volitantes neq; sub arbustis latitans animalculum fugit:) sic & ipsi expediti sunt ad conuenientem sibi ac diuinum cibum capiendum. Verùm aquilę deorsum exquirunt alimentum, at Angelis sursum est cibus potentificus: omnis enim cibus,& non solus panis, cor hominis cõfirmat. Habent quoque vim, robustis oculorum intentionibus, irreflexè cõtēplandi vberrimum lateque diffusum radium, quem ex se diuinus ille sol euibrat: ferunt enim, aquilas pullos suos genuinos à nothis ita discernere. Si irretortos oculos in solem intendunt, genuini habentur; sin secùs, vt nothi & adulterini è nido deturbantur. Eadem itaque ratione, qui iustitiæ Soli non valet obtueri, à cognitione eius alienus ac nothus reperitur: verùm illæ diuinæ mentes, quæ illum irretortâ quantum fas est acie contemplantur, genuini sunt.

Quid equi. Equorum autem figura significat obedientiam & obseruantiam Angelorum, iuxta quod dictum est, Qui continet frena intemeratarum virtutum. Et alborum quidem candorem denotat, vtpote diuino lumini maximè affinem: cæruleorum verò,& quodammodò nigrorum, diuinum illud arcanum; siquidem id quod nigrum est, & obscurum est & occultum: rubrorum autem, cùm etiam ignis ruber sit, quid igneum atque adeò efficax: albo denique nigroque colore commixtorum, seu fuscorum figura, significat id quod extrema vi quadam traduce connectit, secundùm quam prima posterioribus prouidendo, & posteriora primis conuertendo connectuntur.

Verùm nisi sermonis modum quæreremus, (satietas enim dictionis inimica est auditoribus) singulas etiam animalium proprietates, omnesque corporeas eorum effigies, cælestibus virtutibus proportione quadam dictis dissimilibus similitudinibus accommodaremus, (dissimilibus quidem, quoniam imagines materiales multùm ab iis discrepāt; similitudinibus tamen, iuxta cognitam allegoriam & conuenientem rebus propositis anagogen:) possemusque dicere de illorum iracundiâ, illam esse spiritalem quamdam fortitudinem, cùm ea non simplex sit virtus animæ, in eodem semper statu permanentis siue iucunda siue tristia incidant, vt neque iucundis rebus dissoluatur, neque tristibus deijcia-

deiiciatur; cuius fortitudinis iracundia quoddam extremum est vestigium. Porrò dicamus primùm, quomodo iracundia pro fortitudine, & non pro aliâ virtute aliquâ accipiatur.

De animi passionibus ac virtutibus.

Sciendum, tres esse animæ portiones, rationalem videlicet, irascibilem, & concupiscibilem; & quatuor esse virtutes originales, scilicet prudentiam, fortitudinem, temperantiam, & iustitiam. Vnaquæque itaque virtus quamlibet animæ portionem ornat & dirigit, prudentia rationalem, fortitudo irascibilem, temperantia concupiscibilem; iustitia verò communis est omnibus. Quando enim prudentia rationem ornat, fortitudo autem iracundiam, temperantia verò concupiscentiam, tunc homo ex iustitiâ regitur, & iustus dici possit. Meritò igitur iracundiam accipere liceat pro fortitudine quæ ipsam ornat. Sic verò ira vltimum vestigium est fortitudinis, quia ira est quædam ebullitio sanguinis circa præcordia, ex appetitu vindictæ. Corporea itaque iræ materia, est sanguis qui circa præcordia est; forma verò spiritalis & incorporea, est appetitus vindictæ; irascibilis autem portio animæ, pars est animæ & incorporea. Fortitudo igitur, cùm habitus sit & virtus, irascibilemque motum ordinet & ornet, minimè transfert illum ad aliquam mollitiem, aut quasi à naturâ abducit: vnde etiam sinit illum proprietate suâ vti, verumtamen decenter, & vt oportet. Accipit materiam, id est sanguinem præcordialem, vultque efformare appetitum quemdam vtilem ac decentem, qui fortitudine regatur, ad res tristes despiciendas & iucundas contemnendas, in arduis perdurando, passionibus moderando, res honestas æmulando, res prauas abolendo, verum hostem propulsando: quæ vtiq; omnia, nisi circum præcordia sanguis efferuesceret, nequaquam profectò successum rectum sortirentur. Hoc enim & Dauid ait, *Accendit me*

Psal. 78, 5. *zelus tuus*; &, *Zelus domus tuæ comedit me.*
Ps. 68, 10.

Ecce itaq; propositâ materiâ secundùm hæc efformatâ, quædã alia species subintrat, nempe appetitus vindictæ: & quod ad fortitudinẽ dirigitur, fit iracundia. Sanguinis enim feruorem informat appetitus, sed in alio quodam dissimili: propter quod ira dicitur extremum fortitudinis vestigium, ac si quis extremum vocis vestigium vocet sonum, cùm vocis finem non habeat; nam vocis finis est quidpiam significari.

πιπτούσης· ἧστινος τῆς ἀνδρείας, ὁ θυμὸς ἔσχατόν ἐστιν ἀπήχημα. Ἀλλὰ πρῶτον εἴπωμεν, πῶς τὸ θυμοειδὲς εἰς ἀνδρείαν παραλαμβάνεται, καὶ οὐκ εἰς ἄλλην τινὰ ἀρετήν. Ἰστέον, ὅτι τρία μέρη εἰσὶ τῆς ψυχῆς, λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικόν· καὶ τέσσαρες γενικαὶ ἀρεταὶ, φρόνησις, ἀνδρεία, σωφροσύνη, καὶ δικαιοσύνη. Μία τοίνυν ἑκάστη τῶν ἀρετῶν ἕκαστον μέρος τῆς ψυχῆς κοσμεῖ τε καὶ εὐθετεῖ, ἡ φρόνησις τὸ λογικὸν, ἡ ἀνδρεία τὸ θυμικὸν, ἡ σωφροσύνη τὸ ἐπιθυμητικόν· ἡ δὲ δικαιοσύνη, κοινὴ πᾶσιν ἐστίν. Ὅτε γὰρ ἡ μὲν φρόνησις τὸ λογικὸν κοσμεῖ, ἡ δὲ ἀνδρεία τὸ θυμικὸν, ἡ δὲ σωφροσύνη τὸ ἐπιθυμητικὸν, δικαίως τότε ὁ ἄνθρωπος πολιτεύεται, καὶ δίκαιος ἂν λέγοιτο. Εἰκότως οὖν τὸ θυμικὸν εἰς τὴν κοσμοῦσαν αὐτὸ ἀνδρείαν μεταλαμβάνοιτο. Ἀπήχημα δέ ἐστιν ἔσχατον ὁ θυμὸς τῆς ἀνδρείας, οὕτως, θυμός ἐστι ζέσις τοῦ περικαρδίου αἵματος, πρὸς ὄρεξιν ἀντιλυπήσεως. Ἔστιν οὖν τοῦ θυμοῦ ὕλη μὲν σωματικὴ, τὸ περικάρδιον αἷμα· εἶδος δὲ ψυχικὸν καὶ ἀσώματον, ἡ ὄρεξις τῆς ἀντιλυπήσεως· τὸ δὲ θυμικὸν τῆς ψυχῆς, μέρος ψυχῆς ἐστι καὶ ἀσώματον. Ἡ οὖν ἀνδρεία, ἕξις καὶ ἀρετὴ οὖσα, καὶ τὸ θυμικὸν τάττουσα καὶ κοσμοῦσα, οὐ μεταβάλλει τοῦτο πρὸς μαλθακότητά τινα, καὶ οἷον τῆς φύσεως ἐξιστᾷ· ὅθεν καὶ ἀφίησι τοῦτο τῇ οἰκείᾳ ἰδιότητι χρᾶσθαι, πλὴν πρεπόντως καὶ ὡς δεῖ. Λαμβάνει τὴν ὕλην, τὸ περικάρδιον δηλαδὴ αἷμα, θέλει εἰδοποιῆσαι τῇ ἀνδρείᾳ διοικούμενον ὄρεξίν τινα προσήκουσαν καὶ ἐπωφελῆ, καταφρονῆσαι λυπηρῶν, ἀλογῆσαι ἡδέων, καρτερῆσαι δεινῶν, ἐμφιλοσοφῆσαι τοῖς πάθεσι, ζηλῶσαι πρὸς τὰ καλὰ, παραζηλῶσαι πρὸς τὰ κακὰ, ἀμύνασθαι τὸν ὄντως πολέμιον· ἃ δὴ πάντα, εἰ μὴ ἐστὶν ἡ περὶ τὴν καρδίαν αἵματος ζέσις, οὐκ ἂν εὐοδωθεῖεν ποσῶς. Τοῦτο γὰρ ὃ καὶ ὁ Δαβὶδ λέγει, Ἐξέκαυσέ με ὁ ζῆλός σου· καὶ, Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. Ἰδοὺ γοῦν κειμένης τῆς ὕλης εἰδοποιηθησομένης κατὰ ταῦτα, ὑπέρχεταί τι ἕτερον εἶδος, ἡ τῆς ἀντιλυπήσεως ὄρεξις· καὶ τὸ εἰς ἀνδρείαν οἰκονομούμενον, θυμὸς γίνεται. Εἰδοποιεῖ γὰρ τὴν ζέσιν τοῦ αἵματος, ἡ ὄρεξις, ἀλλ' ἐν ἄλλῳ τινὶ ἀπεμφαίνοντι· διὰ τοῦτο λέγεται ὁ θυμὸς, ἀπήχημα τῆς ἀνδρείας, ὡς ἄν τις εἴποι φωνῆς ἀπήχημα ἦχον, μὴ ἔχον τὸ τέλος τῆς φωνῆς· τέλος γὰρ φωνῆς τὸ σημᾶναι

τι.

PARAPHRASIS PACHYMERÆ.

τι. Οὕτως καὶ ἐνταῦθα ζέσις αἵματος, μὴ ἔχουσα τὸ οἰκεῖον τέλος· τέλος δὲ, πᾶν ἀγαθὸν, καθὼς καὶ τῷ Ἀριστοτέλει δοκεῖ. Εἶχε δὲ τὸ τέλος, εἰ τὸ κατὰ τὴν ἀνδρείαν εἶδος ἀπελάμβανε, καὶ καλῶς ἐκινεῖτο πρὸς ὃ ἐχρῆν, καὶ ὡς ἔδει. Πάλιν τὴν ἐπιθυμίαν εἴχομεν ἀνάξαι εἰς θεῖον ἔρωτα. Διὰ τί δὲ οὐκ εἰς σωφροσύνην, ὡς καὶ τὸ θυμικὸν εἰς τὴν ἀνδρείαν; ὅτι τὸ μὲν θυμικὸν, οὐ πρός τι λέγεται· οὐδὲ γὰρ λέγεται τινὸς πράγματος θυμικόν· ὅθεν καὶ καθ' αὑτὸ ὂν, εἰς τὴν ἀνδρείαν μετεβιβάζετο, ἀρκούσης τῆς ἀρετῆς εἰς τὴν τούτου ἀναγωγήν· τὸ δὲ ἐπιθυμητικὸν πρός τι λέγεται ἐραστὸν, ὃ καὶ ἐπιθυμητικὸν λέγεται. Ὁ γοῦν χρησίμου ἐπιθυμητοῦ καὶ ἐραστοῦ ἐπιθυμῶν, σώφρων ἂν λέγοιτο· καὶ ὅσον ἐστὶ τὸ ἐπιθυμητὸν ὑψηλὸν, τοσοῦτον μᾶλλον σώφρων ἐκεῖνος. Τί δὲ τοῦ θείου ἔρωτος ὑψηλότερον; οὕτως εἴχομεν λέγειν καὶ περὶ τούτου. Καὶ ἁπλῶς εἰπεῖν, ἁπάσας τὰς αἰσθήσεις τε καὶ πολυμερείας τῶν ἀλόγων ζώων εἰς τὰς ἀΰλους δυνάμεις μεταβιβάζειν, καὶ ἀνάγειν εἰς τὸ ἑνοειδὲς καὶ ἁπλοῦν τὰ σύνθετα· ἀλλ' ἀρκεῖ τοῖς ἐχέφροσιν, οὐ ταῦτα μόνον (ταῦτα γὰρ ἴσως πολλὰ) ἀλλὰ καὶ μιᾶς εἰκόνος ἀναγωγὴ, ἣν φησιν ἀνακάθαρσιν, ὡς πρὸς τὸ ἑνοειδὲς ἀναγομένην, καὶ νοητὸν ἐν τῇ τῆς ὑλικῆς ἐμφερείας ἀποκαθαίρεται· ἀρκεῖ γοῦν καὶ μιᾶς εἰκόνος ἀνακάθαρσις καὶ εἰς τὴν τῶν λοιπῶν διασάφησιν.

Ἐπισκεπτέον δὲ καὶ τἆλλα, τοὺς ποταμοὺς, καὶ τοὺς τροχοὺς, καὶ τὰ συνημμένα ταῖς οὐρανίαις οὐσίαις ἅρματα. Οἱ μὲν οὖν ἐμπύριοι ποταμοὶ τὰς θεαρχικὰς πλημμύρας ὑποσημαίνουσιν, ἄφθονον καὶ ἀνεξάλειπτον ἐπιρροὴν βραβευούσας ταῖς οὐρανίαις δυνάμεσιν. Ἐπεὶ δὲ ζωοποιὸν τὸ πῦρ ἐστιν, οὐ καθ' ὃ πῦρ, ἀλλὰ καθ' ὃ θερμὸν καὶ θρεπτικόν ἐστιν, εἰσὶν αἱ τοιαῦται θεῖαι πλημμύραι καὶ ζωοποιοὶ καὶ θρεπτικαὶ τῆς τῶν Ἀγγέλων γονιμότητος. Τὰ ἅρματα, τὴν συζυγίαν, καὶ τὸ κοινωνικόν. Καὶ τί γὰρ ἂν λέγοι τις τοῦτο ἐπ' ἐκείνοις, ὅπου καὶ ἐν ἡμῖν φαίνεται; Συμβολικὸν οἶμαι καὶ τοῦτο τῆς κοινωνίας· δύο χεῖρας ἔχουσι, καὶ δύο ῥώθωνας, καὶ δύο ὀφθαλμοὺς, καὶ δύο ὦτα, καὶ δύο πόδας, καὶ διττὴν τῶν ὀδόντων καὶ τῶν χειλέων πλάσιν, καὶ τἆλλα, ἵνα μὴ καθ' ἕκαστον

care. Eodem modo hîc feruor sanguinis, cùm non habeat finem proprium: finis autem eius, est omne bonum, vt Aristoteli placet. Habuit itaque finem, si à fortitudine formam acceperit, & honestè ad id quod oportebat, & eâ quâ decebat ratione mota fuerit. Rursum cupiditatem ad diuinum amorem reducere debemus. Vt quid autèm non ad temperantiam, sicut iracundiam ad fortitudinem? quia nimirum iracundia non dicitur ad aliquid, neque enim dicitur alicuius rei iracundia; vnde cùm secundùm se sit, ad fortitudinem translata est, quòd sufficiat virtuti vt ad hanc reducatur: concupiscentia autem refertur ad aliquid amabile, quod & appetibile dicitur. Qui itaque rem vtilem, appetibilem & amabilem concupiscit, temperans dici possit; & quantò res quæ appetitur sublimior existit, tantò quoque ipse temperantior. Quid autem diuino amore sublimius? hæc itaque de his diximus. Et, simpliciter loquendo, possemus omnium animantium rationis expertium & sensus & multa membra ad immateriales illas virtutes transferre, & ea quæ composita sunt, ad vniformitatem simplicitatemque traducere: sed prudentibus non hæc solùm (quoniam hæc fortè multa) satis sunt, verùm etiam vel vnius imaginis anagoge, quam *ἀνακάθαρσιν* seu expurgationem vocant, vt quæ ad vniformitatem adducat, & intelligendi facultatem in materiali similitudine purificat: vel vnius itaque imaginis enucleatio ad ceterarum quoque explicationem satis est.

§. 9. *Quid flumina, rota, &c.*

Ceterùm consideranda quoque sunt reliqua, quid sibi velint flumina, rotæ, & currus, quæ cælestibus essentiis coniuncta perhibentur. Ignea proinde flumina diuinos riuos declarant, quæ largum perennemque fluxum cælestibus virtutibus suppeditat. Cùm autem ignis sit viuificus, non quidem in quantum ignis est, sed in quantum calidus & nutritiuus existit, diuini quoque æstus istiusmodi atque inundationes viuificant, simul ac nutriunt fecunditatem Angelorum. Currus significant eorumdem coniunctionem ac communionem. Verumtamen quidni de illis quispiam id dixerit, cùm & in nobis hoc appareat? Quin & illud quoque symbolum communionis existimo, quòd duas manus habeant, & duas nares, & duos oculos, & duas aures, & duos pedes, & duplicem tam dentium quàm labiorum ordinem, & cetera, ne singulis immoremur.

PARAPHRASIS PACHYMERÆ.

immoremur. Rotę autem, cùm pennatæ sint & ad anteriora sine inflexione procedant, virtutem denotant: nam Articulus τὴν ad Virtutem referendus est, cetera verò intermedia sunt. Virtutem itaque significant viæ rectæ, & rectitudinem eorumdem operationis. Quomodo autem eorum via circularis est, & recta? Circularis est, quoniam in circuitu ambulabant; recta verò, quia sine reditu & semper ad anteriora pergebant, non autem aliquando quidem antrorsum, quandoque verò retrorsum, vel dextrorsum vel sinistrorsum: idcircò etiam intellectilis eorum volutatio in eamdem viam rectam arduamque supermundialiter dirigitur.

Licet etiam alio sensu anagogico istiusmodi rotarum descriptionem interpretari. Nomen enim eis, vt ait Propheta, Gel Gel impositum est, quod Hebraico sermone reuolutiones reuelationesque significat: cælestia enim reuolutiones suas habent eo motu, quo circum bonum ipsum perpetuâ conuersione versantur; reuelationes verò, obscurarum rerum manifestatione. In quantum enim rotæ voluuntur, inferiora reuelantur, & superiora fiunt inferiora. Humiliora itaque & inferiora, secundùm cuiuslibet horum ad diuinum Numen adductionem, eriguntur, & sublimes illæ illustrationes per prouidentiam remissiori gradu demittuntur.

Quid gaudium. *Luc. 15, 10.* Restat nobis dicendum de gaudio, iuxta quod in Euangeliis ait Dominus, Gaudent Angeli super vno peccatore pœnitentiam agente. Quodnam itaque est gaudium Angelorum? neque enim quis dixerit, in Angelis humanam esse passibilem aliquam voluptatem, veluti affectione circa corpus facilè mutabili constantem; sed Deo dicuntur congaudere ob eorum qui perierant inuentionem, diuinâ scilicet delectatione, quemadmodum in Euangeliis accepimus. Proportionaliter itaque de Angelis nomen hoc ῥαςώνης seu oblectationis accipiendum est: *Ῥαςώνη quid.* ῥαςώνη enim est spiritalis quædam facilitas tranquillitasq; in quiete passionibus vacante. Ponitur autem etiam pro iis qui laborare nolũt, sed indifferenter viuere eligunt, significatque hæc dictio id quod facile est & minimè laboriosum: in Angelis autem insinuat beatum & passione turbationeq; vacuum. Congaudent itaque Deiformi quadam oblectatio-

διατρίβωμεν. Οἱ δὲ τροχοὶ, ἐπεὶ καὶ πτερωτοὶ, καὶ ἐπὶ τὰ ἔμπροσθεν ἀκλινῶς πορευόμενοι, τὴν δύναμιν δηλοῦσι· τὸ γὰρ Τὴν πρὸς τὸ Δύναμιν ἀποδοτέον, τὰ δ᾽ ἄλλα διὰ μέσον. Τὴν δύναμιν τοίνυν δηλοῦσι τῆς κατ᾽ εὐθεῖαν ὁδοῦ, καὶ ὄρθιον τῆς πορευτικῆς αὐτῶν ἐνεργείας. Πῶς δὲ καὶ κυκλικὴ καὶ κατ᾽ εὐθεῖαν ἡ ὁδός; Κυκλικὴ, ὅτι κατὰ κύκλον ἐπορεύοντο· κατ᾽ εὐθεῖαν δὲ, ὅτι ἀνεπιστρόφως καὶ ἀεὶ ἐπὶ τὸ ἔμπροσθεν, καὶ οὐ ποτὲ μὲν ἔμπροσθεν ποτὲ δὲ ὄπισθεν, ἢ ἐπὶ δεξιὰ ἢ ἐπὶ θάτερα· διὰ τοῦτο καὶ ἐπὶ τὸν αὐτὸν καὶ ἰθύτομον οἶμον ἡ νοητὴ αὐτῶν τροχιὰ ὑπερκοσμίως ἰθύνεται.

Ἔστι δὲ καὶ κατ᾽ ἄλλην ἀνακαθάραι ἀναγωγὴν τὴν τοιαύτην τῶν τροχῶν εἰκόνα. Ἐπεκλήθη γὰρ αὐτοῖς, ὡς ὁ Προφήτης φησὶ, Γὲλ Γέλ· τοῦτο δὲ καθ᾽ Ἑβραΐδα ἀνακυλισμοὺς καὶ ἀνακαλύψεις σημαίνει. ἀνακυλισμοὺς γὰρ ἔχουσι τὰ οὐράνια τῇ περὶ τὸ ταὐτὸν ἀγαθὸν ἀεικινήτῳ συστροφῇ, ἀνακαλύψεις δὲ τῇ τῶν κρυφίων ἐκφαντορίᾳ. Ἐν ᾧ γὰρ οἱ τροχοὶ κυλίονται, τὰ ὑποκάτω ἀνακαλύπτονται, καὶ τὰ ἄνω κάτω γίνονται. Ἀνάγονται τοίνυν τὰ περιπέζια καὶ τὰ δεύτερα, κατὰ τὴν εἰς τὸ Θεῖον καθ᾽ ἕκαστον τούτων ἀναγωγὴν, καὶ αἱ ὑψηλαὶ ἐλλάμψεις εἰς τὴν ὑφειμένην τῇ προνοίᾳ καταβιβάζονται.

Λοιπὸς ἡμῖν ὁ περὶ τῆς χαρᾶς λόγος, καθὼς ἐν Εὐαγγελίοις φησὶν ὁ Κύριος, Χαίρουσιν οἱ Ἄγγελοι ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Τίς γοῦν ἡ χαρὰ τῶν Ἀγγέλων; Οὐ γὰρ ἂν εἴποι τις, χαρὰν ἐπὶ τῶν Ἀγγέλων εἶναι τὴν ἐμπαθῆ ἡδονὴν, τὴν ἀνθρωπίνην ταύτην, ὡς τῇ περὶ σῶμα εὐαλλοιώτῳ εὐπαθείᾳ συνισταμένην· ἀλλὰ συγχαίρειν λέγονται τῷ Θεῷ τῇ τῶν ἀπολωλότων εὑρέσει, καθὼς ἐν Εὐαγγελίοις μανθάνομεν, κατὰ τὴν θεοειδῆ ῥαστώνην. Ἀναλόγως δὲ ἐπὶ Ἀγγέλων νοητέον τὸ τῆς ῥαστώνης ὄνομα· ῥαστώνη γάρ ἐστιν ἡ ψυχικὴ εὐκολία καὶ εὐμέρεια, ἐν ἀναπαύσει μετὰ ἀπαθείας. Τίθεται δὲ ἐπὶ τῶν πονεῖν μὴ βουλομένων, ἀλλ᾽ ἀδιαφόρως ζῆν ἑλομένων, καὶ σημαίνει ἡ λέξις τὸ εὐχερὲς καὶ οὐκ ἐπίπονον· ἐπὶ δὲ τῶν Ἀγγέλων, τὸ μακάριον, καὶ ἀπαθὲς, καὶ ἀόχλητον ὑποφαίνει. Συγχαίρουσι γοῦν κατὰ τὴν θεοειδῆ ῥαστώνην, τὴν

τοῖς Ἀγγέλοις προσήκουσαν, διὰ τοῦτο καὶ Θεοειδῆ εἶπε· μέσον γὰρ Θεοῦ καὶ ἀνθρώπων οἱ θεῖοι Ἄγγελοι ὄντες, τοῖς κάτω μὲν εἰκονίζονται, τοῖς ἄνω δὲ ὑπεμφαίνονται. Ὡς γοῦν καὶ τἄλλα γηΐνως μὲν λέγονται, θεοειδῶς δὲ ἐκλαμβάνονται, οὕτως ἔστω καὶ ἐπὶ τῆς ῥαστώνης· ἔστι γὰρ ἄφθονος εὐφροσύνη τούτοις, καὶ τῷ ἀγαθῷ Θεῷ πρέπουσα, ἐπὶ τῇ σωτηρίᾳ τῶν ἐπὶ Θεὸν ἐπιστρεφομένων, καὶ ὁδηγουμένων εἰς τοῦτο παρὰ τῆς θείας προνοίας. Ἐπιστράφητε πρός με, φησὶν ὁ Κύριος τοῖς ἔτι ταῖς ἁμαρτίαις δεδουλωμένοις, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. Καὶ τοῦτό ἐστι τὸ παρὰ τῷ μεγάλῳ Παύλῳ δηλούμενον, ὅτι Χριστὸς ὑπὲρ ἡμῶν ἁμαρτωλῶν ἔτι ὄντων ἀπέθανε. Καὶ χάρις τῇ αὐτοῦ ἀπείρῳ μακροθυμίᾳ καὶ ἀγαθότητι, ὅτι μὴ μόνον προσίεται τὴν μετάνοιαν, ἀλλὰ καὶ προσκαλεῖται, καὶ ἐπιστρέφει πρὸς τὴν μετάνοιαν. Εἰ γοῦν καὶ τὸ ἐμπαθὲς οὐκ ἔστιν ἐπὶ τῶν Ἀγγέλων, τὸ εὐπαθές ἐστιν. Εἰ καὶ τοῦτο ἐκ τῶν καθ' ἡμᾶς, ἀλλ' οὖν οἰκειότερον· ἐμπάθεια γάρ ἐστι κίνησις μετὰ πάθους, εὐπάθεια δὲ ἕξις εὖ ἔχουσα. Τὸ εὖ παθεῖν γοῦν τοὺς Ἀγγέλους, δηλοῖ τὸ εὖ ἔχειν διὰ παντὸς, καὶ τὴν ἀπήμονα ἐκείνων κατάστασιν. Δηλοῖ γοῦν ἡ χαρὰ τὴν ἄρρητον ἐκείνην εὐπάθειαν, ἧς ἐν μεθέξει πολλάκις γεγόνασι καὶ οἱ Ἅγιοι κατὰ τὰς θείας ἐπιφοιτήσεις τῶν θείων καὶ θεοὺς ἐργαζομένων ἐλλάμψεων· καθ' ἣν πάντως εὔλογόν ἐστιν ἐκλαμβάνειν καὶ τὸ ἱερὸν τοῦ Εὐαγγελίου ῥητὸν, τὸ, Ἐχάρησαν οὖν οἱ Μαθηταὶ, ἰδόντες τὸν Κύριον· οὐ γὰρ εἶδον ἁπλῶς, ὡς καὶ ἄλλοτε ἔβλεπον, ἀλλὰ μετὰ θάνατον ζῶντα, καὶ ἐκ νεκρῶν μετὰ τὴν ταφὴν, καὶ μετὰ τὰ ἀνθρωποπρεπῆ ἐκεῖνα, τὰ θεῖα καὶ ὑπὲρ ἄνθρωπον ἔχοντα. Καλῶς τὸ καὶ, ὅτι καὶ ἄλλα πολλὰ ἱερῶς καὶ ὑψηλῶς τῷ Ἁγίῳ πεφιλοσόφηται· ὅθεν καὶ ἀποθέμενος τοὺς λόγους λέγει. Τοσαῦτα καὶ περὶ τούτων, τῆς μὲν ἀκριβείας ἀπολειπόμενα, συντελοῦντα δὲ, ὡς ὑπολαμβάνω, πρὸς τὸ μὴ ταπεινῶς ἡμᾶς ἐναπομένειν τοῖς τύποις, ὅτε περὶ τῶν Ἀγγέλων ἐν ταῖς ἱεραῖς Γραφαῖς ἀκούομεν. Εἰ δὲ λέγεις, ὦ ἀγαπητὲ Τιμόθεε, ὡς οὐ τῶν πάντων, ἃ δὴ ἐν ταῖς ἱεραῖς Γραφαῖς περὶ Ἀγγέλων λεγόμενα εὑρίσκονται, μνείαν ἐποιησάμεθα; ἐκεῖνό σοι ἀποκρινούμεθα ὃ καὶ ἀληθές ἐστιν, ὅτι τῶν καταλειφθέντων τὰ μὲν ὑπὲρ ἡμᾶς εἰσιν, ὧν καὶ τὴν ἐπιστήμην

PARAPHRASIS PACHYMERÆ.

ne Angelis conueniente, idcircò etiam dixit Deiformi: Angeli enim cùm ſint inter Deum hominesque medij, rebus quidem inferioribus effigiantur, ſuperioribus autem inſinuantur. Quemadmodum igitur etiam alia terreno quidem more dicuntur, ſed deiformiter accipiuntur, ita ſit etiam in hoc nomine ῥαστώνης ſeu oblectationis: eſt enim illis gaudium copioſum, & bono Deo conueniens, de ſalute hominum ad Deum conuerſorum, & ad hoc à diuinâ prouidentiâ deductorum. *Conuertimini ad me*, inquit Dominus iis qui adhuc ſub peccatorum ſeruitute detinentur, *& conuertar ad vos*. Et hoc eſt quod à magno Paulo ſignificatur, Chriſtum pro nobis, cùm adhuc peccatores eſſemus, mortuum eſſe. Gratiæque ſint infinitæ eius longanimitati & bonitati, quòd non ſolùm acceptam habeat pœnitentiam, verùm etiam prouocet & conuertat ad pœnitentiam. Etſi itaque paſſio non ſit in Angelis, eſt tamen in iis bona affectio. Et quamuis hoc nomen à nobis deſumptum ſit, magis tamen eſt proprium: ἐμπάθεια enim motus quidam eſt cum paſſione coniunctus, ſed εὐπάθεια habitus eſt affectionis bonæ. Benè itaque affectos eſſe Angelos, ſignificat eos benè ſe habere per omnia, & incolumem eorum ſtatum exiſtere. Gaudium igitur deſignat ineffabilem illum affectum bonum, cuius etiam ſæpenumerò participes fuere Sancti, per illapſus diuinos diuinarum deificarumque illuſtrationum: quo ſenſu etiam rectè capi poſſit ſacrum illud dictum Euangelij, *Gauiſi ſunt diſcipuli viſo Domino*: non enim ſimplici ratione videbant ipſum vti aliàs, ſed poſt mortem viuum, & ex mortuis poſt ſepulturam, & cum humano decore diuinis quoque dotibus illuſtrē. Pulchrè hoc, vti & alia complura à Sancto hoc viro ſacro ac ſublimi modo diſputata ſunt; vnde etiã concludens ſermones ſuos ait: Hæc quidem de his, quæ licet ab accuratâ tractatione abſint, tamen id efficient, vti ſpero, ne abiectè typis immoremur, quando de Angelis quidpiam in Scripturis audiemus. Quòd ſi obiicias, ô dilecte Timothee, nos non omnium, quæ in Scripturis ſacris de Angelis dicta reperiuntur, mentionem feciſſe; reſpondemus id quod res eſt,

Zach. 1, 3.

Ioan. 20, 20.

eorum quæ prætermiſimus aliqua captum noſtrum ſuperare, quorum etiam ſcientiam

non

PARAPHRASIS PACHYMERÆ.

non habemus, ſed potiùs iis addiſcendis alio nobis Doctore opus eſt; alia verò iam recenſitis æquipollere, atque ideò prætermiſiſſe, vt ſermonis modum ſeruaremus, & arcanum illud, quod captum notitiamque noſtram fugit, ſilentio honoraremus.

ἠγνοήσαμεν, ἢ μᾶλλον ἡμεῖς δεόμεθα τοῦ διδάξοντος· τὰ δὲ ὁμοδυνάμά εἰσι τοῖς εἰρημένοις, καὶ διὰ τοῦτο ταῦτα καταλελοίπαμεν, τῆς τε συμμετρίας τοῦ λόγου φροντίζοντες, καὶ τὴν ὑπὲρ ἡμᾶς καὶ τὴν ἡμετέραν γνῶσιν κρυφιότητα, σιγῇ τιμήσαντες.



TOY

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΕΡΑΡΧΙΑΣ.

SANCTI DIONYSII AREOPAGITAE DE ECCLESIASTICA HIERARCHIA:

INTERPRETE BALTHASARE CORDERIO SOCIETATIS IESV DOCTORE THEOLOGO.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Τῷ Συμπρεσβυτέρῳ Τιμοθέῳ Διονύσιος ὁ Πρεσβύτερος.

Τίς ἡ τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας παράδοσις, καὶ τίς ὁ ταύτης σκοπός.

CAPVT I.

Sympresbytero Timotheo Dionysius Presbyter.

Quæ sit Ecclesiasticæ Hierarchiæ traditio, & quis sit eius scopus.

SYNOPSIS CAPITIS.

1. *Ecclesiasticam Hierarchiam descripturus monet, sacra Religionis Christianæ mysteria non temerè profanis reuelanda, sed baptizatis, pro cuiusque captu ac modulo, clarè, quoad fieri potest, explicanda esse ab iis quibus in Ecclesiâ cùm docendi tum Sacramenta administrandi munus concreditum est, qui hoc in mundo Angelos imitantur.* 2. *Cùm priori Libro Angelicam Hierarchiam descripserit, ait, nostram Hierarchiam cum illâ conuenire in eo, quòd inferiores à superioribus ad perfectionem instituantur, & ad Deum adducantur: differre autem in hoc, quòd illi, vt spiritus, simpliciori ac spiritaliori modo illustrentur; nos autem, cùm animâ corporeq; constemus, & rebus spiritalibus immediatè intendere nequeamus, per sensiles imagines ac figuras ad spiritales contemplationes surrigamur, vnde etiam inæqualiter Deum participamus.* 3. *Definit, quid sit Hierarchia in genere, & quid sit hæc nostra Hierarchia, scilicet esse Sacrorum omnium dispensationem, cuius principium sit S S. Trinitas; finis, vnio cum Deo.* 4. *Ait, Deum tam nobis quàm Angelis conuenientem cuique Hierarchiam prouidisse, illis quidem magis spiritalem, nobis verò magis materialem; quippe cuius substantia sunt Scripturæ ac traditiones, quæ in symbolis & figuris res sacras nobis proponunt.* 5. *Ostendit, cur Sacramenta nostræ Hierar-*

TEXTVS S. DIONYSII.

chiæ sub symbolis sensibilibus tradantur; quia nimirum id conditioni nostræ magis congruit, & ad rerum sacrarum venerationem facit, ne à profanis contemnerentur.

§. I.

Scopus huius Operis.



HIERARCHIAM nostram, sacrorum filiorum sacratissime, Deo insitæ ac diuinæ deificæque scientiæ, nec non afflationis & perfectionis esse functionem, ex supermundialibus & sacratissimis Oraculis demonstrandum nobis est iis, qui ex Hierarchicis mysteriis traditionibusq; sacro sunt hoc munere initiati. Sed vide ne explodas Sancta sanctorum, quin potiùs arcana Dei reuereberis, ac spiritalibus inaspectabilibusque notionibus celebrabis, inaccessa quidem profanis illa & intacta reseruando, solis verò sanctis cum sacrâ quadam, vti fas est, claritate res sacras communicando. Sic enim, vti nobis diuinis contemplatoribus tradidit Theologia, etiam ipsemet IESVS (diuinitate transcendens ac superessentialis mens, vniuersæ ordinationis sacræ, sanctimoniæque ac diuinæ functionis principium & essentia, virtusque diuinissima) beatis istis nobisque multò præstantioribus naturis manifestiùs simul & intelligibiliùs affulget, & ad propriam, quoad fieri potest, eas lucem informat: quin & intento in eum amori nostro, & ad res nos probas incitanti, frequẽtes admiscet varietates, atque ad vniformem ac diuinam nos vitam instituens, habitudinem quamdam, & rerum, vti par est, sacrarum effectricem diuini sacerdotij virtutem

Mysteria Christianæ Religionis solis Christianis reuelanda.

Christus se Angelis clarè in gloriâ, nobis obscurè per symbola communicat.



ΟΤΙ μὲν ἡ καθ' ἡμᾶς Ἱεραρχία, παίδων ἱερῶν ἱερώτατε, τῆς ἐνθέου καὶ θείας ἐστὶ καὶ θεουργικῆς ἐπιστήμης, καὶ ἐνεργείας, καὶ τελειώσεως, ἐκ τῶν ὑπερκοσμίων καὶ ἱερωτάτων ἡμᾶς ἀποδεῖξαι Λογίων χρὴ τοῖς τῆς ἱερᾶς μυσταγωγίας τὴν τελετὴν ἐξ ἱεραρχικῶν μυστηρίων καὶ παραδόσεων τετελεσμένοις. Ἀλλ' ὅρα ὅπως οὐκ ἐξορχήσῃ τὰ Ἅγια τῶν ἁγίων· εὐλαβηθήσῃ δὲ, καὶ τὰ τοῦ κρυφίου Θεοῦ ταῖς νοεραῖς καὶ ἀοράτοις γνώσεσι τιμήσεις, ἀμέθεκτα μὲν αὐτὰ καὶ ἄχραντα τοῖς ἀτελέστοις διατηρῶν, ἱεροῖς δὲ μόνοις τῶν ἱερῶν μεθ' ἱερᾶς ἐλλάμψεως ἱεροπρεπῶς κοινωνῶν. Οὕτω γὰρ, ὡς ἡ Θεολογία τοῖς θιασώταις ἡμῖν παραδέδωκε, καὶ αὐτὸς Ἰησοῦς (ὁ θεαρχικώτατος νοῦς καὶ ὑπερούσιος, ἡ πάσης ἱεραρχίας, ἁγιαστείας τε καὶ θεουργίας ἀρχὴ καὶ οὐσία, καὶ θεαρχικωτάτη δύναμις) ταῖς τε μακαρίαις καὶ ἡμῶν κρείττοσιν οὐσίαις ἐμφανέστερον ἅμα καὶ νοερώτερον ἐλλάμπει, καὶ πρὸς τὸ οἰκεῖον αὐτὰς ἀφομοιοῖ κατὰ δύναμιν φῶς· ἡμῶν τε τῷ πρὸς αὐτὸν ἀνατεινομένῳ καὶ ἡμᾶς ἀνατείνοντι τῶν καλῶν ἔρωτι, συμπτύσσει τὰς πολλὰς ἑτερότητας, καὶ εἰς ἑνοειδῆ καὶ θείαν ἀποτελειώσας ζωὴν, ἕξιν τε καὶ ἐνέργειαν, ἱεροπρεπῆ δωρεῖται τῆς θείας ἱερωσύνης τὴν δύναμιν· ἐξ ἧς ἐπὶ

τὴν

τὴν ἁγίαν ἐρχόμενοι τῆς ἱερατείας ἐνέργειαν, ἐγγύτεροι μὲν αὐτοὶ γινόμεθα τῶν ὑπὲρ ἡμᾶς οὐσιῶν τῇ κατὰ δύναμιν ἀφομοιώσει τοῦ μονίμου τε καὶ ἀνεξαλλάκτου τῆς αὐτῶν ἱερᾶς ἱδρύσεως, καὶ ταύτῃ πρὸς τὴν μακαρίαν Ἰησοῦ καὶ θεαρχικὴν * αὐτὴν ἀναβλέψαντες, ὅσα τε ἰδεῖν ἐφικτὸν ἐποπτεύσαντες ἱερῶς, καὶ τῆς τῶν θεαμάτων γνώσεως ἐλλαμφθέντες, τὴν μυστικὴν ἐπιστήμην ἀφιερωμένοι καὶ ἀφιερωταὶ, φωτοειδεῖς καὶ θεουργικοὶ, τετελεσμένοι καὶ τελεσιουργοὶ γενέσθαι δυνησόμεθα.

*γρ. αὐγήν, ita MS. Cas. maior: alter habet ἀρχήν.

Τίς μὲν οὖν ἡ τῶν Ἀγγέλων ἐστὶ καὶ Ἀρχαγγέλων Ἱεραρχία, καὶ τῶν ὑπερκοσμίων Ἀρχῶν τε, καὶ Ἐξουσιῶν, καὶ Δυνάμεων, καὶ Κυριοτήτων τε, καὶ θείων Θρόνων, ἢ τῶν ὁμοταγῶν τοῖς Θρόνοις οὐσιῶν, ἃς ἡ Θεολογία περιεχῶς καὶ ἀεὶ περὶ Θεόν τε εἶναι καὶ μετὰ Θεοῦ παραδίδωσι, Χερουβὶμ αὐτὰς Ἑβραίων φωνῇ καὶ Σεραφὶμ ὀνομάζουσα, ταῖς τῶν διακόσμων αὐτῶν καὶ ἱεραρχιῶν ἁγίαις τάξεσι καὶ διαιρέσεσι περιτυγχάνων, εὑρήσεις ἐν τοῖς ἡμῖν, οὐκ ἐπαξίως μὲν, ὡς ἐφικτὸν δὲ, καὶ ὡς ἡ Θεολογία τῶν ἱερωτάτων Γραφῶν ὑφηγήσατο, τὴν κατ' αὐτοὺς ἱεραρχίαν ὑμνηκότων. Τοσοῦτον δὲ ὅμως εἰπεῖν ἀναγκαῖον, ὡς ἐκείνη τε, καὶ πᾶσα ἡ νῦν ὑμνουμένη παρ' ἡμῖν Ἱεραρχία, μίαν ἔχει καὶ τὴν αὐτὴν διὰ πάσης τῆς ἱεραρχικῆς πραγματείας τὴν δύναμιν, αὐτόν τε τὸν Ἱεράρχην, ὡς ἡ κατ' αὐτὸν οὐσία, καὶ ἀναλογία, καὶ

impertitur; quâ ad sacram Sacerdotij functionem accedentes, ipsimet etiam supernis istis spiritibus, sacri illorum status, quantum licet, imitando constantiam ac firmitatem, propinquiores euadamus, adeoque ad Iesu quoque beatam illam diuinamq; lucem aspicientes, sacro, quoad intueri fas est, ritu speculantes, visionum etiam, iuxta mysticam scientiam, illustrati cognitione, consecrati ac consecrantes, luciformes ac deifici, perfecti ac perfectores euadere poterimus.

Quisnam sit ergo sacer Angelorum & Archangelorum ordo, nec non supermundialium Principatuum ac Potestatũ, Virtutumque ac Dominationum, & Thronorum diuinorum æqualiumque Thronis naturarum, quas assiduò perpetuoque circa Deum & cum Deo versari Theologia tradit, Cherubim illas Hebræo vocabulo ac Seraphim appellans, ea quæ de sacris beatarum istarum mentium ordinibus ac distinctionibus à nobis conscripta sunt euoluendo, comperies; in quibus etsi non pro merito, pro virili certè nostro, & quoad sacratissimarum Theologia Scripturarum explanauit, sacrum illarum ordinẽ concelebrauimus. Illud tamen dicere necesse est, quomodo cùm ille, tum omnis qui modò à nobis deprædicatur sacer ordo, vnam habeat eamdemque in omni sacrâ suâ functione virtutem, vt & ipsemet sacri ordinis Antistes pro sui status, dignitatis atque ordinis

§. 2. *De Angelorum ordine vide librum de Cælesti Hierarchiâ.*

In quo noster ordo Hierarchicus cum Angelis conueniat, & in quo discrepet.

nis ratione diuinis initietur ac Deo vniatur, ſubditoſque ſuos, pro cuiuſque dignitate, afflatæ ſibi diuinitus ſacræ deificationis participes reddat; ſic vt ſubditi ſuperiores quidem ſequantur, ita tamen vt & ipſi ſimul inferiores ad anteriora promoueant, qui iam prouecti, aliis etiam pro virili ducatum præſtent, atque hac diuinâ ſacraque ordinis conſenſione, pro modulo quiſque ſuo, verè eſſentiâ ſuâ pulchri, ſapientis ac boni particeps exiſtat.

Ceterùm ſublimiores iſtæ naturæ ordineſque, quarum venerandam ſuprà fecimus mentionē, & incorporeæ ſunt, & ſpiritalis ac ſupermundialis ſacer illarum magiſtratus exiſtit; noſtrum verò cernimus, diuerſâ ab ipſis ratione, ſenſibilium varietate ſignorū multiplicari, quibus ſacroſanctè ad vniformem deiformitatem pro captu noſtro, & ad Deum diuinamque virtutem promouemur. Iſtæ quidem, vtpote mentes, prout illis fas eſt intelligunt; nos verò à ſenſu perceptis imaginibus ad diuinas, quantum poſſumus, contemplationes ſubleuamur. Et, vt verè dicam, vnum quidem eſt, quod omnes qui deiformes ſunt appetunt, eius tamen, quod omnino vnum atque idem eſt, non vnimodè participes exiſtunt, ſed prout cuilibet pro merito ſortem diuina trutina diſtribuit.

Verùm iſta in Opere de iis quæ ſub intellectū ac ſenſum cadunt, fuſiùs à nobis enucleata ſunt; modò verò ſacrum noſtrū ordinem, eiuſdemq; originem & eſſentiam,

τάξις ἔχει τελεσθῆναι κατὰ τὰ θεῖα, καὶ θεωθῆναι, καὶ τοῖς ὑποβεβηκόσι μεταδοῦναι, κατ' ἀξίαν ἑκάστῳ, τῆς ἐγγινομένης αὐτῷ θεόθεν ἱερᾶς θεώσεως· τοὺς τε ὑποβεβηκότας ἕπεσθαι μὲν τοῖς κρείττοσιν, ἀνατείνειν δὲ τοὺς ἥττους ἐπὶ τὰ πρόσω· τοὺς δὲ καὶ προϊέναι, καὶ ὡς δυνατὸν ἑτέροις ἡγεῖσθαι, καὶ διὰ ταύτης τῆς ἐνθέου καὶ ἱεραρχικῆς ἁρμονίας, τοῦ ὄντως ὄντος καλοῦ καὶ σοφοῦ καὶ ἀγαθοῦ μετέχειν ἕκαστον ὅση δύναμις.

Ἀλλ' αἱ μὲν ὑπὲρ ἡμᾶς οὐσίαι καὶ τάξεις, ὧν ἤδη μνήμην ἱερὰν ἐποιησάμην, ἀσώματοί τε εἰσὶ, καὶ νοητὴ καὶ ὑπερκόσμιός ἐστιν ἡ κατ' αὐτὰς ἱεραρχία· τὴν καθ' ἡμᾶς δὲ ὁρῶμεν ἀναλόγως ἡμῖν αὐτοῖς, τῇ τῶν αἰσθητῶν συμβόλων ποικιλίᾳ πληθυνομένην, ὑφ' ὧν ἱεραρχικῶς ἐπὶ τὴν ἑνοειδῆ θέωσιν ἐν συμμετρίᾳ τῇ καθ' ἡμᾶς ἀναγόμεθα, Θεόν τε καὶ θείαν ἀρετήν. Αἱ μὲν, ὡς νόες, νοοῦσι κατὰ τὸ αὐταῖς θεμιτόν· ἡμεῖς δὲ αἰσθηταῖς εἰκόσιν ἐπὶ τὰς θείας, ὡς δυνατὸν, ἀναγόμεθα θεωρίας. Ἀληθῶς τε εἰπεῖν, ἓν μέν ἐστιν οὗ πάντες οἱ θεοειδεῖς ἐφίενται, μετέχουσι δὲ οὐχ ἑνιαίως ταὐτοῦ τε καὶ ἑνὸς ὄντος, ἀλλ' ὡς ἑκάστῳ τὰ θεῖα ζυγὰ διανέμει κατ' ἀξίαν τὴν ἀποκλήρωσιν.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τῇ περὶ νοητῶν τε καὶ αἰσθητῶν Πραγματείᾳ διεξοδικώτερον εἴρηται· νῦν δὲ τὴν καθ' ἡμᾶς ἱεραρχίαν, ἀρχήν τε αὐτῆς καὶ οὐσίαν,

ὡς

TEXTVS S. DIONYSII.

ὡς οἷόν τε, εἰπεῖν πειράσομαι, τὴν πασῶν ἱεραρχιῶν ἀρχήν τε καὶ τελείωσιν Ἰησοῦν ἐπικαλεσάμενος.

Ἔστι μὲν Ἱεραρχία πᾶσα, κατὰ τὸ σεπτὸν τῆς ἡμῶν * παραδόσεως, ὁ πᾶς τῶν ὑποκειμένων ἱερῶν λόγος, καθολικωτάτη τῶν τῆσδε τυχὸν Ἱεραρχίας, ἢ τῆσδε ἱερῶν συγκεφαλαίωσις. Ἡ καθ' ἡμᾶς οὖν Ἱεραρχία λέγεταί καί ἐστιν ἡ περιεκτικὴ τῶν κατ' αὐτὴν ἁπάντων ἱερῶν πραγματεία, καθ' ἣν ὁ θεῖος Ἱεράρχης τελούμενος, ἁπάντων ἕξει τῶν κατ' αὐτὸν ἱερωτάτων τὴν μέθεξιν, ὡς Ἱεραρχίας ἐπώνυμος. Ὡς γὰρ Ἱεραρχίαν ὁ φήσας, ἁπάντων ὁμοῦ συλλήβδην ἔφη τὴν τῶν ἱερῶν διακόσμησιν· οὕτως Ἱεράρχην ὁ λέγων, δηλοῖ τὸν ἔνθεόν τε καὶ θεῖον ἄνδρα, τὸν πάσης ἱερᾶς ἐπιστήμονα γνώσεως, ἐν ᾧ καὶ καθαρῶς ἡ κατ' αὐτὸν Ἱεραρχία πᾶσα τελεῖται καὶ γινώσκεται. Ταύτης ἀρχὴ τῆς Ἱεραρχίας, ἡ πηγὴ τῆς ζωῆς, ἡ οὐσία τῆς ἀγαθότητος, ἡ μία τῶν ὄντων αἰτία Τριάς, ἐξ ἧς καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι τοῖς οὖσι δι' ἀγαθότητα. Ταύτῃ δὲ τῇ πάντων ἐπέκεινα θεαρχικωτάτῃ μακαριότητι, τῇ τρισσῇ τῇ μονάδι, τῇ ὄντως οὔσῃ, κατὰ τὸ ἡμῖν μὲν ἀνέφικτον, αὐτῇ δὲ ἐπιστητὸν, θέλημα μέν ἐστιν ἡ λογικὴ σωτηρία καθ' ἡμᾶς τε καὶ ὑπὲρ ἡμᾶς οὐσιῶν· ἡ δὲ, οὐχ ἑτέρως γενέσθαι δύναται, μὴ θεουμένων τῶν σωζομένων. Ἡ δὲ θέωσίς ἐστιν ἡ πρὸς Θεὸν ὡς ἐφικτὸν ἀφομοίωσίς τε καὶ ἕνωσις. Ἁπάσης δὲ τοῦτο κοινὸν Ἱεραρχίας τὸ

* Addit maior Codex Caesareus, ἱερᾶς.

quoad facultas suppetit, exponere conabor, omnium sacrorum ordinum principium ac consummationem inuocans Iesum.

§.3. *Quid sit Hierarchia seu sacer ordo in genere, & quid noster ordo sacer.*

Est Hierarchia seu ordo sacer omnis, iuxta venerandam nobis sacrosanctam traditionẽ, vniuersalis rerum sacrarum illi subiectarum ratio, seu generalissima eorũ, quæ sub ordinem cadunt, id est sacrorũ, summa. Sacer igitur ordo noster dicitur & est functio, vniuersa sacra in se complectens, quâ diuinus Pontifex initiatus, omnium per se rerũ sacratissimarum particeps existet, in quantum Sacerdos summus appellatur. Sicut enim qui sacrum ordinem nominauit, omnium simul compendio sacrorum dixit dispensationẽ; ita qui summum Sacerdotem appellat, Deo intimè vnitum ac diuinum planè virum significat, omni sacrâ cognitione perpolitum, in quo omnis, quæ illi inest, potestas sacra consummatur atque cognoscitur. Huius origo sacri principatus fons est vitæ, essentia bonitatis, vna rerum omnium causa Trinitas, ex quâ per bonitatis redundantiam & ipsum esse, ac benè esse rebus. Huic autem omnia transscendenti diuinissimæ beatitudini trinæ vnitati, verè existenti, modo quidem nobis incomprehenso, ipsi autẽ notissimo, in votis quidem est rationalis [creaturæ] salus, tam nostra quàm mentium supernarũ: verumtamen hæc salus iis qui saluantur non nisi iam deificatis potest obtingere. Est autem hæc deificatio, Dei quædam, quoad fieri potest, assimilatio vnioque. Omni porrò ordini sacro communis

Origo Hierarchiæ est SS. Trinitas.

Quis sit scopus Hierarchiæ.

TEXTVS S. DIONYSII.

ſcopus eſt, erga Deum & res diuinas continua dilectio, quæ diuinitus inſeritur, & per eius vnionem conſummatur, quæque hac prior eſt, illi aduerſantium omnimoda & inreuertibilis fuga, cognitio rerum quà res ſunt, ſacræ veritatis viſio ſcientiaque, ſimplicis perfectionis eius qui ſummè ſimplex eſt, diuina participatio, fruitio intuitionis, quę omnem ſui contemplatorem ſpiritali modo reficit deificatque.

§.4. *Deus tam nobis quàm Angelis conuenientem cuique Hierarchiam dedit.*

Dicimus itaque, Dei-principalem beatitudinẽ, quæ naturâ Deitas eſt & principiũ deificationis, ex quo ij qui deificandi ſunt deificãtur, diuinâ bonitate ſacrum ordinem, in ſalutem & deificationem omnium, cùm rationaliũ tum ſpiritalium eſſentiarum, conceſſiſſe. Ac ſuperis quidem beatoque otio fruentibus, modo magis immateriato ac ſpiritaliori (non enim extrinſecus eos Deus ad diuina mouet, ſed intelligibili ratione, atque intrinſecus purâ liquidaque illuſtratione diuiniſſimã iis voluntatẽ irradiando) nobis autem, quod ſimpliciùs illis collectimq; præſtitum, ex diuinitus traditis Eloquiis, pro captu noſtro, diuiſibilium varietate multitudineque ſignorum donatum eſt. Subſtantia enim Hierarchiæ noſtræ ſunt diuinitus tradita Oracula. Maximè verò iſta Oracula dicimus veneranda, quæ à ſacris noſtris Initiatoribus diuino ſpiritu afflatis, in Scripturis ſacris libriſque Theologicis tradita nobis ſunt; vti & illa, quæ ab ijſdem viris ſanctis ſubtiliori, non omnino diſſitâ ab or-

Subſtantia Hierarchiæ noſtræ eſt verbum Dei cùm ſcriptum tum traditum.

πέρας, ἡ πρὸς Θεόν τε καὶ τὰ θεῖα προσεχὴς ἀγάπησις, ἐνθέως τε καὶ ἑνιαίως ἱερουργουμένη, καὶ πρό γε τούτου τῶν ἐναντίων ἡ παντελὴς καὶ ἀνεπίστροφος ἀποφοίτησις, ἡ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστὶν, ἡ τῆς ἱερᾶς ἀληθείας ὅρασίς τε καὶ ἐπιστήμη, ἡ τῆς ἑνοειδοῦς τελειώσεως ἔνθεος μέθεξις, αὐτοῦ τοῦ ἑνὸς ὡς ἐφικτόν· ἡ τῆς ἐποψίας ἑστίασις, τρέφουσα νοητῶς καὶ θεοῦσα πάντα τὸν εἰς αὐτὴν ἀνατεινόμενον.

*Λέγωμεν τοίνυν, ὡς ἡ θεαρχικὴ μακαριότης, ἡ φύσει Θεότης, ἡ ἀρχὴ τῆς θεώσεως, ἐξ ἧς τὸ θεοῦσθαι τοῖς θεουμένοις, ἀγαθότητι θείᾳ τὴν Ἱεραρχίαν, ἐπὶ σωτηρίᾳ καὶ θεώσει πάντων τῶν λογικῶν τε καὶ νοερῶν οὐσιῶν, ἐδωρήσατο. Καὶ ταῖς μὲν ὑπερκοσμίοις καὶ μακαρίαις λήξεσιν, ἀϋλωτέρον τε καὶ νοερώτερον (οὐ γὰρ ἔξωθεν αὐτὰς ὁ Θεὸς ἐπὶ τὰ θεῖα κινεῖ, νοητῶς δὲ, καὶ ἔνδοθεν ἐλλαμπομένων αὐτῶν ἐν αὐγῇ καθαρᾷ καὶ ἀΰλῳ, τὴν θεοτάτην βούλησιν) ἡμῖν δὲ, τὸ ἐκείναις ἑνιαίως τε καὶ συνεπτυγμένως δωρηθὲν, ἐκ τῶν θεοπαραδότων Λογίων, ὡς ἡμῖν ἐφικτὸν, ἐν ποικιλίᾳ καὶ πλήθει διαιρετῶν συμβόλων δεδώρηται. Οὐσία γὰρ τῆς καθ' ἡμᾶς Ἱεραρχίας ἐστὶ, τὰ θεοπαράδοτα Λόγια. Σεπτότατα δὲ Λόγια ταῦτά φαμεν, ὅσα πρὸς τῶν ἐνθέων ἡμῶν Ἱεροτελεστῶν ἐν ἁγιογράφοις ἡμῖν καὶ θεολογικαῖς δεδώρηται Δέλτοις· καὶ μὴν ὅσα πρὸς τῶν αὐτῶν ἱερῶν ἀνδρῶν ἀϋλωτέρᾳ μυήσει, καὶ γείτονί πως ἤδη

*γρ. Λέγομεν MS. Caſ.

ἤδη τῆς οὐρανίας Ἱεραρχίας, ἐκ νοὸς εἰς νοῦν, διὰ μέσου λόγου, σωματικοῦ μὲν, ἀϋλοτέρου δ' ὅμως, γραφῆς ἐκτὸς, οἱ καθηγεμόνες ἡμῶν ἐμυήθησαν. Οὐδὲ ταῦτα τῶν ἐνθέων Ἱεραρχῶν, εἰς τὸ τῆς ἱερουργίας κοινὸν ἀπαρακαλύπτοις νοήσεσιν, ἀλλ' ἐν συμβόλοις ἱεροῖς παραδεδωκότων· ἔστι γὰρ οὐ πᾶς ἱερὸς, οὐδὲ πάντων, ὡς τὰ Λόγιά φησιν, ἡ γνῶσις.

Ἀναγκαίως οὖν οἱ πρῶτοι τῆς καθ' ἡμᾶς Ἱεραρχίας καθηγεμόνες, ἐκ τῆς ὑπερουσίου θεαρχίας, αὐτοί τε ἀναπλησθέντες τοῦ ἱεροῦ δώρου, καὶ εἰς τὸ ἑξῆς αὐτὸ παραγαγεῖν ὑπὸ τῆς θεαρχικῆς ἀγαθότητος ἀπεσταλμένοι, καὶ αὐτοὶ δὲ ἀφθόνως ἐρῶντες, ὡς θεῖοι, τῆς τῶν μετ' αὐτοὺς ἀναγωγῆς καὶ θεώσεως, αἰσθηταῖς εἰκόσι τὰ ὑπερουράνια, καὶ ποικιλίᾳ καὶ πλήθει τὸ συνεπτυγμένον, καὶ ἐν ἀνθρωπίνοις τε τὰ θεῖα, καὶ ἐνύλοις τὰ ἄϋλα, καὶ τοῖς καθ' ἡμᾶς τὰ ὑπερούσια, ταῖς ἐγγράφοις τε αὐτῶν καὶ ἀγράφοις μυήσεσι, κατὰ τοὺς ἱεροὺς ἡμῖν ἔδωσαν θεσμούς· οὐ τῶν ἀνιέρων ἕνεκα μόνον, οἷς οὐδὲ τῶν συμβόλων ἅπτεσθαι θεμιτὸν, ἀλλ' ὅτι καὶ συμβολική τίς ἐστιν, ὅπερ ἔφην, ἀναλόγως ἡμῖν αὐτοῖς ἡ καθ' ἡμᾶς ἱεραρχία, δεομένη τῶν αἰσθητῶν εἰς τὴν ἐξ αὐτῶν ἐπὶ τὰ νοητὰ θειοτέραν ἡμῶν ἀναγωγήν. Ἀνακεκαλυμμένοι δὲ ὅμως εἰσὶν οἱ τῶν συμβόλων λόγοι τοῖς θείοις Ἱεροτελεσταῖς, οὓς οὐ θεμιτὸν ἐξάγειν εἰς τοὺς ἔτι τελουμένους,

dine cælesti insinuatione, de mente in mentẽ, mediante verbo, corporeo quidem illo, simul tamen immateriato, sine scriptione, institutores nostri sacrâ quadam traductione sunt edocti. Neque verò ista diuino spiritu afflatorum sacrorum Præsulum monumenta, in sacri ordinis commune bonum, propatulis intelligentiis, sed symbolis quibusdam sacris traducta sunt; non enim quilibet Sacerdos, neque omnium, vt Eloquia tradunt, scientia est.

§. 5. *Cur Sacramenta nostræ Hierarchiæ in sensibilibus symbolis tradantur.*

Necessariò igitur primi sacri ordinis nostri moderatores, supersubstantialis Dei principatus sacro ipsi munere pleni, & in posteros illud ipsum deriuatum à diuinâ bonitate missi, cùm & ipsi, vtpote diuini, promotionem deificationemque posterorum affatim desiderarent, sensibilibus figuris supercælestia, & quod vnitate collectum est variâ cùm distinctione tum multitudine, nec non in humanis diuina, & in materiis immateriata, atque in nostratibus rebus supersubstantialia, quà scriptis quà non scriptis institutionibus, in sacratissimis Oraculis nobis tradiderunt: nec id propter profanos tantùm, quibus vel ipsa signa tangere nefas sit, sed quòd noster, vt dixi, sacra ordinandi ritus, cum illorum comparatus, symbolicus existat, sensilibus signis opus habens, ad diuiniorem nostri ex illis ad intelligibilia sublimationem. Attamen manifestæ simul sunt Sacerdotibus signorum rationes, quas sacrorum etiamdum candidatis explanare nefas, quòd

Sacerdotibus nostræ Hierarchiæ symbola patere.

quòd exploratum ſit, ſacrorum diuinitus traditorum Legiſlatores, ſtabilibus atque impermixtis ordinum diſtinctionibus, cuiuſque merito accommodatis, diſparilibus ac ſacris partitionibus ſacrum ordinem diſtribuiſſe. Quapropter tui etiam ipſius ſacroſanctis pactionibus perſuaſus (earum enim meminiſſe ſanctum) Epiſcopatus quidem ordinem, vt ceteris præſtantiorem, nequaquam alteri communicabis, præterquam tui ſimilibus deiformibus Sacerdotibus: ipſiſque perſuadebis, vt iuxta ritum hierarchicum profiteantur, ſancta quidem ſanctè contrectare, ſolis autem deifica diuinis, perficientia perfectionis capacibus, ſanctiſque ſanctiſſima communicare: nam præter alia ſacrorum ordinum munera, hoc quoque diuinum tibi munus demandamus.

Hierarchia cuique ſacra pro meritis communicat.

εἰδότας ὡς οἱ τῶν ἱερῶν θεοπαραδότως νομοθέται, ταῖς τῶν διακόσμων εὐσταθέσι καὶ ἀσυμφύρτοις τάξεσι, καὶ ταῖς τοῦ ἑκάστῳ κατ' ἀξίαν προσήκοντος ἀναλόγοις καὶ ἱεραῖς ἀπονεμήσεσι, τὴν Ἱεραρχίαν διετάξαντο. Διὸ καὶ ταῖς σαῖς ἱεραῖς ὁμολογίαις πειθεὶς (ἀναμνῆσαι γὰρ αὐτῶν, εὐαγὲς) ὡς ἁπάσης μὲν ὑπερκειμένης ἱεραρχικῆς ἱερολογίας, οὐ μεταδώσεις ἑτέρῳ, παρὰ τοὺς ὁμοταγεῖς σοι θεοειδεῖς ἱεροτελεστάς· αὐτούς τε πείσεις ὁμολογῆσαι κατὰ θεσμὸν ἱεραρχικὸν, καθαρῶν μὲν καθαρῶς ἐφάπτεσθαι, κοινωνεῖν δὲ μόνοις τῶν θεουργικῶν τοῖς θείοις, καὶ τῶν τελείων τελειωτικοῖς, ἁγίοις τε τῶν παναγεστάτων· ἄλλων τε ἱεραρχικῶν σοι καὶ τούτου μεταδέδωκα τοῦ ἐνθέου δώρου.

ANNOTATIONES CORDERII.

πολιτεύεσθαι ὑφηγησάμενος, καὶ προσερωτήσας, μετὰ τὴν ὁμολογίαν ἐκείνου, τότε τὴν χεῖρα τῇ κεφαλῇ ἐπιτίθησι, καὶ κελεύει τοῖς ὑπ' αὐτὸν Πρεσβυτέροις καὶ Διακόνοις ἐν δέλτοις ἱεραῖς ἀπογράψασθαι τὰ ὀνόματα, τοῦ τε προσελθόντος καὶ τοῦ ἀναδόχου. Ταῦτα δὲ οἶμαί εἰσι τὰ τῶν ζώντων δίπτυχα.

Εἶτα συμπληρώσας τοῖς ἄλλοις ἐπ' αὐτῷ τὴν εὐχὴν, ἀπαμφιέννυσιν, ἓν ἱμάτιον δηλονότι, καὶ οὐ πᾶσαν τὴν ἐσθῆτα· εἶτα ἐπιστρέψας πρὸς δυσμὰς, τρὶς ἐμφυσῆσαι τῷ σατανᾷ διακελεύεται, καὶ ὁμολογῆσαι τὰ τῆς ἀποταγῆς, τρὶς καὶ αὐτὸς μαρτυρόμενος, ὅτι ποιεῖς τοῦτο. Εἶτα μετάγει πρὸς ἕω, καὶ τῷ Θεῷ κελεύει συντάξασθαι, μαρτυρόμενος κἀνταῦθα ἐπὶ τῇ τρισσῇ ὁμολογίᾳ τῆς πίστεως.

Τότε γοῦν εὐξάμενος, τελέως ἀπεκδύουσι τοῦτον οἱ λειτουργοὶ, ἐφ' ᾧ χρισθῆναι τὸ ἅγιον ἔλαιον. Τῶν γοῦν Ἱερέων χριόντων, αὐτὸς ἐπὶ τὴν μητέρα τῆς υἱοθεσίας τὴν κολυμβήθραν ἔρχεται, καὶ τὸ ἐκεῖσε ἁγιάσας ὕδωρ, καὶ εἰπὼν τὸ ἱερὸν μελῴδημα τοῦ ἁγίου Πνεύματος (ὅπερ ἅγιον Πνεῦμα ἡ ἐπίπνοιά ἐστι τῶν θείων Προφητῶν) δέχεται τὸν ἄνδρα. Οὐ γὰρ τὸ ἱερὸν μελῴδημα τῶν θείων Προφητῶν φησιν, οὐ γὰρ πάντες οἱ Προφῆται εἶπον αὐτὸ τὸ ἓν ᾆσμα· ἔστι δὲ ὁ κη. Ψαλμὸς, Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, καὶ τὸ Ἀλληλούϊα. Καὶ πάντα ἐπ' αὐτῷ ἱερῶς διαπραξάμενος, τῷ ἁγίῳ ἐγχρίσας μύρῳ, μέτοχον αὐτὸν καὶ τῶν ἀθανάτων μυστηρίων ἀποδείκνυσιν. Οὐ χρὴ δὲ θαυμάζειν, εἰ παρὰ τὴν νῦν κρατοῦσαν ἐν ταῖς Ἐκκλησίαις τάξιν, παρηλλαγμένα λέγει τινὰ ὁ Πατήρ· εἰκὸς γὰρ ταῦτα ἐκείνῃ μὲν τῇ τῶν χρόνων καταστάσει ἁρμόζειν, νῦν δὲ ἀκριβέστερον γίνεσθαι.

Ταῦτα τελέσας ὁ Ἱεράρχης, ἐπὶ τὴν πρώτην καὶ πάλιν ἀνατείνεται θεωρίαν, ἢ εὐχὴν μυστικὴν, ἢ τὴν ἱερὰν λειτουργίαν· οὐ γὰρ δεῖ ἐπ' ἀλλοτρίῳ τινὶ παρὰ τὰ οἰκεῖα τρέπεσθαι. Δηλοῖ δὲ ὁ λόγος, ὅτι ὁ Ἐπίσκοπος, εἰκόνα ἐπέχων τοῦ πάντων Θεοῦ, ὥσπερ ὁ Θεὸς ἐπὶ τῆς οἰκείας ἑνότητος καὶ ταυτότητος ἀεὶ μένων, καὶ ἀνεκφοιτήτως εἰς ἑαυτὸν ἱδρυμένος, σωτηρίας ἕνεκα πάντων ταῖς προνοητικαῖς προόδοις, ἐπὶ πάντα τὰς τῆς ἀγαθότητος ἐλλάμψεις ἐκτείνει, καὶ πᾶσι πάρεστι, τῆς ἱδρύσεως οὐκ ἀποστάς· οὕτω καὶ ὁ Ἐπίσκοπος κατὰ μίμησιν τοῦ Θεοῦ συμβολικῶς, καὶ ὡς αὐτῷ δυνατὸν, ἐπὶ τῆς οἰκείας στάσεως μένων, τουτέστι

τέσι τῆς Ἐκκλησιαστικῆς ἀρχῆς, πρόεισι προνοίᾳ φιλανθρωπίας ἐπὶ τὰ δεύτερα· καὶ πληρώσας τὴν τῶν δευτέρων οἰκονομίαν, πάλιν ἐπάνεισιν ἐπὶ τὸ θυσιαστήριον· παριστῶν συμβολικῶς, ὅτι προνοητικῶς ἐπὶ τὰ δεύτερα κινηθεὶς, καὶ τὰ θεῖα ἐκεῖσε διαπραξάμενος, ἀπὸ τῶν θείων τῶν ἐπὶ τῷ νεοφωτίστῳ τελεσθέντων πρὸς θεῖον ἐπιτήδευμα ἐπιστρέφει, πρὸς τὸ τῷ ἁγίῳ Πνεύματι δοκοῦν ἀγόμενος καὶ μεταγόμενος.

III. ΘΕΩΡΙΑ.

Αὕτη μὲν οὖν ἐστιν ἡ τελετὴ τῆς ἡμετέρας ἀναγεννήσεως· ἣν ὅτε καὶ πρὸς τὴν αἰσθητὴν εἰκόνα ἀπίδοι τις, οὐκ ἂν εἴποι ἀνίερον οὐδ' ἀπρεπῆ· ἔχει γὰρ καὶ αἰνίγματα θεωρίας ὑψηλοτέρας. Οὐ μὴν δὲ καὶ παντάπασι τῶν φυσικῶν ἀλλοτριοῦται καὶ ἀνθρωποπρεπῶς· ὅτε γὰρ καὶ ὁ ὑψηλὸς τῆς θεωρίας σιγηθείη λόγος, οὕτως αἰσθητῶς ἐξεταζομένη κατά τι φανείη διαμαρτάνουσα, ὅτι διαπραγματευομένη τὴν τοῦ προσιόντος ἀπὸ πάσης κακίας κάθαρσιν, ἐν πειθοῖ οὐ σοφίας ἀνθρωπίνης, ἀλλ' ἐκ θείων ῥημάτων, τῇ φυσικῇ καθάρσει τοῦ ὕδατος σωματικώτερον τοῦτον ἐκπλύνει. Ὅπερ εἰ καὶ μηδὲν εἶχεν ὑψηλότερον, οὐκ ἀνίερος παντάπασιν ἦν, διά τε τὴν διδασκαλίαν τῆς ἐναρέτου ζωῆς, διά τε τὴν δι' ὕδατος φυσικὴν ἀποκάθαρσιν· τοῦτο δ' οὐκ ἔστιν.

Ἔστω δὲ τέως εἰσαγωγική τις ψυχαγωγία τοῖς ἀτελέσι, τὸ τοιοῦτον τῶν πολλῶν καὶ ἀνίερων ἀποδιαστέλλουσα τὰ ἑνοειδῆ. Ἑνοειδῆ δὲ λέγει, τὰ θεῖα, ὡς ὑψηλὰ, καὶ νῷ μόνῳ ληπτά. Λέγει γὰρ Ὡσανεὶ, ὅτι εἰ καὶ πάντες οὐκ εἰσὶ τέλειοι, ἀλλὰ καὶ πολλοὶ ἀτελεῖς, ἔχουσι κἀκεῖνοι ἀναγωγήν τινα τῇ δυνάμει ἑαυτῶν προσήκουσαν, ἐν ᾗ ἀποδιασταλήσονται τῶν πάντη ἀνιέρων καὶ χλευαζόντων τὸ Βάπτισμα. Ἐπεὶ γὰρ οὐ πάντες χωροῦσι τὰς θεωρίας, δεῖ ποιεῖσθαι καὶ ἡμᾶς τὰς ἑρμηνείας πρὸς τοὺς ἀκούοντας, ὡς ἂν συμμέτρως καὶ αὐτοὶ καὶ προσηκόντως τῇ δυνάμει τῶν νοήσεων, ἀνάγωνται· ἡμεῖς δὲ, ἀναβάσεις ἐν τῇ καρδίᾳ θέμενοι ἱερὰς, τίνων χαρακτήρων εἰσὶν ἐκτυπώματα τὰ τοιαῦτα ἐπιγνωσώμεθα.

Εἰσβάλλει λοιπὸν εἰς τὴν θεωρίαν· καὶ ἐπεὶ μέλλει δεῖξαι, τὸν Ἱεράρχην κατὰ τὴν ἀφομοίωσιν τοῦ Θεοῦ πᾶσι τὴν σωτηρίαν εὐαγγελιζόμενον, ἄρχεται λέγειν περὶ Θεοῦ τὰ εἰκότα. Φησὶ

in Ecclesiastico principatu permanens, ad inferiora humanitatis prouidentiâ procedit: & inferiorum gubernatione impletâ, rursum ad altare redit; symbolicè declarans, se inferiorum prouidentiâ motum, rebus diuinis ibidem peractis, à diuinis Sacramentis recèns baptizato collatis, ad diuinum institutum reuerti, vt appareat, ipsum à sancto Spiritu duci & reduci.

III. CONTEMPLATIO.

Hoc itaque est Sacramentum nostræ regenerationis, quod, etiam dum quis ad sensibilem imaginem attendit, nequaquam dixerit profanum aut absonum; habet enim etiam indicia sublimioris contemplationis. Quin imò nec omnino à naturalibus & humanis rationibus abhorret: nam etsi quando sublimis illa contemplandi ratio sileretur, vel sic tamen sensibiliter inquiri posset, secundùm quid aberrare videatur, quoniam accedentis ab omni malitiâ emundationem operatur, non in humanæ sapientiæ persuasione, sed ex diuinis verbis, naturali aquæ emundatione, hunc abluit. Quo etsi nihil sublimius haberet (quod non est) nequaquam omnis expers esset sanctitatis; cùm propter probæ vitæ disciplinam, tum propter naturalem aquæ emundationem. *§. 1. Baptismus sub conuenientibus signis institutus.*

Verùm sit hæc rudioribus introductio quædam spiritalis, quæ à promiscuis & profanis distinguat vniformia. Vniformia autem vocat diuina, tamquam sublimia solaq; mente comprehensa. Ait autem *quodammodò*; quia licet non omnes perfecti, sed multi imperfecti sint, habent tamen etiam ipsi anagogen quamdam virtuti suæ congruentem, quâ distinguantur ab omnino profanis & Baptismi irrisoribus. Cùm enim non omnes capiant contemplationes, oportet nos etiam interpretationes auditoribus accommodare, vt & ipsi pro modulo suo conuenienter ad virtutem intelligentiarum adducantur; nos verò, ascensiones sacras in corde statuentes, cognoscemus quorum characterum istiusmodi sint effigies. §. 2.

Ceterùm aggreditur contemplationem: & cùm ostensurus sit, Hierarcham secúdùm Dei similitudinem omnibus salutem annuntiare, incipit dicere de Deo quæ decent. Ait §. 3.

Dei dona omnibus expansa instar solis.

itaque, quomodo Dei bonitas super omnes mentales oculos lucis suæ radios luculenter expandit. Cùm itaque omne quod intellectu præditum est liberum sit, si quis intellectum habens, propter talem libertatem vel omnino diuinum lumen deserat, amans prauitatē; vel certè secundariam illustrationis mensuram ipsi datam contemnens, ipsam transgredi conetur, vtique subtrahitur, & indultâ sibi mensurâ meritò frustratur, diuino lumine in se immutato permanente. Quemadmodum enim συνηρτῆσθαι significat coaptatum esse; sic etiam ἀπηρτῆσθαι excidisse à conformitate atq; congruentiâ. Interdum verò etiam hoc verbum significat suspensum esse; hoc loco tamen in priori significatione acceptum est. Illucet itaque lux ipsi etiam conniuenti, neq; deserit: neque etiam lux quidquam facit præter ea quæ lucis sunt propria, tametsi mens imperfectè accesserit. Benignè igitur diuina lux mentalibus semper oculis patet, licetque his lucem excipere quandocumque voluerint. Ad huius similitudinem etiam Episcopus doctrinæ radios expandit tam iis qui apti sunt ad eos excipiendos, quàm iis qui non sunt apti, nullo odio dirâve imprecatione propter priorem defectionem intemperantiamque vtens. Hæc autem dicit propter ea quæ superiùs dicta sunt: dixerat enim, duo esse mala intellectu præditorum propter propriam libertatem. Vel enim deserit quis diuinam lucem, vel sapit supra modulum suum, & quod non conuenit quærit.

§. 4. *Ordinatè procedendum in spiritalibus.*

Rursus, cùm diuinum Numen sit origo rectæ ordinationis sacræ, secundùm quam etiam Angeli semetipsi norunt, nec inordinatè prosiliunt ad ea quæ non decent, primū munus ex diuinâ doctrinâ quis consequitur, quòd seipsum noscat, vt illud quod in Lege scriptum est seruet, Attende tibi ipsi, quemadmodum etiam Magnus Basilius ait: *Eatenus enim ad proprium naturæ lumen, siue contemplationem scientiámve recurrens, Angelos imitatur, qui seipsos noscunt.* Porrò qui seipsum oculis affectione vacuis considerarit, profundissima quidem ignorationis loca effugiet, non tamen per se, sed per ducem ac susceptorem desiderabit diuinam participationem. Et per doctrinam quidem ad sui notitiam, deuenit per semetipsum ad sui principium; per hoc autem, ad id quod illo

Incipiendum à sui consideratione.

τοίνυν, ὡς ἡ τοῦ Θεοῦ ἀγαθότης ἐπὶ πάσας τὰς νοερὰς ὄψεις τὰς τοῦ οἰκείου φωτὸς ἀκτῖνας, ἀφθόνως ἐξαπλοῖ. Ἐπεὶ γοῦν πᾶν νοερὸν αὐτεξούσιόν ἐστιν, εἴ τις νοερὰ ἕξις διὰ τὴν τοιαύτην αὐτεξουσιότητα, ἢ τελέως ἀφίσταται τοῦ θείου φωτὸς, τῆς κακίας ἐρῶσα, ἢ μὴν τὸ δεύτερον, τὸ δοθὲν αὐτῇ τῆς ἐλλάμψεως μέτρον περιφρονήσασα ὑπερβῆναι ἐπιχειρεῖ, ἀπήρτηται δηλονότι ἀποτυγχάνει εἰκότως καὶ τοῦ δοθέντος αὐτῷ μέτρου, τοῦ θείου φωτὸς ἀναλλοιώτου μένοντος. Ὥσπερ γὰρ τὸ συνηρτῆσθαι, τὸ συνηρμόσθαι δηλοῖ· οὕτω καὶ τὸ ἀπηρτῆσθαι, τὸ ἐκπεπτωκέναι τῆς ἁρμογῆς καὶ συμφυΐας. Ἔστι δὲ ὅτε καὶ τὸ ἐκκρεμᾶσθαι ἡ λέξις δηλοῖ, ἐνταῦθα μέντοι κατὰ τὸ πρότερον σημαινόμενον εἴληπται. Ἐπιλάμπει τοίνυν αὐτῇ τὸ φῶς μυωπαζούσῃ, καὶ οὐκ ἀφίσταται· καὶ τὸ φῶς οὐκ ἂν ἐνεργήσειέ τι ἄλλο παρὰ τὰ φωτὸς οἰκεῖα, κἂν αὐτὴ ἀτελῶς ἐπιβάλλοι. Ἀγαθουργικῶς γοῦν ἐξήπλωται τὸ θεῖον φῶς ταῖς νοεραῖς ὄψεσιν, ἔξεστι δὲ ταύταις ἀντιλαμβάνεσθαι τοῦ φωτὸς ὁπότε θελήσειαν. Πρὸς τὴν τοιαύτην εἰκόνα καὶ ὁ Ἐπίσκοπος ἐξαπλοῖ τὰς τῆς διδασκαλίας ἀκτῖνας καὶ τοῖς ἐπιτηδείοις πρὸς τὴν ὑποδοχὴν, καὶ τοῖς μὴ, οὐ φθόνῳ καὶ ἀνιέρῳ μήνιδι τῆς προτέρας ἀποστασίας ἢ ἀμετρίας χρώμενος. Ταῦτα δὲ λέγει πρὸς τὰ ἀνωτέρω ῥηθέντα· ἔλεγε γὰρ, δύο κακίας εἶναι τῶν νοερῶν διὰ τὴν ἰδίαν αὐτεξουσιότητα. Ἢ γὰρ ἀφίσταταί τις τοῦ θείου φωτὸς, ἢ ὑπερφρονεῖ τοῦ μετρίου, καὶ τὸ ἀνοίκειον ἐπιζητεῖ.

Πάλιν, ἐπεὶ εὐταξίας ἱερᾶς ἀρχὴ τὸ Θεῖόν ἐστι, καθ' ἣν καὶ οἱ Ἄγγελοι ἐπιγινώσκουσιν ἑαυτοὺς, καὶ οὐχ ὑπερπηδῶσιν ἀτάκτως πρὸς τὰ ἀνοίκεια, πρῶτον δῶρον ἐκ τῆς θείας διδασκαλίας, κτᾶταί τις τὸ ἐπιγνῶναι ἑαυτὸν, ἵνα τὸ ἐν τῷ νόμῳ φυλάξῃ, Πρόσεχε αὐτῷ, ὡς καὶ ὁ μέγας ἔφη Βασίλειος· Οὕτω γὰρ τέως πρὸς τὸ οἰκεῖον τῆς φύσεως ὁρατὸν, ἤγουν θεώρητον ἢ ἐπιστητὸν ἀνατρέχων, μιμεῖται Ἀγγέλους τοὺς γινώσκοντας ἑαυτούς. Ὁ δὲ ἑαυτὸν ἀπροσπαθέσιν ἰδὼν ὀφθαλμοῖς, ἀποφοιτήσει μὲν τῶν βαθυτάτων τόπων τῆς ἀγνωσίας, οὐκ αὐτόθεν δὲ, ἀλλὰ δι' ὁδηγοῦ καὶ ἀναδόχου, ἐπιθυμήσει τῆς θείας μεθέξεως. Καὶ διὰ μὲν τῆς διδασκαλίας, ἐπὶ τὸ γνῶναι ἑαυτὸν, βαδιεῖται δι' ἑαυτοῦ ἐπὶ τὸν αὐτοῦ πρῶτον· διὰ δὲ τούτου, ἐπὶ τὸν

ἔτι πρότερον· καὶ δι᾽ ἐκείνου ἐπὶ τὸν πρώτιστον ἀναχθήσεται. Ταῦτα δηλοῖ ἡ τοῦ προσιόντος ἐπιγνωμοσύνη καὶ εὐλάβεια, καὶ ἡ πρὸς τὸν ἀνάδοχον πρόσοδος, ᾧ δὴ ἡ σφραγὶς δίδοται, ὡς σημεῖον τοῦ κλήρου τῆς ἐν Χριστῷ μερίδος, καὶ ἡ ἀπογραφὴ οἰκονομεῖται εἰς μνημόσυνον ἀγαθὸν αὐτοῦ τε καὶ τοῦ ἀναδόχου· αὐτοῦ μὲν, ὡς ἀληθινοῦ τῶν καλῶν ἐραστοῦ· τοῦ δὲ ἀναδόχου, ὡς ἀπλανοῦς ὁδηγοῦ.

Ἐντεῦθεν λέγει περὶ τῆς ἀπεκδύσεως. Ἐπεὶ γὰρ οὐκ ἔστι μετασχεῖν τινα τῶν ἄκρως ἐναντίων, ὑγείας δηλονότι καὶ νόσου, καὶ ἁμαρτίας καὶ ἀρετῆς, καὶ ἀγνοίας καὶ θεογνωσίας, ἐπεί τοίγε καὶ μεριστὴν συμβήσεται ἔχειν τὴν ζωὴν, τὸν καὶ ἀμφοτέρων ἀντεχόμενον, καὶ διὰ τοῦτο ἄσχετον εἶναι δεῖ τὸν πρὸς δευτέραν ζωὴν μετατιθέμενον, μηδεμίαν σχέσιν ἔχοντα πρὸς τὴν προτέραν ζωὴν, γυμνὸς ὁ προσαγόμενος ἵσταται. Ἔτι δὲ, ἐπεὶ καὶ μέχρι τῶν πρὸς τὴν προτέραν ζωὴν ἐσχάτων καὶ μικροτέρων σχέσεων ὀφείλει ἀπολύεσθαι, καὶ τὰ εἰς τοὺς πόδας τοὺς ἐσχάτους ὅλου τοῦ σώματος φορήματα ὑπολύεται· ἀφορᾷ δὲ καὶ πρὸς δυσμαῖς, τῷ ἀλαμπεῖ τόπῳ, καὶ ἀπωθεῖται τὴν ἀλαμπῆ κακίαν, καὶ ἐκ τοῦ ἐμφυσᾷν τῆς κακίας τὴν ἕξιν ἐκπνέει, καὶ ἀπὸ τῆς ἑαυτοῦ καρδίας ἐκβάλλει. Καὶ οὕτως ὁλικῶς τὴν ἀποταγὴν ποιησάμενος, πρὸς ἕω μετάγεται, τὴν ἀνατολὴν τοῦ τῆς δικαιοσύνης Ἡλίου, καὶ τὴν πρὸς τὸ ἓν ὁλικὴν σύνδεσιν ὁμολογεῖ· πάλιν ἐπεὶ δῆλόν ἐστιν, ὡς ἐν συντονίᾳ καὶ ἀγῶνι δεῖ εἶναι τὸν τελούμενον, ἵνα τὸ ἀναλλοίωτον ἔχῃ. Ἔκκλινον γὰρ ἀπὸ κακοῦ, φησὶ, καὶ ποίησον ἀγαθόν· καὶ πάλιν, Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι. οὐδὲ γὰρ στάσιν οἶδε τὸ ἀγαθὸν, οὐδ᾽ εὐαγές ποτε λῆξαι τὸν θεῖον ἔρωτα.

Ὅρα πῶς διὰ τῆς τοῦ ἐλαίου χρίσεως πρὸς ἀγῶνας ἄγεται ὁ τελούμενος, καθ᾽ οὓς ὑπ᾽ ἀθλοθέτῃ Χριστῷ γινόμενος. Συνθὲς τὸ ῥητὸν καθ᾽ ὑπέρβατον, Τοῖς μὲν ἀγῶσιν, ὡς θείοις, χαίρων ἐπιβήσεται. Διὰ μέσου δὲ, ἐπεὶ ἀθλοθέτην ἐκάλεσε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν, δηλοῖ, πῶς μὲν ἀθλοθέτης, πῶς δὲ νομοθέτης, πῶς στεφοδότης καλῶν καὶ ἀφθάρτων στεφάνων, πῶς δὲ καὶ συναγωνιστὴς, οἱονεὶ ἀλείπτης ἐστίν. Ὁ τοίνυν Ἰησοῦς Χριστὸς, ὡς μὲν Θεὸς (ὃ σημείωσαι τὸ ῥητὸν κατὰ Νεστοριανῶν) δημιουργεῖ τὴν ἀθλοθεσίαν, ὁ γὰρ ὑπερέχων καὶ δυνάμενος, ἀθλοθετεῖ· ὡς δὲ σοφὸς, νομοθετεῖ, σοφοῦ γὰρ ἡ

prius est, & per illud ad primum adducetur. Hæc significat accedentis modestia reuerentiaque, & ad susceptorem accessio, cui vtiq; character imprimitur, tamquam signum partis hereditatis in Christo, & inscriptio fit ad bonam memoriam ipsius ac susceptoris; ipsius quidem, tamquam veri bonorum amatoris; susceptoris verò, tamquam ductoris minimè errantis.

§. 5. Vestium depositio, significat abiectionem vitiorum.

Deinde dicit de vestium depositione. Cùm enim non liceat alicui summè contrariorum participem existere, sanitatis v. g. & morbi, & peccati ac virtutis, & ignorantiæ cognitionisque Dei, diuisam etiam necesse sit habere vitam qui vtraque amplectitur, proptereaq; liberum esse oporteat qui ad alteram vitam transfertur, nullum affectum retinendo prioris vitæ; idcircò qui adducitur, nudus sistitur. Adhæc verò, quoniam ab extremis minoribusque prioris vitæ affectionibus absolui debet, ad extremos vsque pedes totius corporis indumentis exuitur; spectat autem ad Occidentem, obscurum illum locum, & tenebricosam malitiam expellit, insitumq; sibi malignitatis habitum efflat, eumque à corde suo eiicit. Atque hoc modo vniuersali abrenuntiatione factâ ad Orientem traducitur, ad Solis iustitiæ ortum, & totalem ad vnum cōuersionem profitetur: cùm prætereà manifestum sit, initiatum in contentione & agone versari debere, vt immutabilitatem obtineat. *Declina*, enim inquit, *à malo, & fac bonum.* 1. Pet. 3, 11
& iterùm: *Beati immaculati in viâ, qui ambulant.* bonum enim stare nescit, neque facile est diuinum amorem cohibere. Psal. 118, 1

Exsufflatio & renuntiatio quid.

§. 6. Baptizatus ad certamen instruitur.

Vide, quomodo Olei inunctione initiatus ad certamina adducatur, sub Christo munerario constitutus. Constructio hæc est per hyperbaton, Certamina quidem, vtpote diuina, lætus aggredietur. Intermediè autem, cùm munerariū appellauerit Dominum nostrum Iesum Christum ac Deum, declarat, quomodo munerarius, quomodo legifer, quomodo pulchrarum & immortalium coronarum sit elargitor, quomodo etiam commilito sit & veluti inunctor. Iesus itaque Christus, tamquam Deus quidem (quod obserua dictum contra Nestorianos) præmiorum propositionem instituit; qui enim supereminet & potens est, is præmia proponit: tamquam sapiens verò

PARAPHRASIS PACHYMERÆ. rò leges fert; ſapientis enim eſt leges ferre, vt ſi v.g. hoc modo vincere contigerit certantē, ita quoque coronam conſequatur, ſin ſecùs, brauium quoque non adipiſcatur: tamquam pulcher autem pulchra præmia proponit; 1. Cor. 2, 9 *neque enim oculus vidit, neque auris audiuit, nec in cor hominis aſcendit quæ præparauit Deus diligentibus ſe:* tamquam bonus verò fert auxilium & ſuppetias, ipſe enim eſt qui Ioan. 16, 33 dicit, *Confidite, ego vici mundum.* Denuò igitur dicendum, eum qui ſecundùm hos ſub Chriſto munerario conſtitutus ad diuina certamina exutus fuerit, qui Legiſlatoris ſapientis ſanctionibus adhæſerit, à pulchro quoque pulchra pręmia certò conſecuturum, & à bono adiutum, minimè deuictū iri. *Cum Chriſto certandum & moriendū.* Primi enim athletarum Ieſu Chriſti Domini noſtri veſtigiis inſiſtens, qui ſola bonitate ſuâ cum mortis imperio dimicauit, actiones ſubſtantiasq; deificationi ſuæ aduerſantes proſternens, Chriſto commorietur per triplicem immerſionem, quæ triduanæ ſepulturæ Domini figuram refert. Actiones autem vocat, peccata cupiditatesque turbulentas; ſubſtantias verò, dæmonum naturas, quæ iſtiuſmodi agendi vim habent: improbæ enim actiones nequaquã in propriâ ſuâ ſubſtantiâ videntur.

§. 7. Conſidera, quæſo, iſta Sacramenta, quantam cum ſymbolis ſuis proprietatē habeant. Cùm enim in nobis mors non ſit omnimoda ſubſtantiæ abolitio, vti quibuſdam placet, qui etiam animam mortalem eſſe, hominemque penitus ad nihilum redigi & corrumpi aſſerebant; ſed ſeparatio animæ à corpore, animam quidem ad id quod nobis obſcurum eſt ducens (iuxta quod etiam ille animæ à corpore diſceſſus ᾅδης ſeu infernus, id eſt, obſcurus dicitur) corpus verò vel terræ mandãs, vel aliâ quapiam corporali immutatione abolens. Immutationes autē vocat illas quæ in vermes fiūt, vel ſimiles in alia animalcula corporis transformationes; quocircà etiam totalis iſta aquæ coopertio iſtiuſmodi perpetuam animæ corporisq; mortem ſignificat. Et quoniam tribus diebus ac tribus noctibus Ieſus, qui vitæ princeps eſt, in ventre terræ permanſit, *Quid trina merſio.* per tres quidem immerſiones, tres noctes, per tres autē emerſiones, tres dies deſignãtur.

§. 8. Candidis deinde veſtimentis initiatus induitur, propter paſſionum ac ſordium vacui-

νομοθεσία, ὅπερ ἐστὶν εἰ οὕτω τυχὸν περιγενήσεται ὁ ἀγωνιζόμενος, οὕτω τεύξεται τοῦ στεφάνου, εἰ μὴ οὕτω, τὸ βραβεῖον οὐ λήψεται· ὡς καλὸς, καλλωπίζει τὰ ἔπαθλα, ἃ γὰρ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν, οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ὡς δὲ ἀγαθὸς, βοηθεῖ καὶ συναγωνίζεται, αὐτὸς γάρ ἐστιν ὁ λέγων, Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. Ἄνωθεν γοῦν ῥητέον, καθ' οὓς ὑπ' ἀθλοθέτῃ Χριστῷ γινόμενος, ἀποδύεται πρὸς θείους ἀγῶνας, ὑπὸ νομοθέτῃ ἐμμένει ταῖς τοῦ σοφοῦ νομοθεσίαις, ὑπὸ καλοῦ βεβαίως ἕξει διὰ τὰ καλὰ ἔπαθλα, ὑπὸ δὲ ἀγαθοῦ βοηθούμενος οὐχ ἡττηθήσεται. Ἐπιβὰς γὰρ τοῖς ἴχνεσι τοῦ πρώτου τῶν ἀθλητῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ὃς διὰ μόνην ἀγαθότητα ἰδίαν πρὸς τὸ τοῦ θανάτου ἠγωνίσατο κράτος, τὰς ἐναντίας αὐτοῦ πρὸς τὴν θέωσιν ἀποστατικὰς ἐνεργείας τε καὶ ὑπάρξεις καταπαλαίσας, συναποθνήσκει Χριστῷ διὰ τῆς τριττῆς καταδύσεως, τύπον ἐχούσης τῆς τριημέρου ταφῆς τοῦ Κυρίου. Ἐνεργείας δὲ λέγει τὰς ἁμαρτίας καὶ τὰς ἐμπαθεῖς ἐπιθυμίας· ὑπάρξεις δὲ, τὰς τούτων ἐνεργητικὰς τῶν δαιμόνων φύσεις· αἱ γὰρ πονηραὶ πράξεις, οὐκ ἐν ἰδίᾳ ὑπάρξει θεωροῦνται.

Καί μοι νόει ἐκεῖνα τὰ ἱερὰ ὅσην οἰκειότητα πρὸς ταῦτα τὰ σύμβολα ἔχουσιν. Ἐπειδὴ γὰρ ὁ παρ' ἡμῖν θάνατος οὐκ ἔστιν ἀνυπαρξία παντελὴς κατὰ τὸ δόξαν ἑτέροις οἵτινες καὶ τὴν ψυχὴν εἶναι θνητὴν ἔλεγον, καὶ εἰς τὸ μηδαμῆ μηδαμῶς εἶναι τὸν ἄνθρωπον φθείρεσθαι· ἀλλ' ἔστι διάκρισις ψυχῆς ἀπὸ σώματος, τὴν μὲν ψυχὴν εἰς τὸ ἀφανὲς ἄγουσα (κατὰ τοῦτο γὰρ καὶ ᾅδης λέγεται), τοῦτ' ἔστιν, ὁ ἀφανὴς χωρισμὸς ψυχῆς ἀπὸ σώματος) τὸ σῶμα δὲ ἢ εἰς γῆν παραπέμπουσα, ἢ καὶ καθ' ἑτέραν τινὰ τῶν σωματικῶν ἀλλοιώσεων ἀφανίζουσα. Ἀλλοιώσεις δὲ νόει, τὰς εἰς σκώληκας καὶ εἰς ἄλλα ζωΰφια μεταστοιχειώσεις τοῦ σώματος· διὰ τοῦτο ἡ ὁλικὴ τοῦ ὕδατος κάλυψις τὴν τοιαύτην ἀϊδίαν τῆς τε ψυχῆς καὶ τοῦ σώματος, δηλονότι τὸν θάνατον παραδηλοῖ. Καὶ ἐπεὶ ἐν τρισὶν ἡμέραις, καὶ ἐν τρισὶ νυξὶν ἐν τῇ κοιλίᾳ τῆς γῆς ὁ ζωαρχικὸς Ἰησοῦς ἔμεινε, διὰ μὲν τῶν τριῶν καταδύσεων, αἱ τρεῖς νύκτες παραδηλοῦνται, διὰ δὲ τῶν τριῶν ἀναδύσεων, αἱ τρεῖς ἡμέραι.

Ἑξῆς δὲ φωτοειδῆ ἱμάτια ὁ τελούμενος ἀμφιέννυται, διὰ τὸ ἀπαθὲς καὶ ἀρρύπωτον,

καὶ

PARAPHRASIS PACHYMERÆ.

καὶ τὴν πρὸς τὸ ἓν φῶς σύνοδον, καθ' ἣν ὁ ῥυπαρὸς βίος καὶ ἄκοσμος καὶ ἀνείδεος οἱονεὶ δυσειδής. Οὐδὲ γὰρ λέγει, τὸν τοῦ εἴδους πάντη ἀμέτοχον, τῷ φωτίσματι κοσμεῖται, καὶ εἶδος φωτὸς δέχεται, καὶ τέκνον φωτὸς ὁ τελούμενος δείκνυται. Ἡ δὲ τοῦ μύρου τελειωτικὴ χρῖσις, εὐώδη τὸν τελούμενον ποιεῖ· ἑνοῦται γὰρ διὰ τοῦ Βαπτίσματος τῷ θεαρχικῷ Πνεύματι· ἔστι δὲ καί τις ἀρρητοτάτη εὐωδοποιὸς τοῦ Πνεύματος ἐπιφοίτησις, καθ' ἣν εὐωδία Χριστοῦ οἱ Ἀπόστολοι λέγονται, καθ' ἣν οἱ ἁπανταχοῦ τοῦ θείου Πνεύματος ἠξιωμένοι καὶ ἑνωθέντες αὐτῷ διὰ καθαρότητος, αἰσθάνονται τῆς αὐτοῦ παρουσίας. Τοῦτο γὰρ δηλοῖ καὶ τὸ εὐωδοποιὸν ἐν ταῖς γλώσσαις λαλεῖν, ἢ προφητικὸν ἔχειν χάρισμα, ἢ ἰάσεις ἐνεργεῖν, ἢ ἄλλο τι τῶν ὑπὲρ τὸν ἁπλῶς ἄνθρωπον διαπράττεσθαι.

tatem, & cum vno lumine contenſionem, per quam ſordida & immunda informisque vita quaſi diſparuit. Non enim ait, eum, qui omnino formæ expers eſt, per Baptiſmum exornari, & lucis formam accipere; & eum, qui initiatus eſt, lucis filium demonſtrari. Denique vnguenti illa conſummans vnctio eum qui initiatur odoris ſuauitate perfundit: vnitur enim per Baptiſmum Spiritui Dei principali, cuius vtique Spiritus aduentus ineffabilem quamdam odoris fragrantiam conciliat, ſecundùm quam Apoſtoli Chriſti bonus odor appellantur, quaque diuino Spiritu afflati, ipſique per puritatem coniuncti, præſentiam eius ſentiunt. Hoc vtique etiam declarat illa ſuaueolentia quam linguis exceperunt, donúmve propheticum quod habuerunt, virtúſve curationum, ac quodcumque aliud ſupra conditionem hominis agebant.

Quid vnctio.

ΚΕΦΑΛΑΙΟΝ Γʹ. — CAPVT III.

Περὶ τῶν ἐν τῇ συνάξει τελουμένων. — De iis quæ in Synaxi perficiuntur.

SYNOPSIS CAPITIS.

PRimâ Capitis parte ait, *Sacramentum Venerabilis Euchariſtiæ eſſe ceterorum Sacramentorum conſummationem, & præ ceteris* Synaxim *dici atque* Communionem, *quòd ſingulari ratione nos Deo coniungat vniatq́.*

Secundâ parte deſcribit ritum & ordinem, quo antiquitus Sacramentum Euchariſtiæ conſecrari & ſumi ſolet, & quibus præſentibus & excluſis ſacrificium fiebat.

Tertiâ parte ſubiungit Contemplationem, in quâ myſticè explicat, 1. *quid in Sacro ſibi velint ſacra cantica & lectiones; quid panis & calicis participatio.* 2. *Inuocat Venerabile Sacramentum.* 3. *Exponit, quomodo Deus in ſe immutatus, ſe omnibus communicet; & quomodo Pontifex Deum imitetur, inferioribus ſacra miniſtrando.* 4. *Quid ſacræ Scripturæ libris contineatur.* 5. *Quomodo Pſalmi & Scripturæ animum componant.* 6. *Qui, & quâ de causâ, à Venerabili Sacramenti aſpectu & communione arceantur: & quis ordo inter illos.* 7. *In quo ſita ſit impuritas energumenorum & peccatorum, & quomodo, excluſis profanis, viri ſancti Venerabile Sacramentum laudent.* 8. *Quid pacis oſculum ſignificet.* 9. *Quid commemoratio Sanctorum.* 10. *Quid ablutio extremorum digitorum Sacerdotis. Quid eleuatio Venerabilis Sacramenti.* 11. *Deſcribit calamitates in quas homo incidit per peccatum, & quanta ſit*

 Dei

Dei in reparando homine benignitas. 12. *Sacrificium esse commemorationem Passionis Christi; & quis sit finis sacræ Communionis.* 13. *Quid diuisio & distributio Sacramenti insinuet.* 14. *Qualiter gratiæ agendæ post Communionem, & cur Sacerdos se ipsum communicet ante alios.* 15. *Finalis gratiarum actio.*

I. SED euge, quoniam huius mentionem fecimus, eâ prætermissâ nefas sit aliam functionem Hierarchicam præ hac celebrare: nam, ex inclyti præceptoris nostri sententiâ, Sacramentum Sacramentorum existit, oportetq; sacræ eius descriptionis interpretem secundùm Scripturas, ex diuinâ Hierarchicaque scientiâ, per Dei principalem spiritum ad sacram eius adduci contemplationem.

Eucharistiæ Sacramentum cur Communio & Synaxis dictum.

Primùm itaque illud sanctè videamus, quam ob causam id, quod præcipuis quoque aliis Sacramentis commune est, huic per excellentiam præ ceteris sit attributum, vt singulariter Communio & Synaxis appelletur; cùm vnumquodque Sacramentum diuisas quoque vitas nostras ad vniformem colligat Deificationem, atque Deiformi dissitorũ coagmentatione cum illo vno communicet vniatque. Dicimus igitur, ceterorum Hierarchicorum symbolorũ participationibus, ex diuinis huius perfectiuisq; muneribus accedere consummationẽ. Vix enim fas sit vllam Hierarchici muneris obire functionem, nisi diuinissima Eucharistia, cuislibet initio consecrationis, initiandi cum illo vno perficiat coniunctionẽ, diuinitusq; tradito consummantium myste-

ΑΛΛ' εὖγε, ὅτι ταύτης ἐμνήσθημεν, ἦν οὐ θεμιτὸν ἐμοὶ παραδραμόντι, τῶν Ἱεραρχικῶν τι πρὸ ταύτης ἑτέραν ὑμνῆσαι· καὶ γάρ ἐστι, κατὰ τὸν κλεινὸν ἡμῶν καθηγεμόνα, τελετῶν τελετὴ, καὶ χρὴ πρὸ τῶν ἄλλων αὐτὴν ἱερογραφικῶς ἐκθέμενον ἐκ τῆς ἐνθέου κατὰ τὰ Λόγια καὶ ἱεραρχικῆς ἐπιστήμης, ἐπὶ τὴν ἱερὰν αὐτῆς ἀναχθῆναι τῷ θεαρχικῷ Πνεύματι θεωρίαν.

Καὶ πρῶτόν γε τοῦτο ἱερῶς ἐποπτεύσωμεν, ὅτου δὴ ἕνεκα τὸ κοινὸν καὶ ταῖς ἄλλαις ἱεραρχικαῖς τελεταῖς, ἐκκρίτως αὐτῇ παρὰ τὰς λοιπὰς ἀνατέθειται, καὶ ἑνιαίως ἀνηγόρευται Κοινωνία τε καὶ Σύναξις, ἑκάστης ἱεροτελεστικῆς πραγματείας, καὶ τὰς μεριστὰς ἡμῶν ζωὰς εἰς ἑνοειδῆ θέωσιν συναγούσης, καὶ τῇ τῶν διαιρετῶν θεοειδεῖ συμπτύξει τὴν πρὸς τὸ ἓν κοινωνίαν καὶ ἕνωσιν δωρουμένης. Φαμὲν δὲ, ὅτι ταῖς τῶν ἄλλων ἱεραρχικῶν συμβόλων μεθέξεσιν, ἡ τελείωσις ἐκ τῶν ταύτης θεαρχικῶν καὶ τελειωτικῶν ἐστι δωρεῶν. Οὐ γὰρ ἔνεστι σχεδόν τινα τελεσθῆναι τελετὴν ἱεραρχικὴν, μὴ τῆς θειοτάτης Εὐχαριστίας ἐν κεφαλαίῳ τῶν καθ' ἕκαστα τελουμένων τὴν ἐπὶ τὸ ἓν τοῦ τελεσθέντος ἱερουργούσης συναγωγὴν, καὶ τῇ θεοπαραδότῳ δωρεᾷ τῶν τελειωτικῶν μυστηρίων τε-

λεσιουρ-

λεσιουργούσης αὐτοῦ τὴν πρὸς Θεὸν κοινωνίαν. Εἰ τοίνυν ἑκάστη τῶν ἱεραρχικῶν τελετῶν, ἀτελὴς μὲν οὖσα, τὴν πρὸς τὸ ἓν ἡμῶν κοινωνίαν καὶ σύναξιν οὐ τελεσιουργήσει, καὶ τὸ εἶναι τελετὴ διὰ τὸ ἀτέλεστον ἀφῃρημένη· τὸ δὲ τέλος ἁπάσης καὶ τὸ κεφάλαιον, ἡ τῶν θεαρχικῶν μυστηρίων τῷ τελουμένῳ μετάδοσις, εἰκότως ἡ ἱεραρχικὴ σύνεσις ἐπωνυμίαν αὐτῇ κυρίαν ἐκ τῆς τῶν πραγμάτων ἀληθείας ἐφεῦρεν· οὕτω δὴ καὶ τὴν ἱερὰν τῆς θεογενεσίας τελετήν, ἐπειδὴ πρώτου φωτὸς μεταδίδωσι, καὶ πασῶν ἐστιν ἀρχὴ τῶν θείων φωταγωγιῶν, ἐκ τοῦ τελουμένου τὴν ἀληθῆ τοῦ φωτίσματος ἐπωνυμίαν ὑμνοῦμεν. Εἰ γὰρ καὶ * πᾶσι κοινὸν τοῖς ἱεραρχικοῖς, τὸ φωτὸς ἱεροῦ μεταδιδόναι τοῖς τελουμένοις, ἀλλ' αὕτη τὸ πρώτως ἰδεῖν ἐδωρήσατό μοι, καὶ διὰ τοῦ ταύτης ἀρχικωτάτου φωτὸς, ἐπὶ τὴν τῶν ἄλλων ἱερῶν ἐποψίαν φωταγωγοῦμαι. Ταῦτα δὲ εἰπόντες, ἀνασκεψώμεθα καὶ κατίδωμεν ἱεραρχικῶς τὴν καθ' ἕκαστον ἀκριβῆ τῆς ἁγιωτάτης τελετῆς ἱερουργίαν καὶ θεωρίαν.

*V. τοῖς ἄλλοις

II. ΜΥΣΤΗΡΙΟΝ ΣΥΝΑΞΕΩΣ, εἴτουν Κοινωνίας.

Ὁ μὲν Ἱεράρχης εὐχὴν ἱερὰν ἐπὶ τοῦ θείου θυσιαστηρίου τελέσας, ἐξ αὐτοῦ τοῦ θυμιᾶν ἀρξάμενος, ἐπὶ πᾶσαν ἔρχεται τὴν τοῦ ἱεροῦ χώρου περιοχήν· ἀναλύσας δὲ πάλιν ἐπὶ τὸ θεῖον θυσιαστήριον, ἀπάρχεται τῆς ἱερᾶς τῶν Ψαλμῶν μελῳδίας, συναδούσης αὐτῷ τὴν ψαλμικὴν ἱερολογίαν ἁπάσης τῆς Ἐκκλησιαστικῆς διακοσμήσεως.

riorum dono diuinam ipsi conferat communionẽ. Quare, si quælibet Hierarchicarum consecrationum imperfecta manet, dum nostri cum illo vno communionẽ vnionemque non perficit, hoc ipso quo non perficitur perficiẽdi vim amittens; finis autem omnium est & caput, vt eum qui initiatur, præcipuorum Dei mysteriorum participem efficiat, iure merito Pontificalis scientia proprium illi à rerum veritate nomen adinuenit: ita quoque sacram diuinæ regenerationis initiationem, quòd primam lucem cõferat, omniumque diuinarum illustrationũ principium existat, ex effectu vero illustrationis nomine celebramus. Quamuis enim etiam aliis Hierarchicis functionibus commune sit, eos qui initiantur sacræ lucis consortes facere; attamen hæc illa est quæ primùm mihi visum impertiuit, perque illius lucem principaliorem ad cetera quoque sacra contuenda lumen accipio. His ita constitutis, consideremus & intueamur, more Hierarchico, quemlibet exactum SS. huius Sacramenti ritum & significationẽ.

Baptismus cur illuminatio dicatur præ ceteris Sacramentis.

II. MYSTERIVM SYNAXEOS seu Communionis.

Ritus consecrandi Synaxim.

Pontifex precem sacram ad altare Dei celebraturus, ab eiusdem suffitione initium faciens, vniuersum circuit Chori ambitum; donec rursum ad altare diuinum rediens sacrum infit Psalmorum melos, omni ordine Ecclesiastico sacram ipsi psalmodiã succinente.

TEXTVS S. DIONYSII.

Per miniſtros exinde conſequenter ſacrarum Scripturarum lectio recitatur: quâ finitâ, ſacro ambitu arcentur Catechumeni, & cum iis energumeni ac pœnitentes, illis qui diuinorum aſpectu & Communione digni ſunt remanentibus. Porrò miniſtrorum quidem alij clauſis Templi foribus aſſiſtũt, alij verò aliud quidpiam quod ſit ordinis ſui agunt. Qui autem in miniſtrorum ordine primas tenent, vnà cum Sacerdotibus diuino altari panem ſacrum calicemque benedictionis imponunt, ab vniuersâ plenitudine Eccleſiæ cõmuni hymnologiâ præmiſſâ. Ad hæc diuinus Pontifex ſacram peragit precationem, ſanctamq; cunctis pacem apprecatur: & dum omnes inuicem amplexantur, myſtica ſacrorum voluminum recitatio finitur. Tum lotis aquâ manibus Pontificis ac Sacerdotum, Pontifex diuini altaris medio aſſiſtit, circumſtantibus illi ſolis miniſtrorum primoribus vnà cum Sacerdotibus. Porrò vbi Pontifex ſacroſancta Dei munera collaudauit, diuiniſſima conſecrat myſteria, quæ etiam celebrata ſub ſymbolis ſacroſanctè propoſitis in adſpectum ducit; exhibitisque diuinorum operum muneribus, ad ſacroſanctam eorumdem communicationem cùm ipſemet accedit, tum ceteros inuitat. Acceptâ denique dataq; diuinâ Communione, in ſacram deſinit gratiarum actionem; populoque diuina tantùm ſymbola contuente, ipſe ſem-

Ἑξῆς δὲ, διὰ τῶν λειτουργῶν ἡ τῶν ἁγιογράφων δέλτων ἀνάγνωσις ἀκολούθως γίνεται· καὶ μετὰ ταύτας, ἔξω γίγνονται τῆς ἱερᾶς περιοχῆς οἱ Κατηχούμενοι, καὶ πρὸς αὐτοῖς οἱ ἐνεργούμενοι, καὶ οἱ ἐν μετανοίᾳ ὄντες, μένουσι δὲ οἱ τῆς τῶν θείων ἐποψίας καὶ κοινωνίας ἄξιοι. Τῶν λειτουργῶν δὲ, οἱ μὲν ἑστᾶσι παρὰ τὰς τοῦ ἱεροῦ πύλας συγκεκλεισμένας, οἱ δὲ ἄλλο τι τῶν τῆς οἰκείας τάξεως ἐνεργοῦσιν. Οἱ δὲ τῆς λειτουργικῆς διακοσμήσεως ἔκκριτοι, σὺν τοῖς Ἱερεῦσιν ἐπὶ τοῦ θείου θυσιαστηρίου προτιθέασι τὸν ἱερὸν ἄρτον καὶ τὸ τῆς εὐλογίας ποτήριον, προομολογηθείσης ὑπὸ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος, τῆς καθολικῆς ὑμνολογίας. Πρὸς οἷς ὁ θεῖος Ἱεράρχης εὐχὴν ἱερὰν τελεῖ, καὶ τὴν ἁγίαν εἰρήνην ἅπασι διαγγέλλει· καὶ ἀσπασαμένων ἀλλήλους ἁπάντων, ἡ μυστικὴ τῶν ἱερῶν πτυχῶν ἀνάρρησις ἐπιτελεῖται. Καὶ νιψαμένων τὰς χεῖρας ὕδατι τοῦ Ἱεράρχου καὶ τῶν Ἱερέων, ὁ μὲν Ἱεράρχης ἐν μέσῳ τοῦ θείου θυσιαστηρίου καθίσταται, περιεστᾶσι δὲ μόνοι μετὰ τῶν Ἱερέων οἱ τῶν λειτουργῶν ἔκκριτοι. Καὶ τὰς ἱερὰς θεουργίας ὁ Ἱεράρχης ὑμνήσας, ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ᾽ ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων συμβόλων· καὶ τὰς δωρεὰς τῶν θεουργιῶν ὑποδείξας, εἰς κοινωνίαν αὐτῶν ἱερὰν αὐτός τε ἔρχεται, καὶ τοὺς ἄλλους προτρέπεται. Μεταλαβὼν δὲ καὶ μεταδοὺς τῆς θεαρχικῆς κοινωνίας, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει, τῶν πολλῶν μὲν εἰς μόνα τὰ θεῖα σύμβολα παρακυψάντων, αὐτὸς δὲ

ἀεὶ

ἀεὶ τῷ θεαρχικῷ Πνεύματι πρὸς τὰς ἁγίας τῶν τελουμένων ἀρχὰς, ἐν μακαρίοις καὶ νοητοῖς θεάμασιν, ἱεραρχικῶς ἐν καθαρότητι τῆς θεοειδοῦς ἕξεως ἀναγομένη.

per Spiritu diuino, per beatas ac ſpiritales contemplationes, hierarchicè ad ſacroſancta myſteriorum primordia in diuini ſtatus puritate ducitur.

III. ΘΕΩΡΙΑ.

Δεῦρο δὴ οὖν, ὦ παῖ καλὲ, μετὰ τὰς εἰκόνας ἐν τάξει καὶ ἱερῶς ἐπὶ τὴν θεοειδῆ τῶν ἀρχετύπων ἀλήθειαν, ἐκεῖνο τοῖς ἔτι τελειουμένοις εἰς ἐναρμόνιον αὐτῶν ψυχαγωγίαν εἰπὼν, ὡς οὐδὲ τῶν συμβόλων ἡ ποικίλη καὶ ἱερὰ σύνθεσις, *ἀνόητος αὐτοῖς ὑπάρχει, μέχρι τῶν ἐκτὸς φαινομένη μόνον. Αἱ μὲν γὰρ ἱερώταται τῶν Λογίων ᾠδαὶ καὶ ἀναγνώσεις, διδασκαλίαν αὐτοῖς ἐναρέτου ζωῆς ὑφηγοῦνται, καὶ πρό γε τούτου, τὴν παντελῆ τῆς φθοροποιοῦ κακίας ἀποκάθαρσιν· ἡ δὲ θειοτάτη τοῦ ἑνὸς καὶ ταὐτοῦ καὶ ἄρτου καὶ ποτηρίου κοινὴ καὶ εἰρηναία μετάδοσις, ὁμοτροπίαν αὐτοῖς ἔνθεον ὡς ὁμοτρόφοις νομοθετεῖ, καὶ τοῦ θειοτάτου δείπνου καὶ ἀρχισυμβόλου τῶν τελουμένων εἰς μνήμην ἱερὰν ἄγει· καθ' ὃ καὶ αὐτὸς ὁ τῶν συμβόλων δημιουργὸς, ἀποκληροῖ δικαιότατα τὸν οὐχ ὁσίως αὐτῷ καὶ ὁμοτρόπως τὰ ἱερὰ συνδειπνήσαντα, διδάσκων εὐαγῶς τε ἅμα καὶ θεοπρεπῶς, ὡς ἡ καθ' ἕξιν ἀληθὴς ἐπὶ τὰ θεῖα προσέλευσις, τὴν πρὸς τὸ ὅμοιον αὐτῶν κοινωνίαν τοῖς προσιοῦσι χαρίζεται.

*ἀνόητον ita 2. Vien.

Ταῦτα μὲν οὖν ὡς ἔφην, ἐπὶ τὰ τῶν ἀδύτων προπύλαια καλῶς διαγεγραμμένα, τοῖς ἀτελέσιν ἔπι

III. CONTEMPLATIO.

§. 1. Agedum ergo, probe fili, poſt figuras ordine ſancteque digeſtas, Deiformem primigeniorum veritatem iis qui adhuc initiantur declarabo, ad eorum animos cōgruè excitandos; ne diuerſa illa ſymbolorum ſacra compoſitio ipſis* inſipida exiſtat, ſi exteriorem tãtùm apparatum præſeferat. Ac ſacratiſſima quidem Eloquiorum cantica & lectiones probæ ipſis innuunt vitæ diſciplinam, & quæ hanc præcedit, omnimodam corruptæ prauitatis expiationem: diuiniſſima verò vnius eiuſdemque cùm panis tum calicis communis ac pacifica participatio, diuinã iis morum conformitatem, tamquam connutritiis, præſcribit; nec non cœnæ diuiniſſimæ atque archiſymbolæ myſteriorum horum ſacroſanctam introducit commemorationem: cuius etiam ipſemet ſymbolorum auctor iure meritiſſimo exortem facit eum, qui neq; ſanctè neque animo concordi ſacram ſecum cœnam frequẽtarat; docens ſimul ſanctè Deoque conſentaneè ſynceri ad diuina animi acceſſionem, ſimilitudinis quoque diuinæ participes efficere ſic accedentes.

* inutilis

Quid ſacra cantica & lectiones.

Quid panis & calicis participatio.

§. 2. Ceterùm his, quæ adytorum veſtibulis eleganter appicta rudiorum contemplationi ſatis ſunt, relictis,

TEXTVS S. DIONYSII.

lictis, ab effectis ad causas progrediemur, deinde sacram nostram Synaxim, atque consentaneam rerum spiritalium, Iesu prælucente, contemplationem cõspicabimur, beatam primitiuorum pulchritudinem præclarè prorsus euibrantẽ.

Precatio ad Venerabile Sacramentum.

Sed tu, ô diuinissimum ac sacrosanctum Sacramentum, circumpositâ tibi symbolicè ænigmatum operimenta reuelans, liquidò nobis manifesteris, mentalesque nostros obtutus singulari & apertâ luce adimpleto.

§.3. Sancta itaque nobis penetranda censeo, vt, intelligentiâ primi simulacri spiritaliter detectâ, deiformem eius pulchritudinem intueamur, nec non Antistitem diuino prorsus modo videamus à diuino altari ad extremitates vsque templi cum odoris suauitate prodeuntem, adque illud ipsum perficiendi Sacri causâ reuertentẽ.

Deus in se immutatus se alijs communicat;

Summa siquidem illa Deitas, quæ beatitudine cunctis antecellit, etsi diuinâ benignitate ad participum sui sacrorum prodeat communionem, nequaquam tamen à naturæ suæ stabili firmoque statu discedit; sed dum omnibus qui diuinam similitudinem præseferunt pro cuiusque captu collucet, secum verè manet, neque quidquam ab idemtitate suâ dimouetur:

ita etiam Venerabile Sacramentum;

simili ratione diuinum illud Synaxeos Sacramentũ, quamuis singulare habeat ac simplex compactumq; principium, quod symbolorũ varietate benignè multiplicetur, & ad omnem Dei-principalem se extendat effigiationem; vniformiter tamen

περὶ θεωρίαν αὐτάρκη καταλείποντες, εἰσέλθωμεν ἀπὸ τῶν αἰτιατῶν εἰς τὰ αἴτια, καὶ τὴν ἱερὰν ἡμῶν Σύναξιν, καὶ τὴν εὐπρεπῆ τῶν νοητῶν, Ἰησοῦ φωταγωγοῦντος, ὀψόμεθα θεωρίαν, τὸ μακάριον ἀποστίλβουσαν ἐμφανῶς τῶν ἀρχετύπων κάλλος. Ἀλλ' ὦ θειοτάτη καὶ ἱερὰ τελετή, τὰ περικείμενά σοι συμβολικῶς ἀμφιέσματα τῶν αἰνιγμάτων ἀποκαλυψαμένη, τηλαυγῶς ἡμῖν ἀναδείχθητι, καὶ τὰς νοερὰς ἡμῶν ὄψεις ἑνιαίου καὶ ἀπερικαλύπτου φωτὸς ἀποπλήρωσον.

Δεῖ δὴ οὖν ἡμᾶς ἐντὸς παρεῖναι τῶν πανιέρων, οἴομαι, τὸ νοητὸν τοῦ πρώτου τῶν ἀγαλμάτων ἀπογυμνώσαντας, εἰς τὸ θεοειδὲς αὐτοῦ κάλλος ἐνατενίσαι, καὶ τὸν Ἱεράρχην ἐνθέως ἰδεῖν ἀπὸ τοῦ θείου θυσιαστηρίου μέχρι τῶν ἐσχάτων τοῦ ἱεροῦ μετ' εὐοσμίας ἰόντα, καὶ πάλιν ἐπ' αὐτῷ τελειωτικῶς ἀποκαθιστάμενον. Ἥ τε γὰρ ὑπὲρ πάντα θεαρχικὴ μακαριότης, εἰ καὶ ἀγαθότητι θείᾳ πρόεισιν εἰς τὴν τῶν μετεχόντων αὐτῆς ἱερῶν κοινωνίαν, ἀλλ' οὐκ ἔξω τῆς κατ' οὐσίαν ἀκινήτου στάσεως καὶ ἱδρύσεως γίγνεται· καὶ πᾶσι δὲ τοῖς θεοειδέσιν ἀναλόγως ἐλλάμπει, περὶ ἑαυτὴν ὄντως οὖσα, καὶ τῆς οἰκείας ὅλως οὐ παρακινουμένη ταυτότητος· ὡσαύτως ἡ θεία τῆς Συνάξεως τελετή, κἂν ἑνιαίαν καὶ ἁπλῆν ἔχουσα καὶ συνεπτυγμένην ἀρχήν, εἰς τὴν ἱερὰν ποικιλίαν τῶν συμβόλων φιλανθρώπως πληθύνηται, καὶ μέχρι πάσης χωρεῖ τῆς θεαρχικῆς εἰκονογραφίας, ἀλλ' ἑνοειδῶς ἐκ τούτων αὖ-

θις

θις εἰς τὴν οἰκείαν μονάδα συνάγεται, καὶ ἑνοποιεῖ τοὺς ἐπ' αὐτὴν ἱερῶς ἀναγομένους. Κατὰ τὸν αὐτὸν δὴ θεοειδῆ τρόπον ὁ θεῖος Ἱεράρχης, εἰ καὶ τὴν ἑνιαίαν αὐτοῦ τῆς Ἱεραρχίας ἐπιστήμην ἀγαθοειδῶς εἰς τοὺς ὑποβεβηκότας κατάγει, τοῖς τῶν ἱερῶν αἰνιγμάτων πλήθεσι χρώμενος· ἀλλ' αὖθις, ὡς ἀπόλυτος καὶ τοῖς ἥττοσιν ἀκατάσχετος, εἰς τὴν οἰκείαν ἀρχὴν ἀμειώτως ἀποκαθίσταται, καὶ τὴν εἰς τὸ ἓν ἑαυτοῦ νοερὰν ποιησάμενος εἴσοδον, ὁρᾷ καθαρῶς τοὺς τῶν τελουμένων ἑνοειδεῖς λόγους, τῆς ἐπὶ τὰ δεύτερα φιλανθρώπου προόδου τὸ πέρας, τὴν εἰς τὰ πρῶτα θειοτέραν ἐπιστροφὴν ποιούμενος.

Ἡ δὲ τῶν Ψαλμῶν ἱερολογία, συνουσιωμένη πᾶσι σχεδὸν τοῖς ἱεραρχικοῖς μυστηρίοις, οὐκ ἔμελλεν ἀπηρτῆσθαι τοῦ πάντων ἱεραρχικωτάτου· πᾶσα μὲν γὰρ ἱερὰ καὶ ἁγιόγραφος δέλτος, ἢ τὴν ἐκ Θεοῦ τῶν ὄντων γενητὴν ὕπαρξίν τε καὶ διακόσμησιν, ἢ τὴν νομικὴν Ἱεραρχίαν καὶ πολιτείαν, ἢ τῶν τοῦ θείου λαοῦ κληροδοσιῶν διανεμήσεις καὶ κατασχέσεις, ἢ κριτῶν ἱερῶν, ἢ βασιλέων σοφῶν, ἢ ἱερέων ἐνθέων σύνεσιν, ἢ παλαιῶν ἀνδρῶν ἐν ποικιλίᾳ καὶ πλήθει τῶν* ἀνιόντων ἀκατάσειστον ἐν καρτερίᾳ φιλοσοφίαν, ἢ τῶν πρακτέων σοφὰς ὑποθήκας, ἢ θείων ἐρώτων ᾄσματα καὶ ἐνθέους εἰκόνας, ἢ τῶν ἐσομένων τὰς ὑποφητικὰς προαναρρήσεις, ἢ τὰς ἀνδρικὰς Ἰησοῦ θεουργίας, ἢ τὰς τῶν αὐτοῦ μαθητῶν θεοπαραδότους καὶ θεομιμήτους πολιτείας καὶ ἱερὰς δι-

*ἀνιώντων, ita 2. V.

ad propriã ſe denuò colligit vnitatem, atque in vnum redigit eos qui ad ſe ſanctè ducuntur. Pari prorſus eoque Deiformi modo diuinus Pontifex, etſi ſingularem diuini principatus ſui ſcientiam in ſubditos beneuolè deriuet, dum ænigmatum ſacrorũ varietatibus vtitur; rurſus tamen, ceu abſolutus à rebus inferioribus ac liber, ad proprium principium ſuum integrè reuertitur, ſpiritalique ſuo in vnum interitu perfecto, ſingulares iſtas Sacramentorum rationes purâ mente cernit, dum benigni humanique ſui ad inferiora progreſſus finem diuiniorem ad prima facit reuerſionem.

ita quoque Pontifex ſuo modo.

§. 4. *Quid Scripturæ lectiones.*

Pſalmorum porrò ſacra modulatio, quæ myſteriis hierarchicis ferè omnibus quaſi ſubſtantialis coniungitur, ab omnium ſanctiſſimo nequaquam erat diuellenda: omnis namque ſacræ Scripturæ textus vel conditam à Deo rerum ſubſtantiam ac diſpoſitionem, vel legalem Hierarchiam ac politiam, vel hereditatum diuini populi diſtributiones ac poſſeſſiones, vel ſacrorum Iudicum Regúmve ſapientum atque Sacerdotum diuinorum prudentiam, vel priſcorum virorum in triſtium varietate ac multiplicitate caſuum inconcuſſam tolerantiæ philoſophiam, aut ſapientes rerum gerendarum præceptiones, vel amorum cantica diuinorum imagineſque diuinas, vel præſagas futurorum prædictiones, vel viriles Ieſu Dei operationes, eiuſdemque Diſcipulorũ diuinitus tradita & ad Deum imi-

Argumẽta librorũ ſacræ Scripturæ ſunt: Geneſis, Exodus, Leuiticus, Deuteronomion, Ioſue, Iudicum, Regum, Paralipomenon, Iob, Prouerbia, Eccleſiaſticus, Cantica, Prophetæ, Euangelia, Acta Apoſtolorum,

Apocalypsi.

imitandum conducentia vitæ instituta doctrinasque sacras, arcanámve illam mysticamque visionem Discipuli dilecti diuinique, atque supermundialē IESV Theologiam iis qui diuinitatis capaces sunt exposuit, sacrisque cùm Sacramentorum tum ad Dei formam consequendam aptis institutionibus confirmauit. Sacra verò diuinorum carminum descriptio, cui cūcta Dei opera eloquiaque celebrare, nec non sacros virorum diuinorum cùm sermones tum actiones collaudare propositum est, generalem introducit rerum diuinarum cantum & expositionem, dum ad omnia sacri ordinis Sacramenta, siue suscipienda siue tradenda, aptum illis animum adfert qui ipsum diuinè ac sanctè recitant.

§. 5. *Psalmos & Scripturas animos componere.*

Vbi ergo illa quæ res quasque sacras complectitur hymnorum modulatio animæ nostræ affectiones, & ea sacra quæ paulò pòst celebranda sunt, ritè disposuit, diuinorumque carminum concentu cùm ad res diuinas, tum ad semetipsas mutuamque consensionem, ceu vnicâ concordique choreâ sacrorum coaptauit, ea quæ in spirituali Psalmorum modulatione cōcisa sunt & magis obumbrata, per plures & manifestiores figuras atque explicationes sacratissimis scripturisticarum compositionum lectionibus dilatantur. In his sacrarum rerum contemplator vniformem quamdam atque singularem aduertet conspirationem, vtpote ab vno eodemq; Dei-principali spiritu concitatam: vnde iure merito in orbe post antiquiorem illam traditionem, Testa-

δασκαλίας, ἢ τὴν κρυφίαν καὶ μυστικὴν ἐποψίαν τοῦ τῶν μαθητῶν ἀγαπητοῦ καὶ θεσπεσίου, ἢ τὴν ὑπερκόσμιον Ἰησοῦ θεολογίαν τοῖς πρὸς θέωσιν ἐπιτηδείοις ὑφηγήσατο, καὶ ταῖς ἱεραῖς τῶν τελετῶν καὶ θεοειδέσιν ἀναγωγαῖς συνεῤῥίζωσεν. Ἡ δὲ τῶν θείων ᾠδῶν ἱερογραφία, σκοπὸν ἔχουσα τὰς θεολογίας τε καὶ θεουργίας ἁπάσας ὑμνῆσαι, καὶ τὰς τῶν θείων ἀνδρῶν ἱερολογίας τε καὶ ἱερουργίας αἰνέσαι, καθολικὴν ποιεῖται τῶν θείων ᾠδὴν καὶ ἀφήγησιν, πρὸς πάσης ἱεραρχικῆς τελετῆς ὑποδοχὴν καὶ μετάδοσιν, ἕξιν οἰκείαν ἐμποιοῦσα τοῖς ἐνθέως αὐτὴν ἱερολογοῦσιν.

Ὅταν οὖν ἡ περιεκτικὴ τῶν πανιέρων ὑμνολογία τὰς ψυχικὰς ἡμῶν ἕξεις ἐναρμονίως διαθῇ, πρὸς τὰ μικρὸν ὕστερον ἱερουργηθησόμενα, καὶ τῇ τῶν θείων ᾠδῶν ὁμοφωνίᾳ τὴν πρὸς τὰ θεῖα καὶ ἑαυτοὺς καὶ ἀλλήλους ὁμοφροσύνην, ὡς μιᾷ καὶ ὁμολόγῳ τῶν ἱερῶν χορείᾳ νομοθετήσῃ, τὰ συντετμημένα καὶ συνεσκιασμένα μᾶλλον ἐν τῇ νοερᾷ τῶν Ψαλμῶν ἱερολογίᾳ, διὰ πλειόνων καὶ σαφεστέρων εἰκόνων καὶ ἀναῤῥήσεων εὐρύνεται, ταῖς ἱερωτάταις τῶν ἁγιογράφων συντάξεων ἀναγνώσεσιν. Ἐν ταύταις ὁ βλέπων ἱερῶς, ὄψεται τὴν ἑνοειδῆ καὶ μίαν σύμπνοιαν, ὡς ὑφ' ἑνὸς τοῦ θεαρχικοῦ Πνεύματος κεκινημένην· ὅθεν εἰκότως ἐν κόσμῳ μετὰ τὴν ἀρχαιοτέραν παράδοσιν ἡ καινὴ Διαθήκη

κηρύσσεται,

 TEXTVS S. DIONYSII.

κηρύσσεται, τῆς ἐνθέου καὶ Ἱεραρχικῆς τάξεως ἐκεῖνο οἶμαι δηλούσης, ὡς ἡ μὲν ἔφη τὰς ἐσομένας Ἰησοῦ θεουργίας, ἡ δὲ ἐτέλεσε· καὶ ὡς ἐκείνη μὲν ἐν εἰκόσι τὴν ἀλήθειαν ἔγραψεν, αὕτη δὲ παροῦσαν ὑπέδειξε· τῶν γὰρ ἐκείνης προαναῤῥήσεων ἡ κατὰ ταύτην τελεσιουργία τὴν ἀλήθειαν ἐπιστώσατο, καὶ ἔστι τῆς θεολογίας ἡ θεουργία συγκεφαλαίωσις.

Τούτων οἱ μὲν ἀπερισάλπιγκτοι καθόλου τῶν ἱερῶν τελετῶν, οὐδὲ τὰς εἰκόνας ὁρῶσιν, ἀναιδῶς ἀπειπάμενοι τὴν σωτηριώδη τῆς θεογενεσίας μύησιν, καὶ τοῖς Λογίοις ὀλεθρίως ἀντιφθεγξάμενοι τὸ, Ὁδούς σου εἰδέναι οὐ βούλομαι. Τοὺς δὲ Κατηχουμένους, ἐνεργουμένους τε, καὶ τοὺς ἐν μετανοίᾳ ὄντας, ὁ τῆς ἁγίας Ἱεραρχίας θεσμὸς ἐφίησι μὲν ἐπακοῦσαι τῆς ψαλμικῆς ἱερολογίας, καὶ τῆς ἐνθέου τῶν πανιέρων Γραφῶν ἀναγνώσεως· εἰς δὲ τὰς ἑξῆς ἱερουργίας καὶ θεωρίας οὐ συγκαλεῖται τούτους, ἀλλὰ τοὺς τελείους τῶν τελεσιουργῶν ὀφθαλμούς. Ἔστι γὰρ ἡ θεοειδὴς Ἱεραρχία, δικαιοσύνης ἱερᾶς ἀνάπλεως, καὶ τὸ κατ' ἀξίαν ἑκάστῳ σωτηρίως ἀπονέμει τὴν ἐναρμόνιον ἑκάστου τῶν θείων μέθεξιν ἐν συμμετρίᾳ καὶ ἀναλογίᾳ κατὰ καιρὸν ἱερῶς δωρουμένη. Ἡ μὲν οὖν ἐσχάτη τοῖς Κατηχουμένοις ἀπονενέμηται τάξις, εἰσὶ γὰρ ἀμέθεκτοι καὶ ἀμύητοι παντὸς ἱεραρχικοῦ τελεστηρίου, μηδὲ τὴν κατὰ θείαν ἀπότεξιν ἔνθεον ἐσχηκότες ὕπαρξιν, ἀλλ' ἔτι

mentum nouum promulgatur, diuino ſcilicet Hierarchicoq; ordine, meâ quidem ſententiâ, per hoc declarante, vti vetus Teſtamẽtum futura prædixerit, nouum verò ipſamet diuina IESV opera exhibuerit; atq; illud quidem quaſi quibuſdam imaginibus depinxerit veritatem, hoc verò præſentem demonſtrarit, cùm prædictionum eius veritatem effectus huius comprobauit, diuinorumque ſermonum operatio diuina ſit ſumma.

Nouum Teſtamentum quid.

Qui quidem horum Sacramentorum penitus ignari ſunt, illi ne imagines quidem cernunt, quòd nimirum impudenter ſalutarem diuinæ generationis diſciplinam repudient, Eloquiiſque ſacris exitioſè prorſus obſtrepant, *Vias tuas ſcire nolo.* Porrò Catechumenos & energumenos, eoſq; qui pœnitentiâ ducuntur, ſacroſanctæ Hierarchiæ mos patitur quidem audire ſacram pſalmodiã, diuinamque ſacrarum Scripturarum recitationẽ; verùm ad ea quæ deinceps ſequuntur Sacrificia ſpectaculaque nequaquam hos conuocat, ſed perfectos perfectorum oculos. Eſt enim Deiformis ille ordo ſacer ſanctæ plenus iuſtitiæ, nec non ſalubriter cuique conſentaneam pro merito cuiuſque rerum diuinarum tribuit participationem, & iuxta captum modumque ſingulorum ſuo tempore ſanctè concedit. Ac poſtremus quidem ordo Catechumenis tributus eſt, quòd exortes ſint & ignari omnis Hierarchicæ perfectionis, neque dum per diuinam natiuitatem diuinum ſtatum aſ-

§. 6. *Qui & qualiter à Venerabili Sacramento arceantur, & quis ordo inter illos.*

secuti, paternis adhuc eloquiis foueantur, viuificisque formis ad beatum illum, qui ex diuinâ generatione proficiscitur, vitæ lucisque principem progressum, efformentur. *Exemplum.* Quemadmodum itaque carnales liberi, si imperfecti & informes, obstetricis curâ destituti, ante tempus excidant, vt abortiui & abortus, natiuitatis ac vitæ lucisque exortem in terram lapsum habituri sunt: neque quisquam qui rectè iudicabit id quod apparet intuendo, dixerit in lucem ipsos esse editos, quòd sint ab alui tenebris liberati, (dicet enim Medicina, perita corporum præses, lucem vim suam egerere in illa quæ lucis sunt capacia:) sic sacrorum sapiens disciplina primùm quidem ipsos introductorio formandi & viuificandi vim habentium eloquiorum cibo fouet, vbi verò statum eorum diuinæ regenerationi aptum absoluerit, tum demum iis salubriter ordine concedit rerum luciformium & perficientium communicationem: nunc verò velut ab imperfectis perfecta secernit, cùm decoris sacrorum tum Catechumenorum educationis ac vitæ curam gerens, iuxta deiformem ordinis Hierarchici constitutionem.

§. 7. Energumeni impuri. Porrò energumenorum turba immunda quidem est & ipsa, verumtamen secundum locum superiorem à Catechumenorum extremitate obtinet. Neque enim penitus profano, diuinorumque Sacramentorum prorsus exorti par & æquale duxerim id quod in aliquam sacratissimorum

πρὸς τῶν πατρικῶν λογίων παιδευόμενοι, καὶ ζωοποιοῖς μορφώμασι διαπλαττόμενοι πρὸς τὴν ἐκ θεογενεσίας ἀρχίζωον καὶ ἀρχίφωτον καὶ μακαρίαν προσαγωγήν. Ὥσπερ οὖν, εἰ ἀτέλεστα καὶ ἀμόρφωτα προεκπέσοι τὰ κατὰ σάρκα βρέφη τῆς οἰκείας μαιεύσεως, ὡς ἀμβλωθρίδια καὶ ἐκτρώματα, τὴν ἀγέννητον καὶ ἄζωον καὶ ἀφώτιστον ἐπὶ γῆς ἀπόπτωσιν ἕξει, καὶ οὐκ ἄν τις εὖ φρενῶν εἴποι, πρὸς τὸ φαινόμενον ἀποσκοπῶν, ἐπὶ τὸ φῶς αὐτὰ προαχθῆναι, τοῦ κατὰ γαστέρα σκότους ἀπαλλαγέντα. (Φαίη γὰρ ἂν ἡ τῶν σωμάτων ἐπιστημονικὴ προστάτις Ἰατρική, τὸ φῶς ἐνεργεῖν εἰς τὰ δεκτικὰ τοῦ φωτός·) οὕτω καὶ τῶν ἱερῶν ἡ πάνσοφος ἐπιστήμη, πρῶτα μὲν αὐτοὺς τῇ τῶν μορφωτικῶν καὶ ζωοποιῶν λογίων εἰσαγωγικῇ τροφῇ μαιεύεται· τελεσφορήσασα δὲ τὴν πρὸς θεογενεσίαν αὐτῶν ὑπόστασιν, ἐνδίδωσι σωτηρίως αὐτοῖς ἐν τάξει τὴν πρὸς τὰ φωτοειδῆ καὶ τελεσιουργικὰ κοινωνίαν· νῦν δὲ ὡς ἀτελέστων ἀποδιαστέλλει τὰ τέλεια, τοῦ τε εὐκοσμίας τῶν ἱερῶν προμηθουμένη, καὶ τοῦ τῶν Κατηχουμένων ἐν θεοειδεῖ τῶν ἱεραρχικῶν τάξει μαιεύσεως καὶ ζωῆς.

Ἡ δὲ τῶν ἐνεργουμένων πληθὺς ἀνίερος μὲν καὶ αὐτή, δευτέρα δὲ πρὸς τὸ ἄνω τοῦ τῶν Κατηχουμένων ἐστὶν ἐσχατιᾶς. Οὐδὲ γὰρ ἴσον, ὡς οἶμαι, τοῦ παντελῶς ἀμυήτου, καὶ τῶν θείων τελετῶν ἄκρως ἀκοινωνήτου, τὸ μετουσίαν τινα τῶν

TEXTVS S. DIONYSII.

ἱερωτάτων ἐχηκὸς τελεσιουργιῶν, ἐπεὶ δὲ ταῖς ἐναντίαις ἢ θέλξεσιν ἢ ταραχαῖς ἐνισχημένον, ἀλλὰ καὶ πρὸς αὐτοὺς ἡ τῶν πανιέρων θέα καὶ κοινωνία συστέλλεται, καὶ μάλα γε εἰκότως. Εἰ γάρ ἐστιν ἀληθὲς, ὡς ὁ καθόλου θεῖος ἀνὴρ, ὁ τῶν θείων ἄξιος κοινωνὸς, ὁ πρὸς τὸ οὗ κατ' αὐτὸν θεοειδοῦς ἄκρον ἐν παντελέσι καὶ τελειωτικαῖς θεώσεσιν ἀνηγμένος, οὐδὲ τὰ τῆς σαρκὸς ἐνεργήσει παρὰ τὰ κατὰ φύσιν ἀναγκαιότατα, καὶ τοῦτο εἰ τύχοι παρέργως, ναὸς δὲ ἅμα καὶ ὀπαδὸς ἐν τῇ κατ' αὐτὸν ἀκροτάτῃ θεώσει τοῦ θεαρχικοῦ Πνεύματος ἔσται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἐνιδρύων· οὐκ ἂν ὁ τοιοῦτός ποτε πρὸς τῶν ἐναντίων ἐνεργηθείη φαντασιῶν ἢ δειμάτων, γελάσεται δὲ αὐτὰ, καὶ προσιόντα καταπαλαίσει, καὶ ἐκδιώξεται, καὶ δράσει μᾶλλον ἢ πείσεται, καὶ πρὸς τῷ τῆς οἰκείας ἕξεως ἀπαθεῖ καὶ ἀνενδότῳ, καὶ ἑτέροις ἰατρὸς ὀφθήσεται τῶν τοιούτων ἐνεργημάτων. Οἶμαι δὲ ἐγὼ πρὸς τούτῳ, μᾶλλον δὲ οἶδα σαφῶς, ὡς ἡ τῶν ἱεραρχικῶν ἀμιγεστάτη διάκρισις πρὸ τούτων οἶδεν ἐνεργουμένους ἐναγεστάτην ἐνέργειαν, ὅσοι τῆς θεοειδοῦς ἀποστάντες ζωῆς, ὁμόφρονές τε καὶ ὁμότροποι τοῖς ὀλεθρίοις γίγνονται δαίμοσι, τὰ μὲν ὄντως ὄντα, καὶ ἀθανάτως κτητὰ, καὶ αἰωνίως ἡδέα, δι' ἐσχάτην καὶ ἑαυτοῖς ὀλέθριον ἀνοησίαν ἀποστρεφόμενοι· τὴν πρόσυλον δὲ καὶ πολυπαθεστάτην ἀλλοίωσιν, καὶ τὰς ὀλλυμένας καὶ φθοροποιοὺς ἡδονὰς, καὶ τὴν ἀβέβαιον

Sacramentorum partẽ venit, tametſi contrariis etiamnum illecebris perturbationibúſve implicetur; quamquam etiam ipſis rerum ſacratiſſimarum aſpectus communioque ſubtrahitur, & quidem iure merito. Nam ſi verum ſit, diuinum prorſus virum diuinorum communione dignum, pro ſuo modulo ad deiformitatis faſtigium perfectiſſimis perfectiuiſq; deificationibus euectum, ea quæ carnis ſunt minimè curaturum citra naturæ neceſſitatem, idque, prout vſus fert, obiter, ſed in ſublimiſſimâ illâ quæ ipſi competit deificatione templum ſimul ſpiritus Dei-principalis ſectatoremq; futurum, dum ſimile in ſimil fundat collocatq;: profectò quiſquis eſt eiuſmodi, contrariis numquam imaginationibus terroribuſq; vexabitur, verùm irridebit eos, accedenteſq; profligabit ac perſequetur, agetque magis quàm patietur, & pro affectus ſui impaſſibilitate atque conſtantiâ aliis quoque ſimilium vexationum medicum ſe præbebit. Ceterùm opinor, imò verò compertum habeo, ſinceriſſimum ſacrorum Ordinum iudicium cenſere, præ iſtis deteſtabiliſſimâ obſidione teneri eos, qui, deiformem vitam deſerentes, ſententiis moribuſque perditis dæmonibus conſentiunt, dum ea quidem quæ & verè ſunt, & immortaliter poſſidentur, atque æternaliter delectant, per extremam ſibique pernicioſam dementiam auerſantur; materialem verò pluribuſque perturbationibus obnoxiam immutationem, perditaſque ac corruptrices voluptates, & inſtabilem,

Peccatores impuriores dæmoniacis.

Ἡ δὲ τῶν Ψαλμῶν.] Τί οἱ Ψαλμοί. Καὶ σημείωσαι τὸ Συνουσιωμένη, ἀλλὰ τὸ Σχεδὸν προσέθηκεν· οὐ γὰρ ἀλλήλοις ἥνωται ταῦτα κατ' οὐσίαν, ἀλλὰ τῷ πρὸς ἕνα σκοπὸν τὰ πάντα συντελεῖν, τουτέστιν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν. Ἔφη τὸ Συνουσιωμένη, ὅθεν εὐθὺς ἐπήγαγε τὸ Σχεδόν, κολάζων τὴν ἀπὸ τῆς λέξεως ἐναντίωσιν. Κατωτέρω δὲ μίαν ἔμπνευσίν φησι, τουτέστι μίαν σύμπνοιαν, ὃ δηλοῖ τό, ἕνα πάντων εἶναι σκοπόν.

VT SECVNDVM AFFECTVM.] Secundùm affectum hîc ſignificat ſecundùm cognitionem, id eſt, vt animo ita conſtitutus ſit, vt non ſecundùm corpus dumtaxat, ſed etiam per fidẽ ex affectu ac ſpiritali ſenſu accedat.

AB EFFECTIS.] Id eſt, ab iis quæ viſibiliter geruntur, & ad inuiſibilia myſticaque, quæ cauſæ ſunt & exemplaria eorum quæ ſub ſenſum cadunt. Porrò * cauſæ dicuntur eæ, quæ aliunde cauſam habent, vt quoquo modo ſint: vel ab effectis ad cauſas, id eſt, à ſenſilibus ſymbolis ad intellectilia ſpiritaliaque, ſiue ab imperfectioribus ad perfectiora, velut à figuris ad imaginem, & ab hac ad veritatẽ. Vmbra enim ſunt illa, quæ ſunt veteris Teſtamenti; imago ea, quæ noui; veritas, ſtatus rerum futurarum. §.2.

* Pach. effectus

TVM SACRÆ.] κᾆτα accentu in pænultimâ. ſignificat verò Etiam tunc.

SIMVLACRORVM.] Simulacra autem vocat imagines rerum inuiſibilium ac myſticarum, ſiue illa quæ ſymbolicè geruntur. Primum porrò horum Synaxeos Sacramentum appellauit, cuius intelligentiam, ſiue id quod per contemplationem ſignificatur, poſtulat explanari. §.3. *Simulacra quid.*

ILLA ENIM QVÆ CVNCTIS ANTECELLIT.] Ecce vnum contemplandi modum Capitis præſentis.

NON EXTRA.] Nota, ſtatum eſſentiæ immobilem exiſtere, & Epiſcopum eſſe typum Dei. Nota item, ad tres modos reuocari illa quæ ad incenſatiõẽ ſpectant, dum nempè Pontifex ab altari inchoat, & totum templum circuit, & denuò redit ad altare. *Incenſum quid.*

SIMILITER.] Alter modus.

PARI MODO DIVINVS.] Tertius modus propoſitæ contemplationis, quomodo etiam in Epiſcopo ab vno multiplicetur, cùm ipſe tamen rebus ſequioribus non detineatur, id eſt, deterioribus non communicet.

PORRO PSALMORVM.] Quid Pſalmi. Vbi obſerua vocem *conſubſtantiata*, cui etiam *ferè* addidit: neque enim hæc per ſubſtantiam coniuncta ſunt, ſed eò quòd ad vnum omnia ſcopum pertinent, id eſt ad hominum ſalutem. Vnde cùm dixit *conſubſtantiata*, ſtatim ſubiunxit *ferè*, dictionis repugnantiam corrigendo. Paulò autem infrà ait vnam inſpirationem, id eſt, conſpirationem, quod indicat vnum eſſe omnium finem. §.4. *Pſalmi cur in omnibus ſacris adhibeantur.*

SCHOLIA S. MAXIMI.

OMNIS NAMQVE SACRÆ.] Omnium librorum veteris Testamenti per compendium commemoratio.

TRISTIVM.] Luctuosorum, vt in Iob.

AMORVM CANTICA.] De amore Canticorum.

AVT VIRILES.] Hîc introducit similiter ea quæ sunt noui Testamenti.

DILECTI ET.] Existimo ipsum dicere Apocalypsim D. Ioannis Euangelistæ, aut eius potiùs Euangelium.

§. 5. CONIVNXERVNT.] Contraxerunt.

DIVINORVM AVTEM.] Psalmorum scopus est, inquit, laudare Deum, verosque Dei famulos ad eiusdem laudes excitandi & in iis continendi vim habent; quæ, inquit, necessariò adhibetur omnibus iis quæ Ecclesiastico ritu geruntur, eò quòd psallentibus constantem eorum quæ psalluntur memoriam ingeneret.

DIVINAS OPERATIONES.] Magnitudines.

DIVINORVMQVE CARMINVM.] Nota etiam, Psalmodiæ concentum esse, disciplinâ concordiæ cum Deo ac cum semetipso.

EA QVÆ CONCISA SVNT.] Quoniam ea quæ concisa, hoc est, obscura sunt, explicantur iis symbolis quæ perficiuntur; hoc enim significat verbum illud *dilatantur*. Nota verò, Patrem dicere, ea quæ in Psalmis adumbratè dicuntur, in Scripturarum lectione dilatari.

IN HIS.] In his enim, nempe Scripturis, accuratus cōtemplator intelligit vnum eumdemque spiritum omnes fuisse prolocutum.

PROMVLGATVR.] Tamquam quod per se vetus explanat.

VTI ILLVD QVID DIXERIT, &c.] Ita nimirum vt vetus quidem Testamentum dixerit, nouum verò perfecerit.

THEOLOGIÆ.] Nota, vt veterem Scripturam vocauerit *Dei sermonem*, nouam verò *Dei operationem*.

§. 6. PENITVS HORVM.] Qui penitus, inquit, horum rudes ac ignari manere suâ sponte statuerunt.

DIVINÆ GENERATIONIS.] Id est sancti Baptismi.

Πᾶσα μὲν γὰρ ἱερά.] Τῶν τῆς παλαιᾶς βιβλίων κατ' ἐπιδρομὴν ἐπίμνησις.

Τῶν ἀνιώντων.] Λυπούντων, ὡς ἐπὶ τοῦ Ἰώβ.

Ἐρώτων ᾄσματα.] Περὶ τοῦ ἔρωτος τῶν Ἀισμάτων.

Ἢ τὰς ἀνδρικάς.] Ἐντεῦθεν ὁμοίως τὰς νέας εἰσάγει.

Ἀγαπητοῦ καί.] Νομίζω ὡς τὴν Ἀποκάλυψιν τοῦ θείου Ἰωάννου δηλοῖ, ἢ τὸ Εὐαγγέλιον αὐτοῦ, ὃ καὶ μᾶλλον.

Συνερρίζωσεν.] Συνείλκυσεν.

Ἡ δὲ τῶν θείων.] Ὁ σκοπὸς τῶν Ψαλμῶν ἐστι, φησὶ, τὸ ὑμνῆσαι Θεόν τε, καὶ τοὺς αὐτοῦ γνησίους θεράποντας ὑπαγορευτικὴν τῶν τοιούτων καὶ συνεκτικὴν ἐχόντων δύναμιν· ἥτις, φησὶν, ἀναγκαίως ἐν πᾶσι τοῖς ἱερατικῶς τελουμένοις παραλαμβάνεται, ἔμμονον τὴν τῶν Ψαλμῶν μνήμην ἐμποιοῦσα τοῖς ψάλλουσι.

Θεουργίας.] Μεγαλειότητας.

Καὶ τῇ τῶν θείων ᾠδῶν.] Σημείωσαι, ὅτι τὸ τῆς ψαλμῳδίας σύμφωνον, ὁμοφροσύνης τῆς πρὸς Θεὸν καὶ ἑαυτοὺς ὑπάρχει διδασκαλία.

Συντετμημένα καί.] Ὅτι τὰ συντετμημένα, τουτέστι τὰ ἀσαφῆ, διὰ τῶν ἐπιτελουμένων συμβόλων σαφηνίζεται, τοῦτο γὰρ δηλοῖ τὸ Εὐρύνεται. Σημείωσαι δὲ, ὅτι τὰ συνεσκιασμένως ἐν τοῖς Ψαλμοῖς λεγόμενα, διὰ τῆς τῶν Γραφῶν ἀναγνώσεως σαφηνίζεσθαι λέγει ὁ Πατήρ.

Ἐν ταύταις.] Ἐν ταύταις γὰρ, ταῖς Γραφαῖς δηλονότι, ὁ ἀκριβῶς ἐνορῶν, γινώσκει ὅτι ἓν καὶ τὸ αὐτὸ πνεῦμα πάσας ἐλάλησε.

Κηρύσσεται.] Ὡς σαφηνίζουσα δι' ἑαυτῆς τὴν παλαιάν.

Ἡ μὲν, ἔφη, τάς.] Ὡς ἡ μὲν ἡ παλαιὰ Διαθήκη ἔφη, ἡ δὲ νέα ἐτέλεσε.

Τῆς θεολογίας.] Σημείωσαι, ὅτι τὴν παλαιὰν Γραφὴν, θεολογίαν καλεῖ· τὴν δὲ καινὴν, θεουργίαν.

Καθόλου τῶν.] Οἱ καθόλου ἀκατήχητοι καὶ ἀνήκοοι τούτων μεῖναι ἑλόμενοι ἑκουσίως.

Τῆς θεογενεσίας.] Τουτέστι, τοῦ ἁγίου Βαπτίσματος.

Τοὺς δὲ Κατηχουμένους.] Περὶ τῶν Κατηχουμένων, καὶ ἐνεργουμένων, καὶ ἐν μετανοίᾳ ὄντων, καὶ τίνων μετέχουσιν.

PORRO CATECHVMENOS.] Agit de Catechumenis, & energumenis, & pœnitentibus, & quarum rerum participes existant.

Ἡ μὲν

Ἡ μὲν οὖν ἐσχάτη.] Ὅτι οἱ Κατηχούμενοι, ἔσχατοί εἰσιν.

Ἀμέθεκτοι.] Ἀμέτοχοι.

Μαιευόμενοι.] Ἀναγεννώμενοι.

Ἀμβλωθρίδια.] Νεκρότοκα.

Ἀνίερος μὲν καὶ αὐτή.] Ἀτελείωτος. Σημείωσαι, ὅτι τοῖς ἐνεργουμένοις κατατάττει καὶ τοὺς τοῖς σωματικοῖς θελκτηρίοις ἀμετανοήτως ἐπιμένοντας, οἷον τοὺς πόρνους, τοὺς φιλοθεάμονας, καὶ τοὺς τὰ παραπλήσια μετιόντας, οὓς ἐξονομάζων ὁ θεῖος Ἀπόστολος ἐπιφέρει, Τῷ τοιούτῳ μηδὲ συνεσθίειν. Ταῦτα καὶ ἐν τοῖς ἑξῆς μᾶλλον σαφηνοῖ. Ἰστέον δὲ, ὅτι ἡ ἀκρίβεια αὕτη νῦν περὶ τῶν τοιούτων διαστολῆς τε καὶ διαστάσεως οὐ γίνεται.

Ὁ τοιοῦτός ποτε.] Σημείωσαι, ὅτι ὁ Θεῷ ἑνωμένος, οὐκ ἐνεργηθήσεται ὑπὸ ἀκαθάρτου πνεύματος.

Ἐναγεστάτην ἐνέργειαν.] Ὅτι ὑπὲρ τοὺς καταπίπτοντας δαιμονῶσιν οἱ ἀσελγεῖς.

Τὰ μὲν ὄντως.] Ὅτι τὰ ὄντως ὄντα, τὰς ἀρετὰς λέγει.

Τὴν προσύλον.] Ἐπειδὴ καὶ ἡ ὕλη πολυπαθῶς ἀλλοιοῦται.

Ἐν τοῖς ἀλλοτρίοις.] Σημείωσαι, ὅτι ἀλλότρια ἡμῶν ἐστι τὰ πρὸς ἁμαρτίαν· οὐ γὰρ φυσικὴ ἡμῶν ἐστιν ἡ ἁμαρτία, ἀλλ' ἡ εἰς πᾶν ἔργον ἀγαθὸν ἐπιτηδειότης, κατὰ τὸν Ἀπόστολον, καὶ τὸ ἐν Ψαλμοῖς, Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἔνθεν νοεῖς καὶ τὸ εἰρημένον παρὰ Κυρίου, Εἰ δὲ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ εὑρέθητε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; Διὰ τοῦτο δὲ τὰ ἀλλότρια ταῦτα οὐκ ὄντα λέγεται, οὐ γὰρ τῆς φύσεώς εἰσιν, ἀλλὰ νόθα· τὸ δὲ κατὰ φύσιν πράττειν, ὄν ἐστι καὶ ἡμέτερον. Ἄλλως. Ἀλλότρια ἔφη τὰ κατὰ κόσμον, ὡς οὔ τινος ἰδικῶς, ἀλλ' ἐξ ἄλλων εἰς ἄλλους μεταπίπτοντα, ἢ καὶ ὡς οὐκ οὔσης ἐν τούτοις διὰ παντὸς τῆς ἡμετέρας διαγωγῆς, ἀλλὰ πρὸς ἕτερον βίον ὁρώσης, ἐφ' ᾧ καὶ γεγόναμεν.

Τοῦ λειτουργοῦ.] Τουτέστι, μή τινες τῶν ἐνεργουμένων ἐμπαθῶσιν, ὡς ἑξῆς φησίν.

Ἢ τῶν ἐμπαθῶς.] Ἀπόδειξις ἐναργής.

Ἐπειδὴ τοῦ θείου.] Περὶ τῆς τάξεως τῶν ἀπολυομένων.

Ἀμύητοι.] Οἱ Κατηχούμενοι, οἱ ἀσελγεῖς.

Δείματά τε.] Ἐκτυπώσεών τε χλευάσματα.

Ac postremvs qvidem.] Quoniam Catechumeni postremi sunt. SCHOLIA S. MAXIMI.

Exortes.] Expertes.

Fori.] Renascentes.

Abortivi.] Partus mortui.

Profanvs qvidem et hic.] Seu sacramenti expers. Nota, vt energumenis etiam annumeret eos, qui corporeis illecebris absq; pœnitentiâ immorantur; v.g. scortatores, spectaculorum amatores, quique istiusmodi frequentant, quos diuinus Apostolus recensens subdit, *Cum huiusmodi nec cibum sumere*. hæc etiam in sequentibus magis explanat. Sciendum autem, hîc non poni magnam vim in istiusmodi differentiâ distantiâve. *Libidinosi peiores energumenis.* 1.Cor.5,11.

Qvisqvis est eivsmodi.] Nota, virum Deo vnitum nequaquam ab immundo spiritu exagitandum. §.7.

Detestabilissima obsidione.] Quoniam libidinosi deteriores sunt dæmoniacis.

Qvæ vere svnt.] Quoniam ea quæ verè sunt, virtutes intelligit.

Materialem.] Quoniam etiam materia multipliciter immutatur.

In alienis.] Nota, nobis aliena esse quæ ad peccatum pertinent: non enim peccatum naturæ nostræ congruit, sed, iuxta Apostolum, promptitudo *ad omne opus bonum*; & iuxta illud in Psalmis, *Et ab alienis parce seruo tuo.* Hinc etiam intelliges id quod dictum est à Domino, *Si in alieno fideles* inuenti *non fuistis, quod vestrum est quis dabit vobis?* Idcircò eiam hæc aliena dicuntur non existere, quoniam ad naturam non spectant, sed adulterina sunt; agere verò secundùm naturam, id verè nostrum est. Alio modo. Aliena dixit ea quæ mundi sunt, quòd nullius propriè sint, sed ab aliis ad alios transeant, aut etiam quòd in his nequaquam omnino sita sit nostra viuendi ratio, sed aliam vitam spectet, cuius etiam gratiâ nati sumus. *Peccata nobis aliena sunt.* 2.Tim.2,21. Psal.18,14. Luc.16,12.

Ministri.] Id est, ne quid energumeni patiantur, vt deinceps dicit.

Qvi passionibvs exagitantvr.] Argumentum manifestum est.

Vbi demvm divino.] Agit hîc de ordine eorum qui dimittuntur.

Qvi non svnt initiati.] Vt Catechumeni, libidinosi.

Qvi terroribvs.] Et visionum illusionibus.

SCHOLIA S. MAXIMI.

PRÆ IGNAVIA.] Nota, vnde dicat fideles aliquos à dæmoniis vexari.

HABITV AMOREQVE.] Nempe per pœnitentiam.

OMNINO IMMACVLATI.] Fideles, qui cum Deo & inter se coniuncti sunt.

GENERALI.] Generale laudis canticum dixit, vel quod ab omnibus canitur, vel pro vniuersali quasi gratiâ offertur.

HVNC AVTEM HYMNVM.] Nota, vt hunc hymnum symbolum & professionem, & gratiarum actionem appellet.

VIDETVR ENIM MIHI.] Ad quem finem spectet symbolum.

SVBSTANTIAM QVIDEM.] Id est, secundùm sermonem Apostoli dicentis, *Omnia enim* * *nostra sunt.* Primigenias autem pulchritudines vocat eas, quæ in diuinâ naturâ conspiciuntur, quarum homines pro captu modoque suo Deus participes effecit; vel certè illud ad imaginem & similitudinem intelligit.

1. Cor. 3, 21

* *vestra.*

PRÆPARATIS.] Scilicet bonis, quæ ab eo nobis præparantur.

PERFECTA.] Nota, quid de Christo dicat, siue de perfectâ eius assumptione humanitatis, etiam contra Apollinarium.

§. 8. DIVINVS PANIS.] Nota, non solùm panem sanctum tectum proponi solitum, verùm etiam Calicem diuinum, quod modò non fit.

DIVINISSIMA VERO SALVTATIO.] Nota cur fieret salutatio.

CVPIDITATES EX.] Nota, cupiditates sensuales esse distractiuas, cum & à Deo & ab inuicem nos diuellant, fortassis etiam à nobis ipsis.

ADVERSVS ÆQVALES INIMICITIÆ.] Id est, cum similibus hominibus.

§. 9. TABVLARVM.] Cur post salutionem sanctorum nomina recitentur.

QVI SANCTE.] Nota, defunctorum solùm tunc solitam fieri commemorationem.

THEOLOGIA DOCET.] Hæc sunt ex Sapientiâ Salomonis; & nota, quoniam hic sanctus Pater etiam illâ vsus est.

Quomodo dicimur aliquid memorari coram Deo. ADVERTE AVTEM.] Hoc ait, quoniam quod in Prophetis dicitur meminisse coram Deo, non ita intelligendũ, quasi Dei memoria renouetur in phantasiâ memoratiuâ, quod mentibus carni alligatis, id est nobis, vsu ve-

Δι᾽ ἀνανδρίαν.] Σημείωσαι, πόθεν φησὶν ὑπὸ δαιμόνων ἐνοχλεῖσθαί τινας τῶν πιστῶν.

Ἕξει καὶ ἔρωτι.] Οἱονεὶ τῇ μετανοίᾳ.

Οἱ πανίεροι.] Οἱ πιστοὶ, καὶ πρὸς Θεὸν καὶ πρὸς ἀλλήλους ἑνωμένοι.

Καθολικῇ.] Καθολικὴν ἔφη τὴν ὑμνολογίαν, ἢ ὡς ὑπὸ πάντων ᾀδομένην, ἢ ὡς ὑπὲρ καθολικῆς χάριτος γινομένην.

Τὸν ὕμνον δὲ τοῦτον.] Σημείωσαι, ὅτι τὸν ὕμνον σύμβολον, καὶ ὁμολογίαν, καὶ εὐχαριστίαν ἐκάλεσε.

Δοκεῖ γάρ μοι.] Πρὸς τί πέρας ὁρᾷ τὸ σύμβολον.

Τὴν μὲν οὐσίαν.] Τουτέστι κατὰ τὸν τοῦ Ἀποστόλου λόγον, εἰπόντος, Πάντα γὰρ ἡμῶν ἐστίν. Ἀρχέτυπα δὲ κάλλη φησὶ, τὰ τῇ θείᾳ φύσει ἐπιθεωρούμενα, ὧν τὴν κατὰ τὸ ἐνδεχόμενον μετουσίαν τοῖς ἀνθρώποις ἐδωρήσατο· ἢ τὸ κατ᾽ εἰκόνα λέγει καὶ καθ᾽ ὁμοίωσιν.

Ἐπισκευαστοῖς.] Τουτέστι, τοῖς ἐξ αὐτοῦ κατασκευαζομένοις ἀγαθοῖς εἰς ἡμᾶς.

Παντελεῖ τῶν.] Σημείωσαι τί φησι περὶ Χριστοῦ, ἤγουν τῆς τελείας αὐτοῦ ἐνανθρωπήσεως, καὶ κατὰ Ἀπολιναρίου.

Ὁ θεῖος ἄρτος.] Σημείωσαι, ὅτι οὐ μόνον ὁ ἅγιος ἄρτος κεκαλυμμένος προετίθετο, ἀλλὰ καὶ τὸ θεῖον ποτήριον, ὅπερ νῦν οὐ γίνεται.

Θεόσδοτος ἀσπασμός.] Σημείωσαι, διὰ τί ὁ ἀσπασμὸς δίδοται.

Ἐπιθυμίας, ἐξ.] Σημείωσαι, ὅτι αἱ ἐμπαθεῖς ἐπιθυμίαι, μερισταί εἰσι, μερίζουσαι ἡμᾶς καὶ τοῦ Θεοῦ καὶ ἀλλήλων, τάχα δὲ καὶ ἑαυτῶν.

Ὁμοειδεῖς ἀπέχθειαι.] Τουτέστι, πρὸς τοὺς ὁμοίους ἀνθρώπους.

Πτυχῶν.] Διὰ τί μετὰ τὸν ἀσπασμὸν δίπτυχα ἀναγινώσκεται.

Τοὺς ὁσίως.] Σημείωσαι, ὅτι τὰ δίπτυχα τῶν ἀποθανόντων ἐπὶ αὐτοῦ μόνον ἀνεγινώσκετο.

Ἡ Θεολογία φησί.] Ταῦτα ἐκ τῆς λεγομένης Σοφίας Σολομῶντος· καὶ σημείωσαι, ὅτι καὶ ταύτῃ ὁ ἅγιος Πατὴρ ταύτῃ ἐχρήσατο.

Σκόπει δέ.] Τοῦτό φησιν, ὅτι τὸ λεγόμενον ἐν Προφήταις ἀναμνῆσαι ἐνώπιον Κυρίου, οὐχ οὕτω δεῖ νοεῖν, ὡς τῆς μνήμης τοῦ Θεοῦ ἀνανεουμένης ἐν τῇ φαντασίᾳ τοῦ μνημονικοῦ· ὅπερ ἐπὶ τῶν ἐν σαρκὶ προσδεδεμένων νοερῶν, τουτέστιν

τέστιν ἡμῶν, συμβαίνει, ἀλλὰ μνήμη Θεοῦ εἰκότως λέγοιτ' ἂν ἡ γνῶσις τοῦ Θεοῦ, καθ' ἣν γινώσκει τοὺς τελείους, θεοειδεῖς ἐν αὐτῷ γενομένους δι' ἐναρέτου βίου, καὶ ἀξιωθέντας τῆς ἀνεπιλήστου περὶ αὐτὸν γνώσεως.

Συμβόλων.] Τοῦ σώματος καὶ αἵματος.

Ὕδατι τάς.] Τί τὸ νίψασθαι τὰς χεῖρας, καὶ πότε.

Φησὶν, Ὁ λελουμένος.] Σημείωσαι, πῶς λαμβάνει ὁ Πατὴρ τὸ τοῦ Κυρίου ῥητὸν, τὸ λέγον, Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι. Ἡ δὲ σύνταξις τῶν προκειμένων, πρὸς τὸ Ὑπαινίσσεται τὴν ἀπόδοσιν ἔχει, ἵν' ᾖ τὸ λεγόμενον οὕτως, Ὅτι μὲν τόδε καὶ τόδε ἐστὶν, ὑπαινίσσεται, ὁ λουτὴρ μὲν ἐν τῇ νομικῇ λατρείᾳ, ἐν δὲ τῇ καθ' ἡμᾶς ἡ τῶν χειρῶν ἀπόνιψις. Τὸ δὲ Ἄσχετος καὶ Ἀπόλυτος δηλοῖ, ὡς τῇ ἥττονι οὐκ ἐνεχθήσεται ἀγωγῇ καὶ διαθέσει. Ἄλλως. Ἡ καθ' ὑπέρβασιν τῆς συντάξεως ταύτης ἀνάγνωσις, οὕτως ἁρμοσθήσεται, Ὅτι μὲν οὖν, ὡς τὰ Λόγιά φησιν, ὁ λελουμένος οὐ δεῖταί τινος καθάρσεως, εἰ μὴ τῆς τῶν ἄκρων, εἴτουν ἐσχάτων ἑαυτοῦ νίψεως· δι' ἧς ἀκροτάτης καθάρσεως ἐν παναγίῳ τοῦ θεοειδοῦς ἕξει, ἄχραντον ποιήσεται καὶ ἀκηλίδωτον τὴν ἐπιστροφὴν, καὶ πρὸς τὰ δεύτερα προϊὼν ἀγαθοειδῶς, ὡς τοῦ θεοειδοῦς ἀποσώζον τὸ πλῆρες καὶ ὁλόκληρον, ἄσχετος ἔσται καὶ ἀπόλυτος, ὡς καθάπαξ ἑνοειδὴς, καὶ πρὸς τὸ ἓν αὖθις ἑνιαίως ἐπιστρεφόμενος.

Εἰ μὴ τῆς τῶν ἄκρων.] Τί ἐστι, τὸ μὴ δεῖσθαι τὸν λουσάμενον ἑτέρας νίψεως, εἰ μὴ τὰ ἄκρα νίψασθαι. Δεύτερα δέ φησι τὰ αἰσθητὰ, εἰς ἃ διὰ φαντασίας προσπάσχει ἡ ψυχή.

Ὁ μὲν ἱερός.] Σημείωσαι, ὅτι οὐ λουτὴρ ἦν ἐν τῷ νόμῳ, καὶ ὅτι Σύνταγμα ἔχει ἄλλο περὶ τῆς κατὰ νόμον Ἱεραρχίας, ὅπερ οὐ φέρεται.

Τοῦ Ἱεράρχου.] Σημείωσαι τὸ ἔνθεον τοῦ Ἱερέως.

Ἱερουργίαν, ἀποκεκαθάρθαι.] Τῇ θείᾳ ἱερουργίᾳ δηλονότι.

Ἐσόπτρων ἀγλαΐαν.] Ἔσοπτρά φησι τὰς τῶν Ἁγίων ψυχὰς, ὡς τοῦ θείου φωτὸς δεκτικὰς, καὶ τῆς κρείττονος λήξεως ἀφομοιωτικάς.

Ἐφιέντων διϊέναι.] Καὶ νῦν Ἀττικίζων, ὡς Ἀθηναῖος, συνέταξε τὸ ῥητὸν, φάσκων, τῶν μαρμαρυγῶν ἐφιέντων τὴν οἰκείαν αἴγλην, δέον πρὸς θηλυκὸν τῶν μαρμαρυγῶν ἐφιεισῶν εἰπεῖν, ὃ δὴ καὶ ἄνω ἐν τῷ κεφαλαίῳ ζ. τῆς περὶ Οὐρανίας

nit, sed quòd memoria Dei rectè dicatur Dei scientia, quâ cognoscit eos qui perfecti sunt, deiformes in se factos per vitam virtutibus illustrem, dignosq; habitos vt perennis eorum memoria seu notitia haberetur. SCHOLIA S. MAXIMI.

SYMBOLIS.] Corporis & Sanguinis.

AQVA.] Quid sibi velit illa manuum ablutio, & quando fiat. §.10.

DICIT, QVI LOTVS EST.] Nota, quomodo intelligat hic Pater sermonem Domini dicentis, *Qui lotus est, non indiget nisi vt pedes lauet.* Ioan.3,10 Constructio eorum quæ proponuntur, ad Verbum *insinuat* refertur, vt sit hic sensus, ac si dicat: Quòd quidem hoc ita sit, insinuat in legali quidem cultu lauacrum, in nostro autem manuum ablutio. Illud autem *liber & expeditus*, significat ipsum partis inferioris ductum ac propensionem minimè secuturum. Alio modo. Constructionis huius lectio, quæ transgressione constat, sic copulabitur: Quòd nimirum, vt loquuntur Oracula, qui lotus est, non opus habeat aliâ expiatione quàm extremitatum ablutione: à quâ vtique summâ expiatione purum habitum consecutus, immaculatam & intemeratam faciet ad Deum conuersionem; & cùm ad inferiora boniformiter processerit, liber erit & expeditus, quippe simpliciter vniformis, & ad illud vnum denuò vnimodè conuersus.

NISI SVMMITATVM.] Quid sibi vult, lotum non indigere aliâ lotione præterquam extremitatum. Secunda verò vocat sensilia, quibus anima afficitur per imaginationem.

PORRO SACRVM.] Nota, quoniam in Lege non erat lauacrum: & quòd alium tractatum habuerit de Legali Hierarchiâ, qui non exstat.

PONTIFICIS.] Nota diuinum afflatum Sacerdotis.

AD SACRIFICIVM EXPIATOS ESSE.] Diuino nempe Sacrificio.

SPECVLORVM SPLENDOREM.] Specula vocat animas Sanctorum, vtpote diuinę lucis capaces, & ad sortem meliorem comparatas.

PENETRARE CVPIENTIBVS.] Modò etiam Atticè loquens, vt Atheniensis, verbum hoc construxit, dicens, μαρμαρυγῶν ἐφιέντων, masculinum pro feminino ἐφιεισῶν; eodem modo fecit capite septimo de Cælesti Hierarchiâ,

SCHOLIA S. MAXIMI. rarchiâ, vbi fuſiùs Atticam illam loquendi formulam explicuimus. Quare hæc ibi lege.

Ceterum Pontificis illa.] Nota, cur Pontifex in altari, ſiue in ſanctis, id eſt, coram illis abluatur.

Et summitatis.] Scilicet ſummæ expiationis.

Olim hoſtia manebat diutiùs obtecta. Et in aspectum.] Diuina dona tunc manebant diutiùs obtecta, nempe vſque ad tempus ſanctæ Communionis, vti paulò pòſt declarat. Certè hoc manifeſtum eſt, quòd Pontifex ſanctum panem attollens oſtendebat benedictionem ſeu Sacramentum, dicens, *Sancta ſanctis*.

§. 11. Quænam porro.] Vniuerſas erga nos prouidentias pauci norunt, aut forſitan ne pauci quidem; & ad quid fiat oblatio.

Opitulatorem.] Auxiliarem.

Humanam.] De hominum lapſu.

Prævaricatio.] Tranſgreſſio.

Suis propensionibus.] Id eſt ſuæ libertati. Conſtructio reſpicit ea quæ ſuperiùs dicta ſunt; dixit enim, quoniam naturam humanam excipit vita plurimis paſſionibus obnoxia. Alia autem ſunt intermedia ab ἀκολούθως γὰρ vſque ad ἔνθεν ἐλεεινῶς.

Illecebrosis.] Officioſis.

Originem.] Cùm ſcilicet ſtatus noſtri originem è terrâ ducamus (corpus enim noſtrum ex eâ conſtat) meritò poſt tranſgreſſionem, finem quoque origini conſentaneum habemus in terram reſoluti, cùm dictum ſit:

Gen. 3, 19. *Terra es, & in terram reuerteris.*

Finem.] Id eſt, mortem.

Vita quæ ad superna tendebat.] Græcè ἀνάγωγον vitam vocat eam, quæ ſuperna quærit, & ad Deum conuerſa eſt.

Multis passionibus obnoxiam immutationem.] Quid corporibus ſit immutatio, diximus in libro de Diuinis nominibus.

Exitiosis.] Ærumnoſis.

In status privationem misere.] In ſtatus priuationem propter peccatum: nam peccator quodammodò non exiſtit, malum enim caret exiſtentiâ.

Per se operantem nostri.] Nota, dogmatum horum accurationem magno ſententiarum pondere propoſitam, & omnes hæreticos expugnantem. Nam per ſe operantem fuiſſe erga nos Dei prouidentiam, decla-

Ἱεραρχίας βιβλίου, πλατύτερον ἐδείξαμεν ὡς Ἀττικὸν τὸ σχῆμα. Ἐκεῖ οὖν ἀνάγνωθι.

Ἡ δὲ τοῦ Ἱεράρχου.] Σημείωσαι, διά τι ἐπὶ τοῦ θυσιαστηρίου νίπτεται ὁ Ἱεράρχης, ἤτοι ἐπὶ τῶν Ἁγίων, τουτέστιν ἔμπροσθεν αὐτῶν.

Καὶ τῆς ἀκροτάτης.] Τῆς ἄκρας καθάρσεως δηλαδή.

Καὶ ὑπ᾽ ὄψιν.] Μᾶλλον τότε ἔμενον κεκαλυμμένα τὰ θεῖα δῶρα, ἕως καιροῦ τῆς ἁγίας μεταλήψεως, καὶ τοῦτο δηλοῖ μετ᾽ ὀλίγα. Ἦ τόγε ἀκριβὲς, ὅτι κουφίζων ὁ Ἱεράρχης τὸν ἅγιον ἄρτον, ἐδείκνυ τὴν εὐλογίαν, λέγων, Τὰ ἅγια τοῖς ἁγίοις.

Τίνας μὲν οὖν.] Τὰς εἰς ἡμᾶς προνοίας πάσας ὀλίγοι ἴσασι, τάχα δὲ οὐδὲ ὀλίγοι, καὶ περὶ τίνος ἡ προσκομιδή.

Ἀρωγόν.] Βοηθόν.

Τὴν ἀνθρωπείαν.] Περὶ τῆς τῶν ἀνθρώπων ἀποπτώσεως.

Ὑπερβασία.] Παραβασία.

Οἰκείαις ῥοπαῖς.] Ὅ ἐστιν αὐθαιρέτως. Ἡ δὲ σύνταξις πρὸς τὰ ἄνω εἰρημένα ἐστίν· εἶπε γὰρ, ὅτι τὴν ἀνθρωπείαν φύσιν ἡ πολυπαθεστάτη ζωὴ διαδέχεται. Τὰ δὲ ἄλλα, διὰ μέσου, ἀπὸ τοῦ Ἀκολούθως γὰρ, ἕως τοῦ, Ἔνθεν ἐλεεινῶς.

Θελκτικαῖς.] Θεραπευτικαῖς.

Τὸ τῆς ἀρχῆς.] Ἐπειδὴ καὶ ἀρχὴν τῆς συστάσεως ἐκ γῆς ἔχομεν (τὸ γὰρ σωματικὸν ἡμῶν ἐξ αὐτῆς) εἰκότως μετὰ τὴν παράβασιν, καὶ τὸ τέλος πρόσφορον ἔχομεν τῇ ἀρχῇ, εἰς γῆν γὰρ ἀναλύοντες· ἐπεὶ ἐῤῥήθη, Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

Πέρας.] Τουτέστι τὸν θάνατον.

Ἀναγώγου ζωῆς.] Ἀνάγωγον ζωὴν, τὴν τὰ ἄνω ζητοῦσαν, καὶ πρὸς Θεὸν ἐπεστραμμένην φησί.

Πολυπαθεστάτην ἀλλοίωσιν.] Τί ἐστιν ἀλλοίωσις ἐπὶ σωμάτων, ἐν τῷ περὶ τῶν Θείων ὀνομάτων διεξήλθομεν.

Δυσμενεῖς.] Ταλαιπώρους.

Εἰς ἀνυπαρξίας οἰκτρῶς.] Εἰς ἀνυπαρξίαν δὲ, διὰ τὴν ἁμαρτίαν· ὁ γὰρ ἁμαρτωλὸς, τρόπον τινὰ οὐχ ὑπάρχει, τὸ γὰρ κακὸν, ἀνύπαρκτον.

Αὐτουργὸν ἡμῶν.] Σημείωσαι τὴν ἀκρίβειαν τῶν δογμάτων ἐν πολυπληθείᾳ λέξεων φραζομένην, καὶ πολεμοῦσαν πάντας αἱρετικούς. Τὸ μὲν γὰρ αὐτουργὸν γενέσθαι τὴν εἰς ἡμᾶς πρόνοιαν τοῦ Θεοῦ, δηλοῖ, ὅτι αὐτὸς

τὴν

ἦν ὁ Θεὸς Λόγος, οὐ μὴν ἄλλος ἐν ἄλλῳ, ὥς τινες μαίνονται σὺν Νεστορίῳ. Τὸ δὲ ἐν ἀληθεῖ μεθέξει πάντων τῶν ἡμετέρων ἀναμαρτήτως, καὶ Μανιχαίους, καὶ Εὐτυχιανιστὰς, καὶ Ἀπολιναριστὰς, καὶ Ἀκεφάλους, καὶ πάντας ἁπαξαπλῶς τοὺς αἱρετίζοντας καταβάλλει.

Ἕξεως.] Τὸ ἕξεως ἐνταῦθα, οὐ ποιότητός τινος ἐμμόνου νοητέον, ἀλλὰ καθέξεως καὶ διαμονῆς, ἤτοι κατασχέσεως.

Οὐ κατὰ δύναμιν.] Σημείωσαι, ὅτι οὐκ ἐν ἰσχύϊ ἐνίκησεν ὁ Χριστὸς τὸν σατανᾶν, ἀλλὰ κρίσει καὶ δικαιοσύνῃ. τοῦτο καὶ Γρηγόριος ὁ Νύσσης ἐν τῷ Κατηχητικῷ φησίν.

Ὀλβίου.] Πλουσίου.

Ἀνείδεον κάλλεσι.] Καὶ ἀνωτέρω οὕτως ἔφημεν, ὅτι ἀνείδεον, τὸ τῆς ἀγνοίας σκότος φησί. Σημαίνει δὲ τὴν ἐλευθερίαν ἡμῶν.

Ἐναγεστάτων.] Μεμιαμμένων.

Ἀεὶ ταῖς ἱεραρχικαῖς.] Τῆς θεαρχικῆς ἀγαθότητος, ὡς ἔφη ἐν ἀρχῇ τοῦ κεφαλαίου.

Ὑμνήσας δὲ καί.] Τουτέστι τὸν ἄρτον καὶ τὸ ποτήριον εὐλογῶν τῶν ἁγίων δώρων. Σημείωσαι δὲ, ὅτι πανταχοῦ συμβολικὴν λέγει τὴν θείαν ἱερουργίαν, καὶ τὰ ἅγια δῶρα, σύμβολα τῶν ἄνω καὶ ἀληθινωτέρων.

Τὸν γὰρ ἐγκεκαλυμμένον.] Οὕτως καὶ πρὸ ὀλίγου εἴρηται, ὅτι κεκαλυμμένον ἔμενε τὸ θεῖον δῶρον, ἕως καιροῦ μεταλήψεως· εἰ μὴ ἄρα κεκαλυμμένον λέγεται, τὸ ἀπὸ τῶν πολλῶν καὶ ἔξω ἑστώτων καὶ ἁπλῶς λαϊκῶν ἀποκεκρυμμένον.

Τὸ γὰρ ἓν καὶ ἁπλοῦν.] Ἐπειδὴ καὶ ψυχὴν νοερὰν καὶ σῶμα γήϊνον ἔλαβε. Σημείωσαι δὲ, πῶς κοινωνοὶ θείας φύσεως γινόμεθα, Χριστῷ ἑνούμενοι. Σημείωσαι καὶ τὰ περὶ τῆς οἰκονομίας, καὶ τίς ὁ φανεὶς, καὶ τίς ἡ κλάσις τοῦ ἄρτου, καὶ διανομή.

Κατ' ἄκραν.] Τουτέστι, κατ' ἄκραν ἕνωσιν, καὶ τελείαν, καὶ οὐσιώδη καθ' ὑπόστασιν ἀληθῆ.

Ἀλωβήτου.] Ἀβλαβοῦς.

Χρὴ γὰρ ἡμᾶς.] Σημείωσαι τίς ὁ σκοπὸς τοῦ Χριστιανισμοῦ.

Ὑπ' ὄψιν ἄγων.] Περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνταῦθά φησιν οὐ συμβολικῶς, ὃν καὶ νοητὴν ἡμῶν ἔφη ζωήν. Τὸ δὲ Παντελεῖ

rat ipsum fuisse Dei Verbum, non autem alium in alio, vt quidam cum Nestorio insaniunt. Ceterùm nostrorum quoque omnium verè participem factam esse absque peccato, & Manichæos, & Eutychianos, & Apollinarios, & Acephalos, & vno nomine omnes hæreticos prosternit.

HABITV SEV STATV.] Habitum hîc non aliquam qualitatem immanentem intelligere oportet, sed consistentiam & permanentiam, seu constitutionem.

NON VIRIBVS.] Nota, Christum non robore satanam debellasse, sed iudicio & iustitiâ; vti Gregorius etiam Nyssenus in Catechetica oratione docet.

BEATO.] Diuite, copioso.

INFORMEM, PVLCHRITVDINIBVS.] Ita quoque diximus suprà, ipsum informem appellare caliginem ignorationis. Indicat autem nostram libertatem.

FOEDISSIMIS.] Coinquinatis.

SEMPER HIERARCHICIS.] Diuinæ nempe bonitatis, vt Capitis initio dixit. §. 12.

COLLAVDANS, ET.] Id est sanctorum donorum panem ac calicem benedicens. Obserua verò ipsum vbique vocare diuinum Sacrificium symbolicum, & sancta dona, symbola supernorum atque veriorum.

OPERTVM ENIM.] Sic etiam paulò antè dictum est, diuinũ donum mansisse coopertum vsque ad tempus Communionis: nisi fortè opertum dicitur id, quod turbæ & iis qui foris stant, & simpliciter laicis occultum est.

VNICVM ENIM ILLVD AC SIMPLEX.] Quoniam animam spiritalem & corpus terrenum assumpsit. Nota verò, quomodo diuinæ naturæ participes efficiamur, cùm Christo vnimur. Obserua item ea quæ concernunt incarnationem, & quis apparuerit, & quæ sit panis fractio ac distributio.

PER SVMMAM.] Id est secundùm summam & perfectam vnionem, eamq; substantialem, secundùm veram subsistentiam.

IMMACVLATÆ.] Innoxiæ.

OPORTET ENIM NOS.] Nota quis sit scopus Christianæ perfectionis.

SVB ASPECTVM ADDVCENS.] Haud symbolicè hîc agit de Domino nostro Iesu Christo, quem etiam dixit esse vitam nostram spiritalem. Illud verò παντελεῖ *perfectâ* ad- §. 13.

SCHOLIA S. MAXIMI.

ditur, quoniam & animam intellectilem & terrenum corpus assumpsit. Et rectè dixit, *inconfusam humanitatis nostræ assumptionem:* manebat enim Deus, qui apparebat homo, seruatis vtriusque naturæ proprietatibus. Et nota hæc contra Apollinarios.

NOSTRAM SPECIEM INDVENTEM.] Id est, nostrã speciem siue naturam assumentẽ.

PARTICIPES DEI.] Nota quomodo diuinæ naturæ participes reddimur, cùm Christo vnimur.

§. 14. IN GRATIARVM ACTIONEM.] Agit de gratiarum actione.

DISTRIBVTIONEM ANTECEDIT.] Communiter enim ponit ἡγεῖται pro προηγεῖται, oportet enim primùm Sacerdotem sumere, ac deinde distribuere. Sumptio igitur & communio eius qui obtulit, mysticam reliquorum distributionem antecedit.

DIVINIS MAGISTERIIS.] Qualem oporteat esse Sacerdotem.

QVI TEMERE ABVTVNTVR.] Id quod ait est huiusmodi: Quemadmodum Sacerdos, qui non primus sumit illa quæ obtulit, profanus est; eodem modo qui alios docere præsumunt quæ ipsimet non faciunt, pariter profani sunt. Oportet enim primùm facere, ac

Mat. 5, 19. tum docere, iuxta dictum Domini, *Qui fecerit, & docuerit, hic magnus vocabitur.*

DIVINA SENTENTIA.] Id est, diuinâ lege.

MINIME AVDENDVM.] Omnino metue.

APTATOREM EXHIBERE.] Id est concinnatorem. Lacedæmonij subiectarum ciuitatum gubernatorem ἁρμοστὴν seu aptatorem nominabant, quòd subditos aptaret vt ex lege viuerent. Vnde etiam Athenienses similiter ἁρμοστῆρας appellabant eos, qui ad benè viuendum alios dirigebant, vti Plato Comicus in dramate Legatis declarat. Vnde hìc etiam Ecclesiæ Episcopum propriè ἁρμοστὴν appellauit.

QVONIAM QVI SANCTA.] Nota quid

Psal. 33, 9. sit, *Gustate, & videte.*

ἐπειδὴ καὶ ψυχὴν νοερὰν καὶ σῶμα γήϊνον ἀνέλαβε. Καὶ καλῶς εἶπεν, Ἀσυγχύτῳ ἐνανθρωπήσει· ἔμεινε γὰρ Θεὸς ἄνθρωπος ὀφθεὶς, καὶ ἑκατέρας φύσεως σώζων τὰ ἰδιώματα. Καὶ σημείωσαι κατὰ Ἀπολιναριστῶν.

Ἐξ ἡμῶν εἰδοποιούμενον.] Τουτέστι τὸ καθ' ἡμᾶς εἶδος, ἤγουν τὴν φύσιν λαβόντα.

Κοινωνοὶ Θεοῦ.] Σημείωσαι πῶς κοινωνοὶ θείας φύσεως γινόμεθα, Χριστῷ ἑνούμενοι.

Εἰς εὐχαριστίαν.] Περὶ εὐχαριστίας.

Μεταδόσεως ἡγεῖται.] Κατὰ κοινοῦ τὸ Ἡγεῖται, ἤγουν Προηγεῖται· ὅτι πρῶτον δεῖ τὸν Ἱερέα μεταλαμβάνειν, καὶ οὕτω μεταδιδόναι. Οὐκοῦν ἡ μετοχὴ ἡγεῖται, καὶ ἡ μετάληψις τοῦ προσκομίσαντος, τῆς μυστικῆς διανεμήσεως τῶν λοιπῶν.

Ταῖς ἐνθέοις διδασκαλίαις.] Ὁποῖον δεῖ τὸν Ἱερέα εἶναι.

Οἱ τολμηρῶς ἀποκεχρημένοι.] Ὃ λέγει τοῦτό ἐστιν· Ὥσπερ ὁ Ἱερεὺς μὴ πρῶτος μεταλαμβάνων τῶν ὑπ' αὐτοῦ προσκομισθέντων, ἀνίερός ἐστιν· οὕτω καὶ οἱ τολμῶντες διδάσκειν ἄλλους, μὴ πράττοντες ἃ διδάσκουσιν, ἀνίεροί εἰσι· Δεῖ γὰρ ποιεῖν, καὶ οὕτω διδάσκειν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου, Ὁ ποιήσας καὶ διδάξας, οὗτος μέγας κληθήσεται.

Θεσμοθεσίας.] Τοῦ θείου νόμου.

Οὐ τολμητέον.] Φοβήθητι πάνυ.

Ἁρμοστὴν ἀναδεδειγμένον.] Τουτέστιν ἁρμόδιον. Ἁρμοστὴν ἔλεγον οἱ Λακεδαιμόνιοι, τὸν καθιστάμενον ὑπ' αὐτῶν, Ἄρχοντα τῶν ὑποκειμένων αὐτοῖς πόλεων, παρὰ τὸ ἁρμόζειν τοὺς ἀρχομένους ζῆν κατὰ τοὺς νόμους. Ὅθεν καὶ Ἁρμοστῆρας πάλιν ἐκάλουν Ἀθηναῖοι, τοὺς εἰς τὸ εὖ ζῆν διατάττοντας, ὡς σαφῶς Πλάτων ὁ Κωμικὸς δηλοῖ ἐν Πρέσβεσι τῷ δράματι. Καὶ ἐνταῦθα τοίνυν ἁρμοστὴν, τὸν ἄρχοντα τῆς Ἐκκλησίας Ἐπίσκοπον οἰκείως ὠνόμασε.

Τῇ γὰρ ἱερᾷ.] Σημείωσαι τί ἐστι τὸ Γεύσασθε, καὶ ἴδετε.

PARA-

PARAPHRASIS PACHYMERÆ.

PARAPHRASIS PACHYMERÆ.

ΕΥΓΕ, ὅτι ταύτης ἐπεμνήσθημεν τῆς τελετῆς, δηλαδὴ τῆς Συνάξεως (ταύτην δὲ καὶ Κοινωνίαν λέγει, διὰ τὸ τότε κοινωνεῖν τοὺς ἀξίους πάντας τῶν μυστηρίων) ἣν οὐ θεμιτὸν παραδραμεῖν, καὶ πρὸ ταύτης ἑτέραν τῶν τελετῶν ὑμνῆσαι (ταύτην γὰρ ἔλεγε καὶ ὁ κλεινὸς Ἱερόθεος τελετῶν τελετήν) καὶ χρὴ πρὸ τῶν ἄλλων αὐτὴν ἱερογραφικῶς, τουτέστι κατὰ τὴν ἱερὰν διαγραφὴν τῶν ἐμφανῶς τελουμένων ἐκθέμενον, ἔπειτα ἀναχθῆναι πρὸς τὴν τῶν καθέκαστον θεωρίαν. Καὶ πρῶτον τοῦτο ζητοῦμεν, ἵνα τί τὸ κοινὸν καὶ ταῖς ἄλλαις τελεταῖς, αὕτη ἰδιοποιήσατο· καὶ καλεῖται ἰδίως Κοινωνία καὶ Σύναξις, ἑκάστης τελετῆς, κἂν τὴν τοῦ Βαπτίσματος εἴποις, κἂν τὴν τῶν ἱερατικῶν τελειώσεων, ἐχούσης τοῦτο δὴ τὸ συνάγειν καὶ εἰς κοινωνίαν ἄγειν καὶ ἕνωσιν· ἅπασα γὰρ τελετὴ ταῦτα δωρεῖται τοῖς τελουμένοις, ὡς φέρε εἰπεῖν ἐπὶ τοῦ Βαπτίσματος· καὶ γὰρ ἡ τοιαύτη τελετὴ τὴν μεριστὴν ζωὴν τοῦ ἀνθρώπου, δηλονότι τὴν κοσμικὴν, καὶ εἰς πολλὰ πληθυνομένην, εἰς ἑνοειδῆ συνάγει θέωσιν, καὶ κατὰ τοῦτο Σύναξις ἂν λέγοιτο· καὶ πάλιν ἐν τῇ τοιαύτῃ συμπτύξει τῶν διαιρετῶν καὶ κοσμικῶν κινήσεων, τὴν πρὸς τὸ ἓν, τὸν Θεὸν δηλαδὴ, κοινωνίαν δωρεῖται, ἰδοὺ καὶ κοινωνία οὐκ ἀπεικότως λέγοιτο ἄν. Ἵνα τί γοῦν ἡ προκειμένη τελετὴ τῶν τοιούτων ὀνομάτων ἰδίως μετείληχε; Καί φαμεν, ὅτι ἡ τῶν τελετῶν ἐκείνων τελείωσις, ἐκ τῶν ταύτης δωρεῶν ἐστί· καὶ γὰρ οὐκ ἔστι τινὰ τελεσθῆναι ἱεραρχικὴν τελετὴν, μὴ τῆς θειοτάτης Εὐχαριστίας, τῆς τῶν μυστηρίων δηλαδὴ, ἱερουργούσης τὴν ἐπὶ τὸ ἓν, τὸν Θεὸν δηλαδὴ, συναγωγήν· τοῦτο γάρ ἐστι τὸ κεφαλαιωδέστερον ἐπὶ τοῖς καθέκαστα τελουμένοις. Εἰ τοίνυν ἑκάστη τῶν τελετῶν ἀπολειπομένη τῶν μυστηρίων ἀτελής ἐστι, καὶ οὐκ ἔχει κυρίως οὔτε τὸ τελετὴ λέγεσθαι, οὔτε μὴν τὴν πρὸς τὸ ἓν κοινωνίαν καὶ σύναξιν, εἰκότως ταύτῃ καὶ μόνῃ ἐπιτίθεται ἡ κυρία ἐπωνυμία τῆς Συνάξεως. Σύναξιν δὲ νοητέον, οὐ τὴν τοῦ λαοῦ, καθὼς τὴν λέξιν τινὲς σήμερον ἐκλαμβάνουσιν), ἀλλὰ τὴν πρὸς Θεὸν συναγωγὴν καὶ κοινωνίαν. Οὕτως εὕροι τις ἂν καὶ ἐπὶ τῆς τελετῆς τοῦ θείου Βαπτίσματος· καὶ γὰρ καὶ



§. I.

AGE, quoniam huius Sacramenti, scilicet Synaxeos, mentionē fecimus, (hanc verò etiam Communionem vocat, eò quòd dignis omnibus mysteria cōmunicet) quam præterire, aut præ illâ aliud Sacramentum celebrare, nefas (nam eam inclytus Hierotheus Sacramentum Sacramentorum appellauit) oportet præ ceteris ipsâ hierographicè, id est, sacrâ quadam descriptione, eorum quæ in eâ peraguntur expressâ, ad quamlibet deinde eius contemplationem adduci. Et primùm illud quærimus, quam ob causam id quod aliis quoque Sacramentis commune est, huic approprietur, voceturq; propriè Communio & Synaxis, cùm quodlibet Sacramentum, siue Baptisma siue Ordinem dixeris, etiam illud vtique habeat, vt & congreget, & ad communionem vnionemq; inducat: in omni namque Sacramento hæc initiatis conferuntur, v.g. in Baptismo, cùm hoc quoque Sacramentum diuisam hominis vitam, id est sæcularem, & in multa distractam, ad vniformem colligit deificationem, ac secundùm hoc etiam Synaxis dici possit: & rursum, in istiusmodi collectione diuisorum sæculariumque motuum ad vnum, scilicet Deum, communionem elargitur, atque adeò Communio non immeritò dici possit. Cur itaque præsens Sacramentum istiusmodi nomina propriè sibi vendicat? Dicimus, istorum Sacramētorum perfectionem ex huius muneribus existere: nam non licet aliquod Sacramentum Hierarchicum perficere, nisi videlicet diuinissima Eucharistia cum vno, id est Deo, coniunctionem operetur, hoc enim est præcipuum quod in singulis celebratur. Si itaque vnumquodque Sacramentum, hisce mysteriis frustratum, sit imperfectum, & nec propriè Sacramentum dicatur, neque cum vno illo communicet copuletve, meritò etiam huic soli proprium hoc nomen Synaxeos attribuitur. Synaxis porrò minimè intelligenda populi congregatio, prout aliqui nunc temporis vocē illam accipiunt, sed cum Deo coniunctio communioque. Idem quoq; quis inueniat in diuini Baptismatis Sacramento: nam licet alia quoq;

Cur Eucharistia Synaxis dicta.

PARAPHRASIS PACHYMERÆ.

Cur Baptismus Illustratio dicatur.

Sacramenta illuminent, huic tamen propriè nomen hoc Illustrationis impositum est, quòd omnium diuinarum illustrationum principium existat. Nam nisi quis diuino Baptismate fuerit initiatus, eiusdemque illustratione dignus sit habitus, non potest alterius cuiuspiam illustrationis particeps existere. His dictis, consideremus ipsam huius Sacramenti consecrationem, quomodo videlicet mysterium Synaxeos celebretur; deinde verò contemplationem eius indagemus.

II. MYSTERIVM SYNAXEOS.

Ordo consecrandi Eucharistiam.

Hierarcha precem sacram (illam inquam solemnem) ad altare celebrās, & ab eiusdem suffitione initium faciens, vniuersum templi ambitum circuit, exinde rursum ad diuinum altare rediens, vnà cum aliis infit Psalmorum melos: posteà verò per Lectores (hos Liturgos vocat) diuinarum Scripturarum, vt Prophetiarū, Apostoli, & Euangelij diuini lectio recitatur: quâ finitâ Catechumeni arcentur, & ante hos energumeni, qui nimirum à dæmonibus infestantur, & pœnitentes, manent autem qui digni sunt. Porrò è Liturgis, Subdiaconibus inquam, alij quidem fores custodiunt, alij verò aliud quidpiam agunt: qui autem primarij sunt, scilicet Diaconi, vnà cum Sacerdotibus diuino altari panem sacrum & calicem benedictionis imponunt, & deinde communis hymnologia profertur; habebant enim etiamtum aliquod documentum ac Fidei institutionem. Adhæc, Pontifex sacram peragens precationem pacem apprecatur, dicendo scilicet, Pax omnibus; dumque illicò se salutant, sacræ Tabulæ recitantur. Et postquam loti sunt, Hierarcha stans in medio selectos illos Diaconos sibi habet assistentes, hymnoque dicto diuinissima consecrat Sacramenta, & sub aspectum ducit ea quæ celebrata sunt, declarans ea Christi esse symbola, quoniam post cœnam *accepto pane*, & quæ sequuntur. item, *Hoc facite in meam commemorationem.* Ostendit autem, id est, tunc detecta sancta dona post preces attollit seu eleuat, de cetero tecta manent vsque ad tempus sumptionis. Exinde communicat ipse, aliosq; inuitat. Acceptâ denique dataque Communione, in gratiarum actionem desinit. Cumq; pleriq; diuina tantùm symbola contueantur,

Luc. 22, 19

Ibid.

αἱ ἄλλαι φωτίζουσι τελεταί, ἀλλ' ὅμως ταύτῃ ἰδίως ἐπετέθη τὸ ὄνομα τοῦ Φωτίσματος, διὰ τὸ εἶναι ταύτην πασῶν τῶν θείων φωταγωγιῶν ἀρχήν. Εἰ γὰρ μὴ τελεσθείη τις τῷ θείῳ Βαπτίσματι, καὶ τοῦ ἐντεῦθεν φωτισμοῦ καταξιωθείη, οὐ δύναται ἄλλου τινὸς φωτισμοῦ μετοχὴν δέξασθαι. Ταῦτα εἰπόντες, κατίδωμεν μὲν τέως τὴν τῆς τοιαύτης τελετῆς ἱερουργίαν, δηλονότι ὅπως τελεῖται τὸ μυστήριον τῆς Συνάξεως, μετέπειτα δὲ τὰ τῆς θεωρείας ἐρευνήσωμεν.

II. ΜΥΣΤΗΡΙΟΝ ΣΥΝΑΞΕΩΣ.

Ὁ μὲν Ἱεράρχης εὐχὴν ἱερὰν ἐντὸς τοῦ θυσιαστηρίου ποιησάμενος (αὐτὸν δὴ οἶμαι τὸν εὐλογητὸν) καὶ ἐξ αὐτοῦ τοῦ θυμιᾶν ἀρξάμενος, περιέρχεται πᾶσαν τὴν περιοχὴν τοῦ ναοῦ· εἶτα ἀναλύσας πάλιν ἐπὶ τὸ θεῖον θυσιαστήριον, ἀπάρχεται μετὰ τῶν ἄλλων τῆς ψαλμῳδίας· ἑξῆς δὲ διὰ τῶν Ἀναγνωστῶν (τούτους γὰρ λέγει λειτουργούς) τῶν θείων Γραφῶν, τῶν Προφητειῶν, τοῦ Ἀποστόλου, τοῦ θείου Εὐαγγελίου, ἡ ἀνάγνωσις γίνεται· μετὰ ταῦτα ἐκβάλλονται οἱ Κατηχούμενοι, πρὸ τούτων οἱ ἐνεργούμενοι, δηλονότι οἱ δαιμονῶντες, καὶ οἱ ἐν μετανοίᾳ ὄντες, μένουσι δὲ οἱ ἄξιοι. Ἀπὸ δὲ τῶν λειτουργῶν, φημὶ τῶν Ὑποδιακόνων, οἱ μὲν τὰς πύλας φυλάσσουσιν, οἱ δὲ ἄλλο τι διαπράττονται· οἱ δὲ ἔκκριτοι, δηλονότι οἱ Διάκονοι, σὺν τοῖς Ἱερεῦσιν ἐπὶ τοῦ θείου θυσιαστηρίου τὸν ἄρτον προτιθέασι, καὶ τὸ τῆς εὐλογίας ποτήριον, καὶ ἔπειτα προσομολογεῖται ἡ κοινὴ ὑμνολογία· εἶχον γὰρ καὶ τότε μάθημά τι καὶ συμμάθημα πίστεως. Πρὸς οἷς ὁ Ἱεράρχης εὐχὴν ποιησάμενος, τὴν εἰρήνην διαγγέλλει, δηλονότι τό, Εἰρήνη πᾶσι· καὶ εὐθὺς ἀσπασαμένων, ἀναγινώσκονται τὰ δίπτυχα. Καὶ νιψαμένων, ὁ Ἱεράρχης μέσον ἱστάμενος, ἔχει περιϊσταμένους κἀκείνους τοὺς τῶν λειτουργῶν ἐκκρίτους, καὶ ὑμνήσας, ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα, σαφηνίζων, ὡς Χριστοῦ εἰσι τὰ τοιαῦτα σύμβολα· ὅτι μετὰ τὸ δεῖπνον λαβὼν ἄρτον, καὶ τὰ ἑξῆς· καὶ ὅτι Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὑποδείκνυσι δέ, ἤγουν ἀνυψοῖ τότε ἀποκαλυπτομένων τῶν παναγίων δώρων μετὰ τὰς εὐχάς, μενόντων δὲ κεκαλυμμένων ἕως καιροῦ μεταλήψεως. Μετὰ ταῦτα αὐτός τε μεταλαμβάνει, καὶ τοὺς ἄλλους προτρέπεται. Μετασχὼν δὲ καὶ μεταδούς, εἰς εὐχαριστίαν καταλήγει. Καὶ πολλοὶ μὲν εἰς μόνα τὰ θεῖα διακύπτουσι σύμβολα,

PARAPHRASIS PACHYMERÆ.

σύμβολα, ἅτε μὴ δυνάμενοι ὑψηλότερόν τι ἐννοῆσαι· αὐτὸς δὲ ὁ Ἱεράρχης πρὸς ἐκεῖνα τὰ πρωτότυπα, αὐτὸ τὸ τοῦ Κυρίου τίμιον Σῶμα καὶ Αἷμα ἀνάγεται, πιστεύων ὅτι καὶ τὰ προκείμενα εἰς ἐκεῖνα μετεβλήθησαν τῷ ἁγίῳ καὶ παντεργῷ Πνεύματι.

III. ΘΕΩΡΙΑ.

Ἐπὶ τὴν θεωρίαν ἤδη μεταβαίνων τῶν κατὰ τὴν Σύναξιν τελουμένων, ὅπερ ἐπὶ τοῦ μυστηρίου τοῦ Φωτίσματος πεποίηκε, καὶ τοὺς ἀτελειώτους ἔτι ἐψυχαγώγει διὰ τῆς αἰσθητῆς τῶν συμβόλων ποικιλίας· οὕτω καὶ ἐνταῦθα ποιεῖ εἰς ψυχαγωγίαν τῶν ἔτι τελειουμένων καὶ οὐ τῶν τελείων ἐναρμόνιον, δηλονότι προσήκουσαν τῇ δυνάμει τῆς αὐτῶν ἕξεως. Ποικιλίαν δὲ καὶ σύνθεσιν διὰ συμβόλων λέγει. Ἐπεὶ γὰρ ἡ θεωρία ἁπλῆ καὶ ἑνιαία, εἰκότως τὰ σύμβολα ποικιλία καὶ σύνθεσις· οἱ γὰρ τοῖς συμβόλοις προσέχοντες, οὐκ ἔχουσι τὴν ἑνιαίαν καὶ ἁπλῆν γνῶσιν· ἀλλ' ἄλλως ἄλλος ἀνάγει, καὶ ἄλλως ἄλλος τὰ τῆς ἀλληγορίας λέγει ὡς βούλεται. Εἰσὶ δ' οἵτινες καὶ τοῖς συμβόλοις ἐναπολειφθέντες, καθ' αὐτὰς ἐκδέχονται τὰ ὑπὲρ αὐτάς, καὶ ψευδῶς ὑπονοοῦσι· καθ' ὃ δὴ ψεῦδος καὶ μερίζονται καὶ ποικίλλονται. Ἐνταῦθα γοῦν φησιν ὁ Πατήρ, ὡς οὐδ' αὐτὴ ἡ ποικίλη διὰ συμβόλων σύνθεσις, ἀνόνητος ὑπάρχει τοῖς τελουμένοις, καὶ μέχρι τῶν αἰσθητῶν φαινομένη μόνον· αἱ γὰρ ἀναγνώσεις τῶν Λογίων, ὅπου καὶ ἀναγωγὴν οὐκ εἶχον, διδασκαλίαν ἐναρέτου ζωῆς ὑφηγοῦνται καὶ ἀποκάθαρσιν τῆς κακίας. Ἡ δὲ κοινὴ καὶ ἀπὸ τοῦ αὐτοῦ ἄρτου καὶ ποτηρίου μετάδοσις, ὁμοζωΐαν νομοθετεῖ· τὸ γὰρ ὁμοδίαιτον καὶ ὁμόζωον, καὶ ἔτι εἰς μνήμην ἄγει τοῦ Κυριακοῦ δείπνου, ὃ καὶ ἀρχισύμβολον λέγει, οἱονεὶ ἀρχικοινωνικόν. Σύμβολον γὰρ ὁ ἔρανος, καὶ ὁ ἐντεῦθεν κοινὸς οἰκονομούμενος, δεῖπνον λέγεται· ἐξ οὗ καὶ σύμβολον τὸ διδόμενον, καὶ ἀσύμβολος ὁ ἀσυντελής· καθ' ὃ καὶ αὐτὸς ὁ τῶν συμβόλων δημιουργὸς (ἢ δηλαδὴ τῆς κοινωνίας, ἢ τῶν συμβαλλομένων εἰς τὸ κοινόν· εἴ τι γὰρ ἂν εἴη τὸ συμβαλλόμενον, Θεοῦ ἐστι δημιούργημα) ἀποκλείει καὶ ἀποδιαστέλλει δικαιότατα τὸν οὐχ ὁσίως συνδειπνήσαντα Ἰούδαν. Καὶ αὐτῷ γὰρ τοῦ μυστικοῦ ἄρτου καὶ τοῦ ποτηρίου μεταδοὺς, τὰ μυστήρια μόνοις τοῖς μαθηταῖς, μετὰ τὸ ἐξελθεῖν ἐκεῖνον ἐκ τοῦ δείπνου, παρέδωκεν, ὡς ἀναξίου τούτων ὄντος τοῦ Ἰούδα.

eò quòd sublimius quid considerare nequeat; ipse tamen Hierarcha ad ipsamet prototypa, sacrum videlicet Corpus ac Sanguinem Domini, adducitur, credens, res propositas in illa sancto ac omnifico spiritu mutata esse.

III. CONTEMPLATIO.

§. 1. Ad contemplationem modò transiens eorum quæ in Synaxi celebrantur, vti in Baptismatis Sacraméto rudiores adhuc animas per sensilem signorum varietatem instituit, sic & hîc, ad commodam eorum qui adhuc perficiuntur & necdum perfecti sunt instructionem, similiter facit, id est, virtuti habitus ipsorum conuenientem. Variam autem vocat & compositam, propter symbola. Cùm enim contemplatio simplex sit & vnimoda, meritò symbola varietas sunt & compositio. qui enim symbolis intendunt, non habent vnitam & simplicem cognitionem, sed alius aliter adducit, atque alius aliter allegorias tradit, prout vult. Quin imò sunt nonnulli, qui symbolis inhærentes, secundùm illa accipiunt ea quæ supra ipsa sunt, & falsum opinantur; secundùm quam falsitatem etiam diuiduntur & multiplicantur. Hîc itaque Pater ait, ne diuersa illa symbolorum compositio insipida existat iis qui initiantur, si rerum sensilium tátùm esse videatur: Scripturarum enim lectiones vt etiam anagogen non haberent, probæ tamen vitæ disciplinam & prauitatis innuunt expiationem. Communis autem vnius eiusdemque panis ac calicis participatio morum cóformitatem præcipit: nam etiam Dominicæ cœnæ conuiuium ac conformitatem in memoriam reducit, quam & archisymbolam vocat, quasi primitus communicatam. Symbolum enim conuiuium dicitur, & cœna, quodque illic in commune confertur, vnde etiam symbolum est id quod datur, & asymbolus est imperfectus seu inutilis: iuxta quod etiam ipsemet symbolorum auctor (siue cómunionis scilicet, siue eorum quæ in cómune conferuntur, quidquid enim in commune confertur, Dei creatura est) iure meritissimo exortem facit & excludit Iudam, qui non sanctè cœnam frequentabat. Cùm enim ipsi mysticum panem calicemq; tradidisset, mysteria solis discipulis tradidit, postquam Iudas, quòd iis indignus esset, à cœnâ surrexisset.

Symbolum quid.

PARAPHRASIS PACHYMERÆ.

Qualiter accedendum ad Synaxim.

surrexisset. Vt quid itaque Iudam exortem facit diuinorum mysteriorum, cùm tamen vnà cœnarit? Vt ostenderet, non satis esse corporaliter tantùm adesse ac concœnare, (neque enim hoc perinde est ad Communionem) sed secundùm mentem adesse oportet. Quoniam illa, quæ secundùm habitum quasi ex scientiâ fit accessio, vera est, id est, vt quis animo sic constitutus sit, vt per Fidem ex affectu accedat, quod veram facit communionem: quod vtique Iudæ deerat, tametsi corpore præsens erat, atque vnà cœnabat.

§. 2. Ceterùm hæc, vt dixi, propter eos qui adhuc imperfecti sunt, & hinc ad sublimitatem contemplationis ascendere non valent, sensibiliùs dicta sint, ad conuenientem ipsorum animis erudiendis institutionem. Nos autem iis quæ præ foribus sunt relictis, ad ipsammet contemplationem ingrediamur, ab effectis ad causas, id est, ab iis quæ visibiliter geruntur ad inuisibilia mysticaque, quæ causæ sunt & exemplaria eorum quæ sub sensum cadunt. Porrò effectus dicuntur, ea quæ aliunde causam habent vt quoquo modo sint. Vel causas dicit eas, quæ quodammodò ad vltimum bonum spectant, & quarum gratiâ ac intuitu hos effectus, idque propter ipsas, perficimus. Sed ô diuinissimum ac sacrosanctum Sacramentum! ipsum enim tamquam animatum alloquitur, idque meritò, cùm etiam Theologus ille Magnus Gregorius dicat, Sed ô Pascha magnum ac sanctum! nostrum enim Pascha, vti & hoc sanctum Sacramentum, ipsemet Dominus noster Iesus Christus est, ad quem hic sanctus sermonem habet, vt reuelet inuolucra, vnicoque lumine mentem impleat.

Quid effectus.

Quid causa.

§. 3. Primùm itaque, quandoquidem ingressi sumus, simulacrum detegendum est. Simulacra autem vocat imagines rerum mysticarũ, sicut etiam in libro de Diuinis nominibus id planiùs accepimus. Primum porrò horum synaxeos Sacramentum appellauit, cuius sensum, siue id quod per cõtemplationem significatur, postulat explanari. Cùm igitur Episcopus sit typus Dei, videamus quomodo incipiat incensum adolere ab altari vsque ad extremitates templi, iterumque ad diuinum altare reuertatur. Itaq; Dei bonitas à semetipsâ ad omnia quæ prouidentiâ reguntur pro-

Episcopus Deum imitatur ex officio.

Διὰ τί τοίνυν τὸν Ἰούδαν ἀποκληροῖ τῶν θείων μυστηρίων, καίτοι γε συνδειπνήσαντα; Πάντως διδάσκων, ὡς οὐκ αὔταρκες τὸ σωματικῶς μόνον συμπαρεῖναι καὶ συνδειπνεῖν (οὐδὲ γάρ ἐστι τοῦτο πρὸς τὴν Κοινωνίαν ὅμοιον) ἀλλὰ τὸ κατὰ διάνοιαν συνεῖναι· ἡ γὰρ καθ' ἕξιν οἱονεὶ κατ' ἐπίγνωσιν ἀληθὴς προσέλευσις, τουτέστι τὸ ἐνδιαθέτως οὕτως ἔχειν, καὶ κατὰ τὴν διάνοιαν διὰ πίστεως εἰσιέναι, τὴν ἀληθινὴν κοινωνίαν ἐμποιεῖ· ὅπερ οὐκ ἦν τότε τῷ Ἰούδᾳ καὶ συμπαρόντι σωματικῶς καὶ συνδειπνοῦντι.

Ἀλλὰ ταῦτα μὲν οὖν, ὡς ἔφην, ἐρρέθησαν αἰσθητικωτέρως, διὰ τοὺς ἔτι ἀτελειώτους, καὶ μὴ δυναμένους εἰς τὸ ὕψος ἀπεντεῦθεν τῆς θεωρίας ἀνάγεσθαι, εἰς ψυχαγωγίαν αὐτῶν καὶ προσήκουσαν αὐτοῖς μάθησιν. Ἡμεῖς δὲ τὰ προπύλαια καταλιπόντες, ἐντὸς τῆς θεωρίας εἰσέλθωμεν ἀπὸ τῶν αἰτιατῶν εἰς τὰ αἴτια, τουτέστιν, ἀπὸ τῶν ὁρατῶς τελουμένων ἐπὶ τὰ ἀόρατα καὶ μυστικὰ, ἅπερ τῶν ἐν αἰσθήσει αἴτιά εἰσι καὶ ἀρχέτυπα. Αἰτιατὰ δὲ λέγονται, τὰ ἑτέρωθεν τὴν αἰτίαν τοῦ ὁπωσοῦν εἶναι ἔχοντα. Ἢ αἴτια λέγει, τὰ ὡσανεὶ τελικὰ, καὶ ὧν ἕνεκα, πρὸς ἃ ἀφορῶντες, ταῦτα δὴ τὰ αἰτιατὰ, καὶ τὰ ἕνεκα ἐκείνων, τελοῦμεν. Ἀλλ' ὦ θειοτάτη καὶ ἱερὰ τελετή; ὡς ἐμψύχῳ γὰρ αὐτῇ διαλέγεται· καὶ εἰκότως, καθὰ καὶ ὁ Θεολόγος μέγας Γρηγόριος, Ἀλλ' ὦ Πάσχα τὸ μέγα καὶ ἱερόν; τὸ ἡμέτερον γὰρ Πάσχα, καὶ ἡ τοιαύτη ἱερὰ τελετὴ, αὐτός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, πρὸς ὃν ποιεῖται τὸν λόγον ὁ Ἅγιος, ἵνα ἀποκαλύψῃ τὰ ἀμφιέσματα, καὶ ἀποπληρώσῃ τοῦ ἑνιαίου φωτός.

Δεῖ δὴ οὖν, ἐπειδὴ ἐντὸς ἐγενόμεθα, τὸ πρῶτον τῶν ἀγαλμάτων ἀπογυμνῶσαι. Ἀγάλματα δέ φησι τὰς εἰκόνας τῶν μυστικῶν, καθὼς καὶ ἐν τῷ περὶ Θείων ὀνομάτων πλατύτερον διελάβομεν. Πρῶτον δὲ τούτων, τὸ τῆς Συνάξεως μυστήριον ἀπεκάλεσεν, οὗ τινος τὸ νοητὸν, ἤγουν τὸ κατὰ θεωρίαν δηλούμενον, ἀπογυμνοῦν ἐπαγγέλλεται. Ἐπειδὴ τοίνυν τύπος ἐστὶ τοῦ Θεοῦ ὁ Ἐπίσκοπος, ἴδωμεν πῶς ἄρχεται θυμιᾶν ἀπὸ τοῦ θυσιαστηρίου ἕως τῶν ἐσχάτων, καὶ πάλιν ἐπαναστρέφει εἰς τὸ Θεοῦ θυσιαστήριον. Ἡ τοίνυν ἀγαθότης τοῦ Θεοῦ ἀφ' ἑαυτῆς ἐπὶ πάντα τὰ προνοούμενα πρόεισιν, ἀλλ' οὐκ ἔξω,

διὰ τούτων, τῆς κατ' οὐσίαν στάσεως γίνεται, ἧς δὴ οὐσίας τὸ κρύφιον δηλοῖ, τὸ ἄδυτον θυσιαστήριον, εἰς ὃ ἐπαναστρέφει ὁ Ἐπίσκοπος. Τοῦτον οὖν τὸν τρόπον ἔχει καὶ ἡ τῆς συνάξεως τελετὴ, διττὸς γὰρ τῆς ἐνταῦθα ἀναγωγῆς ὁ τρόπος. Καὶ ἔστιν οὗτος πρῶτος, Ὅτι κἂν ἡ θεία τῆς Συνάξεως τελετὴ, καὶ ἑνιαίαν καὶ ἁπλῆν καὶ συνεπτυγμένην ἔχῃ ἀρχὴν, πληθύνεται εἰς τὴν ἱερὰν ποικιλίαν τῶν συμβόλων, καὶ ἑνοειδῶς αὖθις ἐκ τούτων εἰς τὴν οἰκείαν μονάδα συνάγεται, καὶ ἑνοποιεῖ τοὺς ἐπ' αὐτὴν ἱερῶς ἀναγομένους. Δεύτερος δὲ τρόπος, Ὅτι ὁ θεῖος Ἱεράρχης εἰ καὶ χρᾶται τοῖς συμβόλοις, καὶ ἀπὸ τῆς ἑνιαίας ἐπιστήμης πληθύνεται διὰ τὴν τῶν ὑποβεβηκότων πρόνοιαν, ἀλλ' οὖν ὡς ἀπόλυτος πάντη τοῦ τῶν συμβόλων πλήθους, καὶ μὴ ἐπικοινωνῶν τοῖς χείροσιν, εἰς τὴν οἰκείαν ἀρχὴν ἐπάνεισι, καὶ τὴν εἰς τὸ ἓν νοερὰν εἴσοδον ποιησάμενος, ὁρᾷ νοητῶς τοὺς τῶν τελουμένων ἑνοειδεῖς λόγους, πέρας τῆς εἰς τὰ δεύτερα προόδου, τὴν εἰς τὰ πρῶτα ἐπιστροφὴν ποιούμενος.

Ἐνταῦθα λέγει, τί δηλοῖ ἡ σύμφωνος ψαλμῳδία. Ὅρα δὲ τὸ Συνουσιωμένη, ὅτι καὶ τὸ Σχεδὸν προσέθηκεν· οὐ γὰρ ἀλλήλοις ἥνωνται ταῦτα κατ' οὐσίαν, ἀλλὰ τῷ πρὸς ἕνα σκοπὸν τὰ πάντα συντελεῖν, τουτέστιν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἔφη τὸ Συνουσιωμένη· ὅθεν εὐθὺς ἐπήγαγε τὸ Σχεδὸν, κολάζων τὴν ἀπὸ τῆς λέξεως ἐναντίωσιν. Κατωτέρω δὲ, μίαν ἔμπνευσίν φησι, τουτέστι μίαν σύμπνοιαν, ὃ δηλοῖ τὸν ἕνα πάντων σκοπόν. Πῶς τοίνυν ἔμελλε διαχωρίζεσθαι ἡ ἱερὰ ψαλμῳδία τῶν μυστηρίων, καὶ μὴ παρευθὺς συναρτᾶσθαι, ἐπεὶ πρὸς ἕνα σκοπὸν ἀφορῶσι πάντα, καὶ ἕν τι τῶν εἰς σωτηρίαν ἀγόντων ὑφηγοῦνται; Ὅρα δὲ τῶν τῆς παλαιᾶς βιβλίων ὡς ἐν συντόμῳ ἐπίμνησιν. Ἡ γοῦν τῆς ὑπὸ γένεσιν ὑπάρξεως δέλτος, ἡ Γένεσίς ἐστιν· ἡ τῆς νομικῆς ἱεραρχίας, τὸ Λευιτικόν ἐστι καὶ τὸ Δευτερονόμιον· ἡ τῆς κληροδοσίας, τὸ τῶν Ἀριθμῶν βιβλίον, ἡ τῶν Βασιλέων, ἡ τῶν Κριτῶν ἐστι βίβλος. Παλαιοὺς δὲ ἄνδρας λέγει, τὸν Μωϋσῆν, τὸν Ἰησοῦν, τὸν Ἠλίαν, καὶ τοὺς καθεξῆς· θεῖα δὲ ᾄσματα, τὸν Ψαλτῆρά φησι· καὶ εἰκόνας, τὸ Ἆισμα τῶν ᾀσμάτων, καθὸ ὁ Χριστὸς νυμφίος, καὶ νύμφη ἡ Ἐκκλησία εἰκονίζεται. Προαναρ-

cedit; ſed propter hæc, ſecundùm eſſentiam ſuam, numquam à propriâ ſtatione recedit, cuius vtique eſſentiæ arcanum ſignificat altare illud inacceſſum, ad quod Epiſcopus reuertitur. Ad hunc itaque modum ſeſe habet Synaxeos Sacramētum, quoniam hîc duplex eſt ratio anagoges. Eſtque hæc prima, Quòd licet diuinum Synaxeos Sacramentum & vnicum, & ſimplex, & compactum habeat principium, multiplicetur tamen pro ſymbolorum varietate; atque vniformiter iterùm ex his ad propriam colligatur vnitatē, vnificetq; illos qui ad ſe ſanctè accedunt. Secunda verò ratio eſt, Quòd diuinus Pontifex tametſi ſymbolis vtatur, & ab vnicâ ſcientiâ, propter ſubditorum prouidentiam, multiplicetur, nihilominùs, ceu abſolutus omnino à ſymbolorum multitudine, neque rebus ſequioribus communicans, ad proprium principium reuertatur, & ad vnum ſpiritalem faciens introitum, cernat ſpiritaliter vniformes Sacramentorum rationes, dum ſui ad inferiora progreſſus finem, diuiniorem ad prima facit reuerſionem.

PARAPHRASIS PACHYMERÆ.

§. 4. Dicit hîc etiam, quid conſona pſalmodia ſignificet. Obſerua verò illud συνουσιωμένη, conſubſtantiata, cui etiam Ferè addidit: neq; enim hæc inter ſe per ſubſtantiam coniuncta ſunt, ſed eò quòd ad vnum omnia ſcopum pertineat, id eſt, ad hominum ſalutem, dixit illud συνουσιωμένη, ceu conſubſtantiata. vnde ſtatim ſubiunxit Ferè, dictionis repugnātiam corrigendo. Paulò autem infrà ait vnam inſpirationem, id eſt, vnam conſpirationem, quod declarat vnum finem eſſe omnium. Quomodo itaque ſacra Pſalmodia propter myſteria diſſideret, & non ſtatim conueniret, quandoquidem omnia ſpectent ad vnum ſcopum, vnumq; quid rerum ad ſalutem cōducentium explanent? Obſerua autem librorum omnium antiqui Teſtamenti quaſi cōpendio commemorationem. Textus itaque qui conditam deſcribit ſubſtantiam, eſt Geneſis; qui legalem Hierarchiā, eſt Leuiticus & Deuteronomium; qui hereditatū diſtributiones, eſt liber Numerorum, eſt & Regum Iudicumque liber. Priſcos autem viros vocat Moyſen, Ioſue, Eliam, & qui ſequūtur: diuina verò Cantica appellat Pſaltem, & imagines, Canticum canticorum, vbi Chriſtus ſponſus & Eccleſia ſponſa figuratur; futurorum prædi-

Quid Pſalmodia.

Quid libri veteris Teſtamenti.

PARAPHRASIS PACHYMERÆ.

prædictiones vocat Prophetias. Deinde introducit ea quę sunt noui Testamenti, vt humanas Iesu actiones, quas Deus existens, cùm in corpore versaretur, exercuit, Discipulorum Actus atque doctrinas; recenset enim quæ gesserunt atque docuerunt. Mysticam verò visionem existimo vocare Apocalypsin diui Ioannis Euangelistæ: porrò supramundialem Theologiam, eiusdem Euangelium.

§. 5. Hæc vtique omnia sacræ Paginæ cum sanctis Sacramentis coniunxerunt: nihil enim omnino tacitè celebratur, neque aliter quàm per diuinos Hymnos & Psalmos. Itaque Psalmorum scopus est laudare Deum, virosque Deo gratos ad eiusdem laudes excitandi, & in iis conueniendi vim habent, quæ, inquit, necessariò adhibetur omnibus iis quæ Hierarchicè geruntur, eò quòd psallentibus constantem eorum quæ psalluntur memoriam ingeneret, & animales nostras affectiones cōgruè disponat ad mysteria, quæ paulò pòst sunt celebranda. Quin etiam psalmodiæ concentum accipe, ad eam quæ cum Deo & ad inuicem, & cum semetipso est concordiam edocendam. Hęc vbi peracta sunt, & hymnologia rectè nostras animas composuit, & veluti vnicâ concordique choreâ concordauit ineffabilem illam nostram spiritalem psalmodiam, quam & concisam & obumbratam dicit; illud quidem, tamquam spiritalem vnicamque, hoc verò, tamquam obscuram & secundùm animam pluribus imaginibus explicatam. Alia est enim figura psalmodiæ, & alia lectionis; quare etiam per lectiones istiusmodi hymnologia dilatatur. Rursus in hisce lectionibus qui ad sensum attendit, videbit quomodo ritè omnia & vt oportet ordinata sint, idque secundùm inspirationem & instinctum diuini viuificique Spiritus. Leguntur enim primùm ea quæ sunt veteris Testamenti, deinde quæ sunt noui similiter: quoniam illud quidē de Christo disseruit, hoc verò ipsum exhibuit; atque illud quidem figuras descripsit, hoc verò manifestè veritatem demonstrauit: atque illud item Theologia vocari possit seu sermo de Deo, hic verò θεουργία seu opus Dei, quoniā ipsummet Deū in corpore exhibuit.

§. 6. Qui quidem sacrarum harum lectionum tubarumq; spiritalium penitus exortes sunt, ne ipsas quidem imagines contuentur: nam

ῥήσεις τῶν ἐσομένων, τὰς Προφητείας. Ἐντεῦθεν τὰ τῆς νέας εἰσάγει, τοῦ Ἰησοῦ τὰς ἀνθρωπικὰς θεουργίας, ἃς Θεὸς ὤν, διεπράττετο ἀναστρεφόμενος μετὰ σώματος· τὰς τῶν μαθητῶν Πράξεις καὶ διδασκαλίας, ὅσα γὰρ ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν, φησί. Τὴν μυστικὴν δὲ ἐποψίαν οἶμαι λέγειν τὴν Ἀποκάλυψιν τοῦ θείου Ἰωάννου καὶ Εὐαγγελιστοῦ· ὑπερκόσμιον δὲ Θεολογίαν, τὸ κατ' αὐτὸν Εὐαγγέλιον.

Ἃ δὴ ταῦτα πάντα ἡ ἱερολογία τῶν ἁγίαις τελεταῖς συνερρίζωσεν· οὐδὲν γὰρ τελεῖται σιωπηλῶς πάντη, εἰ μὴ δι' ὕμνων θείων καὶ ψαλμῶν. Ὁ γοῦν τῶν Ψαλμῶν ἐστι σκοπὸς, τὸ ὑμνῆσαι Θεόν τε, καὶ τοὺς περὶ Θεοῦ γνησίους ἄνδρας ὑπαγορευτικὴν τῶν τοιούτων καὶ προτρεπτικὴν ἐχόντων δύναμιν· ἥ τις, φησὶν, ἀναγκαίως ἐν πᾶσι τοῖς ἱεραρχικῶς τελουμένοις παραλαμβάνεται, ἔμμονον τὴν τῶν ψαλλομένων μνήμην ἐμποιοῦσα τοῖς ψάλλουσι, καὶ τὰς ψυχικὰς ἡμῶν ἕξεις ἐναρμονίως διατιθεῖσα πρὸς τὰ μικρὸν ὕστερον τελεσθησόμενα μυστήρια. Λάβε δὲ καὶ τὸ τῆς ψαλμῳδίας σύμφωνον, εἰς διδασκαλίαν τῆς πρὸς Θεὸν καὶ πρὸς ἀλλήλους καὶ πρὸς ἑαυτὴν ὁμοφροσύνης. Ὅταν γοῦν ταῦτα γένηται, καὶ ἡ ὑμνολογία καλῶς διαθήσῃ τὰς ἡμετέρας ψυχὰς, καὶ εἰς ὁμοφροσύνην συνάξῃ, ὡς ἂν διὰ μιᾶς καὶ ὁμολόγου χορείας τὴν ἀνεκλάλητον ἡμῶν νοερὰν ψαλμῳδίαν, ἣν καὶ συντετμημένην καὶ συνεσκιασμένην λέγει· τὸ μὲν, ὡς νοερὰν καὶ ἑνιαίαν· τὸ δὲ, ὡς ἀφανῆ καὶ κατὰ ψυχὴν· διὰ πλειόνων ἐξαπλώσῃ εἰκόνων. Ἄλλη γὰρ εἰκὼν τῆς ψαλμῳδίας, καὶ ἄλλη τῆς ἀναγνώσεως· εὐρύνεται πάντως ἡ τοιαύτη ὑμνολογία, καὶ διὰ τῶν ἀναγνώσεων. Πάλιν ἐν ταύταις ταῖς ἀναγνώσεσιν ὁ κατὰ νοῦν βλέπων, ὄψεται πῶς τὰ πάντα καλῶς καὶ ὡς δεῖ ἐτάχθησαν, καὶ κατὰ ἔμπνευσιν καὶ κίνησιν τοῦ θείου καὶ ζωαρχικοῦ Πνεύματος. Ἀναγινώσκονται γὰρ τὰ τῆς παλαιᾶς Διαθήκης πρότερον, εἶθ' οὕτως τῆς νέας· ὅτε ἡ μὲν εἶπε τὰ περὶ Χριστοῦ, ἡ δὲ ἐτέλεσε· καὶ ἡ μὲν εἰκόνας ἔγραψεν, ἡ δὲ φανερῶς ὑπέδειξε τὴν ἀλήθειαν· καὶ ἡ μὲν Θεολογία καλοῖτο ἄν, ἡ δὲ νέα Θεουργία, ὅτι Θεὸν ὑπέδειξε μετὰ σώματος.

Τούτων τῶν ἱερῶν ἀναγνώσεων, οἱ μὲν τελέως ἔξω που τῶν πνευματικῶν σαλπίγγων ἱστάμενοι, οὐδὲ τὰς εἰκόνας ὁρῶσιν· ἀπέμυ-

σαν

PARAPHRASIS PACHYMERÆ.

σιν γὰρ ἅπαξ πρὸς τὸ φῶς τῆς σωτηρίας, καὶ ἀπολέγουσι καὶ ἀντιφθέγγονται πρὸς τὸν καλοῦντα Θεὸν, Τὰς ὁδούς σου εἰδέναι οὐ βούλομαι. Σάλπιγγας δὲ παραλαμβάνει, ἢ διὰ τὸν πνευματικὸν τῶν πιστῶν πόλεμον, ὃν ἔχουσι πρὸς τὸν ἀντικείμενον, ἢ διὰ τὴν ἐπὶ τοῦ Σινᾶ συναγωγὴν τοῦ λαοῦ καὶ τὴν ἐκεῖσε κατ' ἀξίαν τάξιν· οἱ γὰρ ἔσχατοι ἐκείνων, τῶν φωνῶν καὶ τῶν σαλπίγγων κατήκουον. Ταύτας δὲ τὰς τρεῖς τάξεις, τῶν Κατηχουμένων, τῶν ὑπὸ πνευμάτων ἐνεργουμένων, καὶ τῶν ἐν μετανοίᾳ ὄντων, ἐφίησι μὲν ὁ ἱερὸς θεσμὸς ἐπακούειν τῆς ἀναγνώσεως, ἀπείργει δὲ τῶν ἑξῆς μυστηρίων. Πλὴν καὶ ἡ τάξις τῆς στάσεως τούτων, κατὰ δικαιοσύνην ἐτάχθη· καὶ ἐσχάτη μὲν τάξις τοῖς Κατηχουμένοις ἀπονενέμηται, ὡς ἀμυήτοις, ἔτι καὶ μὴ τελείαν τὴν κατὰ Θεὸν ἀπότεξιν ἔχουσιν· ὡς γὰρ ἐπὶ τῆς σωματικῆς ἔχει, ὅτι τὰ ἠλιτόμηνα καὶ ἐκτρώματα οὐκ ἄν τις πρὸς τὸ φῶς ἀναχθῆναι εἴποι, διότι τῆς μητρικῆς γαστρὸς ἀτέλεστα ἐκπεπτώκασι (φαίη γὰρ ὁ φυσικὸς καὶ ἰατρικὸς ἔχων, ὡς οὐκ ἂν εἰς αὐτὰ τὸ φῶς ἐνεργήσειε, φύσιν ἔχον εἰς ἐκεῖνα ἐνεργεῖν, ἃ δὴ καὶ φωτὸς δεκτικά εἰσιν) οὕτω καὶ ἐπὶ τῆς πνευματικῆς ἔχει· ἔτι γὰρ οἱ Κατηχούμενοι ὑπὸ τῶν Λογίων μορφοῦνται, καὶ οὐ τελείαν ἀπέλαβον μόρφωσιν, τελεσφορηθήσονται δὲ, ὅταν θείῳ ἀναγεννηθῶσι Βαπτίσματι· τότε καὶ ὡς δεκτικοῖς αὐτοῖς τοῦ φωτὸς οὖσιν, ἐπιλάμποι ἂν τὰ τῶν θείων μυστηρίων φῶτα· νῦν δὲ ἀποδιαστέλλονται, προνοουμένης τῆς Ἱεραρχίας καὶ τῆς εὐκοσμίας τῶν ἱερῶν, ἵνα μὴ καὶ τοῖς τυχοῦσι κατάδηλα ᾖ, καὶ αὐτῶν δὴ τῶν Κατηχουμένων, τῆς κατὰ Πνεῦμα ζωῆς, κατὰ καιρὸν τὸν προσήκοντα μελλόντων ἐν τῷ γεννηθῆναι διὰ Βαπτίσματος, καὶ τὰ θεῖα ἀπολαβεῖν φῶτα. Ἤγουν τῶν Κατηχουμένων τάξις, ἐσχάτη ἐστίν.

Ἡ δὲ διὰ τῶν πνευμάτων ἐνεργουμένων, δευτέρα καὶ ἐμπροσθία· τοῦτο γάρ ἐστι τὸ πρὸς τὸ ἄνω· εἰ γὰρ καὶ δευτέρα ἐστὶ πρὸς τοὺς Κατηχουμένους, ἀλλὰ πρὸς τὸ ἄνω, ὅτι οὗτοι ἐτελέσθησαν, καὶ οὐκ ἀμύητοι εἰσιν ὡς ἐκεῖνοι, εἰ τι ἡ θεία κοινωνία συστέλλεται, καὶ ἀπὸ τῶν ἐνεχομένων σωματικοῖς θελκτηρίοις, ἤγουν πάθεσι καὶ τραχαῖς ἡδοναῖς, καὶ ἐπικρίνει καλῶς ἔχειν τὴν τάξιν ἐκ τῶν ἐναντίων ἐπιχειρῶν. Εἰ γάρ ἐστι, φησὶν, ἀληθὲς, ὡς ὁ κατὰ Θεὸν ἄνθρωπος οὐδὲν τῆς σαρκὸς ἐνεργήσει παρὰ τὰ κατὰ φύσιν ἀναγκαιότατα, τὸ φαγεῖν, τὸ πιεῖν, τὸ ὑπνῶσαι, καὶ ταῦτα παρέργως, ναὸς δὲ ἔσται καὶ ὀπαδὸς κατὰ

oculos semel ad lumen salutis occluserunt, Deoq; ipsos vocanti obstrepūt, Vias tuas scire nolo. Tubas autē accipit, vel propter spiritale bellum fideliū quod habent cum aduersario, vel propter illā populi in Sina congregationē secundùm ordinem dignitatis; nam vltimi illorū voces ac tubas audiebant. Porrò tres ordines hos, Catechumenorum, & à spiritibus obsessorum, pœnitentiumq;, sacra quidē sanctio permittit audire lectiones, verùm arcet à sequētibus mysteriis. Quin & ordo status eorum secundùm iustitiam definitus est: atque vltimus quidē ordo attributus est Catechumenis, vtpote nullo adhuc Sacramento initiatis, & secundùm Deum necdum perfectè natis. Quemadmodum enim in rebus corporeis accidit, vt imperfectos fœtus & aborsus nemo dixerit in lucem esse editos, eò quòd imperfecti materno vtero exciderint (nam Physicus Medicusq; dicent, lucem in iis nihil operari, cùm à naturâ habeat, vt operetur in iis quæ lucis sunt capacia) eodem modo in spiritalibus se res habet. Catechumeni enim adhuc Eloquiis informantur, neque dum perfectam formam acceperūt, sed perfecti erunt, quando diuino Baptismate fuerint regenerati; tunc autem iis, tamquam lucis excipiendæ capacibus, diuinorum mysteriorum lumina collucebunt; nunc verò arcentur, Hierarchiâ sacrorumque ordine sic prouidente, ne quibuslibet propaletur, etiam Catechumenis, qui tempore opportuno, vbi per Baptisma renascuntur, vitam spiritalem diuinaque lumina recipiunt. Quare Catechumenorum ordo est postremus.

Quid Catechumenis audire licitum, quid videre prohibitum.

§. 7. *Quid energumeni.*

Qui verò à spiritibus immundis agitantur, ordinis sunt secundi & anterioris, id est superioris. Siquidem hic ordo secundus est à Catechumenis, sed superior, quoniam hi initiati sunt & minimè exortes Sacramenti, vt illi, tametsi & illis quoque, qui corporeis illecebris aut passionibus perturbationibusque irretiti sunt, diuina Communio subtrahitur, eumque ordinem rectè se habere à contrario confirmat. Nam si verū est, inquit, diuinum prorsus virum ea quę carnis sunt minimè curaturū citra naturæ necessitatem, vt in comedendo, bibendo, dormiendo, & hæc obiter, sed templum sectatoremq; spiritus per omnia

futurum; manifestum est, virum eiuscemodi, vtpote Deo vnitum, nequaquam ab immundo spiritu agitandum; sed potiùs ipsum irrisurum & subacturum, insectaturumque, illaturumq; potiùs aliquid quàm ab eo passurum; quin imò quoque aliis se medicũ spiritalem exhibebit. Prætereà compertum habeo, sincerissimum sacrorũ ordinum iudicium magis dæmoniacos existimare illos qui inertiâ diffluunt, quàm qui spiritibus succumbunt; siquidem qui tales sunt, propter turpissimam voluptatem, & eam quę in alienis minimè est, sed esse videtur, felicitatem, vera bona prodegerunt. Aliena autem vocat quæ ad peccatum pertinent: non enim peccatum est quid naturale. Vel aliena dicit ea quæ mundi sunt, quòd nullius propriè sint propria, sed ab aliis ad alios transeant: aut etiam quòd in his nequaquam omnino posita sit nostra viuendi ratio, sed aliam vitam spectet, cuius etiã gratiâ nati sumus. Cùm itaque hi magis propriè spiritibus subiaceant, meritò à Communione excluduntur: neque enim eis licet alterius cuiusquam participes esse præterquam lectionis Scripturarum, vt per eas reuertantur ad ea quibus exciderunt. Hæc autem omnia dicta sunt à viro sancto de iis qui passionibus obnoxij sunt, & adhuc manent impœnitentes, tamquã si à maiori inferens argumentaretur. Si enim, inquit, illos qui in ipsâ adhuc pœnitentiâ versantur sacrorum diuinorum celebratio repellat, eò quòd non omnino sanctissimi sint, nequaquam eos admittens, proclamando quodammodò se omnibus suâ communicatione indignis inuisibilem incommunicabilemque existere, multò magis ab eâ arcebuntur qui adhuc impœnitentes sunt. Vbi autem à diuino templo exclusi sunt Catechumeni, qui necdum Sacris initiati sunt, quique passionibus obnoxij sunt, & à diuinâ vitâ defecerunt; atque insuper etiam qui à spiritibus vexantur, & hanc pœnam subeunt, nec excusationem habent, quòd hæc inuiti sustineant, quoniam semetipsos spiritibus immundis tradiderunt, cùm nec intensionem neque firmitatem in diuinis obtineant. Deinde cum his quoque illi, quos erratorum quidem suorum pœnitet, & contrariæ vitæ nuntium miserunt, nondum tamen perfectè puri sunt, & secundùm hos ij qui non omnino immaculati sunt & intemerati, prout in Lege

Spiritales dæmoniaci peiores corporalibus.

Cur pœnitentes arceantur.

πάντα τοῦ πνεύματος· εὔδηλον ὡς ὁ τοιοῦτος ἅτε Θεῷ ἡνωμένος, οὐκ ἐνεργηθήσεται ὑπὸ ἀκαθάρτου πνεύματος· γελάσεται δὲ μᾶλλον αὐτὸ καὶ καταπαλαίσει, καὶ ἐκδιώξεται καὶ δράσει μᾶλλον εἰς αὐτὸ παρὸ πείσεται παρ᾽ αὐτοῦ· μᾶλλον δὲ καὶ ἑτέροις ἰατρὸς πνευματικὸς ὀφθήσεται. Ἔτι, μᾶλλον δὲ ἀκριβῶς οἶδα, ὡς ἡ τῶν ἱεραρχικῶν ἀμιγὴς τῶν χειρόνων ἁπάντων διάκρισις, μᾶλλον ἔχει δαιμονῶντας τοὺς ἀσελγεῖς, ἢ τοὺς ὑπὸ πνευμάτων καταπίπτοντας· καὶ γὰρ οἱ τοιοῦτοι τὰ ὄντως ὄντα προήκαντο διὰ τὴν αἰσχίστην ἡδονήν, καὶ τὴν ἀβέβαιον ἐν τοῖς ἀλλοτρίοις οὐκ οὖσαν, ἀλλὰ δοκοῦσαν εὐπάθειαν. Ἀλλότρια δὲ λέγει τὰ πρὸς ἁμαρτίαν· οὐ γὰρ φυσικὴ ἡ ἁμαρτία. Ἢ ἀλλότριά φησι τὰ κατὰ κόσμον, ὡς οὔ τινος ἰδικὰ ἰδίως, ἀλλ᾽ ἐξ ἄλλων εἰς ἄλλους μεταπίπτοντα· ἢ καὶ ὡς οὐκ οὔσης ἐν τούτοις διὰ παντὸς τῆς ἡμετέρας διαγωγῆς, ἀλλὰ πρὸς ἕτερον βίον ὁρώσης, ἐφ᾽ ᾧ καὶ γεγόναμεν. Διὰ γοῦν τοῦτο κυριωτέρως οὗτοι τῶν ὑπὸ πνευμάτων καταπιπτόντων, τῆς Κοινωνίας ἀφορισθήσονται· οὐ γὰρ θεμιτὸν αὐτοῖς ἑτέρου τινὸς ἱεροῦ μετασχεῖν, ἢ τῆς τῶν Λογίων ἀναγνώσεως, ὡς ἂν δι᾽ αὐτῶν ἐπιστρέφοιντο ἐπὶ τὰ ἐξ ὧν ἐξέπεσον. Ταῦτα δὲ πάντα εἴρηται τῷ Ἁγίῳ περὶ τῶν ἐμπαθῶν, καὶ ἔτι μενόντων ἀμετανοήτων, ὡς ἔχει τὸ ἀπὸ τοῦ μείζονος ἐπιφερόμενον ἐπιχείρημα. Φησὶ γὰρ, Εἰ γὰρ καὶ τοὺς πρὸς αὐτῇ τῇ μετανοίᾳ ὄντας ἡ τῶν θείων ἱερουργία ἀπωθεῖται, οὐ προσιεμένη τούτοις διὰ τὸ μὴ εἶναι παντελῶς ἱερωτάτους, προσφωνοῦσα, οἷον, ὡς ἀθέατός εἰμι καὶ ἀκοινώνητος πᾶσι τοῖς μὴ ἀξίοις εἰς Κοινωνίαν, πολλῷ γε μᾶλλον ἀπειρχθήσονται ταύτης οἱ ἔτι ἀμετανόητοι. Ἐπεὶ δὲ τοῦ θείου ναοῦ γεγόνασιν ἔξω, καὶ οἱ ἀμύητοι Κατηχούμενοι, καὶ οἱ ἐμπαθεῖς, ὡς ἀποστάται τῆς θείας ζωῆς· προσέτι δὲ καὶ οἱ ὑπὸ πνευμάτων ἐνοχλούμενοι, πρόσιμον ἔχοντες καὶ οὗτοι, καὶ οὐκ ἔχοντες ἀπολογίαν τὸ ἀκουσίως πάσχειν, αὐτοὶ γὰρ ἔδωκαν ἑαυτοὺς τοῖς ἀκαθάρτοις πνεύμασι, μὴ συντονίαν πρὸς τὰ θεῖα καὶ στερρότητα κεκτημένοι. Εἶτα σὺν τούτοις καὶ οἱ μετανοήσαντες μὲν ἐπὶ τοῖς ἰδίοις σφάλμασι, καὶ τῆς ἐναντίας ἀποστάντες ζωῆς, οὔπω δὲ τελέως καθαρθέντες· καὶ μετ᾽ αὐτοὺς οἱ μὴ ἄμωμοι πάντη καὶ ἀλώβητοι, καθὼς καὶ ἐν τῷ νόμῳ τὸ εἰς θυσίαν

ἐζητεῖτο

ἐζητεῖτο πρόβατον· οἶμαι δὲ λέγειν τούτοις, τοὺς μὴ ἱερωσύνῃ διαπρέποντας· οὐ γὰρ καὶ οὗτοι ἔξω που ἵστανται, ἀλλ' ἔξω μόνον τοῦ θυσιαστηρίου ἱστάμενοι, ἀπείργονται τῆς ἱερᾶς ἐποψίας διὰ τῶν ἀναμέσον ἐφαπλουμένων παραπετασμάτων. Τότε οἱ πανίεροι φιλοθεάμονες ἐποπτεύοντες, ὑμνοῦσιν ὑμνολογίαν καθολικὴν, ἢ ὡς ὑπὸ πάντων ᾀδομένην, ἢ ὡς ὑπὲρ καθολικῆς χάριτος γινομένην. Τοῦτον τὸν ὕμνον, οἱ μὲν ὑμνολογίαν, οἱ δὲ τῆς θρησκείας τὸ σύμβολον λέγουσιν· ἄλλοι δὲ θειότερον ἱεραρχικὴν εὐχαριστίαν φασὶν, ὡς περιεκτικὴν ἁπάσης ὑπὲρ πάντων εἰς ἡμᾶς ἀγαθῶν εὐχαριστίας· περιέχει γὰρ τὰ εἰς ἡμᾶς θεόθεν ἀφικνούμενα ἱερὰ δῶρα, καὶ καλῶς ὁ ὑπὲρ πάντων λόγος εὐχαριστία ἐκλήθη, ὅτι πᾶν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας ἐπραγματεύθη. Καὶ γὰρ καὶ πρώτως παρὰ τοῦ ἀγαθοῦ Θεοῦ ὑπέστημεν, καὶ τοῖς ἀρχετύποις κάλλεσι πρὸς τὸ θεοειδὲς ἐμορφώθημεν. Ἀρχέτυπα δέ φησι, τὰ τῇ θείᾳ φύσει ἐπιθεωρούμενα, ὧν τὴν κατὰ τὸ ἐνδεχόμενον μετουσίαν τοῖς ἀνθρώποις Θεὸς ἐδωρήσατο, καὶ θειοτέρας ἀναγωγῆς ἐν τῷ παραδείσῳ κατηξιώθημεν. Εἶτα ἐπεὶ ἐξ ἀπροσεξίας τῶν ἀγαθῶν ἐκείνων ἐξώσθημεν, ἐπισκευασταῖς ἀγαθοῖς, εἰς τὸ ἀρχαῖον ἔγνω ἀνακαλέσασθαι. Ἐπισκευαστὰ δὲ λέγει τὰ ἀγαθὰ, ὅτι ἁμαρτωλοὶ ὄντες, χάριτι ἐκαλλωπίσθημεν καὶ ἐσώθημεν, καὶ διὰ τῆς παντελοῦς προσλήψεως, τῆς τελείας λέγω ἐνανθρωπήσεως, τὴν τῶν οἰκείων μετάδοσιν ἀγαθουργῆσαι. Τοῦτο λέγει καὶ ὁ μέγας Γρηγόριος· Προσέλαβε τὸ χεῖρον, ἵνα δῷ τὸ βέλτιον.

Σημείωσαι δὲ, ὅτι κεφαλαιωδῶς τὴν ἱερὰν ὑμνολογίαν πᾶσαν ἐν τούτοις διέλαβε, καθ' ἣν τῆς φιλανθρωπίας τοῦ Θεοῦ ὑμνηθείσης, περικεκαλυμμένων κειμένων τῶν δώρων, ὁ ἀσπασμὸς τελεῖται, καὶ τῶν πτυχῶν ἡ ἀνάρρησις. Καὶ ὁ μὲν ἀσπασμὸς, ὅτι πως συναχθήσονται ἐπὶ τὴν ἑνιαίαν ἐκείνην διὰ τῆς ἁγίας μεταλήψεως κατάστασιν, οἱ διῃρημένοι κατά τι, ἢ πρὸς ἑαυτοὺς, ἢ πρὸς ἀλλήλους. Τὸ γοῦν πρὸς ἀλλήλους ἑνωθῆναι, ὁ ἀσπασμὸς δηλοῖ. Τὸ δὲ πρὸς ἑαυτοὺς, πῶς; Ἢ δηλονότι καὶ ἕκαστος ἑνίζεται πρὸς ἑαυτὸν, καὶ εἰς μίαν ὁρμὴν φέρεται, τὴν πρὸς τὸν ἀδελφὸν δηλονότι σύμπνοιαν. Εἰ γὰρ μὴ ἑαυτόν τις εἰς τὸ ἓν συνάξει γενέσθαι τοιᾶσδέ τινος ὁρμῆς, οὐκ ἂν εἰς τοῦτο ὁρμήσειε πώποτε. Ταῦτα δὲ πράττονται, ὡς οὐ καλὸν ὂν,

PARAPHRASIS PACHYMERÆ.

quoque ad ſacrificium agnus requirebatur: opinor autẽ ſignificari illos qui non ſunt apti Sacerdotio; ſiquidem hi non ſtant foris, ſed ſolùm, cùm non adſtent altari, à diuino aſpectu arcentur per velamina quæ in medio expanduntur. Tum demum ſacratiſſimi ſpectatores Hoſtiã contemplantes vniuerſale quoddam laudis canticum concinunt, quod vel ab omnibus canitur, vel pro vniuerſali quaſi gratiâ offertur. Hunc Hymnum autem, alij quidem hymnologiam, alij Religionis ſymbolum appellant: alij verò diuiniùs, Hierarchicam euchariſtiam vocant, vt quę omnem pro omnibus erga nos bonis gratiarum actionem complectatur: continet enim illa ſacra munera quæ diuinitus ad nos dimanant, rectéque pro omnibus gratiarum actio nuncupata eſt, quia quidquid ad ſalutem noſtram ſpectat, operata eſt. Etenim primùm à bono Deo conditi, & primigeniis pulchritudinibus ad deiformitatem efformati ſumus. Primigenia verò vocat ea quæ in diuinâ naturâ conſpiciuntur, quorum homines pro captu modóque ſuo Deus participes effecit, & in paradiſo diuiniori ad ſuperna modo ſurrigebamur. Ceterùm cùm imprudẽtiâ noſtrâ bonis illis excidiſſemus, præparatis hiſce bonis ad priſtinum nos ſtatum reuocare minimè dubitauit. Præparata porrò vocat bona illa; quoniam cùm eſſemus peccatores, gratiâ ſaluati & ornati ſumus, & omnimodâ aſſumptione, perfectæ inquã humanitatis, propriorum nos bonorum participes effecit. Hoc eſt quod & Magnus Gregorius ait, *Aſſumpſit deterius, vt daret id quod eſt melius.*

Quid hymnologia euchariſtica.

§. 8. Nota verò, vt ſummatim his complexus ſit ſacram omnem hymnologiam, ſecundùm quam benignitate Dei collaudatâ, propoſitis muneribus coopertis, ſalutatio ac tabularum recitatio finitur. Ac ſalutatio quidẽ deſignat, quomodo ad vnum aliquem ſtatum per ſacram Cõmunionem adducendi ſint illi qui vel ſecum ipſi, vel cum aliis in aliquo diſſidebant. Nos itaque ſalutatio ſibi inuicem cõiungi ſignificat. Quomodo autem ſecum? Quia nimirum ipſe ſecum quilibet vnitur, & ad vnum affectum fertur, v. g. fraternam conſpirationem. Niſi enim ad vnum quis ſeſe colligat, vt talem aliquem affectum concipiat, numquã ipſum exprimet. Hæc autem geruntur, quaſi minimè decorum ſit, eos qui

Quid commemoratio & pacis oſculum.

PARAPHRASIS PACHYMERÆ.

in altari congregati coniunguntur, iterùm dilabi in diuisas cupiditates, è quibus omnino perturbatæ contra naturam inimicitiæ suscitantur. aduersus autem æquales dicit, id est hominum aduersus homines. Illud autem ad id quod secundùm naturam est, id est ad bonum: humanum enim bonum omne est secundùm naturam, sicut malum contra naturam. Vel etiam æqualem vocat eiusdem naturæ hominem, siue proximum.

§. 9. Hanc itaque coniunctam vitam salutatio sancit, dum simile in simili collocat, & diuina indiuiduaque à diuiduis humanisq; secernit. Et sic quidem hasq; ob causas fit salutatio; tabularum verò recitatio deprædicat eos qui sanctè vixerunt, quin imò etiam viuentes excitat ad eiuscemodi æmulationem: non enim Sanctos quasi mortuos habemus, sed vt viuentes vitam meliorem atque sempiternã. Accipit autem hoc ex Salomone dicente,

Sap. 5, 6. *Iusti in perpetuum viuunt*, & ex sacris Euan-

Ioan. 11, 25 geliis, *Qui credit in me, etiamsi mortuus fuerit, viuet.* Non solùm itaque nos Sanctorum mentionem facimus, verùm etiam hos diuinæ memoriæ exhibemus. Post hæc quoque dicit, quomodo diuina fiat commemoratio: quod enim in Prophetis dicitur, Meminisse coram Domino, non ita intelligendũ, quasi Dei memoria renouetur in phantasiâ memoratiuâ, quod mentibus carni alligatis, id est nobis, vsu venit; sed quòd memoria Dei rectè dicatur Dei scientia, quâ cognoscit eos qui perfecti sunt, deiformes in se factos per vitam virtutibus illustrem, dignosque habitos, vt perennis eorum memoria seu notitia haberetur, quemadmodum diuina quo-

Ps. 115, 15. que Oracula testantur, *Pretiosa in conspectu Domini mors sanctorum*, non in quantum simpliciter mors est, & animæ à corpore separatio, sed quatenus diuini viri in sanctitate consummantur: sicut etiam vnctionem pretiosam dicimus, non quòd per se pretiosa sit, sed quòd pro religione applicata sit religionem prædicanti. Quin & hoc quoque Sanctorum cum Christo vnionem significat, quòd appositis muneribus pretiosis protinus quoque nomina recitentur.

§. 10. *Quid lotio.* His itaque peractis, adstans coram symbolis Hierarcha manus abluit, & vnà cum ipso om-

ἑνοποιηθέντας αὐτοὺς τῇ ἐντὸς τοῦ ἱεροῦ θυσιαστηρίου συναγωγῇ, ἐπὶ τὰς μεριστὰς καὶ πάλιν καταπίπτειν ἐπιθυμίας, ἐξ ὧν πάντως δημιουργοῦνται αἱ ἐμπαθεῖς ἀπέχθειαι πρὸς τὸ κατὰ φύσιν. Ὁμοειδεῖς δὲ λέγει ταύτας, ὡς ἀνθρώπων πρὸς ἀνθρώπους. Τὸ δὲ πρὸς τὸ κατὰ φύσιν, τὸ ἀγαθὸν δηλονότι· πᾶν γὰρ ἀνθρώπινον ἀγαθὸν κατὰ φύσιν, ὡς τὸ κακὸν παρὰ φύσιν. Ἢ μὴν τὸν ὁμοειδῆ καὶ τῆς αὐτῆς φύσεως ἄνθρωπον, εἴτουν τὸν πλησίον.

Ταύτην οὖν τὴν ἑνιαίαν ζωὴν ὁ ἀσπασμὸς νομοθετεῖ, ἐνιδρύων τῷ ὁμοίῳ τὸ ὅμοιον, καὶ ἀποδιαστέλλων τὰ θεῖα καὶ ἑνιαῖα τῶν μερικῶν καὶ ἀνθρωπίνων. Καὶ ὁ μὲν ἀσπασμὸς οὕτως καὶ διὰ ταῦτα· ἡ δὲ τῶν πτυχῶν ἀνάρρησις ἀνακηρύττει τοὺς βεβιωκότας ὁσίως, οὐ μὴν δὲ, ἀλλὰ καὶ τοὺς ζῶντας διεγείρει εἰς τὸν τοῦ ὁμοίου ζῆλον· οὐδὲ γὰρ ὡς τελευτήσαντας ἔχομεν τοὺς Ἁγίους, ἀλλ' ὡς ζῶντας κρείττονα ζωὴν καὶ ἀΐδιον. Λαμβάνει δὲ τοῦτο ἐκ Σολομῶντος, Δίκαιοι, λέγοντος, εἰς τὸν αἰῶνα ζῶσι· καὶ ἀπὸ τῶν ἱερῶν Εὐαγγελίων, Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται. Μὴ μόνον γοῦν ἡμεῖς τῶν ὁσίων μνημονεύομεν, ἀλλὰ καὶ τῇ τοῦ Θεοῦ μνημοσύνῃ τούτους ἀνατιθέμεθα. Μετὰ ταῦτα, καὶ πῶς ἡ θεία μνήμη γίνεται, λέγει· τὸ γὰρ λεγόμενον ἐν Προφήταις ἀναμνῆσαι ἐνώπιον Κυρίου, οὐχ οὕτως δεῖ νοεῖν, ὡς τῆς μνήμης τοῦ Θεοῦ ἀνανεουμένης ἐν τῇ φαντασίᾳ τοῦ * ἡγεμονικοῦ, ὅπερ ἐπὶ τῶν * μνημονικοῦ,

σαρκὶ προσδεδεμένων * ἱερῶν, τοῦτ' ἔστιν ἡμῶν, * νοερῶν,

συμβαίνει· ἀλλὰ μνήμη Θεοῦ λέγοιτο ἂν εἰκότως ἡ γνῶσις τοῦ Θεοῦ, καθ' ἣν γινώσκει τοὺς τελείους, θεοειδεῖς ἐν αὐτῷ γιγνομένους δι' ἐναρέτου βίου, καὶ ἀξιωθέντας τῆς ἀνεπιλήστου περὶ αὐτῶν γνώσεως, καθὼς παριστῶσι καὶ τὰ παρατεθέντα θεῖα ῥητά, Τίμιος δὲ ἐναντίον Κυρίου ὁ τῶν ὁσίων θάνατος, οὐ καθ' ὃ ἁπλῶς θάνατος καὶ διάζευξις ψυχῆς ἀπὸ σώματος, ἀλλὰ καθότι οἱ θεῖοι ἄνδρες τελειοῦνται ἐν ὁσιότητι· ὥσπερ λέγομεν καὶ τιμίαν ἄλυσιν, οὐ καθ' αὑτὴν τὸ τίμιον ἔχουσαν, ἀλλὰ διότι περιετέθη ὑπὲρ αὐτῆς τῆς εὐσεβείας τῷ κηρύττοντι τὴν εὐσέβειαν. Κἀκεῖνο δὲ τὸ τῆς πρὸς τὸν Χριστὸν ἑνώσεως ἀδιαίρετον τῶν Ἁγίων παρίστησιν, ὅτι τῶν τιμίων δωρεῶν ἐπιτεθεισῶν, ἀδιαστάτως ἡ τῶν ὀνομάτων ἀνακήρυξις γίνεται.

Τούτων οὖν γεγονότων, νίπτεται τὰς χεῖρας ὁ Ἱεράρχης ἔμπροσθεν τῶν ἱερῶν συμβόλων ἑστὼς,

καὶ

καὶ μετ' αὐτοῦ ἅπαντες οἱ Ἱερεῖς. Ἡ δὲ τῆς συντάξεως ἀνάγνωσις, καθ' ὑπερβατόν ἐστιν, ὅτι μὲν οὖν ὁ λελουμένος οὐ χρήζει ἀπονίπτεσθαι ἕτερα μέρη, εἰ μὴ τὰ ἄκρα καὶ τὰ ἔσχατα· ἀφ' ἧς δὴ ἀπονίψεως ἐν καθαρᾷ ἕξει γενόμενος, ἄχραντον ποιήσεται τὴν πρὸς τὸν Θεὸν ἐπιστροφὴν, ὁ ἱερὸς λουτὴρ ὁ ἐν τῷ νόμῳ εἰρημένος, καὶ ἡ νῦν ἀπόνιψις τῶν χειρῶν, δηλοῖ· τοῦτο γάρ ἐστι τὸ ὑπαινίσσεται. Ὡς γὰρ ὁ νόμος εἶχε λουτῆρα, οὕτως ἐνταῦθα ἡ ἀπόνιψις γίνεται τῶν χειρῶν. Ὁ δὲ Ἅγιος καὶ τὸ τὰς χεῖρας νίπτεσθαι ἀνάγει, δηλοῦται γὰρ ἐντεῦθεν ἡ μέχρι τῶν ἐσχάτων ἀκροτάτη κάθαρσις· ἔσχατα γὰρ καὶ ἄκρα τοῦ σώματος, αἱ χεῖρές εἰσι. Διὰ τοῦτο γὰρ λέγει καὶ τὸ Ἄσχετος ἔσται, δηλονότι ἀπόλυτος, ὡς μὴ τῇ ἥττονι ἀγωγῇ καὶ διαθέσει συνεχόμενος. Εἰ γὰρ καὶ τὰς ἐσχάτας τῆς ψυχῆς φαντασίας καθαρθήσονται, φανερωτέρας ἕξουσι τὰς θεοφανείας, τῶν ὑπερκοσμίων καὶ θείων μαρμαρυγῶν ἐφιέντων, (ἀντὶ τοῦ ἐφιεισῶν) τὴν οἰκείαν αἴγλην εἰς τὴν τῶν ὁμοειδῶν κατὰ χάριν ἐσόπτρων ἀγλαΐαν. Ἔσοπτρα δὲ λέγει τὰς τῶν Ἁγίων ψυχὰς, ὡς τοῦ θείου φωτὸς δεκτικὰς, καὶ τῆς κρείττονος λήξεως ἀφομοιωματικάς. Ἀττικίζων δὲ, ὡς Ἀθηναῖος συνέταξε τὸ ῥητὸν, φάσκων, τῶν μαρμαρυγῶν ἐφιέντων τὴν οἰκείαν αἴγλην· οὕτω γὰρ καὶ ἐν τῷ ζ. κεφαλαίῳ τῆς Οὐρανίου Ἱεραρχίας πεποίηκε, κατὰ τὸ, Κλυτὸς Ἱπποδάμεια, καὶ ψολόεντος ἐχίδνης. Διὰ τί δὲ ἐπίπροσθεν τῶν ἱερῶν συμβόλων ἡ τῶν Ἱερέων ἀπόνιψις γίνεται; Ὡς ἐπὶ Χριστοῦ τοῦ πάσας ἐφορῶντος τὰς ἀνθρωπίνας ἐννοίας, τῆς ἀκροτάτης ὁριζομένης καθάρσεως ἐν τοῖς πανεπισκόποις ἀκριβασμοῖς, καὶ τοῖς ἀδεκάστοις τούτου κρίσεσιν· οὕτω τοιγαροῦν ἑνωθεὶς ὁ Ἱεράρχης τοῖς θείοις, ἱερουργεῖ τὰ θειότατα. Τίνας μὲν οὖν τὰς εἰς ἡμᾶς θεουργίας φαμὲν, δηλονότι τὰς τοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν Χριστοῦ περὶ ἡμᾶς προνοίας, ἃς ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, εὐδοκίᾳ τοῦ Πατρὸς ἐν Πνεύματι ἁγίῳ ἐτελείωσεν, ἑξῆς κατὰ δύναμιν εἴπωμεν περὶ ὧν ἂν καὶ δυνηθείημεν. Ὅσα δὲ παρὰ τῶν ἐνθέων Ἱεραρχῶν ἱερουργούντων τὴν ἀναίμακτον θυσίαν ὑμνεῖται, ὡς ἡμῖν ἐφικτὸν, ἐροῦμεν.

Ἡ ἀνθρωπεία φύσις ἀρχῆθεν τοῦ παραδείσου ἐξολισθήσασα, παρεδόθη τῷ θανάτῳ· ἀκολούθως γὰρ ἡ παράβασις τὸν ἐξοισρή-

PARAPHRASIS PACHYMERÆ.

nes Sacerdotes. Lectio constructionis huius hyperbato seu transgressione cõstat, quòd nimirum qui lotus est, non opus habeat aliorum membrorum lotione, quàm summitatum seu extremitatum, à quâ vtique lotione purum habitum consecutus, immaculatam faciet ad Deum conuersionem, vti sacrum lauacrum, de quo in Lege dictum est, & hæc manuum lotio declarat. Hoc enim est quod insinuatur. Quemadmodum enim Lex habebat lauacrum, sic & hîc fit manuum ablutio. Hic Sanctus autem manuum lotionem adducit, quia hinc quoq; summa extremitatũ expiatio designatur: siquidem manus sunt corporis summitates seu extremitates. Idcircò etiam dicit ipsum liberum futurum, id est expeditum, vt qui nullâ inferiori conuersatione & affectione detineatur. Extremis enim animæ phantasiis expiati clarioribus quoque Dei apparitionibus gaudebunt, supermundialibus istis diuinisque coruscationibus in consimilis speciei speculâ, secundùm gratiã, lumen suum euibrantibus (ἐφιέντων dicẽs pro ἐφιεισῶν, masculinũ pro feminino.) Specula autem appellat Sanctorum animas, vtpote diuinæ lucis capaces, & ad meliorem illam sortem comparatas. Loquens autem Atticè, vt Atheniensis verbum hoc construxit, dicens, coruscationibus splendorem suum euibrantibus; eodem modo fecit capite septimo Cælestis Hierarchiæ, iuxta illud Κλυτὸς Ἱπποδάμεια, καὶ ψολόεντος ἐχίδνης. Ceterùm cur coram sacris symbolis illa Sacerdotum ablutio instituitur? quia nimirum coram Christo, qui occultissimas quasq; humanas cogitationes intuetur, suprema illa expiatio perspicacissimis scrutationibus, exactissimisq; & integerrimis iudiciis absoluitur: hoc enim modo Hierarcha diuinis rebus vnitus diuinissima consecrat mysteria. Quasdam autem diuinas in nos operationes dicimus, scilicet Iesu Christi Domini nostri circa nos prouidentias, quas in nostri generis salutem, beneplacito Patris, in Spiritu sancto perfecit. de his consequenter pro virili dicamus prout poterimus. Quæ verò à diuinis Hierarchis incruentam Hostiam sacrificantibus celebrentur, quoad possumus, proferemus.

Ioan. 13, 10

§. II. *Ordo peruersionis & reparationis nostræ.*

Natura humana ab initio vt paradiso excidit, morti tradita est; consequenter etiam præuaricatio primum parentem nostrum, diui-

PARAPHRASIS PACHYMERÆ.

diuinam voluntatem transgressum, deceptionibus erroris, iisq; quæ diuinis bonis aduersantur, vt morti & corruptioni, propriis suis propensionibus tradidit. Quid autem est, Propriis propensionibus? Cùm scilicet status nostri originē è terrâ ducamus (corpus enim nostrum ex eâ constat) meritò post transgressionem finem quoque origini consentaneum habemus in terram resoluti, cùm dictum sit, *Terra es, & in terram reuertêris.* Vel itaque propter id quod infertur, apponitur, Propriis propensionibus, vel etiam liberis ac spontaneis, & id quod infertur iterùm eodem modo intelligitur. Obserua verò quomodo dixerit, A vitâ quæ ad superna tendebat: ἀνάγωγος enim seu adducens vita quoque dicitur dissoluta & immorigera, quæ prauum ductum sequitur; hîc autem significat eam quæ superiora quærit, & ad Deum conuersa est. Hinc cùm natura à rectâ ad Deum viâ aberraret, minimè aduertit, se non diis & amicis, sed infestis hostibus fuisse obsecutam, quibus ipsâ crudeliter pro immanitate suâ abutentibus (quid enim mali non intulerũt?) in discrimen internecionis inciderat. quod etiam status priuationem vocat, scilicet mortem spiritalem. Verùm Deus noster propter infinitam suam bonitatē, per se nostri curam gerere non destitit; quoniam nimirum ipsummet Dei Verbum ea quæ nostra sunt assumens absq; peccato, quippe sine mutilatione manens omnino quod erat, nec à proprio statu deficiens (statum autem hîc non aliquam qualitatem immanentē vocat, sed naturalem suam permanentiam & constitutionem) sui nobis consortium tradidit, nec non virtutis apostaticæ aduersus nos imperium dissoluit (quam & multitudinem seu turbam vocat, non omnino propter numerum, sed quòd ab illo vnico, quique supra vnum est, Deo, quàm remotissimè defecerit) non in potentiâ Diuinitatis, sed in iudicio & iustitiâ. Cùm enim propter peccatũ morti traditi essemus, inuentus est ipse Dominus impeccabilis, atq; iure merito morte superior euasit. Et sicut ab vno primo Adamo ad omnes noxa venit, similiter ex vno quoq; secũdo Adam, Saluatore nostro Iesu Christo, ad omnes salus transijt. Hinc & naturam nostram immutauit, id quod obscurum erat lumine adimplens, & quod informe atque indecorum erat ornans,

Gen. 3,19.

σαντα τοῦ θείου θελήματος παραπαίσαντα ταῖς ἀπάταις τῆς πλάνης, τοῖς ἐναντίοις τῶν θείων ἀγαθῶν, τῷ θανάτῳ δηλονότι καὶ τῇ φθορᾷ, ἰδίαις ἑαυταῖς ῥοπαῖς παραδέδωκε. Τί δέ ἐστι τὸ, Οἰκείαις ῥοπαῖς; Ἤγουν ἐπειδὴ ἀρχὴν τῆς συστάσεως ἐκ γῆς ἔχομεν (τὸ γὰρ σωματικὸν ἡμῶν ἐξ αὐτῆς) εἰκότως μετὰ τὴν παράβασιν, καὶ τὸ τέλος πρόσφορον ἔχομεν τῇ ἀρχῇ, εἰς γῆν ἀναλύοντες, ἐπειδὴ ἐρρέθη, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ἤγουν διὰ τὸ ἐπιφερόμενον τίθεται τὸ Οἰκείαις ὁρμαῖς, ἢ δηλονότι προαιρετικαῖς καὶ αὐτεξουσίοις, καὶ τὸ ἐπιφερόμενον πάλιν καθ᾽ αὑτὸ νοεῖται. Ὅρα δὲ πῶς εἶπε τὸ Ἀναγώγου ζωῆς· ἀνάγωγος γὰρ ζωὴ λέγεται καὶ ἡ ἀκόλαστος καὶ ἀπαίδευτος, ὡς κακὴν ἀγωγὴν ἔχουσα· ἐνταῦθα δὲ τὴν τὰ ἄνω ζητοῦσαν, καὶ πρὸς Θεὸν ἐπεστραμμένην φησίν. Ἐντεῦθεν ἡ φύσις πλανωμένη τῆς πρὸς Θεὸν εὐθείας ὁδοῦ, ἐλάνθανεν οὐ θεοὺς, οὐ φίλους, ἀλλὰ δυσμενεῖς θεραπεύουσα, ὧν δὴ καὶ ἀφειδῶς αὐτῇ κατακεχρημένων κατὰ τὸ οἰκεῖον ἀνηλεὲς (τί γὰρ κακὸν οὐκ ἐποίησεν;) εἰς κίνδυνον ἀπωλείας ἐμπεπτώκει, ὃν δὴ καὶ ἀνυπαρξίαν λέγει, δηλονότι θάνατον ψυχικόν. Ὁ γοῦν Θεὸς ἡμῶν δι᾽ οἰκείαν ἀπειροτάτην ἀγαθότητα, τὴν αὐτουργὸν οὐκ ἀπηνήνατο πρόνοιαν· ὅτι δηλαδὴ αὐτὸς ἦν ὁ τοῦ Θεοῦ Λόγος, ὁ ἀναμαρτήτως ἀναδεξάμενος τὰ ἡμέτερα, ὃς δὴ καὶ μείνας ἀλώβητος πάντῃ ὅπερ ἦν, μὴ ἐκστὰς τῆς ἰδίας ἕξεως (ἕξιν δὲ λέγει ἐνταῦθα, οὐ ποιότητά τινα ἔμμονον, ἀλλὰ τὴν φυσικὴν αὐτὴν διαμονὴν καὶ κατάστασιν) τὴν πρὸς αὐτὴν ἡμῖν κοινωνίαν ἐδωρήσατο, καὶ κατέλυσε τὸ καθ᾽ ἡμῶν κράτος τῆς ἀποστατικῆς δυνάμεως (ἣν καὶ πληθὺν λέγει, οὐ κατ᾽ ἀριθμὸν πάντως, ἀλλὰ διὰ τὸ ἀποστῆναι πορρωτάτω τοῦ ἑνιαίου καὶ ὑπὲρ τὸ ἓν Θεοῦ) οὐκ ἐν ἰσχύι θεότητος, ἀλλ᾽ ἐν κρίσει καὶ δικαιοσύνῃ. Ἐπεὶ γὰρ δι᾽ ἁμαρτίαν παρεδόθημεν τῷ θανάτῳ, εὑρέθη αὐτὸς ὁ Κύριος ἀναμάρτητος, καὶ τοῦ θανάτου δικαίως ἀνώτερος γέγονε. Καὶ ὥσπερ ἐξ ἑνὸς τοῦ πρώτου Ἀδὰμ ἦλθεν ἐπὶ πάντας τὸ βλαβερὸν, οὕτως ἐξ ἑνὸς πάλιν τοῦ δευτέρου Ἀδὰμ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπὶ πάντας διέβη τὸ σωτήριον. Ἐντεῦθεν καὶ τὴν ἡμετέραν μετεσκεύασε φύσιν, τὸ ἀλαμπὲς ἐμπλήσας φωτὸς, τὸ ἀνείδεον καὶ ἀκαλλὲς κοσμήσας, τὸ τῆς

ψυχῆς

PARAPHRASIS PACHYMERÆ.

ψυχῆς οἰκητήριον σῶμα, παντὸς μολυσμοῦ φθοροποιοῦ ἐλευθερώσας· καὶ ἔδειξεν ἡμῖν ὁδὸν ἀναγωγῆς πρὸς αὐτὸν, κατὰ τὴν ὡς δυνατὸν ἀφομοίωσιν.

Πῶς δὲ ἄλλως ἔμελλεν ἡ θεομιμησία γίνεσθαι, μὴ ἀνανεουμένων ἀεὶ τῶν τοιούτων ἱερῶν τελετῶν; Τοῦτο γὰρ ποιεῖτε, φησὶν, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὅρα δὲ, ὅτι ἐν τούτοις πάντα τὸν νοῦν τῆς μυστικῆς εὐχῆς περιλαμβάνει ὁ Ἅγιος. Ἔνθεν ὁ θεῖος Ἱεράρχης τὰς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προνοίας ὑμνήσας, ἃς εὐδοκίᾳ Πατρὸς ἐν Πνεύματι ἁγίῳ ἐτελείωσε, καὶ ἀναστατικοῖς ὀφθαλμοῖς τὴν νοητὴν θεωρίαν ἐποπτεύσας, ἐπὶ τὴν συμβολικὴν ἱερουργίαν, τουτέστι τὸν ἄρτον καὶ τὸ ποτήριον, ἔρχεται. Ἐξηγούμενος δὲ πῶς καὶ τοῦτο θεοπαραδότως ποιεῖ, φησὶν ἀπολογούμενος καὶ ἀναβοῶν πρὸς αὐτὸν, τὸ, Σὺ γὰρ εἶπας, Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Εἶτα αἰτήσας ἄξιος γενέσθαι καὶ τῆς κοινωνίας καὶ τῆς μεταδόσεως, ὑπ᾽ ὄψιν ἄγει τὰ ὑμνημένα, ἀνακαλύπτων τὸν ἀδιαίρετον ἄρτον, καὶ εἰς πολλὰ διαιρῶν. Ἐντεῦθεν καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου, πᾶσι καταμερίζει κατά τινα λόγον μυστικὸν καὶ αὐτὸ ποιούμενος· τὸ γὰρ ἓν καὶ ἁπλοῦν τοῦ θεαρχικωτάτου Λόγου, πρὸς τὸ σύνθετον καὶ ὁρατὸν ἀναλλοιώτως κατὰ τὴν ἐνανθρώπησιν προελήλυθε, τὰ καθ᾽ ἡμᾶς ταπεινὰ τοῖς θειοτάτοις αὐτοῦ ἑνώσας. Οὕτω γὰρ ἑνούμεθα καὶ ἡμεῖς αὐτῷ, εἴπερ ὡς μέλη συναρμολογούμεθα κατὰ τὸ ταυτὸν τῆς ἀλωβήτου καὶ μακαρίας ζωῆς· καὶ μὴ πάθοιμεν ὅπερ νεκρὸν μέρος σώματος, πρὸς ζῶν συντιθέμενον. Ὡς γὰρ ἐκεῖνο ἀνάρμοστον πάντη καὶ ἀκόλλητον καὶ ἀσύζωον γίνεται, οὕτω καὶ ἡμεῖς εἴπερ οὕτως νεκρῶς ἔχομεν, οὐ συναρμολογηθησόμεθα τῷ ζῶντι Χριστῷ πώποτε· χρὴ γὰρ, εἰ τῆς κοινωνίας ἐφιέμεθα, εἰς τὴν αὐτοῦ θειοτάτην ζωὴν ἀποσκοπεῦσαι, καὶ οὕτως τῇ πρὸς αὐτὴν ἀφομοιώσει εἰς τὴν θεοειδῆ ἕξιν ἀναδραμεῖν, ἐναρμονίως δωρηθείσης ἡμῖν τῆς πρὸς τὸ ὅμοιον κοινωνίας.

Ταῦτα διὰ τῶν τελουμένων ὁ Ἱεράρχης ἐμφαίνει, ἀνακαλύπτων καὶ διαιρῶν, καὶ τῆς Κοινωνίας μεταδιδούς· ἀναζωγραφεῖ γὰρ ἐν τοῖς συμβόλοις αἰσθητῶς τὴν νοητὴν ἡμῶν ζωὴν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ τοῦ κατὰ τὸ θεῖον κρυφίου, δηλονότι τῆς ἀμεταβλήτου

atque corpus animæ domicilium ab omni spurcitiâ corrumpente liberans: nobis quoq; viam, quæ ad ipsum ducit ostendit, secundùm eam quæ possibilis est eius assimilationem.

Ceterùm quomodo aliter diuina ista imitatio fieret, nisi innouatis semper istiusmodi §.12.
sanctis Sacramentis? *Hoc* enim, inquit, *facite* Luc.22,19
in meam commemorationem. Obserua verò, quòd hîc Sanctus mentem omnem mysticâ prece comprehendat. Deinde diuinus Hierarcha Saluatoris nostri Iesu Christi prouidentias collaudans, quas Patris beneplacito in Spiritu sancto consummauit, & intentis oculis spiritalem contuitus contemplationem, ad sacrorum symbolorum panis, scilicet& calici, sconsecrationem procedit. Explicans verò quomodo & hoc ex diuinâ traditione faciat, se purgando & ad ipsum exclamando, Tu enim dixisti, Hoc facite in meam commemorationem. Postulans deinde cùm communione tum eius distributione dignus effici, sub aspectum ducit ea quæ celebrauit, reuelans illum panem indiuisum, & in multa distribuens. Exinde quoque singularem illum calicem omnibus distribuit, secundùm modum quemdam mysticum hoc faciens; nam vnum & simplex Dei Verbum per incarnationem, in compositionem simul & aspectum sine vllâ sui immutatione processit, humilia hæc nostra cum diuinissimis suis vniens excellentiis. Sic enim & nos ipsi vnimur, si tamquam membra illi secundùm immaculatæ ac beatæ vitæ idemtitatem congruamus, ne idem nobis accidat, quod membro mortuo viuo corpori apposito. Quemadmodum enim illud incongruum omnino minimeque cohærens, vitæque expers existit, sic & nos, si ita mortui fuerimus, numquam viuo Christo congruemus: oportet enim nos, si communionem eius appetamus, ad diuinissimam eius vitam collimare, & sic per eius assimilationem ad deiformem statum contendere, prout nobis congruit, similitudine eius nobis communicatâ.

Ritus Consecrationis & Communionis.

Hæc Pontifex per ea quæ celebrantur in- §.13.
sinuat, dum eadē reuelat, & diuidit, & Communionē distribuit: sensibiliter enim in symbolis ad viuum exprimit vitam nostram spiritalem, Dominum nostrum Iesum Christum, ex abdito illo diuino, scilicet immutabilis diui-

PARAPHRASIS PACHYMERÆ.

diuinitatis omnimodâ, veraque & perfectâ incarnatione ex nostrâ naturâ efformatum, & ad diuiduam, scilicet materiatam nostram naturam, immutabili ratione ex naturâ suâ vno, id est ipsamet diuinitate prodeuntem, & humanam nostram humilitatem, ad bonorum suorum participationem inuitantem, dummodò & nos non inepti videamur ad eius, quoad fieri potest, similitudinem.

§. 14. *Quid Doctori curandum.* Hierarcha deinde communicans, communionemque distribuens, desinit in gratiarum actionem. Primùm autem ipse communicat, & sic distribuit: oportet enim primùm esse participem ac plenum bonorum, ac deinde sic distribuere; primùm illuminari, ac deinde illuminare. Quocircà censemus illos malè agere, qui cùm non sint docti à Deo, docere præsumunt. Quemadmodum enim in solaribus radiis ac vitris se res habet, vt vitra cornuáve, vel aliæ res transparentes primùm lumen recipiant, ac deinde sic lumen ad alia transmittant; sic etiam in diuino lumine Doctoribusque primùm debet Doctor ipse luciformis existere, ac deinde ad alios doctrinâ suâ illustrandos accedere. Quomodo enim ante diuinam aspirationem iudiciumque idoneus comprobetur? Lacedæmonij verò exinde subiectarum ciuitatum gubernatorem ἁρμοστὴν seu aptatorem nominabant, quòd subditos aptaret vt ex lege viuerent. Vnde etiam Athenienses similiter ἁρμοστῆρας appellabant eos, qui ad benè viuendum alios dirigebant. Quare etiam hîc ἁρμοστὴν vocat Principem Ecclesiæ.

§. 15. Ceterùm in his omnis sacrorum adornatio (adornationem autem vocat omnes ordines Ecclesiæ) diuinissimis mysteriis perceptis, cum gratiarum actione desinit, gratiam hanc agnoscens & collaudans; quoniam qui eam non agnouerunt, nequaquam gratias agunt, quamuis ex naturâ suâ dona illa sint omni gratiarum actione dignissima. Verùm, vt anteà dicebam, illi propter suam ad deteriora propensionem nolentes tantis muneribus attendere, infinitis illis gratiis ingrati permanserũt. Non eò autem hoc dicit, quòd si voluissent, assecuti fuissent; sed quòd ne primam quidẽ luminis ac doctrinæ gratiam attendere voluerint: vnde quoque fit vt muneribus istis priuentur, omniq; alio beneficio ac

θεότητος, ἐν τῇ παντελεῖ καὶ ἀληθινῇ καὶ τελείᾳ σαρκώσει, ἐκ τῆς ἡμετέρας φύσεως εἰδοποιηθέντα, καὶ πρὸς τὴν μεριστὴν ὡς ὑλικὴν ἡμῶν φύσιν ἀναλλοιώτως ἐκ τοῦ κατὰ φύσιν ἑνὸς, τουτέστι τῆς αὐτοῦ θεότητος, προελθόντα, καὶ εἰς μετουσίαν τῶν ἀγαθῶν αὐτοῦ τὴν ἀνθρωπίνην καλοῦντα ταπεινότητα, εἴπερ καὶ ἡμεῖς ἐπιτήδειοι φανοίμεθα πρὸς τὴν κατὰ δύναμιν ἀφομοίωσιν.

Ἐντεῦθεν μετασχὼν ὁ Ἱεράρχης, καὶ μεταδοὺς, εἰς εὐχαριστίαν καταλήγει. Πρῶτον δὲ μεταλαμβάνει, καὶ οὕτω μεταδίδωσιν· ὅτι δεῖ πρῶτον ἐν μετουσίᾳ γενέσθαι καὶ ἀποπληρῶσαι τῶν ἀγαθῶν, καὶ εἶθ᾽ οὕτως μεταδιδόναι· πρῶτον φωτισθῆναι, καὶ οὕτως φωτίσαι. Διὸ καὶ τοῦτο δὴ πιεζόμεθα, ὅτι κακῶς ποιοῦσιν οἵ τινες διδακτοὶ μὴ ὄντες Θεοῦ, διδάσκειν ἐπιχειροῦσιν. Ὡς γὰρ ἐπὶ τῶν ἡλιακῶν ἀκτίνων καὶ τῶν ὑέλων ἔχει, ὅτι πρῶτον τὸ φῶς δέχονται οἱ ὕελοι, ἢ τὸ κέρας, ἢ ἄλλο τι τῶν διαφανῶν, καὶ εἶθ᾽ οὕτως τὸ φῶς πρὸς τὰ ἄλλα ἐποχετεύουσιν· οὕτω καὶ ἐπὶ τοῦ θείου φωτὸς καὶ τῶν διδασκάλων, πρῶτον ὀφείλει φωτοειδὴς ὁ διδάσκαλος εἶναι, καὶ ἔπειτα ἐπιχειρεῖν φωτίζειν ἑτέρους διὰ τῆς διδασκαλίας. Πῶς γὰρ πρὸ τῆς θείας ἐπιπνοίας καὶ κρίσεως, ἁρμοστὴς ἀναδειχθήσεται; Ἁρμοστὴν δὲ ἔλεγον οἱ Λακεδαιμόνιοι τὸν καθιστάμενον ὑπ᾽ αὐτῶν ἄρχοντα τῶν ὑποκειμένων αὐτοῖς πόλεων, παρὰ τὸ ἁρμόζειν τοὺς ἀρχομένους ζῆν κατὰ νόμους. Ὅθεν καὶ ἁρμοστῆρας πάλιν ἐκάλουν οἱ Ἀθηναῖοι, τοὺς εἰς τὸ εὖ ζῆν διατάττοντας. Διὸ καὶ ἐνταῦθα ἁρμοστὴν καλεῖ τὸν τῆς Ἐκκλησίας ἄρχοντα.

Λοιπὸν ἐν τούτοις ἡ πᾶσα τῶν ἱερῶν διακόσμησις (διακόσμησιν δὲ λέγει πάντα τὰ τῆς Ἐκκλησίας τάγματα) καὶ τοῖς θειοτάτοις κοινωνήσασα, μετ᾽ εὐχαριστίας καταλήγει, ἐν τῷ ἐπιγνῶναι, ὑμνοῦσα τὰς χάριτας, ὥστε οἱ ἀγνοοῦντες οὐκ ἂν εὐχαριστήσαιεν. καίτοι κατ᾽ οἰκείαν φύσιν ἀξίων ὄντων τῶν δώρων παρὰ πάντων εὐχαριστεῖσθαι. Ἀλλά, ὅπερ καὶ πρώην ἔλεγον, ἐκεῖνοι ἐκ τῆς ἐπὶ τὰ χείρω νεύσεως, οὐδὲ προσβλέψαι τοῖς δώροις θέλοντες, ἀχάριστοι πρὸς τὰς ἀπείρους διαμεμενήκασι χάριτας. Οὐ τοῦτο δὲ λέγει, ὅτι εἴπερ ἤθελον, ἔτυχον· ἀλλ᾽ ὅτι οὐδὲ τὴν πρώτην πρὸς τὸ φῶς τῆς διδασκαλίας ἠθέλησαν ἀπιδεῖν· ἐξ οὗ καὶ τῶν δώρων στερίσκονται, καὶ πάσης ἄλλης ἀγαθουργίας τοῦ ἀγαθοῦ

ἀγαθοῦ Πνεύματος χάριτος. Γεύσασθε γὰρ, φησὶ, καὶ ἴδετε. Ὅθεν καὶ οἱ γευσάμενοι, τὸ τῆς μετοχῆς μέγεθος ἐποπτεύοντες, καὶ ὧν ἔτυχον ἀναλογιζόμενοι, εἰκότως καὶ εὐχαριστεῖν οὐ διαλείποιεν πώποτε.

boni Spiritus gratiâ frustrentur. *Gustate* enim, inquit, *& videte*. Vnde qui gustant, Communionis huius magnitudinem considerantes, & quæ cõsecuti sunt expendentes, meritò etiam à gratiis agendis numquam desisterẽt. TEXTVS S. DIONYSII. Psal. 33, 9.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Περὶ τῶν ἐν τῷ Μύρῳ τελουμένων, καὶ τῶν ἐν αὐτῷ τελειουμένων.

CAPVT IV.

De iis quæ in Vnguento fiunt ac perficiuntur.

SYNOPSIS CAPITIS.

Primâ Parte dicit, Unguenti mysterium affine esse Venerabili Eucharistiæ.

Secundâ Parte describit ritum consecrandi sacrum Unguentum.

Tertiâ Parte subiungit contemplationem, in quâ mysticè explanat, 1. *Quid sibi velit Unguenti obuelatio.* 2. *Ait Unguentum, licet profanis tectum sit, sanctis tamen patere.* 3. *Sacrum Unguentum habere vim consummandi; ibidemq́; exponit, quanta sit efficacitas canticorum spiritualium.* 4. *Quid Unguenti compositio significet.* 5. *Ostendit, quod quantò quis Deo propinquior est, tantò etiam suauiùs ab ipso afficiatur.* 6. *Quid signent Seraphini qui Pontifici in confectione Unguenti assistunt.* 7. *Quid eorumdem multiplices facies & alæ designent.* 8. *Cur facies pedesq́; obtegant.* 9. *Quid sibi velit clamor vnius ad alterum.* 10. *Quid eorumdem nominis interpretatio; & quomodo Vnguentum designet, Christum in se inuariatum nos sanctificare; & cur Vnguentum in omni ferè consecratione adhibeatur.* 11. *Cur Vnguentum adhibeatur in Baptismo.* 12. *Cur altare Vnguento consecretur; & cur Vnguentum* τελετὴ *nuncupetur.*

ΤΟΣΑΥΤΑ τῆς ἁγιωτάτης Συνάξεώς ἐστι, καὶ οὕτω καλὰ τὰ νοητὰ θεάματα τὴν πρὸς τὸ ἓν ἡμῶν, ὡς πολλάκις εἰρήκαμεν, ἱεραρχικῶς ἱερουργοῦντα κοινωνίαν καὶ σύναξιν· ἀλλ' ἔστι ταύτης ὁμοταγὴς ἑτέρα τελεσιουργία, Μύρου τελετὴν αὐτὴν οἱ καθηγεμόνες ἡμῶν ὀνομάζουσι. Τὰ μέρη τοίνυν αὐτῆς ἐν τάξει κατὰ τὰς ἱερὰς εἰκόνας ἐπισκοπήσαντες, οὕτω πρὸς τὸ ἓν αὐτῆς διὰ τῶν μερῶν ἱεραρχικαῖς θεωρίαις ἀναχθησόμεθα.

TANTA sunt & tam præclara sanctissimæ Synaxeos spectacula spiritalia, quæ nostri cum vno illo, vti sæpè diximus, communionem atque coniunctionem præcipuo quodam ritu sacro perficiũt: verumtamen est & alia huic coordinata consecratio, quam Vnguenti mysterium præceptores nostri appellant. Huius itaque partibus iuxta sacras imagines ordine perspectis, hoc modo per easdem ad illud eius vnum Hierarchicis contemplationibus euehemur. I. *Vnguenti mysterium Eucharistiæ affine.*

TEXTVS S. DIONYSII.

II. MYSTERIVM consecrationis Vnguenti.

Ritus Vnguentum consecrãdi.

Eodem modo quo in Synaxi ordines eorum, qui minùs perfecti sunt, excluduntur, præmissis videlicet, sacrâ per totum templum cum odoris fragrãtiâ processione, Psalmorumque sacrâ modulatione, & diuinissimorum Eloquiorum promulgatione. Deinde Pontifex accepto Vnguento ponit illud supra diuinum altare, duodecim sacris alis obuelatum, cunctis sanctissimâ voce concinentibus illud diuinitus afflatorum Prophetarum Canticum afflationis; completaque super eo consecratoriâ precatione, in sanctissimis quibusque rerum sacrandarum consecrationibus eodem vtitur, ad omnem fermè Hierarchicam consecrationem.

II. ΜΥΣΤΗΡΙΟΝ τελετῆς Μύρου.

Κατὰ τὸν αὐτὸν τῆς Συνάξεως τρόπον, αἱ τῶν ἀτελέστων ἀπολύονται τάξεις, προηγησαμένων δηλαδὴ τῆς τε ἱεραρχικῆς ἐπὶ πᾶν τὸ ἱερὸν εὐόσμου περιαγωγῆς, καὶ τῆς ψαλμικῆς ἱερολογίας, καὶ τῆς τῶν θειοτάτων Λογίων ἀναγνώσεως. Εἶτα τὸ Μύρον ὁ Ἱεράρχης λαβὼν, ἐπιτίθησι τῷ θείῳ θυσιαστηρίῳ, περικεκαλυμμένον ὑπὸ δυοκαίδεκα πτέρυξιν ἱεραῖς, ἀναβοώντων ἁπάντων ἁγιωτάτῃ φωνῇ τὸ ἱερὸν τῶν θεολήπτων Προφητῶν ἐπιπνοίας μελῴδημα· καὶ τὴν ἐπ' αὐτῷ τελουμένην εὐχὴν ἀποπληρώσας, ἐν ταῖς ἁγιωτάταις τῶν ἀφιερουμένων τελεταῖς αὐτῷ χρῆται, πρὸς πᾶσαν σχεδὸν ἱεραρχικὴν τελεσιουργίαν.

III. CONTEMPLATIO.

§. I. Vnguenti obuelatio quid insinuet.

Ipsamet quidem introductoria perfectiuæ huius consecrationis anagoge per ea quæ diuino illo Vnguento cõsecrantur, vt opinor, insinuat, viris sanctis obuelandam esse mentis sanctitatem atque fragrantiã; cùm diuinitus viri sancti iubeantur, non ad vanam gloriam apparentes arcani Dei pulchras ac fragrãtes habere similitudines. Siquidem arcana Dei decora, quorum suauitas intellectum superat, prorsus sunt intemerata, solisque viris spiritalibus spiritaliter apparent, quòd in animabus nostris exigant habere sibi conformes per virtutẽ & incorruptibiles imagines.

III. ΘΕΩΡΙΑ.

Ἡ μὲν οὖν εἰσαγωγικὴ τῆς τελεστικῆς ταύτης ἱερουργίας ἀναγωγὴ, διὰ τῶν κατὰ τὸ θεῖον Μύρον ἱερῶς δρωμένων, ἐκεῖνο οἶμαι δηλοῖ, τὸ περικεκαλύφθαι τῶν ὁσίων ἀνδρῶν τὸ κατὰ νοῦν ἱερὸν καὶ εὐῶδες· ἧπερ ἐνθέως ἐγκελεύεται τοῖς ἱεροῖς ἀνδράσι, μὴ φαινομένας ἔχειν ἐπὶ δόξῃ κενῇ, τὰς κατ' ἀρετὴν τοῦ κρυφίου Θεοῦ καλὰς καὶ εὐώδεις ἀφομοιώσεις. Ἄχραντοι γάρ εἰσιν αἱ τοῦ Θεοῦ κρύφιαι καὶ ὑπὲρ νοῦν εὐώδεις εὐπρέπειαι, καὶ νοητῶς ἐμφαίνονται μόνοις τοῖς νοεροῖς, ὁμοειδεῖς ἔχειν ἐθέλουσαι τὰς κατ' ἀρετὴν ἐν ψυχαῖς ἀπαραφθάρτους εἰκόνας.

Τὸ

TEXTVS S. DIONYSII.

Τὸ γὰρ τῆς θεοειδοῦς ἀρετῆς ἀπαράγραπτον εὖ μεμιμημένον ἄγαλμα, πρὸς ἐκεῖνο τὸ νοητὸν καὶ εὐῶδες ἀφορῶν κάλλος, οὕτως ἑαυτὸ τυποῖ καὶ διαπλάττει πρὸς τὸ κάλλιστον μίμημα. Καὶ καθάπερ ἐπὶ τῶν αἰσθητῶν εἰκόνων, εἰ πρὸς τὸ ἀρχέτυπον εἶδος ὁ γραφεὺς ἀκλινῶς εἰσορᾷ, πρὸς μηδὲν ἄλλο τῶν ὁρατῶν ἀνθελκόμενος, ἢ κατά τι μεριζόμενος, αὐτὸν ἐκεῖνον, ὅς τίς ἐστι, τὸν γραφόμενον (εἰ θέμις εἰπεῖν) διπλασιάσει, καὶ δείξει τὸ ἀληθὲς ἐν τῷ ὁμοιώματι, καὶ τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι, καὶ ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον· οὕτω τοῖς φιλοκάλοις ἐν νῷ γραφεῦσιν, ἡ πρὸς τὸ εὐῶδες καὶ κρύφιον κάλλος ἀτενὴς καὶ ἀπαρέγκλιτος θεωρία, τὸ ἀπλανὲς δωρήσεται καὶ θεοειδέστατον ἴνδαλμα. Εἰκότως οὖν πρὸς τὴν ὑπερουσίως εὐώδη καὶ νοητὴν εὐπρέπειαν, οἱ θεῖοι γραφεῖς τὸ νοερὸν ἑαυτῶν ἀμεταστρέπτως εἰδοποιοῦντες, οὐδεμίαν δρῶσι τῶν ἐν αὐτοῖς θεομιμήτων ἀρετῶν, εἰς τὸ θεαθῆναι, κατὰ τὸ Λόγιον, τοῖς ἀνθρώποις· ἀλλ' ἱερῶς ἐποπτεύουσιν, ὡς ἐν εἰκόνι, τῷ θείῳ Μύρῳ, τὰ τῆς Ἐκκλησίας ἱερώτατα περικεκαλυμμένα· διὸ καὶ αὐτοὶ τὸ κατ' ἀρετὴν ἱερὸν καὶ θεοειδέστατον, εἴσω τοῦ θεομιμήτου καὶ θεογράπτου νοὸς, ἱερῶς περικαλύπτοντες, πρὸς μόνην ὑποβλέπουσι τὴν ἀρχέτυπον νόησιν· οὐδὲ γὰρ ἀθέατοι μόνον εἰσὶ τοῖς ἀνομοίοις, ἀλλ' οὐδ' αὐτοὶ πρὸς τὴν ἐκείνων καθέλκονται θέαν.

Incircumſcriptum enim illud virtutis deiformis ſimulacrum ritè imitandum eſt, vt ſpiritalis ac fragrans ipſum referat pulchritudo, ſeque formet & effingat ad pulcherrimam eius imitationem. Et ſicut in imaginibus ſenſibilibus, ſi pictor ad primæuam ſpeciem conſtanter intendat, nullâ re aliâ viſibili diſtractus, neque ſecundùm quidpiam diuiſus, illum ipſum qui depingendus eſt (ſi ita dicere liceat) quodammodò replicabit, atque ipſammet veritatem in ſimilitudine, & archetypum in imagine exprimet, alterumque in altero citra ſubſtantiæ differentiam referet: ſic honeſti amantibus in mente pictoribus, ſuaueolentis & arcanæ pulchritudinis intenta conſtansque contemplatio infallibilem indet maximeq; deiformem imaginationẽ. Meritò itaq; diuini pictores, quando mentem ſuam ad ſupraeſſentialem illam fragrantem ſpiritalemque pulchritudinem conſtanter efformant, nullam virtutem earum quæ iis inſunt agunt, vt ab hominibus, vti ſcriptum eſt, videantur; ſed ſanctè in Vnguento diuino, velut in imagine ſacratiſſimâ, quæque Eccleſiæ myſteria velata contemplantur, atque adeò quidquid in virtute ſacrum ac maximè deiforme eſt intra mentem ſuam, quæ ad imaginem & ſimilitudinem Dei facta eſt, recondentes, ad primæuam dumtaxat ſpeciem atque intelligentiam intuentur: neque enim ſolùm diſſimilia non vident, ſed ne ad eorũ quidem aſpectum pertrahuntur.

Exemplum à pictore quidpiam imitante.

TEXTVS S. DIONYSII.

Quamobrem, ſicut eos decet, non ea quæ temerè videntur, ſed quæ verè iuſta ſunt ac bona, diligunt: neque iſtam ſpectant gloriam, quæ ſine ratione vulgò paſſim beata prædicatur, ſed imitatione Dei bonum malúmve per ſe iudicantes, diuina quædam ſimulacra fiunt iſtius fragrantiæ diuinæ, quæ bonum in ſe odorem verè cõtinens, ad illud, quod vulgò paſſim inæqualiter apparet, numquam conuertitur, in veris ſuis imaginibus exprimens veritatem.

Pura intentio.

§. 2. Age iam deinceps, quoniam exteriorem ritus verè pulchri venuſtatem aſpeximus, diuiniorem eius pulchritudinem intueamur, eamque ſublatis velaminibus per ſe contemplemur, clarè ſuum iubar illud beatum euibrantem, noſque illâ, quæ viris ſpiritalibus explorata eſt, odoris fragrantiâ replentem. Neque enim aſpectabilis Vnguenti confectio iis qui Pontifici præſtò ſunt incommunicabilis aut inaſpectabilis exiſtit, ſed è diuerſo, dum ad ipſos vſque portendit, ac ſiſtit eam quæ vulgi captum ſuperat contemplationem, ab iiſdem reuerenter obtegitur, & à turbâ pontificio iure ſecernitur. Siquidem ille radius rerum ſacratiſſimarum dum viris diuinis, tamquam intelligentibus, purè atque immediatè collucet, & conceptus eorum ſpiritales bono palàm imbuit odore, ad id quod humi ſerpit nequaquam ſimiliter procedit; ſed ab ipſis, vtpote arcanis ſpiritalis rei ſpectatoribus, ſine oſtenſione, ne à diſſimilibus quibuſque violetur,

Vnguentum profanis tectum, ſanctis patet.

Ὅθεν ἑαυτοῖς ἀκολούθως, οὐδὲ τῶν δοκούντων εἰκῆ καλῶν καὶ δικαίων, ἀλλὰ τῶν ὄντως ὄντων ἐρῶσιν· οὐδὲ πρὸς δόξαν ὁρῶσι τὴν ὑπὸ πλήθους ἀλόγως μακαριζομένην, ἀλλὰ τὸ καλὸν ἢ χεῖρον ἐφ' ἑαυτοῦ θεομιμήτως κρίναντες, ἀγάλματα θεῖα τῆς θεαρχικωτάτης εἰσὶν εὐωδίας, ἥ τις ἐφ' ἑαυτῆς τὸ ἀληθῶς εὐῶδες ἔχουσα, πρὸς τὸ τοῖς πολλοῖς ἀνομοίως δοκοῦν οὐκ ἐπιστρέφεται, ταῖς ἀληθέσιν αὐτῆς εἰκόσιν ἐντυποῦσα τὸ ἀνυπόκριτον.

Φέρε δὴ λοιπὸν, ἐπειδὴ τὴν ἐκτὸς εὐπρέπειαν ἐθεασάμεθα τῆς ὅλης καλῆς ἱερουργίας, εἰς τὸ θειότερον αὐτῆς ἀποβλέψωμεν κάλλος, αὐτὴν ἐφ' ἑαυτῆς ἀποκαλυψαμένην τὰ παραπετάσματα, θεώμενοι τὴν μακαρίαν ἀποστίλβουσαν ἐμφανῶς αἴγλην, καὶ τῆς ἀπερικαλύπτου τοῖς νοεροῖς ἀποπληροῦσαν ἡμᾶς εὐωδίας. Οὐδὲ γὰρ ἡ φαινομένη τοῦ Μύρου τελετουργία, τοῖς περὶ τὸν Ἱεράρχην ἐστὶν ἀκοινώνητος ἢ ἀθέατος, ἀλλὰ τοὐναντίον ἄχρις αὐτῶν διήκουσα, καὶ ἱστῶσα τὴν ὑπὲρ τοὺς πολλοὺς θεωρίαν, ὑπ' αὐτῶν ἱερῶς περικαλύπτεται, καὶ τῆς πληθύος ἱεραρχικῶς ἀποδιαστέλλεται. Τοῖς γὰρ ἐνθέοις ἀνδράσιν ἡ τῶν πανιέρων ἀκτὶς, ὡς συγγενέσι τοῦ νοητοῦ, καθαρῶς καὶ ἀμέσως ἐλλάμπουσα, καὶ τὰς νοερὰς αὐτῶν ἀντιλήψεις ἀπερικαλύπτως εὐωδιάζουσα, πρὸς τὸ ὑφειμένον οὐκέτι ὁμοίως πρόεισιν, ἀλλ' ὑπ' αὐτῶν, ὡς κρυφίων τοῦ νοητοῦ θεωρῶν, ἀνεκπομπεύτως εἰς τὸ τοῖς ἀνομοίοις ἀ-

χειρωτον,

TEXTVS S. DIONYSII.

χερὰν τῶν, ὑπὸ πτερωτοῖς αἰνίγμασι συγκαλύπτεται· δι' ὧν ἱερῶν αἰνιγμάτων, αἱ τῶν ὑποβεβηκότων εὔκοσμοι τάξεις ἀνάγονται πρὸς τὴν κατ' αὐτὰς ἱερὰν ἀναλογίαν.

Ἔστι δὴ οὖν, ὅπερ ἔφην, ἡ νῦν ὑμνουμένη παρ' ἡμῖν ἱερὰ τελετουργία, τῆς τελειωτικῆς τῶν ἱεραρχικῶν τάξεως καὶ δυνάμεως· διὸ καὶ ταύτην οἱ θεῖοι καθηγεμόνες ἡμῶν, ὡς ὁμόταγῆ καὶ ταυτουργὸν τῷ τῆς Συνάξεως ἱερῷ τελεστηρίῳ, ταῖς αὐταῖς εἰκόσιν ὡς τὰ πολλά, καὶ μυστικαῖς διακοσμήσεσι καὶ ἱερολογίαις διετάξαντο. Καὶ τὸν μὲν Ἱεράρχην ὡσαύτως ὄψει τὴν ἀπὸ τοῦ θειοτέρου τόπου καλὴν εὐωδίαν εἰς τὰ ἑξῆς ἱερὰ προφέροντα, καὶ τῇ πρὸς τὸ ταὐτὸν ἀναλύσει διδάσκοντα, τῶν θείων τὴν μετουσίαν ἐν ἅπασι μὲν γίνεσθαι κατ' ἀξίαν τοῖς ἱεροῖς, ἀμείωτον δὲ εἶναι καὶ ἀκίνητον πάντη, καὶ εἴσω τῆς κατὰ θείαν ἵδρυσιν ἰδιότητος ἀπαραλλάκτως ἑστηκυῖαν. Ἐπίσης δὲ πάλιν αἱ τῶν Λογίων ᾠδαὶ καὶ ἀναγνώσεις, τοὺς μὲν ἀτελέστους μαιεύονται πρὸς ζωοφόρον υἱοθεσίαν, ἐπιστροφὴν δὲ ἱερὰν ποιοῦνται τῶν ἐναγῶς ἐνεργουμένων, ἀφαιροῦσι δὲ τὴν ἐναντίαν ποιὰν θέλξιν ἐκ τῶν ἀνάνδρως ἐνεργουμένων, τὸ τῆς θεοειδοῦς ἕξεως καὶ δυνάμεως ἀκρότατον ἀναλόγως αὐτοῖς ὑποδεικνῦσαι· καθ' ἣν ἐκδειματώσουσι μᾶλλον αὐτοὶ τὰς ἐναντίας δυνάμεις, καὶ τῶν ἑτέρων ἰατρείας προστήσονται, τὸ θεομιμήτως ἀκίνητον μὲν ἐκ τῶν οἰκείων καλῶν, πρὸς δὲ τὰς ἐναντίας ποιὰς

pennatis inuolucris obducitur, quibus, ceu sacris signis, præclari ordines subditorum pro capacitate suâ ad res sacras promouentur.

§. 3. *Vnguenti vim habet consummandi.*

Est igitur, vt dixi, sacrosanctum hoc, quod à nobis modò laudatur mysterium, eius ordinis atque virtutis, vt Hierarchicas consummet functiones: quocircà quoque diuini præceptores nostri, tamquam eiusdem ordinis & operationis cum sacrosancto Synaxeos Sacramento, iisdem imaginibus vt plurimùm, mysticisque distinctionibus ac sacris verbis descripserunt. Atque Pontificem quidem videre liceat eodem modo à diuiniore loco odoris suauitatem ad sequentia loca sacra diffundentem, suoq; ad eumdem locum reditu docentem, quomodo diuinarum rerum participatio, dum in omnibus quidem sacris pro cuiusque meritis communicatur, nihilominùs in se neque imminuta, neque loco mota, in diuini fundi proprietate, sine vllâ sui immutatione, consistat. Pari rursus modo cantica Scripturarum atque lectiones rudibus adhuc animis ad vitalem adoptionem obstetricantur, & eorum, qui à dæmonibus vexantur, sanctam promouent conuersionem, pauoremque contrarium & pellicatũ abolent eorum qui à dæmone propter ignauiam arripiuntur, dum nimirum illis, ad illorum captum, status deiformis ac virtutis verticem proponunt: vnde fit, vt ipsi potiùs aduersis potestatibus terrori sint, atque ceteris quoq; curandis præficiantur, ad Dei quidem imitationem bonis propriis stabiliti, aduersus autem

Effectus Canticorum spiritualium.

TEXTVS S. DIONYSII.

terrores contrarios non tantùm efficacitatem obtinentes, verùm etiam largientes: iis verò qui ex iniquitatibus ad mentem sanctam redierunt, habitum quemdam sanctum inserunt, ne iniquitate denuò capiantur; quibus autem ad omnimodam puritatē quidquam deest, illos perfectè expiant; sanctos verò ad imagines diuinas & earumdem contuitum atque consortium promouent: pascunt itidem eos qui iam planè sancti sunt, beatis ac spiritalibus spectaculis eorum vniformitatem vno illo adimplentes & vnificantes.

§.4. Quid porrò? Numquid etiam præsens quæ modò celebratur cōsecratio ordines illos, qui non planè mundi sunt, quorū anteà mentionem fecimus, impromiscuè dimittit, eo modo quo fit in Synaxi, & in sacris tantùm imaginibus cernitur, & à solis viris sanctissimis in Hierarchicis anagogiis immediatè conspicitur ac celebratur? Verùm hæc cùm à nobis sæpenumerò dicta sint, superuacaneum esse arbitror iisdem verbis repetere, quin potiùs ad ea quæ sequuntur transeundo, Pontificem videamus alis duodecim obuelatum Vnguentum sacrum tenentem, ac purissimum in eo Sacramentum consecrantem. Dicimus igitur, Vnguenti compositionem collectionem quamdam esse fragrantium materiarum, quæ in se affatim suaueolentes cōtinet qualitates, cuius qui participes existunt, odoris suauitate afflantur, proportione fragrantis quæ illis inest participationis. Scimus autem,

Quid Vnguenti compositio significet.

δραστήριον οὐκ ἔχοντες μόνον, ἀλλὰ καὶ δωρούμενοι· τοῖς δὲ εἰς νοῦν ἱερὸν ἐκ τῶν χειρόνων μεταφοιτήσασιν, ἕξιν ἱερὰν ἐντίθενται πρὸς τῷ μὴ αὖθις ὑπὸ κακίας ἁλῶναι· τοὺς δὲ πρὸς τὸ εἶναι πανάγνοις ἐνδεεῖς τελέως ἀποκαθαίρουσι· τοὺς δὲ ἱεροὺς ἄγουσιν ἐπὶ τὰς θείας εἰκόνας καὶ ἐποψίας αὐτῶν καὶ κοινωνίας· ἑστιῶσι δὲ τοὺς πανιέρους, ἐν μακαρίοις καὶ νοητοῖς θεάμασιν ἀποπληροῦσαι τὸ ἑνοειδὲς αὐτῶν τοῦ ἑνός, καὶ ἑνοποιοῦσαι.

Τί δέ; Οὐχὶ καὶ τὰς μὴ πάντη καθαράς, ὧν ἤδη μνήμην ἐποιησάμεθα, τάξεις, ἀμιγῶς ἀπολύει, κατὰ τὸν αὐτὸν τῆς Συνάξεως τρόπον, ἡ παροῦσα νῦν ἱερὰ τελετουργία, μόνοις ἐν εἰκόσιν ὁρωμένη τοῖς ἱεροῖς, καὶ πρὸς μόνων ἀμέσως τῶν πανιέρων ἱεραρχικαῖς ἀναγωγαῖς ἐποπτευομένη καὶ ἱερουργουμένη; Ταῦτα μὲν οὖν ἤδη πολλάκις ἡμῖν εἰρημένα, περιττόν ἐστιν, ὡς οἶμαι, τοῖς αὐτοῖς ἐπανακυκλεῖν λόγοις, καὶ μὴ πρὸς τὰ ἑξῆς μεταβῆναι τὸν Ἱεράρχην εὐθέως ὁρῶντας ὑπὸ δυοκαίδεκα πτέρυξι περικεκαλυμμένον ἔχοντα τὸ θεῖον Μύρον, καὶ τὴν πανιερωτάτην ἐπ' αὐτῷ τελείωσιν ἱερουργοῦντα. Λέγωμεν τοίνυν, ὡς ἡ τοῦ Μύρου σύνθεσις, συναγωγή τίς ἐστιν εὐπνόων ὑλῶν ἐν ἑαυτῇ πλουσίως ἔχουσα ποιότητας εὐόσμους, ἧς οἱ μεταχόντες εὐωδιάζονται, κατὰ τὴν ἀναλογίαν τοῦ ποσοῦ τῆς ἐγγινομένης αὐτοῖς τῆς εὐώδους μεθέξεως. Πεπείσμεθα δὲ

εἶναι

TEXTVS S. DIONYSII.

εἶναι τὸν θεαρχικώτατον Ἰησοῦν ὑπερουσίως εὐώδη, νοηταῖς διαδόσεσι τὸ νοερὸν ἡμῶν ἀποπληροῦντα θείας ἡδονῆς. Εἰ γὰρ ἡ τῶν αἰσθητῶν εὐωδῶν ἀντίληψις, εὐπαθεῖν ποιεῖ καὶ τρέφει σὺν ἡδονῇ πολλῇ τὸ τῶν ὀσφραντῶν ἡμῶν διακριτικόν, εἴπερ ἀβλαβές τε εἴη καὶ πρὸς τὸ εὐῶδες ἐν συμμετρίᾳ κατάλληλον· ἀναλόγως ἄν τις φαίη καὶ τὰς νοερὰς ἡμῶν δυνάμεις πρὸς τὴν ἐπὶ τὸ χεῖρον ὕφεσιν ἀπαραφθάρτως διακειμένας, ἐν τῇ τοῦ ἐν ἡμῖν κριτικοῦ φυσικῇ ῥώσει, κατὰ τὰ θεουργικὰ μέτρα, καὶ τὴν κατάλληλον τοῦ νοὸς πρὸς τὸ θεῖον ἐπιστροφήν, ἐν ἀντιλήψει τῆς θεαρχικῆς εὐωδείας γίνεσθαι, καὶ εὐπαθείας ἱερᾶς πληροῦσθαι καὶ θειοτάτης τροφῆς. Οὐκοῦν ἡ τοῦ Μύρου συμβολικὴ σύνθεσις ὡς ἐν μορφώσει τῶν ἀμορφώτων, αὐτὸν ἡμῖν ὑπογράφει τὸν Ἰησοῦν πηγαῖον ὄντα τῶν θείων εὐωδῶν ἀντιλήψεων ὄλβον, ἀναλογίαις θεαρχικαῖς εἰς τὰ θεοειδέστατα τῶν νοερῶν ἀναδιδόντα τοὺς θειοτάτους ἀτμούς, ἐφ᾽ οἷς οἱ νόες εὐπαθῶς ἡδόμενοι, καὶ τῶν ἱερῶν ἀντιλήψεων ἀποπληρούμενοι, τροφῇ νοητῇ χρῶνται, τῇ πρὸς τὸ νοερὸν αὐτῶν εἰσδύσει τῶν κατὰ θείαν μέθεξιν εὐωδῶν διαδόσεων.

Ἔστι δὲ, ὡς οἶμαι, δῆλον, ὅτι ταῖς ὑπὲρ ἡμᾶς οὐσίαις, ὡς θειοτέραις, ἡ τῆς πηγαίας εὐωδίας ἀνάδοσις, ἐγγυτέρα πως ἐστὶ, καὶ μᾶλλον αὐτὴν ἐκφαίνει καὶ διαδίδωσιν εἰς τὸ διειδέστατον αὐτῶν, καὶ εὐεκτικὸν τῆς κατὰ νοῦν ἀντιληπτικῆς δυνάμεως

diuinissimum illum Iesum supra-substantialiter fragrantem, spiritalibus distributionibus partem nostri spiritalem diuinâ voluptate recreare. Si enim rerum sensibilium suaueolentia nostrum, modò sanus & rei odoriferæ debitâ proportione accommodatus sit, olfactum benè afficit, & magnâ cum voluptate alit; eadem vtique ratione dicat aliquis, spiritales nostras facultates, si nullâ in malum propensione corruptæ fuerint, naturali quodam iudicij vigore, secundùm diuinæ operationis modos, congruamque mentis ad Deum conuersionem, diuini odoris suauitate perfundi, atque sacrâ quadam voluptate & diuinissimo alimento satiari. Ipsamet igitur Vnguenti mystica compositio, quasi in figuratione rerum infigurabilium, ipsummet Iesum nobis depingit esse fontem vberem, è quo diuinorum odorum suauitates hauriuntur, dum proportionibus diuino-principalibus in mentes maximè deiformes diuinissimos illos spiritus infundit, quibus suauiter affectæ, sacrisq; perceptionibus plenæ, spiritali alimoniâ perfruuntur, dum suaueolentes istæ distributiones diuinâ largitione spiritalem animæ portionem subeunt.

§. 5. Quantò quis Deo propinquior, tantò suauiùs ex ipso afficitur.

Existimo autem esse perspicuum, superioribus essentiis, vtpote diuinioribus, fontalis fragrantiæ distributionem propinquiorem quodammodò existere, magisque se illis expromere ac distribuere, partem eorumdem maximè deiformem virtutisque

spiri-

TEXTVS S. DIONYSII.

ſpiritalis capaciſſimam affatim mundando, ac multipliciter ſubeundo; ad inferiores autem, & qui non æquè capaces ſunt, ſupremam illam contemplationem atque communionem reuerenter contrahendo, eiuſdem participationem, inſtillationibus eorum captui accommodatis, diuinâ quadam proportione deriuare. Ordo itaque Seraphim, qui ſanctas illas nobis excellentiores eſſentias ſupra modum ſuperat, in alis duodecim ſignificatur, adſtans IESV & prope ipſum collocatus, beatiſſimis eius contemplationibus, quantum fas eſt, vacans, & ſpiritalis diſtributionis in ſanctiſſimis receptaculis ſanctè plenus, &, vt ſenſibili modo dicam, multùm decantatam illam Dei laudem inceſſabili voce proclamans: ſacra ſiquidem cæleſtium ſpirituum cognitio & indefeſſa eſt, & diuinum habet amorem indeficientem, omniquè malitiâ & obliuione ſuperior exiſtit. vnde clamor ille inceſſabilis, meo quidem iudicio, deſignat ſempiternam eorum & immutabilem, cum omni contentione atque gratiarum actione, rerum diuinarum ſcientiam atque cognitionem.

§.6. *Seraphim qui Pontifici aſſiſtũt quid repræſentent.*

Incorporeas quidem proprietates Seraphim à Scripturis ſanctè ſenſilibus figuris, quibus res intellectiles exprimunt depictas, in cæleſtium Hierarchiarũ deſcriptionibus præclarè, vti puto, ſpectauimus, tuiſque ſpiritalibus oculis exhibuimus; ſed quoniam etiamnum iis qui Pontifici reuerenter aſſiſtũt, illam ipſam ſublimiſſimam

ἀφθόνως ὑπερβλύζουσα, καὶ πολυπλασίως εἰσδυομένη· πρὸς δὲ τὰ τῶν νοερῶν ὑφειμένα, καὶ μὴ ὡσαύτως δεκτικὰ, τὴν ὑπερτάτην ἀχράντως ἀποκρύψασα θέαν καὶ μέθεξιν, ἀναλόγοις τῶν μετεχόντων ἀτμοῖς ἐν συμμετρίᾳ θεαρχικῇ διαδίδοται). Τῶν ὑπὲρ ἡμᾶς οὖν ἁγίων οὐσιῶν ἡ τούτων ὑπερκειμένη τῶν Σεραφὶμ τάξις, ἐν τῇ τῶν πτερύγων δυοκαιδεκάδι σημαίνεται, περὶ τὸν Ἰησοῦν ἑστῶσα, καὶ ἱδρυμένη, τοῖς μακαριωτάτοις αὐτοῦ θεάμασιν ὡς θεμιτὸν ἐπιβάλλουσα, καὶ τῆς νοητῆς διαδόσεως ἱερῶς ἐν παναγνοις ὑποδοχαῖς ἀποπληρουμένη, καὶ τὴν πολυύμνητον, αἰσθητῶς εἰπεῖν, ἀσιγήτοις στόμασιν ἀνακράζουσα θεολογίαν· ἡ γὰρ ἱερὰ τῶν ὑπερκοσμίων νοῶν γνῶσις ἀκάματός τέ ἐστι, καὶ ἀκατάληκτον ἔχει τὸν θεῖον ἔρωτα, κακίας τε ἅμα πάσης ὑπέρκειται) καὶ λήθης· ὅθεν, ὡς οἶμαι, τὸ τῆς ἀσιγήτου κραυγῆς ὑπαινίσσεται) τὴν αἰώνιον αὐτῶν καὶ ἀμετάστατον ἐν συντονίᾳ πάσῃ καὶ εὐχαριστίᾳ τῶν θείων ἐπιστήμην καὶ νόησιν.

Τὰς μὲν οὖν ἀσωμάτους τῶν Σεραφὶμ ἰδιότητας ἐν τοῖς Λογίοις αἰσθηταῖς εἰκόσι τῶν νοητῶν ἐκφαντορικαῖς ἱερῶς ἀναγεγραμμένας, ἐν τοῖς διακόσμοις τῶν ὑπερουρανίων Ἱεραρχιῶν, ὡς οἶμαι, καλῶς ἐθεασάμεθα, καὶ τοῖς σοῖς νοεροῖς ὀφθαλμοῖς ὑπεδείξαμεν· ὅμως ἐπειδὴ καὶ νῦν περὶ τὸν Ἱεράρχην ἱερῶς περιεστῶτες, αὐτὴν ἡμῖν ἐκείνην ἀπο-

ἀποτυποῦσι τὴν ὑπερτάτην διακόσμησιν ἐν ἐπιτομῇ, καὶ νῦν αὐλοτάταις ὄψεσι τὴν θεοειδεστάτην αὐτῶν ἀγλαΐαν ὀψόμεθα.

Τὸ μὲν οὖν ἀπειροπρόσωπον αὐτῶν, καὶ πολύπουν, ἐμφαντικόν ἐστιν, ὡς οἶμαι, τῆς πολυθεάμονος αὐτῶν εἰς τὰς θειοτάτας ἐλλάμψεις ἰδιότητος, καὶ τῆς ἀεικινήτου καὶ πολυπόρου τῶν θείων ἀγαθῶν νοήσεως· τὴν δὲ τῶν πτερῶν, ὡς τὰ Λόγιά φησιν, ἑξαπλῆν θέσιν, οὐκ ἀριθμὸν ἱερὸν ἐμφαίνειν οἴομαι, κατὰ τὸ δόξαν ἑτέροις, ἀλλ' ὅτι τῆς περὶ Θεὸν ὑπερτάτης οὐσίας καὶ τάξεως ἀναγωγικὰ καὶ ἀπόλυτα, παντελῶς ἐστι καὶ ὑπερκόσμια, τὰ πρῶτα, καὶ μέσα, καὶ τελευταῖα, τῶν νοερῶν αὐτῆς καὶ θεοειδῶν δυνάμεων. Ὅθεν ἡ τῶν Λογίων ἱερωτάτη σοφία, τὴν τῶν πτερῶν διάπλασιν* ἱερογράφουσα, περὶ τὰ πρῶτα, καὶ τὰ μέσα, καὶ τοὺς πόδας αὐτῶν ἐντίθησι τὰ πτερά, τὸ καθόλου πτερωτὸν αὐτῶν αἰνισσομένη, καὶ παντοδαπὸν τῆς ἐπὶ τὸ ὄντως ὂν ἀναγωγικῆς δυνάμεως.

* ἱερογραφοῦσα, ita Vien.

Εἰ δὲ τὰ πρόσωπα καὶ τοὺς πόδας καλύπτουσι, καὶ μόνοις πέτονται μέσοις πτεροῖς, ἐννόησον ἱερῶς, ὅτι τοσοῦτον ἐξῃρημένη τῶν ὑπερτάτων οὐσιῶν ἡ τάξις εὐλαβής ἐστι περὶ τὰ τῶν νοήσεων αὐτῆς ὑψηλότερα καὶ βαθύτερα, καὶ μέσοις πτεροῖς ἐν συμμετρίᾳ πρὸς θεοπτίαν ἀνάγεται, τοῖς θείοις ζυγοῖς ὑποθεῖσα τὴν οἰκείαν ζωήν, καὶ πρὸς αὐτῶν ἱερῶς εὐθετιζομένη πρὸς τὴν ἑαυτῆς ἐπιγνωμοσύνην.

Τὸ δὲ τοῖς Λογίοις εἰρημένον, ὡς ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον,

TEXTVS S. DIONYSII.

distinctionem nobis repræsentant, breuiter iterùm immaterialibus oculis quàm maximè deiformem eorum splendorẽ contemplemur.

§. 7. *Quid facies eorum & quid alæ designent.*

Infinitæ quidem facies eorum multique pedes significant, vt opinor, vim proprietatemque eorum quâ multas diuinas cernunt illustrationes, bonorumque diuinorum intelligentiam, quæ sempiterno motu cietur, multaq; peragrat: senas autem alas, quas Eloquia commemorant, non existimo sacrum numerum denotare, vt quibusdam placuit, sed ipsas virtutes supremæ illius quæ circa Deum versatur essentiæ seu distinctionis, primas, medias, & extremas, esse planè spiritales ac deiformes, superna petere, penitusque liberas existere ac supramundiales. Hanc ob causam sacratissima Scripturæ sapientia, dum alarum figuram depingit, ad eorum facies, mediaq; corpora, ac pedes pennas adhibet, vt insinuet, eas penitus alatas esse, atque omni vi ad id quod veraciter existit sursum ferri.

§. 8. *Cur facies & pedes obtegant.*

Quòd si facies pedesque obtegunt, mediisque tantùm alis volant, intellige, tam præstantem summarum naturarum ordinem reuereri ea quę altiora profundioraque sunt, quàm vt intelligendo assequi possint, mediisque alis moderatè ad Dei contemplationem euehi, dum & diuinis lancibus vitam suam subiicit, & ab iis sanctè ad sui notitiam promouetur.

§. 9. *Quid clamor alterius ad alterum.*

Quòd autem Scriptura dicat, Clamabat alter ad alterũ, hoc existimo

TEXTVS S. DIONYSII.

ſtimo ſignificare, quòd diuinarum ſuarum viſionum & intelligentiarum participationem ſine inuidiâ ſibi mutuò communicent. Quin etiam hoc memoratu dignum, quomodo in ſacris Litteris ſanctiſſimæ illæ naturæ perquam ſignificanter Hebraicâ voce Seraphim appellentur, quòd nimirum per diuinam ſemperquemobilem vitam ſuam igneſcant, & ſupra modum ferueant.

§.10. *Seraphim ſignificatio quid cum Vnguento.*

Si igitur, vt Hebraicorum nominum interpretes affirmant, diuiniſſimi illi Seraphim Incenſores & Calefactores à Scripturâ nominentur, quòd id nomen ſtatum eorum naturalem exprimat, vtique, iuxta ſymbolicam effigiationem, habent Vnguenti diuini vires illas, quæ ſurſum agunt ad ipſum exprimendum, & ad efficaciores vapores diſtribuendos incitant. Etenim eſſentia illa, cuius odoris ſuauitas mentem ſuperat, ab igneis puriſſimiſque mentibus ad ſui manifeſtationem inuitari amat, diuiniſſimaſque ſuas inſpirationes luculentiſſimis diſtributionibus impertitur iis qui ſic illam ſupramundialiter inuitarunt. Nequaquam igitur diuiniſſimus cæleſtium eſſentiarum ordo ignorabat, Ieſum diuiniſſimum ſanctificationis ergô deſcendiſſe; verùm ſciebat, ipſum, propter diuinam & ineffabilem bonitatẽ ſuam, ſanctè ſe ad noſtra demiſiſſe, & ab ipſomet Patre Spirituq; humano more ſanctificatũ cernens, proprium agnoſcebat principium in iis quæ diuinitus agebat ſecundùm eſſentiam inuariatum. Quare traditio

ἐκεῖνο οἶμαι δηλοῦν, ὅτι τῶν θεοπτικῶν αὐτῶν νοήσεων ἀλλήλοις ἀφθόνως μεταδιδόασι. Καὶ τοῦτο δὲ ἱερᾶς ἀξιώσωμεν μνήμης, ὡς ἡ τῶν Λογίων Ἑβραία φωνὴ, κατ' ἐμφατικὴν ἐπωνυμίαν καλεῖ τὰς ἁγιωτάτας τῶν Σεραφὶμ οὐσίας, ἐκ τοῦ κατὰ θείαν καὶ ἀκίνητον ζωὴν διαπύρου καὶ ὑπερζέοντος.

Εἴπερ οὖν ὡς οἱ τὰ Ἑβραίων ἀφερμηνεύσαντές φασιν, οἱ θειότατοι Σεραφὶμ, Ἐμπρησταὶ καὶ Θερμαίνοντες ὑπὸ τῆς θεολογίας ὠνομάσθησαν, ἐκφαντορικῷ τῷ οὐσιώδους αὐτῶν ἕξεως ὀνόματι, τοῦ θείου Μύρου κατὰ συμβολικὴν εἰκονογραφίαν ἀνακινητικὰς ἔχουσι δυνάμεις εἰς ἔκφανσιν αὐτοῦ καὶ δραστικωτέρων ἀτμῶν διάδοσιν ἐκκαλουμένας. Ἡ γὰρ ὑπὲρ νοῦν εὐώδης οὐσία, πρὸς τῶν διαπύρων καὶ καθαρωτάτων νοῶν εἰς ἔκφανσιν ἀνακινεῖσθαι φιλεῖ, καὶ τὰς θειοτάτας αὐτῆς ἐπιπνοίας ἐν πανολβίαις διαδόσεσιν δωρεῖται τοῖς οὕτως αὐτὴν ὑπερκοσμίως ἐκκαλουμένοις. Οὐκοῦν ἡ θειοτάτη τῶν ὑπερουρανίων οὐσιῶν τάξις, οὐκ ἠγνόηκε τὸν θεαρχικώτατον Ἰησοῦν εἰς τὸ ἁγιάζεσθαι κατεληλυθότα· νοεῖ δὲ αὐτὸν ἱερῶς ἐν τοῖς καθ' ἡμᾶς ἑαυτὸν ὑφέντα διὰ θείαν καὶ ἄρρητον ἀγαθότητα, καὶ πρὸς τοῦ Πατρὸς, αὐτοῦ τε καὶ τοῦ Πνεύματος, ἀνθρωποπρεπῶς ἁγιαζόμενον ὁρῶσα, τὴν οἰκείαν οἶδεν ἀρχὴν, ἐν οἷς ἂν θεαρχικῶς δρᾷ, τὸ κατ' οὐσίαν ἀναλλοίωτον ἔχουσαν. Ὅθεν ἡ τῶν

ἱερῶν

ἱερῶν συμβόλων παράδοσις, ἁγιαζομένῳ τῷ θείῳ μύρῳ τὰ Σεραφὶμ παρίστησιν, ἀπαράλλακτον εἰδυῖα καὶ διαγράφουσα τὸν Χριστὸν, ἐν τῇ καθ' ἡμᾶς ὁλικῇ πρὸς ἀλήθειαν ἐνανθρωπήσει. Καὶ προσέτι τὸ θειότερον, ὅπ τῷ θείῳ μύρῳ χρῆται πρὸς παντὸς ἱεροῦ τελεσιουργίαν, ἐναργῶς ἀποδεικνῦσα κατὰ τὸ λόγιον, ἁγιάζοντα τὸν ἁγιαζόμενον, ὡς ἀεὶ ταὐτὸν ὄντα ἑαυτῷ κατὰ πᾶσαν τὴν θεαρχικὴν ἀγαθουργίαν. Διὸ καὶ τῆς ἱερᾶς θεογενεσίας ἡ τελεσιουργὸς δωρεὰ καὶ χάρις, ἐν ταῖς τοῦ μύρου τελεῖται θειοτάταις τελειώσεσιν. Ὅθεν, ὡς οἶμαι, καὶ τῷ καθαρτικῷ βαπτιστηρίῳ τὸ μύρον ἐν σταυροειδέσι βολαῖς ἐπιχέων ὁ Ἱεράρχης, ὑπ' ὄψιν ἄγει τοῖς θεωρητικοῖς ὀφθαλμοῖς, ἄχρις δὴ καὶ αὐτοῦ θανάτου διὰ σταυροῦ τὸν Ἰησοῦν ὑπὲρ τῆς ἡμῶν θεογενεσίας καταδυόμενον αὐτῇ τῇ θείᾳ καὶ ἀκρατήτῳ καθόδῳ, τοὺς εἰς τὸν θάνατον αὐτοῦ κατὰ τὸ κρύφιον λόγιον βαπτιζομένους, ἐκ τῆς τοῦ φθοροποιοῦ θανάτου παλαιᾶς καταπόσεως ἀγαθοπρεπῶς ἀνασπῶντα καὶ ἀνακαινίζοντα πρὸς ἔνθεον καὶ αἰώνιον ὕπαρξιν.

Ἀλλὰ μὴν καὶ αὐτῷ τῷ τελεσθέντι τὴν ἱερωτάτην τῆς θεογενεσίας τελετὴν, τὴν τοῦ θεαρχικοῦ Πνεύματος ἐπιφοίτησιν, ἡ τοῦ μύρου δωρεῖται τελειωτικὴ χρίσις, ὑποτυπούσης, ὡς οἶμαι, τῆς ἱερᾶς τῶν συμβόλων εἰκονογραφίας, ὑπ' αὐτοῦ τοῦ δι' ἡμᾶς ἀνθρωποπρεπῶς τῷ θεαρχικῷ Πνεύματι καθαγιασθέντος, ἀναλλοιώτῳ τῆς οὐσιώδους θεότητος ἕξει, τὸ θεότατον Πνεῦμα χορηγούμενον.

TEXTVS S. DIONYSII.

Vnguētum designat Christum in se inuariatum nos sanctificare.

sacrorum symbolorum, dum diuinum Vnguentum consecratur, Seraphim apponit, vt Christum denotet ac describat, in vniuersâ naturæ humanæ nostræ assumptione in se immutatum permansisse. Et quod diuinius est, ad omnem rei sacræ consecrationem diuino vtitur Vnguento, manifestè demōstrans, iuxta Scripturas, eum qui sanctificandum sanctificat, vt qui semper sibi ipsi similis, atque idem sit in omni diuinæ benignitatis operatione; quapropter etiam diuinæ regenerationis donum & gratia perficiens diuinissimi Vnguenti consecrationibus consummatur. Vnde, vt opinor, etiam in baptisterium expiatorium Vnguentum, aspersionibus in Crucis formam expressis, infundens Pontifex, mentalibus oculis sub aspectum ponit, vt ad mortem vsque IESVS in cruce pro diuinâ nostrâ regeneratione demersus, diuino illo & insuperabili descensu in morte suâ baptizatos, secundùm oraculum arcanum, ex antiquâ mortis corruptibilis deiectione benignè vindicarit, & ad diuinum æternumque statum innouarit.

Vnguētum in omni ferè consecratione adhiberi.

Quin etiam ei qui sanctissimo diuinæ regenerationis sacro initiatus est, consummans illa vnctio diuini Spiritus illapsum elargitur, sacrâ, vti reor, symbolorum fictione hoc sub oculos ponente, quomodo ab ipso, qui propter nos humano more spiritu Dei principali sanctificatus, essentiali diuinitatis suæ statu inuariato, diuinissimus ille Spiritus donetur. §. II.

Cur in Baptismo Vnguentum adhibeatur.

TEXTUS S. DIONYSII. §. 12.

Cur altare Vnguento consecretur.

Hoc etiam sanctè obserua, vt sacratissimorum illa lex mysteriorum purissimis Vnguenti sacratissimi affusionibus diuini quoque altaris consecrationem perficiat. Est vtique supracælestis ac supersubstantialis hæc diuina operatio vniuersæ diuinitus nobis præstitæ sanctificationis initium & essentia virtusque perfectiua. Etenim si IESVS, qui est altare nostrum diuinissimum, diuina est diuinarum mentium consecratio, in quo, secundùm Scripturam, sanctificati, & mysticè in morem holocausti concremati, accessum obtinemus, supramundanis oculis diuinissimum illud altare intueamur (in quo ea quæ initianda sunt, consecrantur ac sanctificantur) ipsomet Vnguento diuinissimo initiatum: sanctificat enim semetipsum pro nobis sanctissimus ille IESVS, nosq; omni replet sanctitate, dum ea quę in eo geruntur per dispensationē, ad nos, veluti à Deo genitos, beneficè dimanant. Vnde, vt opinor, iuxta sensum Hierarchicum qui à Deo traditus est, diuini isti sacri nostri ordinis duces sanctum hoc Vnguenti mysterium τελετὴν, id est consecrationem vocant, quòd reipsâ consecret atque cōsummet; vt si quis dixerit Dei consecrationem, vtroque sensu diuinam eius perfectionem prædicando. Est enim Dei consecratio, cùm quòd propter nos humanitus sanctificetur, tum quòd diuinitus cuncta, quæ consecranda sunt, ipse consecret atque sanctificet. Porrò melos illud sacrum Prophetarum diuinitus afflatorum, aiunt hi qui

Vnguentum cur τελετὴ dictum.

Καὶ τοῦτο δὲ ἱεραρχικῶς ἐννόησον, ὅτι καὶ τὸ θείου θυσιαστηρίου τὴν ἱερὰν τελείωσιν, ἡ τῶν ἁγιωτάτων * τελεῶν θεσμοθεσία, ταῖς τοῦ ἱερωτάτου Μύρου τελεσιουργεῖ παναγέσιν ἐπιχύσεσιν. Ἔστι δὲ ὑπερουράνιος καὶ ὑπερούσιος ἡ θεωρία, πάσης τῆς θεουργικῆς ἡμῶν ἁγιαστείας ἀρχὴ καὶ οὐσία καὶ τελεσιουργὸς δύναμις. Εἰ γὰρ ἔστι τὸ θειότατον ἡμῶν θυσιαστήριον Ἰησοῦς, ἡ θεαρχικὴ τῶν θείων νοῶν ἀφιέρωσις, ἐν ᾧ κατὰ τὸ Λόγιον ἀφιερούμενοι, καὶ μυστικῶς ὁλοκαυτούμενοι, τὴν προσαγωγὴν ἔχομεν, ὑπερκοσμίοις ὀφθαλμοῖς ἐποπτεύσωμεν αὐτὸ τὸ θειότατον θυσιαστήριον, (ἐν ᾧ τὰ τελούμενα τελεῖται, καὶ ἁγιάζεται) πρὸς αὐτοῦ τοῦ θειοτάτου Μύρου τελούμενον· ἁγιάζει γὰρ ὑπὲρ ἡμῶν ἑαυτὸν ὁ παναγιώτατος Ἰησοῦς, καὶ πάσης ἡμᾶς ἁγιαστείας ἀποπληροῖ, τῶν ἐπ᾽ αὐτῶν τελουμένων οἰκονομικῶς εἰς ἡμᾶς, ὡς θεογεννήτους, λοιπὸν ἀγαθουργικῶς διαβαινόντων. Ὅθεν, ὡς οἶμαι, κατὰ νοῦν ἱεραρχικὸν θεοπαραδότως οἱ θεῖοι τῆς καθ᾽ ἡμᾶς Ἱεραρχίας καθηγεμόνες, τὴν πάνσεμνον ταύτην ἱερουργίαν, Μύρου τελετὴν, ἐκ τοῦ τελουμένου πραγματικῶς ὀνομάζουσιν, ὡς ἂν τις φαίη Θεοῦ τελετὴν, ἑκατέρῳ νῷ τὴν θείαν αὐτῆς τελετουργίαν ὑμνοῦντες. Ἔστι γὰρ αὐτοῦ τελετὴ, καὶ τὸ δι᾽ ἡμᾶς ἀνθρωποπρεπῶς ἁγιάζεσθαι, καὶ τὸ θεουργικῶς ἅπαντα τελεῖν καὶ ἁγιάζειν τὰ τελούμενα. Τὸ δὲ ἱερὸν τῆς τῶν θεολήπτων Προφητῶν ἐπιπνοίας μελῴδημα, φασὶν οἱ τὰ

* γρ. τελετῶν, ita Vien.

Ἑβραίων

Ἑβραίων εἰδότες, τὸ αἶνος Θεοῦ δηλοῦν, ἢ τὸ Αἰνεῖτε τὸν Κύριον. Ἁπάσης οὖν ἱερᾶς θεοφανείας καὶ θεουργίας ἐν τῇ ποικίλῃ συνθέσει τῶν ἱεραρχικῶν συμβόλων ἱερογραφουμένης, οὐκ ἀνάρμοστόν ἐστι μεμνῆσθαι τῆς θεοκινήτου τῶν Προφητῶν ὑμνολογίας· διδάσκει γάρ, εὐαγῶς τε ἅμα καὶ ἱεροπρεπῶς, αἴνων ἱερῶν ἀξίας εἶναι τὰς θεαρχικὰς ἀγαθουργίας.

Hebraicè norunt, Dei laudem significare, siue *Laudate Dominum.* Cùm igitur sacra omnis Dei apparitio actioq; in diuersâ Hierarchicorum symbolorum compositione sit descripta, nequaquam absre fuerit, meminisse laudationis Prophetarum quam diuinitus dicerunt: docet enim præclarè simul ac sanctè, diuina beneficia præcipuâ laude digna esse.

ANNOTATIONES CORDERII.

ANNOTATIONES CORDERII.

Quando consecretur Vnguentum.

NOTA Primò, Parte I. huius Capitis, mysterium Vnguenti seu Chrismatis dici coordinatum esse mysterio Synaxeos, quia non nisi intra Missarum solemnia consecrari potest: in Ecclesiâ autem vsus obtinuit, vt hæc consecratio in quintâ Feriâ Maioris hebdomadæ celebretur, cuius rei rationem ac ritum vide apud Guilielmum Durandum in Rationali diuinorum officiorum lib. 6. cap. 74.

Triplex Oleum sacrum, & quis eius vsus.

Nota Secundò, in Ecclesiâ triplex tunc Oleum consecrari. Primum est *Oleum Catechumenorum*, in cuius exorcismo præcipitur diabolo vt recedat à Catechumeno, qui adhuc reputatur mortuus, quo vsque non est baptizatus. Secũdum est *Oleum Chrismatis*, quod iam viuentes significat, & adhibetur baptizatis, & in Confirmationis Ordinisque Sacramentis, aliisque consecrationibus. Tertium est *Oleum infirmorum*, quod iam sauciatis medelam præstat; & quoniam dolor sequitur ægritudinem, hinc in eius consecratione rogat Pontifex isti oleo virtutem tribui, ad euacuandum omnes dolores, & omnem ægritudinem, iuxta illud Iacobi 5, 14. *Infirmatur quis in vobis? Inducat Presbyteros Ecclesiæ, & orent super eum, vngentes eum oleo, in nomine Domini: & oratio fidei saluabit infirmum, & alleuiabit eum Dominus: & si in peccatis sit, remittentur ei.* Plura qui volet, de his consulat Guilielmum Durandum loco suprà citato, & in libro de Diuinis officiis Alcuinum, & Amalarium diuersis in locis, præsertim in Officio quintæ Feriæ Maioris.

Vnguẽtum seu Chrisma à quo & quomodo benedicendum.

Parte II. tradit ritum benedicendi Vnguentum, cui suppares ferè Eucharistiæ consecrationi cærimoniæ adhibentur. Vnde Cyrillus Ierosolymitanus Catechesi 3. Mystagogi hanc consecrationem ita exaggerat, vt eam cum consecratione Eucharistiæ conferre videatur; verùm comparatio accipienda est per quamdam similitudinem vel proportionem, non æqualitatem. Quoad aliquid tamen hæc benedictio seu consecratio dignior videri posset, quatenus ad eam Episcopalis auctoritas necessaria est; ita vt absque illâ nihil fiat in hoc mysterio: pertinet enim ad potestatem ordinis Episcopalis, neque eam habet ex vi Ordinis simplex Sacerdos. An verò Pontifex eam committere possit simplici Sacerdoti, disputatur à Theologis in 3. Part. D. Thomæ, quæst. 72. art. 3. & 4. & probabilius videtur, non posse. Vide Suarez Parte 3. q. 72. art. 4. disp. 33. sect. 2.

Vsus eiusdem.

Porrò huius Vnguenti seu sacri Chrismatis vsus (vti hîc quoque in fine mysterij docet Dionysius) valdè varius est in Ecclesiâ: maximè verò solemnis & essentialis est in Sacramento Cõfirmationis, cuius est materia necessaria, vti D. Thomas in 3. Parte, quæst. 72. art. 3. & cum eo Theologi docẽt. Infantibus quoque & Catechumenis, postquã fuerint baptizati, vertex capitis Chrismate inungitur, quam cærimoniam in Ecclesiâ primitiuâ adhibitam fuisse, patet ex S. Dionysio suprà Cap. 2. Parte II. §. 8. & Parte III. §. 9. Altaria quoque, & calices, aliaque vasa sacra, dum benedicuntur, Chrismate inunguntur, exemplo veteris benedictionis, iuxta quam altare, tabernaculum, eiusque vasa ex mandato Dei vngebantur, Exod. 30.

Parte III. §. I. vbi ait, *Nullam virtutem agunt, vt ab hominibus videantur*, alludit ad illud Matthæi, *Attendite ne iustitiam vestram faciatis coram hominibus, vt videamini ab eis*, &c. Matt. 6, 1. Et ad illud, *Omnia verò opera sua faciunt, vt videantur ab hominibus*, de Mat. 23, 5.

 Scribis

Scribis & Pharisæis hypocritis loquens. Non ita viri sancti, qui soli Deo placere satagunt, & ab hominibus laudari nolunt, 1.Cor.4,3. iuxta illud Pauli dicentis: *Mihi autem pro minimo est, vt à vobis iudicer, aut ab humano* Gal. 1, 10. *die.* & alibi: *Si adhuc hominibus placerem, seruus Dei non essem.*

§. 4. *Dicimus igitur Vnguenti compositionem, collectionem quamdam esse fragrantium* Chrismatis materia. *materiarum*, &c.] Vnde patet, Chrisma siue Vnguentum hoc non esse simplex, sed confectum ex pluribus rebus, saltem ex veteri Ecclesiæ sensu & vsu, vti ex hoc loco patet, & ex Innocentio III. cap. Pastoralis, Extrau. de Sacram. non iterandis. vbi Chrisma distinguit ab oleo simplici benedicto. Vnde colligitur, fuisse mixtum balsamo, quod optimum odorem spirat. Hinc Cyprianus Serm. de Vnctione Chrismatis ait: *Hodie in Ecclesiâ sacrum Chrisma conficitur, in quo mixtum oleo balsamum Sacerdotalis & Regiæ dignitatis exprimit vnitatem.* & S. Gregorius Papa cap. 1. in Cantica meminit Chrismatis ex oleo & balsamo. A quo instituta eius consecratio. Docuit autem Ecclesiam suam hanc Chrismatis confectionem in vltimo illo sermone quem ante Ioa.21,25. cœnam cum Apostolis habuit Christus, quando etiam plura alia ad suauem Ecclesiæ suæ gubernationem fecit & dixit, etiamsi non omnia in particulari sint litteris commendata, vti S. Ioannes Euangelium suum concludens testatur dicens: *Sunt autem & alia multa quæ fecit Iesus: quæ si scribantur per singula, nec ipsum arbitror mundum capere posse eos qui scribendi sunt libros.* Manauit itaque hæc Chrismatis confectio ex Apostolicâ traditione Christique institutione, ad quem spectauit instituere essentialia Sacramentorum. Esse autem Chrisma materiam essentialiter requisitam ad Sacramentum Confirmationis, definitur in Concilio Florentino & Tridentino. Vnde illud Sacramentum nonnumquam à materiâ vocatur Chrisma, vel Sacramentum Chrismatis, idque ab antiquissimis Patribus.

Ibidem paulò infrà, *Vnguenti*, inquit, *mystica compositio quasi in figuratione rerum infigurabiliũ ipsummet Iesum nobis depingit*, vt qui Act. 10,38. dicitur à Deo fuisse vnctus Spiritu sancto. Vnde apud Ecclesiasticos Scriptores vnctio significat Spiritum sanctum, qui proinde *spiritalis vnctio* nuncupatur.

§. 10. Vbi ait, *Ad omnem rei sacræ consecrationem diuino vtitur Vnguento*, nota varium olim & modò vsitatum vngendi ritum. Eiusdem vsus. Sic Exod. 29. præcepit Deus certum ritum vngendi Sacerdotes, qui completus describitur cap. 8. Leuitici; vbi Moyses consecrauit Aaronem, fundendo in illum Vnguentum, quod erat compositum ex myrrhâ, cinnamomo, casiâ, & oleo oliuarũ, vt constat Exod. 30, v. 23. & 30. Effusio autem Vnguenti odoriferi propria erat Pontificis, ad denotandam gratiæ plenitudinem, spiritus & potestatis abundantiam. Item monebat Pontificem misericordiæ, cuius symbolum est oleum, charitatis, atque aliarum virtutum. Sic & in nouâ lege Episcopi in suâ consecratione vnguntur in capite, Sacerdotes in manibus, vt patet ex Pontificali Romano. Prophetæ quoque & Reges vngi solent, vt patet 3. Reg. 19, 16. & 1. Reg. 10. qui etiamnum in solemni Regum coronatione obseruatur; & patet ex Pontificali Romano, vbi formula vnctionis præscribitur.

SCHOLIA S. MAXIMI.




I. HOC MODO AD ILLVD VNVM.] Hoc est ad intelligibile & spiritale.

II. CVM ODORIS FRAGRANTIA PROCESSIONE.] Id est, cùm Episcopus totum templum incensauerit.

CANTICVM.] Scilicet Sanctus, vel Alleluia.

ET SVPER EO.] Per ipsum enim omne quod sanctum est consecratur.

III. §. 1. SANCTIS.] Nota rationem verè diuinam: quoniam viros diuinos virtutis operationes à vanâ gloriâ abscondere oportet.

SIMVLACRVM.] Imago.

SI FAS EST.] Si iustum.




Οὕτω πρὸς τὸ ἕν.] Τουτέστι πρὸς τὸ νοητὸν καὶ πνευματικόν.

Εὐόσμου περιαγωγῆς.] Ἀντὶ τοῦ, θυμιάσαντος τοῦ Ἐπισκόπου πᾶσαν τὴν ἐκκλησίαν.

Μελῴδημα.] Τὸ Ἅγιος δηλονότι, ἢ καὶ τὸ Ἀλληλούϊα.

Καὶ τὸ ἐπ' αὐτῷ.] Δι' αὐτοῦ γὰρ ἅπαν ἅγιον τελειοῦται.

Τοῖς ἱεροῖς.] Σημείωσαι ἀληθῶς θεῖον λόγον, ὅτι δεῖ τοὺς θείους ἄνδρας, κεκαλυμμένας ἔχειν ἀπὸ δόξης κενῆς, τὰς τῆς ἀρετῆς πράξεις.

Ἄγαλμα.] Εἰκών.

Εἰ θέμις.] Εἰ δίκαιον.

Ἐν τῇ εἰκόνι.] Εἰ καὶ τὸ ἀπαράλλακτον καὶ πάντη ὅμοιον ἔχει ἡ εἰκὼν πρὸς τὸ ἀρχέτυπον, ἀλλ' ἡ οὐσία, φησὶ, διάφορος· ἡ μὲν γὰρ ἄψυχος, τὸ δὲ ἔμψυχον· καὶ τὸ μὲν ἀληθινὸν ζῶον ἔμπνουν, τὸ δὲ τοῦ ζωγράφου ἔργον, ἐκ κηροῦ καὶ χρωμάτων. Ἐν τούτῳ τοίνυν τῆς διαφορᾶς θεωρουμένης, ἡ ταυτότης ἐν ἀμφοτέροις τῇ ὁμοιότητι διάφορος.

Ἴνδαλμα.] Ὁμοίωμα.

Εἰκότως.] Πρὸς τὸ θεῖον κάλλος δηλονότι.

Δρῶσι.] Πράττουσιν.

Εἰς τὸ θεαθῆναι.] Σημείωσαι, πῶς ἐκλαμβάνει, τὸ μὴ δεῖν ἡμῶν τὰς εὐποιΐας ἐκπομπεύειν.

Εἰσὶν εὐωδίας.] Τουτέστιν ὁ Θεὸς, τοῦτο γὰρ ἡ εὐωδία· τὸ ἀληθῶς καλὸν ἐφ' ἑαυτοῦ ποιῶν, εἰς ἅπαντας οὐκ ἐπιστρέφεται, τουτέστιν, οὐ φροντίζει κενοδόξως τῶν μὴ ἀποδεχομένων ἔσθ' ὅτε τὰς παρ' αὐτοῦ κρίσεις, οὐδὲ ἐπιτηδεύει δόξαν ἔχειν παρὰ ἀνθρώποις.

Ὡς κρυφίων.] Πολλάκις ἐν τῷ περὶ Θείων ὀνομάτων ἐδηλώσαμεν, τί νοητὸν καὶ τί νοερόν. Τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι τῷ Ἐπισκόπῳ ἁγίῳ ὄντι, ὡς συγγενεῖ τοῦ θείου φωτὸς, ἀποκαλύπτει ὁ Θεὸς οὐ δι' ἑτέρου διδασκάλου, ἀλλ' αὐτὸς αὐτὸν φωτίζων, τὸ μυστήριον τῆς θεωρίας καὶ τοῦ Μύρου· διὸ αὐτῷ τῷ Ἐπισκόπῳ οὐ περίκειται κάλυμμα κατὰ τοῦ θείου Μύρου, ἀλλ' ἀνακεκαλυμμένῳ προσώπῳ, κατὰ τὸν Ἀπόστολον, θεωρεῖ τὰ μυστήρια. Τοῖς δὲ μὴ τελείοις χρεία συμβόλων, διὸ ταῖς πτέρυξι κεκαλυμμένον γίνεται τὸ ἅγιον Μύρον τοῦ Θεοῦ διὰ τοῦ Ἱεράρχου, μεσιτεύοντος εἰς τὰ πρὸς Θεὸν καὶ τὸν λαὸν, καὶ διὰ τῆς ἑρμηνείας ἀνακαλύπτοντος τὰ σύμβολα. Θεωροὺς δὲ καλεῖ τοὺς Ἐπισκόπους, ἐπειδὴ καὶ παρ' Ἕλλησι θεωροὶ ἐκαλοῦντο οἱ προβαλλόμενοι παρὰ πάντων ἐπερωτᾶν τὸν Θεὸν περὶ μελλόντων, καὶ θυσίας ὑπὲρ αὐτῶν προσφέρειν, καὶ ἐξιλεοῦσθαι ὑπὲρ αὐτῶν. Ἀνομοίους δὲ καλεῖ, τοὺς ἀτελεῖς τοῦ λαοῦ· τοῦτο γὰρ αὐτῷ ἔθος.

Αἰνιγμάτων.] Δι' αἰνιγμάτων γὰρ καὶ συμβόλων πρὸς τὴν ἑαυτῶν ἀσθένειαν αὗται αἱ τάξεις φωτίζονται.

Τῆς τῶν ἱεραρχικῶν.] Τελειοῖ γὰρ πάντα τὸ θεῖον Μύρον ἐπιχεόμενον, ὥσπερ ἡ μετάληψις τοῦ ἁγίου Σώματος καὶ Αἵματος.

IN IMAGINE.] Etsi imago inuariatam & omnino perfectam similitudinem habeat exemplaris, dissimilis tamen, inquit, est substantiâ; siquidem illa inanimis, hoc verò inanimatum est: & hoc quidem verum animal viuens, illa verò pictoris opus est ex cerâ, & coloribus. Cùm igitur in hoc differentia cernatur, idemtitas est in vtrisque similitudine diuersa.

IMPRESSIO.] Similitudo.

MERITO.] Ad diuinam scilicet similitudinem.

FORMANT.] Faciunt.

VT VIDEANTVR.] Nota quomodo intelligat, à nobis recta nostra facta minimè ostentanda esse.

SVNT BONI ODORIS.] Id est Dei, hoc est enim suaueolentia: qui bonum per se faciens, ad omnes minimè conuertitur, id est, minimè curat, inani gloriâ ductus, eos qui aliquando non suscipiunt eius decreta, neque gloriam ab hominibus habere studet.

VTPOTE ARCANIS.] Sæpè in libro de Diuinis nominibus exposuimus quid sit intellectile, & quid intelligens. Hoc igitur etiam hîc dicit, sancto scilicet Episcopo, tamquam diuini luminis affini, Deum non per alterum præceptorem, sed per semetipsum contemplationis Vnctionisque mysterium reuelare: quocircà Episcopo non circumiacet velum in diuino Vnguento, sed reuelatâ facie, secundùm Apostolum, mysteria contemplatur. Nondum perfectis autem opus est signis, atque ideò sacris alis Vnguentum sacrum obtegitur per Episcopum, qui sequester est inter Deum & populum, & expositione suâ symbola reuelat. Episcopos autem vocat speculatores; quandoquidem etiam à Græcis Gentilibus sic nuncupabantur, qui ab omnibus præpositi erant, vt Deum de futuris interrogarent, & hostias pro ipsis offerrent, propitiumque redderent. Ἀνομοίους autem appellat minùs perfectos in populo, is enim ei mos est.

§. 2. *Episcopis sacra omnia patent.*

QVIBVS SIGNIS.] Nam per ænigmata, inquit, & symbola hi ordines ad eorum infirmitatis captum illustrantur.

HIERARCHICAS.] Sacri enim Vnguenti effusio, non secùs ac sacri Corporis ac Sanguinis participatio, consecrat vniuersa. §.3.

DIVI-

SCHOLIA S. MAXIMI.

DIVINORVM.] Omnes enim odoris ſuauitate perfuſi diuinæ myſticæque ſuaueolentiæ pro captu ſuo participes exiſtunt.

ENERGVMENORVM.] Qui à dæmoniis vexantur, & ad libidinem conuerſi ſunt, de quibus etiam egit Capite præcedenti. Πτοίαν autem vocat, quaſi tumultum, metum, pauorem, dolum.

IS VERO QVI AD MENTEM.] Dicit hoc propter pœnitentes.

PROMOVENT.] Recta diſpoſita conſequentia, & aſcenſus ſanctis conſentaneus.

VNIFORMITATEM.] Vniformitatem vocat ipſam mentem, quæ ad vnum ſcilicet Deum ſpectat, quam etiá cum illo ipſo vno coniungi ait, & eiuſdem vnione expleri.

§.4. QVID PORRO?] Lege hunc locum per interrogationem.

SI ENIM RERVM.] Dicit ſuaueolentiam ſenſibilem nutrire ſenſum, eumque benè afficere.

IVDICII VIGORE.] Iudicij vigorem vocat animæ iudicandi ſeu intelligendi vim, quam dicit numquam diuinæ ſuaueolentiæ ſenſum percepturam, niſi à propenſione ad malum fuerit expurgata.

VBEREM.] Diuitem.

SVAVITER AFFECTÆ.] Pro bono odore perfuſæ.

§. 5. ILLIVS SECVNDVM MENTEM.] Illud *ſecundùm mentem* de Angelis intelligendum.

IN ALIS DVODECIM SIGNIFICATVR.] Cuius rei figura ſint hæ duodecim alæ. Nota verò magnitudinem Seraphim.

THEOLOGIAM.] Sanctus, Sanctus, Sanctus.

OMNIQVE MALITIA SIMVL.] Nota, quoniam hîc Pater dicit, ſupernas iſtas virtutes non ſolùm malitiæ, ſed etiam obliuionis expertes eſſe.

SCIENTIAM.] Rectè autem ſcientiæ cognitionem adiunxit; nam accurata cuiuſlibet rei cognitio ſcientiam eius gignit.

§.6. HAS IGITVR.] Quæ ſit proprietas Seraphim, & vt hanc ſuprà expoſuerit.

SVPERCÆLESTIVM.] Intelligit in libro de Cæleſti Hierarchiâ.

Τῶν θείων τὴν.] Πάντες γὰρ οἱ εὐωδιαζόμενοι, τῆς θείας μυστικῆς εὐωδίας μεταλαμβάνουσιν ἀναλόγως.

Ἐνεργουμένων.] Τῶν δαιμονώντων καὶ εἰς ἀσέλγειαν τετραμμένων, περὶ ὧν καὶ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ φησί. Πτοίαν δὲ λέγει οἱονεὶ θόρυβον, φόβον, πτόησιν, ἀπάτην.

Τοῖς δὲ εἰς νοῦν.] Διὰ τοὺς ἐν μετανοίᾳ φησίν.

Ἄγουσιν.] Εὔτακτος ἀκολουθία, καὶ ἀνάβασις τοῖς ἁγίοις κατάλληλος.

Τὸ ἑνοειδές.] Τὸ ἑνοειδές φησι τὸ πρὸς τὸ ἕν, ἤγουν τὸν Θεὸν ὁρῶντα αὐτὸν νοῦν, ὃν καὶ ἑνοῦσθαι λέγει πρὸς αὐτὸ τὸ ἕν, καὶ τῆς τούτου ἀποπληροῦσθαι ἑνώσεως.

Τί δέ.] Κατ' ἐρώτησιν ἀνάγνωθι τὸ χωρίον.

Εἰ γὰρ ἡ τῶν.] Ὅτι ἡ αἰσθητὴ εὐωδία τρέφει τὴν αἴσθησιν, καὶ εὐεκτεῖν ποιεῖ.

Κριτικοῦ.] Κριτικόν φησι τὸ τῆς ψυχῆς διακριτικὸν, ἤτοι τὸ νοερὸν, ὅπερ, εἰ μὴ τῆς ἐπὶ τὸ χεῖρον ῥοπῆς καθαρεύοι, οὐκ ἂν ἐν αἰσθήσει τῆς θείας εὐωδίας γενήσεσθαι λέγει.

Ὄλβον.] Πλοῦτον.

Ἡδόμενοι.] Ἀντὶ τοῦ, εὐωδιαζόμενοι.

Τῆς κατὰ νοῦν.] Τὸ Κατὰ νοῦν, ἐπὶ Ἀγγέλων.

Δυοκαιδεκάδι σημαίνεται.] Τίνος τύπος αἱ ιβ' πτέρυγες. Σημείωσαι δὲ τὸ μέγεθος τῶν Σεραφίμ.

Θεολογίαν.] Ἅγιος, ἅγιος, ἅγιος.

Κακίας τε ἅμα.] Σημείωσαι, ὅτι οὐ μόνον κακίας, ἀλλὰ καὶ λήθης ἀμετόχους τὰς ἄνω δυνάμεις φησὶν ὁ Πατήρ.

Ἐπιστήμην.] Καλῶς συνῆψε τῇ ἐπιστήμῃ τὴν νόησιν· ἡ γὰρ ἀκριβὴς περὶ ὁτουοῦν κατανόησις, ἐπιστήμην τούτου ἐργάζεται.

Τὰς μὲν οὖν.] Τίς ἡ ἰδιότης τῶν Σεραφίμ, καὶ ὅτι ταύτην προεῖπε.

Τῶν ὑπερουρανίων.] Ἐν τῇ περὶ τῆς Οὐρανίας Ἱεραρχίας πραγματείᾳ φησί.

Τὸ μὲν οὖν.] Θεωρία τῶν ἁγίων Σεραφίμ. Σημείωσαι ὅλον τὸ χωρίον, ὅπως ἐκδίδωσιν ἐν αὐτῷ νοεῖν ἡμᾶς τὰ περὶ τῶν ἄνω δυνάμεων γεγραμμένα ἐν τοῖς Προφήταις.

§.7. ΤΟ' ΜΕ'Ν ΟΥ῏Ν.] Contemplatio ſanctorum Seraphim. Nota totum hunc locum, quomodo det nobis intelligenda quæ in Prophetis de ſupernis iſtis Virtutibus conſcripta ſunt.

SCHOLIA S. MAXIMI.

Ἑξαπλῆν θέσιν.] Ἑξαπλῆν θέσιν, τὸ ἓξ εἶναι πτέρυγάς φησι.

Πρῶτα καὶ μέσα.] Εἴρηται ἐν τοῖς πρὸ τούτου, πῶς χρὴ ἐκδέχεσθαι τὰς πρώτας, καὶ μέσας, καὶ τελευταίας δυνάμεις τῶν νοερῶν.

Διάπλασιν.] Οὐ γὰρ ἀληθῆ πτερὰ ἔχουσι.

Τῶν πτερῶν.] Σημείωσαι δὲ, πῶς ἔλαβε τὰ περὶ τῶν πτερύγων τῶν Σεραφὶμ, καὶ ὅτι καθ' ὅλον αὐτὰ ἵπταντο, μηδὲν ἔχοντα ὑφειμένον καὶ ταπεινόν.

Εἰ δὲ τὰ πρόσωπα.] Σημείωσαι ὡραιοτάτην θεωρίαν καὶ ξένην, διὰ τί οἱ Σεραφὶμ τὰ πρόσωπα καὶ τοὺς πόδας καλύπτουσι ταῖς πτέρυξι, ταῖς δὲ μέσαις πέτονται.

Καὶ τοῦτο δέ.] Ἑρμηνεία τοῦ Σεραφίμ.

Τῆς οὐσιώδους.] Ἐν τῷ περὶ τῆς Οὐρανίας Ἱεραρχίας λόγῳ ἐσαφηνίσθη, τί ἐστιν ἐπὶ Ἀγγέλων οὐσιώδης ἕξις, ἐν ἑβδόμῳ κεφαλαίῳ.

Οὐκ ἠγνόησεν.] Ὅτι καὶ οἱ ἅγιοι Ἄγγελοι ἴσασιν, ὅτι ὁ ἁγιάζων Ἰησοῦς, καὶ ἡγιάσθη, καὶ πότε, καὶ πῶς.

Κατεληλυθότα.] Τουτέστιν, ἄνθρωπον γενόμενον.

Πρὸς τοῦ Πατρός.] Τοῦτό φησι, διὰ τὸ μίαν εἶναι τῆς ἁγίας Τριάδος τὴν ἐνέργειαν. Σημείωσαι δὲ τὴν ἀπαράβλητον ὀρθοδοξίαν τοῦ μεγάλου Διονυσίου, καὶ πῶς ἐφύλαξε τῆς θεότητος τοῦ Κυρίου Ἰησοῦ, καὶ τῆς σαρκὸς τὴν διαφοράν. Ὁ γὰρ ἁγιάζων Ἰησοῦς ὡς Θεὸς πάντα, καὶ αὐτὸς ὡς ἄνθρωπος ἡγιάσθη ὑπό τε τοῦ Πατρὸς, καὶ ὑφ' ἑαυτοῦ, ἐπεὶ καὶ Θεὸς, καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος· εἰδυῖαι καὶ τῶν οὐρανίων τάξεων τὴν ἰδίαν ἀρχὴν, τουτέστι, τὸν αἴτιον αὐτῶν, καὶ τὸν δημιουργὸν τὸν Ἰησοῦν, ὅτι κἂν ἁγιάζηται, ἀλλ' οὖν καὶ οὕτως ἔχει τὸ κατ' οὐσίαν ἀναλλοίωτον, Θεὸς γάρ. Σημείωσαι δὲ, ὅτι τὴν οἰκείαν οἶδεν ἀρχὴν ἐκ τῆς θεουργίας αὐτοῦ.

Σεραφὶμ περιΐστησι.] Σημείωσαι, διὰ τί τῷ θείῳ Μύρῳ περιΐστανται τὰ ἑξαπτέρυγα. Ἀπαράλλακτον δὲ εἶπεν, ἢ ὡς πρὸς τὸ κατὰ πάντα τῆς καθ' ἡμᾶς φύσεως ὁμοιωθῆναι ἡμῖν χωρὶς ἁμαρτίας, ἢ ὡς μὴ ὑπομείναντα παραλλαγὴν, ἢ τροπῆς ἀποσκίασμα κατὰ τὴν θεότητα, ἐν τῷ προσλαβεῖν τὸ ἀνθρώπινον. Σημείωσαι δὲ τὴν ὁλικὴν ἐνανθρώπησιν, διὰ τοὺς ἄνουν αὐτὸν λέγοντας.

SEXTVPLICEM POSITIONEM.] Sextuplicem positionem vocat sex alas.

PRIMAS ET MEDIAS.] Præcedenti libro dictum est, quomodo accipiendæ sint primę, mediæ, postremæq; Virtutes intelligentium.

EFFICTIONEM.] Non enim veras alas habent.

ALARVM.] Nota autem, quomodo accipit ea quæ de alis Seraphim traduntur, & vt omnino volarent, quòd nihil haberent humile vel abiectum.

§. 8. QVOD SI FACIES.] Nota pulcherrimam nouamque contemplationem, quare Seraphim facies pedesque tegant alis, & mediis volent.

§. 9. QVIA ETIAM HOC.] Interpretatio Seraphim.

§. 10. STATVM NATVRALEM.] In libro de Cælesti Hierarchiâ cap. 7. explicatum est, quid in Angelis sit habitus seu status naturalis.

NON IGNORABAT.] Quoniam etiam sancti Angeli sciebant ipsum Iesum, qui sanctificat, etiam sanctificatum fuisse, & quomodo, & quando.

DESCENDISSE.] Id est hominem factum esse.

A PATRE.] Hoc dicit, eò quòd vnica sit Sanctissimæ Trinitatis operatio. Obserua verò Magni Dionysij irrefragabilem in rectâ fide sententiam, & quomodo diuinitatis Domini Iesu eiusque carnis differentiam seruarit. Nam Iesus, qui vt Deus omnia sanctificat, vt homo etiam sanctificatus fuit à Patre & à semetipso, quia etiam Deus est, & à Spiritu sancto; scientibus quoque cælestibus ordinibus principium, id est, auctorem suum & creatorem Iesum, quod etsi sanctificetur, nihilominus vt sic etiam habeat naturæ immutabilitatem, quoniam Deus est. Nota verò, vt proprium suum principium agnouerit ex diuinâ suâ actione.

Quomodo Christus sanctificatus sanctificet.

SERAPHIM APPONIT.] Nota, cur diuino Vnguento apponantur Seraphim illi sexaligeri. In se autem immutatum dixit, vel quòd per omnia naturæ nostræ similis factus est absque peccato, vel quòd non subiuerit mutationem, vel vicissitudinis obumbrationem secundùm Diuinitatem, cùm humanam naturam assumpsit. Nota autem, integram naturam humanam assumpsisse, contra illos, qui ipsum mentis expertem asserunt.

SCHOLIA S. MAXIMI.

SANCTIFICANDVM.] Tum potiùs hoc modo legebatur in Epistolâ ad Hebræos, Heb.2,11. *Qui enim sanctificat, & qui sanctificatur.*

VNGVENTVM.] Cur Vnguentum in Baptismo effundatur in formam crucis.

SVB ASPECTVM PONIT.] Pro, palàm prędicat.

PRO DIVINA REGENERATIONE DEMERSVS.] Tertio enim die resurrexit, à morte minimè superatus.

INSVPERABILI.] Nam tertio die inuictus resurrexit.

EOS QVI IN MORTE.] Est enim occulta multis causa, cur Baptismus Christi detur, quoniam in morte eius baptizamur.

§.11. HVMANO MORE.] Nota etiam hîc, Christum & vt hominem accipere Spiritum sanctum cùm sanctificatur, & eumdem dare vt Deum. Nota item eius essentialem diuinitatem, in quâ mansit immutatus.

STATV DIVINITATIS.] Si cùm in Angelis substantiales habitus audimus, non qualitates extrinsecus per accidens aduenientes intelligimus, vt paulò antè dictum est, & in libro de Cælesti Hierarchiâ cap. 7. exposuimus: multò magis in Deo, qui propriè supra substantiam existit, habitum non qualitatem quampiam accipiemus, quæ compositis conueniat, sed ipsum statum essentialis diuinitatis, qui naturaliter ex se habeat omnia quæ sunt bonitatis. Interim verò notat etiam, diuinitatem hîc non esse ipsammet essentiâ Dei, sed apparentiam quamdam ipsius essentiæ.

Habitus quid in Deo.

§.12. ALTARIS.] Quòd etiam altare Vnguento consecretur, & quare.

ALTARE IESVS.] Quoniam Iesus est altare. Et nota magnitudinem & altitudinem istius altaris, quod est Christus.

MYSTICE OMNINO CONCREMATI.] Innuitur finis Psalmi quinquagesimi.

VNGVENTI MYSTERIVM.] Quoniam Vnguenti mysterium appellatū est, & quare.

DIVINITVS CVNCTA.] Quod ait, est eiusmodi: Cùm omnis diuina apparitio & operatio per symbola exhibeatur, considera quid sequens illud Alleluia significet, quod symbolum est cantus Prophetarum.

AIVNT HI QVI HEBRAICE.] Nota hoc contra Acephalos.

DEI APPARITIONIS ET.] Quis Psalmus recitetur; & manifestum, quòd vnus ex iis quibus inscriptum est Alleluia.

Τὸν ἁγιαζόμενον.] Μᾶλλον τότε οὕτως ἐφέρετο ἐν τῇ πρὸς Ἑβραίους· Ὅ τε γὰρ ἁγιάζων, καὶ ὁ ἁγιαζόμενος.

Τὸ Μύρον.] Διὰ τί σταυροειδῶς τὸ Μύρον ἐν τῷ βαπτιστηρίῳ ἐκχεῖται.

Ὑπ' ὄψιν ἄγει.] Ἀντὶ τοῦ, φανερῶς κηρύττει.

Θεογενεσίας καταδυόμενον.] Ἀνέστη γὰρ τριήμερος, μὴ κρατηθεὶς ὑπὸ τοῦ θανάτου.

Ἀκρατήτῳ.] Ἀνέστη γὰρ τριήμερος μὴ κρατηθείς.

Τοὺς εἰς τὸν θάνατον.] Ἔστι γὰρ ἀπόκρυφος ἡ αἰτιολογία τοῖς πολλοῖς τοῦ μυστηρίου, διὰ τί τὸ εἰς Χριστὸν Βάπτισμα, ὅτι περ εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα.

Ἀνθρωποπρεπῶς.] Σημείωσαι καὶ ἐντεῦθεν, ὅτι ὁ Χριστὸς καὶ ὡς ἄνθρωπος δέχεται τὸ Πνεῦμα τὸ ἅγιον ἁγιαζόμενος, καὶ ὡς Θεὸς δίδωσιν αὐτό. Σημείωσαι δὲ τὸ τῆς οὐσιώδους θεότητος, καὶ ὅτι ἀναλλοίωτος ἔμεινεν.

Ἕξει τὸ θεϊότατον.] Εἰ ἐπὶ τῶν Ἀγγέλων οὐσιώδεις ἕξεις ἀκούοντες, οὐ ποιότητας ἔξωθεν κατὰ συμβεβηκὸς ἐπιγινομένας νοοῦμεν, ὡς καὶ περὶ ὀλίγου εἴρηται, καὶ ἐν τῷ περὶ τῆς Οὐρανίας δὲ Ἱεραρχίας λόγῳ, κεφαλαίῳ ἑβδόμῳ διεσαφήσαμεν· πολλῷ μᾶλλον ἐπὶ τοῦ καὶ ὑπὲρ οὐσίαν κυρίως ὄντος Θεοῦ, τὴν ἕξιν, οὐ ποιότητα δεξόμεθα, τὴν ἐπὶ τοῖς συνθέτοις συμβαίνουσαν, ἀλλ' ἕξιν οὐσιώδους θεότητος, τὴν φυσικῶς ἔχουσαν ἐξ αὐτῆς τὰ τῆς ἀγαθότητος ἅπαντα. Τέως δὲ σημαίνει, ὅτι καὶ ἡ θειότης οὐκ αὐτουσία ἐστὶ τοῦ Θεοῦ, ἀλλὰ τῆς οὐσίας δόξα.

Θυσιαστηρίου.] Ὅτι δὲ τὸ θυσιαστήριον Μύρῳ τελειοῦται, καὶ διὰ τί.

Θυσιαστήριον, Ἰησοῦς.] Ὅτι Ἰησοῦς ἐστι τὸ θυσιαστήριον. Καὶ σημείωσαι τὸ μέγεθος καὶ τὸ ὕψος τοῦ τοιούτου θυσιαστηρίου, ὅπερ ἐστὶν ὁ Χριστός.

Μυστικῶς ὁλοκαυτούμενοι.] Τὸ τέλος αἰνίττεται τοῦ πεντηκοστοῦ Ψαλμοῦ.

Μύρου τελετήν.] Ὅτι Μύρου τελετὴ ἐκλήθη, δὲ διὰ τί.

Θεουργικῶς ἅπαντα.] Ὅ φησι τοῦτό ἐστι· Πάσης θείας θεοφανείας καὶ ἐργασίας διὰ συμβόλων δεικνυμένης, ἀκόλουθον τοῦ Ἀλληλούϊα τῶν τῶν Προφητῶν μέλους τὸ σύμβολον, θεωρῆσαι τί δηλοῖ.

Φασὶν οἱ τὰ Ἑβραίων.] Σημείωσαι κατὰ Ἀκεφάλων.

Θεοφανείας καί.] Ποῖος λέγεται Ψαλμός, δὲ δῆλον ὅτι εἷς τῶν ἐπιγεγραμμένων Ἀλληλούϊα.

PARAPHRASIS PACHYMERÆ.
MERÆ.

PARAPHRASIS PACHYMERÆ.

ΤΟΣΑΥΤΑ τὰ νοητὰ θεάματα τῆς ἱερᾶς Συνάξεώς εἰσι. Σημειῶσαι δὲ, ὅτι Σύναξιν μόνην, τὴν Λειτουργίαν φησὶ, καθ' ἣν τῶν θείων μυστηρίων κοινωνοῦσιν οἱ ἄξιοι· ἐπὶ τούτῳ γὰρ καὶ τὸ ὄνομα λαμβάνει, οὐ διὰ τὸ συνάγειν τὸν λαὸν, καθὼς οἰηθείη τις, ἀλλὰ διὰ τὴν πρὸς τὸ ἓν κοινωνίαν, καθ' ἣν τῷ Σωτῆρι Χριστῷ, ὡς μέλη τῇ κεφαλῇ, συναγόμεθα. Ἀλλ' ἔστιν ὁμοταγὴς ταύτης ἡ τοῦ Μύρου ἑτέρα τελετή· καὶ αὕτη γὰρ ἐν τῇ θείᾳ ἱερουργίᾳ τελεῖται. Τὰ μέρη τοίνυν αὐτῆς κατὰ τὴν καθέκαστον τάξιν, πῶς τόδε δηλαδὴ πράττεται, καὶ τόδε καὶ τόδε (ταῦτα γὰρ λέγει καὶ εἰκόνας) ἐπισκοπήσαντες, οὕτως ἐπὶ τὸ ἓν αὐτῆς, τουτέστι τὸ νοητὸν καὶ πνευματικὸν, ἀναχθησόμεθα. Μήποτε δὲ, ἐπεὶ τὸ νοητὸν ἓν λέγει, τὰς αἰσθητὰς εἰκόνας μέρη φησὶν ὡς αἰσθητικωτέρας, καθ' ἃς ἡ ἡμετέρα γνῶσις μερίζεται, καὶ οὐ μέρη τὰ καθ' ἕκαστα τῆς τελετῆς, καθὼς ἐλέγομεν ἀνωτέρω.

II. ΜΥΣΤΗΡΙΟΝ.

Καθὼς ἐλέγομεν ἐν τῇ Συνάξει, ὅτι θυμιᾷ ὁ Ἐπίσκοπος πᾶσαν τὴν Ἐκκλησίαν, ἀπὸ τοῦ θυσιαστηρίου ἀρχόμενος καὶ καταλήγων εἰς τὸ θυσιαστήριον, αἵ τε ᾠδαὶ καὶ αἱ ἀναγνώσεις, καὶ ἡ τῶν Κατηχουμένων ἀπόλυσις γίνεται· τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα τὰ τοιαῦτα τελοῦνται. Εἶτα τὸ Μύρον ὁ Ἱεράρχης λαβὼν, ἐπιτίθησι τῷ θείῳ θυσιαστηρίῳ, περικεκαλυμμένον ῥιπίσιν ἁγίαις ὡς πτέρυξι δυοκαίδεκα, ἀναβοώντων πάντων τὸ Ἀλληλούϊα (τοῦτο γὰρ λέγει μελῴδημα τῆς ἐν τοῖς Προφήταις ἐπιπνοίας τοῦ παναγίου Πνεύματος) καὶ ἀποπληρώσας τὴν ἐπ' αὐτῷ εὐχὴν, χρῆται λοιπὸν πρὸς πᾶσαν σχεδὸν Ἱεραρχικὴν τελεσιουργίαν.

III. ΘΕΩΡΙΑ.

Καθὼς καὶ ἐν τοῖς περὶ τοῦ πεποίηκε, καὶ πρῶτον ἔλεγε τὴν εἰσαγωγικὴν ἀναγωγὴν πρὸς ψυχαγωγίαν τῶν ἔτι τελουμένων, καὶ μὴ δυναμένων πρὸς ὑψηλοτέραν ἀναχθῆναι θεωρίαν· οὕτω ποιεῖ καὶ ἐνταῦθα. Ἡ γοῦν τοῦ θείου Μύρου, φησὶ, περικάλυψις κατὰ ἀναγωγὴν εἰσαγωγικὴν, ἐκεῖνο οἶμαι δηλοῖ, τὸ περικεκαλύφθαι πᾶσαν κατὰ νοῦν πρᾶξιν εὐώδη· ἥ τις δὲ ἡ ἀναγωγὴ ἐγκελεύε-

TANTA sunt spectacula spiritalia sacræ Synaxeos. Nota verò, quòd Synaxim solam vocet Liturgiam, secundùm quam diuinis mysteriis communicant qui sunt digni: nam & hinc nomen accipit, non quòd populum congreget, vt aliquis putabit; sed propter illam cum vno cōmunionem, secundùm quam Saluatori Christo, tamquam membra capiti, coaptamur. Verumtamen est & aliud illi affine Sacramentum Vnguenti: nam & hoc quoque diuinâ consecratione conficitur. Huius itaque partibus, secundùm ordinem cuiusque, prout nimirum hæc & illa atque illa conficitur, (quas & imagines appellat) perspectis, sic ad illud eius vnum, scilicet intellectile ac spiritale, euehemur. Minimè verò, quandoquidem spiritale illud vnum vocat, sensibiles imagines appellat partes, vtpote sensibiliores, secundùm quas nostra cognitio diuiditur, & non partes quæ circa singula Sacramenta fiunt, vt suprà dicebamus.

Sacramentum Vnguenti affine Synaxi.

II. MYSTERIVM.

Sicut dicebamus in Synaxi, Episcopum omnem Ecclesiam, ab altari inchoando & in altari desinendo, incensare, & Cantica Lectionesque recitari, ac Catechumenos dimitti, eodem quoque hîc modo ista fiunt. Deinde Pontifex accipiens Vnguentum, imponit illud diuino altari, duodecim sacris alis seu pennis obuelatum, omnibus Alleluia conclamantibus (hoc enim vocat Canticum sancti Spiritus & aspirationis Prophetarum) completaque super eo oratione, posteà illo vtitur ad omnem propemodum Hierarchicam consecrationem.

III. CONTEMPLATIO.

Quemadmodum etiam anteà faciebat, & primùm proponebat introductoriam anagogen, ad institutionem eorum qui adhuc initiantur, nec ad sublimiorem contemplationem adduci possunt; sic etiam hîc facit. Hæc igitur, inquit, diuini Vnguenti obuelatio secundùm anagogen introductoriam, existimo significare, fragrantem omnem mentalem actionem esse obuelandam; siquidem

§. 1. *Bona spiritalia non passim sunt propalanda.*

PARAPHRASIS PACHYMERÆ.

hæc anagoge iubet, minimè ad inanem gloriam apparentes habere fragrantias ſpiritales, & occulti Dei ſimilitudines. Puræ enim ſunt à ſæculo, ſoliſque viris ſpiritalibus apparent illæ diuinæ ac fragrantes venuſtates, & requirunt vniformes homines, non qui ſecundùm carnem viuant, ſed qui in reconditis animis incorruptibiles gerant imagines, dum nimirum id quod imaginem Dei refert, manet immaculatum: nam virtutis Deiformis ſimulacrum, illud incircumſcriptum non aliter habebit, niſi idem ritè fuerit imitatus, & ad ipſum ſpiritalem ſuam & fragrantem pulchritudinem efformarit. Sicut enim in ſenſilibus imaginibus, ſi pictor ad primæuam ſpeciem conſtanter intendat, nequaquam hinc inde diſtractus, accuratè exprimet id quod imitatur (hoc enim eſt illud *replicabit*; nam faciet aliud ſicut illud citra ſubſtantiæ differentiam: ſiquidem id verè eſt animatum, hoc verò opus ad viuũ expreſſum:) ſic etiam pictoribus ſpiritalibus, archetypi & ſuaueolentis pulchritudinis intenta conſtanſq; contemplatio conferet illis infallibilem ſimilitudinem. Rectè igitur pictores ſancti, dum imaginem ſuam ſpiritalem non retrouerſâ facie exprimunt, extraneam deceptionem minimè attendent. Diuinum itaque Vnguentum obuelatum habebunt tamquam imaginem ordinum Eccleſiaſticorum, ne omne opus bonum ad inanem hominũ gloriam oſtentent: atque ideò quidquid in virtute ſacrum eſt intra mentem recondentes, iuxta coopertum Vnguentum ad primæuam dumtaxat intelligentiam intuentur. Neque enim inaſpectabiles tantùm ſunt multitudini, quam & inæqualem vocat ac diſſimilem: nam qui æquales ſunt, virtutem ſibi mutuò cõmunicabunt, neque ſibi mutuo nocebunt, quoniam vtriq; diuinam gloriam ſectantur, & non hominum. Non itaq; dumtaxat inaſpectabiles ſunt multitudini, ſed ne hi ipſi quidem illos videre volunt, non quòd illis non conſulant, ſed quòd nolint ab illis emolumentum aliquod accipere; vnde conſequenter ex ſe non amant ea quæ apparent, ſed quę ſunt (cùm enim ab aliis diſſideant, quomodo quærunt apparere, cùm ea quæ apparent non ſint omnino?) ſed bonum quoque, quod à ſe ipſo non eſt, iudicantes, & ſicut naturâ ſuâ ſe habet, ſimulacra quędam ſunt diuinæ fragrantię, id eſt ipſius

ται, μὴ φαινομένας ἔχειν ἐπὶ δόξῃ κενῇ τὰς νοητὰς εὐωδίας, καὶ ἀφομοιώσεις τοῦ κρυφίου Θεοῦ. Ἄχραντοι γάρ εἰσιν ἀπὸ τοῦ κόσμου, καὶ μόνοις τοῖς νοεροῖς ἐμφαίνονται αἱ θεῖαι καὶ εὐώδεις εὐπρέπειαι, καὶ ὁμοειδεῖς θέλουσιν ἔχειν, οὐκ ἀνθρώπους σαρκὶ ζῶντας, ἀλλὰ τὰς ἐν κρυφίαις ψυχαῖς ἀδιαφθάρτους εἰκόνας, ὅτε δηλαδὴ τὸ κατ' εἰκόνα μένει ἀλώβητον· τὸ γὰρ ἄγαλμα τῆς θεοειδοῦς ἀρετῆς, οὐκ ἄλλως τὸ ἀπερίγραπτον ἕξει, εἰ μὴ εὖ μιμήσεται, καὶ πρὸς ἐκεῖνο τὸ νοητὸν καὶ εὐῶδες κάλλος τυπώσει ἑαυτό. Ὥσπερ γὰρ ἐπὶ τῶν αἰσθητῶν εἰκόνων, εἰ πρὸς τὸ ἀρχέτυπον κάλλος ὁ γραφεὺς ἀκλινῶς ἀφορᾷ, μὴ περισπώμενος ἔνθεν κἀκεῖθεν, ἐξακριβώσει τὸ μίμημα (τοῦτο γάρ ἐστι τὸ Διπλασιάσει· ποιήσει γὰρ καὶ ἄλλο οἷον ἐκεῖνο, πλὴν τοῦ τῆς οὐσίας διαφόρου, τὸ μὲν γὰρ ἀληθινὸν ἔμπνουν, τὸ δὲ τοῦ ζωγράφου ἔργον) οὕτω καὶ τοῖς γραφεῦσι τοῖς πνευματικοῖς, ἡ πρὸς τὸ ἀρχέτυπον καὶ εὐῶδες κάλλος ἀκλινὴς θεωρία, τὸ ἀπλανὲς δωρήσεται ἴνδαλμα. Καλῶς οὖν οἱ ὅσιοι γραφεῖς, ἀμεταστρέπτως εἰδοποιοῦντες τὸ ἴδιον, τὸ νοερὸν, οὐ φροντίσουσι τῆς ἔξω περιπλανήσεως. Ἕξουσι γοῦν τὸ θεῖον Μύρον περικεκαλυμμένον ὡς εἰκόνα, πρὸς τὰς τῆς Ἐκκλησίας διατάξεις, ἐπὶ τὸ μὴ πομπεύειν ἅπαν ἀγαθὸν ἔργον εἰς κενὴν τῶν ἀνθρώπων δόξαν· διὸ καὶ αὐτοὶ τὸ κατ' ἀρετὴν ἱερὸν εἴσω τοῦ νοὸς περικαλύπτοντες κατὰ τὸ κεκαλυμμένον Μύρον, πρὸς μόνην ἐκείνην τὴν ἀρχέτυπον ἀποβλέπουσι νόησιν. Οὐ δὲ γὰρ ἀθέατοι μόνον εἰσὶ τοῖς πολλοῖς, οὓς καὶ ἀνομοίους λέγει· οἱ γὰρ ὅμοιοι, ἀλλήλοις τῆς ἀρετῆς κοινωνήσουσι, καὶ οὐ βλαβήσονται παρ' ἀλλήλων· ἅμα γὰρ καὶ ἀμφότεροι τὴν θείαν διώκουσι δόξαν, καὶ οὐ τὴν τῶν ἀνθρώπων. Οὐ τοίνυν ἀθέατοι μόνον εἰσὶ τοῖς πολλοῖς, ἀλλ' οὐδ' αὐτοὶ οὗτοι ζητοῦσι βλέπειν ἐκείνους, οὐχ ὅτι μὴ προνοοῦντες ἐκείνων, ἀλλ' ὅτι μὴ ζητοῦντες παρ' ἐκείνων ὠφεληθῆναι· ὅθεν ἀκολούθως τῇ ἰδίᾳ ἕξει οὐκ ἐρῶσι τῶν δοκούντων, ἀλλὰ τῶν ὄντων (ἐπεὶ γὰρ τῶν ἄλλων διΐστανται), πῶς ζητήσουσι τὸ δοκεῖν, μὴ ὄντων τῶν δοκούντων μηδόλως;) ἀλλὰ τὸ καλὸν καὶ τὸ μὴ ἐφ' ἑαυτοῦ· καὶ καθὼς ἔχει φύσεως κρίνοντες, ἀγάλματα τῆς θείας εὐωδίας εἰσὶν, ἤγουν αὐτοῦ τοῦ

Θεοῦ,

Θεοῦ, ὃς δὴ τὸ καλὸν ἐφ' ἑαυτοῦ ποιῶν, εἰς πάντας οὐκ ἐπιστρέφεται, τοῦτ' ἔστιν, οὐ φροντίζει κενοδόξως τῶν μὴ ἀποδεχομένων ἐσθ' ὅτε τὰς παρ' αὐτοῦ κρίσεις· οὐ γὰρ ἐπιτηδεύει δόξαν ἔχειν παρὰ ἀνθρώποις.

Ἐπειδὴ τὴν εἰσαγωγικὴν θεωρίαν εἴπομεν, φησὶ, φέρε λοιπὸν εἰς τὸ θειότερον καὶ ὑψηλότερον κάλλος αὐτῆς ἀποβλέψωμεν, καὶ ἀποκαλυψάμενοι τὰ παραπετάσματα, αὐτὴν τὴν νοητὴν αἴγλην θεασώμεθα, καὶ τῆς ἐκεῖθεν εὐωδίας ἐμφορηθῶμεν. Οὐδὲ γὰρ, ἐπειδὴ τοῖς πολλοῖς ἐστιν ἀθέατος ἡ τοῦ Μύρου τελεσιουργία, ἤδη καὶ τῷ Ἱεράρχῃ οὕτως ἔσται, ἢ τοῖς περὶ αὐτόν· ἀλλ' αὐτὴ μὲν ἄχρις αὐτῶν διαφέρει τὴν περὶ αὐτῆς θεωρίαν, αὐτοὶ δὲ ὡς τιμίαν ἐκείνην καὶ ὑπὲρ τοὺς πολλοὺς περικαλύπτουσι, καὶ ἀπὸ τῶν πολλῶν διαστέλλουσι. Πολλάκις γὰρ ἐν τῷ περὶ τῶν Θείων ὀνομάτων ἐδηλώσαμεν, τί νοητὸν καὶ τί νοερόν. Τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι τοῖς περὶ τὸν Ἐπίσκοπον ἁγίοις οὖσιν, ὡς συγγενέσι τοῦ νοητοῦ φωτὸς (υἱοὶ γὰρ ἡμέρας εἰσὶ καὶ τέκνα φωτὸς) ἀποκαλύπτει ὁ Θεὸς, οὐ δι' ἑτέρου διδασκαλίας, ἀλλ' αὐτὸς αὐτοὺς φωτίζων τὸ μυστήριον τῆς θεωρίας· διὸ αὐτοῖς οὐ περίκειται κάλυμμα κατὰ τοῦ θείου Μύρου, ἀλλ' ἀνακεκαλυμμένῳ προσώπῳ, κατὰ τὸν Ἀπόστολον, θεωροῦσι τὰ μυστήρια· τοῖς δὲ μὴ τελείοις, χρεία συμβόλων. Διὸ αὐτοί εἰσιν οἱ τὸ Μύρον ταῖς ἱεραῖς πτέρυξι περισκέποντες, καὶ τῆς πληθύος ἀποδιαστέλλοντες. Θεωροὺς δὲ καλεῖ τοὺς Ἐπισκόπους, ἐπειδὴ καὶ παρ' Ἕλλησι θεωροὶ ἐκαλοῦντο οἱ προβαλλόμενοι παρὰ πάντων ἐπερωτᾶν Θεὸν περὶ μελλόντων, καὶ θυσίας ὑπὲρ αὐτῶν προσφέρειν, καὶ ἐξιλεοῦσθαι ὑπὲρ αὐτῶν. Ἀνομοίους δὲ καλεῖ τοὺς ἀτελεῖς τοῦ λαοῦ· τοῦτο γὰρ αὐτῷ ἔθος. Οὐδὲ γὰρ καὶ τοῖς ἱερωμένοις, φησὶ, πρὸς τὸ ὑφειμένον καὶ περικεκαλυμμένον ἡ τελετὴ πρόεισιν, ὥσπερ τοῖς πολλοῖς· ἀλλὰ παρ' ἐκείνων διὰ τοὺς πολλοὺς συγκαλύπτεται, ἵνα καὶ αὐτοὶ διὰ τῶν αἰνιγμάτων ἀναλόγως τῇ ἰδίᾳ ἕξει ἀνάγωνται.

Ἔστιν οὖν καὶ ἡ τοιαύτη ἱερὰ τελετὴ, μία τῶν ἱεραρχικῶν τάξεων καὶ δυνάμεων, διὸ καὶ ὁμοταγής ἐστι τῇ τῆς Συνάξεως τελετῇ. Καὶ ὄψει κἀνταῦθα τὸν Ἀρχιερέα ἀπὸ τοῦ θυσιαστηρίου ἀρχόμενον θυμιᾶν, καὶ περιερχόμενον, καὶ εἰς αὐτὸ πάλιν καταλήγοντα, καὶ διδάσκοντα ἐντεῦθεν, τὴν θείαν με-

Dei, qui bonum per se faciens ad omnes minimè conuertitur, id est, minimè curat, inani gloriâ ductus, eos qui aliquando non suscipiunt eius decreta: non enim studet gloriam ab hominibus habere.

§. 2. Ceterùm inquit, Cùm introductoriam contemplationem attulerimus, agedum deinceps diuiniorem sublimioremque eius pulchritudinem intueamur, ipsamque per se lucem spiritalem, sublatis velaminibus, contemplemur, & ipsius fragrantiâ repleamur. Neque enim Vnguenti confectio, quòd à multitudine non videatur, idcircò etiam Hierarchæ, & iis qui cum ipso sunt, inspectabilis existet: sed cùm in his quidem excellat eius contemplatio, ipsimet illam tamquam pretiosam, & vulgi captum excedentem abscondunt, & à multitudine secernunt. Sæpè enim in libro de Diuinis nominibus explanauimus, quid sit intellectile & quid intelligens. Hoc igitur etiam hîc dicit sanctis illis, qui Episcopo præstò sunt, tamquam intellectili luci cognatis (siquidem diei lucisq; filij sunt) Deum non per alterius doctrinam, sed per semetipsum illos illustrando mysterium contemplationis reuelare; quocircà ipsis non circumiacet velum in diuino Vnguento, sed reuelatâ facie, secundùm Apostolum, mysteria contemplantur; non perfectis autem opus est signis. Idcircò ipsi sunt, qui Vnguentum sacris alis contegunt, & à multitudine secernunt. Episcopos autem vocat speculatores, quandoquidem etiam à Græcis gentilibus sic nuncupabantur qui præpositi erant ab omnibus, vt de futuris Deum interrogarent, & hostias pro ipsis offerrét ac propitium redderent. Ἀνομοίους autem vocat minus perfectos in populo; is enim ei mos est. Neque enim, inquit, sic ad Sacerdotes sicut ad multitudinem obtectum & absconditum Sacramentum procedit; sed ab illis propter multitudinem occulitur, vt & ipsa pro captu statuque suo per ænigmata sursum adducatur.

Episcopi quales in officio.

§. 3. Est igitur hæc sacra consecratio quoque vna ex Hierarchicis ordinibus atque virtutibus, quapropter etiam eiusdem rationis est cum Synaxeos Sacramento. Quin & hîc Pontificem quoque videas ab altari incensationem ordientem, & circumeundo in eodem rursum desinentem, hocce ritu docen-

Quid incensatio signet.

 tem,

PARAPHRASIS PACHYMERÆ.

tem, diuinam illam participationem ad omnes promanantem, secundùm semetipsam imminutam permanere, neque quidquam à propriâ idemtitate desciscere. Similiter etiam Psalmodiæ Lectionesque fiunt, quæ & imperfectis obstetricantur, & obsessos à spiritibus retrahût, & aduersariam pressuram (hoc enim vocat pauorem & illecebras peccatorũ) repellunt, insinuando ipsis, & modum ostendendo aduersarios superandi, vt & aliis imitando Deum medici existantm, & non tantù ipsi aduersus contrarios pauores ac timorem efficacitatem habeant, verùm etiam aliis cõuersis ac pœnitentibus vim addant, ne denuò subigantur, eos autem, quibus ad omnimodam puritatem aliquid deest (quos nimirum anteà quoque laicos appellabamus) perfectè expient, sanctos denique pascant: idcircò enim communiter Psalmodiæ Lectionesque fiunt.

Quid Psalmi, Hymni, &c.

§. 4. Illud autem, *Quid porrò, numquid etiam omnino puros*, interrogatiuè legendum, vt inferatur, Omnino, profectò; ait enim: Quid porrò? numquid etiam hoc Sacramentum, eo modo quo in Sacramento Synaxeos illos qui non mundi sunt dimittit, & à solis omnino sanctis conspicitur? Vtique profectò. Impromiscuè autem dixit, ac si diceret: Idcircò dimittit eos qui non sunt mundi, vt merè ab iis qui puri sunt celebretur. Hæc sæpè à nobis dicta sunt, adeoque superuacaneum esse arbitror iterùm de his verba facere, cùm necdum viderimus, quomodo Pontifex Vnguentum sacrum teneat alis obuelatum. Dicimus itaque, Vnguenti compositionem ex fragrantissimis materiis componi, cuius qui participes existunt, pro ratione participationis suauissimo odore reficiuntur. Iesus itaque diuinissimus, cuius nomen Vnguentũ effusum est, tamquam supernaturaliter fragrans, sui participes diuinâ replet voluptate. Si enim sensibilium perceptio fragrantiarum benè afficit, si modò sanum olfactum obtinemus, eadem vtique ratione dicet aliquis, spiritales nostras facultates, animæque iudicandi vires, diuini odoris suauitatem percipere, modò sint incorruptæ. Hæc itaque Vnguenti compositio ipsummet infigurabilem nobis in figurâ exhibet Dominum Christum, suaueolentiæ fontem, deiformibus animis diuinas odorum suauitates afflantẽ, quibus illæ mentes sua-

Quid Vnguentum mysticè.

Cant. 1.

τουσίαν ἐπὶ πάντας περιερχομένην, καθ᾽ ἑαυτὴν ἀμείωτον μένειν, καὶ μηδὲν τῆς οἰκείας ταὐτότητος ἐξίστασθαι. Ἐπίσης αἱ ψαλμῳδίαι καὶ αἱ ἀναγνώσεις γίνονται, καὶ τοὺς ἀτελέστους μαιευόμεναι, καὶ τοὺς ἐνεργουμένους ὑπὸ πνευμάτων ἐπιστρέφουσαι, καὶ τὴν ἐναντίαν σύμπτυξιν (τοῦτο γὰρ λέγει πτοίαν καὶ θέλξιν τῶν ἐν ἁμαρτίαις) ἀφαιρούμεναι, ὑποδεικνῦσαι τούτοις, καὶ διδάσκουσαι πῶς περιγενήσονται τῶν ἐναντίων οὗτοι, καὶ τοῖς ἄλλοις ἰατροὶ θεομιμήτως φανήσονται, καὶ μὴ μόνον ἕξουσιν ἐφ᾽ ἑαυτοῖς τὸ κατὰ τῆς ἐναντίας πτοίας καὶ φόβου δραστήριον, ἀλλὰ καὶ ἄλλοις δωρήσονται τοῖς ἐπιστρεφομένοις καὶ μετανοοῦσι, δύναμιν ἐντιθέμεναι πρὸς τὸ μὴ καὶ αὖθις ἁλῶναι, τοὺς ἔτι ἐνδεεῖς πρὸς τὸ πάναγνον (οὓς δὴ καὶ τῶν λαϊκῶν ἐλέγομεν ἄνωθεν) τελέως ἀποκαθαίρουσαι, τοὺς δὲ ἱεροὺς ἑστιῶσαι· διὰ ταῦτα γὰρ καὶ κοινῶς αἱ ψαλμῳδίαι καὶ αἱ ἀναγνώσεις γίνονται.

Τὸ δὲ, Τί δὲ, οὐχὶ καὶ τοὺς μὴ πάντη καθαρούς, ἐρωτηματικῶς προενεκτέον, ἵν᾽ ἐπιφέρηται τὸ Καὶ, πάντως· λέγει γὰρ, Τί δέ; οὐχὶ καὶ ἡ τελετὴ αὕτη, κατὰ τὴν τῆς Συνάξεως τελετὴν, ἀπολύει ἔξω που τοὺς μὴ καθαρούς, καὶ πρὸς μόνων τῶν πανιέρων ἐποπτεύεται; Καὶ τοῦτο πάντως. Ἀμιγῶς δὲ εἶπεν, ὡς ἂν εἰ ἔλεγε· Διὰ τοῦτο ἀπολύει τοὺς μὴ καθαρούς, ἵνα ἀμιγῶς ἀπὸ τούτων ἱερουργῆται παρὰ τῶν καθαρῶν. Ταῦτα πολλάκις ἐρρέθησαν παρ᾽ ἡμῶν, καὶ περιττὸν οἶμαι πάλιν λέγειν περὶ αὐτῶν, μὴ τὸν Ἱεράρχην ἐντεῦθεν ὁρῶντας, πῶς ἔχοντα τὸ πάναγνον Μύρον ταῖς πτέρυξι περικαλύπτεται. Λέγομεν τοίνυν, ὡς ἡ τοῦ Μύρου σύνθεσις ἐξ ὑλῶν εὐωδεστάτων συνάγεται, ἧς οἱ μετέχοντες εὐωδιάζονται κατὰ τὸ ποσὸν τῆς μεθέξεως. Ὁ γοῦν θεαρχικώτατος Ἰησοῦς, οὗ τὸ ὄνομα Μύρον ἐκκενωθὲν, ὡς ὑπερουσίως εὐώδης, ἀναπίμπλησι θείας ἡδονῆς τοὺς μετέχοντας. Εἰ γὰρ ἡ τῶν αἰσθητῶν εὐωδῶν ἀντίληψις εὐπαθεῖν ποιεῖ, εἰ μόνον ὑγιὲς τὸ ὀσφραντικὸν ἔχομεν, ἀναλόγως φαίη τις ἂν καὶ τὰς νοερὰς ἡμῶν δυνάμεις, καὶ τὸ τῆς ψυχῆς διακριτικὸν, τῆς θείας εὐωδίας ἀντιλαμβάνεσθαι, εἴπερ ἀδιαφθάρτως ἔχουσιν. Ἡ γοῦν τοῦ Μύρου σύνθεσις, αὐτὸν ἡμῖν ὑπογράφει τὸν ἀμόρφωτον ἐν μορφώσει τὸν δεσπότην Χριστὸν τὴν πηγὴν τῆς εὐωδίας, ἀναδιδόντα τὰς θείας ἀποφορὰς ταῖς θεοειδέσι

ψυχαῖς,

ψυχαῖς, ἐφ' αἷς οἱ νόες ἡδόμενοι, χαίρουσι τροφῇ νοητῇ τῇ εὐωδίᾳ ταύτῃ.

Εἰπὼν δὲ Νόες, καθολικῶς καὶ ἐπὶ τῶν Ἀγγέλων καὶ ἐφ' ἡμῶν λαμβανομένης τῆς λέξεως, ἤδη ποιεῖται καὶ τὴν διαφοράν, ὅτι ἐκεῖσε μὲν πολλαπλασίως εἰσδύεται, ὡς ἔγγιστα οὔσαν τῶν οὐρανίων δυνάμεων, καὶ δεκτικῶς ἐχουσῶν πρὸς τὴν τοιαύτην θείαν μετάληψιν· πρὸς δὲ τοὺς ἀνθρώπους τοὺς μὴ ὡσαύτως δεκτικοὺς, κατ' ἀναλογίαν· τοῦτο γάρ ἐστι τὸ Ἐν συμμετρίᾳ διαδίδοται. Τῶν δὲ οὐρανίων δυνάμεων ἡ τόσον ὑπερκειμένη (καὶ ὅρα καὶ ἐνταῦθα πῶς τὰ Σεραφὶμ πάντων ὑπερκείμενα λέγει) ἐν τῇ τῶν πτερύγων δυοκαιδεκάδι σημαίνεται. Καίτοι γε εἰπεῖν τις ἔχει ἐνταῦθα, οὐ δωδεκάδα ἑκάστῳ, ἀλλ' ἑξάδα τῶν πτερῶν ἐπιτίθησιν ἡ Γραφή, ἡ δηλονότι διὰ τὸ εἰπεῖν τὸν Προφήτην, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ συνάμα τῶν δύο εἰπεῖν. Αὕτη γοῦν ἡ ὑπερτάτη τάξις τῶν ἁγίων Σεραφὶμ περὶ Θεὸν ἱδρυμένη, τὴν ἀσίγητον ἀνακράζει θεολογίαν. Ἐξηγούμενος δὲ, τί τὸ ἀσίγητον, ἐπιφέρει· Ἡ γὰρ ἱερὰ γνῶσις, ἀκάματός ἐστι, καὶ ἀκατάληκτον ἔχει τὸν θεῖον ἔρωτα, καὶ ὑπέρκειται πάσης κακίας καὶ λήθης· ὥς τε μήτε ἀπὸ κακίας σιγῆσαι ποτὲ ἑκουσίως, μήτε ἀπὸ λήθης ἀκουσίως. Καλῶς δὲ συνῆψε τῇ ἐπιστήμῃ τὴν νόησιν· ἡ γὰρ ἀκριβὴς περὶ οὑτινοσοῦν κατανόησις, ἐπιστήμην τούτου ἐργάζεται.

Τὰ μὲν περὶ τῶν ἁγίων Σεραφὶμ, καὶ ὅπως ἐν ταῖς Γραφαῖς εἰκονιζόμενοι ἐκφαίνονται νοητῶς, ἐν τῷ περὶ τῆς Οὐρανίας Ἱεραρχίας διελάβομεν· ὅμως ἐπειδὴ οἱ περὶ τὸν Ἱεράρχην ἱστάμενοι, καὶ τὸ Μύρον περικαλύπτοντες, ἐκείνην ἀποτυποῦσι τὴν διακόσμησιν, εἴπωμέν τι ἐν συντόμῳ περὶ αὐτῶν.

Τὸ μὲν ἀπειροπρόσωπον αὐτῶν, ὡς τοῦτον μὲν ἀνθρωπείαν, τοῦτον δὲ βοείαν, κἀκεῖνον λέοντος, καὶ ἄλλον ἀετοῦ, καὶ ἄλλον ἄλλως ἐμφαίνεσθαι, τὸ πολυθέαμον αὐτῶν παρίστησι· πᾶσα γὰρ θεία ἐν τῇ πως ἀνακαλύψει τοῦ προσώπου γίνεται. Τὸ δὲ πολύπουν, τὸ ἀεικίνητον καὶ πολύπορον τῆς θείας αὐτῶν νοήσεως· καὶ γὰρ τὸ εἰς πολλὰ νοεῖσθαι, διὰ τῶν ποδῶν γίνεται. Τὴν δὲ ἑξαπλῆν θέσιν τῶν πτερῶν, οὐκ ἀριθμὸν οἶμαι δηλοῦν, ὅτι οὗτος ὁ ἀριθμὸς τέλειός ἐστιν, ὡς τοῖς οἰκείοις μέρεσι συνιστάμενος (τρία γὰρ, καὶ δύο, καὶ ἕν, πάλιν ἕξ, ἅ τινά εἰσιν, ἥμισυ τρίτον, καὶ ἕκτον, καθὼς

uiter affectæ, fragranti istâ spiritali alimoniâ perfruuntur.

PARAPHRASIS PACHYMERÆ.

§.5. Dicens verò *mentes*, voce hac vniuersaliter tam de Angelis quàm de nobis acceptâ, modò quoq; differentiam assignat, quoniam quidem illis multipliciter infunditur, quòd nimirum cælestes istę virtutes & propinquiores sint, & istiusmodi diuinæ participationis capaciores; hominibus verò, tamquam minùs capacibus, ad eorumdem captũ: id enim est, *proportione quadã distribuitur*. Ordo autem qui cælestes Virtutes valdè superat (obserua verò quomodo hic Seraphim omnibus superiores dicat) in alis duodecim significatur. Verùm hîc non-nemo posset obiicere, non duodecim, sed sex alas tãtùm singulis Scripturam attribuere, cùm nimirum Propheta dicat, *sex alæ vni, & sex alæ vni*, duosque coniunctos nominet. Supremus igitur ille ordo sanctorũ Seraphim, qui prope Deum collocatus est, incessanter illud diuinæ laudis Canticum proclamat. Explicans verò quid sit ἀσίγητον, subdit: Quoniam diuina cognitio indefatigabilis est, & diuinum amorem habet indeficientẽ, omniq; malitiâ & obliuione superior existit, ita vt præ malitiâ numquam sponte sileat, neque per obliuionem inuitè. Rectè autem cognitioni scientiam subiunxit; nam accurata cuiuslibet rei cognitio scientiam eius gignit.

Quid Seraphim sexaligeri.

§.6. De sanctis quidem Seraphim, & quomodo in Scripturis effigiati spiritaliter explicentur, in libro de Cælesti Hierarchiâ pertractauimus: sed quoniam illi quoque qui iuxta Pontificẽ consistunt, & Vnguentum sanctum obtegunt, eamdem dispositionem repræsentant, breuiter quoq; de illis aliquid dicamus.

§.7. Diuersæ quidem facies eorum, vt vnius quidem humana, alterius verò bouina, & alterius leonis, & alterius aquilę, quodque alius aliter appareat, eorum videndi vim multiplicem declarat. omnis enim visio fit aliquali vultus detectione. Multi verò pedes denotant perpetuum eorum motum, vimque diuinæ cognitionis multa penetrantem; nam quòd multa norint, hoc propter pedes fit. Senarum verò alarum compositionem non existimo numerum demonstrare, quòd hic numerus perfectus sit, tamquam qui partibus suis constet (tria enim, & duo, & vnum, sunt iterùm sex, quæ sunt dimidium tertium, & sextum, vt aliis

PARAPHRASIS PACHYMERÆ.

aliis placuit, quin & nos ipsi in libro de Cælesti Hierarchiâ id itâ diximus explicari) sed quòd sex in tres dualitates diuidantur. Sunt enim in omnibus quoque simul cælestibus Virtutibus, vti etiam in qualibet dispositione, primæ, & mediæ, & postremæ, hac de causâ sex alæ circumponuntur, vt per duplices alas earumdem ad supera ducendi vis significetur, non enim vna sufficit. Quin & hoc quoque primas, & medias, & postremas virtutes earum spiritales ad ipsum Deum adduci, & à terrenis absolui insinuat, vti vox ἀπόλυτα declarat; non quòd ipsæ sex alæ dissolutæ sint, sed quòd ab humi repentibus rebus absoluantur. Vt itaque diuina Scriptura penitus alatas esse insinuet, sursum & deorsum & in medio iis alas adhibet.

§.8. Verùm cur inferiores & superiores alæ succinguntur, mediæ verò extenduntur? quia nimirum ordo ille sublimiora profundioraq; reueretur, sublimiora minimè quærendo, & profundiora non scrutando, media verò sibi commensa sectando, sursum fertur, diuinæ iustitiæ vitam suam submittens, & secundùm illam sua dirigens.

§.9. Quod autem alter ad alterum clamet, notionum abundantem communicationem designat.

§.10. Ceterùm cùm Hebraicâ quoque dialecto Incensores & Calefacientes interpretentur, hinc significatur vis illorum sursum attollendi per Vnguenti spiritales distributiones: siquidem omnis fragrantia calore ignis dissoluta vapores excitat; nam suprema illa fragransque natura ab ignitis purissimisque mentibus ad spiritalis suæ adspirationis diffusionem amat prouocari, vnde etiam illas reddit participes gaudij super vno peccatore pœnitentiam agente. Nequaquam itaque Angeli ignorabant ipsum Iesum qui sanctificat, aliquando etiam, cùm secundùm quod homo est baptizaretur, sanctificatum esse. Nota verò verborum accurationem, quomodo quoque carnis differentiam seruarit. Nam Iesus, qui vt Deus omnia sanctificat, vt homo quoque sanctificatus fuit à Patre, & à semetipso, quatenus quoque Deus est, & à Spiritu sancto, scientibus quoque cælestibus ordinibus proprium principiũ, id est auctorem suum & creatorem Iesum, quod etsi sanctifi-

Quomodo Christus sanctificatus.

ἑτέροις ἔδοξε, καὶ ἡμεῖς δὲ αὐτοὶ οὕτως ἐν τῷ περὶ τῆς Οὐρανίου Ἱεραρχίας ἐλέγομεν ἐξηγούμενοι) ἀλλ' ὅτι τὰς ἓξ εἰς τρεῖς δυάδας τέμνονται. Εἰσὶ δὲ καὶ ἐπὶ πάσαις οὐρανίαις δυνάμεσιν ἅμα, καὶ πάλιν ἐφ' ἑκάστῃ διακοσμήσει, πρῶται καὶ μέσαι καὶ τελευταῖαι, διὰ τοῦτο περιτίθενται ἓξ πτέρυγες, ἵνα δηλωθῇ καὶ τὸ ἀναγωγικὸν αὐτῶν διὰ τῶν διπλῶν πτερύγων, οὐ γὰρ αὐτάρκης ἡ μία. Καὶ τό, καὶ τὰ πρῶτα, καὶ μέσα, καὶ τὰ τελευταῖα τῶν νοερῶν αὐτῶν δυνάμεων, εἰς αὐτὸν τὸν Θεὸν ἀνάγεσθαι, καὶ τῶν χαμερπῶν ἀπολύεσθαι, τοῦτο γὰρ δηλοῖ τὸ Ἀπόλυτα, οὐ διότι εἰσὶν ἀπολελυμέναι καὶ αἱ ἓξ πτέρυγες, ἀλλ' ὅτι τῶν χαμερπῶν ἀπολύονται. Τὸ καθόλου οὖν πτερωτὸν αἰνισσομένη ἡ θεία Γραφή, περιτίθησι καὶ ἄνω καὶ κάτω καὶ μέσον τὰς πτέρυγας.

Τί δέ ἐστι τό, τὰς μὲν ἄνω καὶ τὰς κάτω συστέλλεσθαι, τὰς δὲ μέσας ἐκτείνεσθαι; ὅτι εὐλαβής ἐστιν ἡ τάξις περὶ τὰ ὑψηλότερα καὶ βαθύτερα, ὑψηλότερα μὴ ζητοῦσα, καὶ βαθύτερα μὴ ἐρευνῶσα, μόνα δὲ τὰ μέσα καὶ σύμμετρα ζητοῦσα, ἀνάγεται τῇ θείᾳ δικαιοσύνῃ ὑποτιθεῖσα τὴν οἰκείαν ζωήν, καὶ παρ' ἐκείνης εὐθετοῦσα τὰ καθ' αὐτήν.

Τὸ δὲ κράζειν ἕτερον πρὸς τὸν ἕτερον, τὸ τῆς μεταδόσεως τῶν νοήσεων ἄφθονον παριστᾷ.

Ἐπεὶ δὲ καὶ Ἐμπρησταὶ καὶ Θερμαίνοντες ἐκ τῆς Ἑβραϊκῆς διαλέκτου μεθερμηνεύονται, δηλοῦται ἐντεῦθεν τὸ ἀνακινητικὸν αὐτῶν τῶν τοῦ Μύρου νοητῶν διαδόσεων· τῇ θέρμῃ γὰρ τοῦ πυρὸς πᾶν εὐῶδες ἀναλυόμενον τοὺς ἀτμοὺς ἀναδίδωσι· φιλεῖ γὰρ ἡ ὑπερτάτη καὶ εὐώδης οὐσία παρὰ τῶν διαπύρων καὶ καθαρωτάτων νόων κινεῖσθαι, εἰς τὴν τῆς νοητῆς αὐτῆς ἐπιπνοίας διάδοσιν, ὅπου γε καὶ κοινωνοὺς τῆς εὐφροσύνης τούτους ποιεῖται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Οὐκοῦν οὐδ' αὐτοὶ οἱ Ἄγγελοι ἠγνοήκασιν ὅτι ὁ ἁγιάζων αὐτὸς Ἰησοῦς, καὶ ἡγιάσθη ποτὲ κατὰ τὸ ἀνθρώπινον βαπτισθείς. Σημείωσαι δὲ τὴν τῶν ῥητῶν ἀκρίβειαν, καὶ πῶς ἐφύλαξε τῆς σαρκὸς τὴν διαφοράν. Ὁ γὰρ ἁγιάζων Ἰησοῦς ὁ Θεὸς πάντα, καὶ αὐτὸς ὡς ἄνθρωπος ἡγιάσθη ὑπὸ τοῦ Πατρὸς καὶ ὑφ' ἑαυτοῦ, ἐπεὶ καὶ Θεός, καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος, εἰδυιῶν καὶ τῶν οὐρανίων τάξεων τὴν ἰδίαν ἀρχήν, τουτέστι τὸν αἴτιον αὐτῶν καὶ δημιουργὸν Ἰησοῦν, ὅτι κἂν ἁγιάζηται, ἀλλ' οὖν καὶ οὔ-

PARAPHRASIS PACHYMERÆ.

καὶ οὕτως ἔχει τὸ κατ' οὐσίαν ἀναλλοίωτον, Θεὸς γάρ. Νοοῦσι γὰρ αὐτὸν ἱερῶς, ὅτι ἐνηνθρώπησε· τὸ γὰρ ὑφέντα, τὸ ἐνανθρωπήσαντα δηλοῖ. Καὶ εἰ ἁγιάζεται, ἀλλ' οὖν κατὰ τὸ ἀνθρώπινον ἁγιάζεται, διὰ τοῦτο προσκεῖται. Καὶ ἁγιάζεται τὸ τίμιον Μύρον τὸ σύμβολον τοῦ δεσπότου Χριστοῦ, καὶ τὰ Σεραφὶμ περιΐστανται. Ἀπαράλλακτον δὲ εἶπεν, ἢ ὡς πρὸς τὸ κατὰ πάντα τῆς καθ' ἡμᾶς φύσεως ὁμοιωθέντα ἡμῖν, χωρὶς ἁμαρτίας, ἢ ὡς μὴ ὑπομείναντα παραλλαγὴν, ἢ τροπῆς ἀποσκίασμα κατὰ τὴν θεότητα, ἐν τῷ προσλαβεῖν τὸ ἀνθρώπινον. Καὶ τὸ δὴ θειότερον, τοῦτο ἐστὶν, ὅτι τῷ θείῳ Μύρῳ πρὸς πᾶσαν τελεσιουργίαν χρῆται ἡ Ἱεραρχία, ὑποδεικνῦσα φανερῶς τὸν ἁγιαζόμενον Ἰησοῦν ἁγιάζοντα. Διὸ καὶ ἡ τοῦ Βαπτίσματος χάρις (τοῦτο γάρ ἐστι τὸ κατὰ Θεὸν γεννηθῆναι) τελεῖται διὰ τοῦ Μύρου σταυροειδῶς ἐπιχεομένου τῷ βαπτιστηρίῳ παρὰ τοῦ Ἱεράρχου θεωροῦντος νοητῶς αὐτὸ τὸ νοητὸν Μύρον, τὸν Κύριον ἄχρι καὶ θανάτου καταδυόμενον· τὸν γὰρ θάνατον ἡ κολυμβήθρα δηλοῖ, καὶ ἀνασπῶντα ἐν τῇ ἀκρατήτῳ καθόδῳ, καθότι οὐκ ἦν κρατεῖσθαι ὑπὸ τοῦ θανάτου τοὺς εἰς τὸν θάνατον αὐτοῦ βαπτιζομένους. Κρύφιον δὲ Λόγιον λέγει, ὅτι ἀπόκρυφος τοῖς πολλοῖς ἡ αἰτιολογία τοῦ εἰς Χριστὸν βαπτίσματος.

Οὐ μὴν δὲ, ἀλλὰ καὶ αὐτῷ τῷ βαπτισθέντι ἡ τοῦ Μύρου χρίσις τὴν ἐπιφοίτησιν δωρεῖται τοῦ Πνεύματος, δηλουμένου ἐντεῦθεν, ἐπεὶ διὰ τῆς τοῦ Μύρου χρίσεως ἐπιφοιτᾷ τὸ Πνεῦμα τὸ ἅγιον. Τὸ δὲ Μύρον ἐστὶν ὁ Χριστὸς, ὅτι καὶ ὑπ' αὐτοῦ δὴ τοῦ ἀνθρωποπρεπῶς τῷ ἁγίῳ Πνεύματι καθαγιασθέντος, τὸ ἅγιον Πνεῦμα χορηγεῖται ὡς οἰκεῖον αὐτοῦ. Ὥσπερ δὲ ἐπὶ τῶν Ἀγγέλων οὐσιώδεις ἀκούοντες ἕξεις, οὐ ποιότητας ἔξωθεν κατὰ συμβεβηκὸς ἐπιγινομένας νοοῦμεν, πολλῷ μᾶλλον τοῦτο ἐπὶ Θεοῦ νοήσομεν· οὐ γὰρ δεξόμεθα ποιότητα ἐπισυμβαίνουσαν, τὴν ἕξιν, ἀλλ' ἕξιν οὐσιώδη θεότητος, τὴν φυσικῶς ἔχουσαν ἀφ' ἑαυτῆς τὰ τῆς ἀγαθότητος ἅπαντα, ἐπείτοι γε καὶ ἡ θεότης αὐτὴ, οὐκ αὐτοουσία ἐστὶ τοῦ Θεοῦ, ἀλλὰ δόξα τις τῆς οὐσίας αὐτοῦ.

Ἐννόησον πάλιν ἄλλο, ὅτι καὶ αὐτὸ τὸ θεῖον θυσιαστήριον ἐν τῷ τιμίῳ τελειοῦμεν Μύρῳ. Ἔστι δὲ ἡ τοιαύτη θεωρία, ὑψηλὴ καὶ ὑπερούσιος, καὶ ἀρχὴ πάσης ἁγιαστείας καὶ

cetur, tamen etiam sic habet naturæ immutabilitatem, quoniam Deus est. Sanctè enim sciunt ipsum esse incarnatum: verbum enim ὑφέντα, seu *condescendentem*, designat incarnatum. Et si sanctificetur, vtique secundùm humanitatem sanctificatur; idcircò additur: Et sanctificatur pretiosum Vnguentũ quod Christi Domini symbolum est, & Seraphim circumstant. Dixit autem inuariatum, vel quòd per omnia naturæ nostræ similis factus est absque peccato, vel quòd non subiuerit mutationem vel vicissitudinis obumbrationem secundùm diuinitatem, cùm humanam naturã assumpsit. Et quod diuinius est, quòd Hierarchia ad omnem sacram consecrationem diuinum Vnguentum adhibet, manifestè demonstrans, Iesum sanctificatum sanctificare. Quapropter quoque gratia Baptismatis (hæc enim est secundùm Deum generatio) consummatur à Pontifice per Vnguentum in crucis formam baptisterio infusum, dum spiritaliter exhibet ipsummet Vnguentum spiritale, scilicet Dominum ad mortem vsque demersum: siquidem lauacrum hoc mortem significat; & illum qui inuicto suo descensu, quo à morte superari non potuit, in morte suâ baptizatos attraxit. Arcanum porrò vocat oraculum, quia multitudini occulta erat ratio Baptismatis Christi.

Quin etiam ipsimet baptizato Vnguenti vnctio sancti Spiritus illapsum elargitur, dum §.11.
hoc modo per Vnguenti vnctionem Spiritus sanctus descendere significatur. Vnguentum autem Christus est, quoniam ab ipso quoque humanitus, à Spiritu sancto sanctificato Spiritus sanctus tamquam ipsius Spiritus donatur. Quemadmodum autem cùm in Angelis substantiales habitus audimus, non qualitates extrinsecus per accidens aduenientes intelligimus, multò magis id de Deo cogitabimus: neque enim habitũ pro qualitate accidentali accipiemus, sed habitũ essentialem Diuinitatis, qui naturaliter ex se habeat omnia quæ sunt bonitatis, quandoquidem ipsa quoque Deitas hîc non est ipsamet essentia Dei, sed apparentia quædam ipsius essentiæ.

Considera denuò aliud, vt etiam ipsum- §.12. *Quid altaris inunctio denotet.*
met altare diuinum pretioso illo Vnguento consecremus. Est autem hæc contemplatio sublimis & supernaturalis, & origo omnis

 sancti-

PARAPHRASIS PACHYMERÆ.

sanctificationis, virtusq; perfectiua; quoniam ipsum quoque altare diuinissimum est Dominus noster Iesus Christus, in quo omnis mens diuina sanctificatur. *Tunc* enim, inquit David, *imponemus super altare tuum vitulos*, diuinas nimirum mentes intelligens. Quemadmodum enim vitulus olim sanctificabatur, ita etiam diuinæ mentes, mysticè in holocausti morem penitus concrematæ, consecrantur Deo, in quo accessum habemus: quoniam adductio viuarum victimarum dicitur is in quo sanctificantur vniuersa. Quâ ratione ipsum hoc altare per diuinum Vnguentum sanctificatur? Vtique manifestum est, quòd sicut pro nobis baptizatur, cùm ipse nullo modo sit coinquinatus, sed vt nos à sordibus mundaret; necnon patitur & moritur pro nobis, cùm ipse non peccasset, sed vt nos à peccatis liberaret: sic vtique etiam sanctificat ipse semetipsum pro nobis, Vnguentum scilicet altare; ac deinceps istiusmodi sanctificatio transit ad nos, qui ipsi per diuinum Baptismum agnati sumus. Quocircà istiusmodi sanctificationem & Vnguenti consecrationem à reipsâ τελετὴν appellant: anteà enim dicebamus, mysterium Baptismi & mysterium Synaxeos, hîc verò mysterium consecrationis Vnguenti. Si itaque diceremus mysterium Vnguenti, diceremus vtique mysterium Christi, Vnguentum enim Christus; sed dicimus mysterium consecrationis Vnguenti: ac si quis dicat, mysterium consecrationis Dei. Cùm verò consecratio tam consecrantis quàm consecrati dicatur, vtroque sensu hanc vocem accipimus, cùm pro eo quòd humano more à nobis consecratur, tum pro eo quòd omnia quæ consecrantur sanctificat. Porrò melos illud sacrum Prophetis diuinâ Spiritus inspiratione afflatum, scilicet Alleluia, qui Hebraicè periti sunt, aiunt significare laudem Dei. Omni itaque consecratione perfectâ, haud abs re est meminisse Dei. Hoc autem dicit, quia Alleluia canitur in Vnguenti consecratione.

Psal. 50,21

τελεσιουργὸς δύναμις, ὅτι πως καὶ αὐτὸ τὸ θειότατον θυσιαστήριον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, πρὸς ὃν ἅπας νοῦς θεῖος ἀφιεροῦται. Τότε γὰρ, φησὶν ὁ Δαβὶδ, ἀνοίσομεν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους, τοὺς θείους δηλαδὴ νόας λέγων. Ὡς γὰρ ὁ μόσχος ἀφιεροῦτο τὸ παλαιὸν, οὕτω καὶ οἱ θεῖοι νόες ἀφιεροῦνται Θεῷ, ἐν ᾧ τὴν προσαγωγὴν ἔχομεν, πάντως ὁλοκαυτούμενος μυστικῶς· ἡ γὰρ προσαγωγὴ ἐπὶ τῶν ἐμψύχων θυσιῶν λέγεται, ἐν ᾧ ἁγιάζονται πάντα. Πῶς τὸ τοιοῦτον θυσιαστήριον ὑπὸ τοῦ θείου ἁγιάζεται Μύρου; Ἦ δῆλον ὅτι ὥσπερ βαπτίζεται ὑπὲρ ἡμῶν, οὐκ αὐτὸς ἐρρυπωμένος ὢν τὸ σύνολον, ἀλλ' ἡμᾶς ἐκκαθαίρων τῶν ῥύπων, καὶ πάσχει καὶ θνήσκει ὑπὲρ ἡμῶν, οὐχ ἁμαρτὼν αὐτὸς, ἀλλ' ἡμᾶς τῆς ἁμαρτίας λυτρούμενος· οὕτω δὴ καὶ ἁγιάζει αὐτὸς ἑαυτὸν ὑπὲρ ἡμῶν, τὸ Μύρον δηλαδὴ τὸ θυσιαστήριον· καὶ λοιπὸν ὁ τοιοῦτος ἁγιασμὸς εἰς ἡμᾶς διαβαίνει συμφύτους γεγονότας αὐτῷ διὰ τοῦ θείου Βαπτίσματος. Διὰ τοῦτο τὴν τοιαύτην ἱερουργίαν, καὶ Μύρου τελετὴν ἐξ αὐτοῦ πραγματικῶς ὀνομάζουσιν· ἔμπροσθεν γὰρ ἐλέγομεν, μυστήριον φωτίσματος, καὶ μυστήριον Συνάξεως· ἐνταῦθα δὲ μυστήριον τελετῆς Μύρου. Εἰ γοῦν ἐλέγομεν μυστήριον Μύρου, ἐλέγομεν ἂν μυστήριον Χριστοῦ, Μύρον γὰρ ὁ Χριστός· ἀλλὰ μυστήριον τελετῆς Μύρου, ὡς ἄν τις φαίη, μυστήριον τελετῆς Θεοῦ. Ἐπεὶ δὲ τελετὴ καὶ τοῦ τελοῦντος καὶ τοῦ τελουμένου λέγεται, ἐν ἑκατέρῳ νῷ ἐκλαμβάνομεν τὴν λέξιν, καὶ ὅτι δι' ἡμᾶς ἀνθρωποπρεπῶς ἁγιάζεται, καὶ ὅτι ἅπαντα τὰ τελούμενα ἁγιάζει. Τὸ δὲ ἱερὸν μελῴδημα τὸ ἐν τοῖς Προφήταις θείας ἐπιπνοίας τοῦ Πνεύματος τὸ Ἀλληλούϊα, φασὶν οἱ τὰ τῶν Ἑβραίων εἰδότες, αἶνον εἶναι Θεοῦ. Ἀπάσης οὖν ἱερουργίας τελουμένης, οὐκ ἀπεικός ἐστι μεμνῆσθαι Θεοῦ. Τοῦτο δὲ λέγει, ὅτι τὸ Ἀλληλούϊα ψάλλεται ἐν τῇ τοῦ Μύρου ἱερουργίᾳ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ἱερατικῶν τελειώσεων.

CAPVT V.

De ſacrorum Ordinum conſecrationibus.

SYNOPSIS CAPITIS.

PRimâ Parte huius Capitis oſtendit 1. Quàm ſit Hierarchia noſtra benè ordinata. 2. Quæ ſit conſecratio ſpirituum cæleſtium, & quibus data ſit legalis Hierarchia, & quâ de causâ, & vbi data ſit: aitq́; noſtram Hierarchiam mediam eſſe inter legalem ac cæleſtem. 3. Tres eſſe functiones Hierarchiæ, ſcilicet expiare, illuminare, perficere. 4. Ordines inferiores à ſuperioribus ad Deum adduci. 5. Pontificem eſſe primum in ordine Hierarchico, & ab eo ſacram omnem poteſtatem ad inferiores deriuari. 6. Quid ſit munus Pontificum, Sacerdotum, Diaconorum. 7. Superiores inferiorum facultates habere, & functiones eorum exercere poſſe, non contrà.

Secundâ Parte tradit ritum conſecrandi Epiſcopum, Sacerdotem, Diaconum.

Tertiâ Parte proponit contemplationem, in quâ explicat 1. Quæ ſint cuique ordini communia, & quæ particularia. 2. Quid ſibi velit acceſſus ad altare & genuflexio. 3. Quid manus impoſitio. 4. Quid crucis ſignatio. 5. Quid nominum promulgatio, & quomodo nemo ſit ad ſacra promouendus, niſi à Deo electus. 6. Quid inſinuet finalis ſalutatio. 7. Cur capiti Pontificis Scripturæ liber imponatur. 8. Quid ſibi velit genuflexio ſiue vnius ſiue vtriuſque poplitis.

ΑΥΤΗ μὲν ἡ θειοτάτη τοῦ Μύρου τελετουργία· καιρὸς δ' ἂν εἴη μετὰ τὰς θείας ἱερουργίας, αὐτὰς ἐκθέσθαι τὰς ἱερατικὰς τάξεις τε καὶ ἀποκληρώσεις, δυνάμεις τε αὐτῶν καὶ ἐνεργείας καὶ τελειώσεις, καὶ τὴν ὑπ' αὐτὰς τριάδα τῶν ὑποβεβηκυιῶν τάξεων, ὅπως ἂν ἀποδειχθείη τῆς καθ' ἡμᾶς Ἱεραρχίας ἡ διακόσμησις, τὸ μὲν ἄτακτον καὶ ἀκόσμητον καὶ συμπεφορημένον, ἀμιγῶς ἀποδιαστέλλουσα, καὶ ἀποκληροῦσα τὸ κόσμιον δὲ καὶ τεταγμένον καὶ εὐσταθὲς, ἐν ταῖς



HÆC quidem diuiniſſima eſt Vnguenti conſecratio: modò tempus eſt, poſt diuinas iſtas functiones, ipſoſmet ſacros Ordines exponendi, eorumdemque diſtributiones, ac virtutes, & actiones atque perfectiones, treſque Ordines maiores qui ſub iis continentur; vt oſtendatur Hierarchiæ noſtræ deſcriptio, quidquid inordinatum & incompoſitum atq; confuſum eſt, nullâ cum eo mixtione factâ, ſegregare & ablegare, decorē verò atque ordinem §.1. *Hierarchia noſtra quàm ſit ordinata.*

TEXTVS S. DIONYSII.

ac maiestatem in proportionibus sanctorum Ordinum suorum exhibere. Ac triplicem quidem omnis Hierarchię diuisionem in Hierarchiis iis, quas pridem celebrauimus, congruè satis, vti reor, exposuimus, cùm diximus, Hierarchicam rationem omnem in diuina mysteria seu sacra diuidi, & in eos qui ea tenent enuntiantque aliis, atque in eos qui ab illis initiantur.

§. 2. *Quæ sit consecratio spirituum cælestium.* Itaque sanctissimæ quidem supercælestium essentiarum Hierarchiæ pro consecratione est intelligentia illa quàm maximè à materiâ semota, quâ se Deumque norunt, atque deiformitatis integer, quantusque possibilis est, diuinæ imitationis status. Illuminatores verò & ad istiusmodi sacrosanctam imitationem duces sunt primæ istæ substãtiæ quę circa Deum versantur; hæ enim in inferiores sacros Ordines benignè, pro cuiusque captu, continuò deificas scientias deriuant, quas ipsis impertiuit per se perfectus ac sapientificus ille diuinarum mentium diuinus Principatus. Porrò primis istis essentiis subditæ distinctiones, vtpote quæ per illas sanctè ad deificam diuini principatus illustrationem adducuntur, vocantur, & sunt verè Ordines initiati. *Legalis Hierarchia quibus data sit.* Secundùm illam autem cælestem mundoque superiorem Hierarchiam diuinitas in nos beneficè sacratissima sua munera depromens, ijs quidem qui infantes erant, vt Scriptura testatur, legalem indulsit Hierarchiã, sub exilibus nimirum

καὶ αὐτὴν ἀναφαίνουσα τῶν ἱερῶν τάξεων ἀναλογίαις. Καὶ τὴν μὲν ἁπάσης Ἱεραρχίας τριαδικὴν διαίρεσιν, ἐν ταῖς ἤδη παρ' ἡμῶν ὑμνημέναις Ἱεραρχίαις, ὡς οἶμαι, καλῶς ἐξεθέμεθα, φήσαντες ὡς ἡ καθ' ἡμᾶς ἱερὰ παράδοσις ἔχει πᾶσαν Ἱεραρχικὴν πραγματείαν εἰς τὰς θειοτάτας τελετὰς διαιρεῖσθαι, καὶ τοὺς ἐνθέους αὐτῶν ἐπιστήμονας καὶ μύστας, καὶ τοὺς ὑπ' αὐτῶν ἱερῶς τελουμένους.

Οὐκοῦν, ἡ μὲν ἁγιωτάτη τῶν ὑπερουρανίων οὐσιῶν Ἱεραρχία, τελετὴν μὲν ἔχει τὴν κατὰ δύναμιν οἰκείαν Θεοῦ καὶ τῶν θείων ἀϋλωτάτην νόησιν, καὶ τὴν τῆς θεοειδοῦς ὁλόκληρον καὶ εἰς ὡς ἐφικτὸν θεομίμητον ἕξιν. Φωταγωγοὺς δὲ καὶ πρὸς τὴν ἱερὰν ταύτην τελείωσιν ἡγεμόνας, τὰς περὶ Θεὸν πρώτας οὐσίας· αὗται γὰρ εἰς τὰς ὑποβεβηκυίας ἱερὰς τάξεις ἀγαθοειδῶς καὶ ἀναλόγως διαπορθμεύουσι τὰς δωρουμένας αὐταῖς ἀεὶ θεουργικὰς γνώσεις, ὑπὸ τῆς αὐτοτελοῦς καὶ σοφοποιούντων θείων νοῶν θεαρχίας. Αἱ δὲ τῶν πρώτων οὐσιῶν ὑφειμέναι διακοσμήσεις, ὡς δι' ἐκείνων ἱερῶς ἀναγόμεναι πρὸς τὴν θεουργὸν τῆς θεαρχίας ἔλλαμψιν, αἱ τελούμεναι τάξεις εἰσί τε καὶ ἀληθῶς ὀνομάζονται. Μετ' ἐκείνην δὲ τὴν οὐρανίαν καὶ ὑπερκόσμιον Ἱεραρχίαν, εἰς τὰ καθ' ἡμᾶς ἀγαθουργικῶς ἡ θεαρχία τὰς ἱερωτάτας αὐτῆς δωρεὰς προφέρουσα, νηπίοις μὲν οὖσι, κατὰ τὸ Λόγιον, ἐδωρήσατο τὴν κατὰ νόμον Ἱεραρχίαν, ἀμυδραῖς τῶν ἀληθῶν εἰκόσι,

καὶ

TEXTVS S. DIONYSII.

καὶ πορρωτάτοις τῶν ἀρχετύπων ἀπεικονίσμασι, καὶ δυσθεωρήτοις αἰνίγμασι, καὶ τύποις οὐκ εὐδιάκριτον ἔχουσι τὴν ἐγκεκαλυμμένην αὐτοῖς θεωρίαν ἀνάλογον φῶς, ὡς ἀσθενέσιν ὄψεσιν ἀβλαβῶς ἐπιλάμψασα. Ταύτῃ δὲ τῇ κατὰ νόμον Ἱεραρχίᾳ, τελετὴ μὲν, ἡ πρὸς τὴν πνευματικὴν λατρείαν ἀναγωγή. Χειραγωγοὶ δὲ πρὸς ταύτην, οἱ τὴν ἁγίαν ἐκείνην σκηνὴν ὑπὸ Μωσέως ἱερῶς μυηθέντες, τοῦ πρώτου τῶν κατὰ νόμον Ἱεραρχῶν μύστου καὶ ἡγεμόνος· πρὸς ἣν ἱερὰν σκηνὴν εἰσαγωγικῶς ἱερογράφων τὴν κατὰ νόμον Ἱεραρχίαν, εἰκόνα τύπου δειχθέντος αὐτῷ κατὰ τὸ Σιναῖον ὄρος ἐκάλει, πάντα τὰ κατὰ τὸν νόμον ἱερουργούμενα. Τελούμενοι δὲ, οἱ πρὸς τῶν νομικῶν συμβόλων ἀναλόγως, ἐπιτελεωτέραν μύησιν ἀναγόμενοι. Τὴν τελεωτέραν δὲ μύησιν ἡ Θεολογία τὴν καθ' ἡμᾶς Ἱεραρχίαν φησὶν, ἀποπλήρωσιν αὐτὴν ἐκείνης ἀποκαλοῦσα καὶ ἱερὰν λῆξιν. Ἔστι δὲ καὶ οὐρανία καὶ νομικὴ κοινωνικῶς τῇ μεσότητι τῶν ἄκρων ἀντιλαμβανομένη, τῇ μὲν, κοινωνοῦσα ταῖς νοεραῖς θεωρίαις, τῇ δὲ, ὅτι καὶ συμβόλοις αἰσθητοῖς ποικίλλεται, καὶ δι' αὐτῶν ἱερῶς ἐπὶ τὸ θεῖον ἀνάγεται. Τὸ τριττὸν δὲ ὡσαύτως ἔχει τῆς ἱεραρχικῆς διαιρέσεως, εἰς τὰς ἁγιωτάτας τῶν τελετῶν ἱερουργίας διαιρουμένη, καὶ τοὺς θεοειδεῖς τῶν ἱερῶν ὑπηρέτας, καὶ τοὺς ὑπ' αὐτῶν ἀναλόγως ἐπὶ τὰ

veritatum imaginibus atque simulacris, quæ ab exemplaribus plurimum dissidebant, obscurisq; ænigmatibus & figuris, quæ opertam nec ita facilem dijudicatu intelligentiam habebant, lumen iis proportionatũ, tamquam imbecillioribus oculis, innocuè affundens. Huius autem legalis Hierarchię mysterium introductio quędam fuit ad cultum spiritalem. Duces eius extiterunt ij qui sacri illius tabernaculi ritum à Moyse, primo legis Pontificum Doctore ac duce, didicerant: qui ad sacrum illud tabernaculum institutionis causâ Hierarchiam legis describens, ad exemplaris, quod illi in monte Sina monstratum fuerat, imaginem & imitationem omnia, quæ in lege sanctè fiebant, reuocabat. Perficiebantur autem ij, qui à legalibus signis secundùm captum suum ad perfectiorem disciplinam promouebantur. Perfectiorem verò mysteriorum disciplinam sacra Scriptura nostram vocat Hierarchiam, cùm hanc illius consummationem sacrumq; finem nominat. Est autem eadem etiam cælestis & legalis communione quadam mediæ conditionis suæ, quâ communicat extremis, cum illâ nimirum in spiritalibus contemplationibus, cum hac verò sensibilium varietate signorum, per quæ etiam ad diuinum numen adducitur. Porrò triplicem etiam habet sacri Ordinis distributionem, quatenus diuiditur in sanctissimas mysteriorum cærimonias, atque in deiformes sacrorum administros, & in illos qui ab his ad sacra cuique

Ad quid, & vbi data sit.

Hierarchia nostra est media inter legalem & cælestem.

 con-

TEXTVS S. DIONYSII.

congruentia promouentur. Quælibet autem ex tribus Hierarchiæ nostræ partitionibus ad legalis & eius, quæ nostrâ hac diuinior est, Hierarchiæ similitudinem, prima, & media, & extrema statuitur, cùm sanctæ proportionis, tum venustissimæ suoque ordini congruæ, ac cuncta connectentis societatis virtute subnixa.

§. 3. *Tres sunt hierarchicæ functiones.*

Sanctissima itaque mysteriorum consecratio primam quidem virtutem deiformem habet, quâ profanos sacris expiat; mediam verò, quâ iam expiatos illuminando initiat; postremam denique, & summam præcedentium, quâ sacris initiatos propriarum consecrationum scientiâ consummat ac perficit. Porrò sacrorum ministrorum distinctio virtute primâ per mysteria profanos expiat; mediâ verò expiatos illuminat, postremâ denique eaque supremâ sacrorum ministrorum virtute eos, qui diuini luminis participes facti sunt, perfectâ visarum illustrationum scientiâ absoluit. Eorum verò qui initiantur vis prima est, quæ expiatur; media post expiationem, quæ illustratur, & ad quorumdam Sacramentorum cõspectum admittitur; postrema denique ceterisque diuinior, ea quæ sacrarum quas percipit illustrationum cõsummante scientiâ collustratur. Triplex itaque virtus mysteriorum sanctæ consecrationis celebrata est, cùm ex Scripturis ostenderimus, sacram quidem Dei regenerationem esse simul expiationem & splendorem illustran-

ἱερῶς προσαγομένοις. Ἑκάστη δὲ τῶν τριῶν τῆς καθ' ἡμᾶς Ἱεραρχίας διαιρέσεως, ἀκολούθως τῇ τε νομικῇ καὶ τῇ θειοτέρᾳ τῶν καθ' ἡμᾶς Ἱεραρχίᾳ, πρώτη καὶ μέση καὶ τελευταία τάττεται δυνάμει, τῆς τε ἱεροπρεποῦς ἀναλογίας προμηθουμένη, καὶ τῆς ἁπάντων εὐκόσμου καὶ κατὰ τάξιν ἐναρμονίου καὶ συνδετικῆς κοινωνίας.

Ἡ μὲν οὖν ἁγιωτάτη τῶν τελετῶν ἱερουργία πρώτην μὲν ἔχει θεοειδῆ δύναμιν τὴν ἱερὰν τῶν ἀτελέστων κάθαρσιν· μέσην δὲ, τὴν τῶν καθαρθέντων φωτιστικὴν μύησιν· ἐσχάτην δὲ, καὶ τῶν προτέρων συγκεφαλαιωτικὴν, τὴν τῶν μυηθέντων ἐν ἐπιστήμῃ τῶν οἰκείων μυήσεων τελείωσιν. Ἡ δὲ τῶν ἱερουργῶν διακόσμησις, ἐν μὲν τῇ δυνάμει τῇ πρώτῃ, διὰ τῶν τελετῶν ἀποκαθαίρει τοὺς ἀτελέστους· ἐν τῇ μέσῃ δὲ, φωταγωγεῖ τοὺς καθαρθέντας· ἐν ἐσχάτῃ δὲ καὶ ἀκροτάτῃ τῶν ἱερουργῶν δυνάμεων, ἀποτελεῖ τοὺς τῷ θείῳ φωτὶ κεκοινωνηκότας ἐν ταῖς τῶν θεωρηθεισῶν ἐλλάμψεων ἐπιστημονικαῖς τελειώσεσιν. Ἡ δὲ τῶν τελουμένων δύναμις, ἡ πρώτη μέν ἐστιν, ἡ καθαιρομένη· μέση δὲ μετὰ τὴν κάθαρσιν ἡ φωτιζομένη, καὶ τινῶν ἱερῶν θεωρητική· τελευταία δὲ, καὶ θειοτέρα τῶν ἄλλων, ἡ τῶν ἱερῶν φωτισμῶν, ὧν ἐγεγόνει θεωρὸς, ἐλλαμπομένη τὴν τελειωτικὴν ἐπιστήμην. Τῆς μὲν οὖν ἁγίας τῶν τελετῶν ἱερουργίας, ἡ τριστὴ δύναμις ὕμνηται, τῆς μὲν ἱερᾶς θεογενεσίας, ἐκ τῶν Λογίων ἀποδειχθείσης καθάρσεως καὶ φωτι-

στικῆς

TEXTVS S. DIONYSII.

στικῆς ἐλλάμψεως· τῆς Συνάξεως δὲ καὶ τῆς τοῦ Μύρου τελετῆς, τελειωτικῆς τῶν θεουργιῶν γνώσεως καὶ ἐπιστήμης, δι' ἧς ἱερῶς ἡ πρὸς τὴν θεαρχίαν ἑνοποιὸς ἀναγωγὴ καὶ μακαριωτάτη κοινωνία τελεσιουργεῖται. Νῦν δὲ τὴν ἱερατικὴν διακόσμησιν ἑξῆς ἀφηγητέον, εἰς καθαρτικὴν καὶ φωτιστικὴν καὶ τελειωτικὴν τάξιν διαιρουμένην.

Θεσμὸς μὲν οὗτός ἐστι τῆς θεαρχίας ὁ πανίερος, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα πρὸς τὸ θειότατον αὐτῆς ἀνάγεσθαι φέγγος. Ἢ οὐχὶ καὶ τὰς αἰσθητὰς τῶν στοιχείων οὐσίας ὁρῶμεν εἰς τὰ μᾶλλον αὐταῖς συγγενέστερα πρῶτον ἰούσας, καὶ δι' ἐκείνων ἐφ' ἕτερα τὴν οἰκείαν διϊούσας ἐνέργειαν; Εἰκότως οὖν ἡ πάσης ἀοράτου καὶ ὁρατῆς εὐκοσμίας ἀρχὴ καὶ ἵδρυσις, εἰς τοὺς θεοειδεστέρους πρώτους ἐνδίδωσι τὰς θεουργικὰς ἀκτῖνας ἰέναι, καὶ δι' ἐκείνων, ὡς διειδεστέρων νοῶν, καὶ πρὸς μετοχὴν φωτὸς καὶ μετάδοσιν οἰκείως ἐχόντων, εἰς τοὺς ὑφειμένους ἀναλόγως αὐτοῖς ἐλλάμπει, καὶ ἐπιφαίνεται. Τούτων οὖν ἐστι τῶν πρώτων θεοπτικῶν, τὸ τοῖς δευτέροις ἀφθόνως ἐν συμμετρίᾳ τῇ κατ' αὐτοὺς ὑποδεῖξαι τὰ πρὸς αὐτῶν ἱερῶς ἐποπτευθέντα θεῖα θεάματα· καὶ τὸ μυῆσαι τὰ ἱεραρχικά, τῶν μετ' ἐπιστήμης τελειωτικῆς τὰ θεῖα τῆς κατ' αὐτοὺς ἱεραρχίας ἅπαντα καλῶς μυηθέντων, καὶ τὴν τελεσιουργὸν τοῦ μυῆσαι δύναμιν προσειληφότων· καὶ τὸ μεταδοῦναι κατ' ἀξίαν τὰ ἱερά, τῶν ἐπιστημονικῶς

tem; myſterium autem Synaxeos & Vnguenti, cognitionem eſſe atque ſcientiam quæ diuina opera conſummat, per quam ſacroſanctè ad diuinum principatum & vnifica adductio & beatiſſima fit communio. Nunc autem deinceps exponenda eſt diſtinctio Sacerdotum, quæ in ordinem expiantem, illuſtrantem, perficientemque diuiditur.

§.4. *Inferiores à superioribus ad Deum adduci.*

Lex quidem hæc eſt ſacroſancta ſummæ Deitatis, vt per prima quæ ſequuntur, ad diuiniſſimam eius lucem adducantur. An non ſenſibiles quoque ſubſtantias elementorum cernimus primùm ad ea, quæ ipſis magis cognata ſunt, accedere, ac per illa deinde efficacitatẽ ſuam ad alia deriuare? Meritò igitur omnis cùm inuiſibilis tum viſibilis diſtinctionis initium ac ſedes ad eos, qui deiformiores ſunt, deificos ſuos radios permittit peruenire, atque per illos, vtpote limpidiores ſpiritus, & ad participandum traducendumque lumen magis idoneos, inferioribus pro illorum capacitate illuceſcit, & apparet. Iſtorum igitur eſt, qui primi Deum cernunt, ſequentibus ſine inuidiâ, pro modulo cuiuſque, ſibi ſacroſanctè perſpecta diuina ſpectacula inſinuare: docere etiam ea quæ Hierarchiæ propria ſunt, eorum eſt, qui cum perficiente ſcientiâ diuinâ quæq; ſacri ſui ordinis myſteria probè ſunt edocti, conſummatamque docendi alios virtutem acceperunt: Sacramenta verò pro dignitate tradere illorum eſt, qui ſcitè atque integrè

Sacer-

TEXTVS S. DIONYSII.

Sacerdotalis initiationis participes existunt.

§. 5. *Pontifex est primus in ordine Hierarchico.*

Pontificum itaque diuinus ordo primus est eorum ordinum qui Deum vident, idemque & summus & vltimus, quippe in quo & absoluitur & expletur omnis Hierarchiæ nostræ distinctio. Vt enim Hierarchiam omnem videmus in Iesum desinere, sic vnamquamque in suum diuinum Pontificem. Porrò virtus ordinis Hierarchici in sacris omnibus distinctionibus capitur, & per omnes sacros ordines Hierarchiæ propriȩ mysteria perficit; verùm huic excellenter præ ceteris ordinibus in sui ministerium diuina lex officia diuiniora distribuit, quæ nimirum sunt imagines præcipuæ perficientis virtutis Dei, quibus diuinissima quæque symbola sacræque distinctiones omnes consummantur. Licet enim à Sacerdotibus veneranda quædã Sacramenta conficiãtur, numquã tamen Sacerdos diuinam illam regeneratioñe sine diuinissimo illo Vnguento cõsummabit, neq; diuinæ communionis mysteria cõsecrabit, nisi cõmunionis Sacramenta diuinissimo altari fuerint imposita; quin ne Sacerdos quidem erit, nisi pontificijs initiationibus ad sortem istam fuerit promotus. Quapropter lex diuina Hierarchicorum ordinum sanctificationem, & Vnguenti diuini consecrationem, sacramque altaris benedictionem perficientibus diuinorum Pontificum virtutibus singulariter attribuit.

Ab eo sacram omnem potestatem in inferiores deriuari.

καὶ ὁλοκλήρως μεταχόντων τῆς ἱερατικῆς τελειώσεως.

Οὐκοῦν ἡ θεία τῶν Ἱεραρχῶν τάξις, πρώτη μέν ἐστι τῶν θεοπτικῶν τάξεων, ἀκροτάτη δὲ καὶ ἐσχάτη πάλιν ἡ αὐτὴ, καὶ γὰρ εἰς αὐτὴν ἀποτελεῖται καὶ ἀποπληροῦται πᾶσα τῆς καθ᾽ ἡμᾶς Ἱεραρχίας ἡ διακόσμησις. Ὡς γὰρ ἅπασαν Ἱεραρχίαν ὁρῶμεν εἰς τὸν Ἰησοῦν ἀποπερατουμένην, οὕτως ἑκάστην εἰς τὸν οἰκεῖον ἔνθεον Ἱεράρχην. Ἡ δὲ τῆς ἱεραρχικῆς τάξεως δύναμις, ἐν πάσαις χωρεῖ ταῖς ἱεραῖς ὁλότησι, καὶ διὰ πασῶν τῶν ἱερῶν τάξεων ἐνεργεῖ τὰ τῆς οἰκείας Ἱεραρχίας μυστήρια· ἐκκρίτως δὲ αὐτῇ παρὰ τὰς λοιπὰς τάξεις εἰς αὐτουργίαν, ὁ θεῖος θεσμὸς ἀπονενέμηκε τὰς θειοτέρας ἱερουργίας· αὗται δὲ εἰσὶν αἱ τελεσιουργοὶ τῆς θεαρχικῆς δυνάμεως εἰκόνες, ἀποτελοῦσαι πάντα τὰ θειότατα σύμβολα, καὶ πάσας τὰς ἱερὰς διακοσμήσεις. Εἰ γὰρ καὶ πρὸς τῶν Ἱερέων τελοῦνταί τινα τῶν σεβασμίων συμβόλων, ἀλλ᾽ οὔποτε τὴν ἱερὰν θεογενεσίαν ὁ Ἱερεὺς ἐνεργήσει τοῦ θειοτάτου Μύρου χωρὶς, οὐδὲ τὰ τῆς θείας κοινωνίας τελέσει μυστήρια, μὴ τῷ θειοτάτῳ θυσιαστηρίῳ τῶν κοινωνικῶν ἐπιτεθέντων συμβόλων· ἀλλ᾽ οὐδὲ αὐτὸς Ἱερεὺς ἔσται, μὴ πρὸς τῶν ἱεραρχικῶν τελειώσεων εἰς τοῦτο κεκληρωμένος. Ὅθεν ἡ θεία θεσμοθεσία, τὴν τῶν ἱεραρχικῶν τάξεων ἁγιαστείαν, καὶ τὴν τοῦ θείου Μύρου τελείωσιν, καὶ τὴν ἱερὰν τοῦ θυσιαστηρίου τελεσιουργίαν, ταῖς τῶν ἐνθέων Ἱεραρχῶν τελεσιουργοῖς δυνάμεσιν ἐξαιρέτως ἀπεκλήρωσεν.

Ἔστιν

TEXTVS S. DIONYSII. §. 6.

Quid ſit munus Pontificũ, Sacerdotum, Diaconorum.

Ἔστιν οὖν ἡ ἱεραρχικὴ τάξις, ἡ τῆς τελειωτικῆς δυνάμεως ἀναπεπλησμένη, τὰ τελεσιουργὰ τῆς Ἱεραρχίας ἐκκρίτως τελετουργοῦσα, καὶ τὰς ἐπιστήμας τῶν ἱερῶν ἐκφαντορικῶς μυοῦσα, καὶ ἐκδιδάσκουσα τὰς ἀναλόγους αὐτῶν καὶ ἱερὰς ἕξεις τε καὶ δυνάμεις. Ἡ δὲ τῶν Ἱερέων φωταγωγικὴ τάξις, ἐπὶ τὰς θείας τῶν τελετῶν ἐποψίας χειραγωγεῖ τοὺς τελουμένους ὑπὸ τῇ τῶν ἐνθέων Ἱεραρχῶν τάξει, καὶ μετ᾽ αὐτῆς ἱερουργοῦσα τὰς οἰκείας ἱερουργίας· ἐν οἷς μὲν αὐτὴ δρᾷ τὰς θεουργίας ὑποδεικνύουσα διὰ τῶν ἱερωτάτων συμβόλων καὶ θεωρητικοὺς τοὺς προσιόντας ἀποτελοῦσα, καὶ τῶν ὁσίων τελετῶν κοινωνούς, εἰς τὸν Ἱεράρχην δὲ ἀναπέμπουσα τοὺς τῆς ἐπιστήμης τῶν θεωρηθεισῶν ἱερουργιῶν ἐφιεμένους. Ἡ δὲ τῶν λειτουργῶν τάξις, ἡ καθαρτικὴ, καὶ τῶν ἀνομοίων διακριτικὴ, πρὸ τῆς ἐπὶ τὰς τῶν Ἱερέων ἱερουργίας προσαγωγῆς· ἀποκαθαίρει τοὺς προσιόντας, ἀμιγεῖς αὐτοὺς ἀποτελοῦσα τῶν ἐναντίων, καὶ πρὸς ἱερουργικὴν ἐποψίαν καὶ κοινωνίαν ἐπιτηδείους. Ὅθεν ἐπὶ τῆς ἱερᾶς θεογενεσίας, οἱ λειτουργοὶ τὸν προσιόντα τῆς παλαιᾶς ἀπογυμνοῦσιν ἐσθῆτος, ἔτι μὴν καὶ ὑπολύουσι, καὶ πρὸς δυσμὰς εἰς ἀποταγὴν ἱστῶσι, καὶ αὖθις πρὸς ἕω μετάγουσι (τῆς καθαρτικῆς γάρ εἰσι τάξεως καὶ δυνάμεως) ἀποβάλλειν ὁλικῶς ἐγκελευόμενοι τοῖς προσιοῦσι, τὰς τῆς προτέρας ζωῆς ἀμφιέσεις, καὶ τὸ τοῦ προτέρου βίου σκοτει-

Eſt igitur Pontificatus ſeu Epiſcopatus ordo, qui conſummante virtute fultus, perficientia quæque ſacri ordinis munia præeminenter conſummat, atque ſacrorum diſciplinas interpretando tradit & edocet, quænam ipſis ſacræ competant habitudines atque virtutes. Sacerdotum autem ordo, qui illuminat, ad ſacra myſteria contuenda initiatos manuducit diuinorum ordini Pontificum ſubiectus, cum quo propria ſua celebrat officia, atque in ijs quidem quæ facit diuina opera ſanctiſſimis ſignis & Sacramentis oſtendit, ſpectatoresque eos qui accedunt efficit, & in ſanctorum myſteriorum ſocietatem communionemque admittit, ſed ad Pontificem remittit eos qui diſciplinam expetunt myſteriorum quæ viderunt. Verùm ordo miniſtrorum ſeu Diaconorum eſt, qui expiat & diſſimilia diſcernit, antequam ad Sacerdotum ſacra veniant; accedentes etiam luſtrat, vt eos à contrarijs immunes reddat, atque ſacrorum myſteriorum ſpectaculo & communione dignos. Itaque in ſacrâ Dei regeneratione Diaconi eum, qui ad illam accedit, antiquâ veſte exuunt atque diſcalceant, & ad Occidentem abrenuntiandi cauſâ ſiſtunt, rurſusque traducunt ad Orientem (ſunt enim purgantis ordinis atque virtutis) hortantes eos qui accedunt, vt prioris vitæ indumenta penitus deponant; errorisque priſtini tenebris patefactis, docent eos vt obſcuris rebus

TEXTVS S. DIONYSII.

ablegatis, sese transferant ad ea quæ illuminant. Diaconorum itaque ordo est expiatorius, ad præclara Sacerdotum sacra ducens eos qui expiati sunt, atque expiat imperfectos, quos etiam fouet purgantibus Eloquiorum illustrationibus atque doctrinis; & prætereà profanos à Sacerdotibus arcet, propter quod Pontificio instituto sacris quoque foribus præficitur, vt significetur, eorum qui ad sacra veniunt accessum omnimodis illustrationibus esse expiandum, quandoquidem ad aspectum communionemque sacrorum introducendi munus expiatorijs virtutibus sit commissum, à quibus alij, qui ab omni maculâ mundati sunt, intromittantur.

§. 7. *Superiores inferiorum facultates habere & functiones exercere posse; non contrà.*

Demonstratum est igitur, Pontificum quidem ordinem perficiendi vim habere, ac re ipsâ perficere; Sacerdotum autem illuminandi vim habere, atque illuminare; ministrorum verò expiandi ac discernendi facultatem obtinere. Siquidem ordo pontificius non perficiendi tantùm, sed & illuminandi simul atque expiandi vim habet; ac potestas Sacerdotũ, præter illuminandi facultatem, expiandi quoque continet scientiam: verùm inferiores ad superiorum functiones transilire nequaquam possunt, quare nefas sit eos ad tantam proteruiam deuenire. Virtutes autem quæ diuiniores sunt, præter facultates proprias, inferiorum quoque sacras scientias perfectione suâ continent.

νὸν ὑποδεικνύντες καὶ ἐκδιδάσκοντες αὐτοὺς ἀποταξαμένοις τοῖς ἀλαμπέσιν, ἐπὶ τὰ φωτιστικὰ μεταταχθῆναι. Καθαρτικὴ τοίνυν ἐστὶν ἡ λειτουργικὴ διακόσμησις, ἐπὶ τὰς φανὰς τῶν Ἱερέων ἱερουργίας ἀνάγουσα τοὺς κεκαθαρμένους, καὶ τοὺς ἀτελέστοις ἀποκαθαίρουσα καὶ μαιευομένη ταῖς καθαρτικαῖς τῶν Λογίων ἐλλάμψεσι καὶ διδασκαλίαις, καὶ προσέτι τοὺς ἀνιέρους τῶν Ἱερέων ἀμιγῶς ἀποδιαστέλλουσα· διὸ καὶ ταῖς ἱεραῖς αὐτὴν ἐφίστησι πύλαις ἡ ἱεραρχικὴ θεσμοθεσία, τὴν πρὸς τὰ ἱερὰ τῶν προσιόντων εἴσοδον, ἐν ταῖς παντελέσι καθάρσεσιν αἰνισσομένη, καὶ τὴν ἐπὶ τὰς ἱερὰς αὐτῶν ἐποψίας καὶ κοινωνίας προσαγωγὴν, ταῖς καθαρτικαῖς δυνάμεσιν ἐγχειρίζουσα, καὶ διὰ τούτων αὐτοὺς ἀκηλιδώτοις εἰσδεχομένη.

Δέδεικται τοίνυν ἡμῖν, ἡ μὲν τῶν Ἱεραρχῶν τάξις τελειωτικὴ, καὶ τελεσιουργός· ἡ δὲ τῶν Ἱερέων φωτιστικὴ, καὶ φωταγωγός· ἡ δὲ τῶν λειτουργῶν καθαρτικὴ καὶ διακριτικὴ, δηλαδὴ τῆς ἱεραρχικῆς τάξεως, οὐ τελεσιουργεῖν μόνον, ἀλλὰ καὶ φωτίζειν ἅμα καὶ καθαίρειν ἐπισταμένης, καὶ τῆς τῶν Ἱερέων δυνάμεως ἐχούσης ἐν ἑαυτῇ μετὰ τῆς φωτιστικῆς, καὶ τὴν καθαρτικὴν ἐπιστήμην. Αἱ μὲν γὰρ ἥττους, ἐπὶ τὰ κρείττω μεταπηδᾷν ἀδυνατοῦσι, πρὸς τὸ μηδὲ θεμιτὸν αὐταῖς εἶναι πρὸς τοιαύτην ἐγχειρεῖν ἀλαζονείαν. Αἱ δὲ θειότεραι δυνάμεις, μετὰ τῶν οἰκείων καὶ τὰς ὑφειμένας, τῆς αὐτῶν τελειότητος ἱερὰς ἐπιστήμας γιγνώσκουσιν. Ὅμως ἐπειδὴ

ἐπειδὴ θείων εἰσὶν ἐνεργειῶν εἰκόνες, αἱ ἱερατικαὶ διακοσμήσεις τοῦ εὐκόσμου καὶ ἀσυγχύτου τῶν θείων ἐνεργειῶν τάξεως, ἐν ἑαυταῖς δεικνῦσαι τὰς τεταγμένας ἐλλάμψεις εἰς τὰς πρώτας καὶ μέσας καὶ τελευταίας ἱερὰς ἐνεργείας καὶ τάξεις, ἐν διακρίσεσιν Ἱεραρχικαῖς ἐτάχθησαν, ἐμφαίνουσαι, καθάπερ ἔφην, ἐν ἑαυταῖς τῶν θείων ἐνεργειῶν τὸ τεταγμένον καὶ ἀσύμφυρτον. Ἐπειδὴ γὰρ ἡ θεαρχία τοὺς ἐν οἷς ἂν ἐγγένηται νόας ἀποκαθαίρει πρῶτον, εἶτα φωτίζει, καὶ φωτισθέντας ἀποτελειοῖ πρὸς θεοειδῆ τελεσιουργίαν, εἰκότως ἡ ἱεραρχικὴ τῶν θείων εἰκόνων, εἰς διακεκριμένας ἑαυτὴν διαιρεῖ τάξεις τε καὶ δυνάμεις, ἐναργῶς ὑποδεικνῦσα τὰς θεαρχικὰς ἐνεργείας, ἐν παναγεστάταις καὶ ἀμιγέσι τάξεσιν, εὐσταθῶς καὶ ἀσυγχύτως ἑστηκύας. Ἀλλ᾽ ἐπειδὴ τὰς ἱερατικὰς τάξεις τε καὶ ἀποπληρώσεις, δυνάμεις τε αὐτῶν καὶ ἐνεργείας εἰρήκαμεν, ὡς ἡμῖν ἐφικτὸν, καὶ τὰς ἱερωτάτας αὐτῶν ὡς οἷοί τε ἐσμὲν, ἐποπτεύσωμεν τελειώσεις.

II. ΜΥΣΤΗΡΙΟΝ
ἱερατικῶν τελειώσεων.

Ὁ μὲν Ἱεράρχης ἐπὶ τὴν ἱεραρχικὴν τελείωσιν προσαγόμενος, ἄμφω τὼ πόδε κλίνας ἐπίπροσθεν τοῦ θυσιαστηρίου, ἐπὶ κεφαλῆς ἔχει τὰ θεοπαράδοτα Λόγια, καὶ τὴν ἱεραρχικὴν χεῖρα, καὶ τούτῳ τῷ τρόπῳ πρὸς τοῦ τελοῦντος αὐτὸν Ἱεράρχου ταῖς παναγεστάταις ἐπικλήσεσιν ἀποτελειοῦται. Ὁ δὲ Ἱερεὺς ἄμφω τὼ πό-

TEXTVS S. DIONYSII.

Quoniam tamen Ecclesiasticæ descriptiones diuinarum imagines sunt actionum, quòd ornati distinctique diuinarum actionum ordinis certas ratasque illustrationes in se exhibent, in primas, & medias, nouissimasque sacras functiones atque ordines in Hierarchicis distinctionibus sunt distributæ, quòd, vti dixi, diuinarum actionum ordinem atque distinctionem in semetipsis exhibent. Cùm enim illa summa Deitas mentes eas, quibus se insinuat, primùm expiet, ac deinde illuminet, atque illustratas demum ad deiformem quamdã promoueat perfectionem, rectè sacer Ordo, qui diuinis præest imaginibus, in diuersos semetipsum ordines virtutesque distinguit; apertè demonstrans, diuinas illas præcipuas actiones in sanctissimis purissimisque ordinibus constanter distincteque consistere. Sed quoniam Sacerdotũ ordines ac munia, virtutesque eorum & actiones pro virili exposuimus, sacratissimas etiam eorum consecrationes, quoad possumus, consideremus.

II. MYSTERIVM
consecrationis sacrorum Ordinum.

Ritus consecrandi Episcopũ.

ρανοῦ τὴν οὐρανίαν καθιστῶσα τὴν καθ' ἡμᾶς Ἱεραρχίαν ἡ ἀγαθότης τοῦ Θεοῦ, ὅτε μὲν νήπιοι ἦμεν, τὴν κατὰ νόμον ἐδωρεῖτο Ἱεραρχίαν ταῖς ἀσθενέσιν ἡμῶν ὄψεσιν ἐπιλάμπουσα τὸ ἀνάλογον φῶς διά τινων ἀμυδρῶν εἰκόνων, καὶ οὐκ εὐδιάκριτον ἐχόντων τὴν θεωρίαν. Ἐπειδὴ περ εἶπεν, ὅτι πᾶσα Ἱεραρχία τελετὴν ἔχει, καὶ μύστας, καὶ μυουμένους, ἐλθὼν ἐπὶ τὴν νομικὴν ἱερουργίαν, βούλεται δεῖξαι τὴν τοιαύτην τριάδα. Τελετὴ μὲν οὖν ταύτῃ ἐστὶν, ἡ ἀπὸ τῶν τύπων ἐπὶ τὴν πνευματικὴν λατρείαν ἀναγωγὴ, καθὼς καὶ ὁ Θεολόγος ἀνὴρ Γρηγόριος· χειραγωγοὶ δὲ πρὸς ταύτην, ἤγουν μύσται, οἱ ὑπὸ Μωσέως τοῦ πρώτου μύστου καὶ ἡγεμόνος μυηθέντες τὴν ἀχειροποίητον ἐκείνην σκηνὴν, πρὸς ἣν ἱερογραφῶν τὴν κατὰ νόμον Ἱεραρχίαν, εἰκόνα τὰ κατὰ νόμον ἐκάλει· ἤκουε γὰρ, Πάντα ποιήσεις κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Περιτελούμενοι δὲ εἶεν ἂν, οἱ ἀπὸ ταύτης ἐπὶ τελεωτέραν ἀναγόμενοι μύησιν, ἣν καὶ ἀποπλήρωσιν τῆς πρώτης καὶ ἱερὰν λῆξιν αἱ Γραφαὶ λέγουσι, καθὸ καὶ πληρωτὴς νόμου οὐ καταλύτης ὁ Κύριος λέγεται. ὥσπερ γὰρ ὁ ἐπὶ σκιάσματι εἰκόνος ἐπιτιθεὶς πολλάκις τὰ χρώματα γραφεὺς, πληρωτὴς τῆς εἰκόνος, οὐ καταλύτης λέγοιτ' ἄν. Εἰ δὲ δεῖ Παύλῳ πείθεσθαι πρὸς Ἑβραίους γράφοντι, ἔστι τι μέσον τῆς οὐρανίας ἐκείνης καὶ τῆς κατὰ νόμον λατρείας, ἡ καθ' ἡμᾶς Ἱεραρχία, τῇ μὲν οὐρανίᾳ κοινωνοῦσα, ὅτι καὶ αὐτὴ νοηταῖς θεωρίαις χρῆται· τῇ δὲ κατὰ νόμον, ὅτι καὶ αὐτὴ ὡς ἐκείνη αἰσθητοῖς συμβόλοις ποικίλλεται.

Ἔχει δὲ καὶ αὐτὴ τὸ τριττὸν τῆς ἱεραρχικῆς διαιρέσεως, διαιρουμένη εἴς τε τὰς τελετὰς καὶ εἰς τοὺς ὑπηρέτας τῶν θείων, καὶ ἱερεῖς, καὶ τρίτους εἰς τοὺς προσαγομένους ὑπ' αὐτῶν εἰς τὰ ἱερά. Ἑκάστη δὲ τούτων τριττῶς πάλιν διῄρηται. Τῶν γοῦν τελετῶν, πρώτη, ἡ κάθαρσις· δευτέρα, τῶν καθαρθέντων ὁ φωτισμός· καὶ τρίτη, ἡ συμπληρωτικὴ τῶν προτέρων τελείωσις. Πάλιν, ἡ τῶν ἱερουργῶν διακόσμησις πρώτως καθαίρει, εἶτα φωτίζει, καὶ ἔπειτα τελειοῖ. Οἱ Διάκονοι καθαίρουσιν, οἱ Πρεσβύτεροι φωτίζουσι, καὶ οἱ Ἐπίσκοποι τελειοῦσι. Τῶν δὲ τελουμένων, οἱ πρῶτοι καθαίρονται διὰ κατηχήσεων, οἱ δεύτεροι φωτίζονται διὰ τοῦ Βαπτίσματος, καὶ οἱ τρίτοι τελειοῦνται τὴν τελειωτικὴν ἐπιστήμην λαμβά-

PARAPHRASIS PACHYMERÆ.

λαμβάνοντες ὧν ἐν τῷ φωτισμῷ θεωροὶ ἐγεγόνεισαν, ἐν μετουσίᾳ τῆς θείας Εὐχαριστίας γινόμενοι. Τὸ οὖν τριττὸν τῆς τῶν τελετῶν ἱερουργίας ὕμνηται· τὸ γὰρ θεῖον Βάπτισμα ἀπεδείχθη καὶ κάθαρσις καὶ φωτισμός· ἡ δὲ Κοινωνία τῆς μεταλήψεως, καὶ ἡ τοῦ Μύρου τελετή, τῆς τελειωτικῆς γνώσεως καὶ ἐπιστήμης εἶεν γνωρίσματα, δι' ἧς ἱερῶς ἡ πρὸς τὸν Θεὸν Κοινωνία τελεσιουργεῖται.

Νῦν δὲ περὶ τῆς ἱερατικῆς λεκτέον διακοσμήσεως, καὶ ταύτης διαιρουμένης τριχῶς, εἰς κάθαρσιν, εἰς φωτισμόν, εἰς τελείωσιν, νόμος ἐστὶν οὗτος ἁπάσης Ἱεραρχίας πανίερος, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα ἀνάγεσθαι. Ἢ γὰρ οὐ τοῦτο βλέπομεν, καὶ ἐπὶ τὰ αἰσθητὰ ταῦτα καὶ ὁρατά; (ταῦτα γὰρ στοιχεῖα καλεῖ) ὡς ἐπὶ τοῦ ὕελου ἐστὶν ἰδεῖν τὸ φῶς δεχομένου, καὶ οὕτω φωτίζοντος· καὶ ἐπὶ τοῦ πυρός, ὅπερ καὶ πρότερον τῆς εὐκαταπρήστου ὕλης ἐπιδράττεται, καὶ διὰ ταύτης τὰς ἀνεπιτηδείας πρὸς μετουσίαν αὐτοῦ φύσεις ἐκπυροῖ. Διὰ τοῦτο καὶ πάσης διακοσμίας, κἂν τὴν οὐρανίαν εἴπῃς, κἂν τὴν καθ' ἡμᾶς, ἡ ἀρχὴ καὶ ἡ ἵδρυσις εἰς τοὺς πρώτους ἐνδίδωσιν, ὥστε ἱέναι τὰς θείας ἀκτῖνας, καὶ διὰ τούτων καὶ τοῖς ὑφειμένοις ἐπιφαίνεσθαι.

Τούτων τῶν πρώτων ἐστί, τὸ τοῖς δευτέροις ἀφθόνως μεταδιδόναι ὧν αὐτοὶ μετέχουν. Οὐκοῦν ἡ θεία τῶν Ἱεραρχῶν τάξις, πρώτη ἐστὶ καὶ ἀκροτάτη, καὶ ἐσχάτη ἡ αὐτή· πρώτη, ὅτι ἐξ ἐκείνης τοῖς ἄλλοις μεταδίδονται τὰ οἰκεῖα· ἐσχάτη, ὅτι εἰς αὐτὴν ἀποτελευτᾷ πᾶσα ἱερατικὴ διακόσμησις. Ὥσπερ γὰρ πᾶσα Ἱεραρχία εἰς τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν ἀποπληροῦται, ὁ πρῶτος γὰρ Ἱεράρχης οὗτός ἐστιν· οὕτω καὶ ἑκάστη Ἱεραρχία εἰς τὸν οἰκεῖον Ἱεράρχην τὴν ἀναφορὰν ἔχει, ὡς αὐτοῦ διὰ τῶν ὑπ' αὐτὸν ταγμάτων πάντα ἐνεργοῦντος, οἷς καὶ παρέχει τὴν δύναμιν τοῦ ταῦτα ἐνεργεῖν (ὁλότητας γὰρ πάσας τὰς τάξεις φησίν, ὡς εὐθὺς ἐπεξηγεῖται) τέως δὲ ὅμως, ἐξαιρέτως τῷ Ἱεράρχῃ πρὸς αὐτουργίαν, καὶ οὐ διὰ τῆς ἑτέρων ὑπουργίας, ἀποκεκλήρωται ὁ τοῦ Μύρου ἁγιασμός, ἡ τοῦ θυσιαστηρίου καθιέρωσις, καὶ ἡ τῶν ἱερατικῶν χειροτονία, ἅτινα καὶ τελεσιουργοὺς εἰκόνας τῆς θείας δυνάμεως ἀπεκάλεσεν· αὗται γάρ εἰσιν αἱ ἀποτελοῦσαι πάντα τὰ θειότατα σύμβολα. Εἰ γὰρ μὴ Μύρον, εἰ μὴ θυσιαστήριον, εἰ μὴ Ἀρχιερεύς, οὐκ

eorum quæ in Baptiſmo conſpexerunt, diuinæ Euchariſtiæ participes effecti. Triplex itaque Sacramentorum ſacra functio celebratur: nam diuinus Baptiſmus oſtenſus eſt eſſe expiatio & illuminatio, Communionis autem participatio & Vnguenti myſteriũ notiones ſunt perfectiuæ cognitionis atque ſcientiæ, quâ ſacroſanctè diuina Communio celebratur.

§. 4.

Nunc autem de Eccleſiaſtico Ordine dicendum eſt, qui cùm etiam trifariàm, in expiationem, illuminationem, perfectionem diuidatur, lex hæc ſacroſancta eſt omnis Hierarchiæ, vt per prima ſecunda adducantur. An non etiam illud in rebus ſenſibilibus & aſpectabilibus videmus? (hæc enim elementa vocat) vt in vitro perſpicere licet, quod ſolem recipit, atque hoc modo illuminat; & in igne, qui priùs ad materiam, quæ facilè comburi poteſt, accedit, & per hanc etiam minùs aptas ad eum recipiendum naturas exurit. Idcircò quoque omnis rectæ ordinationis, ſiue cæleſtem ſiue noſtram dixeris, principium ac ſedes in primos ordines diuinos ſuos radios emittit, atque per hos quoque inferioribus collucet.

§. 5. *Subordinatio qualis in Hierarchiâ.*

Horum primorum eſt, poſterioribus ſine inuidiâ communicare illa quorum ipſi ſunt participes. Itaque diuinus ordo Pontificum idem eſt & primus & ſupremus, & vltimus: primus, quoniam ex eo ceteris quæ propria ſunt donantur; vltimus, quoniam in ipſum omnis Eccleſiaſticus ordo deſinit. Quemadmodum enim Hierarchia omnis in Saluatore noſtro Ieſu Chriſto conſummatur, vt qui primus Hierarcha eſt; ſic etiam quælibet Hierarchia in proprium ſuum Hierarcham refertur, vt qui omnia per ordines ſibi ſubditos operetur, quibus præbuit poteſtatem hæc agendi (ὁλότητας enim vocat omnes ordines, vti paulò pòſt explicat) attamen præcipuè Pontifici, vt ipſemet peragat, & non per aliorum miniſterium, attributa eſt Vnguenti ſanctificatio, & altaris conſecratio, & Eccleſiaſticorum ordinatio, quæ etiam perfectionis effectrices imagines diuinæ poteſtatis vocauit: hæc enim ſunt quæ diuiniſſima quæque ſymbola perficiunt. Niſi enim ſit Vnguentum, niſi ſit altare, niſi ſit ſummus Sacerdos, nihil

PARAPHRASIS PACHYMERÆ.

etiam quod sit muneris Sacerdotalis perficietur. Deinde, ac si quis obijceret, quomodo etiam Baptisma per Sacerdotes conferri possit, ait, neque hoc etiam perfectè per se Sacerdotem operari; nam & Antistite opus erit, vt vnguento inungat baptizatum: siquidem hæc antiqua erat consuetudo. Quomodo autem etiam diuina Communio fiet non exsistente altari? Vbi erit Sacerdos, nisi Episcopus ipsum ordinauerit? Rectè itaque diximus, tria hæc mysteria virtutes esse perfectiuas, & singulariter Episcopo attribui, id est particulariter, & semel simpliciter, non autem secundùm quid ac partialiter.

§. 6. Quoniam diuisit Ecclesiasticum ordinem in perficientem, in illuminantem, in expiantem, modò tradit quid cuique ordini sit proprium. Ordo itaque Episcopalis perficiendi vi pollet, & perficiens & perfectus, ac disciplinas, habitusque, ac virtutes sacrorum conferens. Ordo verò Sacerdotum, siue Presbyterorū, illuminādi munus obtinet, ad sacrorum conspectum manuducens eos qui initiātur, dum sacris quidem ipse operatur, & per manus Sacerdotum propria diuinitatis opera exhibet, verùm eos qui diuinarum rerum scientiam adipiscendi desiderio tenentur, ad Episcopum transmittit. Ministrorum verò, id est Diaconorum, ordo est expiatorius, & discretor bonarum & malarum, siue personarum siue rerum; discernunt enim etiam tam personas accedentium quàm virtutes rerum, & qualia bona sint & qualia praua. Vnde & ipsi quoque vetus vestimentum deponunt, quod veteris malitiæ symbolum refert, abluuntq; & sistunt, & adducunt eum qui ad Baptismum accedit; siquidem hæc omnia virtutis & ordinis sunt expiantis. Docent enim illos, vt rebus obscuris renuntiantes, ad ea quæ illuminant adducantur. Adducit itaque expiatos, expiat imperfectos, fouet institutionibus, secernit sacros à profanis, fores custodit. Diaconi enim tunc fores habebant, nunc verò eas tenent Subdiaconi. Lex itaque Ecclesiastica Diaconos foribus pręficit, insinuans qualis & quali futurus sit ad sacra introitus, & virtutibus istis expiatricibus, ipsis, inquam, Diaconis ad sacrorum aspectum introducendi munus committens, & per eosdem ad-

ἄν τι ἱερατικὸν ἐνεργηθήσεται. Εἶτα ὥσπερ τινὸς ἀνθυποφέροντος, ὅτι καὶ πῶς Βάπτισμα διὰ τῶν Ἱερέων τελεῖται, φησὶν, ὅτι οὐδὲ τοῦτο τελείως ἐνεργεῖ ὁ Πρεσβύτερος· χρεία γὰρ τοῦ Ἀρχιερέως ἔσται, εἰς τὸ χρίσαι τῷ Μύρῳ τὸν βαπτισθέντα· αὕτη γὰρ ἦν ἡ ἀρχαία συνήθεια. Πῶς δὲ καὶ ἡ θεία κοινωνία γενήσεται, μὴ θυσιαστηρίου ὄντος; Ποῦ δὲ ἔσται ὁ Ἱερεὺς, εἰ μὴ Ἀρχιερεὺς αὐτὸν χειροτονήσει; Καλῶς ἄρα ἐλέγομεν, ὅτι ταῦτα τὰ τρία μυστήρια, τελεσιουργικαὶ δυνάμεις εἰσὶ, καὶ ἑνιαίως τῷ Ἀρχιερεῖ ἀπεκληρώθησαν, τοῦτ' ἔστι μονομερῶς καὶ ἅπαξ ἁπλῶς, καὶ οὐ κατά τι καὶ μερικῶς.

Ἐπεὶ διεῖλε τὴν ἱερατικὴν διακόσμησιν, εἰς τελειωτικὴν, εἰς φωτιστικὴν, εἰς καθαρτικὴν, ἤδη δίδωσι τὸ οἰκεῖον ἑκάστῃ τάξει. Ἡ γοῦν ἀρχιερατικὴ τὴν τελειωτικὴν ἔχει δύναμιν, τελεσιεργοῦσα τὰ τελεσιουργὰ, καὶ διδάσκουσα τὰς ἐπιστήμας τῶν ἱερῶν, καὶ τὰς ἕξεις, καὶ τὰς δυνάμεις· ἡ δὲ τῶν Ἱερέων, ἤγουν τῶν Πρεσβυτέρων, τάξιν τὴν φωτιστικὴν ἔχει, χειραγωγοῦσα εἰς τὰς ἐποψίας τοὺς τελουμένους, δρῶσα μὲν καὶ αὐτὴ, καὶ τὰς θεουργίας ὑποδεικνῦσα διὰ τῆς ἰδίας τῶν ἱερῶν μεταχειρίσεως, τοὺς δὲ τῆς ἐπιστήμης τῶν ἱερουργιῶν ἐφιεμένους τῷ Ἱεράρχῃ παραπέμπουσα. Ἡ δὲ τῶν λειτουργῶν, δηλαδὴ τῶν Διακόνων τάξις, καθαρτική ἐστι καὶ διακριτικὴ τῶν καλῶν καὶ τῶν χειρόνων, εἴτε προσώπων, εἴτε μὴν καὶ πραγμάτων· διακρίνουσι γὰρ καὶ τὰ τῶν προσιόντων πρόσωπα, καὶ τὰς τῶν πραγμάτων δυνάμεις, ποῖα καλὰ καὶ ποῖα χείρονα. Ὅθεν αὐτοί εἰσι καὶ οἱ ἀπογυμνοῦντες τῆς παλαιᾶς ἐσθῆτος, τῆς ἐχούσης σύμβολον τῆς παλαιᾶς κακίας· καὶ οἱ ὑπολύοντες, καὶ ἱστῶντες, καὶ μετάγοντες τὸν τῷ Βαπτίσματι προσερχόμενον· ταῦτα γὰρ πάντα, τῆς καθαρτικῆς εἰσιν ἐνεργείας καὶ τάξεως. Ἐκδιδάσκουσι γὰρ αὐτοὺς, ἵνα ἀποταξάμενοι τὰ ἀλαμπῆ, καταχθῶσιν ἐπὶ τὰ φωτιστικά. Ἀνάγει γοῦν τοὺς κεκαθαρμένους, ἀποκαθαίρει τοὺς ἀτελέστους, μαιεύεται ταῖς διδασκαλίαις, ἀποδιαστέλλει τῶν ἀνιέρων τοὺς ἱεροὺς, τὰς πύλας ἐπιτηρεῖ. Οἱ Διάκονοι γὰρ τότε τὰς πύλας εἶχον, νῦν δὲ οἱ Ὑποδιάκονοι. Ἐφίστησι τοίνυν τοὺς Διακόνους ταῖς πύλαις ἡ ἀρχιερατικὴ νομοθεσία, αἰνιττομένη ὁποία καὶ ὁποίῳ ἔσται ἡ πρὸς τὰ ἱερὰ εἴσοδος, καὶ ἐγχειρίζουσα ταῖς καθαρτικαῖς δυνάμεσιν, αὐτοῖς δὴ τοῖς Διακόνοις, τὴν ἐπὶ τὰς ἱερὰς ἐποψίας προσαγωγὴν, καὶ διὰ τούτων αὐτὴν εἰσδεχομένη,

εἴπερ

εἴπερ μαρτυρηθεῖεν, παρ' αὐτῶν δηλαδὴ τῆς ἐποψίας ἄξιοι.

Ἀνακεφαλαιούμενος δὲ τὰ πάντα φησίν, ὅτι ὁ μὲν Ἀρχιερεὺς τελειοῖ, ὁ δὲ Ἱερεὺς φωτίζει, ὁ δὲ Διάκονος καθαίρει καὶ διακρίνει τὸν πιστὸν καὶ τὸν ἄπιστον, τὸν ἄξιον καὶ τὸν ἀνάξιον, ὅπερ ἰδίως ἔχουσιν οἱ Ὑποδιάκονοι· τέως δὲ ὁ μὲν Ἐπίσκοπος, καὶ τὰ τῶν ὑφειμένων ποιεῖ, οὐ μὴν οἱ Ἱερεῖς τὰ τῶν Ἐπισκόπων· καὶ ἐκ τούτου σημειωθείη, ὡς ἕκαστον οὐ χρὴ κατατολμᾶν τῶν μειζόνων. Αἱ δὲ θειότεραι δυνάμεις καὶ τὰ τῶν ἡττόνων ἔχουσι, καὶ ἠδύνατο πάντα ποιεῖν ὁ Ἐπίσκοπος· ἀλλ' ἐπειδὴ θείων εἰσὶν εἰκόνες ἐνεργειῶν αἱ ἱερατικαὶ διακοσμήσεις, δείκνυται καὶ ἐν ταύταις τὸ εὔκοσμον καὶ ἀσύγχυτον. Πῶς δὲ κατὰ τὴν τάξιν τῶν θείων τὰ ἡμέτερα γίνονται, λέγει. Ὡς ἐπειδὴ ἡ θεαρχία τοὺς ἐν οἷς ἂν ἐγγένηται νόας, εἴτε Ἀγγελικούς, εἴτε καὶ ἀνθρωπίνους, πρῶτον καθαίρει, εἶτα φωτίζει, καὶ ἔκτοτε τελειοῖ, καὶ ἔστιν ἀεὶ ἀπαράλλακτος καὶ ἐπὶ πᾶσιν ἡ τοιαύτη τάξις, καὶ οὐ μεταπίπτει ποτὲ πρὸς ἀλλοίαν κατάστασιν. Πῶς γὰρ φωτισθήσεται ὁ μὴ καθαρθείς; καὶ πῶς τελειωθήσεται ὁ μὴ φωτισθείς; Διὰ τοῦτο τὴν τοιαύτην τάξιν ἀπαράλλακτον μαθοῦσα ἡ καθ' ἡμᾶς Ἱεραρχία, διαιρεῖ ἑαυτὴν εἰς διακεκριμένας τάξεις τε καὶ δυνάμεις· καὶ τὸ κρεῖττον, αὐτὴ παρ' ἑαυτῇ παρακατασχοῦσα, τὸ καθαίρειν καὶ τὸ φωτίζειν τοῖς ἑτέροις κατὰ τάξιν ἀπέδωκεν. Ἀλλ' ἐπειδὴ περὶ τούτων ἱκανῶς ἐῤῥέθη, φέρε τὰς ἱερωτάτας αὐτῶν τελειώσεις ἐποπτεύσωμεν.

II. ΜΥΣΤΗΡΙΟΝ.

Ὁ μὲν Ἱεράρχης προσαγόμενος εἰς τὸ χειροτονηθῆναι, ἄμφω τὼ πόδε κλίνας, ἐπὶ κεφαλῆς ἔχει τὰ θεῖα καὶ ἱερὰ Εὐαγγέλια, καὶ τὴν τοῦ χειροτονοῦντος χεῖρα, καὶ διὰ τῶν παναγεστάτων εὐχῶν ἀποτελειοῦται. Ὁ δὲ Ἱερεὺς καὶ αὐτὸς ἄμφω κλίνει τὼ πόδε, καὶ τὴν τοῦ χειροτονοῦντος δεξιὰν ἐπὶ κεφαλῆς ἔχει, καὶ οὕτως καὶ αὐτὸς ταῖς ἱεροποιοῖς εὐχαῖς ἁγιάζεται. Ὁ δὲ Διάκονος ἕνα τοῖν ποδοῖν κλίνας, ἐπὶ κεφαλῆς ἔχει καὶ αὐτὸς τὴν τοῦ χειροτονοῦντος δεξιάν, καὶ τελειοῦται ταῖς τῶν λειτουργῶν ἐπικλήσεσι, δηλονότι ταῖς λεγομέναις αἰτήσεσι, συνευχομένου ἔξωθεν καὶ τοῦ Ἱεράρχου

PARAPHRASIS PACHYMERÆ. §. 7.

mittens illos, quos ipsi sacrorum aspectu dignos iudicauerint.

Summatim verò omnia repetendo ait, Pontificem quidem perficere, Sacerdotem autem illuminare, Diaconum verò expiare, ac segregare fidelem ab infideli, & dignum ab indigno, quod proprium est Subdiaconorum. Interim Episcopus etiam potest obire munera inferiorum, non tamen Sacerdos ea quæ sunt Episcoporum; ex quo significatur, quomodo nemo debeat maiora se præsumere seu attentare. Ceterùm virtutes quidem illæ superiores ea quæ inferiorum sunt habent, & Episcopus potest omnia. Quoniam tamen Ecclesiasticę descriptiones diuinarum imagines sunt actionum, in illis ipsis quoque rectus ordo distinctioque ostenditur. Denique refert, quomodo hæc nostratia quoque secundùm ordinem diuinum fiant. Quippe cùm illa summa Deitas mentes eas quibus se insinuat, siue Angelicas siue humanas, primùm expiet, deinde illuminet, atque exinde perficiat, ordo hic etiam semper est inuiolatus, & in omnibus seruatur, nec vmquam inuertitur aut in alium transmutatur. Quomodo enim illuminabitur is qui non est expiatus? & quomodo perficietur qui non est illuminatus? Idcircò cùm Hierarchia nostra sciat, istiusmodi ordinem esse inuariatum, semetipsam distinguit in diuersos ordines ac virtutes; &, quod potissimum est, per semetipsam exequens, illuminandi & expiandi munus ceteris secundùm cuiusque ordinem commisit. Sed quoniam de his satis dictum est, age, sacratissimas etiam eorum consecrationes consideremus.

II. MYSTERIVM.

Hierarcha quidem seu Episcopus cùm ad ordines suscipiendos adducitur, vtrumq; genu flectens, supra caput habet diuina sacraq; Euangelia, & manum consecrantis, ac sanctissimis precibus consecratur. *Ritus conferendi ordines.* Sacerdos autem vtrumque etiam ipse genu flectit, & in capite habet dextram consecrantis, atque ita etiam ipse sanctificantibus precibus sanctificatur. Diaconus verò vnum genu flectens, super caput habet & ipse dextram consecrantis, & consecratur inuocationibus ministrorũ, quæ videlicet in eorumdem consecratione adhiberi solent, Hierarchâ quoque precibus

PARAPHRASIS PACHYMERÆ.

extrinſecus annuente. His tribus itaque commune eſt, ante diuinum altare ordinari, & formâ crucis ſignari, & nomen recitari, & in fine ſalutari. Obſerua verò quòd dicat, omnes qui in ſacrario ſunt ordinatum ſalutare.

III. CONTEMPLATIO.

§. 1. Aggrediens eorum qui conſecrantur contemplationem, primùm ea quæ tribus Ordinibus communia, quæque cuilibet propria ſunt, recenſet. Communia igitur ſunt, ordinatio ad diuinum altare, formæ crucis ſignatio, & nominis recitatio, & finalis ſalutatio. Propria verò eſt Epiſcopis ſacri Euangelij impoſitio, Sacerdotibus vtriuſque pedis inclinatio, Diaconis alterutrius inflexio.

§. 2. *Quid carimonia conſecrationis myſticè inſinuent.* Dicimus itaque primùm de communi illâ ad altare ſacrum adductione ac flexione, inſinuari per hoc omnes illos conſecrationis auctori Deo ex integro vitam ſuam conſecrare, eamque, quo ad fieri poteſt, conformem eſſe debere ſanctiſſimo illi altari, Saluatori (ſcilicet) Chriſto ac Domino, qui conſecrat mentes deiformes.

§. 3. Manus autem impoſitio partim quidem deſignat diuinam protectionem, quæ ad ſe accedentes tamquam filios paternè protegit; partim verò docet ita conſecratos, tamquam ſub Deo ſacram ſuam functionem obire debere. Nam manus ſymbolum eſt operationis.

§. 4. Porrò ſignum crucis deſignat omnium carnalium cupiditatum ceſſationem, diuinæque vitæ imitationem eius qui ad crucem & mortem venit. Epiſcopus autem nomen illius qui ordinatur proclamat, quoniam Deo charus ordinum collator tantùm explicat diuinam electionem, quia non fauore, ſed à Deo motus, ipſum elegit. Hæc enim promulgatio, manifeſtatio eſt diuinæ voluntatis.

§. 5. *Non ordinandi niſi à Deo electi.* Hoc modo etiam legalis ordinum collator Moyſes fratrem ſuum Aaron, quamuis eum ſciret iſto munere dignum, nequaquam elegit, donec diuinitus ad hoc moueretur. Sed quid illum memoro? cùm ipſemet primus ordinum collator ac viuificator IESVS ad Patrem clamet, *Pater, clarifica Filium tuum*, confirmationem quodammodò inde accipiens, tametſi Deus eſſet ac Dominus, & in verâ gloriâ ſimul cum Patre & Spiritu

εὐχαῖς. Κοινὸν δὲ τοῖς τρισίν ἐστι, τὸ ἐπιπροσθεν τοῦ ἱεροῦ θυσιαστηρίου χειροτονεῖσθαι, καὶ ἡ σταυροειδὴς σφραγὶς, καὶ ἡ τοῦ ὀνόματος ἀνάρρησις, καὶ ὁ τελειωτικὸς ἀσπασμός. Ὅρα δὲ ὅτι πάντας λέγει τοὺς ἐν τῷ ἱερατείῳ τὸν χειροτονούμενον ἀσπάζεσθαι.

III. ΘΕΩΡΙΑ.

Εἰς θεωρίαν εἰσβάλλων τῶν τελουμένων, πρῶτον τὰ κοινὰ τοῖς τρισὶ καὶ τὰ ἴδια ἑκάστῳ ἀπαριθμεῖται. Κοινὰ γοῦν, ἡ ἐπὶ τοῦ θυσιαστηρίου χειροτονία, ἡ σταυροειδὴς σφραγὶς, ἡ τοῦ ὀνόματος ἀνάρρησις, καὶ ὁ τελειωτικὸς ἀσπασμός· ἰδίως δὲ, τοῖς μὲν Ἱεράρχαις ἐπιτίθεται τὸ ἱερὸν Εὐαγγέλιον· τοῖς δὲ Ἱερεῦσι, τὸ κλίνειν ἐστὶ καὶ ἀμφοτέρους τοὺς πόδας· τοῖς δὲ λειτουργοῖς, τὸ κλίνειν τὸν ἕτερον.

Λέγομεν οὖν πρῶτον περὶ τῆς κοινῆς πρὸς τὸ ἅγιον θυσιαστήριον προσαγωγῆς τε καὶ ὑποπτώσεως· αἰνίσσεται γὰρ, ὅτι πάντες οὗτοι ὁλικῶς ἀνατιθέασι τῷ τελετάρχῃ Θεῷ τὴν ἰδίαν ζωὴν, ὁμοειδῆ κατὰ τὸ δυνατὸν ὀφείλουσαν εἶναι τῷ παναγεστάτῳ θυσιαστηρίῳ τῷ Σωτῆρι Χριστῷ καὶ δεσπότῃ τῷ καθιεροῦντι τοὺς θεοειδεῖς νόας.

Ἡ δὲ τῆς χειρὸς ἐπίθεσις ὁμοῦ μὲν ἐμφαίνει τὴν ἐκ Θεοῦ σκέπην, τὴν φυλάττουσαν πατρικῶς ὡς παῖδας τοὺς αὐτῷ προσανέχοντας· ἅμα δὲ διδάσκει καὶ τὸ ἐποφειλόμενον ἔχειν τοὺς τελεσθέντας τὴν ἑαυτῶν ὑπηρεσίαν τελεῖν ὡς ὑπὸ Θεῷ πράττοντας· σύμβολον γὰρ ἡ χεὶρ πράξεως.

Ἡ δὲ σταυροειδὴς σφραγὶς τὴν ἀνενεργησίαν τῶν σαρκικῶν παθῶν, καὶ τὴν θεομίμητον ζωὴν ἐμφαίνει τῇ πρὸς αὐτὸν μιμήσει, ὃς μέχρι σταυροῦ καὶ θανάτου ἐλήλυθεν. Ἀναβοᾷ δὲ τὸ ὄνομα τοῦ χειροτονουμένου ὁ Ἱεράρχης, ὅτι ὁ φιλόθεος ἱεροτελεστὴς μόνον ἐκφαίνει τὴν θείαν ἐκλογὴν, ὅτι οὐ χάριτι, ἀλλ' ὑπὸ Θεοῦ κινούμενος αὐτὸν ἐξελέξατο· τοῦτο γὰρ ἐστὶν ἡ ἐκφώνησις, ἡ ἔκφανσις τῆς θείας βουλῆς.

Οὕτω καὶ ὁ νομικὸς ἱεροτελεστὴς Μωϋσῆς τὸν ἀδελφὸν αὐτοῦ Ἀαρὼν, καὶ εἰδὼς ἄξιον τῆς ὑπουργίας, οὐκ ἐξελέξατο, ἕως οὗ θεόθεν ἐκινήθη εἰς τοῦτο. Καὶ τί λέγω περὶ τούτου; αὐτὸς ὁ πρῶτος ἱεροτελεστὴς ὁ ζωαρχικὸς Ἰησοῦς πρὸς τὸν Πατέρα βοᾷ· Πάτερ, δόξασόν σου τὸν υἱὸν, τὴν ἐπικύρωσιν ὡσανεὶ ἐκεῖθεν δεχόμενος, καίτοι Θεὸς ὢν καὶ δεσπότης, καὶ ἐν τελείᾳ δόξῃ ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ

τῷ ἁγίῳ Πνεύματι γνωριζόμενος. Εἰ δὲ πιστεύομεν ὅτι τὰ ὑπὸ Προφητῶν λαλούμενα ῥήματά εἰσι Θεοῦ, καθὼς καὶ εἰσὶ, καὶ ἀπὸ Θεοῦ λέγονται· τὸ, Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, καὶ τὰ ἑξῆς, οὐ τοῦ Δαβὶδ πάντως φήσομεν εἶναι, ἀλλὰ τοῦ ἐπὶ πάντων Θεοῦ· ἐκλαμβάνεται δὲ ὡς ἀπὸ τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐπιμαρτυροῦντος τούτῳ τὴν εἰς αἰῶνα ἱερωσύνην κατὰ τὴν τάξιν Μελχισεδέκ. Καὶ τοὺς μαθητὰς, καίτοι Θεὸς ὢν, οὐκ αὐτὸς ἐχειροτόνησεν ἰδίως ἀφ' ἑαυτοῦ, ἀλλ' ἐπηγγείλατο πέμπειν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ μὴν καὶ αὐτὸς ὁ τῶν μαθητῶν κορυφαῖος μετὰ τῆς δεκάδος τῶν μαθητῶν, ἐπεὶ ἔμελλεν ἀναπληροῦν τὴν δωδεκάδα, οὐκ ἀφ' ἑαυτοῦ ἐχειροτόνει ὃν ἂν ἐβούλετο, ἀλλ' ἔλεγεν Ἀνάδειξον ὃν ἐξελέξω· κἀκεῖνον ἐδέξατο ὃν τὸ Πνεῦμα τὸ ἅγιον ἀνέδειξε, τὸν Ματθίαν φημί. Περὶ δὲ τοῦ θείου κλήρου τοῦ ἐν ταῖς Πράξεσιν, ἕτεροι μὲν ἄλλα εἰρήκασι, τέως οὐκ εὐαγῶς ἐκλαβόμενοι ἴσους κλήρους, οὓς πολλάκις ἐτίθουν καὶ Ἕλληνες κατὰ τὸ παρ' Ὁμήρῳ, πάλλεν δὲ Γερήνιος ἱππότα Νέστωρ. Ἐγὼ δὲ λέγω, σύμβολόν τι ἐξ ἀποκαλύψεως ἢ ἐνεργήματος τοῦ παναγίου Πνεύματος πίπτον ἐπὶ τὸν κληρούμενον, ὁ κλῆρος ἦν. Ὅθεν καὶ περὶ τοῦ Ἰσκαριώτου φησὶν ὁ μέγιστος Πέτρος, Ὅτι ἔλαβε σὺν ἡμῖν τὸν κλῆρον τῆς διακονίας ταύτης· καίτοι συνήθης τοῖς πολλοῖς κλῆρος οὐκ ἐπὶ τῶν Ἀποστόλων γέγονεν ὑπὸ τοῦ Κυρίου τοῦ ἐπιλεξαμένου αὐτούς. Πλὴν πάλιν τὸ προκείμενον λέγομεν, ὅτι χρὴ τὸν Ἱεράρχην κινούμενον παρὰ τοῦ παναγίου Πνεύματος τὰς ἐκλογὰς ποιεῖσθαι.

Πάντες δὲ ἀσπάζονται, καὶ αὐτὸς ὁ χειροτονήσας, τὸν τελεσθέντα· διότι ὅταν τοιουτοτρόπως ἀπὸ θείας κλήσεως καὶ ἱερατικῶν δυνάμεων πρὸς ἱερωσύνην ἀφίκηται νοῦς ἱερὸς, (καὶ σημείωσαι, ὅτι ὥσπερ πρῶτος ὁ νοῦς ἐλλάμπεται ἐπὶ τῶν θείων δωρεῶν, οὕτω καὶ πρῶτος ὁ νοῦς τὴν ἱεροτελεσίαν δέχεται, ὡς θεῖον δῶρον καὶ ὑπὲρ ἄνθρωπον) ἐραστός ἐστι τοῖς ὁμοταγέσι, καὶ ἐρῶν καὶ ἐρώμενος· ὑποδηλοῦται γὰρ ἐντεῦθεν τὸ κοινωνικὸν καὶ ἡ ἐπ' ἀλλήλοις ὡς ὁμοειδέσιν ἐραστὴ εὐφροσύνη· χαίρει γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον.

Ἐπίκειται δὲ τὸ ἱερὸν Εὐαγγέλιον τῷ εἰς Ἀρχιερέα τελουμένῳ, διότι πᾶσα δύναμις καὶ ἐπιστήμη δίδοται τούτῳ· καὶ πρόσκειται τούτῳ τὰ περιεκτικὰ παντὸς ἱεροῦ καὶ λόγου καὶ ἔργου ὡς

sancto esse nosceretur. Si verò credimus ea quæ Prophetæ locuti sunt verba esse Dei, sicut verè sunt, & à Deo proferuntur; illud, *Tu es Sacerdos in æternum*, & quæ sequuntur, nequaquam omnino Dauidis esse dicimus, sed dictum Dei: accipitur autem de Patre Filio suo testimonium perhibente sacerdotij illius æterni secundùm ordinem Melchisedech. Et discipulos, tametsi Deus esset, non à semetipso propriè ordinauit, sed promisit se missurum ijs à Patre Spiritum sanctum. Quin & ipsemet Princeps Apostolorum, vnà cum decade Discipulorum, quando duodenarium illum implere volebat, nequaquam à semetipso ordinabat quemcumque vellet, sed dicebat, *Ostende quem elegeris*; & illum accipiebat quem Spiritus sanctus ostenderat, Matthiam inquam. De diuinâ verò sorte in Actis alij quidem alia tradiderunt, interim tamen non sanctè istiusmodi sortes acciperemus, quales sæpè etiam Ethnici ponebant, sicut apud Homerum, iaciebat Gerenius Eques Nestor. Ego autem dico, sortem fuisse signum aliquod reuelationis aut afflationis sanctissimi Spiritus, quod cadebat super eum qui sortiebatur. Vnde etiam de Iscariotâ maximus ille Petrus ait, *Et acceperat nobiscum sortem ministerij huius*; quamquam vsitata vulgò sors non fuit adhibita à Domino cùm Apostolos elegit. Denique ad propositum dicimus, Episcopum à sanctissimo Spiritu motum electiones facere debere.

PARAPHRASIS PACHYMERÆ.

Psal. 109, 4

Act. 1, 24.

Sors quid.

Act. 1, 17.

§. 6. Quid salutatio signet.

Porrò omnes, etiam ipsemet ordinum collator, ordinatum salutant, quoniam cùm hoc modo mens sancta, diuinâ vocatione & Ecclesiasticis instructa virtutibus ad sacerdotium accedit (& obserua, quod sicut primùm mens diuinis donis illustratur, sic etiam prima consecrationem suscipit, tamquam diuinũ quoddam munus, & homine sublimius) amabilis existit equalibus, dum amat & amatur: hinc enim æqualium illa communicatio amabilis mutuaque lætitia insinuatur. Simile enim simili gaudet.

§. 7.

Imponitur autem Euangelium illi qui in Episcopum consecratur; quia omnis ipsi potestas & scientia traditur, ipsique, tamquam vniuersæ potestatis Hierarchicæ ex integro participi, insunt quæcumque sacro quolibet siue

PARAPHRASIS PACHYMERÆ

siue verbo siue opere continentur; vt qui non in semetipso tantùm illustratus sit, verùm etiam alijs istiusmodi dona largiatur.

§. 8. *Quid genu flexio, libri impositio, &c.*

Quid autem sibi vult, quòd Episcopus vtrumque genu flectens, simul in capite diuinum habet Euangelium, Sacerdos verò vtrumque etiam genu flectit, verùm Diaconus alterum dumtaxat? Comprehensim dico, quòd cùm tres sint virtutes perfectioni seruientes, scilicet expians, illuminans, & consummans, & Diaconus quidem primam habeat, Sacerdos autem præter hanc, etiam illuminantem, Episcopus verò vnà cum his obtineat consummantem: idcircò Diaconus, tamquam qui expiantem solam habet, alterum genu flectit; Sacerdos verò, vt qui cum hac etiam illuminantem teneat, vtrumque genu flectit; denique Episcopus flectit & ipse vtrumque genu, vt qui expiandi & illuminandi vi polleat: adhæc verò, cùm etiam perficiendi vi præditus sit, & à diuinis Euangeliis perfectionem conferat, idcircò ipsi quoque sacrum Euangelium imponitur. Ceterùm vniuersim illa pedum inclinatio declarat, quòd etsi ductores sint, hic quidem ad expiationem, ille verò ad expiationem simul & illuminationem, deniq; alius præterea ad perfectioné, attamen subiecti sint Deo, ipsique subijciant eum quem adducunt.

κλήρῳ πάσης μεθέξοντι τῆς ἱεραρχικῆς δυνάμεως· καὶ μὴ μόνον καθ' αὐτὸν ἐλλαμφθησομένῳ, ἀλλὰ καὶ τοῖς ἄλλοις τῶν δωρημάτων μεταδώσοντι.

Τί δὲ ἐστιν, ὅτι ὁ μὲν Ἀρχιερεὺς ἄμφω τὼ πόδε κλίνων, ὅμως ἔχει ἐπὶ κεφαλῆς αὐτοῦ τὸ θεῖον Εὐαγγέλιον· ὁ δὲ Ἱερεὺς κλίνει καὶ αὐτὸς ἄμφω τὼ πόδε μόνον, ὁ δὲ Διάκονος θάτερον τῶν ποδῶν; Συνελὼν λέγω, ὅτι ἐπειδὴ τρεῖς εἰσιν αἱ τελειωτικαὶ δυνάμεις, καθαρτικὴ, φωτιστικὴ, καὶ τελειωτική· καὶ ὁ μὲν Διάκονος ἔχει τὴν μίαν, ὁ δὲ Πρεσβύτερος ταύτην τε καὶ τὴν φωτιστικὴν, ὁ δὲ Ἀρχιερεὺς σὺν αὐταῖς καὶ τὴν τελειωτικήν· διὰ τοῦτο ὁ Διάκονος, ὡς ἔχων τὴν καθαρτικὴν μόνην, θάτερον τῶν ποδῶν κλίνει· ὁ δὲ Ἱερεὺς, ὡς ἔχων σὺν αὐτῇ καὶ τὴν φωτιστικὴν, καὶ ἄμφω τὼ πόδε κλίνει· ὁ μέν τοι γε Ἱεράρχης κλίνει καὶ αὐτὸς ἄμφω τὼ πόδε, καθαρτικὸς ὢν καὶ φωτιστικός· ἔπειτα, ἐπεὶ καὶ τελειωτικός ἐστι, καὶ ἀπὸ τῶν θείων Εὐαγγελίων τὴν τελείωσιν ποιεῖται, διὰ τοῦτο ἐπιτίθεται τούτῳ καὶ τὸ ἱερὸν Εὐαγγέλιον. Τέως δὲ ἁπαξαπλῶς ἡ τῶν ποδῶν κλίσις δηλοῖ, ὅτι εἰ καὶ προσάγοντές εἰσιν, ὁ μὲν ἐν τῷ καθαίρειν, ὁ δὲ ἐν τῷ καθαίρειν ἅμα καὶ τῷ φωτίζειν, ὁ δὲ ἐν τούτοις ἅμα καὶ τῷ τελειοῦν, ἀλλ' οὖν ὑποκείμενοί εἰσι τῷ Θεῷ, καὶ αὐτῷ ὑποτιθεῖσι τὸ προσαγόμενον.

CAPVT VI.

I. De Ordinibus qui initiantur.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

I. Περὶ τῶν τελουμένων τάξεων.

SYNOPSIS CAPITIS.

Primâ parte capitis dicit 1. Quinam ordines expientur. 2. Quinam illuminentur. 3. Quinam perficiantur, inter quos sunt Monachi primi.

Secundâ parte tradit quo ritu Monachi consecrentur.

Tertiâ parte subiungit contemplationem; in quâ exponit 1. Cur Monachi non flexis genibus, sed stantes consecrentur. 2. Quid sibi velit eorum renuntiatio. 3. Quid Crucis signatio. 4. Quid prioris vestis depositio. 5. Quid sacra Communio. 6. Explicat quanam ratione cælestes ordines expientur.

ATQVE

TEXTVS S. DIONYSII.

ΑΥΤΑΙ μὲν αἱ ἱερατικαὶ τάξεις τε καὶ ἀποκληρώσεις, δυνάμεις τε αὐτῶν καὶ ἐνέργειαι καὶ τελειώσεις· τὴν δὲ ὑπ' αὐτὰς τριάδα τῶν τελουμένων τάξεων ἑξῆς ἀφηγητέον.

Λέγομεν τοίνυν, ὅτι καθαιρόμεναι μέν εἰσι τάξεις, αἱ τῶν ἱερουργιῶν καὶ τελεουργιῶν ἀποδιαστελλόμεναι πληθύες, ὧν ἤδη μνήμην ἐποιησάμεθα· τῆς μὲν, ὡς ἔτι πρὸς τῶν λειτουργῶν τοῖς μαιευτικοῖς Λογίοις πρὸς ζωτικὴν ἀπότεξιν μορφουμένης τε καὶ διαπλαττομένης· τῆς δὲ, ὡς ἔτι πρὸς τὴν ἱερὰν, ἧς ἀπέστη ζωῆς ἀνακικλησκομένης τῇ τῶν ἀγαθῶν Λογίων ἐπιστρεπτικῇ διδασκαλίᾳ· τῆς δὲ, ὡς ἔτι πρὸς τῶν ἐναντίων φόβων ἀνάνδρως ἐκδειματουμένης, καὶ πρὸς τῶν δυναμοποιῶν Λογίων ἐπιῤῥωννυμένης· τῆς δὲ, ὡς ἔτι πρὸς τὰς ἱερὰς ἐνεργείας, ἐκ τῶν χειρόνων μεταγομένης· τῆς δὲ, ὡς μεταχθείσης μὲν, οὔπω δὲ τὸ πανάγνως ἀνεπίστροφον ἐν θειοτέραις ἕξεσι καὶ ἀσαλεύτοις ἐσχηκυίας. Αὗται γάρ εἰσιν αἱ καθαιρόμεναι τάξεις ὑπὸ τῆς λειτουργικῆς μαιεύσεως, καὶ καθαρτικῆς δυνάμεως, ταύτας οἱ λειτουργοὶ ταῖς ἱεραῖς αὐτῶν δυνάμεσι τελεσιουργοῦσι, πρὸς τῷ τελέως ἐκκαθαρθείσας αὐτὰς, εἰς τὴν φωτιστικὴν τῶν φανοτάτων ἱερουργιῶν θεωρίαν τε καὶ κοινωνίαν μεταχθῆναι.

Μέση δὲ τάξις ἐστὶν, ἡ θεωρητικὴ καὶ τινῶν ἱερῶν ἀναλόγως ἐν καθαρότητι πάσῃ κοινωνὸς, ἡ τοῖς ἱερεῦσιν εἰς τὸ φωτίζειν αὐτὴν ἀπο-



ATQVE hi quidem sunt sacri ordines eorumq; distributiones, ac virtutes & operationes atque consecrationes: triplex modò genus ordinum initiandorum superest exponendum.

§. 1. Quinam ordines expientur.

Dicimus igitur, ordines illos qui expiantur, esse turbas illas quæ à sacris functionibus & consecrationibus segregantur, quarum superiùs mentionem fecimus: quorum alius quidem à sacris arcetur, quòd adhuc à ministris ad vitalem partum verbis obstetricantibus foueatur atque efformetur; alter verò, quòd etiamnũ ad eam, à quâ defecit, vitæ sanctimoniam adhortatoriâ sermonũ bonorum disciplinâ reuocetur; alius autem, quòd adhuc contrariis pauoribus ignauiter terreatur, atq; potentibus Eloquiis corroboretur; alius verò quòd adhuc ab operibus peruersis ad sacras actiones traducatur; alius, quòd iam traductus quidem sit, sed nondum cõstantiam in diuinis immutabilibusq; scientiis sit consecutus. Hi enim sunt ordines qui curâ ministrorum & purgandi vi expiantur, quos ad hoc ministri sacris suis virtutibus prouehunt, vt perfectè purgati, ad illuminantem illustrissimorum sacrificiorum contemplationem & communionem traducantur.

§. 2. Quisnam ordo illuminetur.

Medius autem ordo est is qui sacrorum quorumdam aspectu gaudet, atque eorumdem pro modulo suo in omni puritate particeps existit,

TEXTVS S. DIONYSII.

sistit, qui luminis accipiendi gratiâ Sacerdotum curæ est commissus. Perspicuum est enim, vt arbitror, hunc ab omni labe nefariâ expiatū, & castam atque immobilem mentis suæ sedem adeptum, ad contemplandi scientiam atque virtutem Sacerdotum operâ promoueri, diuinissimisque, quibus illi fas est, Sacramentis communicare, in quorum contemplationibus communionibusque omni sacro gaudio repletur, & ad diuinum eorumdem scientiæ amorem per anagogicas virtutes pro virili suo subuolat. Hunc ego sanctæ plebis ordinem appello, quippe qui per omnem expiationem eò peruenerit, vt sacrosancto præstantissimorum Sacramentorum aspectu & communione, quantum fas est, dignus sit habitus.

§. 3. *Quisnam ordo perficiatur.* Summus verò eorum omnium qui perficiuntur est ordo sacer Monachorum, cùm & omni piaculo, totâ vi, omnique actionum suarum sanctimoniâ sit expiatus, & omnis mysterij, quod quidem ei fas sit aspicere, spectator particepsque sit factus, traditusque perficienti Pontificum ordini, cuius diuinis illustrationibus pontificiisque institutis sacrorum ad se spectantium mysteriorum consecrationes eruditus, ab eorumdem sacrâ scientiâ ad perfectissimam pro suo modulo perfectionem euehatur. Hinc sancti præceptores nostri diuinis eos appellationibus sunt prosecuti; alij quidem Therapeutas [seu cultores] alij verò Monachos, cùm à sincero Dei

νεμηθεῖσα. Καὶ γάρ ἐστιν, ὡς οἶμαι, δῆλον, ὡς ἡ καθαρθεῖσα πάσης ἀνιέρου κηλῖδος, καὶ πάναγνον ἐσχηκυῖα τὴν τοῦ οἰκείου νοὸς ἀκίνητον ἵδρυσιν, ἐπὶ τὴν θεωρητικὴν ἕξιν καὶ δύναμιν ἱερουργικῶς μετάγεται, καὶ κοινωνεῖ τοῖς κατ' αὐτὴν θειοτάτοις συμβόλοις, ἐν ταῖς θεωρίαις αὐτῶν καὶ κοινωνίαις, ἁπάσης ἱερᾶς εὐφροσύνης ἀποπληρουμένη, καὶ πρὸς τὸν θεῖον τῆς ἐπιστήμης αὐτῶν ἔρωτα ταῖς ἀναγωγικαῖς αὐτῶν δυνάμεσιν ἀναλόγως ἀναπτερουμένη. Ταύτην ἐγώ φημι τὴν τοῦ ἱεροῦ λαοῦ τάξιν, ὡς διὰ πάσης ἐληλυθυῖαν καθάρσεως, καὶ τῆς ἱερᾶς τῶν φανοτάτων τελετῶν ἐποψίας καὶ κοινωνίας ὡς θεμιτὸν ἠξιωμένην.

Ἡ δὲ τῶν τελουμένων ἁπασῶν ὑψηλοτέρα τάξις, ἡ τῶν Μοναχῶν ἐστιν ἱερὰ διακόσμησις, πᾶσαν μὲν ἀποκεκαθαρμένην κάθαρσιν, ὁλικῇ δυνάμει καὶ παντελεῖ τῶν οἰκείων ἐνεργειῶν ἁγνότητι, πάσης δὲ, ὅσης θεμιτὸν αὐτῇ, θεωρεῖν ἱερουργίας, ἐν νοερᾷ θεωρίᾳ καὶ κοινωνίᾳ γεγενημένη, καὶ ταῖς τῶν Ἱεραρχῶν τελειωτικαῖς δυνάμεσιν ἐγχειριζομένη, καὶ ταῖς ἐνθέοις αὐτῶν ἐλλάμψεσι καὶ ἱεραρχικαῖς παραδόσεσιν ἐκδιδασκομένη τὰς ἐποπτευθείσας τῶν κατ' αὐτὴν ἱερῶν τελετῶν ἱερουργίας, καὶ πρὸς τῆς ἱερᾶς αὐτῶν ἐπιστήμης ἀναλόγως εἰς τελειοτάτην ἀναγομένη τελείωσιν. Ἔνθεν οἱ θεῖοι καθηγεμόνες ἡμῶν ἐπωνυμιῶν αὐτοὺς ἱερῶν ἠξίωσαν, οἱ μὲν Θεραπευτὰς, οἱ δὲ Μοναχοὺς ὀνομάζοντες, ἐκ τῆς τοῦ

Θεοῦ

TEXTVS S. DIONYSII.

Θεοῦ καθαρᾶς ὑπηρεσίας καὶ θεραπείας, καὶ τῆς ἀμερίστου καὶ ἑνιαίας ζωῆς, ὡς ἑνοποιούσης αὐτοὺς ἐν ταῖς τῶν διαιρετῶν ἱεραῖς συμπτύξεσιν, εἰς θεοειδῆ μονάδα καὶ φιλόθεον τελείωσιν· διὸ καὶ τελεστικὴν αὐτοῖς ἐδωρήσατο χάριν ἡ ἱερὰ θεσμοθεσία, καί τινος αὐτοὺς ἠξίωσεν ἀφιερωτικῆς ἐπικλήσεως, οὐχ ἱεραρχικῆς, ἐκείνη γὰρ ἐπὶ μόναις γίνεται ταῖς ἱερατικαῖς τάξεσιν, ἀλλ' ἱερουργικῆς ὑπὸ τῶν ὁσίων Ἱερέων τῇ ἱεραρχικῇ τελεσιουργίᾳ δευτέρως ἱερουργουμένης.

II. ΜΥΣΤΗΡΙΟΝ

Μοναχικῆς τελειώσεως.

Ὁ μὲν Ἱερεὺς ἕστηκεν ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου, τὴν Μοναχικὴν ἐπίκλησιν ἱερολογῶν· Ὁ δὲ τελούμενος, ὀπίσω τοῦ Ἱερέως ἕστηκεν, οὐκ ἄμφω τὼ πόδε κλίνων, οὐχ ἕνα τῶν ποδοῖν, οὐκ ἐπὶ κεφαλῆς ἔχων τὰ θεοπαράδοτα Λόγια, μόνον δὲ τῷ Ἱερεῖ παρεστὼς ἱερολογοῦντι τὴν ἐπ' αὐτῷ μυστικὴν ἐπίκλησιν. Τελέσας δὲ αὐτὴν ὁ Ἱερεὺς, ἐπὶ τὸν τελούμενον ἐλθὼν, ἐπερωτᾷ πρῶτον αὐτὸν, εἰ πάσαις ἀποτάσσεται ταῖς διαιρεταῖς, οὐ μόνον ζωαῖς, ἀλλὰ καὶ φαντασίαις. Εἶτα τὴν τελειοτάτην αὐτῷ ζωὴν ὑφηγεῖται, μαρτυρούμενος, ὅτι χρὴ τῆς μέσης αὐτὸν ὑπεραναβεβηκέναι. Ταῦτα δὲ πάντα τοῦ τελουμένου προσεχῶς ὁμολογήσαντος, τῷ σταυροειδεῖ τύπῳ σφραγισάμενος αὐτὸν ὁ Ἱερεὺς, ἀποκείρει, τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐπιβοήσας ὑπόστασιν, καὶ τὴν ἐσθῆτα πᾶσαν ἀπαμφιέσας, ἑτέραν ἀμφιέννυσι, καὶ μετὰ τῶν ἄλλων

mulatu atque cultu, tum ab indiuiduâ & singulari vitâ denominantes, quippe quæ sanctis rerum diuiduarum coniunctionibus ipsos ad deiformem quamdam vnitatem Deoque gratam perfectionem adducat: quâ de causâ quoq; Lex sancta perficientem eis gratiam indulsit, eisque consecrantem quamdam adhibet inuocationem, non quidem Pontificiam, ea enim in solis sacris Ordinibus adhibetur, sed consecratoriam aliquam, quæ à sanctis Sacerdotibus in Hierarchicâ initiatione secundo loco adhibetur.

II. MYSTERIVM

Monasticæ consecrationis.

Ritus consecrandi Monachos.

Sacerdos quidem stat ante altare, Monasticam sanctè recitans inuocationem; is autem qui consecratur stat post Sacerdotem, nec vtrumque neque etiam alterum genu flectit, nec supra caput habet Scripturas à Deo traditas, sed tantùm adstat Sacerdoti supra illum mysticam inuocationem prosequenti. Quâ finitâ, Sacerdos ad eum accedens, rogat ipsum primùm, an omnibus rebus diuiduis renuntiet, non solùm vitis, verùm etiam imaginationibus. Deinde exponit illi vitam perfectissimam, contestans illum debere mediam viuendi rationem superare. Quæ vbi omnia is qui initiatur continenter professus est, Sacerdos eum signo crucis consignatum tondet, tres personas diuinæ beatitudinis inuocando, omnique veste detractâ, eum aliâ induit, & cum aliis

TEXTVS S. DIONYSII.

viris ſanctis adſtantibus ipſum ſalutans, participem facit diuinorum myſteriorum.

III. CONTEMPLATIO.

§. 1. *Cur Monachi ſtantes conſecrentur.*

Quòd neutrum genu inflectat, neque capiti impoſitas habeat diuinitus traditas ſcripturas, ſed aſſiſtat Sacerdoti precationem recitanti, declarat, ordinis Monaſtici non eſſe, alios adducere, ſed penes ſemetipſum manentem in ſolitario ſacroque ſtatu Sacerdotales ordines ſequi, & ab iis, tamquam aſſeclam eorum, ad diuinam ſacrorum quę illum attingunt ſcientiam facilè traduci.

§. 2. *Quid renuntiatio eorum ſignificet.*

Porrò diuiſarum non ſolùm vitarum, verùm etiam cogitationum renuntiatio, perfectiſſimam illam Monachorũ philoſophiam declarat, quæ ex vnificorum mandatorum ſcientiâ conflatur. Eſt enim, vt dixi, non medij ordinis eorum qui initiati ſunt Baptiſmo, ſed celſioris omnibus ordinibus. Quamobrem multa ex iis, quæ à medio ordine ſine reprehenſione fiunt, Monachis iſtis ſingularibus omnino interdicta ſunt, quippe qui cum vno coniungi debeant, & & cum ſacrâ monade copulari, & ad Sacerdotalem, quantum fas eſt, vitam efformari, tamquam qui præ ceteris initiatis cum hoc ordine in plurimis conueniunt, maioremque affinitatem habent.

§. 3. *Quid Crucis ſignatio.*

Signum verò figuræ Crucis, vti dictum eſt, deſignat omnium carnalium deſideriorum priuationẽ. Tonſura porrò capillorum, vitam

ἱερῶν ἀνδρῶν ὅσοι πάρεισιν, ἀσπασάμενος, αὐτὸν κοινωνὸν ἀποτελεῖ τῶν θεαρχικῶν μυστηρίων.

III. ΘΕΩΡΙΑ.

Τὸ μηδένα τῶν ποδοῖν κλίνειν, μηδ᾽ ἐπὶ κεφαλῆς ἔχειν τὰ θεοπαράδοτα Λόγια, παρεστάναι δὲ τῷ Ἱερεῖ τὴν ἐπίκλησιν ἱερολογοῦντι, δηλοῖ, τὴν Μοναχικὴν τάξιν οὐκ εἶναι προσαγωγικὴν ἑτέρων, ἀλλ᾽ ἐφ᾽ ἑαυτῆς ἑστῶσαν ἐν μοναδικῇ καὶ ἱερᾷ στάσει, ταῖς ἱερατικαῖς ἑπομένην τάξεσι, καὶ πρὸς αὐτῶν ὡς ὀπαδὸν ἐπὶ τὴν θείαν τῶν κατ᾽ αὐτὴν ἱερῶν ἐπιστήμην εὐπειθῶς ἀναγομένην.

Ἡ δὲ τῶν μεριστῶν, οὐ μόνον ζωῶν, ἀλλὰ καὶ φαντασιῶν ἀποταγὴ, τὴν τελειοτάτην ἐμφαίνει τῶν Μοναχῶν φιλοσοφίαν, ἐν ἐπιστήμῃ τῶν ἑνοποιῶν ἐντολῶν ἐνεργουμένην. Ἔστι γὰρ, ὡς ἔφην, οὐ τῆς μέσης τῶν τελουμένων τάξεως, ἀλλὰ τῆς πασῶν ὑψηλοτέρας. Διὸ καὶ πολλὰ τῶν πρὸς τῆς μέσης τάξεως ἀκαταγνώστως ἐνεργουμένων, ἀπείρηται τρόπῳ παντὶ τοῖς ἑνιαίοις Μοναχοῖς, ὡς πρὸς τὸ ἓν αὐτῶν ὀφειλόντων ἑνοποιεῖσθαι, καὶ πρὸς ἱερὰν μονάδα συνάγεσθαι, καὶ πρὸς τὴν ἱερατικὴν, ὡς θεμιτὸν, ἀπομορφοῦσθαι ζωὴν, ὡς τὸ συγγενὲς αὐτῆς ἔχουσαν ἐν πολλοῖς, καὶ μᾶλλον αὐτῇ παρὰ τὰς λοιπὰς τῶν τελουμένων τάξεις πλησιάζουσαν.

Ἡ δὲ τοῦ σταυροειδοῦς τύπου σφραγὶς, ὡς ἤδη παρ᾽ ἡμῶν εἴρηται, δηλοῖ τὴν πασῶν ὁμοῦ τῶν σαρκικῶν ὀρέξεων ἀνενεργησίαν. Ἡ δὲ τῶν τριχῶν ἀπόκαρσις, ἐμ-

TEXTVS S. DIONYSII.

φαίνει τὴν καθαρὰν καὶ ἀσχημάτιστον ζωήν, οὐκ ἐπιπλάστοις σχήμασι τὸ κατὰ νοῦ δυσειδὲς ἐπιθέτως καλλωπίζουσαν, ἀλλ' αὐτὴν ἐφ' ἑαυτῆς οὐκ ἀνθρωπικοῖς κάλλεσιν, ἀλλ' ἑνιαίοις καὶ Μοναχοῖς εἰς τὸ θεοειδέστατον ἀναγομένην.

Ἡ δὲ τῆς προτέρας ἐσθῆτος ἀποβολή, καὶ ἡ τῆς ἑτέρας λῆψις, τὴν ἀπὸ μέσης ἱερᾶς ζωῆς ἐπὶ τὴν τελεωτέραν μετάταξιν ἐμφαίνει καθάπερ ἐπὶ τῆς ἱερᾶς θεογενεσίας, ἡ τῆς ἐσθῆτος ἄμειψις ἐδήλου τὴν ἀποκαθαιρομένης ζωῆς εἰς θεωρητικὴν καὶ φωτιστικὴν ἕξιν ἀναγωγήν. Εἰ δὲ καὶ νῦν ὁ Ἱερεύς τε καὶ πάντες ὅσοι πάρεισιν ἱεροί, τὸν τετελεσμένον ἀσπάζονται, τὴν ἱερὰν τῶν θεοειδῶν ἐννόησον κοινωνίαν, ἀγαπητικῶς ἐν εὐφροσύνῃ θείᾳ συνηδομένων ἀλλήλοις.

Ἐν τέλει δὲ πάντων ὁ Ἱερεὺς ἐπὶ τὴν θεαρχικὴν κοινωνίαν καλεῖ τὸν τελεσμένον, ἐμφαίνων ἱερῶς, ὡς ὁ τελεσθείς, εἴπερ ἀληθῶς ἐπὶ τὴν Μοναχικὴν ἀφίκοιτο καὶ ἑνιαίαν ἀναγωγήν, οὐ θεωρητικὸς μόνον ἔσται τῶν κατ' αὐτὸν ἱερῶν, οὐδὲ κατὰ μέσην τάξιν ἐπὶ τὴν κοινωνίαν ἥξει τῶν ἱερωτάτων συμβόλων, ἀλλὰ μετὰ θείας τῶν ὑπ' αὐτοῦ μετεχομένων ἱερῶν γνώσεως ἑτέρῳ τρόπῳ παρὰ τὸν ἱερὸν λαόν, ἐπὶ τὴν μετάληψιν ἥξει τῆς θεαρχικῆς κοινωνίας. Διὸ καὶ ταῖς ἱερατικαῖς τάξεσιν, ἐν ταῖς ἱεροτελεστικαῖς αὐτῶν ἁγιαστείαις, ἐν τέλει τῶν ἱερωτάτων αὐτῶν ἀφιερώσεων, ἡ τῆς ἁγιωτάτης Εὐχαριστίας

omnino indicat nullatenus fucatam, neque figuris fictis adſcititiíſve, quibus mentis deformitas tegatur, calamiſtratam, ſed per ſe ipſam non humanis ornamentis, ſed ſingularibus ac vnificis virtutibus ad diuinam penitus conformitatem euectam.

§. 4. *Quid prioris vestis depositio.*

Prioris autem veſtis detractio, & alterius aſſumptio, ſignificat à mediâ ſanctâ vitâ ad perfectiorem traductionem, ſicut in diuinâ illâ regeneratione veſtis immutatio declarabat expiatæ vitæ ad cõtemplandi & intelligendi ſtatum tranſmigrationem & euectionem. Quòd ſi modò quoque tam Sacerdos quàm adſtantes omnes viri ſancti initiatum conſalutent, ex hoc ſanctam intellige virorum Deiformium ſocietatem, amicè ſibi mutuò diuinâ cum lætitiâ congratulantium.

§. 5. *Quid ſacra Communio.*

Sub finem denique Sacerdos initiatum inuitat ad præcipuam illam Dei communionem, ſanctè per hoc indicãs, eum qui initiatus eſt, ſi verè ad Monaſticum illud ſingulare inſtitutum peruenerit, non ſolùm eorum quæ ad ipſum pertinent ſacrorum ſpectatorem fore, nec eâ dumtaxat ratione quâ medius ordo ad ſanctiſſimorũ Sacramentorum communionem acceſſurum; verùm etiam diuinâ illorum quæ percepit Sacramentorum cognitione fretum, alio modo quàm ſanctus populus ad diuinæ Communionis participationem promouendum. Hanc vtique ob cauſam, ſacris etiam Ordinibus, ſub finem eorumdem ſanctiſſimæ conſecrationis, diuiniſſimæ Euchariſtiæ Communio traditur

ditur

TEXTVS S. DIONYSII.

ditur à Pontifice qui illos consecrauit; non idcircò solùm, quòd diuinorũ perceptio mysteriorum sit summa quædã cuiuslibet Hierarchicæ participationis, verùm etiam, vt omnes sacri Ordines ipsius quod communicatur diuinissimi muneris, pro captu suo participes existant, ad suæ deificationis promotionem atque perfectionẽ. Conclusum igitur à nobis, quòd sanctæ quidem initiationes sint expiatio, & illuminatio, & perfectio; ministri verò sint ordinis expiatorij, Sacerdotes illustrantis, Pontifices deniq; deiformes consummantis. Ordo autem qui expiatur sacrorum aspectu atque communione frustratur, quòd adhuc expiationi vacet. Ordo autem cui sacrorum aspectus indulgetur, pius est populus. Ordo autem perfectus est singularium Monachorum. Ita enim Hierarchia nostra ordinibus à Deo traditis sanctè digesta, conformis est cælestibus Hierarchiis, dum deiformes notas signaque Deum exprimentia pro viribus conseruat.

§. 6. Sed obiicies, in cælestibus Hierarchiis non esse ordines qui expientur (nefas enim & falsum est dicere, cælestem quampiam distinctionem esse sceleri obnoxiam) ego verò, nisi à sanctissimâ prorsus mente aberrem, omnino affirmarim, cælestes essentias esse penitus immaculatas, atq; supramundiali modo omnem habere puritatem. Nam si quæ in vitium prolapsa sit, continuò etiam à cælesti illâ purissimaq; diuinarum men-

Quænam sint cælestibus ordinibus expiationes.

κοινωνία μεταδίδοται πρὸς τοῦ τελέσαντος αὐτὰς Ἱεράρχου· οὐ μόνον ὅτι τῶν θεαρχικῶν μυστηρίων ἡ μετάληψις, ἑκάστης ἱεραρχικῆς μεθέξεώς ἐστι τὸ κεφάλαιον, ἀλλ' ὅτι καὶ αὐτῆς τῆς κοινωνικῆς καὶ θεοτάτης δωρεᾶς, ἀναλόγως αὐταῖς καθ' ἑκάστην αἱ ἱεραὶ πᾶσαι τάξεις μετέχουσι πρὸς τὴν οἰκείαν αὐτῶν τῆς θεώσεως ἀναγωγὴν καὶ τελείωσιν. Συνῆκται τοίνυν ἡμῖν, ὡς αἱ μὲν ἅγιαι τελεταὶ, κάθαρσίς εἰσι καὶ φωτισμὸς καὶ τελείωσις· οἱ δὲ λειτουργοὶ καθαρτικὴ τάξις, ἡ δὲ Ἱερεῖς φωτιστική· τελεστικὴ δὲ ἡ θεοειδεῖς Ἱεράρχαι. Καθαιρομένη δὲ τάξις, ἡ τῆς ἱερᾶς ἐποψίας καὶ Κοινωνίας ἀμέτοχος, ὡς ἔτι καθαιρομένη. Θεωρητικὴ δὲ τάξις, ὁ ἱερὸς λαός. Τετελεσμένη δὲ τάξις, ἡ τῶν ἑνιαίων Μοναχῶν. Οὕτω γὰρ ἡ καθ' ἡμᾶς Ἱεραρχία ταῖς θεοπαραδότοις τάξεσιν ἱερῶς διατεταγμένη, ταῖς οὐρανίαις Ἱεραρχίαις ὁμοειδής ἐστι, τοὺς θεομιμήτους αὐτῆς ὡς ἐν ἀνθρώποις ἀποσώζουσα, καὶ θεοειδεῖς χαρακτῆρας.

Ἀλλ' ἐρεῖς, ὅτι ταῖς οὐρανίαις Ἱεραρχίαις ἐλλείπουσι πάντως αἱ καθαιρόμεναι τάξεις (οὐ γὰρ θεμιτὸν, οὐδὲ ἀληθὲς εἰπεῖν, ὡς ἔστι τις οὐρανία διακόσμησις ἐναγής·) ἐγὼ δὲ, ὅτι μὲν ἀλώβητοι παντελῶς εἰσὶ, καὶ τὸ πάναγνον ὑπερκοσμίως ἔχουσιν, ὁμολογήσαιμι πάντως, εἰ μὴ παντελῶς ἀποπέσοιμι τοῦ ἱερωτάτου νοός. Εἰ γάρ τις αὐτῶν ὑπὸ κακίας ἑάλω, τῆς μὲν οὐρανίας καὶ ἀμιγοῦς ἀποπεπτώκει τῶν θείων

νοῶν

νοῶν ἁρμονίας, εἰς τὴν ἀλαμπῆ δὲ τῶν ἀποστατικῶν πληθύων ἐφέρετο πτῶσιν. Ἀλλ' ἔστιν εἰπεῖν ἱερῶς ἐπὶ τῆς οὐρανίας Ἱεραρχίας, ὅτι κάθαρσίς ἐστι ταῖς ὑφειμέναις οὐσίαις ἡ παρὰ Θεοῦ τῶν τέως ἀγνοουμένων ἔλλαμψις, ἐπὶ τελεωτέραν αὐτὰς ἐπιστήμην ἄγουσα τῶν θεαρχικῶν γνώσεων, καὶ τῆς ἀγνοίας ὧν οὔπω τὴν ἐπιστήμην εἶχον, οἷον ἀποκαθαίρουσα, διὰ τῶν πρώτων καὶ θειοτέρων οὐσιῶν ἀναγομένας, εἰς τὰς ὑπερτέρας τῶν θεοπτιῶν καὶ φανοτέρας μαρμαρυγάς· οὕτω καὶ φωτιζόμεναι τάξεις εἰσὶ καὶ τελούμεναι, καὶ καθαρτικαὶ, καὶ φωτιστικαὶ, καὶ τελεστικαὶ κατὰ τὴν οὐρανίαν Ἱεραρχίαν, ὡς τῶν ὑπερτάτων καὶ θειοτέρων οὐσιῶν, τὰς ὑφειμένας ἱερὰς καὶ οὐρανίας διακοσμήσεις, ἀγνοίας μὲν ἁπάσης ἀποκαθαιρουσῶν, (ἐν τάξεσι καὶ ἀναλογίαις τῶν οὐρανίων ἱεραρχιῶν) πληρουσῶν δὲ αὐτὰς τῶν θειοτάτων ἐλλάμψεων, καὶ τελειουσῶν ἐν τῇ παναγεστάτῃ τῶν θεαρχικῶν νοήσεων ἐπιστήμῃ. Καὶ γὰρ ἤδη πρὸς ἡμῶν εἴρηται, καὶ τοῖς Λογίοις θειωδῶς διηγόρευται, τὸ μὴ ταὐτὰς εἶναι πάσας τὰς οὐρανίας διακοσμήσεις, ἐν πάσαις ταῖς ἱεραῖς τῶν θεοπτικῶν ἐλλάμψεων ἐπιστήμαις· ἀλλ' ἐκ Θεοῦ μὲν ἀμέσως τὰς πρώτας, δι' ἐκείνων δὲ πάλιν ἐκ Θεοῦ τὰς ὑφειμένας, ἀναλόγως αὐταῖς ἐλλάμπεσθαι τὰς φανοτάτας τῆς θεαρχικῆς ἀκτῖνος αὐγάς.

tium harmoniâ defecit, & ad obſcuram apoſtaticæ turbæ ruinam pertinet. Sanctè tamen etiam fateri liceat, in cæleſti Hierarchiâ, rerum, quas hactenus ignorarunt, illuſtrationem inferioribus naturis eſſe quamdam velut expiationẽ, quâ & ad perfectiorem rerum diuinarum ſcientiam adducuntur, & à rerũ, quarum hactenus ſcientiâ caruerunt, ignoratione quodammodò purgantur, dum à primis & diuinioribus eſſentiis ad ſublimiores clarioreſque diuinarum cõtemplationum illuſtrationes promouentur: atque ita in cæleſti Hierarchiâ etiam ordines ſunt qui illuſtrantur & qui perficiuntur, ſicut qui purgant, & qui illuſtrant, & qui perficiunt; ſic vt naturæ, quæ ſupremæ ac ceteris diuiniores, ſubordinatas ſibi ſacras ac cæleſtes adornationes ab omni quidem ignoratione (modis ſcilicet cæleſtibus iſtis Hierarchiis accommodatis) purgent, impleant verò ipſas diuiniſſimis illuſtrationibus, perficiantque liquidiſſimâ diuinarum intelligentiarum ſcientiâ. Etenim iam à nobis dictũ eſt, & ab Eloquiis diuinis pronuntiatum, non eaſdem eſſe omnes cæleſtes deſcriptiones, neque pares in omnibus iſtis ſacris diuinarum illuſtrationum ſcientiis, ſed ex Deo quidem immediatè primas, per illas autem rurſum ex Deo inferiores, pro ipſarum modulo & captu lucidiſſimis diuini radij ſplendoribus illuminari.

ANNOTATIONES CORDERII.

Qui sint expiandi.

PARTE primâ, §. 1. *Dicimus igitur ordines illos qui expiatur*, &c. Nota, Catechumenos, peccatores, energumenos, & pœnitentes, vti suprà Cap. 3. declaratum est, à sacris arceri, donec à Diaconis sufficienter fuerint expiati. Nam (vti ex hoc loco Dionysij docet S. Thomas 3. Parte, quæst. 64. art. 1. ad 1. & quæst. 67. art. 1.) ad Diaconos pertinebat munus expiandi, id est, eijcere immundos, & fideles disponere per admonitiones vt à Sacerdotibus deinde illuminentur, ac dignè Sacramenta suscipiant.

Laicorum ordo.

§. 2. *Medius autem ordo*, &c.] Intelligit ordinem laicorum, qui Baptismo tātùm initiati sunt: hi enim medij sunt inter Catechumenos qui purgantur ad Baptismum, & inter communicantes qui perficiuntur. Hunc autem ordinem plebis sanctæ vocat & contemplatiuæ; quia nimirum ad contuitum diuinorum symbolorum admittitur, cùm sit ad illuminandum Sacerdotibus commissus, vt fiat aliquarum intelligentiarum pro captu suo & dignitate particeps, quod etiamnum per Sacerdotes in concionibus & Catholicis institutionibus fit, quæ non debent nimis esse sublimes, sed ad piæ plebis captum accommodatę, vti hîc S. Dionysius commendat. Neque enim omnia plebi propalanda sunt, cùm nec Moyses neque Septuaginta illi arcanæ Legis intelligentiæ periti, illam secretam Legis intelligentiam in vulgus profuderint.

Alta mysteria laicis non reuelanda.

Ordo Monachorum.

§. 3. *Summus verò eorum omnium qui perficiuntur est ordo sacer Monachorũ.*] Nota, S. Dionysium, cùm dicit, ordinem Monachorum esse celsiorem omnibus ordinibus, eumdem non conferre cum Diaconis, qui primi purgant; neque cum Presbyteris, qui secundi & medij illuminant, & multò minùs cum Episcopis, qui tertij & summi perficiunt, sed cum ordinibus eorum qui adhuc purgantur, ex quibus primi sunt Catechumeni, qui purgantur ad Baptismũ per Catechesin; secundi, qui sunt in peccato, qui purgantur per doctrinam Scripturæ sanctæ, vt recedant à peccato; tertij sunt energumeni, qui purgantur exorcismis, vt resistant fortiter diabolo & terroribus eius; quarti sunt publici pœnitētes, qui purgantur, vt non reuertantur ad peccatum. His omnibus ordinibus, quin & laicis iis qui Sacerdotum doctrinis illuminantur, & Sacramentorum participatione perficiuntur, perfectior est ordo Monachorum; quia vt Monachi sunt, ratione instituti monastici mortui sunt mundo, & *carnem suam cum vitiis & concupiscentiis crucifixerunt*: vnde tamquam laicis perfectiores digniorem quoque in Ecclesiâ locum tenent, scilicet prope ianuas templi, loco proximo post eos qui sunt ordinis Ecclesiastici, vti sanctus Dionysius infrà in Epistolâ ad Demophilum Monachum scribit. *Galat. 5. 24.*

Monachi quibus nominibus vocentur.

Ibidem. *Alij quidem Therapeutas seu cultores, alij verò Monachos*, &c.] Notandum, vitæ Monasticæ professores siue cultores, à Græcis Patribus quinque potissimùm nominibus appellari solitos, scilicet Μοναχοὺς, θεραπευτὰς, ἀσκητὰς, ἱκέτας, φιλοσόφους, id est Monachos, cultores Dei vel animæ suæ, pugiles seu exercitatores (quâ voce Basilius vtitur, & Sermones suos de rebus Monasticis appellat Asceticos) supplices (scilicet à præcipuo munere eorum, quod est Deum exorare) Philosophos: ita eos appellat S. Chrysostomus & Nilus, qui rationem dat, eò quòd illos deceat contemnere res temporales, & sapientiæ totos se dedere.

Quot sint genera eorum.

Isidorus lib. Etymo. 7. cap. 13. & lib. 2. de Offic. Eccles. cap. de Monachis, tria eorum genera constituit, Eremitarum nempe, Anachoretarum & Cœnobitarum: at enim, si Græca nomina consideremus, eosdem prorsus Eremitas esse atque Anachoretas comperiemus; vnde Isidorus tria genera Monachorum nomine potiùs, quàm reipsâ & vitæ instituto, distinguit. Propterea Cassianus Collat. 18. cap. 4. duo tantùm genera bonorum Monachorum, videlicet Cœnobitarum & Anachoretarum, discernit. Eremita enim vocatur, qui in desertis & solitudinibus habitans solitariè viuit; Anachoreta verò, qui in solitudinē aliúmve desertum locum disiunctum ac remotum ab hominibus viuendi causâ secedit. Quare duo tantùm Monachorum genera constituenda sunt, nempe Eremitarum, qui & ijdem propemodum sunt qui Anachoretæ, & Cœnobitarum. Eremitæ igitur sunt (vti diximus) qui solitariè viuunt in montibus, agris, aliísve locis desertis; Cœnobitæ verò, qui in vnum locum seu Conuentum aggregati & coniuncti communiter viuunt, à communi quam profitentur vitâ sic appellati.

Eremita. *Anachoreta.* *Cœnobitæ.*

Porrò Monachi vocabulum licet primâ suâ notione solitarium designet, proindeq; idem sit Monachus qui Eremita vel Anachoreta, vsu tamen & consuetudine latiùs vsurpari cœpit, ita vt sit commune Eremitarum

tarum & Cœnobitarum. Nomen autem hoc deriuat hîc Dionysius à vitâ indiuisibili & singulari, quâ in deiformem monadem colliguntur: vnde Monachi nomen propriè conuenit illis qui vitæ contemplatiuæ dediti sunt. Alij enim Religiosi qui in populo versantur, & Episcoporum Pastorumque coopitulatores sunt in concionibus & Sacramentorum administratione, quales sunt ij quos Mendicantes dicimus, & Præmonstratenses, non Monachi, sed Regulares, à certâ viuendi normâ nuncupantur.

Antiquitas Monastici ordinis. Parte secundâ describit ritum Monasticæ consecrationis: vnde patet iam inde à temporibus Apostolorum, quorum discipulus & coætaneus fuit Dionysius, statum illum in Ecclesiâ primitiuâ fuisse celebratum, & non quarto demum post Christum natum sæculo, quod hæretici contendunt, exordia sumpsisse, & partim casu, vt aiunt, partim errore & prauâ imitatione cœpisse; quin potiùs ab ipsomet Christo Domino, inter alia salutis monita, eam viuendi formulam suggestam esse, quâ homines faciliùs ad vitam æternam deuenirent. Nam adolescenti interroganti quid faciendo vitam æternam consequeretur, postquam præceptorum obseruantiam ad id necessariam dixisset, & de eorumdem custodiâ alter non laboraret, vt qui omnia à iuuentute seruauerat, addit: *Si vis perfectus esse, vade, vende quæ habes, & da pauperibus*, &c. (Matt. 19, 21) Equibus verbis, iuxta B. Augustinum, perfectio Christianæ Religionis addiscitur. Hinc tempore Apostolorum cœpit Religio multitudine credentium propagari: ipsorum enim *erat cor vnum, & anima vna: nec quisquam eorum, quæ poßidebat, aliquid suum eße dicebat, sed erant illis omnia communia.* (Act. 4, 32.) *Quotquot enim poßeßores agrorum aut domorum erant, vendëtes afferebant pretia eorum quæ vendebant, & ponebant ante pedes Apostolorum.* Et ne quis obstrepat, nullam hîc promissionem aut votum interuenisse, contrarium suadet obiurgatio S. Petri facta Ananiæ & Sapphiræ, quòd defraudassent de pretio agri venditi, dicebat enim: *Cur tentauit satanas cor tuum, mentiri te Spiritui sancto, & fraudare de pretio agri? Non es mentitus hominibus, sed Deo.* (Act. 5, 3.) statimque de vtroque mortis supplicium sumptum est. Quod certè neque dixisset Petrus, neque tam horribili pœnâ eos afflixisset Deus, nisi interposita fuisset obligatio. Rectè igitur de illo sæculo Hieronymus ad locum citatum ait: Talis primùm credẽtium fuit Ecclesia, quales nunc Monachos esse videmus. Satis igitur verisimile est, temporibus Apostolorum Monasteria extitisse: nam legimus de S. Matthæo, quòd in Æthiopiâ Regis filiam; de S. Paulo, quòd Theclam in Græciâ; de S. Clemente, quòd Domitillam cum pluribus aliis Deo consecrarunt. S. Martham quoque scimus in Galliâ Monasteria erexisse; S. Marcum insignia Clericorum collegia Alexandriæ instituisse; aliosque Apostolorum successores alibi: prout luculenter idem describunt, vnà cum cærimoniis ac ritibus personarum locorumque consecrationi adhiberi solitis, præter Dionysium, Philo Iudæus, Eusebius, Ruffinus, & alij, quos Suarez in Tractatu de Religione, Azor, Medina, Platus citant. Plura qui volet de statu Religioso, videat apud S. Thomam 2. secundæ quæstione 186. & eiusdem Commentatores.

SCHOLIA S. MAXIMI.



ΤΡΙΑΔΑ τῶν τελουμένων.] Ὅτι τρεῖς αἱ τελούμεναι τάξεις.

Λέγομεν τοίνυν.] Τίνες οἱ καθαιρόμενοι, καὶ πῶς.

Ἀποδιαστελλόμεναι πληθύες.] Τουτέστιν οἱ κατηχούμενοι, οἱ ἐν μετανοίᾳ, καὶ ἐνοχλούμενοι. Διαφορὰν δὲ εἰσηγεῖται τὴν ἐν μετανοίᾳ ἐν τοῖς ἑξῆς.

Τῆς δὲ, ὡς.] Τῶν ἐν μετανοίᾳ μετὰ τὸ βάπτισμα ἁμαρτανόντων.

Τῆς δὲ, ὡς ἔτι.] Τῶν χειμαζομένων καὶ ἐνεργουμένων.

Τῆς δὲ, ὡς ἔτι περός.] Τῶν ἀπὸ αἱρέσεων, ἢ ἀσελγειῶν.



TRIPLEX GENVS INITIANDORVM.] Tres Ordines esse qui initiantur. I.

DICIMVS IGITVR.] Quinam expientur, & quomodo. §. I.

TVRBAS ILLAS QVÆ SEGREGANTVR.] Id est Catechumeni, pœnitentes, & dæmoniaci. Porrò differentiam pœnitentium explicat in sequentibus.

ALIVS QVIDEM QVOD.] De iis qui post Baptisma peccarunt.

ALIVS VERO QVOD ETIAMNVM.] De iis qui à dæmone vexantur, & afflantur.

ALIVS AVTEM QVOD.] De hæreticis vel libidinosis.

SCHOLIA S. MAXIMI.

ALIVS QVOD IAM TRADVCTVS.] De iis qui necdum perfectè conuersi sunt à libidine ad sanctitatem, vel de Catechumenis.

§. 2. MEDIVS AVTEM ORDO.] Fidelis populus.

EXPIATVS AB OMNI.] De vniuersâ populi expiatione.

Ordines qui expiantur diuiduntur

in eos qui è templis eiiciuntur,	in fidelem populum,	in Monachos seu cultores.

Quæ sit plebs sancta. SANCTÆ PLEBIS.] Nota, ipsum medium ordinem vocare plebem suam, siue illos qui in ordine laico integritatem & innocentiam conseruant; Monachos autem, seu cultores, omnium supremum ordinem appellare.

MONACHORVM.] Termini status Monastici.

§. 3. ALII QVIDEM THERAPEVTAS.] Cur Monachi Therapeutæ dicti sint.

ET SINGVLARI.] Quid indiuidua singularisque vita.

SANCTIS RERVM DIVIDVARVM.] Diuidua vocat sæcularia.

DEIFORMEM VNITATEM.] Quomodo consecretur Monachus, & cur propriam consecrationem & inuocationem & statum habeat.

II. SACERDOS QVIDEM.] Nota quoniam dicat Sacerdos & non Pontifex: & vt, iuxta Patris huius sententiam, non Episcopus, sed solus presbyter Monachi habitum conferre debeat.

DIVIDVIS.] Temporalibus & multùm distrahentibus, vt mercimoniis aliisque contractibus. *Imaginationibus*, id est mentis cupiditatibus, & perturbationum imaginibus.

DETONDET.] Quomodo Monachus tondeatur.

TRIPLICEM.] Nota triplicem subsistentiam.

III. §. 1. ORDINEM MONASTICVM.] Vnde Monachus dicatur, & quis sit status atque institutum Monachorum.

§. 2. RENVNTIATIO.] Quænam sit renuntiatio.

Errores & insana libidines Lampetianorum, &c. QVAMOBREM MVLTA.] Nota contra Lampetianos siue Messalianos aut Adelphianos, vel, quod idem valet, Marcianistas, qui vbi triennium solum se strenuè exer-

Τῆς δὲ, ὡς μεταχθείσης.] Τῶν μὴ τελείως ἐξ ἀσεβείας ἐπιστρεψάντων εἰς ἁγιασμὸν, ἢ τῶν κατηχουμένων.

Μέση δὲ τάξις.] Ὁ πιστὸς λαός.

Ἡ καθαρθεῖσα πάσης.] Τὴν πᾶσαν κάθαρσιν τοῦ λαοῦ.

Αἱ καθαιρόμεναι τάξεις διαιροῦνται

εἰς τοὺς ἐκβαλλομένους τῶν ἱερῶν,	εἰς τὸν πιστὸν λαὸν,	εἰς Μοναχοὺς, ἤτοι θεραπευτάς.

Τὴν τοῦ ἱεροῦ λαοῦ.] Σημείωσαι, ὅτι μέσην τάξιν, τὸν ἱερὸν λαὸν ἀποκαλεῖ, ἤγουν τοὺς ἐν λαϊκῷ τάγματι τὸ ὁλόκληρον ἤτοι τὸ ἀνεπιτίμητον ἔχοντας· τοὺς δὲ Μοναχοὺς, ἤτοι τοὺς θεραπευτὰς, τὴν πασῶν ὑψηλοτέραν.

Ἡ τῶν Μοναχῶν.] Μέτρα Μοναχικῆς καταστάσεως.

Οἱ μὲν θεραπευτάς.] Διὰ τί οἱ Μοναχοὶ θεραπευταὶ ἐκλήθησαν.

Καὶ ἑνιαίας.] Τί ἀμέριστος καὶ ἑνιαία ζωή.

Τῶν διαιρετῶν ἱεραῖς.] Διαιρετά φησι, τὰ βιωτικά.

Θεοειδῆ μονάδα.] Πῶς τελειοῦται ὁ Μονάζων, καὶ διὰ τί ἰδικὴν τελείωσιν καὶ ἐπίκλησιν καὶ κατάστασιν ἔχει ὁ Μοναχός.

Ὁ μὲν Ἱερεύς.] Σημείωσαι, ὅτι Ὁ μὲν Ἱερεύς φησι, καὶ οὐχ Ὁ Ἱεράρχης· καὶ ὅτι, κατὰ τοῦτον τοῦ Πατρὸς τὸν λόγον, οὐ δεῖ σχῆμα Μοναχοῦ Ἐπίσκοπον διδόναι, ἀλλὰ μόνον Πρεσβύτερον.

Ταῖς διαιρεταῖς.] Ταῖς βιωτικαῖς καὶ πολυσχιδέσιν, οἷον ἐμπορίαις φημὶ, καὶ τοῖς ἄλλοις συναλλάγμασι. Φαντασίαις δὲ, τουτέστι ταῖς κατὰ διάνοιαν ἐπιθυμίαις, καὶ τῶν παθῶν ἀνατυπώσεσιν.

Ἀποκείρει.] Πῶς κείρεται ὁ Μοναχός.

Τὴν τριαστὴν.] Σημείωσαι δὲ τὴν τριαστὴν ὑπόστασιν.

Μοναχικὴν τάξιν.] Διὰ τί λέγεται Μοναχὸς, καὶ τίς ἡ μοναχικὴ κατάστασις καὶ ἐπιτήδευσις.

Ἀποταγή.] Τίς ἡ ἀποταγή.

Διὸ καὶ πολλά.] Σημείωσαι κατὰ Λαμπετιανῶν, ἤτοι Μεσσαλιανῶν ἢ Ἀδελφιανῶν, ταὐτὸν δὲ εἰπεῖν Μαρκιανιστῶν, οἵτινες τριετίαν μόνον ἄκρως ἀσκήσαντες, μετὰ ταῦτα

ἐπὶ

SCHOLIA S. MAXIMI.

ἐπὶ τοσοῦτον ἀδιαφοροῦσι τὸν λοιπὸν τῆς ἑαυτῶν ζωῆς χρόνον, ὡς πᾶσαν ἀτοπίαν πράττειν ἀδεῶς· μοιχείαις γὰρ, καὶ ἀσελγείαις, γαστριμαργίαις, καὶ ἀλληλογαμίαις, καὶ ἁπαξαπλῶς ἐν πάσαις ἀσωτίαις ἐγκαλινδούμενοι, τὰ τοιαῦτα πράττειν ἀπαθῶς περαιοῦνται, καὶ ἀναισθήτως, νοσοῦντες τὴν ἐμπάθειαν καὶ ἀναλγήτως ὑφ' ἑαυτῶν πάσχοντες, καὶ τῶν ἐν αὐτοῖς οἰκούντων δαιμόνων, ὥσπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ, ἀγάλλονται μᾶλλον καὶ οὐκ ἀνιῶνται.

Ἀπείρηται.] Σημείωσαι, ὅτι πολλὰ κωλύεται ὁ Μοναχὸς ποιεῖν, ὧν οἱ λαϊκοὶ τὴν ἐπιτροπὴν καὶ ἐξουσίαν ἔχουσιν, οἷον ὁ γάμος, καὶ τὸ στρατείαις ἢ ἐμπορείαις ὁμιλεῖν, καὶ ἑτέροις, ἐν οἷς ὁ λαϊκὸς οὐ κατακρίνεται.

Τριχῶν ἀπόκαρσις.] Τίς ἡ ἀπόκαρσις.

Ἡ δὲ τῆς προτέρας.] Τί τὸ μεταλλάσσειν τὴν ἐσθῆτα αὐτοῦ.

Καὶ πάντες.] Τί ὁ ἀσπασμός.

Ἐπὶ τὴν θεαρχικήν.] Τί τὸ εὐθὺς κοινωνεῖν.

Ἐπὶ τὴν μετάληψιν.] Διὰ τί οἱ χειροτονούμενοι εὐθέως κοινωνοῦσι.

Μεταδίδωται πρός.] Πάντες γὰρ ὁμοίως μετὰ τὴν χειροτονίαν τῶν θείων ἀξιοῦνται μυστηρίων, ὅπερ ἐμφαίνει τὴν πρὸς Θεὸν οἰκειότητά τε καὶ ἕνωσιν.

Τελεταὶ, κάθαρσις.] Τί αἱ τελεταὶ δηλοῦσι.

Τάξις.] Ἰδοὺ καὶ ἐνταῦθα σαφέστερον ἐδίδαξεν ὁ Πατὴρ, τίνες αἱ ὑπερβεβηκυῖαι τάξεις, ὧν ἀνωτέρω ἐμνήσθη.

Ἀλλ' ἐρεῖς ὅτι.] Ὅτι οὐκ ἔστιν ἐν οὐρανῷ καθαιρόμενος, καὶ περὶ Ἀγγέλων.

Ἔστι τις οὐρανία.] Σημείωσαι, ὅτι οὐδεμία λώβη τυγχάνει ἔν τινι τῶν οὐρανίων δυνάμεων, ὃ δοξάζει Ὠριγένης, καὶ οἱ τὰ τούτου φρονοῦντες, φάσκοντες ὅτι κατὰ τὴν ἀναλογίαν τῆς παραβάσεως ἕκαστον τῶν οὐρανίων ταγμάτων, τὴν τοιάνδε καὶ ὀνομασίαν καὶ τάξιν ἐκληρώσαντο, καὶ σώμασιν ἐνεδέθησαν λεπτοτέροις, εἰς παιδείαν τῆς ἑαυτῶν ἐπὶ τὸ χεῖρον παρατροπῆς. Ἀλλὰ πάναγνοι εἰσι δηλονότι καὶ ἀσώματοι νόες, ὡς ἐξ ἀρχῆς ἐκτίσθησαν. Ὅτι δὲ ἀσώματοί εἰσιν αἱ οὐράνιαι δυνάμεις, διαφόρως ἔγνως ἐν τοῖς ἔμπροσθεν. Ἄλλως· Ἀλλ' οὐδεὶς αὐτῶν τῶν οὐρα-

cuerunt, posteà per reliquum vitæ suæ tempus sibi adeò sunt dissimiles, vt absque verecundiâ quamlibet committant absurditatem: stupris enim & libidinibus, ingluuie mutuisque nuptiis, atque vno nomine omni lasciuiæ genere inuoluti, se istiusmodi absque vllo affectu inordinato prodigiosè patrare asserunt; cùm sensu spoliati istiusmodi laborent passione, & sine dolore, tum à se ipsis tum à dæmonibus qui in illis habitant, ista patiantur, phreneticorum instar potiùs gaudeant quàm doleant.

INTERDICTA SVNT.] Nota multa Monachis esse prohibita, quorum facultas & potestas laicis est; vt sunt, nuptias, militiam & commercia frequentare, & similia, quæ in laico non damnantur.

TONSVRA CAPILLORVM.] Quæ sit illa tonsura. §. 3.

PRIORIS AVTEM.] Quid sibi velit mutatio vestis eius. §. 4.

ET OMNES.] Quid salutatio.

AD PRÆCIPVAM ILLAM DEI.] Cur statim communicent. §. 5.

AD COMMVNIONEM.] Cur ij, qui ordinantur, statim communicent.

COMMVNIO TRADITVR.] Omnes enim eodem modo post ordinationem diuinis mysteriis reficiuntur, quod cum Deo familiaritatem vnionemque designat.

INITIATIONES, EXPIATIO.] Quid initiationes significent.

ORDO.] Ecce etiam hîc clariùs Pater docuit, qui sint superiores ordines, quorum suprà fecit mentionem.

SED OBIICIES.] Non esse in cælo qui expietur: & de Angelis. §. 6.

CÆLESTEM QVAMPIAM.] Nota, nullam esse labem in cælestibus Virtutibus, vt Origenes arbitratur cum sectatoribus suis, qui tradunt, quemlibet ex cælestibus ordinibus, iuxta proportionem præuaricationis suæ, talem vel talem denominationẽ atque ordinem sortitũ, & tenuioribus quibusdam corporibus alligatum esse in castigationem suæ ad malum peruersionis: verùm mentes sunt sanctissimæ & prorsus incorporeæ, quales à principio fuerant creatæ. Porrò cælestes illas virtutes incorporeas exsistere, præclarè in præcedentibus intellexisti. Aliter: Verùm nulla mens cælestis vmquam

Angelos esse puros & sanctos.

Origenistarum deliramenta refutantur.

SCHOLIA S. MAXIMI.

quam post lapsum dæmonũ peccato capta fuit; hoc enim neque ex diuinâ Scripturâ cognouimus, neque aliquis ex Patribus diuinâ sapientiâ claris id asseruit. Hic autem sanctus hoc ait per concessionem. ac si quis dicat, sanctissimos quidem eos esse & immaculatos, nec expiationis indigere. Verumtamen vt demus, in quopiam eorum labem aliquam extitisse, hoc ipso vtique ad contrarias virtutes proruebat; ita vt eodem modo reliquis sua salua constaret integritas, & similiter nullius egerent expiationis. Et hoc ita se habere, clarè docuit. Cùm enim obiectioni suam eamque veram sententiam opposuisset, subiunxit illud, *Nam si quæ*; pro, Quòd si quis etiam det aliquam peruersam esse, illa certè ex harum choro decidit, quod ego quidem, inquit, non dico, sed è diuerso, eas sanctissimas semper permanere, alioquin à supposito aberrarem. Ne quis igitur Origenistarum putet hunc sermonem suæ perfidiæ suffragari, dicens, semper lapsum, & reuocationem atq; immutationem mentium cælestium existere, vt Origenes libro 1. de Principiis in hunc modum tradit: Omnis igitur, vt arbitror, ratio docet, omne id quod rationis particeps existit, ab omni eo, quod rationale est, oriri posse. Et post pauca subiungit, dicens: Post finem omnium denuò fluxus & lapsus existit. Euagrius autem secundæ Centuriæ cap. 78. ait: Quilibet ordo cælestium Virtutum, vel totus ex inferioribus, vel totus ex superioribus, vel ex superioribus & inferioribus constat. Capite item 19. quintæ Centuriæ dicit hoc modo: Ex Angelico Archangelicoque ordine animalis ordo existit, ex animali autem dæmoniacus & humanus; ex humano autem rursus Angeli dæmonesque fiunt.

INFERIORIBVS.] Quænam sit cælestium expiatio & ordinatio. Aliter: Quòd cælestiũ virtutum expiatio fit ad perfectiorem cognitionem illustratio. Et nota, quòd proficiant in cognitione, & vt dæmones non dicat expiari, propter eos qui tradunt, ipsos in istâ, quam comminiscuntur, reformatione vnà cum sanctis salutem adepturos.

SIC ET QVI ILLVSTRANTVR.] Nota, quantum ad Angelos, quomodo illustrentur ac perficiantur.

νίων νόων μετὰ τὴν τῶν δαιμόνων ἀπόπτωσιν, ἑάλω ποτέ· τοῦτο γὰρ οὐδὲ παρὰ τῆς θείας Γραφῆς ἐγνώκαμεν, οὐδέ τις τῶν θεοσόφων εἴρηκε Πατέρων. Οὗτος δὲ ὁ ἅγιος κατὰ συγχώρησιν αὐτό φησιν, ὡς ἂν εἴποι τις, ὅτι πάναγνοι μέν εἰσι καὶ ἀλώβητοι, καὶ οὐ δέονται καθάρσεως. Πλὴν εἰ καὶ δοίημεν ἔν τινι λώβην γενέσθαι αὐτῶν τινα, πάντως εἰς τὰς ἐναντίας ἐχώρει δυνάμεις, ὥστε τὰς λοιπὰς τὸ ἀλώβητον ὡσαύτως ἔχειν, καὶ ὁμοίως μὴ δεῖσθαι καθάρσεως. Καὶ ὅτι τοῦτό ἐστι, σαφῶς ἔδειξεν. Εἰπὼν γὰρ πρὸς τὴν ἀντίθεσιν τὴν ἰδίαν γνώμην καὶ ἀληθῆ, ἐπήγαγε τό, Εἰ γάρ τις, ἀντὶ τοῦ, Εἰ δὲ καί τις δοίη τινὰ παραξαπῆναι, τοῦ χοροῦ τούτων ἐξέπεσεν, ὅπερ ἐγὼ οὐ λέγω, φησίν, ἀλλὰ τοὐναντίον, ὅτι πάναγνοι διαμένουσιν εἰσαεί, ἐπεὶ ἐκπέσοιμι τοῦ καθεστῶτος. Μὴ οὖν τις τῶν Ὠριγενείοις μυστῶν οἰέσθω τὸ παρὸν ῥητὸν συνηγορεῖν τῇ κακοπίστῳ αὐτοῦ δόξῃ, φάσκων, ὅτι ἀεὶ πτῶσις καὶ ἀνάκλισις καὶ μετάπτωσις τῶν οὐρανίων γίνεται νόων, ὡς φησὶν Ὠριγένης μὲν ἐν τῷ περὶ Ἀρχῶν πρώτῳ λόγῳ, οὕτως· Ὁ τοίνυν λόγος, οἶμαι, δείκνυσι πᾶς, πᾶν ὅ,τι ποτὲ λογικόν, ἀπὸ παντὸς οὑτινοσοῦν λογικοῦ δύνασθαι γενέσθαι. Καὶ μετὰ βραχέα ἐπάγει λέγων· Μετὰ τὸ ἐπὶ πᾶσι τέλος, πάλιν ἀπόρρευσις καὶ κατάπτωσις γίνεται. Εὐάγριος δὲ ἐν τῷ ἑβδομηκοστῷ ὀγδόῳ τῆς δευτέρας Ἑκατοντάδος κεφαλαίῳ, οὕτως φησίν· Ἕκαστον τάγμα τῶν οὐρανίων δυνάμεων, ἢ ὅλον ἐκ τῶν κάτω, ἢ ὅλον ἐκ τῶν ἄνω, ἢ ἐκ τῶν ἄνω καὶ ἐκ τῶν κάτω συνέστηκεν. Καὶ ἐν τῷ ιθ. τῆς ε. Ἑκατοντάδος, λέγει οὕτως· Ἐξ Ἀγγελικῆς καταστάσεως καὶ Ἀρχαγγελικῆς, ψυχικὴ κατάστασις γίνεται· ἐκ δὲ τῆς ψυχικῆς, δαιμονιώδης καὶ ἀνθρωπίνη· ἐκ δὲ τῆς ἀνθρωπίνης, Ἄγγελοι πάλιν καὶ δαίμονες γίνονται.

Ταῖς ὑφειμέναις.] Ποία ἐστὶν ἡ τῶν οὐρανίων κάθαρσις, καὶ διακόσμησις. Ἄλλως. Ὅτι κάθαρσις τῶν οὐρανίων δυνάμεών ἐστιν ἡ ἐπὶ τελεωτέραν γνῶσιν ἔλλαμψις. Καὶ σημείωσαι, ὅτι προκόπτουσιν ἐπὶ γνῶσιν, καὶ ὅτι δαίμονας οὐ λέγουσι καθαίρεσθαι, διὰ τοὺς φάσκοντας καὶ αὐτοὺς ἐν τῇ παρ' αὐτῶν μυθευομένῃ ἀποκαταστάσει, σώζεσθαι μετὰ τῶν ἁγίων.

Οὕτω καὶ φωτιζόμεναι.] Σημείωσαι τὰ περὶ τῶν Ἀγγέλων. πῶς φωτίζονται καὶ τελειοῦνται.

PARA-

PARAPHRASIS PACHYMERÆ.



ΜΕΛΛΩΝ εἰσβαλεῖν τῷ μυστηρίῳ τῆς μοναχικῆς τελειώσεως, ἐπεὶ καὶ οἱ Μοναχοὶ ἓν τάγμα τῶν τελουμένων ἐστὶν, ἀνακεφαλαιούμενος τὰς τῶν τελούντων τρεῖς τάξεις, τῶν Ἱεραρχῶν, τῶν Πρεσβυτέρων, τῶν Διακόνων, ὧν ἑκάστῃ ἀποκεκλήρωται ἡ προσήκουσα δύναμις καὶ ἐνέργεια, ἡ καθαρτική φημι, ἡ φωτιστική, καὶ ἡ τελειωτική· εἰ μὴ γὰρ δυνηθεῖεν, οὐκ ἂν ἐνεργήσειε. Λέγει καὶ περὶ τῶν τελουμένων τάξεων, αἵτινές εἰσι καθαιρόμεναι, φωτιζόμεναι, τελειούμεναι· τοιγαροῦν εἰσιν αἱ τῶν κατηχουμένων καὶ τῶν ἐνοχλουμένων, καὶ ἔτι τῶν ἐμπαθῶν, καὶ τῶν ἐν μετανοίᾳ πληθύες, ἔστι μὲν εἰπεῖν καὶ κατ' ἀριθμὸν τῶν ἁπλουστέρων, ἐπειδὴ ἐπὶ πλέον τὸ κακὸν, ἐπ' ἔλαττον δὲ τὸ ἀγαθόν ἐστι. Ἔστι δὲ καὶ κρειττόνως εἰπεῖν, ὅτι ἐπειδὴ τοὺς τῷ Θεῷ προσεγγίζοντας ὡς ἑνουμένους τῷ ἑνὶ ἑνοειδεῖς φησιν, εἰκότως οἱ τοῦ ἑνὸς ἀφιστάμενοι, πληθύες ῥηθεῖεν ἄν· καὶ ὅσῳ πορρώτερον, τοσοῦτόν γε πληθυνθήσονται· εἰ καὶ μὴ κατ' ἀριθμόν εἰσιν ἐκτεταμένοι, ἀλλ' ὀλίγοι τινὲς καὶ εὐαρίθμητοι. Διαιρῶν οὖν τὰς τῶν καθαιρομένων τάξεις, τοὺς μὲν κατηχουμένους λέγει μαιεύεσθαι παρὰ τῶν Διακόνων, καὶ μορφοῦσθαι εἰς ζωτικὴν τὴν διὰ τῆς κολυμβήθρας ἀπότεξιν· τοὺς δὲ ἐμπαθεῖς ἀνακαλεῖσθαι διὰ τῆς τῶν Δογίων ἀναγνώσεως· τοὺς δὲ ἐνοχλουμένους παρὰ τῶν ἐναντίων φόβων ἐπιρρώννυσθαι· τοὺς ἐν μετανοίᾳ ἐκ τῶν χειρόνων μετάγεσθαι, καὶ τοὺς μὴ παντελῶς καθαρθέντας λαμβάνειν τὸ πρὸς τὰ χείρονα ἀνεπίστροφον. Ὑποδιασταλτέον δὲ εἰς τὸ, Οὔπω δὲ, καὶ ἔξωθεν ἐκληπτέον τὸ, τελέως καθαρθείσης· οὕτω γὰρ τὸ τῆς ἐννοίας σωθήσεται.

Εἰπὼν δὲ περὶ τῶν καθαιρομένων τάξεων, ἃς παρὰ τῶν Διακόνων εἶπε μαιεύεσθαι, καὶ εἰς ὑποδοχὴν τοῦ φωτὸς εὐτρεπίζεσθαι, ἤδη διαλαμβάνει καὶ περὶ τῆς τῶν φωτιζομένων τάξεως, ἣν καὶ μέσην φησὶ, τῆς τε δηλαδὴ καθάρσεως καὶ τῆς τελειώσεως· καὶ θεωρητικὴν λέγει, ὡς ἠξιωμένην τῆς θείας θεωρίας καὶ ἐποψίας· λέγει δὲ τοὺς ἐν τῷ ἱερῷ λαῷ ὁλοκλήρους καὶ ἀνεπιτιμήτους· οὗτοι γὰρ ἀποκαθαρθέντες, τοῖς φωτίζουσιν ἐγχειρίζονται. Καὶ γάρ ἐστι δῆλον, ὡς ἡ καθαρθεῖσα τάξις πάσης κηλῖδος, καὶ τὴν τοῦ νοὸς κίνησιν ἀπὸ παντὸς πάθους διαφυλάξασα,



AGGRESSVRVS mysterium Monasticæ consecrationis, cùm etiam Monachi vnus ordo sint eorum qui consecrantur, tres illos sacros ordines recenset, scilicet Episcoporum, Sacerdotũ & Diaconorum, quorum cuilibet virtus conueniens & operatio est attributa, expiandi inquam, illuminandi, & perficiendi; nisi enim virtute præstarent, nil efficerent. Agit etiam de ordinibus qui consecrantur, vt sunt isti qui expiantur, illuminantur, perficiuntur; siquidem sunt etiam Catechumenorum, & obsessorũ, & impotentium & pœnitentium turbæ, sic enim eas liceat appellare, respectu numeri innoxiorũ, quoniam malum est frequentius, & bonum rarius. Vel potiùs dicendum, quòd cùm ad Deum accedentes, tamquam illi vni coniunctos, etiam vniformes vocet, meritò qui ab vno illo distant turbæ seu multitudines appellentur, quantoque magis distant, tantò magis multiplicentur; licet secundùm numerum non extendantur, sed pauci sint & numeratu faciles. Eorum itaque qui expiantur ordines distinguens, Catechumenos quidem ait foueri à Diaconis, & ad vitalem partum per lauacrum efformari; passionibus verò obnoxios reuocari ait per Oraculorum lectionem; eos verò qui contrariis pauoribus vexantur, confirmari; pœnitentes à malis reduci, & qui non omnino puri sunt hoc accipere, ne in deteriora relabantur. Subdistinguendum verò illud οὔπω δὲ, *sed nondum*, & subintelligendum, perfectè expiati; sic enim sensus magis integer erit. I. §. 1.

Locutus verò de ordinibus qui expiantur, quos à Diaconis foueri dixit, & ad luminis susceptionem præparari, modò agit de ordine illorum qui illuminantur, quem & medium appellat scilicet inter expiationem & perfectionem; & speculatiuum vocat, tamquam diuinâ contemplatione & aspectu dignũ habitum: intelligit autem eos, qui in sacro populo integri & irreprehensibiles existunt; hi enim expiati accedunt ad ea quæ illuminãt. Etenim manifestum est, ordinem illum omni iam maculâ expiatum, & mentis motum ab omni perturbatione cohibentem, ad con- §. 2.

PARAPHRASIS PACHYMERÆ.

templatiuum habitum adduci, atque ipsismet symbolis cùm contemplando tum participando communicare, & per anagogen ad diuinum eorumdem amorem subuolare. Quantum enim symbola explicātur, & quod arcanum est cernitur, tantumdem eorumdem particeps diuino quodam & arcano amore flagrat. Dixit de ordinibus qui expiantur & qui illuminantur, quandoquidem post hos sit ordo eorum qui perficiuntur. Multi autem modi sunt quibus perficiuntur: nam & in Baptismo aliqui perficiuntur, & in sacrorum mysteriorum participatione, & in sacrorum Ordinum susceptione, & in Monastico statu, qui sunt omnes sub ordine illorum qui perficiuntur.

§. 3. Cùm autem de aliis anteà egerit, modò tractat de Monasticâ consecratione, quam & sublimiorem vocat, non comparatione illorum Sacramentorum quæ sola consecratione perficiuntur; vbi enim esset virtus Baptismatis, vbi Sacerdotij eminens ille status, quòd hæc sublimior dicatur? Non itaque comparatione illorum qui solâ consecratione perficiuntur sublimior est, sed respectu ritus expiationis, & respectu ritus illustrationis, hæc est sublimior. Siquidem hæc tamquam medium, scilicet eorum qui illuminantur, ordinem transscendens, tres etiam in se proprietates continet, expiandi, illuminandi, & perficiendi, sicut est superiùs explicatum. Non dico respectu personarum consecratarum: nam qui Baptismate initiati sunt, medij sunt ordinis, & pars sacræ plebis; quibus etiam multa permittuntur, nempe nuptias celebrare, militare, huius vitæ negotia tractare. Qui verò Sacerdotio ornati sunt, nec ipsi quoque ab omnibus abstinere ac cessare debent: nam Sacerdotes alios perficiunt, & hâc ob causam multa agunt. Qui verò Monasticum institutum sectantur, omnino mortui esse debent, crucifigendo carnem cum passionibus & concupiscentiis, & viuendo solùm Deo & sibi ipsis: hæc enim est totalis expiatio & omnimoda puritas actionũ propriarum. Hoc vtique non dico, quasi viri sancti scopus eò non spectet; sed cùm aliud sit τελεῖσθαι, seu initiari, & aliud τελεῖσθαι, seu perfici ac consecrari (nam initiari est siue per expiationem siue per illuminationem, perfici verò

Quid proprium sit Monachorum.

ἐπὶ τὴν θεωρητικὴν ἕξιν ἀνάγεται, καὶ κοινωνεῖ τοῖς συμβόλοις ἐν θεωρίᾳ καὶ μετοχῇ αὐτῶν γινομένη, καὶ δι' ἀναγωγῆς ἀναπτεροῦται καθόσον ἔνι πρὸς τὸν θεῖον αὐτῶν ἔρωτα. Ὅσῳ γὰρ τὰ σύμβολα ἀναπτύσσονται, καὶ τὸ ἀπόκρυφον θεωρεῖται, τοσούτῳ ποθεῖ ὁ μετέχων κατά τινα θεῖον καὶ ἀπόρρητον ἔρωτα. Εἰπὼν περί τε τῶν καθαιρομένων, περί τε τῶν φωτιζομένων τάξεων, ἐπειδὴ μετὰ τούτους ἡ τῶν τελουμένων ἐστίν. Εἰσὶ δὲ κατὰ πολλοὺς τρόπους οἱ τελούμενοι· καὶ γὰρ καὶ οἱ τῷ Βαπτίσματι τελειούμενοι, καὶ οἱ τῶν θείων μυστηρίων μετέχοντες, καὶ οἱ ἱερωσύνην περιτιθέμενοι, καὶ οἱ Μοναχικῆς ἀξιούμενοι καταστάσεως, ἅπαντες ὑπὸ τὴν τάξιν τῶν τελουμένων εἰσίν.

Περὶ τῶν ἄλλων προδιαλαβών, νῦν περὶ τῆς Μοναχικῆς διέξεισι τελεσιουργίας, ἣν καὶ ὑψηλοτέραν φησὶν, οὐ πρὸς τὴν τῶν τοιούτων τελετῶν τῶν μόνως τελουμένων σύγκρισιν· ποῦ γὰρ ἡ τοῦ Βαπτίσματος δύναμις, ποῦ δὲ ἡ τῆς ἱερωσύνης ὑπερκειμένη κατάστασις, ὥστε κληθῆναι ταύτην ὑψηλοτέραν; Οὐ τοίνυν πρὸς σύγκρισιν τῶν μόνως τελειουμένων ὑψηλοτέρα αὕτη, ἀλλὰ πρός τε τὴν τῆς καθάρσεως τελετὴν, καὶ πρὸς τὴν τοῦ φωτισμοῦ τελετὴν, αὕτη ὑψηλοτέρα. Αὕτη γὰρ ὡς ὑπερβεβηκυῖα τὴν μέσην τάξιν, δηλαδὴ τὴν τῶν φωτιζομένων, καὶ τὰς τῶν τριῶν ἰδιότητας φέρει ἐν ἑαυτῇ, τὴν κάθαρσιν, τὸν φωτισμὸν, τὴν τελείωσιν, καθὼς κατωτέρω διέξεισιν. Οὐ λέγω ὅτι καὶ πρὸς τὴν τῶν τελουμένων προσώπων παράθεσιν· οἵ τε γὰρ τελούμενοι τῷ Βαπτίσματι τῆς μέσης εἰσὶ τάξεως, καὶ τῆς ἱερᾶς λαώδους μοίρας, οἷς δὴ καὶ πολλὰ ἐφεῖται, δηλονότι τὸ γάμοις ὁμιλεῖν, τὸ στρατεύεσθαι, τὸ πραγματείας τοῦ βίου μεταχειρίζεσθαι. Οἵ τε τῇ ἱερωσύνῃ κοσμούμενοι, οὐδ' αὐτοὶ πάμπαν τὸ ἐπὶ πᾶσιν ἀκίνητον ὀφείλουσιν ἔχειν καὶ ἀνενέργητον· τελειωτικοὶ γὰρ τῶν ἑτέρων οἱ Ἱερεῖς εἰσι, καὶ διὰ τοῦτο πολλὰ ἐνεργήσουσιν· Οἱ δὲ κατὰ τὴν Μοναχικὴν πολιτευόμενοι διαγωγὴν, νεκροὶ τὸ σύνολον ὀφείλουσιν εἶναι, ἐν τῷ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ ζῆν μόνως Θεῷ καὶ ἑαυτοῖς· τοῦτο γάρ ἐστιν ἡ ὁλικὴ κάθαρσις καὶ ἡ παντελὴς τῶν οἰκείων ἐνεργειῶν ἁγνότης. Οὐ λέγω γοῦν τοῦτο, ὅτι οὐδ' ὁ τοῦ ἁγίου σκοπὸς εἰς τοῦτο ῥέπει· ἀλλ' ἐπειδὴ ἄλλο ἐστὶ τὸ τελεῖσθαι, καὶ ἄλλο τὸ τελειοῦσθαι (τελεῖσθαι γάρ ἐστι καὶ κατὰ τὴν κάθαρσιν τελεῖσθαι, ἔστι καὶ κατὰ τὸν φωτισμὸν,

πισμὸν, τελειοῦσθαι δὲ κατὰ μόνην τὴν κυρίως τελείωσιν) προκρίνει τῶν ἁπλῶς τελουμένων, τῶν τε καθαιρομένων δηλαδὴ καὶ τῶν φωτιζομένων, τοὺς Μοναχούς· ὡς τελουμένους μὲν καὶ αὐτούς, ἀλλ' ὑπὲρ τὴν τῶν κατηχουμένων κάθαρσιν, καὶ ἔτι τῶν φωτιζομένων τάξιν, ἣν καὶ μέσην φησὶ τὴν τῶν λαϊκῶν δηλαδή. Τὸ δὲ τελεῖσθαι ὄνομα, ἐπεὶ καθολικώτερόν ἐστι τοῦ τελειοῦσθαι, πρὸς ὅπερ οὐκ ἔχομεν λόγον τὴν τῶν Μοναχῶν τελετὴν συγκρίνειν. Ἀλλ' ἐπειδὴ ἡ τῶν Μοναχῶν τάξις περιληπτική ἐστι καὶ τῆς καθάρσεως καὶ τοῦ φωτισμοῦ, διὰ τῆς παντελοῦς ἁγνότητος, τὴν κάθαρσιν ἔχειν ἐμφαίνεται, μεθ' ἣν καὶ τὸ τῶν φωτιζομένων ἴδιον ἐπικέκτηται· ἔτι δὲ καὶ τῶν τελουμένων ἐν πνεύματι, τῶν μὲν φωτιζομένων, ὅτι ἐν νοερᾷ θεωρίᾳ καὶ κοινωνίᾳ πάσης ὅσης θεμιτὸν ἱερουργίας γίνεται· τῶν δὲ τελειουμένων, ὅτι ἐγχειριζομένη ταῖς ἱεραρχικαῖς δυνάμεσι, καὶ παρὰ τούτων διακοσμουμένη, πρὸς τὴν τῆς ἱερᾶς ἐπιστήμης τελείωσιν, ἀναλόγως ἀνάγεται· ὥστε εἰκότως ἡ τοιαύτη πολιτεία τὸ ὑψηλὸν ἔχει, τὰς τρεῖς τῶν τελουμένων τάξεις ἐν ἑαυτῇ περιφέρουσα. Ἔνθεν οἱ θεῖοι καθηγεμόνες ἡμῶν, θείων ἐπωνυμιῶν αὐτοὺς κατηξίωσαν, οἱ μὲν θεραπευτάς, οἱ δὲ Μοναχοὺς ὀνομάσαντες. Θεραπευτὰς μέν, ὡς τὸ Θεῖον καθαρῶς θεραπεύοντας· Μοναχοὺς δέ, ὡς πρὸς ἀμέριστον καὶ ἑνιαίαν ζωὴν, καταντῶντας, ἥ τις δὴ ἑνιαία ζωὴ ἑνοποιοῦσα αὐτοὺς εἰς ἑνοειδῆ γνῶσιν· ταύτην γὰρ λέγει μονάδα (ἡ γὰρ γνῶσις ἑνιαία, ὡς ἡ ἄγνοια πλῆθος ἐσκεδασμένων εἰς πολλὰ καὶ διάφορα) ἑνοποιοῦσα δὲ πῶς, δηλονότι ἐν ταῖς ἱεραῖς τῶν διαιρετῶν συμπτύξεσι τελειοῖ. Διαιρετὰ δέ εἰσι, τὰ ἐνταῦθα σύμβολα, τὸ κουκούλιον, ὁ ἀνάλαβος, τὸ τρίχινον, τὸ μέλαν, καὶ τὰ τοιαῦτα, ὧν ἕκαστον ὑψηλὴν ἔχει καὶ ἑνιαίαν τὴν ἔννοιαν· τοῦτο γάρ ἐστι καὶ σύμπτυξις. Ἄλλοι δὲ διαιρετὰ τὰ βιωτικά φασι, καὶ σύμπτυξιν τὴν ἀπὸ τούτων τελείαν καὶ ὁλόκληρον ἀναχώρησιν. Διὰ τὴν τοιαύτην τελείωσιν ἠξιώθη ἡ τοιαύτη τάξις καὶ ἱερατικῆς τελετῆς, καὶ τῆς διὰ τῶν εὐχῶν ἐπικλήσεως· ὥστε μὴ μόνους ἀφ' ἑαυτῶν ἀμφιέννυσθαι τινὰς τὸ σχῆμα, ἀλλὰ χερσὶν ἱερατικαῖς καὶ θείᾳ ἐπικλήσει γίνεσθαι τὴν εἰς τοῦτο τελείωσιν, πλὴν χερσὶν οὐκ Ἀρχιερέων (τοῦτο

est per solam propriè dictam perfectionem) præfert Monachos illis qui simpliciter initiati sunt, expiatis scilicet & illuminatis; quoniam & ipsi initiati sunt præstantiore quàm Catechumeni expiatione, atque insuper illuminatorum ordinem præcedunt, quem & medium appellat, videlicet laicorum. Cùm verò nomen initiationis quid vniuersalius sit quàm nomen perfectionis, idcircò non ita rectè possumus cum eo conferre Monachorum consecrationem. Ceterùm quoniam Monachorum ordo, propter omnimodam sanctitatem, & expiationé & illuminationem complectitur, ostenditur habere expiationé, per quam etiam illuminatorum proprietatem obtinet, imò etiam eorum qui in spiritu perficiuntur; illuminatorum quidem, quoniam, quantum fas est, omnis actionis sacræ per spiritalem contemplationem & cômunionem particeps existit; perfectorum verò, quia virtutes Hierarchicas amplectens, iisdemque exornata, ad scientiæ sacræ perfectionem pro captu adducitur: ita vt iure merito istiusmodi viuendi institutum sublime quid habeat, cùm in se tres initiatorum ordines complectatur. Hinc diuini præceptores nostri diuinis nominibus eos honorarunt, alij quidem cultores, alij verò Monachos appellâdo. Cultores quidem, vt qui diuinum Numen sincerè colerent; Monachos verò, vt qui ad indiuiduam & singularem vitá aspirarent, quæ nimirum illos vnificet, & vniformem adferat cognitionem, hanc enim monadem vocat (scientia enim vnita est, sicut ignorantia est multitudo rerum in multa diuersaque distractarum) vnificat autem quodammodò, dum scilicet sacris rerum diuisarum collectionibus se perficit. Porrò diuisa hîc dicuntur symbola illa, vt sunt, cucullus, scapulare, cilicium, atra vestis, & similia, quorum quodlibet sublimem habet & singularé intelligentiam; atque hoc sibi vult vox illa σύμπτυξις, seu collectio. Alij verò diuisa vocât illa quæ ad hanc vitam spectant, & collectionem, perfectum & omnimodum ab his recessum. Propter istiusmodi perfectionem ordo iste Ecclesiasticâ quoque consecratione dignus est habitus, & precum inuocatione, ita vt non ipsi tantùm se habitu isto induant, sed manibus Sacerdotum, & inuocatione diuinâ istiusmodi consecratio celebretur, non tamen manibus Episcoporú (nam hoc in solis

Quibus nominibus Monachi vocentur.

PARAPHRASIS PACHYMERÆ.

solis sacris ordinationibus fit) sed manibus Sacerdotum, & secundâ post Ecclesiasticos Ordines consecratione. Itaque, secúdùm huius sancti Patris verba, non debet Episcopus dare habitũ Monasticum, sed solus Sacerdos.

II. MYSTERIVM.

Sacerdos, non Episcopus, stat ante diuinũ altare celebrans orationem; is autem qui consecratur stat post Sacerdotem, nec vtrumq;, vt Sacerdos, neque alterum, vt Diaconus, genu flectit, neque vt Episcopus diuinum ac sanctum Euangelium supra caput habet, sed tantùm adstat Sacerdoti supra ipsum mysticam inuocationem recitanti. Eâ verò finitâ, Sacerdos ad eum accedens rogat ipsum primùm, an omnibus rebus diuiduis & vitis variis renuntiet, scilicet mercaturis, negotiis, contractibus, & similibus; item omnibus phantasiis seu imaginationibus rerum similium, vt ne de iis quidem cogitare, sed, tamquam mortuus, ab iis omnibus penitus abstinere velit. Deinde docet Monastici instituti accurationem, contestans illum debere mediam viuendi rationem superare. Quæ vbi omnia is qui initiatur continenter professus est, Sacerdos eum, veluti iam à negotiorum multitudine liberum, signo crucis consignans tondet in nomine Patris, & Filij, & Spiritus sancti; & detractis vestimentis, nigrâ eum veste induit, & cum aliis viris sanctis adstantibus ipsum salutans, participem facit diuinæ communionis.

Ritus consecrandi Monachos.

III. CONTEMPLATIO.

§.1. Quandoquidem pedum inclinatio subditam significabat adductionem, siue per vnicam, expiationem; siue per duas, eam ipsam & illuminationem; innuebat verò quòd Deo subditi initiantes, ipsimet initiationis Principi Deo initiandum adducerent. Hîc autem, cùm à nemine adducatur, sed ipse per se à mediâ viuendi ratione ad sublimiorem ac præstantiorem, & à sacro statu ad sacrum statum transeat, vt hic Pater declarat, is qui initiatur neutrum genu flectit, quoniam in sacro solitarioque ordine consistit. Obserua etiam aliam Monastici ordinis definitioné, & quid sit μοναχικὸν ad μοναδικόν. Anteà enim dicebamus, quòd qui cùm à diuiduis, scilicet

Nomen Monachi vnde desumptum, & quid insinuet.

γὰρ ἐπὶ μόνων τῶν ἱερατικῶν γίνεται χειροτονιῶν) ἀλλὰ χερσὶν Ἱερέων, καὶ δευτέρα μετὰ τὴν ἱερατικὴν τελετήν. Ἐντεῦθεν δὲ σημειούμεθα, ὡς κατὰ τὸν τοῦ Πατρὸς λόγον, οὐ δεῖ σχῆμα Μοναχοῦ Ἐπίσκοπον διδόναι, ἀλλ' ἢ μόνον Πρεσβύτερον.

II. ΜΥΣΤΗΡΙΟΝ.

Ἕστηκε μὲν ὁ Ἱερεύς, οὐχ ὁ Ἀρχιερεύς, τοῦ θείου θυσιαστηρίου ἔμπροσθεν, ἱερολογῶν τὴν εὐχήν· ἕστηκε δὲ ὁ τελούμενος ὀπίσω τοῦ Ἱερέως, μήτε κατὰ τὸν Ἱερέα ἄμφω τὼ πόδε κλίνων, μήτε κατὰ τὸν Διάκονον θάτερον τῶν ποδῶν, μήτε μὴν κατὰ τὸν Ἀρχιερέα ἐπὶ κεφαλῆς ἔχων τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον· μόνον δὲ πλησίον τοῦ Ἱερέως ἵσταται ἱερολογοῦντος τὴν ἐπ' αὐτῷ εὐχήν. Ὁ μέντοι γε Ἱερεὺς τὴν εὐχὴν τελέσας, ἐπὶ τοῦτον ἐλθὼν, πρῶτον μὲν ἐπερωτᾷ εἰ ἀποτάσσεται πάσαις μὲν διαιρεταῖς καὶ ποικίλαις ζωαῖς, ἤγουν ἐμπορείαις, πραγματείαις, συναλλάγμασι, καὶ τοῖς ἄλλοις· πάσαις δὲ φαντασίαις, ὥστε μηδὲ φαντάζεσθαι ταῦτα, ἀλλ' ὡς νεκρὸν μένειν καὶ ἀνενέργητον ἐπὶ τούτοις ἅπασιν. Ἔπειτα διδάσκει τὴν τῆς μοναχικῆς πολιτείας ἀκρίβειαν, μαρτυρόμενος ὅτι χρὴ τοῦτον ὑπερανεστηκέναι κατὰ πολὺ τῆς μέσης τῶν λαϊκῶν τάξεως. Ταῦτα δὲ ἐκείνου ὁμολογήσαντος προσεχῶς, κατὰ τὸ ἀπολυπραγμόνητον ναί, τῷ σταυροειδεῖ τύπῳ σφραγισάμενος ἀποκείρει εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ ἀπαμφιάσας τὴν ἐσθῆτα μέλαιναν ἀμφιέννυσι, καὶ μετὰ τῶν ἄλλων ἱερῶν ἀνδρῶν ὅσοι πάρεισιν ἀσπασάμενος, τῆς θείας ποιεῖται κοινωνὸν μεταλήψεως.

III. ΘΕΩΡΙΑ.

Ἐπειδήπερ ἡ τῶν ποδῶν κλίσις τῶν ὑποκειμένων ἐδήλου προσαγωγήν, εἴτε διὰ μιᾶς τῆς καθάρσεως, εἴτε διὰ δυοῖν αὐτῆς τε καὶ τοῦ φωτισμοῦ· ἐδήλου δὲ, ὅτι Θεῷ ὑποκείμενοι οἱ τελοῦντες, αὐτῷ δὴ τῷ τελετάρχῃ Θεῷ προσαγάγουσι τὸν τελούμενον. Ἐνταῦθα, ἐπεὶ μὴ παρά τινος προσάγεται, ἀλλὰ παρ' ἑαυτοῦ ἀπὸ τῆς μέσης ζωῆς εἰς ὑψηλοτέραν ζωὴν καὶ κρείττονα, καὶ ἀπὸ ἱερᾶς εἰς ἱεράν, καθὼς ὁ Πατὴρ σαφηνίζει, οὐδέτερον κλίνει τοῖν ποδοῖν ὁ τελούμενος, ἵσταται γὰρ ἐν ἱερᾷ καὶ μοναδικῇ τάξει. Καὶ ὅρα καὶ ἄλλως ὁρισμὸν μοναδικῆς τάξεως, καὶ τί ἐστι τὸ μοναχικὸν πρὸς τὸ μοναδικόν. Πρώην γὰρ ἐλέγομεν, ὅτι ἐπεὶ ἀπὸ τῶν διαιρετῶν, δηλονότι τῶν βιω-

 PARAPHRASIS PACHYMERÆ.

τῶν βιωτικῶν ἐμπαθῶν, ἑνίζεται εἰς τινὰ σύμπτυξιν καὶ θεοειδῆ μονάδα, διὰ τοῦτο τὴν τοῦ Μοναχοῦ ὀνομασίαν ἐκληρώσατο· νῦν δὲ καὶ ἄλλως λέγομεν τοῦτο, ὅτι δηλαδὴ μόνος ὢν ἀφ' ἑαυτοῦ προσάγεται, καὶ ἀφ' ἑαυτοῦ μοναδικῶς ἵσταται ἑπομένως τῷ Ἱερεῖ ὡς ὀπαδὸς ἐπὶ τὴν τῶν ἱερῶν ἐπιστήμην εὐπειθῶς ἀγόμενος. Ὅθεν τὸ Μοναχικὸν ἐπὶ τῆς τάξεως λέγοιτο ἂν κυρίως, τὸ δὲ μοναδικὸν ἐπὶ τῆς στάσεως. Μοναδικὴ στάσις, ὅτι μόνος κατὰ μονάδα ἵσταται· Μοναχικὴ τάξις, ὅτι μοναχῶς καὶ ἑνοειδῶς, καὶ οὐ διχῶς, ἢ τριχῶς, ἢ πολλαχῶς πολιτεύεται. Τοῦτο γὰρ δηλοῖ καὶ τὸ ἀμφιεννύμενον μέλαν· τὰ μὲν γὰρ ἄλλα τῶν χρωμάτων εἰς ἕτερα μεταπίπτουσι ῥαδίως καὶ πάντα εἰς τὸ μέλαν, τὸ δὲ μέλαν οὐκ ἔστι μεταβληθῆναι εἰς ἕτερον χρῶμα πώποτε.

Ἡ δὲ ἀποταγὴ τῶν μεριστῶν καὶ κατὰ κόσμον ζωῶν, ἔτι δὲ καὶ φαντασιῶν, τὴν τελεωτάτην ἐμφαίνει φιλοσοφίαν· ἑνοποιεῖται γὰρ ταῖς ἑνιαίαις ἐντολαῖς τοῦ δεσπότου Χριστοῦ τῶν μεριστῶν ἀφιστάμενος. Οὐδὲ γὰρ τῆς μέσης τῶν τελουμένων ἐστὶ τάξεως, δηλονότι τῶν φωτιζομένων καὶ ἱερῶν λαϊκῶν· πολλὰ γὰρ κωλύεται ὁ Μοναχὸς ποιεῖν, ὧν οἱ λαϊκοὶ τὴν ἐπιτροπὴν καὶ τὴν ἐξουσίαν ἔχουσι· τὸ δὲ εἶναι, ὁ γάμος, καὶ τὸ στρατείαις καὶ ἐμπορείαις ὁμιλεῖν, καὶ ἑτέροις ἐν οἷς ὁ λαϊκὸς οὐ κατακρίνεται. Καὶ σημείωσαι τὸ ῥητὸν, ὅτι χρήσιμον κατὰ Λαμπετιανῶν, ἤτοι Μασαλιανῶν ἢ Ἀδελφιανῶν, ταὐτὸν δὲ εἰπεῖν, Μαρκιανιστῶν, οἵ τινες τριετίαν μόνην νομοθετοῦσι καὶ ὑπὲρ τὸ προσῆκον ἁγνίζεσθαι, καὶ μετὰ ταῦτα ἐφεμένην ἔχουσι πᾶσαν ἀσέλγειαν, ἀναισθήτως νοσοῦντες τὴν ἐμπάθειαν. Ἀλλ' οἱ Μοναχοὶ, πρὸς τοὺς ἄλλοις ὀφείλουσι πρὸς τὴν ἱερατικὴν ἀπομορφοῦσθαι ζωὴν, ὡς μᾶλλον αὐτῇ πλησιάζοντες παρὰ τὰς λοιπὰς τῶν τελουμένων τάξεις, καθὼς ἐλέγομεν ἔμπροσθεν, οὐ πρὸς τὰς τελετὰς τῶν ἄκρως τελουμένων, δηλονότι τῶν τελουμένων τῆς συγκρίσεως γινομένης, οὐ γὰρ εἶπε τῶν τελουμένων (τελειούμενοι γάρ εἰσιν, οἱ διὰ τοῦ Βαπτίσματος, οἱ διὰ τῆς χρίσεως, οἱ διὰ τῆς μεταλήψεως, οἱ διὰ τῆς χειροτονίας) ἀλλὰ τελουμένων, δηλαδὴ καθαιρομένων, διδασκομένων, φωτιζομένων. Ὥστε πᾶς τελειούμενος καὶ τελεῖται, οὐ μὴν δὲ πᾶς τελούμενος τελειοῦται.

Ἡ σταυροειδὴς δὲ πάλιν σφραγὶς, τὴν

sæcularibus perturbationibus, ad collectioně quamdam & deiformem vnitatem redigeretur, per hoc nomě Monachi sortiretur: nunc autem aliam quoque damus rationem, ex eo quòd solus per semetipsum adducatur, & per se Μοναδικῶς seu solitariè consistat post Sacerdotem, tamquam assecla qui ad sacrorum scientiam humiliter adspirat. Vnde τὸ Μοναχικὸν dicitur propriè de ordine, Μοναδικὸν verò de statu. Monadicus nimirum seu solitarius status dicitur, quia solus secundùm monadem consistit, Monachicus seu Monasticus ordo, quia simpliciter & vniformiter, & non dupliciter, vel tripliciter, vel multipliciter instituitur ac gubernatur. Hoc etiam illa vestis atra quæ circumponitur significat: siquidem colores alij in alios facilè mutantur, & omnes in nigrum, sed niger color in alium numquam mutari potest.

Diuisarum autem ac sæcularium vitarum atque insuper imaginationum renuntiatio perfectissimam declarat Philosophiam: quoniam à diuiduis recedens, vnicis illis Christi Domini mandatis vnificatur. Neque enim est medij ordinis initiatorum, scilicet illuminatorum & sacrorum laicorum: multa enim Monachi facere prohibentur, quorum facultas & potestas laicis est, vt sunt, nuptias, militiam & cõmercia frequentare, & similia quę in laico non damnãtur. Vbi nota dictum quoddã vtile contra Lampetianos siue Massalianos, aut Adelphianos, vel, quod idem valet, Marcianistas, qui trienniũ solum tribuunt competenti sanctificationi, ac posteà permissam existimant esse omnem lasciuiam, cùm sensu spoliati istiusmodi laborent passione. Verùm Monachi præ ceteris debent ad Sacerdotalem viuendi rationě efformari, quippe qui præ ceteris initiatis cum isto ordine maiorem habeant affinitatem, vti suprà diximus, nequaquam factã comparatione cum initiatis iis qui supremâ consecratione initiati sunt, id est perfectis (perfecti enim sunt qui per Baptismum, qui per Vnctionem, qui per Communionem, qui per Ordinationem sunt consummati) sed cum iis qui initiantur, id est qui expiantur, docentur, illuminantur. Quoniam omnis quidem qui perficitur initiatur, non omnis autẽ qui initiatur etiam perficitur.

Signum verò figuræ crucis designat cessa- §. 3.

Eee tionem

Margin notes: §. 2. — Quid proprium sit Monachorum.

PARAPHRASIS PACHYMERÆ.

Quid carimoniæ Monaſticæ conſecrationis inſinuant.

tionem carnalium deſideriorum; tonſura, vitam puram & minimè fucatam, à ſuperuacaneis enim expiatur, ita vt non liceat adſcititium comæ ornamentum aſſumere, ſed venuſtatem maximè deiformem, mentalem ſcilicet & vnitam.

§. 4. Veſtes inſinuant viuendi rationes: illa quidem quæ deponitur, priorem illam laicam, illa verò quæ aſſumitur, perfectiorem hanc & meliorem: ſicut etiam in Baptiſmo veſtis illa permutatio deſignabat eius, qui per inſtitutionem expiatus fuerat, vitam ad contemplandi & illuminandi ſtatum traduci. Omittenda hîc prima illa catechumenorum denudatio, ſiquidem illa ſordium externorum & erroris depoſitionem exhibet; quocircà fit eminus, & extra ſacrum templum. Ceterùm agnoſce hîc ſocietatem illam ac diuinam lætitiam per oſculum ſeu amplexum deſignatam.

§. 5. Sub finem denique communicat is qui recèns initiatus eſt, quoniam medium illum ordinem, ſacri ſcilicet populi (quem à diuinis myſteriis aſpiciendis contuentem ſeu contemplantem vocat) excedit; nam & ſacræ cognitionis particeps exiſtit, &, quantum fas eſt, ad Sacerdotalem ſcientiam accedit. Quapropter videmus etiam in ſacris Ordinibus, ſub finem eorumdem ſanctiſſimæ conſecrationis Communionem quoq; tradi, non idcircò ſolùm, quòd diuinorum perceptio myſteriorum ſit ſumma quædam cuiuſlibet Hierarchicæ participationis, verùm etiam vt ſacri Ordines ipſius quod communicatur diuiniſſimi muneris pro captu ſuo participes exiſtant, ad ſui ad ſupera traductionem. In hoc autem differt à priori, quòd idcircò dicat eos ſacris his myſteriis communicare, eò quòd hæc ſumma ſint vniuerſæ ipſorum ſacræ functionis, ita vt ſine ſacrâ iſtâ Communione illorum functio nequeat conſummari; hîc autem ait, Communionem frequentari per modum muneris, videlicet ſacri laboris eorum ac diuinæ ſeruitutis. Secundùm hæc itaque Monachus qui conſecratus eſt, diuinis illis myſteriis communicat, vel vt ſacram Communionem habeat per modum ſummarij omnium ad ſe ſpectantium, vel per modum diuini doni percipiat, eò quòd iſtiuſmodi viuendi rationem ſit amplexus. Concludit

ἀνενεργησίαν, δηλοῖ τῶν σαρκικῶν ὀρέξεων· ἡ ἀπόκαρσις, καθαρὰν καὶ ἀσχημάτιστον ζωήν· καθαίρεται γὰρ τῶν περιττωμάτων, καὶ οὐκ ἔστι διὰ τῆς κόμης ἐπιθετικὸν κάλλος λαμβάνειν, ἀλλὰ κάλλος θεοειδέστατον κατὰ νοῦν, καὶ ἑνιαῖον.

Αἱ ἐσθῆτες τὰς ζωὰς ὑπεμφαίνουσιν· ἣ μὲν ἣν ἀποβάλλεται, τὴν προτέραν καὶ λαϊκήν· ἣ δὲ ἣν ἀμφιέννυται, τὴν τελεωτέραν ταύτην καὶ κρείττονα, καθάπερ καὶ ἐπὶ τοῦ Βαπτίσματος τὴν ἀπὸ τοῦ καθαιρομένης διὰ τῆς διδασκαλίας ζωήν, εἰς θεωρητικὴν καὶ φωτιστικὴν ἕξιν ἀναγωγήν, ἡ τῆς ἐσθῆτος ἐδήλου ἀντάμειψις. Ἐατέον νῦν ἐκείνην τὴν προτέραν τῶν κατηχουμένων ἀπαμφίασιν, ἐκείνη γὰρ τὴν τῶν ἔξωθεν ῥυπασμάτων, καὶ τῆς πλάνης ἀπόθεσιν παρίστα· καὶ διὰ τοῦτο καὶ πόρρω που καὶ ἔξω τοῦ ἱεροῦ ναοῦ γίνεται. Τὴν μέντοι γε κοινωνίαν, καὶ τὴν θείαν εὐφροσύνην, διὰ τοῦ ἀσπασμοῦ δηλουμένην μάνθανε.

Ἐπὶ τέλει δὲ καὶ τῶν ἱερῶν μυστηρίων κοινωνεῖ ὁ τελεσθεὶς ἤδη, ὅτι καὶ ὑπὲρ τὴν μέσην τάξιν (ἣν θεωρητικήν, ὡς θεωρεῖν τῶν θείων, φησὶ) τὴν τοῦ ἱεροῦ λαοῦ δηλαδή, ὁ τοιοῦτός ἐστι· μετέχει γὰρ καὶ γνώσεως ἱερᾶς, καὶ καθ' ὅσον ἔνι πρὸς τὴν ἱερατικὴν ἐπιστήμην ἀφομοιοῦται. Διὸ καὶ ἐπὶ τῶν ἱερουργιῶν ἔστιν ἰδεῖν, ὅτι μεθ' ὃ πληρώσουσι πᾶσαν τὴν ἀκολουθίαν τῆς ἁγιστείας, ἐν τέλει τῶν μυστηρίων κοινωνοῦσι· μὴ μόνον, ὅτι πάσης ἱερᾶς μεθέξεως ἡ τῶν θείων μυστηρίων μετάληψίς ἐστι τὸ κεφάλαιον, ἀλλ' ὅτι καὶ αὐτῆς τῆς κοινωνικῆς καὶ θειοτάτης δωρεᾶς αἱ ἱεραὶ μετέχουσι τάξεις, κατὰ τὴν ἀναλογίαν τῆς ἀναγωγῆς αὐτῶν. Ἔχει δὲ τοῦτο διαφορὰν πρὸς τὸ πρότερον, ὅτι ἐκεῖ λέγει, διὰ τοῦτο τῶν μυστηρίων μεταλαμβάνουσιν, ὅτι τοῦτό ἐστι τὸ κεφάλαιον τῆς ὅλης αὐτῶν ἱερᾶς πράξεως, ὡς χωρὶς τῆς μεταλήψεως τυχόν, μὴ οἷόν τε εἶναι τελεσθῆναι τὴν ἱερὰν αὐτῶν πρᾶξιν· ἐνταῦθα δὲ λέγει, διὰ τοῦτο τὴν κοινωνίαν γίνεσθαι, ὡς δωρεὰν δηλαδὴ τοῦ ἱεροῦ αὐτῶν κόπου, καὶ τῆς θείας ὑπηρεσίας. Κατὰ ταῦτα γοῦν κοινωνεῖ καὶ ὁ τελεσθεὶς Μοναχὸς τῶν μυστηρίων, ἢ συγκεφαλαίωσιν ἔχων ἁπάντων τῶν καθ' αὑτὸν τὴν ἱερῶν μετάληψιν, ἢ μὴν τὴν θείαν δωρεὰν δεχόμενος, ἀνθ' ὧν εἰς τοιαύτην πολιτείαν κατέστη. Συνάγει τοίνυν,

PARAPHRASIS PACHYMERÆ.

ὡς αἱ τελεταὶ, κάθαρσίς εἰσι, καὶ φωτισμὸς, καὶ τελείωσις, καὶ αἱ τάξεις· ἡ μὲν τῶν Διακόνων καθαρτικὴ, ἡ δὲ τῶν Ἱερέων φωτιστικὴ, ἡ δὲ τῶν Ἀρχιερέων τελεστική· καὶ οἱ τελούμενοι, οἱ καθαιρόμενοι, ἔτι καὶ τῆς κοινωνίας καὶ τῆς ἐποψίας ἀμέτοχοι, οἱ κατηχούμενοι, οἱ θεωρητικοὶ, ὁ λαὸς, οἱ τετελεσμένοι, οἱ Μοναχοί· οὕτω γὰρ ἡ καθ' ἡμᾶς Ἱεραρχία τῇ οὐρανίᾳ ὁμοειδής ἐστι, κατὰ τὰς τοιαύτας τριάδας, ὡς ἐν ἀνθρώποις ἀποσώζουσα χαρακτῆράς τινας τῆς ἐκεῖσε θεοειδείας.

Ἀλλ' εἴποις, ὅτι ἐπεὶ πρὸς ἐκείνην τὴν Ἱεραρχίαν ἡ ἡμετέρα ἀπευθύνεται, ὤφειλον εἶναι κἀκεῖσε αἱ καθαιρόμεναι τάξεις· ἀλλ' οὐκ εἰσὶν, οὐ γὰρ θεμιτὸν εἰπεῖν τὴν οὐρανίαν διακόσμησιν ἐναγῆ. Ἐγὼ δὲ πρὸς τοὺς τοιούτους λόγους ὁμολογῶ, πάναγνοι γὰρ εἰσὶ καὶ ἀλώβητοι· καὶ εἴ τις ἑάλω, δηλονότι ὁ σατανᾶς καὶ οἱ περὶ αὐτὸν, ἐκπεπτώκασιν καὶ τῆς Ἀγγελικῆς εὐθὺς τάξεως, καὶ ἐν τῇ ἀλαμπεῖ μεμενήκασιν πτώσει. Ἕτεροι δὲ τοὺς χρόνους τοῦ τε ὑπερσυντελικοῦ τοῦ Ἀπεπτώκει, καὶ τοῦ παρατατικοῦ τοῦ Ἐφέρετο, κυριολεκτικῶς ἐκλαβόμενοι, καὶ τὸ ἂν Ἔξωθεν νοοῦντες, οὕτως ἐξηγοῦνται τὴν τοῦ ῥητοῦ ἄγνοιαν, καὶ μετὰ ταῦτα, πρὸς τοῦτο τὴν ἰδίαν ἐξήγησιν ἐπιφέρουσιν. Εἰ γάρ τις, φησὶν, ἑάλω, ἀποπεπτώκει ἂν καὶ ἐφέρετο εἰς τὴν ἀλαμπῆ πτῶσιν, ὡσανεὶ, φασὶ, λέγων, Ὅτι εἴ τις ἁλοίη, οὐ κάθαρσιν δέξεται, ἀλλὰ πρὸς τὴν πτῶσιν ἀπενεχθήσεται, καθὼς καὶ ἐπὶ τοῦ σατὰν γέγονεν, ὡς πεφυκότος τυχὸν γενέσθαι τοιούτου τινός. Οὕτως τὴν ἔννοιαν ἐκλαβόμενοι, ἐξηγοῦνται λέγοντες· Ἀλλ' οὐδεὶς αὐτῶν, μετὰ τὴν τῶν δαιμόνων ἀπόπτωσιν, ἑάλω ποτέ· τοῦτο γὰρ οὐδὲ παρὰ τῆς θείας Γραφῆς ἔγνωμεν, οὐδέ τις τῶν θεοσόφων Πατέρων εἴρηκεν. Οὕτως δὲ ὁ ἅγιος, φασὶ, κατὰ συγχώρησιν αὐτό φησιν, ὡς ἂν εἴποι τις, πάναγνοι μὲν εἰσὶ καὶ ἀλώβητοι, καὶ οὐ δέονται καθάρσεως· πλὴν εἰ καὶ δῶμεν ἔν τινι βλάβην γενέσθαι αὐτῶν τινα, πάντως εἰς τὰς ἐναντίας ἐχώρει δυνάμεις, ὥστε τὰς λοιπὰς ὡσαύτως τὸ ἀλώβητον ἔχειν, καὶ ὁμοίως μὴ δεῖσθαι καθάρσεως. Καὶ ὅτι τοῦτο ἐστὶ φασὶ, σαφῶς ἔδειξεν· εἰπὼν γὰρ πρὸς τὴν ἀντίθεσιν τὴν ἰδίαν γνώμην καὶ ἀληθῆ, ὅτι πάν-

itaque, quomodo sacræ cærimoniæ sint expiatio, & illuminatio, & perfectio, & ordines; ac Diaconorum quidem ordo sit expiatorius, Sacerdotum verò illuminatorius, Episcoporum autem perfectiuus; & τελέμενοι sint illi qui expiantur, præter quos etiam diuini aspectus & communionis exortes sunt Catechumeni; qui verò sacrorum aspectu fruuntur, sunt populus, perfecti, sunt Monachi: sic enim Hierarchia nostra, secundùm istiusmodi terniones, cælesti conformis est, quantum in hominibus fieri potest deiformes quasdam notas conseruans.

§. 6. Sed obiicies, quòd cùm hæc nostra ad Hierarchiam istam componatur, debere etiam ibi esse ordines expiantes, qui vtique non sunt: neque enim fas sit dicere, cælestem Hierarchiam esse sceleri obnoxiam. Ego quidem istiusmodi sermonibus assentior, quoniam omnino puri sunt & intemerati; & si qui, nimirum satanas & socij eius, prauitate capti sunt, illi ab ordine Angelico exciderunt, & in tetrolapsu permanserunt. Alij autem tempora præteriti plusquamperfecti verbi *exciderat*, & imperfecti, *ferebatur*, in propriâ significatione accipientes, atque illud ἔξωθεν expendentes, sic interpretantur dicti huius ignorantiam, & adhæc deinde propriam suam inferunt explicationem. Si quis enim, inquiunt, prauitate captus exciderat, & ad obscuram ruinam ferebatur; ac si, inquiunt, dicat, Si quis vitio captus sit, non admittet expiationem, sed ad ruinam adducetur, sicut in satanâ contigit; quasi verò talis aliquis iam dari possit. Hoc itaque sensu id accipientes interpretantur, dicentes: Verùm nullus eorum, post dæmonum lapsum, vitio captus est vmquam; hoc enim neque ex diuinâ Scripturâ cognouimus, neque quisquam è Patribus diuinâ sapientiâ conspicuis id dixit. Sic autem Sanctus per concessionem hoc ait; ac si aliquis dicat, sanctissimos quidem eos esse & immaculatos, nec expiationis indigere: sed si demus in aliquo eorum labem fuisse, planè ad contrarias virtutes se conferebat, ita vt reliquæ sine labe eodem modo se habeant, & similiter non opus habeant expiatione. Et se hoc dicere, manifestè declarauit: ad obiectionem enim suam dicens sententiam, & veram pronuntians, quòd nimirum omnino

Quomodo cælestes Spiritus expientur, cùm omnino puri sint.

PARAPHRASIS PACHYMERÆ.

sancti & immaculati existerent, subiunxit illud, Si enim quis, pro, Quòd si quis etiam det aliquem peruersum fuisse, confestim ex hoc choro decidit; quod ita non est, sed contrarium, quoniam omnino sancti semper permanserunt; nam à supposito aberrarem si hoc dicerem. Ne quis igitur Origenistarum putet, hunc sermonem suæ peruersæ fidei sententiam defendere, secundùm Origenem dicens, semper lapsum, & reuocationem atque immutationem mentium cælestium existere; quoniam dicimus in cælestibus virtutibus esse expiationem, quando ab iis quæ ignorabant ad diuiniorem scientiam euehuntur atque illustrantur: nam ab ignorantiâ quodammodò expiantur, dum à superioribus illis diuinis essentiis ad clarissimas istas coruscationes adducuntur. Hac ratione ibi ordines sunt qui expiantur, & illustrantur, & perficiuntur, qui videlicet inferiores sunt: & rursum, qui expiant, & illuminant, & perficiunt, scilicet superiores. Etenim iam & à nobis traditum in libro de Cælesti Hierarchiâ, & in diuinâ Scripturâ pronuntiatum est, non easdem, quoad illuminationes, esse omnes cælestes dispositiones; sed primæ quidem immediatè à Deo illuminantur, secundæ verò mediantibus illis, & posteriores per præcedentes; & sic etiam ibi ordo manet inconfusus.

ναγνοί εἰσι καὶ ἀλώβητοι, ἐπήγαγε τὸ, Εἰ γάρ τις, ἀντὶ τοῦ, Εἰ δὲ καί τις δοίη τινὰ παρατραπῆναι, εὐθὺς τοῦ χοροῦ τούτου ἐξέπεσεν· ὅπερ οὐκ ἔστιν, ἀλλὰ τοὐναντίον, ὅτι πανάγιοι διαμένουσιν ἐσαεί· ἐπεὶ ἐκπέσοιμι τοῦ καθεστῶτος νοὸς, εἰ ταῦτα λέγοιμι. Μὴ οὖν τις τῶν Ὠριγενιαστῶν οἰέσθω, τὸν τοιοῦτον λόγον συνηγορεῖν τῇ κακοπίστῳ αὐτῶν δόξῃ, φάσκων κατὰ τὸν Ὠριγένην, ὅτι ἀεὶ πτῶσις καὶ ἀνάκλησις καὶ μετάπτωσις τῶν οὐρανίων γίνεται νόων· ἀλλὰ κάθαρσιν λέγομεν γίνεσθαι καὶ παρὰ ταῖς οὐρανίαις δυνάμεσιν, ὅτε ἀπὸ τῶν ἀγνοουμένων ἐπὶ θειοτέραν ἐπιστήμην ἀνάγονται καὶ ἐλλάμπονται· οἷον γὰρ τὴν ἄγνοιαν ἀποκαθαίρονται διὰ τῶν πρὸ αὐτῶν θείων οὐσιῶν εἰς τὰς φανοτάτας μαρμαρυγὰς ἀναγόμεναι. Οὕτως εἰσὶν ἐκεῖσε, καὶ καθαιρόμεναι, καὶ φωτιζόμεναι καὶ τελειούμεναι τάξεις, αἱ ὑφειμέναι δηλαδή· καὶ πάλιν καθαίρουσαι, καὶ φωτίζουσαι, καὶ τελειοῦσαι, αἱ ὑπερβεβηκυῖαι δῆλον. Καὶ γὰρ καὶ παρ' ἡμῶν ἐν τῷ περὶ Οὐρανίας Ἱεραρχίας εἴρηται, καὶ ἐν τῇ θείᾳ Γραφῇ εὕρηται, τὸ μὴ ταὐτὰς κατὰ τὰς ἐλλάμψεις εἶναι πάσας τὰς οὐρανίων διακοσμήσεις· ἀλλ' αἱ πρῶται μὲν ἀμέσως ἐκ Θεοῦ ἐλλάμπονται, αἱ δεύτεραι δὲ διὰ τῶν μέσων, καὶ αἱ μετ' αὐτὰς διὰ τῶν πρὸ αὐτῶν· καὶ οὕτω μένει κἀκεῖσε τῆς τάξεως τὸ ἀσύγχυτον.

CAPVT VII.

I. De iis quæ fiunt circa defunctos.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ι. Περὶ τῶν ἐπὶ τοῖς κεκοιμημένοις τελουμένων.

SYNOPSIS CAPITIS.

Primâ parte huius capitis tradit 1. Sanctos ex hac vitâ lætos decedere futuræ beatitudinis spe plenos; & eorum corpora in resurrectione futura gloriosa. 2. Recenset diuersorum errores circa mortuos, & assignat rationem, cur tristes moriantur ij qui malè vixerunt. 3. In morte sanctorum fideles etiam lætari.

Secundâ parte describit ritum sepeliendi mortuos, siue Ecclesiasticos, siue sæculares fideles.

Tertiâ parte subiungit contemplationem, in quâ exponit 1. Quid sibi velit fidelium sepultura. 2. Quid Cantica & Lectiones. 3. Cur ad sepulturam admittantur ordines qui vacant expiationi, exclusis solis

Cate-

TEXTVS S. DIONYSII.

Catechumenis. 4. Quid sibi velint preces Antistitis super defuncto, & cur illum salutet. 5. Quales promissiones factæ sint defunctis pijs; & quid sinus Abrahæ significet. 6. Cur pro defunctis oretur; & quibus defunctis preces prosint. 7. Ait Antistitem, tamquam Dei interpretem, defuncto promissa à Deo præmia addicere: & ibidem explicat, quam habeat potestatem ligandi & soluendi. 8. Cur defunctus inungatur. 9. Agit de loco sepulturæ; & exponit quid sibi velit illa finalis affusio Unguenti. 10. Ait inuocationes consecrationis non esse propalandas. 11. Disputat, cur infantes adhuc rationis incapaces baptizentur.

ΤΟΥΤΩΝ δὲ διωρισμένων, ἀναγκαῖον εἰπεῖν, ὡς οἶμαι, καὶ τὰ πρὸς ἡμῶν ἱερῶς ἐπὶ τῶν κεκοιμημένων τελούμενα. Καὶ γὰρ οὐδὲ τοῦτο κοινόν ἐστι τοῖς ἱεροῖς τε καὶ ἀνιέροις· ἀλλ' ὥσπερ ἀλλοῖον εἶδός ἐστι τῆς ἑκατέρων ζωῆς, οὕτω καὶ πρὸς θάνατον ἰόντες, οἱ μὲν ἱερὰν ἐσχηκότες ζωὴν, εἰς τὰς ἀληθεῖς ἐπαγγελίας τῆς θεαρχίας ἀποσκοποῦντες, ὡς τὴν ἀλήθειαν αὐτῶν ἐν τῇ κατ' αὐτὴν ἀναστάσει τεθεαμένοι, μετὰ βεβαίας καὶ ἀληθοῦς τῆς ἐλπίδος ἐν εὐφροσύνῃ θείᾳ πρὸς τὸ τοῦ θανάτου πέρας ἴασιν, ὡς ἐπὶ τέλος ἱερῶν ἀγώνων, ἐν παντελεῖ καὶ ἀτελευτήτῳ ζωῇ καὶ σωτηρίᾳ, τὰ κατ' αὐτοὺς ἔσεσθαι πάντως εἰδότες διὰ τῆς ἐσομένης αὐτῶν ὁλικῆς ἀναστάσεως. Αἱ μὲν γὰρ ἱεραὶ ψυχαὶ πρὸς τὴν ἐπὶ τὰ χείρω κατὰ τὸν τῇδε βίον δυνάμεναι καταπίπτειν τροπὴν, ἐν τῇ παλιγγενεσίᾳ τὴν ἐπὶ τὸ ἄτρεπτον ἕξουσι θεοειδεστάτην μετάταξιν. Τὰ δὲ καθαρὰ τῶν ἱερῶν ψυχῶν, ὁμόζυγα καὶ ὁμοπόρευτα σώματα συναπογραφέντα καὶ συναθλήσαντα κατὰ τοὺς θείους αὐτῶν



§. 1. *Sanctos ob futuræ beatitudinis spem lætos decedere.*

HIS ita constitutis, necessariò etiam dicendum arbitror de his quæ circa defunctos à nobis sanctè fiunt. Neque enim hoc sacris profanisque commune est, sed sicut diuersa est vtrorumque vitæ forma, sic dum ad mortem pergunt hi quidem qui sanctam vitam traduxerunt, ad veras Dei promissiones intuentes, quarum veritatem quodammodò in resurrectione iam conspexerunt, cum firmâ & verâ spe, gaudioque diuino ad mortis terminum, tamquam ad finem certaminum, perficiuntur; quòd certò sciant, sua omnia, propter futuram suam resurrectionem, in tuto fore in illâ perfectâ æternaque vitâ & beatitudine. Nam sanctæ quidem animæ cùm in hac vitâ degentes adhuc peruerti possint, in regeneratione illâ ad statum immutabilem Deoq; maximè conformem transferentur. Pura verò illa corpora, quæ sanctis animabus copulata cum iisdem simul & ambularunt, & descripta sunt, atque vnà certarunt, pro diuinis sudoribus, in animarum

Corpora sanctorum gloriosa resurrectura.

TEXTVS S. DIONYSII.

marum ſecundùm diuinam vitam firmitate, ſibi quoque propriam reſurrectionem ſortientur: ſanctis enim animabus copulata, quibus in hac vitâ coniuncta fuerant, vt quæ iam Chriſti membra facta ſint, deiformem & incorruptam, atque immortalem beatamque requiem conſequentur. Hinc fit, vt ſanctorum obdormitio ſit in lætitiâ certiſque ſpebus, dum ad certaminum diuinorum finem venit.

§. 2. *Diuerſorum errores circa mortuos.*

Profanorum autem alij quidem ſine ratione putant, corpora noſtra penitus aboleri; alij verò cenſent, corporeum hoc cum propriis ſuis animabus coniugium repudio ſemel dirimendum, tamquam illis in deiformi vitâ beataque requie parum conſentaneum, nequáquam intelligentes, neque ſcientiâ diuinâ eruditi, nos iam deiformem in Chriſto vitam inchoaſſe. Alij autem animabus aliorum corporum coniugia attribuunt, in quo, meâ quidem ſententiâ, quantum in ipſis eſt, iniuriam irrogant corporibus quæ cum diuinis animabus collaborarunt, eademque ſacris ſuis præmiis defraudant, cùm diuinum curſum conſummarint. Alij porrò, neſcio quo pacto ad terrenas cogitationes dilapſi, dixerunt, præſenti vitæ ſimilem beatis promiſſam eſſe ſanctiſſimam beatiſſimamque ſortem, ciboſque vitæ variabili proprios iis qui Angelis æquales ſunt, nefariè applicuerunt. Sed abſit, vt vmquam ſanctus vir quiſpiam in iſtiuſmodi errores incidat: verùm illi ſancti, qui ſe totos Chriſtiformes

ἱδρῶτας, ἐν τῇ τῶν ψυχῶν ἀτρεπτῷ κατὰ τὴν θείαν ζωὴν ἱδρύσει, συναπολήψεται τὴν οἰκείαν ἀνάστασιν· ἑνωθέντα γὰρ αἷς ἡνωντο κατὰ τὸν τῆδε βίον ἱεραῖς ψυχαῖς ὡς μέλη Χριστοῦ γεγονότα, τὴν θεοειδῆ καὶ ἄφθαρτον ἀθάνατόν τε καὶ μακαρίαν ἀπολήψεται λῆξιν. Ἐν τούτοις μὲν οὖν ἡ τῶν ἱερῶν ἐστι κοίμησις ἐν εὐφροσύνῃ καὶ ἀσαλεύτοις ἐλπίσιν εἰς τὸ τῶν θείων ἀγώνων ἀφικνουμένη πέρας.

Τῶν δὲ ἀνιέρων, οἱ μὲν εἰς ἀνυπαρξίαν ἀλόγως οἴονται χωρεῖν, οἱ δὲ τὴν σωματικὴν εἰσάπαξ ἀπορρήγνυσθαι τῶν οἰκείων ψυχῶν συζυγίαν, ὡς ἀνάρμοστον αὐταῖς, ἐν θεοειδεῖ ζωῇ καὶ μακαρίαις λήξεσιν, οὐκ ἐννοήσαντες, οὐδὲ ἱκανῶς ἐν ἐπιστήμῃ θείᾳ μυηθέντες, ἀρχθεῖσαν ἤδη τὴν καθ' ἡμᾶς ἐν Χριστῷ θεοειδεστάτην ζωήν. Ἄλλοι δε σωμάτων ἄλλων ἀπονέμουσι ταῖς ψυχαῖς συζυγίας, * ἀδοκοῦντες τὸ ἐπ' αὐτοῖς, ὡς οἶμαι, τὰ συμπονήσαντα ταῖς θείαις ψυχαῖς, καὶ τῶν ἱερῶν ἀντιδόσεων οὐκ εὐαγῶς ἀποστεροῦντες τὰ πρὸς τὸ πέρας ἐλθόντα τῶν θειοτάτων δρόμων. Ἄλλοι δὲ, οὐκ οἶδ' ὅπως ἐπὶ προσύλους ἐννοίας ἀποκλιθέντες, εἰρήκασιν, ὁμοειδῆ τοῦ τῆδε βίου τὴν τοῖς ὁσίοις ἐπηγγελμένην ἁγιωτάτην καὶ μακαριωτάτην λῆξιν, καὶ τροφὰς οἰκείας ἀλλοιωτῷ βίῳ τοῖς ἰσαγγέλοις ἀθεμίτως ἀπέρριψαν. Ἀλλ' οὐκ ἀποπεσεῖταί τις ποτὲ τῶν ἱερωτάτων ἀνδρῶν εἰς τὰς τοιάσδε πλανήσεις· ἀλλ' ὅλους αὐτοὺς ἀπολήψεσθαι τὴν Χριστοειδῆ λῆξιν, εἰδότες,

* ἀδικοῦντες, ita Vien. 3. cod.

εἰδότες, ὅταν ἐπὶ τὸ πέρας ἔλθωσι τοῦ τῆδε βίου, τὴν εἰς ἀφθαρσίαν αὐτῶν ὁδὸν, ὡς ἐγγυτέραν ἤδη γεγενημένην, ἐμφανέστερον ὁρῶσι, καὶ τὰς δωρεὰς τῆς θεαρχίας ὑμνοῦσι, καὶ θείας ἡδονῆς ἀποπληροῦνται, τὴν ἐπὶ τὰ χείρω τροπὴν οὐκέτι δεδοικότες, ἀλλ' εὖ εἰδότες, ὅτι τὰ κληθέντα καλὰ, βεβαίως καὶ αἰωνίως ἕξουσιν. Οἱ δὲ μολυσμῶν ἀνάπλεοι καὶ ἀνιέρων κηλίδων, εἴπερ ἱερᾶς τινος τετυχήκασι μυήσεως, αὐτοὶ δὲ ταύτην ἐκ τοῦ οἰκείου νοὸς ὀλεθρίως ἀποῤῥαπίσαντες, ἐπὶ τὰς φθοροποιοὺς ηὐτομόλησαν ἐπιθυμίας, ὅταν ἐπὶ τὸ τέλος ἔρχονται τῆς ἐνθάδε ζωῆς, οὐκ ἔτι ὁμοίως αὐτοῖς εὐκαταφρόνητος φαίνεται τῶν Λογίων ἡ θεία θεσμοθεσία, τὰς ὀλλυμένας δὲ τῶν οἰκείων παθῶν ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ἐπισκοπήσαντες, καὶ τὴν ἱερὰν ζωὴν, ἧς ἀνοήτως ἐκπεπτώκασι, μακαρίσαντες, ἐλεεινῶς καὶ ἀβουλήτως ἀποσχίζονται τοῦ τῆδε βίου, πρὸς μηδεμίαν ἱερὰν ἐλπίδα χειραγωγούμενοι, διὰ τὴν χείριστην ζωήν.

Τούτων δὲ οὐδενὸς γιγνομένου κατὰ τὰς κοιμήσεις τῶν ἱερῶν ἀνδρῶν, αὐτὸς μὲν ὁ πρὸς τὸ πέρας ἐρχόμενος τῶν οἰκείων ἀγώνων, εὐφροσύνης ἱερᾶς ἀποπληροῦται, καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τὴν ὁδὸν ἐπιβαίνει τῆς ἱερᾶς παλιγγενεσίας. Οἱ δὲ τοῦ κοιμηθέντος οἰκεῖοι, κατὰ τὴν θείαν οἰκειότητα καὶ ὁμοτροπίαν, αὐτόν τε, ὅς τίς ἐστι, μακαρίζουσι, πρὸς τὸ νικηφόρον εὐκταίως ἀφικόμενον τέλος, καὶ τῷ τῆς νίκης αἰτίῳ χαριστηρίους ᾠδὰς ἀναπέμπου-

mem ſortem percepturos cognouerunt, vbi ad huius vitæ finem acceſſerint, viam ſuam ad incorruptionem, quaſi iam propinquiorem factam, intuentes, ſummi Dei munera collaudant, diuinâque voluptate adimplentur, non iam ampliùs peruerti metuentes, ſed probè cognoſcentes, ſe bona parta firmiter perpetuoque poſſeſſuros. Verùm qui iniquitatibus nefariisq; ſceleribus ſunt cooperti, ſiquidem aliquam ſacram hauſerint inſtructionem, eaq; ex animo perniciosè abiectâ ad corruptrices voluptates ſponte ſuâ deuoluti fuerint, cùm iam ad vitæ finem peruenerint, non iam eis Lex diuina æquè deſpicabilis apparebit, ſed pernicioſas paſſionum ſuarum voluptates aliis longè oculis aſpicientes, ſanctamque vitam, quam imprudenter neglexerunt, beatam prædicantes, miſeri & inuiti ex hac vitâ decedunt, propter vitam ſuam peſſimam nullâ ſanctâ ſpe fulti.

Fideles qui malè vixerunt cur triſtes moriantur.

§.3. *In morte ſanctorum lætantur etiam fideles.*

Quoniam autem in ſanctorum obdormitionibus nihil horum accidit, is qui properat ad finem certaminum ſuorum ſanctâ quadam lætitiâ completur, magnaque cum iucunditate ſacræ regenerationis iter ingreditur. Propinqui autem eius qui defunctus eſt, pro iure diuinæ propinquitatis ac morum ſimilitudine, beatum ipſum, vti verè eſt, prædicant, quòd ad optatum victoriæ brauium peruenerit, auctorique victoriæ cantica gratiarum ſoluunt, atque

TEXTVS S. DIONYSII.

atque sibi similem sortem optant: denique assumentes ipsum, ad Antistitem portant quasi sacris coronis munerandum; qui libenter eum suscipit, eaque iusta peragit, quæ diuino instituto exhibentur iis qui sanctè obdormierunt.

σι, προσέτι καὶ αὐτοὺς ἀφικέσθαι πρὸς τὴν ὁμοίαν εὐχόμενοι λῆξιν· λαβόντες δὲ αὐτὸν, ἐπὶ τὸν Ἱεράρχην ἄγουσιν, ὡς ἐπὶ στεφάνων ἱερῶν δόσιν· ὁ δὲ ἀσμένως ὑποδέχεται, καὶ τελεῖ τὰ κατὰ θεσμὸν ἱερὸν ἐπὶ τοῖς ὁσίως κεκοιμημένοις τελούμενα.

II. MYSTERIVM SVPER his qui sanctè obdormierunt.

Ritus sepeliendi mortuos tam Ecclesiasticos quàm laicos.

Coacto cœtu sacro, diuinus Antistes, si quidem in sacris fuerat qui obdormiuit, ante diuinum altare illum inclinans, infit orationem ad Deum & gratiarũ actionem; sin autem sanctis Monachis sanctóve populo annumeratus fuerat, ad venerandum sacrarium ante Sacerdotum introitum collocat. Præsul deinde peragit ad Deum precem & gratiarum actionem; deinceps verò Diaconi, verissimis de resurrectione promissis, quę diuinis Scripturis inserta sunt, recitatis, iisdem consona atque æquiualentia Psalmorum cantica concinunt: tum Archidiaconus Catechumenos dimittit, sanctosque iam defunctos commemorat, quibus recèns vitâ functum consimili commemoratione censet aggregandum, hortaturque omnes, illi vt beatum in Christo finem petant: tum accedens diuinus Antistes precem super eo sacratissimam peragit, quâ finitâ, ipsemet Antistes defunctum salutat, & cum illo præsentes omnes. Quo peracto, Antistes defunctum oleo perfundit, & pro omnibus prece

II. ΜΥΣΤΗΡΙΟΝ ἐπὶ τῶν ἱερῶς κεκοιμημένων.

Συναγαγὼν ὁ θεῖος Ἱεράρχης τὸν ἱερὸν χορὸν, εἰ μὲν ἱερατικῆς ἐγεγόνει τάξεως ὁ κεκοιμημένος, ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου κατακλίνας αὐτὸν, ἀπάρχεται τῆς πρὸς Θεὸν εὐχῆς καὶ εὐχαριστίας· εἰ δὲ τοῖς εὐαγέσι Μοναχοῖς ἢ τῷ ἱερῷ λαῷ κατετέτακτο, παρὰ τὸ τίμιον ἱερατεῖον αὐτὸν κατακλίνει, πρὸ τῆς ἱερατικῆς εἰσελεύσεως. Εἶτα τελεῖ τὴν πρὸς Θεὸν εὐχαριστήριον εὐχὴν ὁ Ἱεράρχης· ἑξῆς δὲ οἱ λειτουργοὶ τὰς ἐν τοῖς θείοις Λογίοις ἐμφερομένας ἀψευδεῖς ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀναστάσεως ἀναγνόντες, ἱερῶς ᾄδουσι τὰς ὁμολόγους καὶ ταυτοδυνάμους τῶν ψαλμικῶν Λογίων ᾠδάς· εἶτα τῶν λειτουργῶν ὁ πρῶτος ἀπολύει τοὺς κατηχουμένους, καὶ ἀνακηρύττει τοὺς ἤδη κεκοιμημένους ἁγίους, μεθ' ὧν ἀξιοῖ τὸν ἄρτι τελειωθέντα τῆς ὁμοταγοῦς ἀναῤῥήσεως, καὶ προτρέπεται πάντας αἰτῆσαι τὴν ἐν Χριστῷ μακαρίαν τελείωσιν· εἶτα προσελθὼν ὁ θεῖος Ἱεράρχης, εὐχὴν ἱερωτάτην ἐπ' αὐτῷ ποιεῖται, καὶ μετὰ τὴν εὐχὴν, αὐτός τε ὁ Ἱεράρχης ἀσπάζεται τὸν κεκοιμημένον, καὶ μετ' αὐτὸν οἱ παρόντες ἅπαντες. Ἀσπασαμένων δὲ πάντων, ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ Ἱεράρχης, καὶ τὴν ὑπὲρ πάν-

TEXTVS S. DIONYSII.

τῶν εὐχὴν ἱερὰν ποιησάμενος, ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα, μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων.

III. ΘΕΩΡΙΑ.

Ταῦτα μὲν εἴπερ ἴδοιεν ἢ ἀκούσαιεν οἱ ἀνίεροι πρὸς ἡμῶν τελούμενα, πλατυγελάσουσιν, ὡς οἶμαι, καὶ τῆς πλανήσεως ἡμᾶς ἐλεήσουσιν. Οὐ δεῖ δὲ πρὸς τοῦτο θαυμάζειν· ἐὰν γὰρ μὴ πιστεύσωσιν, ὡς τὰ Λόγιά φησιν, οὐδὲ μὴ συνήσουσιν. Ἡμεῖς δὲ τὰ νοητὰ τῶν τελουμένων ἐποπτεύσαντες, Ἰησοῦ φωταγωγοῦντος εἴπωμεν, ὡς οὐκ ἀλόγως ὁ Ἱεράρχης ἐπὶ τὴν ὁμοταγῆ χώραν εἰσάγει, καὶ ἐπιτίθησι τὸν κεκοιμημένον· ἐμφαίνει γὰρ ἱερῶς, ὡς κατ' ἐκείνας ἔσονται πάντες ἐν τῇ παλιγγενεσίᾳ τὰς ἀποκληρώσεις, καθ' ἃς ἐνθάδε τὴν οἰκείαν ζωὴν ἀπεκλήρωσαν. Οἷον, εἰ θεοειδῆ τις ἔσχεν ἐνθάδε καὶ ἱερωτάτην ζωὴν, ὡς ἀνδρὶ τὸ θεομίμητον ἐφικτὸν, ἐν θείαις ἔσται κατὰ τὸν αἰῶνα τὸν μέλλοντα καὶ μακαρίαις λήξεσιν· εἰ δὲ τῆς κατ' ἄκρον θεοειδοῦς ὑφειμένην, ἱερὰν δὲ ὅμως, ὁμοειδεῖς καὶ οὗτος ἀπολήψεται τὰς ἱερὰς ἀμοιβάς. Ὑπὲρ ταύτης τῆς θείας δικαιοσύνης, ὁ Ἱεράρχης εὐχαριστήσας, εὐχὴν ἱερὰν ποιεῖται, καὶ τὴν σεβασμίαν ὑμνεῖ θεαρχίαν, ὡς καθαιρετικὴν μὲν οὖσαν κατὰ πάντων ἡμῶν ἀδίκου καὶ τυραννικοῦ κράτους, μεταγωγὸν δὲ ἡμῶν ἐπὶ τὰ οἰκεῖα δικαιότατα κρίματα.

Αἱ δὲ τῶν θεαρχικῶν ἐπαγγελιῶν ᾠδαὶ καὶ ἀναγνώσεις, ἐκφαντορικαὶ μέν εἰσι τῶν μακαριωτάτων λήξεων, εἰς ἃς οἱ θείαν ἐσχηκότες

factâ, honorato loco corpus collocat vnà cum æqualibus aliis corporibus sanctis.

III. CONTEMPLATIO.

§. 1. Hæc quidem si aspexerint profani, vel à nobis fieri inaudiuerint, profusè, vt existimo, ridebunt, & erroris nostri ipsos miserebit. Verùm non est quòd hoc miremur: nisi enim crediderint, iuxta Scripturam, non intelligēt. Nos interim, intelligentiis eorum quæ geruntur perceptis, præuio duce Iesu dicamus, non abs re Præsulem, eum qui defunctus est in chorum ordinis sui introducere ac recondere: nam sanctè declarat, omnes in regeneratione sortes istas obtenturos, ad quas hîc vitam propriam direxerint. Vt puta, si quis hîc vitam sortitus sit sanctissimam, eamque duxerit deiformē, in quantum nempe Deum imitari quis potest, in futuro sæculo diuino beatoque otio fruetur; sin remissiorem quidem illâ deiformi, simul tamen sanctam vitam quis egerit, paria & ipse meritis suis præmia referet. Diuinus itaque Antistes pro diuinâ hac iustitiâ gratias agens rem sacram peragit, atque venerandum laudat Dei principatum, quòd iniquum tyrannicumque imperium, quo omnes premebamur, exterminarit, & nos ad iustissima sua iudicia transtulerit.

Quid insinuet sepultura.

§. 2. Cantica porrò diuinarum promissionum ac lectiones explicant nobis sedes illas beatissimas, ad quas ij, qui diuinâ perfectione

Quid cantica & lectiones.

TEXTVS S. DIONYSII.

præditi sunt, promouebuntur; & quæ eum, qui sanctè vitâ functus est, excipiunt, viuentes autem ad similem vitæ finem adhortantur.

§. 3. *In sepulturis cur non dimittantur nisi Catechumeni.*

Ceterùm obserua, quomodo non omnes qui expiationi vacant ordines pro more iam dimittantur, sed soli Catechumeni à sacro choro arceantur, quòd nimirum hic ordo sacri omnis mysterij sit expers, neque fas sit illi quidquã, siue paruum siue magnum, eorum quæ sanctè peraguntur aspicere; quippe qui necdum eius virtutis particeps existat, quæ assurgit ad diuina contuenda, quam solummodò indulget sacra illa regeneratio, quæ primam lucem confert. Ceteri autem ordines qui expiantur, iam pridem quidem sacris sunt instituti, sed quòd stultè in deteriora relapsi sint, cùm ad anteriora vitæ suæ rationes extendere debuissent, præcipuis quidem sacris illis diuinis, quæ sub sacrosanctis signis latitant, interdicuntur, & ab eorumdem aspectu ac communione meritò arcentur: siquidem damnum referrent, si iisdem indignè communicarent, & ad maiorem rerum diuinarum suique contemptum deuenirent. Non incongruè autem admittuntur ad ea quæ hîc geruntur, vt perspicuè discant & aduertant mortis incertitudinem & sanctorum præmia quæ in Scripturis veris celebrantur, quæque illis eorumque similibus impuris hominibus supplicia infinita intententur: è quibus vtique spectaculis fortè fructum capient, dum cernent, eum qui sanctè obiit mini-

τελείωσιν, αἰωνίως καταταχθέντα· τοῦ δὲ κοιμηθέντος ἱερῶς ἀποδεκτικαὶ, τῶν ἔτι δὲ ζώντων προτρεπτικαὶ πρὸς τὴν ὁμοίαν τελείωσιν.

Σκόπει δὲ, ὅτι νῦν οὐ πᾶσαι κατὰ τὸ σύνηθες, αἱ καθαιρόμεναι τάξεις ἀπολύονται, μόνοι δὲ τῶν ἱερῶν ἐκβάλλονται χώρων οἱ κατηχούμενοι, καὶ γὰρ αὕτη μὲν ἀμύητός ἐστι καθόλου πάσης ἱερᾶς τελετῆς, καὶ πρὸς οὐδὲν, οὐ μικρὸν, οὐ μέγα, τῶν ἱερῶς τελουμένων ἐποπτεύειν αὐτῇ θεμιτὸν, ὡς οὐδὲ τῆς τῶν ἱερῶν ὀπτικῆς δυνάμεως μεταλαχούσῃ, διὰ τῆς ἀρχιφώτου καὶ φωτοδότιδος θεογενεσίας. Αἱ δὲ λοιπαὶ τῶν καθαιρομένων τάξεις, ἐν μυήσει μὲν ἤδη γεγόνασιν ἱερᾶς παραδόσεως· ἀνοήτως δὲ πρὸς τὰ χείρω παλινδρομήσασαι, δέον ἐπὶ τὰ πρόσω τὴν οἰκείαν ἀναγωγὴν ἀποτελέσαι, τῶν θεαρχικῶν μὲν, ὡς ἐν συμβόλοις ἱεροῖς, ἐποψιῶν καὶ κοινωνιῶν εὐλόγως ἀποδιαστέλλονται· βλαβήσονται γὰρ, ἀνιέρως αὐτῶν μετέχουσαι, καὶ πρὸς πλείονα τῶν θείων καὶ ἑαυτῶν ἐλεύσονται περιφρόνησιν. Οὐκ ἀπεικότως δὲ πάρεισιν ἐπὶ τοῖς νῦν τελουμένοις, ἐναργῶς ἐκδιδασκόμεναι καὶ ὁρῶσαι τὴν τοῦ καθ' ἡμᾶς *ἀδειλίαν θανάτου, καὶ τὰ τῶν ἁγίων γέρα πρὸς τῶν ἀληθῶν Λογίων ὑμνούμενα, καὶ τὰς ἠπειλημένας ἔσεσθαι τοῖς κατ' αὐτὰς ἀνιέροις ἀτελευτήτους ἀνίας· ἔσται γὰρ αὐταῖς ἴσως ὄφελος, ὁρώσαις τὸν ἱερῶς τετελειωμένον ὑπὸ τῆς λειτουργικῆς ἀναρρήσεως, ὡς κοινωνὸν

*ἀδηλίαν ita Vien.

ὄντως

TEXTVS S. DIONYSII.

ὄντως ὄντα τῶν ἀπ' αἰῶνος ἁγίων, ἱερῶς ἀνακηρυττόμενον· καὶ τάχα καὶ αὗται πρὸς τὴν ὁμοίαν ἔφεσιν ἥξουσι, καὶ πρὸς τῆς λειτουργικῆς ἐπιστήμης ἐκδιδαχθήσονται, μακαρίαν ἀληθῶς εἶναι τὴν ἐν Χριστῷ τελείωσιν.

Εἶτα προσελθὼν ὁ θεῖος Ἱεράρχης, εὐχὴν ἱερὰν ἐπὶ τῷ κεκοιμημένῳ ποιεῖται· καὶ μετὰ τὴν εὐχὴν, αὐτός τε ὁ Ἱεράρχης αὐτὸν ἀσπάζεται, καὶ ἑξῆς οἱ παρόντες ἅπαντες. Ἡ μὲν οὖν εὐχὴ, τῆς θεαρχικῆς ἀγαθότητος δεῖται, πάντα μὲν ἀφεῖναι τὰ δι' ἀνθρωπίνην ἀσθένειαν ἡμαρτημένα τῷ κεκοιμημένῳ, κατατάξαι δὲ αὐτὸν ἐν φωτὶ καὶ χώρᾳ ζώντων, εἰς κόλπους Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ἐν τόπῳ οὗ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

Ταῦτα μὲν οὖν, ὡς οἶμαι, δῆλα τὰ τῶν ἁγίων μακαριώτατα γέρα. Τί γὰρ ἂν γένοιτο τῆς παντελῶς ἀλύπου καὶ φωτιστικῆς ἀθανασίας ἰσόρροπον; εἰ καὶ τὰ μάλιστα ταῖς ἡμῖν ἀναλόγοις σημασίαις, αἱ παντὸς ὑψηλότεραι νοὸς ἐπαγγελίαι σημαινόμεναι, τῆς πραγματικῆς αὐτῶν ἀληθείας ἀποδεούσας ἔχουσι τὰς ὀνομασίας. Ἀληθὲς γὰρ εἶναι τὸ Λόγιον οἰητέον, Ὅτι ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Κόλποι δέ εἰσιν, ὡς οἶμαι, τῶν μακαρίων Πατριαρχῶν καὶ τῶν λοιπῶν Ἁγίων ἁπάντων, αἱ θεόταται καὶ μακάρισαι λήξεις, αἳ τοὺς

strorum prædicatione celebrari, vt verè consortem sanctorum qui à sæculo sunt, ipsique fortassis consimili desiderio flagrabunt, & ministrorum disciplinâ docebuntur, quàm verè beata sit in Christo consummatio.

§. 4. *Quid sibi velint preces Antistitis super defuncto.* *Quid salutatio.*

Deinde accedens Antistes precem sacram super defuncto peragit: quâ finitâ, ipsemet Antistes eum salutat, ordineque deinceps suo omnes qui adsunt. Rogat itaque precatione illâ diuinam bonitatem, vt defuncto peccata omnia dimittat, quæ per humanam infirmitatem contracta sunt, eumq; in lucem sanctam ac viuorum regionem transferat, & collocet in sinu Abrahæ, Isaac, & Iacob, in loco à quo dolor & tristitia gemitusque aufugiunt.

§. 5. *Quanta sint promissa sanctis defunctis.*

Hæc vtique perspicua, vt arbitror, beatissima sanctorum premia sunt. Ecquid enim perfectæ immortalitati omni tristitiâ carenti, luceque plenissimæ conferri valeat? præterquam quòd promissiones istæ mente qualibet subliliores, vel maximè ad captum nostrum accommodatis rationibus expressæ, earumdem tamen appellationes à reali ipsarum veritate plurimùm deficiant. Siquidem Scriptura hæc omnino vera est, *Quoniam oculus non vidit, nec auris audiuit, nec in cor hominis adscendit, quæ præparauit Deus diligentibus se.* (1. Cor. 2, 9.) Sinus autem, meâ quidem sententiâ, sunt beatorum Patriarcharum ceterorumque Sanctorum diuinissimæ beatissimæque quietis sedes, quæ viros omnes

Quid sinus Abrahæ.

TEXTVS S. DIONYSII.

nes deiformes excipiunt in suâ insenescibili beatissimaque consummatione.

§. 6. *Cur pro defunctis preces fiant.*

Fortassis autem ita quidem inquies rectè à nobis dici, dubitare tamen te, cuius rei gratiâ diuinam clementiam Antistes deprecetur, poscens defuncto dari veniam peccatorum, & æqualem deiformibus viris lucidissimam sortem. Nam si quilibet à diuinâ Iustitiâ recipiat retributionem eorum quę in vitâ præsenti siue benè siue malè gessit, defunctus autem in hac vitâ suas complerit actiones, quænam Antistitis deprecatio ipsum ad aliam, quàm in hac vitâ meritus est, quietis retributionem transferre possit? Equidem probè scio, Scripturis consentiens, cuilibet pro meritis sortem reddendam esse. Conclusit enim, inquit, Dominus apud se, & referet vnusquisque propria corporis, prout gessit, siue bonum, siue malum. Iustorum autem preces etiam in hac vitâ, nedum post mortem, iis solis prodesse qui sanctis precibus digni sunt, veræ nos Eloquiorum traditiones docent. Numquid Saul à Samuele adiutus fuit? aut Hebræorum populo prophetica precatio quidquam profuit? Etenim ac si quis, Sole sanis oculis lucem suam largiente, solaris lucis particeps fieri petat, erutis sibi oculis; sic ex impossibili & inani spe pendet, quisquis Sanctorum preces flagitat, dum ipsis connaturales exterminant actio-

1. Cor. 5, 10

θεοειδεῖς ὑποδεχόμεναι πάντας εἰς τὴν ἐν αὐταῖς ἀγήρω καὶ μακαριωτάτην τελείωσιν.

Φαίης δ' ἂν ἴσως, ταῦτα μὲν ὀρθῶς εἰρῆσθαι παρ' ἡμῶν, ἀπορεῖν δὲ, ὅτου ἕνεκα τῆς θεαρχικῆς ἀγαθότητος ὁ Ἱεράρχης δεῖται, τῶν ἡμαρτημένων* αὐτῶν τῷ κεκοιμημένῳ τὴν ἄφεσιν, καὶ τὴν τοῖς θεοειδέσιν ὁμοταγῆ καὶ φανοτάτην ἀποκλήρωσιν. Εἰ γὰρ ἀμοιβὰς ἀπολήψεται πᾶς ὑπὸ τῆς θείας δικαιοσύνης, ὧν ἐν τῇ παρούσῃ ζωῇ χρηστῶν ἢ ἑτέρων ἔδρασεν, ἐτέλεσε δὲ τὰς κατὰ τὸν τῆδε βίον οἰκείας ἐνεργείας ὁ κεκοιμημένος, πρὸς τίνος ἱεραρχικῆς εὐχῆς, ἐφ' ἑτέραν λῆξιν μεταταχθήσεται, παρὰ τὴν ἀξίαν αὐτοῦ, καὶ τὴν ἐνθάδε ζωῆς ἀμοιβαίαν. Ἐγὼ δὲ, ὅτι μὲν ἀμοιβαίαν ἕξει τὴν ἀποκλήρωσιν ἕκαστος, εὖ οἶδα, τοῖς Λογίοις ἀκολουθῶν· ἀπέκλεισε γὰρ, φησὶν, ὁ Κύριος κατ' αὐτοῦ, καὶ κομίσεται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν. Ὅτι δὲ καὶ τῶν δικαίων αἱ προσευχαὶ κατὰ τὸν τῆδε βίον, μήτιγε μετὰ θάνατον, εἰς τοὺς ἀξίους ἱερῶν εὐχῶν ἐνεργοῦσι μόνον, αἱ τῶν Λογίων ἡμᾶς ἐκδιδάσκουσιν ἀληθεῖς παραδόσεις. Ἢ τί πρὸς τοῦ Σαμουὴλ ὁ Σαοὺλ ἀπώνατο; τί δὲ τὸν τῶν Ἑβραίων λαὸν ὤνησεν ἡ προφητικὴ προσευχή; Καὶ γὰρ ὡς εἴ τις, ἡλίου τὰ οἰκεῖα δωρουμένου φῶτα τοῖς ἀβλαβέσιν ὀφθαλμοῖς, ἐν μεθουσίᾳ τοῦ ἡλιακοῦ φωτὸς αἰτεῖ γενέσθαι, τὰς οἰκείας ὄψεις ἐξαφανίζων· οὕτω πρὸς ἀδυνάτους ἤρτηται καὶ περιττὰς ἐλπίδας, ὁ τὰς τῶν Ἁγίων ἐξαιτῶν προσευχὰς, καὶ τὰς κατὰ φύσιν αὐτῶν ἱερὰς ἐνεργείας ἐλαύνων, ἀπροσε-

*γρ. αὐτοῖς ita Cod. Vien.

ξία

TEXTVS S. DIONYSII.

ξία τῶν θείων δώρων, καὶ τῶν φανοτάτων καὶ ἀγαθοδοτίδων ἐντολῶν ἀποφοιτήσει. Φημὶ δὲ, τοῖς Λογίοις ἑπόμενος, ὡς ὠφέλιμοι πάμπαν εἰσὶν ἐν τῷδε τῷ βίῳ τῶν Ἁγίων αἱ προσευχαὶ, κατὰ τόνδε τὸν τρόπον, εἴ τις ἱερῶν ἐφιέμενος δώρων, καὶ πρὸς μετουσίαν αὐτῶν ἕξιν ἱερὰν ἔχων, ὡς τῆς οἰκείας ἐπιγνώμων βραχύτητος, ἐλθὼν ἐπί τινα τῶν ὁσίων ἀνδρῶν ἀξιώσειεν αὐτὸν τῆς χρείας συλλήπτορα, καὶ συνικέτην, ὠφεληθήσεται πάντως ἐκ τούτου τὴν πάσης ὑπερκειμένην ὠφέλειαν· ἐπιτεύξεται γὰρ ὧν αἰτεῖ θειοτάτων δώρων, ἀποδεχομένης αὐτὸν τῆς θεαρχικῆς ἀγαθότητος, τῆς τε οἰκείας εὐλαβοῦς ἐπιγνωμοσύνης, καὶ τῆς ἐπὶ τοῖς ὁσίοις αἰδοῦς, καὶ τῆς τῶν αἰτηθεισῶν ἱερῶν αἰτήσεων ἐπαινετῆς ἐφέσεως, καὶ καταλλήλου καὶ θεοειδοῦς ἕξεως. Ἔστι γὰρ καὶ τοῦτο τοῖς θεαρχικοῖς κρίμασι νενομοθετημένον, τὸ τὰ θεῖα δῶρα τοῖς ἀξίοις τοῦ μεταχεῖν ἐν τάξει θεοπρεπεστάτῃ, δωρεῖσθαι διὰ τῶν ἀξίων τοῦ μεταδοῦναι. Ταύτην οὖν εἴ τις ἀτιμάσειε τὴν ἱερὰν εὐκοσμίαν, καὶ πρὸς ἀθλίαν οἴησιν ἐληλυθὼς, ἱκανὸν ἑαυτὸν οἰηθείη πρὸς τὴν θεαρχικὴν ὁμιλίαν, καὶ τῶν ὁσίων ὑπερφρονήσει· καὶ μὴν, εἰ τὰς αἰτήσεις ἀναξίας τε Θεοῦ, καὶ μὴ ἱερὰς αἰτήσει, καὶ τὴν ἔφεσιν τῶν θείων εἰ μὴ σύντονον ἔχοι καὶ ἑαυτῷ κατάλληλον, ἀποτεύξεται δι' ἑαυτὸν τῆς ἀνεπιστήμονος αἰτήσεως. Περὶ δὲ τῆς εἰρημένης εὐχῆς, ἣν ὁ Ἱεράρχης ἐπεύχεται τῷ κεκοιμημένῳ, τὴν εἰς ἡμᾶς ἐλθοῦσαν ἐκ τῶν ἐνθέων ἡμῶν καθηγεμόνων παράδοσιν εἰπεῖν ἀναγκαῖον.

nes, diuina munera negligens, & à clariſſimis beneficiſque Dei mandatis recedens. Hoc autem Scripturis conſonè affirmo, perutiles eſſe in hac vitâ Sanctorum preces, modò quis ſacrorum munerum deſiderio incenſus, & ad ea ſuſcipienda piè affectus, tenuitatis ſuæ conſcius, virum aliquem ſanctum adeat, ac petat vt ſe adiuuet, ac Deum pro ſe roget, quâ ratione ſanè maximum ex eo referet emolumentum: potietur enim petitis donis diuiniſſimis, religioſâ ſuâ conſcientiâ, ſanctorum reuerentiâ, & laudabili eorum quæ petit deſiderio, & conſentaneâ ac deiformi affectione ipſi ſuffragantibus. Etenim diuinis id decretis ſtabilitum eſt, vt diuina munera iis, qui eorumdem participatione digni ſunt, eo quo Deum decet ordine diſtribuantur ab illis qui iiſdem diſtribuendis ſunt præfecti. Hunc itaque ſacrum ordinem ſi quis violauerit, & infelici elatione ſeductus, dignum ſe putauerit diuinâ familiaritate, Sanctoſque deſpexerit, is certè, ſiquidem indignas Deo ac profanas res poſtulauerit, intentoque caruerit rerum diuinarum deſiderio ipſi conſentaneo, propter imperitam ſuam petitionem, per ſe nihil eorum quæ petit impetrabit. De dictâ porrò precatione, quam Antiſtes ſuper defuncto facit, diuinorum noſtrorum præceptorum traductam ad nos traditionem exponere neceſſe eſt.

Quibus preces proſint.

TEXTVS S. DIONYSII.

§. 7.

Antistes vt interpres Dei promissa præmia defunctis postulat.

Diuinus itaque Antistes, vt Eloquia testantur, interpres est diuinorũ iudiciorum; angelus enim Domini omnipotentis est Dei: quapropter ex Scripturis diuinitus traditis accepit, quomodo iis, qui sanctè viuunt, pro cuiusque meritis diuina clarissimaque vita ab æquissimis istis lancibus retribuatur, diuinâ nimirum clementiâ, pro bonitate suâ, maculas ex humanâ fragilitate contractas dissimulante, quòd nemo, vt Eloquia tradunt, mundus sit à sorde. Hæc itaque promissa nouit Antistes ex verissimis Scripturis; quare petit illa compleri, indulgerique iis qui piè vixerint sacra præmia, simulque semetipse benignè conformans ad imitationem Dei, non secùs aliis quàm sibi ipsi dona poscens ac gratias: sciens item promissiones Dei esse infallibiles, præsentibus etiam apertè declarat, illa quæ ab eo iure sacro postulantur, prorsus euentura illis, qui secundùm Deum vitam consummarint. Etenim Antistes, cùm sit præcipuus diuinæ iustitiæ præco, numquam postularet ea quæ non essent Deo quàm gratissima, & iuxta promissiones eius deiformiter concedenda. Quamobrem defunctis improbis nequaquam istiusmodi precatur, non solùm quòd interpretis officium in hoc violaret, atque præsumptuosè sibi quidquam munerum pontificalium arrogaret, ab auctore mysteriorum minimè motus; verùm etiam quòd impiâ petitione frustraretur, & à iusto prorsus Eloquio

Ὁ θεῖος Ἱεράρχης ἐκφαντορικός ἐστιν, ὡς τὰ Λόγιά φησι, τῶν θεαρχικῶν δικαιωμάτων· ἄγγελος γὰρ Κυρίου παντοκράτορος Θεοῦ ἐστι· μεμάθηκεν οὖν ἐκ τῶν θεοπαραδότων Λογίων, ὅτι τοῖς ὁσίως βιώσασιν, ἡ φανοτάτη καὶ θεία ζωὴ κατ' ἀξίαν ὑπὸ τῶν δικαιοτάτων ζυγῶν ἀντιδίδοται, παρορώσης ἀγαθότητι τῆς θεαρχικῆς φιλανθρωπίας, τὰς ἐγγινομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας κηλῖδας, ἐπείπερ οὐδείς, ὡς τὰ Λόγιά φησι, καθαρὸς ἀπὸ ῥύπου. Ταῦτα μὲν οὖν ὁ Ἱεράρχης οἶδεν ἐπηγγελμένα πρὸς τῶν ἀληθῶν Λογίων· αἰτεῖ δὲ αὐτὰ γενέσθαι, καὶ δωρηθῆναι τοῖς ὁσίως βιώσασι τὰς ἱερὰς ἀντιδόσεις, ἅμα μὲν ἐπὶ τὸ θεομίμητον ἀγαθοειδῶς ἐκτυπούμενος, καὶ τὰς ἑτέρων δωρεὰς ὡς οἰκείας ἐξαιτῶν χάριτας· ἅμα δὲ καὶ τὰς ἀψευδεῖς ἐπαγγελίας εἰδὼς ἐσομένας, καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων, ὅτι τὰ παρ' αὐτοῦ κατὰ θεσμὸν ἱερὸν ἐξαιτούμενα, πάντως ἔσται τοῖς κατὰ θείαν ζωὴν τελειουμένοις. Οὐ γὰρ ἂν ὁ Ἱεράρχης, ὁ τῆς θεαρχικῆς δικαιώσεως ὑποφήτης, ἐζήτει ποτὲ τὰ μὴ τῷ Θεῷ προσφιλέστατα, καὶ πρὸς αὐτοῦ δοθήσεσθαι θεοειδῶς ἐπηγγελμένα. Διὸ τοῖς ἀνιέροις οὐκ ἐπεύχεται ταῦτα κεκοιμημένοις, οὐ μόνον ὅτι τῆς ὑποφητικῆς ἐν τούτῳ παρατραπήσεται τάξεως, καί τι τῶν ἱεραρχικῶν αὐθαδῶς τολμήσει, μὴ πρὸς τοῦ τελετάρχου κεκινημένος, ἀλλ' ὅτι καὶ τῆς ἐναγοῦς εὐχῆς ἀποτεύξεται πρὸς τοῦ δικαίου Λογίου καὶ αὐτοὺς οὐκ ἀπεικότως ἀκούων,

Αἰτεῖτε,

TEXTVS S. DIONYSII.

Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε. Οὐκοῦν ὁ θεῖος Ἱεράρχης ἐξαιτεῖ τὰ θεοειδῶς ἐπηγγελμένα καὶ φίλα Θεῷ, καὶ πάντως δωρηθησόμενα. καὶ τὸ τῆς οἰκείας ἀγαθοειδοῦς ἕξεως ἐπιδεικνὺς τῷ φιλαγάθῳ Θεῷ, καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων τὰ τοῖς ὁσίοις ἐσόμενα δῶρα. Οὕτω καὶ τὰς ἀφοριστικὰς ἔχουσιν οἱ Ἱεράρχαι δυνάμεις, ὡς ἐκφαντορικοὶ τῶν θείων δικαιωμάτων, οὐχ ὡς ταῖς αὐτῶν ἀλόγοις ὁρμαῖς τῆς πανσόφου θεαρχίας (εὐφήμως εἰπεῖν) ὑπηρετικῶς ἑπομένης, ἀλλ᾽ ὡς αὐτῶν ὑποφητικῶς ὑποκινοῦντι τῷ τελεταρχικῷ πνεύματι, τοὺς κεκριμένους Θεῷ κατ᾽ ἀξίαν ἀφοριζόντων. Λάβετε γάρ, φησί, τὸ Πνεῦμα τὸ ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· ἄν τινων κρατῆτε, κεκράτηνται. Καὶ τῷ τὰς θείας ἀποκαλύψεις τοῦ παναγεστάτου Πατρὸς ἐλλαμπομένῳ τὰ Λόγιά φησιν, Ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς· ὡς ἐκείνου καὶ παντὸς τοῦ κατ᾽ αὐτὸν Ἱεράρχου, κατὰ τὰς ἐν αὐτῷ γινομένας τῶν πατρικῶν δικαιωμάτων ἀποκαλύψεις, ἐκφαντορικῶς καὶ διαπορθμευτικῶς τούς τε θεοφιλεῖς προσιεμένου, καὶ τοὺς ἀθέους ἀποκληροῦντος. Καὶ τὴν ἱερὰν γὰρ ἐκείνην θεολογίαν, ὡς τὰ Λόγιά φησιν, οὐκ αὐτοκινήτως, οὐδὲ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων, ἀλλ᾽ ὑπὸ Θεοῦ νοητῶς αὐτὸν τὰ θεῖα μυήσαντος, ἀπεφθέγξατο. Τοὺς μὲν οὖν ἐνθέους Ἱεράρχας, οὕτω καὶ τοῖς ἀφορισμοῖς, καὶ πάσαις

etiam ipſe meritò audiens, *Petitis, & non accipitis, quia malè petitis.* Iac. 4, 3.
Poſtulat itaque ſanctus Antiſtes ea quæ ſunt diuinitus promiſſa, & accepta ſunt Deo, omninoque largienda: & affectum benignitatis ſuæ clementiſſimo Deo ac præſentibus omnibus apertè declarans, quænam bona ſancti adepturi ſint inſinuat. Eodem modo Antiſtites habent poteſtatem ſegregandi, tamquam interpretes diuinarum iuſtificationũ; non quòd irrationabilibus motibus ſapientiſſima diuinitas ſeruiliter (vt honeſtè dixerim) obſequatur, ſed quòd ipſimet ſpiritu myſteriorum principali, à quo ad interpretandum mouentur à Deo, pro meritis iudicatos ſecernant.

Quæ ſit poteſtas data Sacerdotibus ligandi & ſoluendi.

Accipite enim, inquit, *Spiritum ſanctum, quorum remiſeritis peccata, remittentur eis; & quorum retinueritis, retenta ſunt.* Ioa. 20, 22.
Quin & ei, qui diuinas reuelationes à ſupremo Patre didicerat, dicitur, *Quodcumque ligaueris ſuper terram, erit ligatum & in cœlis; & quodcumque ſolueris ſuper terram, erit ſolutum & in cœlis.* Mat. 16, 19
ita vt ille, omniſque Pontifex illi ſimilis, iuxta reuelationes paternarũ iuſtificationum ſibi indultas, quaſi interpres ac portitor Deo charos admittat, & impios excludat. Neque enim ſanctam illam Dei profeſſionem, vt Eloquia teſtantur, motu proprio, carnéve aut ſanguine reuelantibus, ſed à Deo ſpiritaliter illum imbuente perdoctus, pronuntiauit. Quare ſanctis Antiſtitibus tam ſegregandi quàm aliis ſacris

facul-

TEXTVS S. DIONYSII. facultatibus vtendum, prout ipſis diuinorum auctor myſteriorum diuinitus inſpirarit. Pontifices autem ita ceteris ſunt obſeruandi in iis quæ vt Pontifices gerunt, tamquam ipſi à Deo moneantur.
Luc. 10, 16 *Qui enim, inquit, vos ſpernit, me ſpernit.*

§. 8. Sed iam ad ea, quæ dictam precatione ſubſequuntur, veniamus. Vbi Pontifex eam finiuit, ipſemet defunctum ſalutat, ac deinde omnes qui adſunt: omnibus enim viris deiformibus admodum gratus eſt, & honore dignus, quiſquis diuinam vitam tranſegit. Poſt ſalutationem verò Pontifex defuncto
Cur defunctus inungatur. oleum affundit. Memineris hîc, vt in primâ illâ regeneratione ſacrâ ante ſanctum Baptiſmum, poſt antiquarum veſtium depoſitionem, ille qui initiatur, in primâ ſancti ſymboli participatione, ſacri Chriſmatis oleo inungatur; & hîc demum in fine omnium defuncto itidem oleum affunditur. Et tunc quidem olei inunctio baptizandum ad ſacra certamina euocabat; nunc autem affuſum oleum declarat, eum qui defunctus eſt iiſdem ſacris certaminibus exactis functum eſſe.

§. 9. *De loco ſepulturæ.* His peractis, Pontifex defuncti corpus honeſto loco recondit vnà cum ceteris eiuſdem ordinis corporibus ſacris. Si enim is qui defunctus animâ ſimul & corpore ſanctam vitam egit, corpus etiam vnà cum animâ ſanctâ ſimul in honore erit ac pretio, quòd ſacris ſudoribus vnà concertauerit. Diuina itaque iuſtitia animæ & corpori condigna præmia largitur,

ταῖς ἱεραρχικαῖς δυνάμεσι χρηστέον, ὅπως ἂν ἡ τελετάρχις αὐτοὺς θεαρχία κινήσῃ· τοὺς δὲ ἄλλους οὕτω τοῖς Ἱεράρχαις, ἐν οἷς ἂν δρῶσιν ἱεραρχικῶς, προσεκτέον, ὡς ὑπὸ Θεοῦ κεκινημένοις. Ὁ ἀθετῶν γὰρ ὑμᾶς, φησὶν, ἐμὲ ἀθετεῖ.

Ἀλλ' ἐπανέλθωμεν εἰς τὰ τῆς εἰρημένης εὐχῆς ἀκόλουθα. Τελέσας γὰρ αὐτὴν ὁ Ἱεράρχης, αὐτός τε ἀσπάζεται τὸν κεκοιμημένον, καὶ ἑξῆς οἱ παρόντες ἅπαντες· ἡδὺς γάρ ἐστι καὶ τίμιος ἅπασι τοῖς θεοειδέσιν, ὁ κατὰ θείαν ζωὴν τετελειωμένος. Μετὰ δὲ τὸν ἀσπασμὸν, ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ Ἱεράρχης. Μέμνησο δὲ, ὅτι κατὰ τὴν ἱερὰν θεογενεσίαν πρὸ τοῦ θειοτάτου Βαπτίσματος, πρώτη μέθεξις ἱεροῦ συμβόλου δωρεῖται τῷ τελουμένῳ, μετὰ τὴν ὁλικὴν τῆς προτέρας ἐσθῆτος ἀπαμφίασιν, τὸ τοῦ χρίσεως ἔλαιον· ἐν τέλει δὲ νῦν ἁπάντων, ἐπὶ τῷ κεκοιμημένῳ τὸ ἔλαιον ἐπιχέεται. Καὶ τότε μὲν ἡ τοῦ ἐλαίου χρίσις ἐπὶ τοὺς ἱεροὺς ἀγῶνας ἐκάλει τὸν τελούμενον· νῦν δὲ τὸ ἐπιχεόμενον ἔλαιον ἐμφαίνει, κατὰ τοὺς αὐτοὺς ἱεροὺς ἀγῶνας ἀθλήσαντα καὶ τελειωθέντα τὸν κεκοιμημένον.

Ταῦτα τελέσας ὁ Ἱεράρχης, ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα, μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων. Εἰ γὰρ ἐν ψυχῇ καὶ σώματι τὴν θεοφιλῆ ζωὴν ὁ κεκοιμημένος ἐβίω, τίμιον ἔσται μετὰ τῆς ὁσίας ψυχῆς, καὶ τὸ συναθλῆσαν αὐτῇ σῶμα κατὰ τοὺς ἱεροὺς ἱδρῶτας. Ἔνθεν ἡ θεία δικαιοσύνη μετὰ τοῦ σφετέρου σώματος αὐτῇ δωρεῖται τὰς

ἀμοιβαίας

TEXTVS S. DIONYSII.

ἀμοιβαίας λήξεις, ὡς ὁμοποροῦντι καὶ συμμετόχῳ τῆς ὁσίας ἢ τῆς ἐναντίας ζωῆς. Διὸ καὶ τῶν ἱερῶν ἡ θεία θεσμοθεσία τὰς θεαρχικὰς κοινωνίας ἀμφοῖν δωρεῖται· τῇ ψυχῇ μὲν, ἐν καθαρᾷ θεωρίᾳ καὶ ἐν ἐπιστήμῃ τῶν τελουμένων· τῷ σώματι δὲ, κατὰ τὸ θειότατον ὡς ἐν εἰκόνι μύρον, καὶ τὰ τῆς θεαρχικῆς κοινωνίας ἱερώτατα σύμβολα, τὸν ὅλον ἄνθρωπον ἁγιάζουσα, καὶ τὴν ὁλικὴν αὐτοῦ σωτηρίαν ἱερουργοῦσα, καὶ τελεωτάτην αὐτοῦ τὴν ἀνάστασιν ἔσεσθαι διαγγέλλουσα ταῖς καθολικαῖς ἁγιστείαις.

Τὰς δὲ τελεστικὰς ἐπικλήσεις οὐ θεμιτὸν ἐν γραφαῖς ἀφερμηνεύειν, οὐδὲ τὸ μυστικὸν αὐτῶν, ἢ τὰς ἐπ' αὐταῖς ἐνεργουμένας ἐκ Θεοῦ δυνάμεις, ἐκ τοῦ κρυφίου πρὸς τὸ κοινὸν ἐξάγειν· ἀλλ' ὡς ἡ καθ' ἡμᾶς ἱερὰ παράδοσις ἔχει, ταῖς ἀνεκπομπεύτοις μυήσεσιν αὐτὰς ἐκμαθὼν, καὶ πρὸς θειοτέραν ἕξιν καὶ ἀναγωγὴν ἔρωτι θείῳ καὶ ἐνεργείαις ἱεραῖς ἀποτελεσθεὶς, ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἀναχθήσῃ πρὸς τὴν ὑπερτάτην αὐτῶν ἐπιστήμην.

Τὸ δὲ καὶ παῖδας οὔπω τὰ θεῖα συνιέναι δυναμένους, τῆς ἱερᾶς μετόχους γίγνεσθαι θεογενεσίας, καὶ τῶν ἱερωτάτων τῆς θεαρχικῆς κοινωνίας συμβόλων, δοκεῖ μὲν, ὡς φὴς, τοῖς ἀνιέροις εὐλόγου γέλωτος ἄξιον, εἰ τοὺς ἀκοῦσαι μὴ δυναμένους ἐκδιδάσκουσιν οἱ Ἱεράρχαι τὰ θεῖα, καὶ τοῖς μὴ νοοῦσιν εἰκῆ παραδιδόασι τὰς ἱερὰς παραδόσεις· καὶ τὸ ἔτι γελοιότερον, ὡς ὑπὲρ αὐτῶν ἕτεροι τὰς ἀποταγάς φασι, καὶ τὰς ἱερὰς ὁμο-

tamquam comiti & conſorti ſiue diuinæ ſiue contrariæ vitę. Idcircò etiam ſanctorum ſacra functio diuinas vtrique participationes elargitur; animæ quidem, in puriſſimâ contemplatione & rerum perfectarum ſcientia; corpori verò ſacratiſſimum Vnguentum quaſi in imagine per ſacratiſſima diuinæ communicationis ſymbola totum hominem ſanctificans, & integram ſalutem eius operans, nec non denuntians per vniuerſales luſtrationes perfectiſſimam ei fore reſurrectionem.

Quid affuſio Vnguēti deſignet.

§. 10. *Inuocationes conſecrationis non eſſe propalandas.*

Inuocationes porrò conſecratorias nefas eſt ſcripto interpretari, & arcanum earum ſenſum, virtuteſque quas in iis Deus operatur, è ſecreto in publicum efferre: ſed, vt noſtra ſacroſancta traditio docet, vbi eas ſecretioribus inſtructionibus hauſeris, atq; ad habitum ſacratiorem atque capaciorem intelligentiam, diuino amore ſacriſq; actionibus conſummatus, euaſeris, diuinâ luce colluſtratus ad ſupremam earum ſcientiam ſubuehêris.

§. 11. *Quòd infantes rationis adhuc impotes baptizentur.*

Quòd autem infantes quoque, qui per ætatem nequeunt intelligere, diuinę regenerationis ſanctiſſimorumque diuinæ communionis myſteriorum participes fiant, videtur, vt inquis, hominibus profanis non immeritò riſu dignum, quòd Pontifices eos erudiant qui nequeunt audire, ſanctaſque traditiones non intelligentibus fruſtrà tradant; neque minùs ridiculum eſt, quòd alij pro iis abrenuntiationes ſacraſque profeſſiones

TEXTVS S. DIONYSII.

pronuntient. Verùm non oportet tam ſanctam prudentiã errantibus indignari, ſed religioſè ad eorum inſtitutionem cum charitate rationem reddere, & obiectiones eorum ſoluere; atque illud inſuper ſecundùm ſacram ſanctionem addere, quomodo diuina omnia nequaquam noſtrâ intelligentiâ cõmenſuranda ſint, ſed plurima quæ nos latent cauſas habere Deo dignas, quas nos quidem ignoremus, verùm ab ordinibus nobis præſtantioribus perſpicuè cognoſcantur. Plurima item latent ſupremas illas ſublimiſſimasq; ſubſtantias, quæ ſoli ſapientiſſimæ ſapientificæque diuinitati nota ſunt. Verumtamen hac de re id quoque dicimus, quòd deiformes præceptores noſtri ab antiquâ traditione acceptum nobis tranſſcripſerunt. Aiunt enim, quod & verum eſt, infantes, ſi in lege ſacrâ inſtituantur, ad ſanctum animi ſtatum peruenturos eſſe omni errore liberos, & ſine vllo impuræ vitæ periculo. Hoc enim cùm in mentem veniſſet diuinis noſtris inſtitutoribus, placuit admitti pueros hoc ſancto modo, vt oblati paruuli parentes naturales filium vni ex fidelibus tradant, qui præclarè in diuinis rebus puerum erudiat, ſub cuius deinceps curâ ſit, tamquam ſub Patre diuino., ſanctæque ſalutis ſuſceptore. Hunc itaque Antiſtes, ſanctè promittentẽ ſe puerum ad ſanctam vitam informaturum, iubet profiteri abrenuntiationes ſacrasq; profeſſiones; non enim, vt illi ſubſannatores aiunt, alium pro

λογίας. Δεῖ δὲ τὴν σὴν ἱεραρχικὴν συνέσιν μὴ χαλεπαίνειν ἐπὶ τοῖς πεπλανημένοις, ἀλλ' εὐλαβῶς τε ἅμα καὶ τῆς αὐτῶν φωταγωγίας χάριν ἀγαπητικῶς ἀπολογεῖσθαι πρὸς τὰς ὑπ' αὐτῶν προφερομένας ἐνστάσεις, προστιθέντα καὶ τοῦτο κατὰ θεσμὸν ἱερὸν, ὡς οὐκ ἐν τῇ καθ' ἡμᾶς γνώσει πάντα τὰ θεῖα περιγράφεται, πολλὰ δὲ τῶν ὑφ' ἡμῶν ἀγνοουμένων, αἰτίας ἔχει θεοπρεπεῖς, ἡμῖν μὲν ἠγνοημένας, ἐπιστητὰς δὲ ταῖς ἡμῶν κρείττοσι τάξεσι. Πολλὰ δὲ καὶ τὰς ὑπερτάτας οὐσίας λέληθε, καὶ πρὸς μόνης ἀκριβῶς ἔγνωσται τῆς πανσόφου καὶ σοφοποιοῦ θεαρχίας. Πλήνγε, ὅτι καὶ περὶ τούτου ταῦτά φαμεν ἅπερ οἱ θεοειδεῖς ἡμῶν ἱεροτελεσταὶ, πρὸς τῆς ἀρχαίας μυηθέντες παραδόσεως, εἰς ἡμᾶς προήγαγον. Φασὶ γὰρ, ὅπερ ἐστὶ καὶ ἀληθὲς, ὅτι κατὰ θεσμὸν ἱερὸν ἀναγόμενα τὰ βρέφη, πρὸς ἕξιν ἱερὰν ἥξουσι, πάσης ἀποτελούμενα πλάνης, καὶ ἀνιέρου ζωῆς ἀπείρατα. Τοῦτο τοῖς θείοις ἡμῶν καθηγεμόσιν εἰς νοῦν ἐληλυθὸς, ἔδοξεν εἰσδέχεσθαι τὰ βρέφη κατὰ τόνδε τὸν ἱερὸν τρόπον, ὥστε τοὺς φυσικοὺς τοῦ προσαγομένου παιδὸς γονέας, παραδιδόναι τὸν παῖδά τινι τῶν μεμυημένων ἀγαθῷ τὰ θεῖα παιδαγωγῷ, καὶ τὸ λοιπὸν ὑπ' αὐτῷ τὸν παῖδα τελεῖν, ὡς ὑπὸ θείῳ πατρὶ καὶ σωτηρίας ἱερᾶς ἀναδόχῳ. Τοῦτον οὖν ὁ Ἱεράρχης ὁμολογοῦντα, κατὰ τὴν ἱερὰν ἀναγαγεῖν τὸν παῖδα ζωὴν, ἀπαιτεῖ τὰς ἀποταγὰς ὁμολογῆσαι, καὶ τὰς ἱερὰς ὁμολογίας, οὐχ, ὡς ἂν ἐκεῖνοι γελῶντες φαῖεν, ἄλ-

λον

TEXTVS S. DIONYSII.

λον ἀντ' ἄλλου τὰ θεῖα μυῶν· οὐδὲ γὰρ τοῦτό φησιν, ὡς Ὑπὲρ τοῦ παιδὸς ἐγὼ τὰς ἀποταγὰς, ἢ τὰς ἱερὰς ὁμολογίας ποιοῦμαι· ἀλλ' ὅτι ὁ παῖς ἀποτάσσεται καὶ συντάσσεται· τουτέστιν, Ὁμολογῶ τὸν παῖδα, πείσειν εἰς νοῦν ἱερὸν ἰόντα, ταῖς ἐμαῖς ἐνθέοις ἀναγωγαῖς, ἀποτάξασθαι μὲν ὁλικῶς τοῖς ἐναντίοις, ὁμολογῆσαι δὲ καὶ ἐνεργῆσαι τὰς θείας ὁμολογίας. Οὐδὲν οὖν, ὡς οἶμαι, τὸ ἄτοπον, εἰ κατὰ θείαν ὁ παῖς ἀναγωγὴν ἀνάγεται, καθηγεμόνα καὶ ἀνάδοχον ἱερὸν ἔχων, ἕξιν αὐτῷ τῶν θείων ἐμποιοῦντα, καὶ φυλάττοντα τῶν ἐναντίων ἀπείρατον. Μεταδίδωσι δὲ τῷ παιδὶ τῶν ἱερῶν συμβόλων ὁ Ἱεράρχης, ὅπως ἐν αὐτοῖς ἀνατραφείη, καὶ μηδὲ σχοίη ζωὴν ἑτέραν, εἰ μὴ τὴν τὰ θεῖα θεωροῦσαν ἀεὶ, καὶ κοινωνὸν αὐτῶν ἐν προκοπαῖς ἱεραῖς γιγνομένην, ἕξιν τε ἱερὰν ἐν τούτοις ἴσχουσαν, ἀναγομένην τε ἱεροπρεπῶς ὑπὸ τοῦ θεοειδοῦς ἀναδόχου.

Τοσαῦτα, ὦ παῖ, καὶ οὕτω καλὰ τῆς καθ' ἡμᾶς Ἱεραρχίας, ὤφθη μοι τὰ ἑνοειδῆ θεάματα, πρὸς ἄλλων δὲ ἴσως ὀπτικωτέρων νοῶν, οὐ ταῦτα μόνον ἐθεωρήθη, φανότερα δὲ πολλῷ καὶ θεοειδέστερα. Καὶ σοὶ δὲ, ὡς οἶμαι, πάντως ἐλλάμψει τηλαυγέστερα κάλλη καὶ θειότερα, τοῖς εἰρημένοις ἐπαναβαθμοῖς χρωμένῳ, πρὸς ὑπερτέραν ἀκτῖνα. Μετάδος οὖν, ὦ φίλε, καὶ αὐτὸς ἐμοὶ τελειοτέρας ἐλλάμψεως, καὶ δεῖξον ἐμοῖς ὀφθαλμοῖς ἅπερ ἂν ἴδειν δυνηθείης εὐπρεπέστερα κάλλη καὶ ἑνοειδέστερα· θαρ-

alio rebus diuinis imbuit: neque enim ſponſor dicit, Ego pro puero abrenuntiationes facio, ſacráſve profeſſiones, ſed hoc modo puerum aſſerit renuntiare ac profiteri; ac ſi dicat: Profiteor me huic puero, cùm per ætatem intelligere ſacra poterit, diuinis meis inſtitutionibus perſuaſurum, vt aduerſariis nuntium omnino remittat, & diuina promiſſa profiteatur, & exoluat. Nihil ergo, vt opinor, abſurdum eſt, ſi ad diuinum inſtitutum puer adducitur, cùm ducem ac ſponſorem habeat qui eum & diuinarum rerum ſcientiâ imbuat, & ab aduerſariis tutum cuſtodiat. Porrò Pontifex puerum conſortem facit ſacrorum myſteriorum, vt in eis educetur, neque agat vitam aliam, quàm eam quæ diuina ſemper ſpectet, & huiuſmodi ſanctâ communione proficiat, atque in his ſacrum habitum poſſideat, & à ſuſceptore deiformi ſtudioſè promoueatur.

Iſta, mi fili, tanta tamque præclara Hierarchiæ noſtræ ſpectacula mihi manifeſtata, ſed aliis fortaſſe mentibus perſpicacioribus, non ſolùm hæc, verùm etiam alia multò illuſtriora atque deiformiora perſpecta ſunt. Quin & tibi quoque, vt opinor, clariores diuinioresque pulchritudines collucebunt, ſi iis gradibus, quos dixi, ad ſublimiorem radium conſcendas. Communica igitur & tu mihi perfectiorem illuſtrationem, meiſque oculis exhibe preſtantiores formas, quæ vnius ſpeciem magis exprimant: confido enim,

ANNOTATIONES CORDERII.

me iis, quæ commemorata sunt, insitas tibi diuini ignis scintillas excitaturum.

ῥῶ γὰρ, ὅτι τοῖς εἰρημένοις ἐγὼ τοὺς ἐναποκειμένους ἐν σοὶ τοῦ θείου πυρὸς ἀνασκαλεύσω σπινθῆρας.

ANNOTATIONES CORDERII.

NOTA Primò hîc antiquũ Ecclesiæ ritum pro defunctis deprecandi,& eosdem, pro cuiusque dignitate, honorifico & sacro loco sepeliendi,& exequias celebrandi. De his quoque Augustinus in libro de Curâ agẽdâ pro mortuis, in eamdem planè cum Dionysio sententiam, *Qui facit*, inquit,*exequias mortuorũ, ob amorem illius facit, qui promisit corpora resurrectura.* Neque enim contemnenda sunt & abiicienda corpora defunctorum, maximè fidelium, quibus tamquam organis & vasis ad omnia opera bona vsus est Spiritus sanctus. Vnde & antiquorum fidelium funera officiosâ pietate curata sunt, & exequiæ celebratæ, ac sepulturæ prouisæ; ipsique cùm viuerent, de sepeliendis seu transferendis suis corporibus filiis mãdauerunt. & Tobias sepeliendis mortuis Deum promeruisse commendatur. Ipse Dominus die tertiâ resurrecturus, gloriosæ mulieris bonum opus prædicit prædicandum; & Ioseph qui eum sepeliuit mirè collaudatur. Ac ideò pro nostris defunctis certare debemus, quatenus possint participes fieri eorum quos Christus à claustris reuocauit inferni. Plura de exequiis mortuorum & eorum commemoratione vide apud Alcuinum in libro de Diuinis officiis.

Nota Secundò ad Partem secundam Capitis, Sacerdotes alio ritu ac loco quondam sepeliri solere quàm laicos: vti quoque ex Bedâ tradit Amalarius lib. 4. de Ecclesiasticis officiis cap.41. *Apertè*,inquit, *Dominus Beda declarat in exequiis sancti Cuthberti,quomodo vestiri oporteat Sacerdotem defunctum; ita enim scribit de eius exequiis: Postquam ergo sanctæ memoriæ Cuthbertus Episcopus peractâ communione,eleuatis oculis & manibus ad Deum, commendans ei animam suam, & emittens spiritum, sedensq́; sine gemitu obijt,in viâ Patrum à nauigantibus ad insulam nostram delatus, toto corpore leuato, capite sudario circumdato, oblatâ super pectus sanctum positâ, vestimento sacerdotali indutus,in obuiàm Christi calceamentis suis præparatus, in sindone cereatâ inuolutus, animam habens cum Christo gaudentem. Non est dubitandum*, inquit Amalarius, *quin ipse mos esset apud Romanam Ecclesiam in hac re, qui apud Anglos fuit, præsertim cùm ex illâ primum Episcopum Augustinum haberent Angli-Saxones,& eo tempore quo celeberrima fuit Romana Ecclesia, propter auctoritatem doctissimi eius Episcopi Gregorij; & posteà ex eadem Ecclesiâ habuerunt Archiepiscopum Theodorum in vtraq; linguâ peritissimum.* Plura qui volet, videat apud Amalarium loco citato, & cap. sequenti, vbi agit de officiis mortuorum, & Rabanum Maurum lib.2. de Institutione Clericorum cap.44.

Nota Tertiò,Parte tertiâ huius Capitis §.11.Dionysij testimonio ab Apostolis accepto confutari Anabaptistas, qui negant prodesse paruulis Baptismum,cùm tamen Dominus dixerit, *Sinite paruulos venire ad* Marc.10,
me,talium est enim regnum cælorum;quod 14.
quidem Clemens Apostolicarum Constitutionum lib.6. cap.15. de paruulis baptizandis interpretatur,dicens: *Baptizate autem vestros pueros infantes, & educate eos* Luc.18,16
in disciplinâ & monitione Dei: Sinite enim, ait Dominus,pueros venire ad me,& ne prohibete eos. Plura de hac re vide apud Vasquez in 3. Partem, Disputat. 154. capite primo.

SCHOLIA S. MAXIMI.

I.§.1. 
SIC DVM AD.] Quoniam non ad eadem loca referuntur omnes qui moriuntur, & de resurrectione.

IN VNIVERSALI RESVRRECTIONE.] Scilicet cum corpore.

NAM HÆ QVIDEM.] De iustis agit.

PVRA VERO ILLA.] Agit de corporum resurrectione.


ΟΥΤΩ καὶ περὶ.] Ὅτι οὐκ ἐν τοῖς αὐτοῖς τόποις ἀπάγονται οἱ τελευτῶντες πάντες, καὶ περὶ ἀναστάσεως.

Ὁλικῆς ἀναστάσεως.] Τῆς μετὰ τοῦ σώματος δηλονότι.

Αἱ μὲν γάρ.] Περὶ δικαίων λέγει.

Τὰ δὲ καθαρὰ τῶν.] Περὶ ἀναστάσεως σωμάτων.

Τῶν

Τῶν δοξαζόντων ἀνάστασιν καὶ κρίσιν,

οἱ μὲν, μετὰ τῶν αὐτῶν σωμάτων ἐγείρεσθαι τὴν ψυχὴν φασιν, ὡς Χριστιανοί,	οἱ δὲ, δίχα σώματος,	οἱ δὲ, μετ' ἄλλων σωμάτων ξένων, καὶ βίον ἔχειν, οἷον νῦν.

Τῶν κεκοιμημένων,

οἱ μὲν εἰσὶν ἱεροί,	οἱ δὲ ἀνίεροι.

Ἑνωθέντα γάρ.] Ὅτι ἑνοῦται ταῖς ψυχαῖς τὰ σώματα.

Τῶν δὲ ἀνιέρων.] Περὶ θανάτου ἁμαρτωλῶν, καὶ τί νομίζουσι μετὰ θάνατον γίνεσθαι οἱ Ἕλληνες, ὧν τὰς δόξας ἐκτίθεται. Τούτων γὰρ, οἱ μὲν ἀλογιστότεροι, οὔτε ἀθάνατον τὴν ψυχὴν ὁμολογοῦσιν (ὧν ἐστι καὶ Βίας, οὐχ ὁ Πριηνεὺς, ἀλλ' ἕτερός τις) ἀλλὰ θνητὴν, καὶ λύεσθαι αὐτὴν ὃν τρόπον καὶ τὸ σῶμα, καὶ εἰς τὸ μὴ εἶναι χωρεῖν. Οἱ δὲ δῆθεν αὐτῶν λογικώτεροι, καὶ περὶ ἀθανασίας ψυχῆς φιλοσοφήσαντες, ὡς Πλάτων καὶ οἱ τοιοῦτοι, μετὰ θάνατον τὸ μὲν σῶμα οὐκ ἔτι συστήσεσθαι φασιν, ἀλλ' εἰς αἰῶνας οὐχ ὑποστρέφειν ἔτι πρὸς τὴν οἰκείαν σύστασιν· τοῦτο γάρ ἐστιν ὅ φησιν εἰσάπαξ, ἀντὶ τοῦ μηκέτι συστησόμενον, ἐπειδὴ ἀνάξιον εἶναι φασὶ τὸ ὑλικὸν συνδιαιωνίζειν ψυχῇ, τὴν δὲ ψυχὴν μόνον ἀθανάτως ὑπάρχειν. Ταῦτα καὶ αἱρετικοὶ λέγουσι διαφόρως, ὡς οἱ ἀπὸ Σίμωνος τοῦ Μάγου, καὶ Μενάνδρου, καὶ Οὐαλεντίνου, καὶ Μαρκίωνος, καὶ Μάνεντος, καὶ νῦν δὲ οἱ ἀπὸ τῶν Ὠριγένους περιερχόμενοι μύθων, οὐ γὰρ δογμάτων. Καὶ ὁρᾶτε τίσι θέλουσι συναριθμεῖσθαι, καὶ ποίας ἀτόπους δόξας τῇ ἀμωμήτῳ τῶν Χριστιανῶν πίστει προσάπτουσιν οἱ στυγητοὶ παρὰ Θεῷ καὶ ἀνθρώποις εὖ φρονοῦσιν ὑπάρχοντες.

Οἱ δὲ, τὴν σωματικήν.] Τουτέστι, ψυχῶν μόνων γίνεσθαι ἀνάστασιν, σωμάτων χωρίς.

Ἀρθεῖσαν ἤδη.] Ὃ λέγει ὁ Ἀπόστολος ἀῤῥαβῶνα καὶ ἀπόδειξιν τῆς μετὰ σώματος καθολικῆς ἀναστάσεως, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν γεγενῆσθαι, καὶ ὅτι ἐν αὐτῷ νῦν κέκρυπται ἡ ζωὴ ἡμῶν, ἐν τῷ Θεῷ φανερωθησομένη ἐν τῇ παλιγγενεσίᾳ.

Ψυχαῖς συζυγίας.] Αἱρετικοί τινες τότε γεγόνασιν, ὡς οἱ περὶ Σίμωνα τὸν Μάγον, καὶ τοὺς σὺν αὐτῷ, οἵτινες αἰθέριον ἔφασκον εἶναι καὶ ἄρα ἔσεσθαι σῶμα ταῖς ψυχαῖς. Ἰστέον δὲ

Eorum qui sentiunt quidem esse resurrectionem & iudicium,

alij quidem dicũt, animam cum iisdem corporibus resurgere, vt Christiani,	alij autem sine corpore,	alij verò cum aliis corporibus nouis, & vitam habere qualem nunc.

Defunctorum

alij quidam sancti,	alij verò profani.

VNITA ENIM.] Animas cum corporibus vniri.

PROFANORVM AVTEM.] De morte peccatorum, & quid Gentiles existiment fieri post mortem, quorum opiniones exponit. Horum quidem aliqui magis à ratione remoti, ne quidem animam fatentur esse immortalem (inter quos etiam est Bias non ille Prieneus, sed quidam alius) sed censent eam mortalem esse, & resolui non secùs atque corpus, & in nihilum redigi. Alij verò his vtique prudentiores, qui etiam de immortalitate animæ philosophantur, vt Plato ac similes, aiunt quidem, corpus post mortem nequaquam substiturum, sed nec in æternum ad subsistentiam suam reuersurũ. Hoc enim est quod dicit εἰσάπαξ, id est, non amplius extiturũ; quandoquidem indignum esse aiunt, vt materiale corpus animæ immateriali sit coæuum, animam verò solam esse immortalem. Hæc etiam hæretici diuersimodè tradunt, vt Simonis Magi, & Menandri, & Valentini, & Marcionis, & Manetis discipuli, quique etiamnum Origenis fabellas (neque enim doctrinæ sunt) consectantur. Vide autem quibus velint annumerari, & quàm absonas opiniones irreprehensibili Christianorum Fidei affingant isti Deo hominibusque prudentibus inuisi. §. 2. *Gentilium deliramẽta circa defunctos.*

ALII VERO CORPOREVM.] Hoc est animarum tantùm fieri resurrectionem absque corporibus.

QVOD IAM COEPTVM EST.] Quod Apostolus ait, pignus & probationem vniuersalis in corpore futuræ resurrectionis Dominum nostrum Iesum extitisse, & quòd in ipso modò abscondita sit vita nostra in Deo apparitiua in regeneratione.

ANIMABVS CONIVGIA.] Hæretici aliqui tum fuerunt, vt Simon Magus eiusq; sectatores, qui dicebant, corpus tunc æthereum animis futurum. Ceterùm sciendum est, Orige- *Quid hæretici circa defunctos.*

Origenem quoque idem in quodam libro suo dicere, quod tamen alibi prorsus negat, docens, omnem corpoream naturam in nihilum abire. Lege S. Methodij martyris, & Olympij Adrianopolitani Episcopi Liciæ, nec non Antipatri Bostiorum Episcopi libros, quos in eum de resurrectione conscripserunt, & disces fabulosum eius ac monstrosum deliramentum.

Beatissimamque.] Hæc ait insinuans, vt opinor, Papiam Hieropolis Asiæ Episcopum, qui D. Ioannis Euangelistæ temporibus floruit. Hic enim Papias libro 4. Dominicarum suarum explanationum scripsit, fore in resurrectione voluptates quæ percipiuntur ex cibis: in quod quidem dogma postmodum Apollinarius credidit, quod aliqui vocant annum millenariũ. Quomodo igitur scripta S. Dionysij possint esse Apollinarij, vti aliqui delirant, cùm hæc Apollinariũ refutet? Quin & Irenæus Lugdunensis Episcopus libro 5. aduersus Hæreses idem tradit, vbi prædictum Papiam dictis suis testem adhibet.

Vbi ad finem.] Horribilia valdeque metuenda sunt nouissima peccatorum.

Aliis ocvlis.] Alios oculos vocat mentis quæ deinceps purior existit, & inferos contemplatur, & conuertitur ad gehennæ expectationem, quam priùs non crediderat; & idcircò ægrè sustinet ac dolet mortem, cogitans ne aliquando vera sint inferorum supplicia, atque adeò etiam peccatores in corpore suscitandos esse.

II. Coacto.] De iis qui in Ecclesiastico ordine moriuntur.

Siqvidem in sacris.] De Monachis iustis & laicis.

In divinis.] Nota, quid legatur & quid canatur pro Monachis & laicis defunctis. Ait quidem, Diaconos seu Ministros de resurrectionis promissionibus minimè fallacibus cantiones quasdam canere, quæ prædictis lectionibus consentiunt & æquiualent.

III. §. 1. Iesv illvstrante.] Loca defunctorum esse secundùm vitam eorum.

Pro divina hac.] Quoniam iustitiæ est, dare locum vitæ respondentem.

Precem sacram.] Ad quid precatio.

ὅτι καὶ Ὠριγένης τὸ αὐτό φησιν ἔν τινι τῶν αὐτοῦ συγγραμμάτων· ἐν ἄλλοις δὲ καὶ αὐτὸ παντελῶς ἀπαρνεῖται, πᾶσαν σωματικὴν φύσιν εἰς ἀνυπαρξίαν χωρεῖν δογματίζων. Ἀνάγνωθι Μεθοδίου τοῦ ἁγίου μάρτυρος, καὶ Ὀλυμπίου Ἀδριανουπόλεως Ἐπισκόπου τῆς Λυκίας, τὰ κατ' αὐτοῦ ὑπ' αὐτῶν περὶ ἀναστάσεως γραφέντα, καὶ Ἀντιπάτρου τοῦ Βοστρῶν Ἐπισκόπου· καὶ μαθήσῃ τὴν μυθώδη αὐτοῦ καὶ ἀλλόκοτον ληρῳδίαν.

Καὶ μακαριωτάτην.] Ταῦτά φησιν αἰνιττόμενος, οἶμαι, Παπίαν τὸν Ἱεραπόλεως τῆς κατ' Ἀσίαν τότε γενόμενον Ἐπίσκοπον, καὶ συνακμάσαντα τῷ θείῳ Εὐαγγελιστῇ Ἰωάννῃ· οὗτος γὰρ ὁ Παπίας ἐν τῷ τετάρτῳ αὐτοῦ βιβλίῳ τῶν Κυριακῶν ἐξηγήσεων, τὰς διὰ βρωμάτων εἶπεν ἐν τῇ ἀναστάσει ἀπολαύσεις· εἰς ὅπερ δόγμα μετὰ ταῦτα ἐπίστευσεν Ἀπολινάριος, ὃ καλοῦσί τινες χιλιονταετηρίδα. Πῶς οὖν Ἀπολιναρίου, τὰ τοῦ ἁγίου Διονυσίου συγγράμματα κατὰ τοὺς τινῶν λήρους, τὰ ἀναιροῦντα Ἀπολινάριον; Καὶ Εἰρηναῖος δὲ ὁ Λουγδούνου ἐν τῷ κατὰ Αἱρέσεων πέμπτῳ λόγῳ, τὸ αὐτό φησι, καὶ παράγει μάρτυρα τῶν ὑπ' αὐτοῦ εἰρημένων, τὸν λεχθέντα Παπίαν.

Ὅταν ἐπὶ τὸ τέλος.] Φρικτὰ καὶ λίαν φοβερὰ τὰ τῶν ἁμαρτωλῶν τέλη.

Ἑτέροις ὀφθαλμοῖς.] Ἑτέρους ὀφθαλμούς φησι, τοὺς τοῦ νοῦ, λοιπὸν καθαρωτέρου ὄντος, καὶ τὰ εἰς ᾅδου σκοποῦντος, καὶ στρεφομένου εἰς τὴν προσδοκίαν τῆς γεέννης, ἣν οὐ πρότερον πεπίστευκε· διὸ καὶ δυσαναχετεῖ καὶ ὀδύρεται τὸν θάνατον, ἐννοῶν μήποτε ἀληθεῖς ὦσιν αἱ κάτω τιμωρίαι· ὥστε καὶ οἱ ἁμαρτωλοὶ ἐν τῷ σώματι ἐγείρονται.

Συναγαγὼν ὁ.] Περὶ ἱερατικῶν τελευτώντων.

Εἰ δὲ τοῖς διαγέσι.] Περὶ Μοναχῶν δικαίων καὶ λαϊκῶν.

Ἐν τοῖς θείοις.] Σημείωσαι, τί ἀναγινώσκεται, καὶ τί ψάλλεται ἐπὶ τῶν κεκοιμημένων Μοναχῶν καὶ λαϊκῶν. Ὁμολόγους δὲ καὶ ταυτοδυνάμους ᾠδὰς λέγει, ταῖς προαναγνωσθείσαις περὶ ἀναστάσεως ἀψευδέσιν ἐπαγγελίαις ᾄδειν τοὺς λειτουργούς.

Ἰησοῦ φωταγωγοῦντος.] Ὅτι πρὸς τὸν βίον καὶ οἱ τόποι τῶν κεκοιμημένων.

Ὑπὲρ ταύτης τῆς θείας.] Ὅτι δικαιοσύνης ἐστὶ, τὸ πρὸς τὸν βίον δοῦναι καὶ τὸν τόπον.

Εὐχὴν ἱεράν.] Διὰ τί ἡ εὐχή.

Αἱ δὲ

Αἱ δὲ τῶν θεαρχικῶν.] Διὰ τί ᾠδαὶ καὶ ἀναγνώσματα. Σημείωσαι δὲ, ὁποία ἦν ἡ ἐπὶ τοῖς κεκοιμημένοις παλαιὰ ἀκολουθία καὶ τάξις.

Σκόπει δὲ, ὅτι νῦν.] Ὅτι ἐπὶ τοῖς τελευτῶσιν, οὔτε οἱ ἐνεργούμενοι, οὔτε οἱ ἐν μετανοίᾳ ἐξίασιν, ἀλλὰ μόνοι οἱ κατηχούμενοι, καὶ διὰ τί.

Οἱ κατηχούμενοι.] Οὐδὲν μὲν μικρὸν ἐν τοῖς καθ' ἡμᾶς μυστηρίοις, ἀλλὰ πάντα μεγάλα· αὐτὰ μέν τοι πρὸς ἄλληλα συγκρινόμενα, διαφορὰν ἔχουσι πρὸς μεγαλειότητα· τῶν γὰρ δρωμένων ἐπὶ τοῖς τελευτῶσι, μέγιστα καὶ ἀπαράβλητα τὰ τῶν θείων λουτρῶν, καὶ φωτισμάτων, καὶ μεταλήψεων μυστήρια· διὸ καὶ μικρὰ τὰ ἐπὶ τοῖς κεκοιμημένοις ὠνόμασε, πλὴν οὐδὲ τούτων ἄξιοι οἱ ἔτι κατηχούμενοι.

Βλαβήσονται γάρ.] Ταῦτα ἀκολουθεῖ τοῖς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ εἰρημένοις παρὰ τοῦ Ἀποστόλου περὶ τῶν ἀναξίως κοινωνούντων· ὧδε δὲ, καὶ περιφρονεῖν αὐτοὺς λέγει τῶν θείων μυστηρίων.

Ἡ μὲν οὖν εὐχὴ, τίς.] Σημείωσαι τί εὔχεται.

Ἀνθρωπίνην ἀσθένειαν.] Τουτέστι, τὰ ψιλὰ τῶν ἁμαρτημάτων.

Ἀναλόγοις σημασίαις.] Ἀναλόγοις σημασίαις ἔφη, τουτέστι, ταῖς ἡμῖν γνωρίμοις τε καὶ συνήθεσι, καὶ οὐχ ὑπὲρ τὴν ἡμετέραν νόησιν, λέξεσί τε καὶ ὀνομασίαις σημαινόμενα.

Τῆς πραγματικῆς αὐτῶν.] Τουτέστι, καθ' ὃ δυνάμεθα νοεῖν, καὶ ἐκ τῶν ἡμῖν γνωρίμων λέξεών τε καὶ ὀνομάτων τὰς ἐκεῖ ἀπολαύσεις ὁ Θεὸς ὠνόμασεν, εἰπὼν, μὴ εἶναι ἐκεῖ λύπην, ἢ νόσον, ἢ πόνον, ἢ στεναγμὸν, ἀλλὰ φῶς εἶναι· πλὴν οὐ τοῦτο τὰ ἐκεῖ ἀγαθὰ, ἀλλ' ὡς ἀληθῶς, ἄγνωστα τέως ἡμῖν καὶ ἀκατάληπτα· ἃ γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ τὰ ἑξῆς· ἀλλ' ἐξ ὧν οἴδαμεν, ὑποδείγματα δίδωσι μακαριότητος. Σημείωσαι δὲ, πῶς λαμβάνει τὸ, Εἰς κόλπους Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ.

Οὗ ἕνεκα.] Ἀπορεῖ περὶ τῆς γινομένης εὐχῆς παρὰ τοῦ Ἱεράρχου ἐπὶ τοῖς ἐν ἁμαρτίαις κεκοιμημένοις.

Τῶν δικαίων αἱ προσευχαί.] Σημείωσαι ὅτι μόνους τοὺς ἀξίους τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, ὠφελοῦσιν αἱ τῶν δικαίων προσευχαὶ, εἴτε ζῶντας, εἴτε τελευτήσαντας, οὐ μὴν ἁμαρτωλοὺς καὶ ἀξιοκατακρίτους, καὶ ὧδε, καὶ μετὰ θάνατον.

SCHOLIA S. MAXIMI.

§. 2. PORRO DIVINARVM.] Ad quid cantus & lectiones. Nota autem, qualis fuerit olim series & ordo in mortuis.

§. 3. CETERVM OBSERVA VT NVNC.] A sepulturâ defunctorum neque Energumenos neque pœnitentes excludi, sed solùm Catechumenos, & quare.

CATECHVMENI.] Nullum quidem è mysteriis nostris paruum est, sed magna sunt omnia, licet ad inuicem collata, magnitudine diuersa sint: nam respectu eorum quæ suprà defunctis fiunt, maxima & incomparabilia censenda sunt diuinorum lauacrorum, & illustrationum, communionumque mysteria, ideò parua dixit ea quæ supra defunctis fiunt, verumtamen neque his adhuc digni sunt Catechumeni.

LÆDENTVR ENIM.] Hæc consonant iis quæ ab Apostolo in Epistolâ primâ ad Corinthios de indignè communicantibus scripta sunt: hîc autem etiam ait illos diuina mysteria contemptui habere.

§. 4. PRECATIO QVIDEM.] Nota quid precetur.

HVMANAM INFIRMITATEM.] Hoc est parua peccata.

§. 5. AD CAPTVM NOSTRVM ACCOMMODATIS RATIONIBVS.] Dixit proportionatis significationibus, id est, quæ dictionibus & nominibus nobis notis & assuetis, & intelligentiam nostrâ non excedentibus significantur.

§. 6. *Scripturam loqui ad captum nostrum.* ACTIONES SVAS.] Id est, quatenus intelligere valemus etiam ex nobis notis dictionibus & nominibus, illas, quæ ibi sunt, delicias Deus nominauit, cùm dixit, non esse illic dolorem aut morbum, aut laborem aut gemitum, sed lumen: sed bona quæ ibi sunt, non sunt eiusmodi, sed nobis adhuc omnino ignota & incomprehensibilia: vtpote quæ oculus non vidit, &c. ex iis verò quæ nouimus, dat exempla beatitatis. Nota autem, quomodo accipiat illud, In sinu Abrahæ, Isaac, & Iacob.

CVIVS REI GRATIA.] Quærit de prece istâ quæ fit ab Episcopo pro iis qui defuncti sunt in peccatis.

IVSTORVM PRECES.] Nota, solis Dei misericordiâ dignis prodesse preces iustorum, siue viuant siue mortui sint, non tamen peccatoribus & iustè condemnatis, tam hîc quàm post mortem.

NVMQVID

SCHOLIA S. MAXIMI.

NVMQVID A SAMVELE.] Neque enim Saüli pessimo existenti profuit Samuel cùm orauit, neque Hebræis peccantibus Moyses. Dixit enim Dominus illi, *Noli orare pro populo isto.*

Cur precatio non prosit peccanti. SOLE LVCEM SVAM.] Vide ne fortè eum dicere putes, solem donare lumina sua; quomodo enim, cùm inanimis sit, possit dare munus? donum enim est munus libertatis; sed veluti per morum quamdam fictionem id dicit. Sicut enim si quis supponat solem dicere, Ego valentibus oculis lumen dono; postmodum aliquis laborans oculis dixerit, Da etiam mihi radium, valeo enim, is vtique acceptâ luce etiam id quod cernebat amittet: eodem etiam modo peccator affectus est, cùm viri iusti preces efflagitat. Peccator enim dum cæcutit patitur, dumque radium orationis viri illius iusti excipit, non permittit illum secundùm naturam suam operari & illuminare, sed illi tenebras offundit, quòd neque per vitam puram Dei donis attendat, & à mandatis eius, quæ illuminãdi vim obtinent, recedat atque deflectat. Qui enim peccat legem Dei respuit, neque quidquam à iusti prece lucri capiet. Se autem hæc de sole ita intelligere, significat 4. cap. lib. de Diuinis nominibus.

VTILES.] Quomodo & quando prosit iusti oratio tantùm viuenti; & respondet, quando eum pœnitet, secundùm Apostolũ,
Rom.12,15 *Flere cum flentibus*; & quando Scripturam
Iac.5, 16. illam implet, *Multum valet deprecatio iusti* operans per pœnitentiam deprecantis, scili-
Eccl.34,28 cet per orationem. Nam si vnus ædificet, nempe iustus, vnus destruat, v. g. peccator, opus manet imperfectum, quemadmodum legimus in exemplo de Saüle & Samuele.

PIE AFFECTVS.] Affectionem autẽ piam hîc vocat propriæ vitæ ad virtutem dispositionem; auxiliarem verò dixit pro adiutore.

COLLOQVIVM.] Non simpliciter itaque ad diuinum alloquium accedere, & per se optima quæque ac salutaria postulare prohibet hîc Pater, cùm sciat Apostolum præci-
1.Thes.5, 17. pere, vt sine intermissione oremus, sed ne quis, opinione quadam prauâ seductus, sanctos despiciat, & eorum preces nihili faciat.

DE DICTA PORRO.] Ab hoc loco incipit exponere quomodo oratio defuncto prosit.

Ἢ τί πρὸς τοῦ Σαμουήλ.] Οὔτε γὰρ τὸν Σαοὺλ κάκιστον ὄντα ὠφέλησεν ὁ Σαμουὴλ εὐξάμενος, οὔτε τοὺς Ἑβραίους ἁμαρτωλοὺς ὄντας ὁ Μωυσῆς· εἶπε γὰρ ὁ Κύριος πρὸς αὐτόν, Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου.

Ἡλίου τὰ οἰκεῖα.] Ὅρα μήπου γε νομίσῃς, ὅτι τὸν ἥλιόν φησι δωρεῖσθαι τὰ ἑαυτοῦ φῶτα· πῶς γὰρ ἂν ἄψυχος δωρήσαιτο; προαιρέσεως γὰρ ἡ δωρεά· ἀλλὰ κατὰ ἠθοποιΐαν οἱονεί τινα, τὸ προκείμενον λέγει. Ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸν ἥλιον λέγειν, Ἐγὼ τοῖς ἐρρωμένοις ὀφθαλμοῖς δίδωμι φῶς· εἶτα ἀσθενῶν τις τὰ ὄμματα εἴποι, Δὸς κἀμοί, ἔρρωμαι γάρ· ἔπειτα δεξάμενος τὴν ἀκτῖνα, καὶ ὃ ἑώρα ἀπολέσῃ· τὸν αὐτὸν τρόπον καὶ ὁ ἁμαρτωλός, αἰτῶν δίκαιον εὔξασθαι ὑπὲρ αὐτοῦ πάσχει. Ἀμβλυώττων γὰρ ὁ ἁμαρτωλός, καὶ δεχόμενος τὴν τοῦ δικαίου εὐχῆς τὴν ἀκτῖνα, οὐ συγχωρεῖ αὐτὴν τὰ κατὰ φύσιν ἐνεργεῖν καὶ φωτίζειν, ἀλλὰ σκότος ἑαυτῷ προξενεῖ τῷ μήτε προσέχειν διὰ καθαροῦ βίου ταῖς τοῦ Θεοῦ δωρεαῖς, καὶ τῇ ἀποφοιτήσει μέντοι, ἤγουν ἀναχωρήσει τῶν φωτιζουσῶν ἐντολῶν τοῦ Θεοῦ. Ὁ γὰρ ἁμαρτάνων καταφρονεῖ τοῦ νόμου τοῦ Θεοῦ, καὶ οὐδὲν ὑπὸ δικαίου εὐχῆς ὠφεληθήσεται. Ὅτι δὲ τὰ περὶ τοῦ ἡλίου οὕτως νοεῖ, καὶ ἐν τῷ περὶ Θείων ὀνομάτων κεφαλαίῳ δ. σημαίνει.

Ὠφέλιμοι.] Πῶς, καὶ πότε ὠφελεῖ δικαίου εὐχὴ ζῶντα μόνον. καὶ φησίν, ὅταν μετανοοῦντα κατὰ τὸν Ἀπόστολον, Κλαίειν μετὰ κλαιόντων, ὅτε καὶ τὸ Λόγιον ἐκεῖνο πληροῦται, Μέγα ἰσχύει εὐχὴ δικαίου, ἐνεργουμένη διὰ τῆς μετανοίας τοῦ δεομένου, τῆς εὐχῆς δηλονότι. Ἐὰν γὰρ εἷς οἰκοδομῇ, τουτέστιν ὁ δίκαιος, καὶ εἷς, οἷον ὁ ἁμαρτάνων, καταστρέφῃ, ἀτέλεστον μένει τὸ ἔργον, ὡς ἔγνωμεν ἐπὶ τοῦ κατὰ τὸν Σαοὺλ καὶ τὸν Σαμουὴλ ὑποδείγματος.

Ἕξιν ἱερὰν ἔχων.] Ἕξιν δὲ ἱερὰν ἐνταῦθα, τὴν τοῦ οἰκείου βίου πρὸς ἀρετὴν διάθεσιν εἴρηκε. συλλήπτορα δέ, ἀντὶ τοῦ βοηθόν.

Ὁμιλίαν.] Οὐχ ἁπλῶς τοῦ πρὸς θείαν ἡμᾶς ὁμιλίαν χωρεῖν, καὶ δι' ἑαυτῶν αἰτεῖσθαι παρὰ Θεοῦ τὰ κρείττονα καὶ σωτηρίας ἀπείργει ὁ Πατήρ, εἰδὼς τὸν Ἀπόστολον προστάσσοντα ἀδιαλείπτως προσεύχεσθαι, ἀλλὰ τοῦ οἰήσει τινὰ κρατούμενον, ὑπερφρονεῖν τῶν ἁγίων, καὶ ἀντ' οὐδενὸς τίθεσθαι τὰς τούτων εὐχάς.

Περὶ δὲ τῆς.] Ἔνθεν ἄρχεται λέγειν, ὡς ὠφελεῖ τὸν νεκρὸν ἡ εὐχή. Καὶ σημειῶσαι,

SCHOLIA S. MAXIMI.

σαι, ὅτι καὶ περὶ αὐτοῦ ἐζητήθη τὸ ἄπορον τοῦτο.

Παρορώσης.] Ποίας ἡμῶν ἁμαρτίας ὁ Θεὸς παρορᾷ, διὰ τῆς τοῦ ἱερέως προσευχῆς καὶ δεήσεως.

Αἰτεῖ δὲ αὐτά.] Τί αἰτεῖ ὁ Ἱερεύς.

Τοῖς παροῦσι.] Τουτέστι, τοῖς δικαίοις καὶ εὐσεβέσι.

Κατὰ θείαν ζωήν.] Τουτέστιν, ὅσα νομίμως καὶ ἀκολούθως ὁ δίκαιος Ἐπίσκοπος αἰτήσεται, λήψεται, ἀλλ' ἐπὶ δικαίων· εἴρηται γὰρ τῷ ἁγίῳ Πέτρῳ, Ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς, καὶ τὰ ἑξῆς. Κατὰ μίμησιν δὲ τοῦ ἁγίου Πέτρου εἰσὶν οἱ Ἐπίσκοποι, ὡς μετὰ μικρὸν λέγει. Σημείωσαι δὲ μέγεθος Ἱεραρχίας, καὶ ὕψος, καὶ καθαρότητα.

Διὸ τοῖς ἀνιέροις.] Σημείωσαι, ὅτι ταῦτα τοῖς ἁμαρτωλοῖς οὐκ ἐπεύχεται.

Τελετάρχου.] Τουτέστι τοῦ θείου Πνεύματος.

Αἰτεῖτε, &c.] Ἐκ τῆς Ἰακώβου Ἐπιστολῆς τὸ ῥητόν· διδάσκον ἡμᾶς, ὡς οὐ δεῖ προσεύχεσθαι περὶ κακοῦ τινος προσώπου ἢ πράγματος.

Τὰς ἀφοριστικὰς ἔχουσι.] Περὶ τῶν ἀκοινωνησιῶν καὶ ἀφορισμῶν τῶν παρὰ τοῦ Ἱεράρχου· δυνάμεις γάρ φησι, τὰς ἐκ Θεοῦ δεδομένας αὐτοῖς γνωστικὰς δοκιμασίας καὶ κρίσεις, δι' ὧν ἀφορίζουσι τοὺς ἁμαρτωλοὺς ἐκ τῶν δικαίων, ἢ τὸ ἔμπαλιν.

Ἀλόγοις ὁρμαῖς.] Σημείωσαι, ὅτι ἐὰν παρὰ τὸν σκοπὸν τοῦ Θεοῦ ἀφορίσῃ ὁ Ἱεράρχης, οὐχ ἕπεται αὐτῷ τὸ θεῖον κρίμα· κατὰ γὰρ θείαν κρίσιν, καὶ οὐ διὰ θέλημα ἴδιον, ταῦτα ὀφείλει ἐπιφέρειν.

Τὸ Πνεῦμα.] Σημείωσαι, τί παρέχει τοῖς Ἀποστόλοις τὸ μετὰ τὴν ἀνάστασιν αὐτοῖς δοθὲν ἅγιον Πνεῦμα διὰ τοῦ ἐμφυσήματος τοῦ Κυρίου.

Ἐλλαμπομένῳ.] Τῷ ἁγίῳ Πέτρῳ.

Ὡς ἐκείνου καὶ παντός.] Πῶς χρὴ λαμβάνειν τὸ τοῦ Εὐαγγελίου ῥητόν, Ὃ ἐὰν δήσῃς, καὶ τὰ ἑξῆς.

Καὶ τοῦ ἱεράν.] Ἱερὰν θεολογίαν φησὶ, τό, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὃ σημειωτέον κατά τε Βασιλειανῶν, καὶ Νεστοριανῶν, καὶ Παυλιανιστῶν, καὶ τῶν ὁμοίων.

Ὅπως ἄν.] Καθώς.

Ἱεραρχικῶς.] Ἀσφαλέστατα ἐπὶ τούτων εἶπε τὸ ἱεραρχικῶς.

Θεογενεσίαν, περὶ τοῦ.] Ὅτι ἐπὶ μὲν

Et nota, illud dubium ab ipſo quęſitum eſſe.

§. 7. DISSIMVLANTE.] Qualia peccata noſtra diſſimulet propter orationem ac preces Sacerdotis.

PETIT AVTEM ILLA.] Quid petat Sacerdos.

PRÆSENTIBVS.] Hoc eſt iuſtis ac piis.

SECVNDVM DIVINAM VITAM.] Hoc eſt, quæcumque legitimè ac conſentaneè iuſtus Epiſcopus poſtulabit accipiet, ſed pro iuſtis; dictum enim eſt S. Petro, *Quæcumque ligaueris ſuper terram*, & quæ ſequuntur. Epiſcopi autem ſunt ad imitationem S. Petri, vt paulò pòſt ait. Nota verò Hierarchiæ magnitudinem, & ſublimitatem, & puritatem. Matth. 16, 19.

QVAMOBREM IMPROBIS.] Nota quod hæc peccatoribus non apprecetur.

MYSTERIORVM AVCTORE.] Hoc eſt diuino Spiritu.

PETITIS ET.] Sententia illa ſumpta eſt ex Epiſtolâ Iacobi, docens nos, pro homine negotióve malo minimè orandum eſſe.

SEGREGANDI FACVLTATES OBTINENT.] Agit de excommunicationibus & ſegregationibus quæ ab Epiſcopo fiunt; ait enim, ipſis à Deo conceſſas eſſe facultates diſcernendi ac approbandi iudicia, quibus peccatores à iuſtis ſecernant, vel contrà.

IRRATIONABILIBVS MOTIBVS.] Nota, quòd ſi Epiſcopus præter Dei finem aliquid ſecernat, diuinum iudicium ipſi minimè ſuffragari; quoniam ſecundùm Dei iudicium, & non pro voluntate propriâ, debet hæc irrogare.

SPIRITVS.] Nota, quid Apoſtolis poſt reſurrectionem per inſufflationem Domini datus ipſis Spiritus ſanctus contulerit.

ILLVMINATO.] Sancto Petro.

VT ILLE OMNISQVE.] Quomodo accipienda ſit illa ſententia Euangelij, *Quodcumque ligaueris*, &c. Matth. 16, 19.

ET SANCTAM ILLAM.] Intelligit ſanctam illam Dei confeſſionem, *Tu es Christus filius Dei viui.* quod notandum eſt contra Baſilianos & Neſtorianos, & Paulianiſtas & ſimiles. Matth. 16, 16.

PROVT.] Quatenus.

HIERARCHICE.] Securiſſimè in his dixit hierarchicè ſeu ſacro-principaliter.

IN PRIMA ILLA REGENERATIONE.] §. 8.

SCHOLIA S. MAXIMI. Quoniam in iis qui baptizantur primum est sacrum oleum, in defunctis autem est postremum.

Et tvm qvidem.] Propter quid inunctio olei adhibeatur iis qui baptizantur, & propter quid defunctis.

§.9. Cvm svis.] Quoniam cuilibet animæ suum proprium est corpus, cum quo etiam refert retributiones, quocircà etiam vtraque de sanctificationibus participant. Subaudiendum verò illud, *vtrisque donatur.*

Divinæ commvnicationis.] Diuinum scilicet decretum.

Totvm hominem.] Nota, totum hominem vocare eum qui ex animâ spiritali corporeque constat, vti declarat illud, *in purâ contemplatione atque scientiâ*; totalem autem salutem, intelligit animæ ac corporis. Porrò hæc idcircò notanda sunt, vt quando in aliis suis libris suprasubstantialem illum Iesum nobis integrè consubstantiatum esse dixit, intelligas, ipsum assumpsisse humanitatem ex animâ spiritali corporeque constantem.

§.10. Consecratorias invocationes.] Consecratorias inuocationes vocat preces istas quæ in ordinatione adhibentur. Nota verò, cur has, scilicet sacras inuocationes atque operationes, siluerit.

Efferre.] Publicare.

§.11. Infantes necdvm.] Nota quid dicat Pater de infantibus baptizandis. Hæc autem sancto Timotheo scripsit, tamquam interroganti; ita vt manifestum sit, ipsum priora quoque aliosque libros suos ad eos qui ipsum rogabant scripsisse.

Sacras traditiones.] Quoniam etiam tunc non deerant qui mysteria nostra irridebant, vt ea, quæ sunt de infantibus baptizandis, pro quibus, quod loqui nequeant, sponsores abrenuntiant, & profitentur. Quod scomma refutat, adiungens, Non omnia omnibus nota esse. Obserua verò, etiam Angelos plurima ignorare.

Qvæ cognoscvntvr.] Cognitas, seu quæ cognoscuntur.

Aivnt enim, qvod.] Nota, vt illud de infantibus à prædecessoribus suis acceperit.

Institvtoribvs.] Institutores seu duces suos vocat Apostolos.

Bono, divina.] Nota, cui infans post Baptismum à parentibus tradatur, nempe

τῶν βαπτιζομένων, πρῶτόν ἐστι τὸ ἅγιον ἔλαιον· ἐπὶ δὲ τῶν κεκοιμημένων, τελευταῖον.

Καὶ τότε μέν.] Διὰ τί ἡ τοῦ ἐλαίου χρίσις ἐπὶ τῶν βαπτιζομένων, καὶ διὰ τί ἐπὶ τῶν κεκοιμημένων.

Μετὰ τοῦ σφετέρου.] Ὅτι ἑκάστης ψυχῆς ἴδιον σῶμα ὑπάρχει, μεθ' οὗ καὶ τὰς ἀνταποδόσεις κομίζεται· διὸ καὶ ἑκάτερα μετέχει τῶν ἁγιασμάτων. Κατὰ κοινοῦ δὲ τὸ, Ἀμφοῖν δωρεῖται.

Θεαρχικὰς κοινωνίας.] Ἡ θεία θεσμοθεσία δηλονότι.

Τὸν ὅλον ἄνθρωπον.] Σημείωσαι, ὅτι ὅλον ἄνθρωπον καλεῖ, τὸν ἐκ τῆς νοερᾶς ψυχῆς καὶ σώματος, ὡς δηλοῖ τὸ, Ἐν καθαρᾷ θεωρίᾳ καὶ ἐπιστήμῃ· καὶ ὅτι ὁλικὴν φησι σωτηρίαν, τῆς ψυχῆς καὶ τοῦ σώματος. Διὰ τοῦτο δὲ ταῦτα δεῖ σημειώσασθαι, ἵνα ὅταν εἴπῃ ἐν ἑτέροις λόγοις, ὁλικῶς οὐσιωθῆναι τὸν ὑπερούσιον Ἰησοῦν καθ' ἡμᾶς, νοήσῃς ἐκ ψυχῆς νοερᾶς καὶ σώματος τὴν ἐνανθρώπησιν.

Τελεστικὰς ἐπικλήσεις.] Τελεστικὰς ἐπικλήσεις φησὶ, τὰς ἐπὶ τῆς χειροτονίας εὐχάς. Σημείωσαι δὲ, διὰ τί ταύτας, ἤτοι τὰς ἁγίας ἐπικλήσεις καὶ τὰς ἐνεργείας, ἐσιώπησεν.

Ἐξάγειν.] Δημοσιεύειν.

Παῖδας οὔπω.] Σημείωσαι, τί φησιν ὁ Πατὴρ περὶ τοῦ τὰ βρέφη βαπτίζεσθαι. Ταῦτα δὲ ὡς ἐρωτήσαντι τῷ ἁγίῳ Τιμοθέῳ ἔγραψεν, ὡς εἶναι δῆλον, ὅτι καὶ τὰ πρότερα καὶ τοὺς ἄλλους λόγους πρὸς ἐρωτῶντας ἔγραφε.

Τὰς ἱερὰς παραδόσεις.] Ὅτι καὶ τότε ἦσαν οἱ σκώπτοντες τὰ μυστικὰ ἡμῶν, ὡς καὶ τὰ περὶ τῶν βαπτιζομένων παίδων, ὧν μὴ δυναμένων λαλῆσαι, οἱ προσφέροντες αὐτοὺς, ἀποτάσσονται ὑπὲρ αὐτῶν, καὶ συντάσσονται. Περὶ οὗ σκώμματος ἀπολογεῖται, προστιθεὶς, ὅτι οὐ πάντα πᾶσι γνωστά. Σημείωσαι δὲ ὡς καὶ οἱ Ἄγγελοι πολλὰ ἀγνοοῦσιν.

Ἐπιστάς.] Ἐπιστὰς, ἤτοι γινωσκομένας.

Φασὶ γὰρ ὅπερ.] Σημείωσαι, πῶς παρέλαβεν ἐκ τῶν πρὸ αὐτοῦ, περὶ τῶν παίδων.

Καθηγεμόσιν.] Καθηγεμόνας, τοὺς Ἀποστόλους φησίν.

Ἀγαθῷ, τὰ θεῖα.] Σημείωσαι, τίνι παραδίδοται ὁ παῖς ὑπὸ τῶν γονέων, ὅταν

βαπτισθῇ,

βαπτισθῇ, ὅτι ἀναδόχῳ μεμυημένῳ τὰ θεῖα, πρὸς ἀναγωγὴν ἱεράν.

Καθηγεμόνα.] Σημείωσαι, ὅτι καὶ τὸν ἀνάδοχον καθηγεμόνα καλεῖ.

Γιγνομένην.] Τὴν ζωὴν δηλονότι.

susceptori rerum diuinarum perito, vt sanctè educetur. PARAPHRASIS PACHYMERÆ.

DVCEM.] Nota, ipsum susceptorem vocare ducem seu præceptorem.

EXISTENTEM.] Scilicet vitam.

PARAPHRASIS PACHYMERÆ.

ΤΟΥΤΩΝ οὖν διωρισμένων, ἀναγκαῖον εἰπεῖν καὶ περὶ τῶν κεκοιμημένων· καὶ γὰρ οὐδὲ τοῦτο κοινῶς ἔχουσιν οἵ τε Χριστιανοὶ (τούτους γὰρ λέγει ταυνῦ ἱερούς) καὶ οἱ ἔξωθεν Ἕλληνες, οἱ ἀνίεροι· ἀλλ' ὥσπερ τῆς ζωῆς αὐτῶν πολὺ τὸ διάφορον (τῶν μὲν ζώντων κατὰ Χριστὸν ἐν τῷ νεκροῦσθαι τῷ σώματι, τῶν δὲ ζώντων κατὰ τὰς τῆς σαρκὸς ἐπιθυμίας) οὕτω καὶ τὸ τέλος αὐτῶν διάφορον. Οἱ μὲν γὰρ ἱεροὶ ἀποσκοποῦντες πρὸς τὰς ἐκεῖθεν ἐλπίδας, πρὸς τὸ τοῦ θανάτου πέρας ἴασιν, ὥσπερ ἐπὶ τέλος ἀγώνων, τὸν τῆς δικαιοσύνης ληψόμενοι στέφανον ἐν τῇ ὁλικῇ αὐτῶν ἀναστάσει τῇ μετὰ σώματος δηλονότι· αἱ μὲν γὰρ ἱεραὶ ψυχαὶ ἐνταῦθα τὸ τρεπτὸν ἔχουσαι, ἐν τῇ παλιγγενεσίᾳ τὸ ἀμετάτρεπτον ἕξουσι· τὰ δὲ ὁμόζυγα σώματα ἐνταῦθα ταῖς ψυχαῖς συγκακοπαθήσαντα, τὴν οἰκείαν ἀνάστασιν ἀπολήψονται, ἑνωθέντα ταῖς ψυχαῖς αἷς ἥνωνται κατὰ τὸν τῇδε βίον· ἀπολήψονται δὲ καὶ τὴν θεοειδῆ δόξαν, ὡς μέλη Θεοῦ.

Τῶν δὲ ἀνιέρων, οἱ μὲν ἀλογιστότεροι, μὴ μόνον σωμάτων οὐ δοξάζουσιν ἐξανάστασιν, ἀλλὰ καὶ τὰς ψυχὰς αὐτὰς εἰς τελείαν ἀνυπαρξίαν χωρεῖν οἴονται. Οἱ δὲ λογικώτεροι δῆθεν αὐτῶν, ὡς ὁ Πλάτων, τὸ μὲν σῶμα μετὰ θάνατον, οὐκέτι φασὶ συστήσεσθαι, ἀλλ' εἰς αἰῶνας οὐχ ὑποστρέψειν ἔτι πρὸς ἣν ἔχει σύστασιν· τοῦτο γάρ ἐστιν ὅ φησιν Εἰσάπαξ. Ἀνάξιον γάρ φασιν εἶναι τὸ ὑλικὸν συναιωνίζειν τῇ ἀΰλῳ ψυχῇ, τὴν ψυχὴν μόνην ἀθανάτως ὑπάρχειν. Ταῦτα καὶ οἱ ἀπὸ Σίμωνος ἔλεγον, οὐκ ἐννοήσαντες οὐδὲ μυηθέντες παρὰ τοῦ μεγάλου Ἀποστόλου Παύλου, λέγοντος, ἀρραβῶνα καὶ ἀπόδειξιν τῆς μετὰ σώματος καθολικῆς ἀναστάσεως, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν γεγενῆσθαι, καὶ ὅτι ἐν αὐτῷ νῦν κέκρυπται ἡ ζωὴ ἡμῶν ἐν τῷ Θεῷ φανερωθησομένη ἐν τῇ παλιγγενεσίᾳ. Ἄλλοι δὲ αἰθέριον ἔφασκον ἔσεσθαι (εἴ γε καὶ ἔσεσθαι) σῶμα ταῖς ψυχαῖς, καὶ οὐκ αὐτὸ τοῦτο ἐξανα-

HIS igitur definitis, necessariò etiam dicendum de defunctis: neq; enim id commune habent Christiani, (quos hîc sacros vocat) cum externis gentilibus, qui profani sunt: sed sicut inter vitam eorum multum interest (cùm illi quidem secundùm Christum viuant corpus mortificando; hi verò secundùm carnis concupiscentias vitam instituant) sic & finis eorum diuersus. Siquidem sancti ad spes futuras attendentes, ad mortis terminum veniunt tamquam ad finem certaminum, virtutis coronam recepturi in totali suâ resurrectione, scilicet vnà cum corpore: sanctæ enim animæ cùm hîc peruerti possint, in resurrectione immutabilitatem consequentur; corpora verò, quæ hîc animabus copulata vnà cum iis mala pertulerunt, propriam quoque resurrectionem sortientur, animabus suis, quibus in hac vitâ coniuncta fuerant, reunita: assequentur autem deiformem gloriam tamquam membra Dei. I. §. 1.

Profanorum verò aliqui quidem sine ratione putant, non solùm corporum non futuram resurrectionem, verùm etiam ipsasmet animas penitus aboleri, seu in nihilum abire. Alij verò his vtique prudentiores, vt Plato, aiunt, corpus quidem post mortem nequaquam substiturum, sed nec in æternum ad subsistentiam suam reuersurum. hoc enim est quod dicit εἰσάπαξ. Indignum enim esse aiunt, vt materiale corpus animæ immateriali sit coæuum, animam verò solam esse immortalem. Idem etiam Simonis discipuli asserebant, non cogitantes, necdum edocti à magno Apostolo Paulo dicente, pignus & probationem vniuersalis in corpore futuræ resurrectionis Dominum nostrum Iesum Christum extitisse; & quòd in ipso modò abscondita sit vita nostra in Deo, reuelanda in regeneratione. Alij verò dicebant, corpus tunc aëreum animis futurum (si modò futurum sit) & non resurrecturum §. 2. *Variorum de mortuis sententia.*

PARAPHRASIS PACHYMERÆ.

illud ipsum quod modò gerimus, corporibus quæ vnà decertarunt iniuriam irrogantes. Alij porrò, nescio quo pacto ad terrenas cogitationes prouocati, scripserunt ibi cibos potusque sensiles futuros. Insinuari aiunt per hoc Papiam, Hierapolis Asiæ Episcopũ, qui D. Ioannis Euangelistæ temporibus floruit. Hic enim Papias libro quarto Dominicarum suarum explanationum scripsit, fore in resurrectione voluptates quæ percipiuntur ex cibis; in quod quidem dogma postmodum Apollinarius credidit. Quomodo igitur Apollinarij erunt scripta sancti Dionysij, secundùm nugas aliquorum, quæ Apollinarium refutant? Sed nemo virorum proborum ad istiusmodi absurditates adducetur, verùm credentes se Christiformem sortem adepturos, mutationem mortis minimè formidabunt, probè scientes se bona parta stabiliter possessuros. Peccatores verò si quidem sacram hauserint institutionem, eaque neglectâ, ad concupiscentias suâ sponte deuoluti sint, cùm ad vitæ finem peruenerint, non iam legem Diuinam æquè vt priùs despicabilem existimant; sed aliis longè oculis spiritalibus ea quæ ibi sunt considerantes, & quibus bonis exciderint expendentes, beatos quidem prædicant eos qui illa adepti sunt, miseri autem & inuiti ex hac vitâ decedunt, propter vitam suam pessimam, nullâ salutis spe fulti.

Iustorum & peccatorum mortu disparitas.

§. 3. Cùm in sanctorum obdormitionibus nihil horum accidat (is quidem qui ad vitæ finem properat, gaudet se ad sanctam regenerationem peruenire) defuncti autem familiares, spiritales potiùs quàm carnales (hoc enim est pro iure diuinæ propinquitatis) beatum ipsum prædicant, & similem finem beatissimum ipsi quoque consequi exoptant. Portant autem ipsum ad Episcopum, quasi coronis munerandum; hic verò ipsum excipiens ei iusta persoluit.

II. MYSTERIVM.

Ritus sepeliendi defunctos.

Episcopus Clerum congregans, siquidem in Sacris fuerat qui obdormiuit, ante diuinum altare ipsum inclinans, infit precationes & gratiarum actionem: preces quidem, super ignorantias defuncti; gratiarum verò actionem, quia [Christus]

στήσεσθαι ὃ περικείμεθα, ἀδικοῦντες τὰ συναθλήσαντα σώματα. Ἄλλοι δὲ, οὐκ οἶδ' ὅπως εἰς ἐννοίας ὑλικὰς ἀποκλιθέντες, τροφὰς αἰσθητὰς καὶ πόσεις ἐκεῖσε γενησομένας ἀνέγραψαν. Αἰνίττεται δὲ, φασὶν, εἰς Παππίαν τὸν Ἱεραπόλεως τῆς Ἀσίας Ἐπίσκοπον, τὸν τῷ θείῳ καὶ Εὐαγγελιστῇ Ἰωάννῃ συνακμάσαντα. Οὗτος γὰρ ὁ Παππίας ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Κυριακῶν αὐτοῦ ἐξηγήσεων, τὰς διὰ βρωμάτων εἶπεν ἐν τῇ ἀναστάσει ἀπολαύσεις· εἰς ὅπερ δόγμα καὶ ὁ Ἀπολινάριος μετὰ ταῦτα ἐπίστευσε. Πῶς οὖν Ἀπολιναρίου ταῦτα τὰ τοῦ ἁγίου Διονυσίου συγγράμματα κατὰ τοὺς τινῶν λήρους, τὰ ἀναιροῦντα Ἀπολινάριον; Ἀλλ' οὐκ ἄν τις τῶν ἱερῶν ἀνδρῶν εἰς τοιαύτας ἀτοπίας ἀπενεχθήσεται, ἀλλὰ πιστεύοντες, ὅτι λήψονται τὴν χριστοειδῆ λῆξιν, οὐ τὴν ἐπὶ θάνατον δεδοικότες τροπὴν, ἀλλ' εὖ εἰδότες ὅτι τὰ κτηθέντα καλὰ βεβαίως ἕξουσιν. Οἱ δὲ ἁμαρτωλοὶ, εἴπερ εἰσὶ καὶ μεμυημένοι, ἐπεὶ πρὸς ἐπιθυμίας ἀπηυτομόλησαν, ὅταν πρὸς τὸ τέλος ἔρχωνται, οὐκέτι τότε εὐκαταφρόνητον τὸν θεῖον νόμον λογίζονται ὡς καὶ πρότερον, ἀλλ' ἑτέροις ὀφθαλμοῖς νοεροῖς λοιπὸν καὶ τὰ ἐκεῖσε σκοποῦσιν, ἀποσκοποῦντες τὰ ἐκεῖσε, καὶ ὧν ἐκπεπτώκασι, μακαρίζουσι μὲν τοὺς ἐκείνων ἀψαμένους, ἐλεεινῶς δὲ τῆς παρούσης ζωῆς ἀποσχίζονται, οὐκ ἔχοντες ἐλπίδα σωτηρίας διὰ τὴν χειρίστην διαγωγήν.

Τούτων οὐδενὸς γινομένων κατὰ τὰς τῶν ἁγίων ἀνδρῶν κοιμήσεις (αὐτὸς μὲν ὁ πρὸς τὸ πέρας ἐρχόμενος, χαίρει ἐπιβαίνων τῆς ἱερᾶς παλιγγενεσίας) οἱ δὲ τοῦ κοιμηθέντος οἰκεῖοι, οἱ πνευματικοὶ μᾶλλον ἤπερ οἱ κατὰ σάρκα (τοῦτο γάρ ἐστι τὸ κατὰ τὴν θείαν οἰκειότητα) αὐτόν τε μακαρίζουσι, καὶ τοιοῦτον μακαριστὸν τέλος εὔχονται καὶ αὐτοὶ λήψεσθαι. Ἄγουσι δὲ τοῦτον ἐπὶ τὸν Ἱεράρχην, ὡς ἐπὶ δόσιν στεφάνων· ὁ δὲ δεχόμενος, ἐκτελεῖ ἐπὶ τούτῳ τὰ ὅσια.

II. ΜΥΣΤΗΡΙΟΝ.

Συναγαγὼν τὸν κλῆρον ὁ Ἱεράρχης, εἰ μὲν τῶν ἱερωμένων ἐστὶν ὁ κεκοιμημένος, ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου κατακλίνας, τῶν εὐχῶν καὶ τῆς εὐχαριστίας ἀπάρχεται· εὐχῶν μὲν, ὑπὲρ τῶν ἀγνοημάτων τοῦ κεκοιμημένου· εὐχαριστίας δὲ, ὑπὲρ ὧν ἤμβλωσε τὸ

τοῦ θανάτου κέντρον, καὶ οὕτως ἠδυνήθη παρ' αὐτοῦ βοηθούμενος κατορθῶσαί τινα. Εἰ δὲ Μοναχός ἐστιν ἢ πιστὸς ἐκ τοῦ ἱεροῦ λαοῦ, παρὰ τὸν νάρθηκα κατακλίνει. Τὸ δὲ πρὸ τῆς ἱερατικῆς εἰσόδου, δηλοῖ ὅτι ἐπίπροσθεν τῶν ψαλλόντων ὀφείλει κεῖσθαι. Εἶτα ὁ μὲν Ἱεράρχης τὸν εὐλογητὸν ἐκφωνεῖ, ἑξῆς δὲ οἱ Διάκονοι τὰ πρόσφορα ἱερῶς ᾄδουσι· ταῦτα γάρ εἰσι τὰ ταυτοδύναμα καὶ ὁμόλογα, δηλονότι τὰ τοῖς προειρημένοις σύμφωνα. Εἶτα ὁ Ἀρχιδιάκονος ἀπολύει μὲν τοὺς κατηχουμένους, εἶτα ἀνακηρύττει τὰ τῶν ἁγίων ἀνδρῶν καὶ κεκοιμημένων ὀνόματα, μεθ' ὧν ἀξιοῖ τὸν προκείμενον τῆς ἀναῤῥήσεως ταύτης, καὶ προτρέπεται πάντας ὑπὲρ αὐτοῦ αἰτῆσαι τὴν ἐν Χριστῷ τελείωσιν. Εἶτα ὁ Ἱεράρχης εὐχὴν ὑπὲρ τοῦ κεκοιμημένου ποιεῖται, καὶ ἀσπάζεται τοῦτον, καὶ σὺν αὐτῷ οἱ ἕτεροι. Μετὰ ταῦτα ἐπιχέει τούτῳ τὸ ἅγιον ἔλαιον, καὶ τὴν ἀπόλυσιν, ἥ τις λέγεται ὑπὲρ πάντων εὐχὴ, ποιησάμενος, ἀποτίθησι τὸ σῶμα ἐν οἴκῳ τιμίῳ μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων.

mortis stimulum hebetauit, atque ita eius auxilio fretus boni quidpiam agere potuit. Sin autem sanctis Monachis sanctóve populo aggregatus erat, iuxta sacrarium collocat. Illud autem, ad Sacerdotum ingressum, significat illum coram psallentibus iacere debere. Præsul deinde benedictionem pronuntiat, deinceps verò Diaconi ea quæ conueniunt sanctè concinunt: illa enim sunt æquiualentia & synonyma, quæ nimirum congruunt defunctis. Tum Archidiaconus catechumenos dimittit, sanctorumque iam defunctorum nomina recenset, quibus præsentem defunctum eadem commemoratione aggregare dignatur, hortaturque omnes, ipsi vt beatum in Christo finem petant. Tum accedens Antistes, precem sacram super defuncto peragit, eumque salutat, & cum ipso ceteri. Posteà affundit ipsi sacrum Oleum, & impertiens absolutionem, quæ communis oratio vocatur, loco honorato corpus collocat vnà cum æqualibus aliis corporibus sanctis.

III. ΘΕΩΡΙΑ.

Ταῦτα μὲν εἴπερ ἴδοιεν ἢ ἀκούσαιεν οἱ Ἕλληνες τελούμενα παρ' ἡμῶν, πλατὺ γελάσουσιν· ἡμεῖς δὲ τὸν φωταγωγὸν Ἰησοῦν ἐπικαλεσάμενοι λέγομεν, ὅτι καλῶς ὁ Ἱεράρχης ἐπὶ τὸν ἄξιον τόπον τὸν κεκοιμημένον ἐπιτίθησι, δηλονότι, τὸν μὲν ἱερωμένον, τοῦ θυσιαστηρίου ἐπίπροσθεν, τὸν δὲ Μοναχὸν, ἢ τὸν λαϊκὸν, ἐν τῷ ἱερατείῳ. Ἐμφαίνει γὰρ ὅτι κατὰ τὸν ἐνταῦθα βίον, καὶ τὰ πραχθέντα, ἡ ἐκεῖσε γίνεται ἀποκλήρωσις· εἰ μὲν ἐνταῦθα θεοειδής τις ἐγένετο, ἐν θείαις ἔσται καὶ κατὰ τὸ μέλλον λήξεσιν· εἰ δὲ καθυφῆκε τῆς ἀκριβείας ἐνταῦθα, κατ' ἀξίαν κἀκεῖσε λήψεται τὰς ἀποκληρώσεις. Εὐχαριστεῖ τοίνυν ὁ Ἱεράρχης καὶ ὑπὲρ τῆς τοιαύτης δικαιοσύνης, ἀλλὰ καὶ ὅτι κατελύθη τὸ τοῦ τυράννου κράτος, καὶ ὁ θάνατος οὐκ ἔτι θάνατος, ἀλλὰ ζωή.

Αἱ δὲ ᾠδαὶ καὶ αἱ ἀναγνώσεις ἐκφαντικαί εἰσι τῶν ἐκεῖσε αἰωνίων μονῶν, ἀποδεκτικαὶ μὲν τῶν κοιμηθέντων, τῶν δὲ ἔτι ζώντων προτρεπτικαὶ πρὸς τὴν ὁμοίαν τελείωσιν.

Σκόπει δὲ, ὅτι νῦν οὐ πᾶσαι αἱ καθαιρόμεναι τάξεις ἀπολύονται, ἤγουν καὶ αἱ τῶν ἐνοχλουμένων, καὶ αἱ τῶν ἐν μετανοίᾳ, ἀλλὰ μόνων τῶν κατηχουμένων· ἀμύητοι γὰρ οὗτοι, καὶ πάσης ἐποψίας ἀμέθεκτοι. Οὐδὲν δὲ μικρὸν ἐν τοῖς

III. CONTEMPLATIO.

Hæc quidem si aspexerint gentiles, vel à nobis fieri inaudiuerint, profusè ridebunt: nos autem lucis datorem Iesum inuocantes dicimus, ritè Præsulem eum qui defunctus est loco digno collocare; nempe illum qui in Sacris est, ante altare; Monachum verò vel laicum, in sacrario. Declarat enim, secũdum hanc vitam & quæ gesta sunt, ibi sortem retribui: vt si quis hîc deiformis exriterit, in futuro quoque sæculo in diuinis erit delectationibus; sin hîc nonnihil studium remiserit, pro meritis ibi quoque sortes accipiet. Antistes itaque pro diuinâ iustitiâ hac, nec non de tyranni imperio profligato gratias agit, quodque mors non iam amplius mors sit, sed vita. §. 1. *Quid cerimonia sepultura insinuent: & qui ab eis arceantur, & qui non.*

Porrò cantica & lectiones exponunt illas æternas mansiones, quæ defunctos quidem excipiunt, viuentes autem ad similem vitæ finem adhortantur. §. 2.

Ceterùm obserua, quomodo non omnes qui expiationi vacant ordines iam dimittantur, vt sunt passionibus obnoxiorum & pœnitentium, sed soli catechumeni; quoniam hi nullo sacramento sunt initiati, & omnis aspectus sacri expertes. Nullum autem è myste- §. 3.

 riis

PARAPHRASIS PACHYMERÆ.

riis nostris parui faciendum est, quoniam magna sunt omnia, licet ad inuicem collata diuersa sint. Maxima enim & incomparabilia sunt, quæcumque diuina sunt. Ceteri autem ordines, vt energumeni & pœnitentes, adstant quidem tamquam Sacramento initiati, verumtamen, cùm imprudenter in malum relapsi sint, à diuiniorum mysteriorum aspectibus diuinaque communione arcebuntur. *Qui* enim *indignè manducat & bibit, iudicium sibi manducat & bibit*, sicut in primâ suâ ad Corinthios Apostolus ait. Non incongruè autem admittuntur ad ea quæ hîc geruntur, vt discant mortis incertitudinem, & præmia iustorum ac peccatorum pœnas. Adsunt itaque, vt hinc aliquid vtilitatis ferant, & illos fortè similium desiderium excitabit.

§. 4. *Quid preces supra mortuum.* Deinde tractat etiam de salutatione & oratione: & oratio quidem precatio est pro defuncto, vt constituatur in sinu Patriarcharum, in loco à quo tristitia omnis abest.

§. 5. Quemadmodum enim ab iis quæ nobis iucunda sunt, vt regno, cœnâ, luce, gloriâ, splendore, quæ ibi sunt bona designantur, quæ oculus non vidit, nec auris audiuit; sic etiam quæ ibi molesta sunt, ab hisce molestiis denominata sunt, tenebræ & stridor dentium, & dolor, & tristitia, & singultus: hæc enim sunt analogæ significationes, quæ à veritate bonorum ac molestiarum istarum omnino discrepant. *Quid sinus Abrahæ; & vnde dictus.* Sinus autem Patriarcharum ceterorumq; Sanctorum sunt beatissimæ mansiones, quæ, vt opinor, à sinuosis maris gremiis ac portubus nauium desumuntur, vel etiam à sinu vestiũ. Quemadmodum enim qui in maris tempestate versantur, ad marinos sinus attendunt, in quibus & quietiori aurâ fruuntur, & ab agitationibus quiescunt: ita quoque qui in hac vitâ tempestatibus iactati sunt, in sinibus istis conquiescunt, modò scilicet è periculis animam suam vindicarint. Sin verò sinus etiam à vestibus nostris accipi dixerimus, iuxta illud, vt nos foueat sinus Abrahæ, conuenienter hoc quoque explicari possit, quòd nimirum Abraham primus ad Dei notitiam adductus sit, & Deo familiaris extiterit: vel quòd Pater multarum gentium appellatus sit, earum scilicet quæ secundùm Christum

καθ' ἡμᾶς μυστηρίοις λογίζεσθαι χρὴ, ἀλλὰ πάντα μεγάλα, αὐτὰ μέντοι πρὸς ἄλληλα συγκρινόμενα, διαφορὰν ἔχουσι. Μέγιστα γὰρ καὶ ἀπαράβλητα, τὰ τῶν θείων. Αἱ δὲ ἕτεραι τάξεις, οἱ ἐνεργούμενοι, οἱ ἐν μετανοίᾳ, συνίστανται, ὡς μυηθεῖσαι μὲν, ἀνοήτως δὲ πρὸς τὰ χείρω παλινδρομήσασαι, τῶν γοῦν θεαρχικῶν ἐποπτειῶν, καὶ τῆς θείας μεταλήψεως ἀπειρχθήσονται. Ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων, εἰς κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, καθὼς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησὶν ὁ Ἀπόστολος. Οὐκ ἀπεικότως δὲ ἐπὶ τοῖς νῦν τελουμένοις καὶ οὗτοι πάρεισιν, διδασκόμενοι τὴν ἀδηλίαν τοῦ θανάτου, τά τε βραβεῖα τῶν δικαίων, καὶ τὰς τῶν ἁμαρτωλῶν λύπας. Διὰ γοῦν τὸ ἐντεῦθεν ὄφελος, καὶ ἵνα τάχα καὶ οὗτοι πρὸς τὴν τῶν ὁμοίων ἔφεσιν διεγερθῶσι, πάρεισιν.

Ἤδη διαλαμβάνει καὶ περὶ τοῦ ἀσπασμοῦ καὶ τῆς εὐχῆς· καὶ ἡ μὲν εὐχὴ, δέησίς ἐστιν ὑπὲρ τοῦ κεκοιμημένου, ἵνα κατατάχθείη ἐν κόλποις τῶν Πατριαρχῶν, ἐν τόπῳ ἔνθα ἀπέδρα τὰ ὀδυνηρὰ πάντα.

Ὥσπερ γὰρ ἀπὸ τῶν ἡμῖν ἡδέων, τῆς βασιλείας, τοῦ δείπνου, τοῦ φωτὸς, τῆς δόξης, τῆς λαμπρότητος τὰ ἐκεῖσε χαρακτηρίζονται ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν· οὕτω καὶ τὰ ἐκεῖσε δυσχερῆ ἀπὸ τῶν ἐνταῦθα δυσχερῶν κατωνομάσθησαν, σκότος, καὶ βρυγμὸς ὀδόντων, καὶ ὀδύνη, καὶ λύπη, καὶ στεναγμός· ταῦτα γάρ εἰσιν αἱ ἀνάλογοι σημασίαι, καὶ τῶν ἀγαθῶν καὶ τῶν δυσχερῶν ἀποδέουσαι πάντως τῆς ἀληθείας. Κόλποι δέ εἰσι τῶν Πατριαρχῶν καὶ τῶν ἑτέρων Ἁγίων, αἱ μακαριώταται μοναί· οἳ καὶ, ὡς οἶμαι, ἀπὸ τῶν θαλαττίων κόλπων καὶ λιμένων πλέον ἐκλαμβάνονται, ἢ ἀπὸ τῶν κόλπων τῶν ἱματίων. Ὡς γὰρ οἱ ἐν κλύδωνι θαλάσσης ὄντες πρὸς τοὺς θαλαττίους ἀφορῶσι κόλπους, ἐν οἷς καὶ ἐλλιμενίζονται, καὶ τῶν ταραχῶν ἀποπαύονται· οὕτω καὶ οἱ ἐν τῷ βίῳ κλυδωνιζόμενοι, ἤδη τοῖς κόλποις ἐκείνοις ἐλλιμενίζονται, ἀλλ' ὅσοι τὴν ἑαυτῶν ψυχὴν ἀνωτέραν τοῦ κινδύνου διεφυλάξαντο. Εἰ δέ γε τοὺς κόλπους καὶ ἀπὸ τῶν ἐν ἡμῖν ἱματίων ἐκλαμβάνεσθαι εἴποιμεν, κατὰ τὸ, Ἵνα ἡμᾶς θάλψῃ τοῦ Ἀβραὰμ ὁ κόλπος, ἐξηγηθείη καὶ τοῦτο προσφόρως, διὰ τὸ πρώτως εἰς θεογνωσίαν ἀχθῆναι τὸν Ἀβραὰμ, καὶ οἰκειωθῆναι Θεῷ· ἢ διὰ τὸ πατέρα πολλῶν ἐθνῶν κληθῆναι, τῶν κατὰ Χριστὸν δηλαδή· ἢ

διὰ

διὰ τὴν τοῦ Πατριάρχου φιλοξενίαν, ἐκεῖνα ποιήσαντος ἐν τῷ βίῳ, ἐν ὅσοις ἂν ὁ κόσμου παντὸς ποιητὴς καὶ κριτὴς τοὺς δικαίους τῆς βασιλείας καταξιώσῃ.

Ἀλλ' ἴσως ταῦτα μὲν ἀποδείξῃ· ἀπορήσῃς δὲ περὶ τῆς γινομένης εὐχῆς, παρὰ τοῦ Ἱεράρχου ἐπὶ τοῖς ἐν ἁμαρτίαις κεκοιμημένοις· ὅτι, πῶς τὸ δίκαιον φυλαχθήσεται τοῦ Δεσπότου, εἴπερ ἐπακοὸς γινόμενος τῶν εὐχῶν, σώσῃ τὸν ἐν ἁμαρτίαις ἀποθανόντα. Ἐγὼ δὲ, ὅτι μὲν δικαίαν πρὸς τὰς πράξεις (ταύτην γὰρ ἀμοιβαίαν λέγει) ἕξει τὴν ἀποκλήρωσιν ἕκαστος, εὖ οἶδα, ἀκολουθῶν ταῖς Γραφαῖς· καὶ παρευθὺς τίθησι καὶ Γραφικὰς μαρτυρίας. Ὅτι δὲ μόνους τοὺς ἀξίους τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, ὠφελοῦσιν αἱ τῶν δικαίων προσευχαὶ, εἴτε ζῶντας, εἴτε καὶ τελευτήσαντας, οὐ μὴν τοὺς ἀξιοκατακρίτους, αἱ Γραφικαὶ παραδόσεις διδάσκουσι. Τί γὰρ παρὰ τοῦ Σαμουὴλ ὁ Σαοὺλ ὠφελήθη; Τί δὲ τοὺς Ἰουδαίους ἡ τοῦ Ἱερεμίου ὤνησε προσευχή; πρὸς ὃν εἶπεν ὁ Κύριος· Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. Ὥσπερ γὰρ τοῦ ἡλίου λάμποντος ἐξαφανίζων τὶς τὰς οἰκείας ὄψεις, αἰτεῖ μεταχεῖν φωτός· οὕτω καὶ πρὸς ἀδυνάτους κρέμαται ἐλπίδας, ὁ τὰς τῶν Ἁγίων μὲν ἐξαιτῶν προσευχὰς, μὴ κατέχων δὲ τὰς τοῦ Θεοῦ ἐντολὰς, μηδὲ ἔχων οἷον ἀποκεκαλυμμένους τοὺς νοητοὺς ὀφθαλμοὺς, καὶ ἐκλείποντας ἤδη, κατὰ τὸν Ψαλμῳδὸν, εἰς τὸ σωτήριον τοῦ Θεοῦ. Μὴ νομίσῃς δὲ, ὅτι ὁ ἥλιος τὰ ἑαυτοῦ φῶτα δωρεῖται, (πῶς γὰρ ἂν, ἄψυχος ὢν, δωρήσεται δωρεάν;) ἀλλὰ κατὰ ἠθοποιΐαν οἱονεί τινα τὸ προκείμενον λέγει. Ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸν ἥλιον λέγοντα, Ἐγὼ τοῖς ἐρρωμένοις ὀφθαλμοῖς δίδωμι φῶς· εἶτα ἀσθενῶν τις τὰ ὄμματα εἴποι, Δὸς κἀμοὶ τὴν ἀκτῖνα, ἔρρωμαι γάρ· λέγω ὅτι οὐ τοσοῦτον ὠφεληθήσεται οὗτος, ὅσον καὶ ὃ ἑώρα ἀπολέσῃ. τὸν αὐτὸν τρόπον καὶ ὁ ἀξιοκατάκριτος ἁμαρτωλὸς τὰς τῶν δικαίων εὐχὰς ἐκζητῶν, κἀκεῖνος μηδόλως ἐπιστρεφόμενος. Καὶ τοῦτό ἐστι τὸ παρὰ τῇ Γραφῇ λεγόμενον, Μέγα ἰσχύει εὐχὴ δικαίου ἐνεργουμένη· παρ' ἐκείνου γὰρ λέγεται. Παρὰ δὲ τοῦ ὑπὲρ οὗ ἡ ἔντευξις ἐνεργεῖται, λέγω γοῦν κατὰ τὰς Γραφὰς, ὡς ὠφέλιμοί εἰσιν αἱ τῶν δικαίων εὐχαὶ κατὰ τόνδε τὸν τρόπον, εἴ τις τῶν ἐκ Θεοῦ δωρεῶν ἐφιέμενος, καὶ ἔχων διάθεσιν ἀγαθὴν πρὸς αὐτὰς (τὴν γὰρ τοῦ οἰκείου βίου πρὸς ἀρετὴν διάθεσιν, ἕξιν εἶπεν, ἥ τις πάντως γίνεται ἐκ τῆς οἰκείας ἐπιγνωμοσύνης ἑκάστου) ἐλθὼν ἐπί τινα τῶν δι-

sunt; vel propter Patriarchæ hospitalitatem, ista facientis in hâc vitâ, propter quæ mundi conditor ac iudex iustos cælorum regno honorabit.

Sed hæc fortassis quidem satis demonstrata sint; dubitabis tamen de prece Antistitis, quam facit pro iis qui in peccatis defuncti sunt; quomodo nimirum iustitia Domini saluanda sit, si exauditis precibus saluet eum qui mortuus est in peccatis. Ego autem, inquit, iustam quidem pro factis suis (hanc enim retributionem vocat) sortem quemlibet habiturum probè scio, Scripturis consentiens, & subiungit statim testimonia Scripturæ. Solis autem misericordias Dei merentibus, siue viuis siue defunctis, non verò iis qui damnari meruerunt, iustorum preces prodesse, Scripta diuina docent. Quid enim Saüli profuit Samuel? Et quid Iudæis Ieremiæ precatio contulit? ad quem dixit Dominus: Ne ores pro populo hoc. Etenim vt siquis sole lucente, sibi ipsi oculos eruens, lucis eius particeps fieri petat; sic ex impossibili spe pendet, quisquis Sanctorum preces flagitat dum mandata Dei non seruat, neque mentis oculos apertos habet, &, iuxta Psalmistam, deficientes in salutare Dei. Ne existimes autem, solem dare lumina sua, (quomodo enim, cùm inanimis sit, possit dare munus?) sed veluti per morum quamdam fictionem id dicit. Sicut enim si quis supponat solem dicere, Ego valentibus oculis lumen dono; posteà aliquis laborans oculis dixerit, Da etiam mihi radium, valeo enim, dico id huic non tantùm non profuturum, quinetiam id quod videbat amittet: eodem etiã modo qui damnari meruit peccator affectus est, cùm iustorum preces efflagitat, & ipse se non conuertit. Et hoc est quod à Scripturâ dicitur, *Multum valet deprecatio iusti** à Spiritu agitata; de iusto enim hoc dicitur. De illo autem, pro quo fit deprecatio, Scripturis quoque consonè dico, perutiles esse Sanctorum preces, dummodò quis sacrorum munerum desiderio accensus, & ad eadem piè sit affectus (propriæ enim vitæ ad virtutem affectionem vocauit habitudinem, quæ ex cuiuslibet conscientiâ existit) ad virum aliquem

§.6.

Preces quibus prosint.

Psal. 118, 123.

Iac. 5, 16.

* Græcè ἐνεργουμένη, Vulg. assidua.

PARAPHRASIS PACHYMERÆ.

aliquem iustum accedens petat, vt Deum pro se roget, sibiq; conciliet, quâ ratione sanè maximum ex eo referet emolumentum: vti enim compos fiet, cùm propter cõscientiam religiosam, tum propter sanctorum reuerentiam, tum propter piæ petitionis affectum; hoc enim ita conuenit, quoniam bona adamauit, & quæsiuit. Etenim diuinis id decretis stabilitũ est, vt eorum participatione dignis, donentur per eos qui digni sunt eadẽ distribuere. Quemadmodum enim postulantem diiudicat, num dono dignus sit; sic etiam precantem scrutabitur, num & ipse dignus sit tale illi munus impetrare. Non temerè itaq; qui cupit ad diuinum consortium accedere, & à Deo optima quæque postulare prohibebitur, cùm sciat magnum Apostolum præcipere vt incessanter oremus; sed absurdum simul & illicitum esse, si quis opinione suâ seductus supra sanctos sapere velit, & pro rebus malis preces fundere. Quando autem nulla adest elatio, tunc non refugimus communes preces; tum vt discamus quæ petere debeamus, tum verò etiam quomodo preces instituamus. Frustramur enim votis, vel quia nescimus quomodo oratio sit intendenda, ista enim est postulationis inscitia; vel quia res indignas postulamus. Sed dicet aliquis, Quid opus est institutione, vt cognoscamus quænam sint indignæ postulationes & quænam dignæ, Domino dicente, *Petite primùm regnum Dei, & cetera omnia adÿcientur vobis?* Dicimus idcircò multa nobis esse ignota quæ sint indigna: nam cupiditate decipimur, & peccatis sæpenumerò circumuenimur; sæpenumerò etiam rogamus, & bona indignè postulamus, nescientes, aduersa, quæ permissu Dei obueniunt, magis prodesse. Quomodo enim Israel in Ægyptum transmigrasset, & terram promissionis hereditasset, nisi Deus Iosephi preces exaudiens, incolumem patri filium seruasset?

Quænam petenda in oratione, quæ non.

Matt. 6, 33

§. 7. Verùm his in communi de oratione dictis, necessariò etiam dicendum de prece quam super defuncto recitat Antistes. Diuinus igitur Antistes interpres est diuinarum iustificationum: idcircò enim Angelus Domini omnipotentis à sancto Michæâ dicitur, vt qui Dei iustificationes annuntiet ac ma-

καίων ἀξιώσειε γενέσθαι τὰ πρὸς τὸν Θεὸν συμπαρακλήτορα οἱ καὶ ἑαυτῷ, ὠφεληθήσεται πάντως ἐκ τούτου τὴν μεγίστην ὠφέλειαν· ἀποδεχθήσεται γὰρ παρὰ Θεοῦ, ἕνεκα τῆς εὐλαβοῦς αὐτοῦ ἐπιγνωμοσύνης, καὶ τῆς ἐπὶ τοὺς ὁσίους αἰδοῦς, ἔτι δὲ καὶ τῆς ἐφέσεως καὶ μετρίας ἕξεως· τοῦτο γάρ ἐστι τὸ κατάλληλον, ὅτι τὰ καλὰ ἠγάπησε καὶ ἐζήτησεν. Ἔστι γὰρ καὶ τοῦτο τοῖς θείοις νενομοθετημένον κρίμασι, τὸ δωρεῖσθαι τοῖς ἀξίοις τοῦ μεταχεῖν διὰ τῶν ἀξίων τοῦ μεταδοῦναι. Ὡς γὰρ τὸν ζητοῦντα φιλοκρινεῖ, εἴπερ ἐστὶ τῆς δωρεᾶς ἄξιος, οὕτω καὶ τὸν εὐχόμενον ἐρευνήσει, εἴπερ ἐστὶ καὶ αὐτὸς ἄξιος ὑπηρετήσασθαι πρὸς ἐκεῖνον τοιούτῳ δωρήματι. Οὐχ ἁπλῶς οὖν τὸ πρὸς θείαν ὁμιλίαν χωρεῖν, καὶ αἰτεῖσθαι παρὰ Θεοῦ τὰ κρείττονα κωλύσειέ τις εὖ φρονῶν, εἰδὼς τὸν μέγαν Ἀπόστολον προστάσσοντα ἀδιαλείπτως προσεύχεσθαι· ἀλλὰ τὸ οἰήσει τινὰ κρατούμενον ὑπερφρονεῖν τῶν Ἁγίων, καὶ περὶ φαύλων τίθεσθαι τὰς τούτων εὐχὰς, τοῦτο καὶ λίαν τοῖς θείοις ἀπᾳδὸν καὶ κεκωλυμένον. Ὅτε δὲ καὶ οἴησις μή ἐστι, τέως χρήζομεν τῆς κοινωνίας τῆς εὐχῆς· τὸ μὲν, ἵνα διδασκώμεθα τὸ τίνα ἂν αἰτησαίμεθα· τὸ δὲ, ὅπως αἰτησαίμεθα. Λησόμεθα γὰρ ἀποτυχόντες ἢ διὰ τὸ μὴ εἰδέναι ὅπως σύντονος ἡ δέησις γίνεται, τοῦτο γάρ ἐστιν ἀνεπιστήμον τῆς αἰτήσεως· ἢ διὰ τὸ ἀνάξια αἰτεῖν. Ἀλλ' εἴποι τις ἄν, Καὶ τίς χρεία διδασκαλίας εἰς τὸ γνῶναι τίνες εἰσὶν αἱ ἀνάξιοι αἰτήσεις, καὶ τίνες αἱ ἄξιαι, αὐτοῦ τοῦ Κυρίου λέγοντος, Αἰτεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τἄλλα πάντα προστεθήσεται ἡμῖν; Λέγομεν εἰς τοῦτο, ὅτι πολλά εἰσι τὰ παρ' ἡμῶν ἀγνοούμενα ὅτι εἰσὶν ἀνάξια· κλεπτόμεθα γὰρ τῇ ἐφέσει, καὶ ἐν ἁμαρτίαις πολλάκις προφασιζόμεθα· πολλάκις δὲ αἰτοῦντες καὶ ἀγαθὰ ἀναξίως αἰτοῦμεν, μὴ εἰδότες ὅτι μᾶλλον τὰ κατὰ παραχώρησιν τοῦ Θεοῦ ἐναντία μειζόνως ὠφελήσει. Πῶς γὰρ μετῴκησεν εἰς Αἴγυπτον Ἰσραὴλ, καὶ τὴν γῆν τῆς ἐπαγγελίας ἐκληρονόμησεν, εἴπερ ἐπακοὸς τῶν εὐχῶν τοῦ Ἰωσὴφ ὁ Θεὸς φανεὶς, ἀλώβητον τῷ πατρὶ παραυτὰ τὸν παῖδα διέσωζε;

Ἀλλὰ τούτων ἤδη ῥηθέντων περὶ πάσης κοινῶς εὐχῆς, ἀναγκαῖον εἰπεῖν καὶ περὶ τῆς ἐπὶ τῷ κειμένῳ τοῦ Ἱεράρχου εὐχῆς. Ὁ θεῖος τοιγαροῦν Ἱεράρχης ἐκφαντορικός ἐστι τῶν θείων δικαιωμάτων· διὰ τοῦτο γὰρ Ἄγγελος Κυρίου παντοκράτορος παρὰ τῷ ἱερῷ Μιχαίᾳ λέγεται, ὡς ἐξαγγέλλων καὶ ἐκφαίνων τὰ τοῦ Θεοῦ δικαιώματα.

δικαιώματα. Μεμάθηκε γοῦν ἀπὸ τῶν Γραφῶν, ὅτι τοῖς μὲν δικαίοις παρὰ τῆς τοῦ Θεοῦ δικαιοκρισίας ἡ λαμπροτάτη καὶ θεία ζωὴ ἀντιδίδοται, παρορώσης δὲ ἀγαθότητος τῆς τοῦ Θεοῦ φιλανθρωπίας τοὺς δὲ ἀνθρωπίνης ἀσθενείας ῥύπους, ἐπείπερ οὐδείς, φησί, καθαρὸς ῥύπου. Ταῦτα εἶδεν ἐπηγγελμένα ὁ Ἱεράρχης. Αἰτεῖ τοίνυν τοῖς πιστῶς βεβιωκόσι, παροραθῆναι τὰς δὲ ἀσθενείας κηλῖδας, καὶ δοθῆναι τὰς ἱερὰς ἀντιδόσεις· ἅμα μὲν θεομιμήτως τὰς εἰς ἑτέρους δωρεὰς τοῦ Θεοῦ ὡς εἰς ἑαυτὸν γενησομένας ἐξαιτῶν (τοῦτο γάρ ἐστι τὸ θεομίμητον, ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν) ἅμα δὲ καὶ ὡς ὑποφήτης Θεοῦ εἰδώς, καὶ τοῖς ἄλλοις ἐκφαίνων, ὡς ἄγγελος Κυρίου ἐκφαντορικῶς, ὅτι γενήσεται, ὡς δικαία, ἡ αἴτησις· οὐ γὰρ ἂν τὴν ἀρχὴν ἐζήτει τὰ μὴ Θεῷ προσφιλέστατα. Διὸ ἐπὶ μὲν τοῖς ὁσίοις οὕτω ποιεῖ, ἐπὶ δὲ τοῖς ἀνιέροις ἀπίστοις, καθὼς καὶ προκατιὼν δηλώσει, ὅτε λέγει δόξει τοῖς ἀνιέροις εὐλόγου γέλωτος ἄξιον. Τοῖς γοῦν ἀνιέροις οὐκ ἐπεύχεται ταῦτα, οὐ μόνον ὅτι, εἴπερ ζητοίη ταῦτα, οὐκ ἔσται χρηστὸς ὑποφήτης τοῦ Πνεύματος ὡς ἐκεῖνα ζητῶν, εἰς ἅπερ οὐκ ἐκινήθη παρὰ τοῦ τελετάρχου, τοῦ θείου δηλαδὴ Πνεύματος· ἀλλ' ὅτι καὶ τῆς εὐχῆς ἀποτεύξεται ὡς ἀναξίως γενομένης· τοῦτο γὰρ δηλοῖ τὸ Ἐναγές, οἱονεὶ ἀναξίου. Ἀκούσεται γὰρ καὶ αὐτὸς πρὸς τοῦ δικαίου Λογίου, Αἰτεῖτε, καὶ οὐ λαμβάνετε. ἔστι δὲ τὸ ῥητὸν ἐκ τῆς τοῦ Ἰακώβου Ἐπιστολῆς. Ὃ δὴ καὶ λέγει, ἢ ὡς δικαίως λεγόμενον, ἢ ὡς παρὰ δικαίου λεγόμενον. Ἰοβλίας γὰρ ὁ Ἰάκωβος, οἱονεὶ δίκαιος, ἐπωνομάζετο. Οὐκοῦν ἐκεῖνα αἰτεῖ ὁ Ἱεράρχης, τὰ πάντως δωρηθησόμενα, ἐπιδεικνὺς ἐντεῦθεν τῷ μὲν Θεῷ, τὴν θεομίμητον ἑαυτοῦ ἕξιν· τοῖς δὲ παροῦσι, τὰ ἐσόμενα τοῖς ὁσίοις δῶρα. Οὕτω καὶ τὰς ἀφοριστικὰς δυνάμεις, δηλονότι τοὺς ἀφορισμούς, οἱ Ἱεράρχαι ἔχουσιν, οὐχ ὅτι ἕπεται ταῖς ἀλόγοις ὁρμαῖς αὐτῶν, ἵν' οὕτως εὐλαβῶς εἴπω, ἡ θεαρχία, ἀλλ' ὅτι αὐτοὶ ἀφορίζουσι τοὺς κεκριμένους, εἰς τοῦτο κινοῦντος τοῦ ἁγίου Πνεύματος. Λάβετε γάρ, φησί, Πνεῦμα ἅγιον, κινοῦν ἡμᾶς δηλαδὴ καὶ εἰς δέσιν καὶ εἰς λύσιν. Καὶ πάλιν τότε φησὶ τῷ Πέτρῳ ὁ Κύριος· Ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, καὶ τὰ ἑξῆς· ὅτε τὰς θείας ἀποκαλύψεις παρὰ τοῦ ἐν οὐρανοῖς Πατρὸς ἐνελάμπετο, ὡς καὶ τοῦ μακαρίου Πέτρου, καὶ παντὸς τοῦ κατ' αὐτὸν Ἱε-

nifestet. Didicit vtique ex Scripturis, iustis quidem iusto Dei iudicio lucidissimam diuinamque vitam retribui, diuinâ bonitate ac benignitate contractas ex humanâ fragilitate maculas clementer dissimulante, cùm nemo sit (vt inquit) mundus à sorde. Hæc Antistes promissa esse nouit. Postulat igitur, vt fidelium ex infirmitate contractæ maculę dissimulentur, & sacræ retributiones conferantur; simulque Deum imitando, dona quæ aliis conferenda sunt tamquam sibi indulgenda postulans (hoc est enim Deum imitari, proximum diligere sicut seipsum) simul verò etiam tamquam interpres Dei sciens & aliis manifestans, tamquam Angelus id quod petitur, vtpote iustum, prorsus euenturum significat. neque enim ab initio petebat nisi quæ Deo erant quàm gratissima. Quocircà quidem pro sanctis sic facit, sed pro improbis infidelibus, sicut etiam in progressu significabit, quando dicit, videbitur hoc profanis probabili risu dignum. Profanis itaque hæc minimè apprecatur, non solùm quia, si ista peteret, minimè bonus interpres esset spiritus, vt qui illa peteret, ad quæ ab auctore mysteriorum diuino scilicet Spiritu minimè moueretur; verùm etiam quòd petitione suâ tamquam indignâ frustraretur. hoc enim indicat vox ἐναγές, siue impia, id est indigna. Audiet enim etiam ipse à iusto Eloquio: *Petitis, & non accipitis.* est autem hæc sententia ex Epistolâ Iacobi. Quod vtique dicit, vel quia iustè dictum, vel quia à iusto prolatum. Iacobus enim Ioblias, quasi iustus, cognominatus est. Postulat itaque sanctus Antistes illa quæ omnino danda sunt, ostendens hinc, Deo quidem, habitum suum quo Deum imitatur; præsentibus verò, præmia quæ sanctos manent. Sic etiam Hierarchæ habent virtutes segregandi, id est segregationes, non quòd irrationabilibus motibus eorum, vt honestè dicã, diuinitas obsequatur, sed quòd ipsimet à Spiritu sancto moti damnatos segregent. Accipite enim, inquit, Spiritum sanctum, qui videlicet vos moueat ad ligandum & soluendum. Et iterùm sic Petro Dominus ait, *Quodcumque ligaueris super terram*, & quæ sequuntur; quando diuinis reuelationibus à Patre qui in cælis est illustrabatur, ita vt beato Petro, & omni post ipsum

PARAPHRASIS PACHYMERÆ.

Iac. 4, 3.

Potestas ligandi & absoluendi in Pontificibus.

Matth. 16, 19.

PARAPHRASIS PACHYMERÆ.

Pontifici, secundùm reuelationes ipsi cælitus à Deo factas, & approbandi & segregandi potestas sit. Quomodo autem reuelationes ipsi factæ in ceteris quoque Pontificibus erunt, ita vt per hos etiam hæc operentur, nisi per traditionem & mutuam successionem, & manifestationem? Quantò enim reuelationes in pluribus multiplicantur, tantò magis manifestantur. Etenim sacram illam Dei professionem, *Tu es Christus filius Dei viui*, non à semetipso, neque à carne & sanguine, sed Deo ipsum hoc docente ac mouente, pronuntiabat. Similiter itaque Pontifices Ecclesiasticis potestatibus vti debent. Attica est syntaxis & vetusta constructio, quâ propositiones accusandi casibus efferuntur; sic nimirum, ac si moueret eos Deus; ceteris autem ita Pontifices obseruandi sunt (nam & hoc eodem modo construitur) tamquam qui à Deo moueantur: ad eos enim est sermo Christi Domini,

Luc.10,16 *Qui vos spernit, me spernit.*

§.8. *Quid inunctio finalis.* Ceterùm ad textum redeuntes, dicimus, finitâ precatione omnes defunctum salutare; acceptus enim & honore dignus est quisquis sanctè vixit. Posteà Pontifex defuncto oleum affundit. Diximus autem in iis quæ de illuminatione dicta sunt, quomodo initiandus primùm oleo inungeretur post vestium depositionem; sic & hîc in fine, & quidem non immeritò. Cùm enim ij qui ad certamina instruuntur inunguntur, vti & ij qui à certando cessant, & sudores absterserunt; meritò etiam in his, ibi quidem in principio, is qui certamina suscipit, hîc verò in fine omnium, tamquam qui à certando desistit, inungitur.

§.9. His peractis, Pontifex defuncti corpus honesto loco recondit cum aliis corporibus sacris. Cùm enim is qui defunctus est, animâ simul & corpore constans, sanctam vitam egerit, cur animâ in bonis commorante corpus negligeretur, & non honestè deponeretur? Etenim à iusto Iudice condigna retributio animæ vnà cum corpore donabitur, siue bonorum siue malorum. Idcircò etiam sacra lex vtraque sanctificat, tam corpus quàm animam: animam quidem, in spiritalibus contemplationibus atque scientiâ eorũ quæ celebrantur; corpus verò, diuino Vnguento. Quin & sanctissimis symbolis diuinæ partici-

ἱεράρχῃ, καὶ τὰς ἐν αὐτῷ γινομένας οὐρανόθεν ἐκ Θεοῦ ἀποκαλύψεις, καὶ προσδεχομένῳ, καὶ ἀφορίζοντος. Πῶς δὲ αἱ ἐν ἐκείνῳ ἀποκαλύψεις καὶ ἐπὶ τοῖς ἑτέροις Ἱεράρχαις ἔσονται δι' ὧν ταῦτα καὶ ἐνεργήσουσιν, ἢ ὅτι διαπορθμευτικῶς καὶ ἀλληλοδιαδόχως, καὶ ἐκφαντορικῶς; Ὅσῳ γὰρ πληθύνονται τὰ τῆς ἀποκαλύψεως ἐν πολλοῖς, τοσούτῳ μᾶλλον ἐκφαίνονται. Καὶ γὰρ τὴν ἱερὰν ἐκείνην θεολογίαν, τήν, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, οὐκ ἀφ' ἑαυτοῦ, οὐδ' ἀπὸ σαρκὸς καὶ αἵματος, ἀλλ' ὑπὸ Θεοῦ μυοῦντος καὶ κινοῦντος αὐτὸν ἀπεφθέγξατο. Τοὺς γοῦν Ἀρχιερεῖς οὕτω ταῖς ἱεραρχικαῖς δυνάμεσι χρηστέον. Ἀττικὴ δὲ ἡ σύνταξις, καὶ ἀρχαῖον, τὸ συντάσσειν τὰ ὑποθετικὰ αἰτιατικαῖς πτώσεσιν, οὕτω πως, καθὼς ἂν κινήσοι αὐτοὺς ὁ Θεός· τοὺς δὲ ἄλλους οὕτω προσενεκτέον τοῖς Ἱεράρχαις (καὶ τοῦτο γὰρ οὕτω συντάσσεται) ὡς ὑπὸ Θεοῦ κεκινημένοις· πρὸς αὐτοὺς γάρ ἐστι ὁ τοῦ δεσπότου Χριστοῦ λόγος, Ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ.

Ἀλλ' ἐπανελθόντες λέγομεν, ὅτι τελεσθείσης τῆς εὐχῆς ἀσπάζονται ἅπαντες τὸν κεκοιμημένον· ἡδὺς γὰρ καὶ τίμιος ὁ ἁγίως βεβιωκώς. Μετὰ ταῦτα ἐπιχέει τὸ ἔλαιον ὁ Ἱεράρχης τῷ κειμένῳ. Ἐλέγομεν δὲ ἐν τοῖς περὶ τοῦ φωτίσματος λόγοις, ὡς τῷ ἐλαίῳ πρώτως ἐχρίετο ὁ τελούμενος μετὰ τῆς ἐσθῆτος ἀπεγυμνοῦτο· ἐνταῦθα ἐν τῷ τέλει, καὶ ταῦτα οὐκ ἀπεικότως. Ἐπειδὴ γὰρ καὶ οἱ εἰς ἀγῶνας εὐτρεπιζόμενοι χρίονται, καὶ οἱ τῶν ἀγώνων παυσάμενοι, καὶ τῶν ἱδρώτων ἀπολυσάμενοι χρίονται, εἰκότως καὶ ἐπὶ τούτοις, ἐκεῖσε μὲν κατ' ἀρχὰς ἐχρίετο εἰς τοὺς ἀγῶνας ὑπαλειφόμενος, ἐνταῦθα δὲ ἐν τῷ τέλει πάντων, ὡς τῶν ἀγώνων ἀποπαυσάμενος.

Ταῦτα τελέσας ὁ Ἱεράρχης, ἀποτίθησι τιμίως τὸ σῶμα μεθ' ἑτέρων ἱερῶν σωμάτων. Ἐπειδὴ γὰρ ὁ φιλόθεος ἄνθρωπος ἐν ψυχῇ καὶ σώματι συνεστὼς τὸν ἐνάρετον βίον ἐπολιτεύετο, ἵνα τί τῆς ψυχῆς αὐλιζομένης ἐν ἀγαθοῖς, τὸ σῶμα παροραθήσεται, καὶ οὐ τιμίως κατατεθήσεται; Καὶ γὰρ καὶ αἱ ἀμοιβαὶ τῇ ψυχῇ μετὰ σώματος δοθήσονται, εἴτε τῶν ἀγαθῶν, εἴτε τῶν κακῶν, παρὰ τοῦ δικαίου Κριτοῦ. Διὸ καὶ ὁ ἱερὸς θεσμὸς καὶ ἀμφότερα ἁγιάζει, τήν τε ψυχὴν καὶ τὸ σῶμα· τὴν ψυχὴν μέν, ἐν νοηταῖς θεωρίαις καὶ ἐπιστήμῃ τῶν τελουμένων· τὸ σῶμα δέ, τῷ θείῳ Μύρῳ. Ἔτι δὲ καὶ τοῖς ἁγιωτάτοις συμβόλοις τῆς θείας μεταλήψεως,

μεταλήψεως, ἁγιάζων πάντα τὸν ἄνθρωπον, καὶ τὴν ὁλικὴν αὐτοῦ, ἤγουν καὶ τὴν τῆς ψυχῆς καὶ τὴν τοῦ σώματος σωτηρίαν ἱερουργῶν, καὶ πάλιν οὕτω τελειοτάτην διαγγέλλων καὶ τὴν ἀνάστασιν.

Τὰς δὲ τῆς χειροτονίας εὐχὰς οὐ θεμιτὸν ἀφερμηνεύειν, ἤγουν μεθ' ἑρμηνείας δημοσιεύειν, μυστικὰς οὔσας καὶ ἀπορρήτους· οὐ χρὴ δὲ ἐξάγειν πρὸς τὸ κοινὸν τὰς ἐκ τῶν εὐχῶν δωρουμένας τοῖς τελουμένοις δυνάμεις τοῦ πνεύματος. Ἀλλὰ σὺ ταύτας κατὰ τὴν θείαν παράδοσιν μυστικῶς ἐκμαθὼν καὶ πρὸς θειοτέραν ἀναχθεὶς ἕξιν, φθάσεις καὶ τὴν τῶν τοιούτων ἐπιστήμην ὑπὸ τῆς Ἱεραρχικῆς ἐλλάμψεως· αὕτη γάρ ἐστιν ἡ πασῶν τῶν τελετῶν ἄρχουσα ὁδηγούμενος.

Ἐντεῦθεν ὅρα, τί φησιν ὁ Πατὴρ περὶ τοῦ τὰ βρέφη βαπτίζεσθαι. Τὸ δὲ, Δοκεῖ μὲν ὡς φῄς, δῆλον ὡς ἐρωτήσαντι τῷ ἁγίῳ Τιμοθέῳ ἔγραψε καὶ ταῦτα καὶ τἄλλα. Δόξει τοίνυν τοῖς ἀνιέροις εὐλόγου γέλωτος ἄξιον, εἰ τὰ βρέφη τὰ μὴ ἀκοῦσαι δυνάμενα ἐκδιδάσκουσι· καὶ τὸ ἔτι παρακινῆσον αὐτοὺς εἰς τὸ τὰ ἡμέτερα σκώπτειν, ὅτι ὑπὲρ ἄλλων ἕτεροι τὰς ἀποταγὰς ποιοῦνται καὶ τὰς ὁμολογίας. Δεῖ δὲ τοὺς κατὰ Θεὸν Ἱεράρχας καὶ συνετοὺς μὴ χαλεπαίνειν ἐπὶ τοῖς πεπλανημένοις, ἀλλ' εὐλαβῶς ἀπολογεῖσθαι, προστιθέντας καὶ τοῦτο, ὅτι εἰσί τινες λόγοι ἐπὶ τοῖς ἡμετέροις, ὑπὲρ τὴν ἡμετέραν γνῶσιν, καί τινες μὲν ἀπὸ τούτων ἐπιστητοὶ τοῖς Ἀγγέλοις εἰσὶ, τινὲς δὲ κἀκείνοις ἄγνωστοί εἰσι, καὶ Θεῷ μόνῳ γινώσκονται. Πλὴν ὅσα παρὰ τῶν διδασκάλων ἡμῶν ἀκηκόαμεν, μυηθέντων καὶ τούτων ἐκ τῆς ἀρχαίας παραδόσεως, ταῦτά φαμεν, ὅτι κατὰ τὸν ἱερὸν νόμον τὰ βρέφη ἀναγόμενα, ἥξουσί ποτε πρὸς ἕξιν ἱερὰν καθ' ἣν γνώσονται τὸ δῶρον οὗ μετέχον. Τοῦτο γοῦν, τό ποτε προελθεῖν αὐτὰ εἰς τελείαν ἡλικίαν καὶ ἕξιν, εἰς νοῦν ἐληλυθὸς τοῖς ἡμετέροις διδασκάλοις (ἡ δὲ σύνταξις ἀντὶ τῆς γενικῆς, Ἀττικῶς, ἤγουν τούτου δὴ ἐληλυθότος) ἔδοξεν εἰσδέχεσθαι τὰ βρέφη, πλὴν οὕτως, ὥστε τοὺς φυσικοὺς αὐτῶν γονέας παραδιδόναι τὸν παῖδα ἀγαθῷ τινι παιδαγωγῷ καὶ ἀναδόχῳ, ὑπ' αὐτῷ τὰ θεῖα διδαχθησόμενον. Καὶ τοῦτον ἀπαιτεῖ τὰς ὁμολογίας ὁ Ἱεράρχης, οὐχ ὡς ἐκεῖνοί φασιν, ἄλλον ἀντ' ἄλλου τὰ θεῖα μυῶν, ἀλλὰ τὰς ὑποσχέσεις τούτου δεχόμενος, ὅτι κατὰ τὸν πρόσφορον καιρὸν παραδοθήσεται τῷ παιδὶ παρ' αὐτοῦ

pationis totum hominem sanctificat; atque totalem eius, animæ scilicet & corporis, salutem operatur, nec non hoc modo perfectissimam illi quoque resurrectionem annuntiat.

Dei apparitionem, scilicet carnem eius animatam, alteram verò spiritalem, quæ tum perfectiùs à nobis secundùm mentem participabitur. Vnde ad Deum conuersi, inde perfectè illustrati vniformiter quid vnum euademus, à diuersitatibus nostris, quæ ex compositione oriuntur, id est à mundanis cupiditatibus sensibusque, liberati.

In diviniori imitatione.] Diuiniorem imitationem vocauit accuratiorem & perfectiorem significans per hoc, quomodo etiamnum Angelis digna Beatorum vita in Dei laude, & carnalium contemptu, etsi non omnimodò, versetur; ideoque etiam hæc imitatio moderatior est: tum autem in his apparebit id quod perfectum est.

Intelligibilivm spectacvlorvm.] Quoniam ex symbolis intuemur res illas spiritales quæ Angelos concernunt. De Angelis enim agit, vti declarat, cùm eos deiformes nominat. Suprà verò in libro de Cælesti Hierarchiâ exponit symbola quæ ipsos tangunt, modò verò etiam addit ea quæ ad Deum spectant.

Sedantes.] Intellexit cessationem intelligentis operationis, naturæ diuinæ incomprehẽsibilitatem insinuans: huius enim nihil est quod mentis notione percipitur. Vel [sedantes] quasi ad aliquam quæ in cõfesso est, atque perspicuam comprobationem intelligentiam sistentes circa Dei incomprehensibilitatem, quæ intellectus cessatione percipitur. *Quomodo Deus cognoscatur per cessationem.*

Ineffabili modo præextitervnt.] Illud *præextiterunt* conandum est intelligere; omnia enim opera sequentia declarat. Hinc vtique intelligitur quomodo Apostolus ait, in Deo nos esse ante mundi constitutionem. Sciendum itaque, productionem omnium, secundùm causam & principium ab eo dependere: quoniam cùm res omnes per ipsum existunt, fit etiam probabile, eas, cùm futuræ erant, per eius inconceptibilem voluntatem in ipso quoque antè constitisse, vtpote sciente & quod producet, & quando producet. Ante sæcula igitur in ipso præcognita antè constiterunt: priusquam enim spiritalia producerentur, quæ sunt sæcula, & ante omnem aliam creaturam, futura ipsi erant cognita, iuxta quod dictum est: *Qui nosti omnia antequam fiant.* & iterùm: *Antequam formarem te in vtero, noui te.* *Quomodo res futuræ sint in Deo.* 1.Pet.1,20. Dan.13,42 Iere.1,5.

SCHOLIA S. MAXIMI.

QVI NEC COGITARI POTEST.] Ita quoque Gregorius Theologus explicans vulgatum illud, Deum intelligere, quidem impoſſibile; eloqui autem, impoſſibilius.

ET VNIVERSORVM.] Cùm dixiſſet *terminationes eſſentialium cognitionum atque virtutum*, ſermonem eumdem repetiit, quem paulò antè dixerat, *omnes omnium cognitionum terminationes*. Aut igitur per vtramque vocem ſupponit, quod etiam antè poſitum fuerat, in Deo omnem cognitionem otiari, & omnis ſuæ motionis finem obtinere, propter naturæ diuinæ incomprehenſibilitatẽ, quæ ab æterno & non in tẽpore, circa ipſam cernitur: vel potiùs eſt finis & terminatio ſeu conſummatio omnis eſſentialis cognitionis. Hæ ſunt eſſentiæ & virtutes circa quas verſantur cognitiones, quas eſſentias ac virtutes omnes ſimul, & non ſigillatim, ſed confertim in Deo antè conſtitiſſe ait, ſecundùm ineffabilem præcognitionis eius rationem, quâ cognoſcit quodlibet eorum quæ producuntur, qualem naturam ac virtutem habiturum ſit, quippe cuius eſſentia ſupereſſentialis eſt, notionemq; tranſſcendit. Sciendum porrò, aliud eſſe eſſentiam, & aliud virtutem: illa enim eſt eorum quæ per ſe ſubſiſtunt; hæc verò eorum quæ aliis inſunt.

Quomodo Deus ſit terminus omnis cognitionis.

ETENIM CVM NOTIONES.] Explanatio illorum quæ dicta ſunt. Rectè autem dixit: *Etenim cùm notiones* circa ſubſtantias & res exiſtentes verſentur; Deus autem neque in ſubſtantiâ, neque quidquam rerum exſiſtentium ſit, meritò etiam cognitionem excedit.

§. 5. *Quotuplex ſit phantaſia.*

NEQVE IMAGINATIO.] Aliud eſt imaginatio, & aliud notio ſiue intellectio: à diuerſis enim potentiis oriuntur, & peculiariter cientur; ſiquidem intellectio eſt operatio & effectio, imaginatio verò eſt paſſio, & rei cuiuſdam ſenſilis aut quaſi ſenſilis enuntiatiua figuratio. Et ſenſus quidẽ promiſcuâ quadam efformatione res apprehendit; at intellectus alio quodam, & non eo quo ſenſus modo res attingit ſeu percipit. Siquidem ſiue res corporea ſit ſiue ſpiritalis circa quam ſenſus verſantur, vti antè diximus, paſſibilis & formatiuus eorum motus exiſtit; at diſcernendi percipiendique facultas, animæ ſeu menti tribuenda eſt. Hæc itaque, vti & imaginandi facultas, ad perceptiuam animæ vim contrahi debet: facultas enim imaginandi in tres partes diuiditur, in primam nẽpe illam,

Ἣν οὔτε ἐννοῆσαι δυνατόν.] Οὕτω γὰρ φησὶ καὶ ὁ Θεολόγος Γρηγόριος, μεταφράζων τὸ εἰρημένον, Θεὸν νοῆσαι μὲν, ἀδύνατον· φράσαι δὲ, ἀδυνατώτερον.

Καὶ πασῶν.] Εἰπὼν, Ἀποπερατώσεις τῶν οὐσιωδῶν γνώσεων καὶ δυνάμεων, τὸν αὐτὸν ἐπανελάβετο λόγον, ὃν καὶ πρὸ μικροῦ εἶπε, Πάντα τὰ πέρατα πασῶν τῶν γνώσεων. Ἢ οὖν τοῦτο δι' ἑκατέρας φωνῆς ὑποτίθεται, ὅπερ καὶ προπαρετέθη, ὅτι ἐν τῷ Θεῷ πᾶσα γνῶσις ἀργεῖ, καὶ τέλος ἔχει πάσης κινήσεως, διὰ τὸ τῆς θείας φύσεως ἀκατάληπτον, ὅπερ ἀϊδίως, καὶ οὐκ ἐν χρόνῳ περὶ αὐτὴν θεωρεῖται· ἢ μᾶλλον πέρας καὶ ἀποπεράτωσις, ἤτοι τὸ τέλος ἑκάστης οὐσιώδους γνώσεως. Αὗταί εἰσιν αἱ οὐσίαι καὶ δυνάμεις περὶ ἃς αἱ γνώσεις, ἅς τινας οὐσίας καὶ δυνάμεις πάσας ἅμα, καὶ οὐκ ἀνὰ μέρος, ἀλλὰ ἀθρόως ἐν τῷ Θεῷ προϋφεστάναι φησὶ κατὰ τὸν ἄρρητον τῆς προγνώσεως αὐτοῦ λόγον, εἰδότι ἕκαστον τῶν πρὸς γένεσιν παραγομένων, ὅπως ἕξει φύσεως καὶ δυνάμεως, οὗ ἡ οὐσία ὑπερούσιός τε καὶ ὑπεράγνωστος. Ἰστέον δὲ, ὅτι ἑτέρα οὐσία, καὶ ἑτέρα δύναμις· ἡ μὲν γὰρ τῶν καθ' ἑαυτὰ ὑφεστώτων, ἡ δὲ τῶν ἐν ἑτέρῳ τὸ εἶναι ἐχόντων.

Εἰ γὰρ αἱ γνώσεις.] Ἐπεξήγησις τῶν εἰρημένων. Καλῶς δὲ εἶπεν· Εἰ γὰρ αἱ γνώσεις περὶ τὰς οὐσίας καὶ τὰ ὄντα εἰσίν· ὁ Θεὸς δὲ οὔτε ἐν οὐσίᾳ, οὔτε τὶ τῶν ὄντων ἐστὶν, εἰκότως καὶ γνώσεως ἐπέκεινά ἐστιν.

Οὔτε φαντασία.] Ἕτερόν ἐστι φαντασία, καὶ ἕτερον νόησις ἤτοι νόημα· ἀπό τε γὰρ διαφόρων δυνάμεων γίνονται, καὶ ἰδιότητι κινήσεως· ἡ μὲν γὰρ νόησις, ἐνέργειά ἐστι καὶ ποίησις, ἡ δὲ φαντασία, πάθος καὶ τύπωσις ἀναγγελτικὴ αἰσθητοῦ τινος, ἢ ὡς αἰσθητοῦ τινος. Καὶ ἡ μὲν αἴσθησις ἀντιλαμβάνεται τῶν ὄντων κατὰ ἀθρόαν μόρφωσιν, ὁ δὲ νοῦς ἐφάπτεται, τουτέστιν, ἀντιλαμβάνεται τῶν ὄντων ἑτέρῳ τρόπῳ, καὶ οὐχ οἵῳ ἡ αἴσθησις. Περὶ μὲν οὖν τὸ σωματικὸν ἢ τὸ πνευματικὸν, ἢ ἐν ᾧ τὰς αἰσθήσεις εἶναι καὶ πρώην ἔφημεν, τὸ παθητικὸν καὶ μορφωτικόν ἐστι κίνημα· τὸ δὲ κριτικὸν καὶ ἀντιληπτικὸν τῇ ψυχῇ καὶ τῷ νῷ δοτέον. Τούτῳ οὖν τῷ τῆς ψυχῆς ἀντιληπτικῷ, καὶ τὸ φανταστικὸν ὑποστεῖλαι δεῖ· διαιρεῖται γὰρ ἡ φανταστικὴ εἰς τρεῖς μοίρας, πρώτην μὲν, εἰς τὸ

τῶν ἀντι-

SCHOLIA S. MAXIMI.

τῶν ἀντιλήψεων εἰκονιστικὴν πρὸς τὰ ποιοῦντα αἰσθητὴν τὴν ἀντίληψιν· δευτέραν δὲ, τὴν ἐκ τῶν μενόντων ἐγκαταλειμμάτων ἀπὸ τούτων ἀνατυπωτικὴν, μὴ ἔχουσαν ἐρηρεισμένας ἔτι τὰς εἰκόνας, ἣν καὶ ἰδίως φανταστικὴν καλοῦσι· τρίτην, ἐν ᾗ πᾶσα ἡδονὴ τοῦ κατὰ φαντασίαν δοκοῦντος ἀγαθοῦ ἢ δοκοῦντος κακοῦ, καὶ λύπην συνίσταται. Οὐδεμία τοίνυν, καθὰ εἴρηται, φαντασία χώραν ἔχει ἐπὶ Θεοῦ, πάντων γὰρ ἁπαξαπλῶς ὑπὲρ ἔννοιάν ἐστι καὶ ὑπέρκειται· δόξα δέ ἐστιν ἡ ἐκ τοῦ φαινομένου κατὰ τὸ δοκοῦν τοιάδε τις ὑπόληψις.

Οὔτε ἐπαφή.] Ἐπαφὴν νῦν φησι τὴν νοερὰν κατάληψιν· καὶ γὰρ τοῖς νοητοῖς καὶ ἀΰλοις τῷ νῷ ἐπιστατῶς ἐπιβάλλοντες, δοκοῦμεν ὥσπερ ἅπτεσθαι αὐτῶν, καὶ διὰ τοῦ νοῦ αἰσθάνεσθαι ὁποῖά εἰσιν, ὡς καὶ διὰ τῆς ἁφῆς τῶν αἰσθητῶν· ἐπὶ δὲ Θεοῦ οὐδὲ νοερῶς ἐφαπτόμεθα.

Ἀκλήτου καὶ ὑπερωνύμου.] Ἀκλήτου φησὶ, ἀντὶ τοῦ μὴ καλουμένου τινὶ γνωρίσματι· αὐτὸς γὰρ καλεῖ τὰ μὴ ὄντα ὡς ὄντα, ὡς τὸν Κῦρον πρὸ τοσούτων ἐτῶν, καὶ τὸν Ἰωσίαν.

Ἀλλ' ὅπερ.] Ζητεῖται ὁ περὶ θεολογικῆς ὑποτυπώσεως λόγος.

Τὴν ὁμόθεον.] Ὁμόθεον πῶς λέγει τὴν παναγίαν Τριάδα.

Ἀγγελοπρεπεῖς ἑνώσεις.] Εἰπὼν περὶ τοῦ Θεοῦ, ὅτι ἀνεννόητος ἡμῖν ἐστι καὶ ἄφθεγκτος, ἐκ τοῦ ἐλάττονος λοιπὸν τὸ περὶ Θεοῦ συνίστησιν. Εἰ γὰρ τὰ περὶ τῶν Ἀγγέλων ἡμῖν ἄγνωστά ἐστι, τί περὶ τοῦ Θεοῦ λογιστέον; Φησὶν οὖν, ὅτι αἱ ἀγγελικαὶ δημιουργίαι οἷά τινές εἰσιν ἐπιβολαὶ τῆς τοῦ Θεοῦ ἀγαθότητος. Ἐπιβολὴν δὲ νοητέον τὴν εἰς τὸ καθ' ἓν τῶν παραγομένων μεριζομένην ἀμερῶς κίνησιν, τουτέστιν εἰς τὴν ἑκάστου τῶν νοητῶν παραγωγήν. Δυνατὸν δὲ καὶ οὕτως νοῆσαι, ὅτι οἱ τρόποι τῶν πρὸς Θεὸν ἑνώσεων, καθόσον πρέπει Ἀγγέλους ἑνοῦσθαι Θεῷ, καθ' ἣν πρὸς Θεὸν ἕνωσιν, ἢ ἐπιβάλλουσι κατὰ τὴν οἰκείαν ἀξίαν τῇ ἀγαθότητι τοῦ Θεοῦ, ἢ παραδέχονται παρ' αὐτοῦ τῆς ἀγαθότητος αὐτοῦ τὴν ἀποκάλυψιν· καὶ οὕτως ἀκατάληπτοί εἰσιν, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς κατωτέροις Ἀγγέλοις· μόνοις δὲ τοῖς ἀνωτάτω Ἀγγέλοις γινώσκονται, ἅτε ἠξιωμένοις τὸν εἰρημένον τρόπον τῶν ἑνώσεων. Ἐν δὲ τῷ περὶ τῆς οὐρανίας Ἱεραρχίας λόγῳ φησὶ καὶ τὰς τάξεις τὰς Ἀγγελικάς.

quæ figurat ea quæ sensibus percipiuntur; in secundam verò eam, quæ ex vestigiis à sensibus relictis confusas quasdam & instabiles imagines efformat, quam propriè imaginatiuam vocant; in tertiam denique eam, in quâ consistit voluptas omnis eius quod secundùm imaginationem bonum, vel secundùm dolorem malum apparet. Nulla igitur imaginatio, vti dictũ est, in Deo locum habet; quoniam absolutè supra omnia existit, eminetque. Opinio autem est, talis quędã ex probabili secundùm æstimationem coniectura.

NEQVE TACTVS.] Tactum modò vocat intellectualem comprehensionem: nam dum rebus spiritalibus & immateriatis mentem scienter applicamus, videmur quodammodò illas tangere, & mente sentire quales existant, non secùs ac tactu res sensiles; Deum autem ne quidem mente contingimus.

SINE NOMINE ET SVPRA NOMEN.] Innominabilem vocat, tamquam qui nullâ notione compellari valeat: ipse enim *vocat ea quæ non sunt, tamquam ea quæ sunt*, vt ante tot annos Cyrum, & Iosiam. Rom. 4, 17

SED VT.] Desideratur ille liber de Theologicâ hypotyposi.

SIMVL DEVM.] Quomodo sanctissimam Trinitatem simul Deum nominet.

CONIVNCTIONES QVÆ ANGELIS CONVENIVNT.] Cùm dixisset Deum inexcogitabilem nobis & inexplicabilem existere, à minori deinde confirmat id quod de Deo dixerat. Si enim ignota nobis sint ea quæ Angelos concernunt, quid de Deo cogitandum est? Ait itaque, Angelicas creationes quasi quasdam immissiones esse bonitatis Dei. Per immissionẽ autem intelligenda est Dei motio indiuisim diuisa in rerum productarum vnitatem, id est, in cuiuslibet rei intellectilis productionem. Possumus autem hinc etiam intelligere modos vniendi cum Deo, in quantum Angelis competit vniri Deo, secundùm quam cum Deo vnionem aut incumbunt pro suâ dignitate bonitati Dei, aut ab eo bonitatis eius reuelationem excipiunt: atque ita non nobis solùm, sed inferioribus quoque Angelis ignoti sunt; à solis autem supremis Angelis cognoscuntur, vtpote dignis dicto illo modo vnionum. Porrò in libro de Cælesti Hierarchiâ istos etiam ordines Angelicos recenset.

Quid sint immissiones Angelicæ.

SCHOLIA S. MAXIMI.

Quæ sint mentes deiformes.

HISCE DEIFORMES.] Mentes deiformes, quas Angelos imitando, quantum assequi possunt, ad sanctarum Virtutum vnionem adduci asserit (has Virtutes priùs Angelos appellauit) Theologi nostri intelligendi sunt, Prophetæ inquam & Apostoli. Quòd enim hoc non de Angelis accipiendum sit, patet, quòd dicat *Angelos imitando:* Angelus enim non imitatur Angelum, sed qui illo inferior est. Cùm autem Theologus mentes vocat, intelligit illos, quoad fieri potest, Angelorum imitatione cum Deo coniungi, dum per omnis sæcularis operationis cessationem Deo vniuntur. In rebus enim spiritalibus manifestum est, motum omnem, omnemq; operationem, & quietem omnem ad perfectionem illam vnificantem manuducere; quoniam circa res æternas & incorporeas vacationes istæ ac tranquillitates, operationumque cessationes iuxta naturam suam efficiunt, vt perturbatio cesset, & in vnitate perfectio obtineatur.

CESSATIONEM.] Impossibile enim est vniri Deo, & aliquo modo euadere in Deum, nisi quis à materialibus operationibus tum secundùm sensum tum secundùm mentem cessarit.

RERVM ABLATIONE.] Rerum omnium ablationem vocat, quando cum nullâ re diuinam naturam comparamus. Quinimò ait, quòd neque corpus sit, neque habitus, neque virtus, & cetera omnia, sicut in sequentibus significauit.

Quomodo Deus nihil & omnia, nullibi & vbique.

IPSE VERO NIHIL.] Deum nihil esse, sic intelligendum est, vt nihil sit eorum quæ sunt; superat enim omnia quæ sunt, cùm sit rerum omnium causa: vnde etiam Deus à Theologis & vbique & nullibi esse dicitur. Cùm itaque nullibi sit, omnia quidem per ipsum, & in ipso, vt qui nihil sit omnium; & in ipso rursum, vt qui sit vbique: cetera verò omnia per ipsum, quia ipse nusquam, & vniuersa quidem implet, vt qui vbique sit, secundùm Prophetam, nusquam verò, secundùm alium dicentem: *Aut quis locus requietionis meæ?* Si enim tantùm erat vbique, ipse profectò erat omnia, & in omnibus localiter: atque adeò etiam nihil, tamquam qui sit supra ea quæ sunt.

Act. 7. 49.

Quid sit habitus, motus, &c.

TAMQVAM AB OMNI HABITV.] Habitus quidem est qualitas immanens; motus autem est id quod opponitur quieti, quæ oppositio in pluribus consistit; vita verò, quod

Ταύταις οἱ θεοειδεῖς.] Τοὺς θεοειδεῖς νόας, οὓς ἀγγελομιμήτως φησὶ, καθ᾽ ὅσον ἐφικνοῦνται, εἰς ἕνωσιν ἄγεσθαι τῶν ἁγίων Δυνάμεων (ἃς Δυνάμεις Ἀγγέλους προεῖπε) τοὺς καθ᾽ ἡμᾶς Θεολόγους νοητέον, Προφήτας τέ φημι καὶ Ἀποστόλους. Οὐ γὰρ δὴ ὑποληπτέον Ἀγγέλους μάλιστα, ἐκ τοῦ Ἀγγελομιμήτως εἰπεῖν· Ἄγγελος γὰρ Ἄγγελον οὐ μιμεῖται, ἀλλ᾽ ὁ ἐλάττων. Νόας δὲ καλῶν τοὺς Θεολόγους, τῆς ἀγγελομιμήτου ἑνώσεως πρὸς Θεὸν αὐτοὺς ἔφη ἐφικνεῖσθαι ὡς δυνατὸν, κατὰ ἀπόπαυσιν πάσης ἐνεργείας κοσμικῆς ἐκθειουμένους. Ἐπὶ γὰρ τῶν νοερῶν πᾶν κίνημα, καὶ πᾶσα ἐνέργεια, καὶ πᾶσα ἠρεμία ἐνεργῶς ἐστι τὸ πρὸς τελειότητα ἑνοποιὸν διαγωγοῦσα, εἴγε ἐν τοῖς αἰωνίοις καὶ ἀσωμάτοις αἱ οὖσαι ἠρεμίαι καὶ ἡσυχίαι, καὶ τῶν ἐνεργειῶν αἱ ἀποπαύσεις, τὸ κατὰ φύσιν πράττειν ποιοῦσιν, ὅπερ ἐστὶ τῆς ἀοχλησίας καὶ τελειότητος εἰς ἑνάδα πρόξενον.

Ἀπόπαυσιν.] Ἀδύνατον γὰρ ἑνωθῆναι Θεῷ, καὶ Θεὸν τρόπον τινὰ γενέσθαι, εἰ μὴ παύσεταί τις τῶν ὑλικῶν ἐνεργειῶν, κατά τε αἴσθησιν καὶ κατὰ διάνοιαν.

Τῶν ὄντων ἀφαιρέσεως.] Ἀφαίρεσιν πάντων τῶν ὄντων καλεῖ, τὸ πρὸς μηδὲν τῶν ὄντων παραβάλλειν τὸ Θεῖον. Ἀλλὰ λέγει, ὅτι οὐ σῶμα, οὐχ ἕξις, οὐ δύναμις, καὶ τὰ λοιπὰ πάντα, καθὼς διὰ τῶν ἑξῆς ἐσήμανεν.

Αὐτὸ δὲ οὐδέν.] Τὸ οὐδὲν εἶναι τὸν Θεὸν, οὕτω νοητέον, ὡς τῶν ὄντων μηδὲν ὄντα· ὑπὲρ γὰρ τὰ ὄντα, ὁ αἴτιος τῶν ὄντων, ὅθεν ὁ Θεὸς καὶ πανταχοῦ καὶ οὐδαμοῦ θεολογεῖται. Ἐπεὶ γοῦν οὐδαμοῦ ἐστι, πάντα μὲν δι᾽ αὐτοῦ, καὶ ἐν αὐτῷ, ὡς μὴ ὄντι μηδὲν τῶν πάντων· καὶ ἐν αὐτῷ πάλιν, ὡς πανταχοῦ ὄντι· ἕτερα δὲ αὐτοῦ τὰ πάντα, ὅτι αὐτὸς οὐδαμοῦ, καὶ πληροῖ μὲν τὰ πάντα, ὡς πανταχοῦ ὢν, κατὰ τὸν Προφήτην, οὐδαμοῦ δέ ἐστι, καθ᾽ ἕτερον λέγοντα, Ἢ ποῖος τόπος τῆς καταπαύσεώς μου; Εἰ γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα, καὶ ἐν πᾶσι τοπικῶς. οὕτως οὖν καὶ οὐδὲν, ὡς ὑπὲρ τὰ ὄντα.

Ἀλλ᾽ ὡς πάσης ἕξεως.] Ἕξις μέν ἐστι διάθεσις ἔμμονος· κίνησις δέ ἐστι τὸ ἀντιδιαστελλόμενον τῇ ἠρεμίᾳ, κατὰ πολλῶν τιθέμενον· ζωὴ δὲ,

τὸ

τὸ ταῦτα δεικνύον ἐνεργά· φαντασία δὲ, τὸ ἐν διανοίᾳ ἀνατυπωτικόν· δόξα δὲ, πεπληροφορημένη ὑπόληψις. Διαφέρει δὲ νόησις διανοίας, ὅτι τὸ μὲν ἔστιν ἐπὶ τοῦ διανοητικοῦ τῆς ψυχῆς, τὸ δὲ τὴν τοῦ διανοητικοῦ κίνησιν δηλοῖ. Ταῦτα δὲ πάντα, καὶ τὰ ἄλλα ὅσα τούτοις συγκατείλεκται, οὐκ οὐσία ἐστὶν, ἀλλὰ περὶ οὐσίαν ὁρᾶται· ὅθεν καὶ διεῖλεν αὐτὴν ἀπὸ τούτων.

Τῆς θεαρχίας πρόνοιαν.] Ἐκ τούτου αἱ ἀνόητοι δόξαι ἐκλύονται τῶν τολμησάντων λέγειν, τὸ δημιουργικὸν φύσει τινὶ ἐνεῖναι τῷ Θεῷ, ὡς καὶ τοῖς ἀραχνίοις τὸ ὑφαίνειν· φησὶ γὰρ, διὰ μόνην ἀγαθότητα τὸ πᾶν παραγαγεῖν τὸν Θεόν. Διὸ καὶ πάντες οἱ Θεόλογοι ἐκ μὲν τῶν αὐτοῦ τοῦ Θεοῦ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, οὐ τολμῶσιν ὑμνεῖν αὐτὸν (ἀνεπίγνωστα γὰρ) ἀλλ' ἐκ τῆς εἰς τὰ ἔξω προόδου, ἥτις ἐστὶ πρόνοια, τὰ αἰτιατὰ, τουτέστι τὰ ἐξ αἰτίου αὐτοῦ συστάντα, τὴν περὶ τὰ πάντα πρόνοιαν τοῦ Θεοῦ ὑμνολογοῦσι. Τὰ γὰρ πάντα τῆς θείας προνοίας ἐφίεται, δι' ἧς καὶ ὑπάρχει καὶ συνίσταται, ἀλλὰ, τὰ μὲν νοερὰ καὶ λογικὰ, γνωστικῶς· νοερὰ δὲ λέγεται, ὅσα διὰ τὸ νοῦς εἶναι νοεῖ τὰ ὑποκείμενα νοητά· νοητὸν γάρ ἐστι τὸ νοούμενον, ὅπερ καὶ τροφή ἐστι τοῦ νοεροῦ ἀντὶ τούτου νοοῦντος. Ὅσα οὖν, κατὰ τὸ νοερὰ εἶναι ἅτε νοῦς νοεῖ, ταῦτα καὶ λογικὰ ὄντα, γνωστικῶς ἐπιβάλλοντα τῇ τοῦ Θεοῦ προνοίᾳ, ἀναλόγως ἐφίεται τοῦ Θεοῦ· ὅσα δὲ ὑποβέβηκε τὰ νοερὰ, καί εἰσι ψυχὴ αἰσθητικὴ, θηρίων λέγω καὶ πάντων ἐμψύχων μὲν σωμάτων, ἀλόγων δὲ, ὧν ἡ ψυχὴ ἐκ τῶν στοιχείων καὶ τοῦ ἐνύλου πυρὸς συνεστῶσα, ἐν πνεύματι ἐνύλῳ ἔχει τὸ εἶναι, ταῦτα μόνον ἐκ τῆς αἰσθήσεως συνελαυνόμενα εἰς τὸ πεινῆν καὶ διψῆν, ἐφίεται εἰκότως αἰσθητῶς τοῦ χορηγοῦντος, ὡς τὸ, Πάντα πρός σε προσδοκῶσι τοῦ δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Καὶ τοιαῦτα πολλὰ καὶ παρὰ τῷ Ἰὼβ καὶ τῷ Δανιὴλ εὑρήσεις. Καὶ τὰ ἄλλα μέν τοι ὅσα τὴν φυτικὴν ἤτοι ζωτικὴν μόνην ἀναισθήτως τε καὶ ἀψύχως ἔχει κίνησιν, ὡς τὰ φυτὰ πάντα, καὶ βοτάναι πᾶσαι, ἅτινα καὶ ζωτικὸν πνεῦμα μόνον συνιστὸν ἔχουσι, τὴν ἑαυτῶν οὐσίαν ἄνευ αἰσθήσεως, ὡς τὰ δένδρα πάντα, ὡς εἴρηται, καὶ τὰ τοιαῦτα, κατὰ τὸ ἀποξηραίνεσθαι τοῦ φυτικοῦ πνεύματος στερούμενα, δι' οὗ κινοῦνται πρὸς αὔξην καὶ εὐθάλειαν. Διὰ τοῦτο δοκεῖ καὶ

hæc oſtendit efficacia: imaginatio eſt id quod in intellectu ſpecies efformat; opinio autem eſt perſuaſa coniectura. Differt porrò intellectio ab intellectu; quia hic eſt in facultate intelligendi animæ, illa verò ipſum intelligédi motum ſignificat. Hæc autem omnia, quæque his annumerata ſunt, non ſunt ſubſtantia, ſed circa ſubſtantiam conſiderantur, vnde etiam à ſubſtantiâ diſtinxit.

Quomodo omnia ſint à Dei prouidentiâ.

SVMMÆ DEITATIS PROVIDENTIA.] Ex his ſoluuntur fatuæ opiniones eorum qui auſi ſunt dicere, inſitam eſſe Deo naturâ quadam vim creandi, ſicut inſitum eſt araneolis texere: demonſtrat enim, propter ſolam bonitatem producere Deum omnia. Quamobrem non audent Theologi laudare Deum ab iis quæ ipſius ſunt, id eſt à naturâ & eſſentiâ eius (hæc enim ignota ſunt) ſed ab emanatione, quæ eſt prouidentia eius in ea quæ ab ipſo auctore effecta ſunt. Hanc diuinam prouidentiam, quâ omnibus Deus prouidet, laudibus celebrant. Omnia enim diuinam appetunt prouidentiam, per quam ſunt, & conſiſtunt; intelligentia quidem & rationalia ſcienter; intelligétia verò dicuntur, quæ idcircò quòd mentes ſint, intelligibilia, quæ ipſis inferiora ſunt, intelligunt: intelligibile enim eſt id quod intelligitur, & quaſi cibus eſt intelligentis. Quæ igitur, quatenus intelligentia ſunt, vt mentes intelligunt, eadem cùm ſint rationalia, quæ ſcienter Dei prouidentiam conſiderant, pro captu ſuo Deum appetunt: quæ verò inferiora ſunt intelligentibus, & ſunt animæ ſenſiles, ferarum, inquam, atque omnium animatorum quidem corporum, ſed irrationalium, quorum anima ex elementis & materiali igne conſtat, in ſpiritu materiali ſuum eſſe habent; hæc ſolo ſenſu impulſa dum eſuriunt, & ſitiunt, meritò quoque modo ſenſili deſiderant eum qui ipſis aliquid præbeat, iuxta illud, *Omnia à te exſpectant, vt des illis eſcam ipſorum in tempore opportuno.* Pſal. 144, 15. Similia quoque multa in Iob & Daniele reperies. Porrò alia, quę ſolum Regetantem ſeu vitalem ſine ſenſu & animâ motum habent, ſicut omnes plantæ & herbæ; quibus ſolummodò eſt ſpiritus vitalis, & ſubſtantia ſine ſenſu, vt omnes arbores, quæ, iuxta quòd dictũ eſt, cum areſcunt, vegetante ſpiritu priuantur, quo ad accretionem & germinationem impellebantur. Quocircà etiam hæc ſuo modo viden-

SCHOLIA S. MAXIMI.

tur appetere diuinam prouidentiam, vt consistant, & floreant, vnde etiam hæc assumuntur in Psalmo cẽtesimo quadragesimo octauo, ad Deum pro ipsorum consistentiâ laudãdum. Quare etiam ineffabilem illam participant prouidentiam, sed per solam vitam, etsi absque animâ & sensu, & secundùm aptitudinem habitualem, quæ quædam proprietas est potentiæ: habitus enim dicitur qualitas immanens, secundùm quam affectionem ac virtutem aliquid dicitur quale. Cùm igitur secundùm hunc habitum solũ, ad accretionem ac motum substantialiter & habitualiter vegetantem vitam participent, dicuntur etiam diuinam bonitatem appetere, sed inanimatè & insensiliter.

INTELLIGENTIA QVIDEM.] *Intelligentia* quidem vocat naturam Angelicam, *rationalia* verò humanam, his autem inferiora *irrationalem*, quæ tantùm sentiendi vi pollet; quocircà dixit *sensiliter*, id est, modo sensili: reliqua verò, vt plantæ, & omnia inanima & immobilia, illa quidem ait secundùm vitalem motum, id est, altricem & auctricem, hæc enim etiam insunt plantis; inanima autem, eò quòd omnino in se esse habeant; hoc enim appellauit substantialem & habitualem aptitudinem.

§.6. VT ÆTERNVM.] Vide quàm perspicuè ex effectis & creaturis supremum omnium laudent. Æternum quidem dicit sæculorum conditorem, & qui reapse est æternitas; siquidem ipse semper existit, vnde & æternitas appellatur; æternum autem non est ipsamet æternitas, sed id quod æternitatis est particeps.
Isa. 40,28. Atqui Isaias ait, *Deus sempiternus, qui creauit terminos terræ*: Deus autem non est posterior æternitate vt eius particeps existat, sed creator sæculorum.

VT NON SENESCENTEM.] Iuxta illud,
Psal. 101, 28. *Tu autem idem ipse es, & anni tui non deficient.*

VT IN AVRA TENVI.] Hoc est quod di-
3. Reg. 19, 12. citur in libris Regum, *Non in commotione Dominus*, neque in nube aduenit Dominus vt Eliæ loqueretur, *sed in sibilo auræ tenuis vocat Dominus.* Hoc verò declarat ipsum dicere, Deum omnibus incomprehensum etiam in corpore existere: spiritus enim & ab omnibus participatur, & est in omnibus, neq;
Ioan. 4,24. ab vllo cõprehenditur, prout etiam in Euangeliis ipse Dominus ait: *Spiritus est Deus, &*

ταῦτα ἐφίεσθαι τῆς θείας προνοίας ἐφ' ᾧ καὶ συνεστάναι καὶ ἀνθεῖν, ὅθεν καὶ ταῦτα παραλαμβάνεται ἐν τῷ ρμη. Ψαλμῷ αἰνεῖν τὸν Θεὸν, διὰ τῆς αὐτοῦ συστάσεως. Μετέχει οὖν καὶ ταῦτα τῆς ἀφάτου προνοίας, ἀλλὰ κατὰ μόνον τὸ ζῆν, εἰ καὶ ἀψύχως καὶ ἀναισθήτως, καὶ κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα, ἥτις ἐστὶν ἰδιότης τῆς δυνάμεως· ἕξις γὰρ λέγεται ἡ ἔμμονος ποιότης, καθ' ἣν διάθεσιν καὶ δύναμιν ποιόν τι λέγεται. Κατὰ ταύτην οὖν τὴν ἕξιν τῆς φυτικῆς ζωῆς, εἰς αὔξησιν καὶ κίνησιν μόνον μετέχοντα οὐσιωδῶς τε καὶ ἑκτικῶς, ἀψύχως δὲ καὶ ἀναισθήτως, λέγεται ἐφίεσθαι τῆς ἀγαθότητος τοῦ Θεοῦ.

Τὰ μὲν νοερά.] Νοερὰ μὲν, τὴν ἀγγελικὴν φύσιν· λογικὰ δὲ, τὴν ἀνθρωπίνην φησί· τὰ δὲ τούτων ὑφειμένα, τὴν ἄλογον, ᾗ τινι μόνον τὸ αἰσθητικὸν πρόσεστι, διὸ καὶ αἰσθητῶς εἶπε, τουτέστιν αἰσθητικῶς· τὰ δὲ ἄλλα, ἤγουν τὰ φυτὰ, καὶ ὅσα πάντη ἄψυχα καὶ ἀκίνητα, τὰ μὲν φησὶ κατὰ τὴν ζωτικὴν κίνησιν, τουτέστι τὴν θρεπτικήν τε καὶ αὐξητικὴν, ταῦτα γὰρ δὴ ἐν τοῖς φυτοῖς πρόσεστι· τὰ δὲ ἄψυχα, ἐν τῷ ἔχειν ἐν ἑαυτοῖς τὸ ὅλως εἶναι, τοῦτο γὰρ εἶπεν οὐσιώδη καὶ ἑκτικὴν ἐπιτηδειότητα.

Ὡς αἰώνιον.] Ὅρα πῶς σαφῶς ἐκ τῶν αἰτιατῶν καὶ κτιστῶν, τὸν ἁπάντων ἀνώτατον ὑμνολογοῦσιν. Αἰώνιον μὲν φασι, τὸν τῶν αἰώνων ποιητὴν καὶ τῷ ὄντι αἰῶνα, εἴγε ὁ ἀεὶ ὢν αὐτός ἐστιν, ὅθεν καὶ αἰὼν λέγεται· αἰώνιον δέ ἐστιν, οὐκ αὐτὸς ὁ αἰὼν, ἀλλὰ τὸ αἰῶνος μετέχον. Καὶ γοῦν φησιν ὁ Ἡσαΐας, Ὁ Θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· ὁ δὲ Θεὸς οὐ δεύτερός ἐστι τοῦ αἰῶνος ἵνα καὶ μετέχῃ αὐτοῦ, ἀλλ' αἰώνων ποιητής.

Ὡς ἀγήρω.] Κατὰ τὸ, Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Ὡς ἐν αὔρᾳ.] Τοῦτό ἐστι τὸ εἰρημένον ἐν Βασιλείαις, ὅτι οὔτε ἐν τῷ συσσεισμῷ, οὔτε ἐν τῇ νεφέλῃ παρεγένετο ὁ Κύριος λαλῆσαι τῷ Ἡλιοῦ, ἀλλὰ φωνῇ αὔρας λεπτῇ καλεῖ ὁ Κύριος. Τοῦτο δὲ δηλοῖ, ὅτι καὶ ἐν σώματί φησιν εἶναι τὸν Θεὸν, τὸν ἐν τοῖς πᾶσιν ἀπερίληπτον· ἡ γὰρ πνοὴ καὶ παρὰ πάντων μετέχεται, καὶ ἐν πᾶσίν ἐστι, καὶ παρ' οὐδενὸς ἐμπεριλαμβάνεται, ὡς καὶ ἐν Εὐαγγελίοις φησὶν ὁ Κύριος· Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσ-

προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

Καὶ τὸ ἀνώνυμον.] Ἀνώνυμον, διὰ τὸ πάντα εἶναι, καὶ μηδὲν τῶν ὄντων εἶναι, ἀλλὰ πάντα ἐξ αὐτοῦ εἶναι, ὡς αὐτὸς ἑαυτὸν ἐξηγεῖται.

Ὡς ἀρχῆς.] Ἀρχῆς μὲν, ὡς τὸ εἶναι παρεχομένης· πέρατος δὲ, ὡς ἐν τῷ εἶναι συνεχούσης.

Τὰ πάντα ἐν πᾶσι.] Πάντα δὲ τὰ ὄντα, διὰ τὸ ἐξ αὐτοῦ εἶναι τὰ πάντα.

Καὶ ἑστία.] Ἑστίαν αὐτὸν πάντων ἔφη, ὡς οἴκησιν ὄντα πάντων τῶν ἁγίων, ὡς αὐτὸς ὁ Κύριός φησιν, Ὑμεῖς ἐν ἐμοί. Ὥσπερ γὰρ ναὸς αὐτοῦ ἐσμὲν, κατὰ τὸ, Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· οὕτω καὶ αὐτὸς οἶκος ἡμῶν ἐστι. Καλῶς δὲ εὐθὺς ἐπήγαγε τὸ Ἡνωμένως. Ἐπειδὴ γὰρ εἶπεν, αὐτὸν εἶναι πάντα, καὶ ἐν αὐτῷ τὰ πάντα, ἵνα μή τις εἰς σύνθεσιν τὸν νοῦν καταγαγὼν ἐκπέσοι τῆς ἀληθείας, ὑπονοῶν ἅπαντα συμπεφορῆσθαι σωρηδὸν ἐν τῷ Θεῷ, ἢ κατὰ τὴν σύνθεσιν τὸν Θεὸν εἶναι τὰ πάντα, ταχέως ἐθεράπευσε τὸ ἀπεμφαῖνον, εἰπὼν Ἡνωμένα, τουτέστιν ἐν τῇ οἰκείᾳ ἑνάδι, μᾶλλον δὲ ὑπὲρ ἑνάδα μείναντα ὑπερηπλωμένον ἀμερῶς καὶ ἀμιγῶς τοῖς οὖσιν εἶναι τὰ πάντα καὶ ἐν πᾶσιν. Ἀλλὰ καὶ ἀσχέτως ἐστὶν ἐν πᾶσιν, ἀντὶ τοῦ ὑπ' οὐδενὸς κατεχόμενος, ἢ περιγραφόμενος σωματικῶς, ἐξῃρημένως δὲ μᾶλλον· ἔξω γάρ ἐστι τῶν ἁπάντων, οὐδαμοῦ ὢν, ἐξ αὐτοῦ πάντων ὄντων, καὶ αὐτὸς ἐν πᾶσιν· ἐξ αὐτοῦ γὰρ τὰ πάντα συνέστηκε.

Πάντα δὲ ἁπλῶς.] Τουτέστιν ἀσυνθέτως· ἐν οὐδενὶ γὰρ τῶν ὄντων συνετέθη ἢ σωματικῶς ἡνώθη, εἰ μὴ ἐν τῷ καιρῷ τῆς οἰκονομίας.

Θείων φασμάτων.] Ὅτι φάσματα καλεῖ τὰς ἐν συμβόλοις ἀποκαλύψεις τοῦ Θεοῦ. Καὶ τὸ πῶς αὐτὸ λέγει σημείωσαι.

Ἀνακτόροις.] Ἕλληνες ἀνάκτορα ἐκάλουν τὰ παρ' αὐτοῖς θεῶν τὰ τεμένη. Ἐμφαίνει οὖν ὁ ἅγιος ἐν τούτοις τὸ παρὰ τῷ Ἡσαΐᾳ· δοκεῖ γὰρ ἐν τῷ ναῷ ὑπαγορεύειν αὐτὸν ἑωρακέναι τὴν θείαν ἐκείνην ὄψιν, τὴν τοῦ Σεραφίμ. Τὰ δὲ ἑξῆς εἴρηται, διὰ τὴν τοῦ Ἰεζεκιὴλ ὅρασιν, τὴν ἐν Βαβυλῶνι, καὶ ἑτέρας τινὰς θεωρίας.

Καὶ θώκους.] Θρόνους.

Συμβολικῇ θεολογίᾳ.] Ἄλλο σύνταγμα

eos, qui adorant eum, in spiritu & veritate oportet adorare.

§.7. Et nomine carere.] Ait nomine carere, quia ipse est omnia, & nihil eorum quæ sunt; sed omnia ex ipso sunt, prout ipse se explicat.

Vt principio.] *Principio* quidem, vt quod esse præbeat; *fine* verò, vt quod in esse conseruet.

Omnia in omnibus.] Omnia autem quæ sunt, quia ex ipso sunt omnia.

Vt domicilium.] Appellat ipsum omnium domicilium, vt qui sit sanctorum omnium habitatio, sicut ipse Dominus ait, *Manete in me*. Ioan.15,4. Nam sumus velut templum eius, iuxta illud, *Inhabitabo in illis, & inambulabo:* 1.Cor.6,16 ita etiam ipse domus nostra est. Rectè autem statim subiunxit *vnitè*. Cùm enim dixisset ipsum esse omnia, & in ipso omnia; ne quis mentem ad compositionem inducens à vero aberret, existimaret omnia in Deo aceruatim circumferri, aut Deum secundùm compositionem esse vniuersa, illicò istiusmodi absurditati occurrit, dicẽdo *vnitè*, id est in propriâ vnitate, quin potiùs supra vnitatem superlocatum manentem, sine vllâ cum rebus partitione ac mixtione, esse omnia & in omnibus. Quin imò est omnibus incomprehensè, id est à nullo comprehensus, vel corporaliter circumscriptus, sed potiùs exemptus: nam est extra omnia, nullibi existẽs, cùm ex ipso sint omnia, & ipse in omnibus; ex ipso siquidẽ vniuersa consistũt.

Sed vniversa simpliciter.] Id est sine compositione: cum nullâ enim re compositus fuit, aut corporaliter vnitus, nisi tempore Incarnationis.

Divinis visis.] Quoniam visa vocat Dei in symbolis reuelationes. Nota etiam quomodo id dicat.

§.8. In sacris templis.] Gentiles ἀνάκτορα vocabant deorum suorum delubra. Hîc sanctus vtique declarat in his illud Isaiæ, vbi videtur dicere, ipsum in templo vidisse diuinam illam Seraphinorum visionem. Quæ verò dicuntur, dicta sunt propter visionem Ezechielis in Babylone, & propter alias quasdam visiones.

Et sedes.] Thronos.

Symbolica Theologia.] Promittit se

PARAPHRASIS PACHYMERÆ.

aliud opus ſcripturum, quod vocat Symbolicam Theologiam.

HIERARCHICVS.] Nota, maximè decere Sacerdotes diuinam Scripturam contemplari.

DEIFORMES.] Id eſt, qui Dij apparent.

ET SACRAS AVRES.] Præcipitur Sanctis vt ſacras aures adhibeant, id eſt auditum pium, & ſanctis dignum.

PROFANORVM.] Id eſt nondum initiatorum. Qui enim riſu & ſubſannatione diuinos ſermones vel interpretationes excipit, tamquam hoſtis Dei iudicandus eſt. Scribit autem Apoſtolus ad Timotheum, non diſſerendum eſſe de talibus cum iis qui ſermonem in veritate non ſuſcipiunt.

2. Tim. 3.

ὑπισχνεῖται γράψειν, ὅπερ καλεῖ Συμβολικὴν θεολογίαν.

Ὁ ἱεραρχικός.] Σημείωσαι, ὅτι μάλιστα ἱερεῦσι πρέπει θεωρεῖν τὴν θείαν Γραφήν.

Θεοειδεῖς.] Ἀντὶ τοῦ, θεοφανεῖς.

Καὶ ὦτα ἱερά.] Ὦτα διεντέλλεται ἱερὰ τοῖς ἁγίοις παρατίθεσθαι, τουτέστιν ἀκοὴν εὐσεβῆ καὶ ἀξίαν τῶν ἁγίων.

Ἀμύστων.] Τουτέστι τῶν ἀμυήτων. Ὅτι ὁ μετὰ γέλωτος καὶ ἐμπαιγμῶν τῶν θείων ἀκούων Λογίων, ἢ τῶν περὶ αὐτὰ ἑρμηνειῶν, ὡς θεομάχος κρίνεται. Τιμοθέῳ δὲ γράφει καὶ ὁ Ἀπόστολος, ὅτι οὐ δεῖ τοῖς μὴ δεχομένοις τὸν λόγον ἐν ἀληθείᾳ, λαλεῖν περὶ τοιούτων.

PARAPHRASIS PACHYMERÆ.

Timotheus quis fuerit.

PRÆSENTEM librum Magnus Dionyſius ſcribit ad ſanctum Timotheum, Magni Pauli diſcipulum, Epheſi Epiſcopum ab ipſo conſtitutum. Qui, quòd tum in Ioniâ Philoſophorum hæreſes pullularet, multæque Dialecticæ argutationes ei ab illis obiicerentur; cùm probè noſſet, Magnum Dionyſium non externâ minùs quàm diuinâ ſacrâque ſapientiâ præditum, vt qui Magni Pauli diſcipulus extiterat, & diuinis ſcriptis multùm vacauerat, petit ab eo propoſita edoceri; quod & fit. Vocat itaque ipſum Magnus Dionyſius Compreſbyterum, id eſt Coëpiſcopum, ſicut ſemetipſum vocat Preſbyterum, id eſt Epiſcopum. Sic enim etiam in Actis ſanctorum Apoſtolorum declaratur, vbi Magnus Chriſti Apoſtolus Paulus Aſiæ Eccleſiis nonnulla præſcribit. Cùm autem hic tractatus ſit de Diuinis nominibus, ſciendum, vniuerſim & in omnibus nomina non ſignificare ſubſtantias, & quidquid ſit, hoc enim eſt definitionis; ſed nomen etymologia quædam eſt ex iis quæ rei nominatæ adſunt, v.g. ἄνθρωπος, id eſt homo, ab ἄνω ἀθρεῖν, id eſt, ab eo quòd ſurſum tueatur vel aſpiciat, nomen accipit. Hoc igitur quid ſit eſſe diuini Numinis, etiam ipſiſmet Angelis eſt inſcrutabile. Quòd autem ex quibuſdam effectis ſuis (Deus v.g. bonus, ſaluator, quã Theologiam affirmantem vocant) vti & illam quę ex rebus noſtris

Nomen quid ſignificet.

Deus vnde nominetur.

ΤΟ παρὸν βιβλίον ὁ μέγας συντίθησι Διονύσιος πρὸς τὸν ἐν ἁγίοις Τιμόθεον, τὸν τοῦ μεγάλου Παύλου μαθητήν, Ἐφέσου Ἐπίσκοπον παρ' ἐκείνου καταστάντα. Ὅς, ἐπειδὴ τότε αἱ τῶν ἐν Ἰωνίᾳ Φιλοσόφων αἱρέσεις ἤκμαζον, καὶ πολλὰς εἶχε τὰς Διαλεκτικὰς ἐπηρείας παρ' ἐκείνων ὁ ἅγιος, γινώσκων τὸν μέγαν Διονύσιον σοφὸν καὶ τὴν ἔξω σοφίαν, σοφὸν καὶ τὴν θείαν καὶ ἱεράν, τῷ μεγάλῳ Παύλῳ κατὰ ταύτην μαθητεύσαντα, καὶ πολλὰ ἐσχολακότα ταῖς θείαις Γραφαῖς, ἀξιοῖ παρ' αὐτοῦ διδαχθῆναι τὰ ὑποτεταγμένα· ὃ δὴ καὶ γίνεται. Καλεῖ γοῦν αὐτὸν ὁ μέγας Διονύσιος Συμπρεσβύτερον, οἱονεὶ Συνεπίσκοπον, ὡς καὶ ἑαυτὸν Πρεσβύτερον, δηλονότι Ἐπίσκοπον. Οὕτω γὰρ δηλοῦται ἐν ταῖς Πράξεσι τῶν ἁγίων Ἀποστόλων, ἔνθα ἐν Ἀσίᾳ συντάττεται ταῖς Ἐκκλησίαις αὐτῶν ὁ μέγας τοῦ Χριστοῦ Ἀπόστολος Παῦλος. Ἐπειδὴ δὲ περὶ θείων ὀνομάτων ἡ πραγματεία ἐστίν, ἰστέον, ὅτι καθολικῶς καὶ ἐπὶ πᾶσι τὰ ὀνόματα οὐ σημαίνουσιν οὐσίας, καὶ τὸ τί ἦν εἶναι, τοῦτο γὰρ τοῦ ὁρισμοῦ ἐστι· τὸ δὲ ὄνομα ἐτυμολογία τίς ἐστιν ἐκ τῶν προσόντων τῷ ὀνομαζομένῳ πράγματι· οἷον ἄνθρωπος, ἐκ τοῦ ἄνω ἀθρεῖν, ἤτοι θεωρεῖν, ὀνομάζεται. Τὸ γοῦν, τί ἦν εἶναι τοῦ Θείου, καὶ αὐτοῖς τοῖς Ἀγγέλοις ἀνεξιχνίαστον. Τὸ δέ, ἐκ τινῶν ἐνεργειῶν αὐτοῦ (ὡς τό, Θεὸς ἀγαθός, σωτήρ, ἣν δὴ καὶ καταφατικὴν θεολογίαν λέγουσι) καὶ πάλιν ἐκ τῶν καθ' ἡμᾶς

PARAPHRASIS PACHYMERÆ.

ἡμᾶς κατ' ἀπόφασιν, ἣν δὴ καὶ ἀφαιρετικὴν Θεολογίαν φασὶν, ὡς τὸ, ἀκατάληπτος, ἀνείδεος, ἀθάνατος) τὸ γοῦν ἐκ τούτων ὀνομάζεσθαι, οὐκ ἔστιν ἀπᾷδον τῇ ἱερᾷ ἁγιστείᾳ· οὐ γὰρ τὴν φύσιν αὐτοῦ πολυπραγμονοῦμεν, τοῦτο γὰρ ἀδύνατον· ἀλλ' ὥσπερ ἐκ τῶν ἱερογραφιῶν τοῦ Θεοῦ, ὡς ἐκ συνθέτων τινῶν, ἐπὶ τὸ ἁπλοῦν τῆς ὁπωσοῦν γνώσεως ἀναγόμεθα· οὕτως καὶ ἐκ τῶν τοιούτων ὀνομασιῶν, καὶ τοῦ ἐπὶ τούτοις συνεθισμοῦ, ἐπὶ τὸ ἀνωνόμαστον ἀναγόμεθα. Τέως δὲ εἴ τι ἄν τις εἴποι ἐπὶ Θεοῦ, ὑπὲρ τοῦτό ἐστι· παντὸς γὰρ ὀνομαζομένου ὀνόματος ἐπέκεινά ἐστι. Διὰ τοῦτο ἐπενοήθη τοῖς Θεολόγοις ἐπὶ τούτοις, ἡ Ὑπὲρ προσθήκη, καὶ τὸ Αὐτό· καὶ λέγεται ὁ Θεὸς ὑπεράγαθος, καὶ αὐτοάγαθος, καὶ ὑπεράπειρος, καὶ αὐτοάπειρος. Τὸ μὲν, ὅτι ὑπὲρ ταῦτα καὶ ἀσυγκρίτως ἐστί· τὸ δὲ, ὅτι κυρίως καὶ πρώτως, καὶ οὐ κατά τινα μετοχὴν, ἢ σχέσιν, ἢ σύγκρισιν· τὸ γὰρ ὄνομα, ἢ σῶμα ἢ πρᾶγμα σημαίνει· ὑπὲρ ταῦτα δὲ ἀκατανοήτως καὶ ἐξῃρημένως τὸ Θεῖόν ἐστι.

Νῦν δὲ, ὦ μακάριε, κατὰ χάριν καὶ μετοχὴν τοῦ ὄντος μακαρίου, καὶ μὴ κηρὶ καὶ θανάτῳ ὑποκειμένου Θεοῦ, Τιμόθεε, μετὰ τὰς θεολογικὰς ὑποτυπώσεις καὶ προεισαγωγάς. Ἑτέρα γὰρ πρὸ ταύτης πραγματεία τῷ ἁγίῳ πεπόνηται στοιχειώδης τῶν περὶ Θεοῦ ἐν ταῖς Γραφαῖς εἰρημένων, ἧς τινος κατ' ἀκολουθείαν ἡ παροῦσα ἐπραγματεύθη. Κατὰ γοῦν ἐκείνην, ἐπὶ τὴν τῶν θείων ὀνομάτων διασάφησιν μετελεύσομαι. Ἀνάπτυξιν γοῦν εἶπε τὴν διασάφησιν, ὡς ἐχόντων τῶν τοιούτων θείων ὀνομάτων τοῦ φαινομένου βαθύτερον. Ἔστω δὲ καὶ ἐνταῦθα προδιωμολογημένον, ὅτι τὴν τῶν περὶ Θεοῦ λεγομένων ἀλήθειαν οὐ καταδέχομεν, ἢ καταδεσμοῦμεν ἐν ἀνθρωπίνης σοφίας πειθοῖ καὶ λόγῳ· ἄνετος γὰρ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστὶν, ὥστε μὴ ἐκ τούτων ποτὲ συλλογισθῆναι· ἡ γὰρ ἀνθρωπίνη σοφία ἐκ τῶν αἰσθητῶν τὰς ἀποδείξεις ἐρανίζεται. Εἴπερ δὲ καὶ αὐτὴν εἴποις τὴν ἄμεσον πρότασιν, ἥ τις ἐστὶν αὐτόπιστος, καὶ αὕτη ἐκ τῶν μερικῶν αἰσθήσεων τῷ νῷ συνάγεται· ἐπὶ δὲ τῶν ὑπὲρ πᾶσαν οὐσίαν πῶς ἄν τις λογικῶς ἐπιστήσειεν, εἰ μὴ μόλις τῷ ἀκροτάτῳ ἄνθει τοῦ νοῦ διὰ τῆς εἰλικρινοῦς εὐσεβείας ἀλαλήτως συννοεῖν

sumitur negantem dicunt, vt quòd sit incomprehensus, expers formæ, immortalis) quòd ex hisce, inquam, denominetur, nequaquam ab ipsius sanctimonia abhorret: non enim naturam eius multiplicamus, quod fieri non potest; sed quemadmodum ex sacris quibusdam quasi compositis Dei descriptionibus ad simplicitatis eius aliqualem cognitionem promouemur, sic etiam ex istiusmodi nominibus, & eorumdem vsurpatione, ad id quod nominabile est adducimur. Hinc si quis aliquid de Deo dixerit, est supra id quod dicit; omni enim nominabili nomine est eminentius. Idcircò in his excogitata est à Theologis loquendi formula per præpositionem ὑπὲρ, & αὐτό: atque ita dicitur Deus supraquam bonus, & per se bonus, & supraquam infinitus, & per se infinitus. Illud quidem dicitur, quoniam supra ea quæ dicuntur incomparabiliter eminet; hoc verò, quia propriè & primariò, & non secundùm participationem vel habitudinem vel comparationem est: nam nomen vel corpus vel rem significat, supra hæc autem diuinum Numen incomprehensibiliter & eminentur existit.

Particula super, & per se, quam vim habeant.

Nunc autem, ô beate, secundùm gratiam & participationem eius, qui beatus, & nequaquam fato mortive subiectus est, Dei, Timothee, post Theologicas informationes, & præintroductiones. Alius enim ante hunc à sancto hoc elaboratus est tractatus, elementaris eorum quæ de Deo in Scripturis dicta sunt, post quem, secundùm ordinem, præsens hic liber est compositus. Post illum itaque, ad diuinorum nominum explicationẽ transibo. Ἀνάπτυξιν, id est explicationem, igitur vocauit διασάφησιν, id est declarationem, quòd hæc diuina nomina quid profundius contineant quàm id quod apparet. Sit autẽ etiam hìc antè in confesso, nos eorum quæ de Deo dicuntur veritatẽ minimè tradere, & astringere humanę sapientiæ persuasioni atque sermoni; incomprehensibilis enim est, & super omnia quæ existunt, ita vt ex his numquam colligi possit: nam humana sapientia ex rebus sensibilibus demonstrationes emẽdicat. Quòd si etiam dixeris, ipsam immediatam esse propositionem quæ per se credibilis sit, & ex partialibus sensibus menti applicetur, quomodo de iis quæ omnem superant essentiam ratiocinari quis poterit, nisi saltẽ summo mentis vigore per puram religionem modo inexplicabili illa valeat assequi cogitando? §.1.

Deus incomprehensibilis quomodo cognosci debeat.

PARAPHRASIS PACHYMERÆ.

tando? Non sic itaque veritatem in humanæ sapientiæ persuasibilitate inuestigamus, sed in ostensione virtutis Theologorum, quâ rebus ineffabilibus & ignotis spiritali modo coniungimur; hoc enim est Ineffabili & Ignoto. Nam si quis aliquid proferat docendo, & discendo cognoscat, nequaquam id cum iis quæ de Deo sunt notionibus conueniet, nisi spiritales nostræ facultates roborentur diuinis rationibus à Spiritu sancto motis, quibus ad talem ineffabilem coniunctionem disponantur, secundùm excellentiorem rationalis & intellectualis nostræ virtutis, iuxta quam aliquid effari & concipere valeamus; atque operationis vnionem, secundùm quam dicimus vel intelligimus. Hoc autem est, quòd similis sit, nosse simile. Nostratia itaque rationali methodo atque scientiâ noscimus, dicentes, nos intelligendi vi & operatione, secundùm conuenientem eius quod cognoscitur proportionem intelligere, & quodammodò rebus ipsis coniũgi & vniri. Quemadmodum enim in sensu vsu venit, vt tunc sentiamus, quando sensibili sensus coniungitur; sic etiam in intellectione se res habet: nam etiam intelligibili intellectus vnitur, quando illud apprehendit. Et hæc quidem quo ad alia; quo ad Deum verò, cùm nihil habeamus Deo magis affine quàm mentem ac rationem, rursum ea quæ harum potissima sunt & quasi flores, hæc etiam purgata accipiuntur, ita vt & mens quidem quodammodò cognoscat, ratio verò enuntiet quæ supra nos sunt.

Nihil nisi ex Scripturis de Deo dicendum.

Nihil igitur omnino præsumendum dicere vel cogitare de eâ, quæ supra omnem essentiam, tam sensilem quàm intellectualem, etiam naturâ suâ abdita est, Deitate; præter illa, quæ ex sacris diuinisque Oraculis sunt manifestata, quibus etiam quodammodò mens nostra ratioque delectatur: nam & sermonem & intellectum & essentiam excedit superessentialitatis eius ignoratio, cui soli superessentialis scientia tribuenda est. Obserua verò etiam scientiam ignorationis, & non tantùm cognitionis: non solùm enim non capimus scitè quid Deus sit (nam hoc est impossibile) sed etiam quid non sit; scimus tamen Deum non esse aliquid rerum existentium. Quomodo autem, & quâ de causâ non nouimus id quod exactæ scientiæ est in rebus nostris? Quando quid est sci-

Nos non scire quid Deus sit, & quid non sit.

δύναιτο; Οὐχ οὕτως γοῦν καὶ ὁδοδεύομεν τὴν ἀλήθειαν ἐν πειθοῖ ἀνθρωπίνης σοφίας, ἀλλ' ἐν ἀποδείξει τῆς τῶν Θεολόγων δυνάμεως, καθ' ἣν τοῖς ἀφθέγκτοις καὶ ἀγνώστοις συναπτόμεθα νοερῶς· τοῦτο γάρ ἐστι τὸ Ἀφθέγκτως καὶ Ἀγνώστως. Εἴ τι γὰρ ἂν φθέγξαιτό τις διὰ διδασκαλίαν, καὶ εἴ τι γνώσεται διὰ μάθησιν, οὐκ ἔστι κατάλληλον ταῖς περὶ Θεοῦ ἐννοίαις, εἰ μή πως ἐνδυναμωθείη τῶν νοερῶν ἡμῶν ταῖς πνευματοκινήτοις θεολογίαις, ἐπὶ τῷ διατεθῆναι εἰς τὴν τοιαύτην ἄφθεγκτον συνάφειαν, κατὰ τὴν κρείττονα ἕνωσιν τῆς καθ' ἡμᾶς λογικῆς καὶ νοερᾶς δυνάμεως, καθ' ἣν δυνάμεθα εἰπεῖν τι καὶ νοῆσαι· καὶ ἐνεργείας, καθ' ἣν λέγομεν ἢ νοοῦμεν. Τοῦτο δέ ἐστι, ὅτι τῷ ὁμοίῳ ἐστὶ νοῆσαι τὸ ὅμοιον. Τὰ γοῦν καθ' ἡμᾶς διὰ λογικῆς μεθόδου καὶ ἐπιστήμης γνωσκόμεθα, λέγοντες, καὶ διὰ νοερᾶς δυνάμεως καὶ ἐνεργείας, κατὰ τὴν προσήκουσαν ἀναλογίαν τῆς γιγνωσκομένης νοοῦμεν, καὶ οἷον τούτοις συναπτόμεθα καὶ ἑνούμεθα. Ὡς γὰρ ἐπὶ τῆς αἰσθήσεως ἔχει, ὅτι τότε αἰσθανόμεθα, ὅτε τῷ αἰσθητῷ ἑνοῦται ἡ αἴσθησις· οὕτω καὶ ἐπὶ τῆς νοήσεως ἔχει· καὶ γὰρ τῷ νοητῷ ἑνοῦται ὁ νοῦς, ὅτε τούτου ἀντιλαμβάνεται. Καὶ ταῦτα μὲν ἐπὶ τῶν ἄλλων, ἐπὶ δέ γε τοῦ Θείου, ἐπειδήπερ οὐκ ἔχομεν τι Θεῷ οἰκειότερον λόγου καὶ νοῦ, πάλιν τούτων τὰ κρείττω καὶ οἷον ἄνθη, καὶ ταῦτα κεκαθαρμένα παραλαμβάνονται, ὡς ἂν ὁ νοῦς μέν πως γνῷ, ὁ δὲ λόγος ἐξαγγείλῃ τὰ ὑπὲρ ἡμᾶς.

Καθόλου τοιγαροῦν οὐ τολμητέον οὔτε εἰπεῖν, οὔτε μὴν ἐννοῆσαί τι περὶ τῆς ὑπὲρ πᾶσαν οὐσίαν αἰσθητήν τε καὶ νοερὰν οὔσης καὶ κρυφίας τῇ φύσει Θεότητος, παρὰ τὰ ἐνδειχθέντα ἡμῖν ἐκ τῶν ἱερῶν καὶ θείων Λογίων, ἃ δὴ καὶ πως ὁ ἡμέτερος νοῦς καὶ λόγος ἐνασμενίζει· τὴν γὰρ ὑπερούσιον ἐπιστήμην τῆς ἀγνωσίας τῆς ὑπὲρ λόγον, καὶ νοῦν, καὶ οὐσίαν ὑπερουσιότητος, αὐτῇ μόνῃ ἀναθετέον. Ὅρα δὲ καὶ ἐπιστήμην ἀγνωσίας, οὐ μόνον γνώσεως· μὴ μόνον γὰρ τὸ τί ἐστι Θεός, ἐπιστημόνως οὐκ ἔχομεν (τοῦτο γάρ ἐστιν ἀδύνατον) ἀλλὰ καὶ τὸ τί οὐκ ἔστιν· ἀλλ' οἴδαμεν ὅτι τι τῶν ὄντων οὐκ ἔστι Θεός. Πῶς δέ, καὶ δι' ἣν αἰτίαν οὐκ οἴδαμεν, ὅπερ τῆς ἀκριβοῦς ἐστιν ἐπιστήμης ἐπὶ τῶν καθ' ἡμᾶς; Ὅτε τὸ τί ἐστι τότε εἴ-

δαμεν

PARAPHRASIS PACHYMERÆ.

δαμεν ἐπιστημόνως, τότε καὶ τὸ τί οὐκ ἔστιν ἐπιστημόνως οἴδαμεν. Εἰ γὰρ οἴδαμεν τὴν αἰτίαν τοῦ εἶναι τὸν ἄνθρωπον λογικὸν, ὅτι λόγῳ χρᾶται (τοῦτο γάρ ἐστι τὸ αἴτιον καὶ τὸ μέσον) οἴδαμεν τὴν αἰτίαν, καὶ τοῦ μὴ εἶναι τὸν ἄνθρωπον ἄλογον δι' αὐτοῦ τούτου τοῦ μέσου. Ἐπεὶ δὲ τοῦ Θεοῦ καὶ ἡ γνῶσις τοῦ τί ἐστιν ἀναπόδεικτος, καὶ ἡ τῆς τοῦ τί οὐκ ἔστιν, ἀγνωσίας ἐπιστήμη ὑπερούσιος, ἣν δὴ καὶ ἀναθετέον Θεῷ. Τοσοῦτον ἐπὶ τὸ ἄναντες ἀνανεύοντας, ὅσον ἡ τῶν ἱερῶν Λογίων ἀκτὶς ἐνδίδωσιν ἑαυτὴν πρὸς ἡμᾶς (οὐδὲ γὰρ ὅσον ἔνι, τὸ Θεῖον ἐκ τῶν Γραφῶν μανθάνομεν, ἀλλ' ὅσον χωρεῖ) καὶ συστελλομένους πρὸς τὰς ὑπερτέρας αὐγὰς τῇ περὶ τὰ θεῖα σωφροσύνῃ καὶ εὐλαβείᾳ. Καὶ γὰρ εἴ τι δεῖ τῇ πανσόφῳ Θεολογίᾳ τοῦ μεγάλου Παύλου πείθεσθαι (αὐτὸς γάρ ἐστιν ὁ λέγων, ὅτι κατὰ τὸ μέτρον τῆς δυνάμεως ἑκάστου, ἡ παρὰ Θεοῦ χορηγεῖται ἔλλαμψις) τοῦτο λέγομεν, ὅτι κατὰ ἀναλογίαν ἑκάστου τῶν νόων, ἢ τῶν ἀνθρωπίνων, ὡς πρώτως δεχομένων τὴν ἔλλαμψιν, ἢ τῶν Ἀγγέλων, οὓς εἴωθε νόας ὀνομάζειν, ὡς τὸ πᾶν νοῦς ὄντας οὐσιωμένους, καὶ πάντα νοοῦντας ἑνιαίως τὰ ἐκ Θεοῦ ῥέοντα προσεχῶς εἰς αὐτοὺς, κατὰ γοῦν τὴν ἀναλογίαν ἑκάστου ἀνακαλύπτεται τὰ θεῖα· οὐχ ὅτι φθονεῖ ὁ Θεὸς τοῦ πλείονος, ἀλλὰ διὰ τὸ σῶσαι τὴν ἐν τῇ ἐπιμετρήσει τῆς θεογνωσίας δικαιοσύνην. Δικαιοσύνης γὰρ ἴδιον, τὸ κατὰ ἀξίαν ἐπιμετρεῖν ἑκάστῳ. Τοιγαροῦν ἀμέτρητος μὲν ἡ περὶ Θεοῦ γνῶσις· ἡμεῖς δὲ μέτρων δεόμεθα. Εἰ γὰρ ἀμέτρως ἡμῖν ἀπεκαλύπτετο, οὐκ ἂν ἐσώθημεν· ὡς οὐδὲ σωματικὸς ὀφθαλμὸς ὅλον ἥλιον δεχόμενος. Ἡ τοίνυν θεαρχικὴ ἀγαθότης σῶσαι βουλομένη, ἢ τὸ τῆς δικαιοσύνης καλὸν, ἢ καὶ ἡμᾶς αὐτοὺς, ἀποδιαστέλλει θεοπρεπῶς (πρέπον γὰρ τὸ σώζειν, καὶ μὴ φθονεῖν, Θεῷ) ἀπὸ τῶν ἐν μέτρῳ καὶ χωρητῶν, τὴν ἀμετρίαν αὐτοῦ, ὡς ἀχώρητον, ἐξ ἀναλογίας τὸ ἀκατάληπτον τῆς περὶ Θεοῦ γνώσεως ἐνταῦθα παρεῖσα). Ὡς γὰρ ἄληπτα τοῖς αἰσθητοῖς τὰ νοητὰ, καὶ τοῖς ἐν πλάσει, καὶ συνθέσει, καὶ τύπῳ τὰ ἁπλᾶ καὶ ἀτύπωτα, καὶ τοῖς κατὰ σχήματα μεμορφωμένοις, τὰ ἀσχημάτιστα· κατὰ τὸν αὐτὸν λόγον καὶ τὰ θεῖα ἀκατάληπτά εἰσιν. Εἰ γὰρ οὔτε τὰ ἁπλᾶ καὶ ἀσχημάτιστα, κἂν οὐσίαι τινὲς ὦσι, ταῖς αἰσθήσεσιν ὑποπίπτουσιν, ὡς Ἄγγελοι καὶ ψυχαὶ,

tè nouimus, tunc etiam quid non est ſcitè nouimus. Si enim cauſam ſcimus cur homo ſit rationalis, quòd nimirum ratione vtitur, cùm hoc ſit medium & cauſa, per illud ipſum medium nouimus etiam cauſam cur homo non ſit irrationalis. Quoniam verò de Deo quid ſit, dari notio non poteſt, eius etiam quid non ſit, ignorationis ſcientia ſupernaturalis Deo quoque tribuenda eſt. Tantum ergo ad ſuperiora ſuſpiciamus, quantum ſe nobis inſinuauerit ſacrorum ille radius Oraculorum (non enim quantum poteſt, ſed quantum ſatis eſt, Deum ex Scripturis diſcimus) quo eminentioribus iſtis rerum diuinarum ſplendoribus ſobrietate quadam ac reuerentiâ contemperamur. Etenim ſi quid ſapientiſſimę Magni Pauli Theologię credendum eſt, (ipſe enim eſt qui dicit, ſecundùm menſuram virtutis cuiuſque à Deo donari illuſtrationē) hoc dicimus, quoniam pro ſingularum captu mentium ſiue humanarum, vt quæ primùm illuſtrationem accipiant, ſiue Angelorum, quos mentes appellare ſolet, vt qui omnino eſſentialiter mens exſiſtant, & omnia intelligant vnitè quæ à Deo in ipſos continuè deriuantur, pro cuiuſque inquam captu diuina reuelantur: non quòd Deus iis lumen maius inuideat, ſed vt in diſtributione diuinæ cognitionis æquitatem ſeruet. Proprium ſiquidem iuſtitiæ eſt, cuique pro merito menſuram tribuere. Itaque immenſa quidem eſt Dei cognitio, ſed menſuris nobis opus eſt. Nam ſi abſque menſurâ nobis reuelaretur, minimè ſeruari poſſemus; ſicut neque oculus corporeus, ſi totum ſolem excipiat. Summa itaque Dei bonitas ſiue iuſtitiæ decorem, ſiue nos ipſos ſeruare volens, vti Deum decet (nam Deo conuenit ſaluare, & non inuidere) à rebus menſuratis & comprehenſis ſuam immenſitatem, vtpote incomprehenſibilem, ſubducit, dum diuinæ cognitionis incomprehenſibilitatem per proportionem quamdam tribuit. Sicut enim imperceptibiles ſunt & inuiſibiles rebus ſenſitiuis intellectuales, & fictis compoſitiſque ſimplices & incompoſitæ, & per figuras efformatis infiguratæ, ſecundùm eamdem rationem etiam res diuinæ incomprehenſibiles exiſtunt. Si enim res ſimplices & infiguratæ, licet ſubſtantiæ quædam ſint, minimè ſub ſenſum cadunt, vt Angeli & animæ, quanto

Ephes. 4. 7.

Deus ſui cognitionem nobis ad capacitatem noſtram accommodat.

PARAPHRASIS PACHYMERÆ.

Qualis vnitas Deo competat.

tò magis Deus supereminet, quia non substantia, sed supra substantiam & infinitus existit; neque mens est, sed supra mentem vnitas? Vnitatem verò audiens, ne quis cogitet diuersorum quorumdam ad vnitionem concursum: non enim de talibus modò sermo est, sed de Deo prorsus incomposito, & supra ea quæ vnius substantiæ sunt vnito. Nam quid vno magis simplex, & vnius substantiæ est? tamen Dei vnitas supereminenter supra id ipsum est, & omnibus mentibus inconceptibile est illud vnum quod ibi mentem superat. Hìc enim intelligentia nostra variatur, dum, demonstrationes & propositiones aliquas excipiens, multiplicatur. Quando autem ex his colligit conclusionem, ex iis quæ proposita sunt comperit vnum quiddam aliud consequi. Illud autem vnum quod supra mentem est, non est tale quid, sed inconceptibile, & quod ratiocinatio non attingit: quippe quod bonum est, supra rationem, omni etiam verbo ineffabile est.

Ceterùm cùm ea quæ sunt Dei, à rebus omnibus existentibus excepit, linguæ nostræ modulum sequens, (neque enim hunc excedere valemus) ex iis ipsis rebus, à quibus Deum excepit, ipsum laudat. Et ait ipsum esse vnitatem, sed effectricem vniuersæ vnitatis, id est creatorem simplicium substantiarum, vt Angelorum, animarum: & mentem, sed non intellectilem, id est, quæ à nullâ mente intelligitur. Si enim simile à simili cognoscitur, si mens esset, oporteret vt à mentibus cognosceretur. *at quis cognouit*

Deus incognitus, & sine nomine.

Rom.11,34 *mentem Domini?* Est igitur mens supra mentem, & nomen supra omne nomen. *Et nomen*, inquit, *meum non manifestaui eis*. quam-

Exod.6,3. obrem omnibus est sine nomine. Quòd si

Exod.3,14 dicit, *Ego sum qui sum*, intelligitur vt decet, esse scilicet sine principio & sine fine, & vt ipsa Diuinitas de se ipsâ dicit; soli enim Diuinitati ipsi per se natura sua nota est, & sola

Matth.11,27. se scitè ac propriè nouit. *Nemo* enim *nouit Patrem nisi Filius, & Filium nisi Pater*. Idem est de sancto Spiritu: nemo enim nouit ea quæ sunt Dei, nisi Spiritus qui ex Deo est.

πόσῳ μᾶλλον ὑπερέχει ὁ Θεὸς, ὁ μήτε οὐσία, ἀλλ' ὑπὲρ οὐσίαν, καὶ ἄπειρος ὤν· μήτε νοῦς, ἀλλ' ὑπὲρ νοῦν ἑνότης; Ἑνότητα δὲ ἀκούων, μὴ διαφόρων τινῶν πρὸς ἕνωσιν καὶ συνδρομὴν νοησάτω τις· οὐ γὰρ περὶ τοιούτων ὁ λόγος νῦν, ἀλλὰ περὶ Θεοῦ τοῦ ἀσυνθέτου πάντη, καὶ ὑπὲρ τὰ μονοούσια ἡνωμένου. Τί γὰρ ἑνὸς μᾶλλον ἁπλοῦν τε καὶ μονοούσιον; Ἀλλ' ἡ τοῦ Θεοῦ ἑνότης ὑπερεξῃρημένως ὑπὲρ τοῦτόν ἐστι, καὶ ἀδιανόητόν ἐστι πάσαις διανοίαις, τὸ ὑπὲρ διάνοιαν ἐκεῖσε ἕν. Ἐνταῦθα γὰρ ἡ ἡμετέρα διάνοια ποικιλλομένη, εἰς ἀποδείξεις καὶ τινὰς προτάσεις λαμβάνουσα, πληθύνεται. Ὅτε δὲ ἐκ τούτων συνάξει τὸ συμπέρασμα, ἕν τι ἕτερον τῶν κειμένων, συμβαῖνον εὑρίσκει. Τὸ δὲ ὑπὲρ διάνοιαν ἕν, οὐ τοιοῦτόν τί ἐστιν, ἀλλ' ἀδιανόητον καὶ ἀσυλλόγιστον· ὃ καὶ ὑπὲρ λόγον ὂν ἀγαθὸν, ἄῤῥητόν ἐστι λόγῳ παντί.

Λοιπὸν μετὰ τὸ ἐξελεῖν πάντων τῶν ἐν τοῖς οὖσι τὰ περὶ Θεοῦ, τῷ μέτρῳ τῆς ἡμετέρας γλώσσης ἀκολουθῶν (οὐ γὰρ ὑπερβῆναι ταύτην δυνατὸν ἡμῖν) ἐξ αὐτῶν δοξάζει τὸν Θεὸν, ἐξ ὧν αὐτὸν ἐξεῖλε. Καὶ ἑνάδα φησὶν αὐτὸν, ἀλλ' ἑνοποιὸν ἁπάσης ἑνάδος, τουτέστι δημιουργὸν τῶν ἁπλῶν οὐσιῶν, Ἀγγέλων, ψυχῶν· καὶ νοῦν, ἀλλ' ἀνόητον, ἀντὶ τοῦ μὴ νοούμενον ὑπό τινος νοῦ. Εἰ γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεται, ἔδει ἂν εἰ νοῦς ἦν, ὑπὸ τῶν νόων νοεῖσθαι. ἀλλὰ Τίς ἔγνω νοῦν Κυρίου; Οὐκοῦν νοῦς ἐστιν ὑπὲρ νοῦν, καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Καὶ τὸ ὄνομά μου, φησὶν, οὐκ εἶπον αὐτοῖς. διὸ καὶ ἀνώνυμός ἐστι πᾶσιν. Ἐὰν δὲ λέγῃ, Ἐγώ εἰμι ὁ ὤν, ἀξίως νοεῖται ἄναρχος καὶ ἀτελεύτητος, καὶ ὡς ἂν αὐτὴ περὶ ἑαυτῆς εἴποι· μόνη γὰρ αὐτῇ τῇ Θεότητι τὰ καθ' ἑαυτὴν ὡς ἔχει φύσεως ἐπιστητὰ, καὶ μόνη ἐπίσταται ἐπιστητῶς καὶ κυρίως. Οὐδεὶς γὰρ γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός· καὶ τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ. Τὸ αὐτὸ καὶ περὶ τοῦ ἁγίου Πνεύματος· οὐδεὶς γὰρ οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ.

Περὶ ταύτης οὖν τῆς ὑπερουσίου· ἡ γὰρ οὐσία λέγεται παρὰ τὸ εἶναι· τὸ δὲ εἶναι παραγωγῆς τινος ἔννοιαν ὑπογράφει, οὐκ ἂν λέγοιτο κυρίως οὐσία, ἀλλ' ὑπερούσιος. Περὶ ταύτης οὖν τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος

§.2. De hac igitur superessentiali: nam essentia dicitur ab esse; ipsum autem esse, cùm productionis alicuius sensum insinuet, non dicitur propriè essentia, sed superessentialis. De hac igitur superessentiali ac reconditâ diuinitate non præsumen-

οὔτε

οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαί τι τολμητέον, παρὰ τὰ δηλωθέντα ἐκ τῶν θείων Γραφῶν. Καὶ γὰρ ὡς αὐτὴ περὶ ἑαυτῆς ἐν τοῖς Εὐαγγελίοις παρέδωκεν (ὅτε ὁ Κύριος ἔλεγεν, Οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός· καὶ οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἀγαθοπρεπῶς ἀποφαινόμενος, ἀναστέλλων τὴν ἡμετέραν παράλογον ἔρευναν) ἡ ἐπιστήμη ταύτης καὶ θεωρία ἄβατός ἐστι πᾶσι τοῖς οὖσιν, ὡς ὑπὲρ τὰ πάντα οὔσης. Καὶ πολλοὺς τῶν Θεολόγων εὑρήσεις, οὐ μόνον ταύτην ἀόρατον καὶ ἀπερίληπτον λέγοντας (τοῦτο γάρ ἐστι καὶ ὕμνος Θεοῦ, ὅτε πρεπόντως τις περὶ Θεοῦ λέγει· ὥσπερ τὸ ἐναντίον βλασφημία, ὅτε μὴ πρεπόντως) ἀλλὰ καὶ ἀνεξερεύνητον καὶ ἀνεξιχνίαστον· ὅτι κρυφία, ἡ ἀπειρία αὐτῆς ἐστι. Καὶ μὴ μόνον οὐ περιλαμβάνεται διὰ τὸ ἄπειρον (τὸ γὰρ πεπερασμένον περιλαμβάνεται) ὑφ' οὗ καὶ πεπέρασται· ὁ Θεὸς δὲ ἁπάντων τόπος ἐστὶν, οὐ σωματικῶς, ἀλλὰ δημιουργικῶς· τὸν γὰρ οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ πάντα αὐτὸς πληροῖ) ἀλλὰ καὶ οὐδὲν ἴχνος ἐμφαίνεται οὐδενὸς τῶν διεληλυθότων ἐπὶ ταύτην τὴν κρυφίαν ἀπειρίαν. Τοῦτο δὲ λέγει, οὐχ ὅτι διῆλθον μέν τινες, οὐ φαίνονται δὲ τὰ ἴχνη αὐτῶν· ἀλλ' ὅτι οὔτε διῆλθον, οὔτε ἴχνη τινῶν φαίνονται· πῶς γὰρ τῶν μὴ διελθόντων ἴχνη φανήσονται;

Οὐ μὴν δὲ εἰ ἀκούει τις ἀπερίληπτον ταύτην, ἤδη καὶ ἀκοινώνητόν ἐστι καθόλου καὶ παντελῶς τὸ ἀγαθὸν αὐτῆς τῶν ὄντων οὐδενὶ, ἀλλ' ἐφ' ἑαυτοῦ μονίμως ἱδρῦσαν τὴν θείαν ἀκτῖνα τὸ ἀγαθὸν (οὐδὲ γὰρ ἐξίσταται κατά τι τῆς ἰδιότητος αὐτοῦ) μετεχόμενον δι' ἀγαθότητα ἐπιφαίνεται ἀγαθοπρεπῶς τὸν ἑκάστου τῶν ὄντων ἀναλόγοις ἐλλάμψεσι, κατὰ τὸ μέτρον καὶ τὴν τάξιν τῆς ἑκάστου φύσεως. Τὸ γὰρ μόνως ὂν, μετέχει τοῦ κυρίως ὄντος καθὸ ὄν· τὸ δὲ ζῶον, τοῦ κυρίως ζῶντος, καθὸ ζῶν· τὸ λογικόν τε καὶ νοερὸν, τοῦ κυρίως τοιούτου, καθὸ λογικόν τε καὶ νοερόν. Ἔτι δὲ καὶ πρὸς τὴν ἐφικτὴν αὐτοῦ θεωρίαν, ἐξ ἧς καὶ ἡ κοινωνία ἐστι, καὶ ἐξ αὐτῆς ἡ ὁμοίωσις, ἀνατείνει τοὺς ἱεροὺς Ἀγγέλους ἐπιβάλλοντας, ὡς θεμιτὸν, τῷ τοιούτῳ ἀγαθῷ, καὶ μήτε πρὸς τὸ ὑπέρτερον τῆς ἐναρμονίως καὶ εὐτάκτως ἐνδιδομένης θεοφανείας, παρὰ τὴν δύναμιν αὐτῶν ἀπαυθαδιαζομένους, μήτε πρὸς τὸ κάταντες ἐκ τῆς ἐπὶ τὸ χεῖρον ὑφέσεως ἀπολισθαίνοντας ἀλλ' ἑδραίως καὶ

dum dicere, sed ne cogitare quidquam, præter ea quæ sacris sunt Eloquiis enuntiata. Nam vt ipsa de se in Euangeliis tradidit (quando Dominus dixit, *Nemo nouit Patrē nisi Filius; & nemo nouit quæ sunt Dei, nisi Spiritus qui est ex Deo*, benignè visus cohibere nostram præposteram scrutationem) eius scientia & contemplatio omnibus est inaccessa substātiis, vtpote omnia excedens. Multos quoque Theologos inuenias illam non modo inuisibilem incomprehensibilemque dixisse (hæc enim Dei laus est, quando quis decenter de Deo loquitur; sicut è diuerso blasphemia, quando quis indecenter) verùm etiam inscrutabilem & inuestigabilem: quoniam arcanum eius, est eius infinitas. Et non tantùm non comprehenditur propter infinitatem (quod enim terminatum est, comprehenditur ab eo à quo terminatur: Deus autem est locus omnium non corporaliter, sed effectiuè; nam cælum & terram & omnia ipse implet,) quin imò nullum extat vestigium eorum quæ ad eius secretissimam infinitatem penetrarint. Hoc autem dicit, non quasi aliqui quidem eò penetrarint, eorum verò vestigia non videantur; sed quòd neque eò peruenerint, neque vestigia aliquorum appareant. quomodo enim videri possint vestigia eorum qui non transiuerunt?

Mat. 11, 27
1. Cor. 2, 11
Apoc. 19, 12.

Deus inscrutabilis.

Etsi autem quis audiat hanc esse incomprehensibilem, non tamen eius bonitas vlli omnino est prorsus incommunicabilis, sed diuinum radium in semetipso stabiliter firmatum (neque enim à proprietate suâ quidquam recedit) proportionatis cuilibet rei illustrationibus per bonitatem benignè distributum, secundùm modum & ordinem cuiusq; naturæ expandit. Quod enim dumtaxat est, propriè participat essentiam in quātum est; quod autem viuit, propriè vitam in quantum viuit; quod ratione menteque prȩditum est, propriè id ipsum in quantum ratione menteque pollet. Quin etiam ad quantum fas est sui contemplationem, ex quâ cōmunio similitudoq; existunt, sanctos Angelos excitat, dum ad bonum illud pro viribus conniuntur, modò non sublimiùs, quàm pro eorum captu diuina fert illustratio, insolenter aliquid prȩsumant, nec in prȩceps peruersâ propensione labantur, sed, quoad possunt,

Quomodo se Deus nobis ad captum nostrum accommodet.

 sunt,

PARAPHRASIS PACHYMERÆ.

sunt, constanter & irreflexis oculis illucenti radio obtueantur, nec non, amore indultis sibi collustrationibus commenso, cum sacrâ quadam reuerentiâ modestè sancteque sursum euolent. Rectè addit τὸ ἀδυνάτως, id est

Reuerenter ad Dei notitiam tendendum.

impotenter: etsi enim quispiam tentarit, minimè assequitur, sed tantùm intellectus oculis obscuratis, etiam à vero lumine excidit, non secùs ac qui integrum solem oculo corporeo excipere contendit. Hoc cùm diuinæ Virtutes insinuare vellent, Cherubim & Seraphim, facies tegunt, declarantes, se non inhærere contéplationi sublimiori quàm ipsis

Ioan.1,18. concessa sit. Atque hoc est *Deum nemo vidit vmquam.* Vnde qui diuina sapiunt, gloriam Dei, non autem ipsum Deum visum asserunt.

§.3. Has ergo diuinas lances imitantes (id est diuinam æquitatem seu iustitiam salutarem, quoniam illustrationes secundùm modum conuenientem fiunt) per quas nimirum lances Angelicæ etiam virtutes, secundùm conuenientes ipsis illustrationes, gubernantur: siquidem quod mentem essentiamq; superat omnium qui dij appellantur, Angelorum inquam & Sanctorum, imperatricis ac regiæ Trinitatis, arcanum illud incomprehensibile à scrutatione vacuis mentis venerationibus, ineffabilia verò modesto quodam silentio prosequentes, fulgoribus, quæ nobis è sanctis Eloquiis affulgent, attendamus, & à Scripturis illustrati, ad diuinas laudes, siue diuina nomina, dirigamur. Verùm non ita dirigimur & efformamur, vt irrationabiliter & imperitè sequamur, & obscurè quodammodò ac sine lumine, sed ita vt illa videndo commensa quoque nobis lumina præbeantur, quibus instructi, principium & causam omnis illu-

Deus nobis & lumen, & intelligentia, & salus, & omnia.

strationis collaudemus. Quomodo autem sit principium & causa, ipse Dominus in sacris Euangeliis ait: *Ego sum vita & resurre-*

Ioã.11,25. *ctio.* Vita, eorum qui diuinam imaginem in se aboleuerunt; quod enim interitus est corporibus, hoc animis diuinę imaginis abolitio: resurrectio, eorum qui exciderunt. Adhæc verò impuro motu nutantium, ita vt à Dei vestigiis semitisque ferè exciderint, sacrum firmamentum, quoniam nutatio ista prorsus impura est; contraria autem contrariis curan-

Psal.59,14 tur. Adhæc stantium securitas; *In Deo* enim, inquit Dauid, *faciam virtutem.* Et ad se per

ἀκλινῶς ἀνατεινομένους ἐπὶ τὴν ἐνδιδομένην ἀκτῖνα, καθόσον αὐτοῖς ἐστι δυνατὸν, καὶ ἀναπτερουμένους σωφρόνως τε καὶ εὐλαβῶς τῷ συμμέτρῳ ἔρωτι τῶν καθόσον ἔνι πρέπον καὶ δυνατὸν ἐλλάμψεων. Καλῶς δὲ τὸ Ἀδυνάτως· κἂν γὰρ ἐπιχειρήσῃ τις, οὐκ ἐφικνεῖται μὲν, μόνον δὲ τὰς νοερὰς ὄψεις ἀμαυρούμενος, καὶ τοῦ ὄντως ἐκπίπτει φωτὸς, ὥσπερ ὁ φιλονεικήσας ὅλον ἥλιον τῷ σωματικῷ δέξασθαι ὀφθαλμῷ. Ὅπερ αἱ θεῖαι Δυνάμεις αἰνιττόμεναι, Χερουβὶμ καὶ Σεραφὶμ, τὰ πρόσωπα καλύπτουσι, δηλοῦντα μὴ προσεῖζειν τῇ ὑπὲρ αὐτοὺς θεωρίᾳ μὴ δεδομένῃ. Καὶ τοῦτό ἐστι τὸ, Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Ὅθεν οἱ θεόσοφοι δόξαν Θεοῦ, ἀλλ᾽ οὐ Θεὸν ἑωρακέναι φασί.

Τούτοις ἑπόμενοι τοῖς θείοις ζυγοῖς (ἤγουν τῇ θεαρχικῇ ἐξισώσει, καὶ σωστικῇ δικαιοσύνῃ, ὅτι κατὰ τὸ προσῆκον μέτρον αἱ ἐλλάμψεις γίνονται) καθ᾽ οὓς ζυγοὺς διακυβερνοῦνται καὶ αἱ Ἀγγελικαὶ δυνάμεις εἰς τὰς προσηκούσας ἐλλάμψεις αὐταῖς· τὸ μὲν ὑπὲρ νοῦν καὶ οὐσίαν τῆς παμβασιλίδος Τριάδος, καὶ τῶν λεγομένων θεῶν, φημὶ Ἀγγέλων τε καὶ Ἁγίων, ἀρχούσης, τὸ κρύφιον καὶ ἀκατάληπτον ἀνεξερευνήτοις νοὸς εὐλαβείαις, τὰ δὲ ἄρρητα σώφρονι τιμῶντες σιγῇ, ἐπὶ τὰς ἐνδιδομένας αὐγὰς παρὰ τῶν Γραφῶν ἀνατεινόμεθα, καὶ παρὰ τῶν Γραφῶν φωταγωγούμεθα, καὶ πρὸς τὰς ὑμνολογίας τὰς θείας, οἱονεὶ τὰς θείας ὀνομασίας κανονιζόμεθα. Οὐ κανονιζόμεθα δὲ καὶ τυπούμεθα οὕτως, ὥστε ἀλόγως καὶ ἀμαθῶς ἕπεσθαι, καὶ οἷον σκοτεινῶς καὶ ἀφωτίστως, ἀλλὰ σὺν τῷ ὁρᾶν καὶ τὰ συμμέτρως δι᾽ αὐτῶν ἡμῖν παρεχόμενα φῶτα, καὶ τὴν ἀρχὴν καὶ αἰτίαν ἁπάσης φωτοφανείας ὑμνεῖν. Πῶς δέ ἐστιν ἀρχὴ καὶ αἰτία, αὐτὸς ὁ Κύριος λέγει ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις, Ἐγώ εἰμι ἡ ζωὴ, καὶ ἡ ἀνάστασις. Ζωὴ, τῶν ἀπολιθησάντων εἰς τὴν τοῦ θεοειδοῦς παραφθορὰν, ὃ γὰρ φθορὰ τοῖς σώμασι, τοῦτο ψυχαῖς ἡ τοῦ θεοειδοῦς παραφθορά· ἀνάστασις, τῶν ἀποπιπτόντων. Ἔτι δὲ τῶν κατά τινα ἄλλον λογισμὸν ἀνίερον σαλευομένων, ὥστε παρ᾽ ὀλίγον ἐκχυθῆναι τὰ κατὰ Θεὸν διαβήματα, ἵδρυσις ἱερὰ, ὅτι καὶ ὁ σάλος ἀνίερος· τὰ δ᾽ ἐναντία τῶν ἐναντίων ἰάματα. Ἔτι τῶν ἑστηκότων ἀσφάλεια· ἐν τῷ Θεῷ γὰρ ποιήσομαι δύναμιν, φησὶν ὁ Δαβίδ. Καὶ τῶν ἀναγο-

μένων

PARAPHRASIS PACHYMERÆ.

μένων διὰ θεωρίας ἐπ' αὐτὴν χειραγωγία· ἔτι γὰρ αὐτῶν καλούντων, ἐρεῖ, Ἰδοὺ πάρειμι. Καὶ μετὰ τὴν ἀναγωγὴν τῶν φωτιζομένων ἔλλαμψις, καὶ * βαθμηδὸν τῶν τελουμένων, ἀρχὴ τῆς αὐτῶν προκοπῆς, καὶ τῶν θεουμένων ἔτι θεαρχία. Καὶ ἔτι τῶν ἀπὸ τῆς πολυσυνθέτου ὕλης ἀπολυομένων, καὶ ἁπλουμένων ἁπλότης, καὶ τῶν ἑνιζομένων καὶ τὸ κυρίως ἓν καταλαβόντων ἑνότης· πάσης ἀρχῆς ἀρχὴ, καὶ μετάδοσις τοῦ κρυφίου δι' ἀγαθότητα, ζωὴ τῶν ζώντων, οὐσία τῶν ὄντων, ἀρχὴ καὶ αἰτία τῶν οὐσιῶν, ἃ δὴ πάντα καὶ παράγει καὶ συνέχει δι' ἀγαθότητα.

* γρ. βαθμίς.

Ταῦτα παρὰ τῶν ἱερῶν Γραφῶν μεμυήμεθα. Καὶ πᾶσαν εὑρήσεις ὑμνολογίαν τῶν Θεολόγων τὰς Θεοῦ ὀνομασίας διασκευάζουσαν πρὸς τὰς τοῦ Θεοῦ ἐνεργείας, οὐ πρὸς τὴν φύσιν αὐτοῦ εἰς ὕμνον καὶ ἐκφαντορίαν ποσῶς αὐτοῦ· ἐκφάντορες γὰρ λέγονται, οἱ τῶν μυστηρίων τὰ ἄρρητα συμβολικῶς ἀναφαίνοντες. Ὅθεν καὶ ἐν ἁπάσαις ταῖς θείαις Γραφαῖς τὸν Θεὸν ὁρῶμεν ἱερῶς ὑμνούμενον ὡς μονάδα μὲν καὶ ἑνάδα, ἐπεὶ ἡ μονὰς ἀσύνθετός ἐστι καὶ ἀμερής· ἡ δὲ ἑνὰς, ἑνιαία τις καὶ ἡνωμένη καὶ ἑνοποιητικὴ, ἵνα παραστῇ ἡ τοῦ Θεοῦ ἀμέρεια. Τὸ γὰρ ὄγκοις καὶ πηλικότησι διειλημμένον, τοῦτο ὡς ἅτε καὶ σῶμα, μερίζεται· τὸ δὲ ἀμερὲς, καὶ ἀνέμφατον, ἀλλὰ καὶ ὑπὲρ πᾶσάν ἐστιν ἀσωματίαν. Ἄλλως τε ἐπειδὴ διανοηθεὶς ὁ Θεὸς βουλητικῶς, πάντα ὑπέστησεν, οὐχ οἷά τις νοῦς εἰς νοήσεις μερισθεὶς ἐπολυπλασιάσθη, ἀλλὰ μείνας καὶ μένων ἐν τῇ ἑνάδι ἀμερῶς καὶ ἀσκεδάστως, πάντα τὰ ἐν τῇ κτίσει καὶ ὑπέστησε καὶ ὑφίστησιν· ἕως γὰρ ἄρτι ἐργάζεται. Ὑπερήπλωται οὖν, πᾶσαν ἁπλότητα ἀμερῶς ὑπεραίρων· ἐκεῖθεν δὲ καὶ ἡμῖν ἡ ἕνωσις γίνεται. Πῶς δὲ ἑνοποιούμεθα, τῶν μεριστῶν ἑτεροτήτων, καθ' ἃς ἕκαστος διαφέρει ἑκάστου, συμπτυσσομένων; μία γὰρ πίστις, καὶ ἓν βάπτισμα, καὶ ὁ Χριστὸς οὐ μεμέρισται κατὰ τὸν μέγαν Ἀπόστολον. Συναγόμεθα γοῦν εἰς θεοειδῆ μονάδα, ἁπλοῖ καὶ ἀμερεῖς καὶ ἡμεῖς, ὡς ὁ Θεὸς, κατὰ τὸ προσῆκον γινόμενοι, καὶ εἰς θεομίμητον ἕνωσιν, τουτέστι καὶ ἑνοποιούμεθα καὶ ἑνοποιοῦμεν· τοῦτο γάρ ἐστι τὸ θεομίμητον, καθ' ὃ καὶ Υἱοὶ Θεοῦ καλοῦνται οἱ εἰρηνοποιοὶ, ὅτι μιμοῦνται Θεόν. Ἢ γοῦν οὕτως οἱ πολλοὶ τῇ

contemplationem tendentium manuductio: nam ipsis adhuc clamantibus dicit, Ecce adsum. Et post adductionem illuminatorum illustratio, & basis perfectorum, ac principium profectus eorum, & deificatorum principium diuinitatis. Atque insuper à materiali multiplicitate recedentium, ac simplificatorum simplicitas, & vnitorum, ac propriè vnitatem recipientium vnitas: omnis principij principium, atque abditi illius per bonitatem communicatio, vita viuentium, essentia entium, principium & causa entium, propter bonitatem, quâ & producit, & conseruat vniuersa.

Hæc ex Scripturis diuinis didicimus. Et §. 4.
omnem reperies Theologorum laudem, Dei nomina ad diuinas operationes referre, non ad ipsius naturam, quòd id laudi & interpretationi eius conducat; interpretes enim dicuntur, qui ineffabilia mysteria symbolicè exponunt. Hinc in omnibus fermè diuinis Scripturis Deum sanctè collaudatum cernimus vt monadem quidem & vnitatem, quoniam monas incomposita est & indiuidua, vnitas autem vnitiua est, & vnita, & vnifica, vt repræsentet Dei indiuiduitatem. Quod enim mole & quantitatibus distinctum est, hoc instar corporis in partes diuiditur; quod autem parte caret, id etiam non apparet, quin imò est supra omnem incorporeitatem. Ceterùm cùm etiam cogitando Deus voluntate suâ fecit cuncta subsistere, non tamquam mens aliqua in cogitationes diuisa multiplicatus fuit, sed postquam in se mansit ac manet in vnitate absque partitione atque diuisione, creaturas omnes & subsistere fecit, & sustentat: nam *vsque modò operatur.* Singulari ergo modo simplificatus est, qui omnem simplicitatem indiuisim excedit; inde enim nobis vnio obtingit. Quomodo autem vnimur, cùm partialibus constemus diuersitatibus, secundùm quas quilibet ab altero differt? *Sed vna Fides, & vnum Baptisma*, & Christus non diuiditur, iuxta Magnũ Apostolum. Coniungimur itaque in deiformi vnitate, ipsi quoque, prout decet, instar Dei simplices & partium expertes effecti, & ad vnionem Deum imitantem reuocati, id est, vnificamur & vnificamus: hoc enim est Deum imitari, iuxta quod etiam pacifici filij Dei appellantur, quoniam Deum imitantur. Itaque vel multi ita per pacem vnimur,

Deus qualis monas & vnitas sit.

Ioan. 5, 17.

Quomodo vnificemur.

Ephes. 4, 5.

Matt. 5, 9.

PARAPHRASIS PACHYMERÆ.

vel qui in se vnus est hocce modo vnitur. Quemadmodum enim in supramundialibus, & hoc mundo qui videtur inferiora conuersa sunt ad superiora, & res corporea sita est in viuente, siquidem *in manu eius omnes fines terræ*, imò etiam cæli; in quo, enim inquit, sunt omnia) sic etiam in proposito nostro vsu venit: nam anima conuertitur ad spiritum, in quo sensus ac ratiocinationes funda ntur, quibus in speculatione rationes indagamus; qui spiritus nouit quæ sint in homine. Anima igitur ad hunc spiritum conuersa, vti & ad sensus qui in ipso sunt, & per eos ad corpus, intellectiles operationes diuisas habet in diuersas, & discriminatim prodeuntes à primis cogitationibus ad sequentes, siue bonas siue malas. Dicit ergo, nos in Deum intendendo ab vnitate illâ quid vnum indistinctum fieri, discriminibus nostris, quæ multis partibus constabant, ex diuisione in complexionem coactis, & supermundialiter vnificatis, id est non sensili sed intellectuali modò; cùm ab eorum coniunctione minimè abhorreamus, sed vniformiter quid vnum effecti simus, sicut & ipse vnum est, quemadmodum in sacris Euangeliis testatur. Rursus Trinitatem, vtpote in tribus personis subsistentem, & propter incomprehensibilem paternam processionem principio carentem, ad productionem Filij & Spiritus sancti, *ex quâ omnis paternitas in cælo*, id est ordines cælestes, *& in terrâ*, scilicet spiritales cognationes & complexiones, Moyses enim πατριὰς vocat cognationes seu affinitates, *est & nominatur*. Vt rerum causam, quoniam etiam omnia ex Patre per Filium in Spiritu sancto facta sunt, & essentiam acceperunt, non propter necessitatem, sed propter bonitatem. Vt sapientem quoq; ac pulchram, quoniam omnes creaturæ Dei bonæ valdè factæ sunt, & sunt. Nisi itaque creator erat sapiens, quomodo factæ sunt? & nisi erat pulcher, quomodo ipsæ pulchræ sunt? in tantum autem pulchræ sunt, in quantum manent in naturali ordine in quo productæ sunt. Peruersio autem, quæ contra naturam est, siue in Angelis, siue in animis, siue in quibuscumq; corporibus existat, pulchritudinem destruit, &ab hac deficiendo turpitudinē operatur. Singulari verò amore humanum genus complectentē, quoniam in veritate vna Trinitatis persona incarnata est, & perfectum homi-

Psal. 94,4.

1. Cor. 2,11

Ioan. 17,21

A Deo omnis paternitas.

Ephes. 3,15

Deus rerum causa, &c.

Deus singulariter hominum amator.

εἰρήνῃ ἑνούμεθα, ἢ καὶ ὁ εἷς καθ' ἑαυτὸν ἑνοῦται τοιουτοτρόπως. Ὡς γὰρ ἐπὶ τῶν ὑπερκοσμίων, καὶ τοῦδε τοῦ ὁρατοῦ τὰ κατώτερα ἔστραπται ἐπὶ τὰ ὑπερκείμενα, καὶ τὸ σωματικὸν ἥδρασται ἐν τῷ ζῶντι (ἐν γὰρ τῇ χειρὶ αὐτοῦ πάντα τὰ πέρατα τῆς γῆς· ἀλλὰ καὶ οἱ οὐρανοί· Ἐν ᾧ, γάρ φησι, τὰ πάντα) οὕτως καὶ ἐπὶ τοῦ καθ' ἡμᾶς ἔχει· ἡ γὰρ ψυχὴ ἔστραπται πρὸς τὸ πνεῦμα, ἐν ᾧ εἰσιν ἀπεστηριγμέναι αἱ αἰσθήσεις καὶ οἱ λογισμοί· δι' ὧν τὸ ἐν σκέψει λογιζόμεθα, ὅπερ πνεῦμα οἶδε τὰ ἐν τῷ ἀνθρώπῳ. Ἐπεστραμμένη οὖν πρὸς τὸ πνεῦμα ἡ ψυχὴ, καὶ πρὸς τὰς ἐν αὐτῷ αἰσθήσεις, καὶ δι' αὐτῶν πρὸς τὸ σῶμα, τὰς νοερὰς ἐνεργείας ἔχει μεριζομένας εἰς ἑτερότητας, καὶ σκεδαστῶς προϊούσας ἀπὸ πρώτης νοήσεως εἰς δευτέρας, ἢ κρείττονας ἢ φαύλας. Φησὶν οὖν, ὅτι ἀνατεινόμενοι πρὸς Θεὸν γινόμεθα ὑπὸ τῆς ἑνάδος ἐκείνης ἓν ἀμερὲς, τῶν πολυμερῶν ἡμῶν ἑτεροτήτων, ἐκ τοῦ σκεδασμοῦ εἰς σύμπτυξιν ἀθροιζομένων, καὶ ἑνοποιουμένων ὑπερκοσμίως, τουτέστιν, οὐκ αἰσθητῶς, ἀλλὰ νοερῶς, οὐκ ἔτι ἀσυμβάτων ὄντων ἡμῶν πρὸς ἑαυτοὺς, ἀλλὰ γινομένων ἓν ἑνοειδῶς, ὡς καὶ αὐτὸς ἕν ἐστιν, ὥς φησιν ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις. Πάλιν Τριάδα, ὡς τρισυπόστατον, καὶ διὰ τὴν πατρικὴν ὑπὲρ ἔννοιαν ἄναρχον πρόοδον, εἰς ἔκφανσιν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ (δηλονότι τὰ οὐράνια τάγματα) καὶ ἐπὶ γῆς (δηλονότι αἱ πνευματικαὶ συγγένειαι καὶ ἀλληλουχίαι, πατριὰς γὰρ τὰς συγγενείας φησὶν ὁ Μωϋσῆς) ἔστι τε καὶ ὀνομάζεται. Ὡς αἰτίαν δὲ τῶν ὄντων, ὅτι καὶ πάντα ἐκ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐν ἁγίῳ ἐγεγόνεισαν Πνεύματι, οὐσιοποιηθέντα, οὐ διὰ χρείαν, ἀλλ' ἀγαθότητα. Σοφὴν δὲ καὶ καλὴν, ὅτι πάντα τὰ τοῦ Θεοῦ δημιουργήματα καλὰ λίαν γεγόνασι, καὶ εἰσίν. Εἰ μὴ ἦν οὖν σοφὸς ὁ δημιουργὸς, πῶς αὐτὰ γεγόνασι; καὶ εἰ μὴ ἦν καλὸς, πῶς αὐτὰ καλά; Τέως δὲ καλὰ, ἐφ' ὅσον ἐν τῇ κατὰ φύσιν ὡς γεγόνασι μένουσι τάξει. Ἡ δὲ τοῦ κατὰ φύσιν παρατροπὴ, εἴτε ἐν Ἀγγέλοις, εἴτε ἐν ψυχαῖς, εἴτε ἐν ὁποιοισοῦν σώμασι γινομένη, τὸ κάλλος ἀπόλλυσι, καὶ τῇ τούτου διαμαρτίᾳ τὸ αἶσχος δημιουργεῖ. Φιλάνθρωπον δὲ καὶ μᾶλλον τοῦτο, ὅτι ἐσαρκώθη ἐν ἀληθείᾳ ὁ τῆς Τριάδος εἷς, καὶ τέλειον ἄνθρωπον προσελά-

βετο (τοῦτο γάρ ἐστι τὸ Ὁλικῶς) καὶ τοῖς καθ' ἡμᾶς ἐκοινώνησεν ἀνακληθείσης τῆς ἀνθρωπίνης οὐδενείας, ἐξ ἧς τῆς ἀνθρωπίνης ἐσχατιᾶς ὁ ἁπλοῦς τῇ θεότητι Ἰησοῦς συνετέθη, καὶ διπλοῦς τῇ φύσει γέγονε· καὶ ὁ ἀΐδιος παράτασιν εἴληφε χρονικὴν, δηλονότι τὴν ἐν σαρκὶ διαγωγήν· καὶ εἴσω τῆς καθ' ἡμᾶς φύσεως ἐγεγόνει καθ' ὑπόστασιν αὐτῇ ἑνωθεὶς, ὁ πάσης ἐκβεβηκὼς φυσικῆς τάξεως τῇ θεότητι, ἀμεταβλήτως καὶ ἀσυγχύτως ἐνανθρωπήσας. Καὶ ὅσας ἄλλας διδασκαλίας ταῖς Γραφαῖς ἀκολούθως ἡ τῶν Διδασκάλων ἡμῶν κρυφία παράδοσις ἐν μυστηρίῳ (τοῦτο γάρ ἐστι τὸ Ἐκφαντορικῶς) ἡμῖν ἐδωρήσατο (καὶ σημείωσαι, ὅτι πολλὰ τοῖς τελείοις διὰ λόγου παρεδίδοσαν οἱ Ἀπόστολοι μυστηριωδῶς ἀποκαλύπτοντες· διὸ καὶ ὁ Ἀπόστολος γράφων Θεσσαλονικεῦσι, φησὶ, χρῆναι φυλάττειν αὐτοὺς ἃ ἤκουσαν, εἴτε διὰ λόγων, εἴτε δι' ἐπιστολῆς· καὶ Τιμοθέῳ παραθήκην λέγων δεδωκέναι ἐν μυστηρίῳ) ταῦτα καὶ ἡμεῖς μεμυήμεθα· νῦν μὲν καὶ κατὰ τὸν τοῦ βίου καιρὸν, ἀναλόγως τῇ δυνάμει τῆς ἡμετέρας νοήσεως διά τε Γραφικῶν παραπετασμάτων, ὅταν λέγῃ), ἐπὶ μὲν Θεοῦ, ὡς πῦρ, καὶ ὡς γέρων, καὶ ὡς παλαίων τῷ Ἰακὼβ, καὶ ὅσα τοιαῦτα· ἐπὶ δὲ Ἀγγέλων, ὡς τὰ θηριόμορφα, καὶ οἱ νεανίσκοι, καὶ αἱ λοιπαὶ εἰκόνες. Ταῦτα γάρ εἰσι τὰ παραπετάσματα, μὴ ἐχόντων ἡμῶν ἀμέσως προσβάλλειν τοῖς πράγμασι, καὶ διὰ τοῦτο δεομένων περικαλυμμάτων τινῶν, ἅπερ εἰσὶ τὰ προειρημένα. Διά τε γοῦν τῆς τούτων φιλανθρωπίας, καὶ ἔτι τῶν ἱεραρχικῶν παραδόσεων, τὴν μύησιν ἔχομεν. Καὶ σημείωσαι, ὅτι καὶ πολλὰ ἐμυσταγωγοῦντο ἀγράφως οἱ ἅγιοι. Τί δέ ἐστι τὸ φιλάνθρωπον τῶν ἱερῶν Γραφῶν; Ὅτι κατὰ ἀγάπησιν θείαν, ἵνα χωρηθῇ τὸ νοητὸν καὶ ἀχώρητον ἐν ἡμῖν, αἰσθητοῖς συμβόλοις ἐχρήσατο, οἱονεί τισι περικαλύμμασι, καὶ τὰ ἀσχημάτιστα εἰκονούργησε, καὶ τὰ ἁπλᾶ ἐν τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων· ὅτε δηλονότι ἀνθρωπολογεῖ ἡ Γραφὴ τὸ Θεῖον, πόδας καὶ χεῖρας καὶ πρόσωπον αὐτῷ περιτιθεῖσα, ἐπλήθυνε καὶ διέπλασε τὸ ἓν τῇ φύσει πολλὰ τοῖς συμβόλοις ποιοῦσα καὶ εἰκονίζουσα. Καὶ νῦν μὲν οὕτως· ἔν τε τῇ ἀναστάσει, ὅτε χριστοειδοῦς τευξόμεθα καταστάσεως (τοῦτο γάρ ἐστι τὸ Λήξεως) πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, κατὰ τὸν Ἀπόστολον, ἀποπληρούμενοι μὲν καὶ τῆς ὁρατῆς αὐτοῦ θεο-

PARAPHRASIS PACHYMERÆ.

nem assumpsit (hoc enim denotat vox integrè) nobisq; se communicauit, reuocans ad se sibique iungens humanam exinanitionem, ex quâ humanâ exinanitione diuinitate simplex IESVS est compositus, & naturâ duplex extitit; ac qui æternus est temporalem sumpsit accessionem, scilicet in carne conuersationem; nec non in naturâ nostrâ extitit secundùm hypostasim ipsi vnitus, qui vniuersum naturę ordinẽ diuinitate transscẽdit, immutabiliter & incõfusè incarnatus. Et quascumque alias doctrinas Scripturis consonè, præceptorum nostrorum arcana traditio in mysterio (hoc enim est ἐκφαντορικῶς) nobis indulsit (vbi nota, Apostolos perfectis per sermonem multa mysteria reuelando tradidisse; quare & Apostolus ad Thessalonicenses scribens ait, oportere ipsos seruare quæ audierant *siue per sermonem, siue per epistolam*: & Timotheo dicit, se depositum dedisse in mysterio) has & nos quoque hausimus: nunc quidem etiam huius vitæ tempore, intelligentiæ nostræ viribus accommodatè, per velamina Scripturarũ, vt cùm dicitur, Deus quidem, velut ignis, & tamquam senex, & sicut luctans cum Iacob; & similia; Angeli verò, velut formæ ferarum, iuuenesque, & ceteræ figuræ. Hæc enim sunt velamina, quòd non possimus immediatè rebus ipsis coniungi, adeoque velaminibus quibusdam opus habeamus, quæ sunt prædicta. His itaq; humano more nobis indultis, atque insuper traditionibus, erudimur. Vbi nota, sanctos quoque multa non scripto didicisse. Quænam autem est humanitas Scripturarum? Quòd nimirum secundùm diuinam dilectionem, vt res spiritalis & incomprehensibilis, à nobis caperetur, sensilibus signis vsa sit, tamquam quibusdam velamentis, & res infiguratas figurarit, simplicesque diuiduorum signorum varietate depinxerit: vt quando nimirum Scriptura Deum humanâ voce loquentem, pedes & manus faciemque illi circumponens, multiplicat & effingit id quod naturâ suâ vnum est, per symbola variegans & efformans. Et nunc quidem sic; at in resurrectione, quando Christiformem statum consequemur (hoc enim denotat vox λήξεως) *semper cum Domino erimus*, vt ait Apostolus, visibili quidem ipsiusmet Dei apparitio-

Multa traditionibus accepta sunt.

2.Thes.2, 14.

Modò cognitio nostra est sub velamine & symbolis.

Post resurrectionem erit clara visio Dei.

1.Thess.4, 16.

ne

PARAPHRASIS PACHYMERÆ.

ne pleni, quoniã ipsius animatæ carni, quam assumpsit, indiuulsa lux inest, quæ lucidissimis coruscationibus nobis resplendebit, quemadmodum apparuit in Transfiguratione; intelligibilis verò illius illustrationis participes, quæ est etiam supra mentem & secundùm mentem vnio (secundùm mentem enim illam participabimus) tum perfectiùs, quando ad Deum conuersi, inde perfectè illustrabimur, vniformiter quid vnum erimus, à diuersitatibus nostris quæ ex compositione oriuntur, id est à mundanis cupiditatibus sensibusque liberati; hoc enim est mens impassibilis & immateriata. Quomodo autem participabimus? iactibus incognitis radiorum. Quantum enim accedemus, in tantum nobis incognitum erit; & quantum nos contemplationi vacabimus, tantum etiam infinitatis eius pelagus dilatabitur, ad diuiniorem Angelorum imitationem, id est accuratiorem: significans per hoc, quomodo etiamnum Angelis digna beatorum vita in Dei laude, & carnalium contemptu, etsi non omnimodò, versetur. ideoque etiam hæc imitatio moderatior est, tum autem imitatio diuinior existet. Nam, iuxta sacra
Luc. 20,36 Euangelia, *æquales Angelis erimus, & filij Dei*, quippe filij resurrectionis appellabimur.
Rom. 6,5. Qui *enim morti Domini complantati sunt, cõsortes quoque gloriæ erunt*, quemadmodum
Ioan. 16. etiam Dominus ait: *Vado ad Patrem* meum, & Patrem vestrum. Verùm hæc post resurrectionem: nunc verò propriis symbolis vtamur (in Deo scilicet) & figuris, & nominibus. Verumtamen in illis nequaquam immoremur, sed contendamus, quoad possumus, ad simplicem & vnitam veritatem. Simplicem quidem, quoniam indiuisa est & vniformis: vnitam verò, quia singularis seu vnica est. Etsi diuersimodè symbolis multiplicetur, post diuinorum etiam notitiam Angelorum, tranquillantes ac sistentes intellectiles nostras operationes diuino radio, quantum fas est, attendimus. *Tranquillantes* autem seu sistentes dixit, secundùm duas explicandi rationes; vel quòd vsque ad Angelica spectacula sistimus intelligentiam, quasi in Deo omnis notio deficiat, vt qui nihil sit eorum quod mentis notione percipitur, tantùm autem supra notionem diuinus radius nobis per bonitatem affulgeat: vel *tranquillantes*, quasi ad aliquam quæ in confesso est, seu

φανείας, ὅτι ἀεὶ ἐστὶν ἀδιαίρετος τῇ ἐμψυχωμένῃ σαρκὶ ἣν προσελάβετο, περιαυγαζούσης ἐν μαρμαρυγαῖς ἡμῖν φανοτάταις, καθὼς καὶ ἐν τῇ μεταμορφώσει ἐφάνη· μετέχοντες δὲ καὶ τῆς νοητῆς φωτοδοσίας ἥτις ἐστὶ καὶ ὑπὲρ νοῦν καὶ κατὰ νοῦν ἕνωσις (κατὰ νοῦν γὰρ ἔσται ἡμῖν μεθεκτὴ) τότε τελεωτέρως, ὅταν ἐπιστραφέντες πρὸς Θεὸν, ἐκεῖθεν τελείως ἐλλαμπόμενοι, ἑνοειδῶς γινώμεθα ἕν, ἐλευθερωθέντες τῶν κατὰ σύνθεσιν ἡμῖν ἑτεροτήτων, δηλονότι τῶν κοσμικῶν ἐπιθυμιῶν καὶ αἰσθήσεων· τοῦτο γάρ ἐστιν ὁ ἀπαθὴς καὶ ἄϋλος νοῦς. Πῶς δὲ μεθέξομεν; ἐν ἐπιβολαῖς ἀγνώστοις τῶν ἀκτίνων. Ὅσον γὰρ ἐγγίσομεν, τοσοῦτον τὸ ἄγνωστον ἡμῖν γενήσεται· καὶ ὅσον ἐπιβαλοῦμεν τῇ θεωρίᾳ, τοσοῦτον τὸ τοῦ ἀπείρου πέλαγος πλατυνθήσεται, ἐν θειοτέρᾳ μιμήσει τῶν Ἀγγέλων, δηλονότι ἀκριβεστέρᾳ· σημαίνων ἐντεῦθεν, ὡς καὶ νῦν ἀγγελοπρεπὴς ὁ τῶν ἁγίων βίος ἐν τῇ τοῦ Θεοῦ αἰνέσει, καὶ ὑπεροψίᾳ τῶν σαρκικῶν, κἂν οὐ παντελεῖ· διὸ καὶ τὰ τῆς μιμήσεως μετριώτερα, τότε δὲ θειοτέρα ἡ μίμησις γενήσεται. Ἰσάγγελοι γὰρ κατὰ τὰ ἱερὰ Εὐαγγέλια, καὶ Υἱοὶ Θεοῦ, ὡς υἱοὶ τῆς ἀναστάσεως, χρηματίσομεν. Οἱ γὰρ σύμφυτοι τῷ τοῦ Δεσπότου θανάτῳ γενόμενοι, κοινωνοὶ καὶ τῆς δόξης ἔσονται, καθὼς καὶ ὁ Κύριος, Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ πατέρα ὑμῶν. Ἀλλὰ ταῦτα μὲν μετὰ τὴν ἀνάστασιν· νῦν δὲ οἰκείοις συμβόλοις χρώμεθα, ἐπὶ Θεοῦ δηλονότι, καὶ τύποις, καὶ ὀνομασίαις. Πλὴν οὐκ ἐν τούτοις ἐναπομένομεν, ἀλλ᾽ ἀνατεινόμεθα, καθ᾽ ὅσον ἔνι, ἐπὶ τὴν ἁπλῆν καὶ ἡνωμένην ἀλήθειαν. Ἁπλῆν μὲν, ὅτι ἀμερής ἐστι καὶ μονοειδής· ἡνωμένην δὲ, ὅτι ἑνιαία ἐστί. Καὶ εἰ ποικιλοτρόπως τοῖς συμβόλοις πληθύνεται, καὶ μετὰ πᾶσαν νόησιν τῶν θεοειδῶν Ἀγγέλων ἀποπαύοντες, καὶ ἱστῶντες τὰς νοερὰς ἐνεργείας, τῇ θείᾳ ἀκτῖνι κατὰ τὸ θεμιτὸν ἐπιβάλλομεν. Ἀποπαύοντες γὰρ εἶπε, κατὰ δύο τρόπους τῆς ἐξηγήσεως· ἢ ὅτι μέχρι τῶν ἀγγελικῶν θεαμάτων ἵσταμεν τὴν νόησιν, ὡς ἀργούσης πάσης γνώσεως ἐπὶ Θεοῦ, καὶ οὐδενὸς τῶν τούτου τῇ κινήσει τοῦ νοῦ καταλαμβανομένου, μόνον δὲ ὑπὲρ νόησιν ἡ θεία ἀκτὶς ἡμῖν ἐπιλάμπει δι᾽ ἀγαθότητα· ἢ Ἀποπαύοντες, οἷον πρός τινα ὁμολογουμένην καὶ τρανὴν πλη-

ροφορίαν

PARAPHRASIS PACHYMERÆ.

ὑπερφορίαν ἱστάντες τὴν νόησιν, δηλονότι περὶ αὐτὸ τὸ ἀκατάληπτον τοῦ Θεοῦ, ὅπερ τῇ τοῦ νοὸς ἀνενεργησίᾳ καταλαμβάνεται· ἐν ᾗ τινι θείᾳ ἀκτῖνι πάντα τὰ τῶν πασῶν γνώσεων πέρατα· οὐ γὰρ ἐκ μέρους, ἀλλ' ἀθρόως καὶ ἅμα προϋφέστηκε. Καὶ ἐκ τούτου νοηθήσεται, πῶς φησιν ὁ Ἀπόστολος, ἐν τῷ Θεῷ εἶναι ἡμᾶς πρὸ καταβολῆς κόσμου. Ἰστέον οὖν, ὅτι ὡς τῆς ἁπάντων παραγωγῆς κατὰ τὸ αἴτιον καὶ τὴν ἀρχὴν ἀπηρτημένης αὐτοῦ, ἐπειδὴ τὰ ὄντα πάντα ἐξ αὐτοῦ εἰσιν, εἰκότως ἅτε καὶ μέλλοντα ἔσεσθαι, ἐν αὐτῷ καὶ προϋφεστήκει τῷ εἰδότι, ὅτι καὶ παράξει, καὶ πότε παράξει, ὡς εἴρηται, ὁ εἰδὼς πάντα πρὶν γενέσεως αὐτῶν. Ἣν δὴ ἀκτῖνα οὔτε ἐννοῆσαι δυνατὸν, οὔτε εἰπεῖν, οὔτε ἄλλως πως θεωρῆσαι, διὰ τὸ εἶναι πάντων ἐξῃρημένην, καὶ προσλαμβάνειν μὲν πᾶσαν ἀποπεράτωσιν γνώσεως, καὶ οὐσίας, καὶ δυνάμεως· πάντων δὲ καὶ τῶν οὐρανίων νόων ὑπεριδρύεσθαι. Καὶ ὅρα πῶς κατασκευάζει τοῦτο. Ὅτι αἱ γνώσεις, τινῶν εἰσι γνώσεις, ἤγουν ὄντων· καὶ εἴ τινα ἀποπερατοῦνται γνωστὰ, ἅπερ εἰσὶ καὶ αὐτὰ ὄντα. Ἡ πάσης γοῦν οὐσίας, καὶ πάντων τῶν ὄντων ἐπέκεινα, πάντως καὶ γνώσεως πάσης ἐξῃρημένη ἐστίν. Ἰστέον δὲ ὅτι ἕτερον οὐσία, καὶ ἕτερον δύναμις· ἡ μὲν γὰρ τῶν καθ' αὑτὰ ὑφεστώτων, ἡ δὲ τῶν ἐν ἑτέρῳ τὸ εἶναι ἐχόντων ἐστίν.

perſpicuam comprobationem, intelligẽtiam ſiſtentes, ſcilicet circa Dei incomprehenſibilitatẽ, quę intellectus ceſſatione percipitur; in quo nimirum diuino radio omnes fines ſunt omnium cognitionũ: non enim ex parte, ſed confertim, & ſimul præextitit. Et hinc intelligitur, quomodo Apoſtolus ait, in Deo nos eſſe *ante mundi constitutionem*. Sciendum itaque, productionem vniuerſorum ſecundùm cauſam & principium ab eo pendere, quandoquidem res omnes per ipſum exiſtãt, probabiliter etiam ea, cùm futura erant, in ipſo quoque antè conſtitiſſe, vtpote ſciente, & quòd producet, & quando producet, vti dictum eſt; cùm omnia cognoſcat ante illorum generationem. Hunc vtiq; radium neque mente concipere nec oratione proloqui valemus, neque alio quocumque modo contueri, quòd ſit omnibus exemptus, & omnem quidem notionis & eſſentiæ & virtutis terminationem anticipet, ſupra omnes verò cæleſtes intelligentias collocetur. Et vide quomodo id probet. Quoniam cognitiones aliquorum ſunt cognitiones, v.g. rerum; & ſi aliqua definiuntur nota, quæ & ipſa res ſunt. Quod igitur omni eſſentiâ rebuſque omnibus eminentius eſt, vtique ab omni quoque cognitione eximitur. Sciendum porrò, aliud eſſe eſſentiam, & aliud virtutem: illa enim eſt eorum quæ per ſe ſubſiſtunt, hæc verò eorum quæ aliis inſunt.

1. Pet. 1, 20

Quomodo ſint omnia in Deo antequam in ſeipſis.

Εἰπὼν τὴν θεαρχίαν πάσης οὐσίας ἐξῃρημένην καὶ γνώσεως, ἀπορεῖ πῶς οὖν ὀνομασθήσεται (τὰ γὰρ ὀνόματα, δηλωτικά εἰσι πραγμάτων ὑποκειμένων) καὶ πῶς πραγματευθήσεται ὁ περὶ θείων ὀνομάτων λόγος ἡμῖν, εἰ κρείττων ἐστὶν, ὡς ἐῤῥέθη, καὶ παντὸς λόγου καὶ πάσης γνώσεως; καὶ εἰ νοῦ καὶ οὐσίας ἐπέκεινα, πῶς ὁ νοῦς ἐπιβαλεῖται, καὶ περιδράξεται; Αὕτη γάρ ἐστιν ἁπάντων περιληπτικὴ, ὡς δημιουργὸς, ὅτι τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῖ· καὶ συλληπτικὴ, ὡς προνοητικὴ· ἐν αὐτῇ γὰρ τὰ πάντα συνέστηκε· καὶ προληπτικὴ, ὅτι καὶ οἱ λόγοι πάντων, μᾶλλον δὲ τὰ πέρατα τῶν γνώσεων ἁπασῶν, ἐν αὐτῇ προϋφέστηκεν. Ἔστι δὲ πᾶσιν οὐχ ἁπλῶς καθόλου καὶ κυρίως ἄληπτος, ἀλλὰ αὐτοκαθόλου, καὶ αὐτοκυρίως, καὶ αὐτοπαντελῶς. Τὸ γὰρ αὐτοάπειρον, καὶ αὐτοκαθόλου ἄληπτον· καὶ οἷον τὸ ὑποκείμενον, τοιοῦτον καὶ τὸ ἴδιον. Καὶ οὔτε αἰσθήσει ὑποπίπτει, οὐδὲ γὰρ

Cùm dixiſſet diuinitatem omnem eſſentiam & cognitionem ſuperare, petit quomodo igitur nominari poſſit (nomina enim rerum ſubiectarum ſunt declaratiua) & quomodo de diuinis Nominibus à nobis ſermo concinnabitur, ſi, vti dictum eſt, & omnem ſermonem & omnem notionem excedat? & ſi ſit ſupra mentem & eſſentiam, quomodo mens eam attinget, aut apprehendet? Hæc enim vt creatrix omnia complectitur, quia cælum & terram implet; & comprehendit, in quantum prouidet, in ipsâ enim omnia conſiſtunt; & anticipat, quia rationes omnium, vel potiùs fines omnium notionum, in ipsâ præexiſtunt. Eſt autem omnibus non ſimpliciter omnino & propriè, ſed per ſe omnino, & per ſe propriè, & per ſe penitus incomprehenſibilis. Nam quod per ſe infinitum eſt, etiam per ſe omnino incomprehenſibile exiſtit: & quale eſt ſubiectum, talis etiam eſt proprietas. Neque etiam ſub ſenſum cadit,

§. 5.

Deus ſuper omnia, & in Deo omnia.

PARAPHRASIS PACHYMERÆ.

quoniam non eſt ſenſile; neque eius eſt imaginatio, quæ videlicet ſit ſenſilis alicuius enuntiatiua figuratio, fit enim imaginatio ex reliquiis quibuſdam ex ſenſationibus remanentibus, non habens ſolidas in aliquo imagines. Quomodo igitur imaginatione exprimi poſſit quod cerni nequit? Neque etiam eius eſt opinio, quæ quaſi ex coniecturâ aliquâ ſecundùm æſtimationem probabili formari poſſit: ſiquidem opinio eſt magis limitata quàm imaginatio, eſtque mentis ad vnum quid applicatio; quoniam hæc etiam ſine ratiocinatione rerum terminos apprehendit, ſicut intellectus per ſimplicem apprehenſionem, cùm imaginatio infinitam & indeterminatam habeat multitudinem, ſed neque etiam poteſt opinio ea quæ ſupra captum ſunt apprehendere. Neque etiam ſub nomen cadit: quomodo enim nominabitur quod ſuperat omne nomen? Neque ſub ſermonem: quomodo enim quod ineffabile eſt enuntiari poſſit? Neque ſub tactum, intellectilem videlicet, id eſt mentis: qui enim intelligibilibus & immaterialibus rebus mente incumbunt, videntur quodammodò ipſa tangere intelligendo qualia ſint, non ſecùs ac ſenſilia per tactum ſenſilem, Deum tamen ne quidem mente contingimus. Cùm itaque quatuor animæ virtutes, quæ cognoſcendi vi pollent, recenſuerit, ſcilicet ſenſum, imaginationem, opinionem, mentem, addit & reliquam ſcientiam, ſcilicet ſententiam; ſcientia enim fit per aliquas præexiſtentes notiones. Qualis autem Dei notio præexiſtat? quare neque ſub ſcientiam cadit. Quomodo igitur nominari poſſit, cùm & innominabilis ſit, neque vllâ notione compellari valeat: neque tantùm innominabilis, ſed & ſupra omne nomen ſit? Quod enim dicebamus, quando Theologicas informationes exponebamus, trinam illam vnitatem & ſimul bonum, & ſimul Deum, quid naturâ ſuâ ſit, neque verbis exprimi, neque cogitando capi poſſe. Et quid dico Deum inexcogitabilem nobis & inexplicabilem exiſtere? quin & cæleſtium quoque virtutum dignæ Angelis vniones, ſecundùm quas Deo coniunguntur quantum Angelos vniri Deo conuenit. Hæ, ſiue immiſſiones ſiue ſuſceptiones diuinæ bonitatis appellandæ ſint, ineffabiles & ignotæ exiſtunt. Per immiſſionem autem intelligenda eſt Dei * volitio indiuiſim diuiſa in rerum productarum vnitatem, id eſt in cu-

Deus inimaginabilis.

Quatuor ſunt inſtrumenta cognitionis.

Deus eſt inexcogitabilis.

* motio

αἰσθητόν· οὔτε φαντασίᾳ τινὶ τυπώσει δηλαδὴ ἀναγγελτικῇ αἰσθητοῦ νοός, γίνεται γὰρ φαντασία ἐκ μενόντων τινῶν ἐγκαταλειμμάτων, ἐξ αἰσθημάτων μὴ ἔχουσα ἐρηρεισμένας ἐπί τι τὰς εἰκόνας. Πῶς οὖν φαντασθήσεται τὸ ἀθέατον; Οὔτε δόξῃ, οἱονεὶ τοιᾷδέ τινι ὑπολήψει κατὰ τὸ δοκεῖν φαινομένῃ· εἰ γὰρ καὶ μᾶλλον τῆς φαντασίας ἡ δόξα πεπέρασται, καὶ ἔστι πρὸς τῷ ἑνὶ συνέργεια τοῦ νοός· ὅτι καὶ αὕτη ἐπιβάλλει ἀσυλλογίστως τοῖς τῶν πραγμάτων συμπεράσμασιν, ὥσπερ ὁ νοῦς καθ' ἁπλῆν ἐπιβολήν, τῆς φαντασίας πλῆθος ἄπειρον καὶ ἀόριστον ἐχούσης, ἀλλ' οὐχ οἷά τέ ἐστιν ἡ δόξα ἐπιβάλλειν τοῖς ὑπὲρ κατάληψιν. Οὔτε ὀνόματι ὑποπίπτει· πῶς γὰρ τὸ πάσης γνώσεως ἐπέκεινα ὀνομασθήσεται; οὔτε λόγῳ· πῶς γὰρ ῥηθείη τὸ ἄρρητον; οὔτε ἐπαφῇ, νοερᾷ δηλονότι, ὅ ἐστι νῷ· καὶ γὰρ οἱ τοῖς νοητοῖς ἐπιβάλλοντες τῷ νοΐ, δοκοῦσιν ὥσπερ ἁπτόμενοι αὐτῶν, νοεῖν ὅ,τι ποτέ εἰσιν, ὡς καὶ διὰ τῆς ἁφῆς τῶν αἰσθητῶν, τὰ αἰσθητά, ἐπὶ δὲ Θεοῦ, οὐδενὸς νοερῶς ἐπαφώμεθα. Εἰπὼν τοίνυν τὰς τέσσαρας γνωστικὰς δυνάμεις τῆς ψυχῆς, τὴν αἴσθησιν, τὴν φαντασίαν, τὴν δόξαν, τὸν νοῦν, τίθησι καὶ τὴν λοιπὴν ἐπιστήμην, δηλονότι τὴν διάνοιαν· ἡ γὰρ ἐπιστήμη, διά τινων * προϋπαρχουσῶν γνώσεων γίνεται. Ποία δὲ ἂν εἴη γνῶσις Θεοῦ προϋπάρχουσα; ὅθεν οὐδὲ ἐπιστήμῃ ὑποπίπτει. Πῶς οὖν ὀνομασθήσεται ἡ ἄκλητος καὶ μὴ καλουμένη τινὶ γνωρίσματι, καὶ μὴ μόνον ἄκλητος, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν ὀνομασίαν οὖσα; Ὅπερ γὰρ ἔφημεν, ἡνίκα τὰς θεολογικὰς ὑποτυπώσεις ἐξετιθέμεθα, τὴν τριαδικὴν καὶ ὁμοάγαθον καὶ ὁμόθεον ἑνάδα, ὅπερ ἐστὶ κατὰ φύσιν, οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαι δυνατόν. Καὶ τί φημι περὶ Θεοῦ, ὅτι ἀνεννόητος ἡμῖν καὶ ἀφθεγκτός ἐστιν; ἀλλὰ καὶ αὐταὶ αἱ τῶν οὐρανίων δυνάμεων ἀγγελοπρεπεῖς ἑνώσεις, καθ' ἃς ἑνοῦνται Θεῷ καθ' ὅσον πρέπει ἑνοῦσθαι Ἀγγέλους Θεῷ. Αὗται οὖν αἱ ἑνώσεις, ἃς εἴτε ἐπιβολάς, εἴτε παραδοχὰς χρὴ φάναι τῆς ἀγαθότητος τοῦ Θεοῦ, ἄρρητοι καὶ ἄγνωστοί εἰσιν. Ἐπιβολὴν δὲ νοητέον, τὴν εἰς τὸ καθ' ἓν τῶν παραγομένων μεριζομένην ἀμερῶς * θέλησιν τοῦ Θεοῦ, τουτέστιν εἰς τὴν ἑκά-

* γρ. κίνησιν

στου παραγωγήν. Ἀλλ' ἐπεὶ οὐ συμβιβάζονται καὶ αἱ παραδοχαὶ κατὰ τὴν τοιαύτην ἔννοιαν τῆς ἐπιβολῆς, ἄλλως νοητέον τὸ ῥητὸν ἐπὶ τῶν Ἀγγέλων, ὃ καὶ μᾶλλον, ὅτι καὶ ἐπιβολὴ καὶ παραδοχὴ τῶν Ἀγγέλων πρὸς τὸ Θεῖον λέγονται. Ἐπιβολὴ μὲν, καθ' ἣν ἐπιβάλλουσι κατὰ τὴν οἰκείαν ἀξίαν τῇ ἀγαθότητι τοῦ Θεοῦ· παραδοχὴ δὲ ἡ τῆς τοῦ Θεοῦ ἀγαθότητος αὐτοῖς ἀποκάλυψις. Αὗται γοῦν μὴ μόνον ἡμῖν εἰσι, καθὼς εἰσιν, ἄγνωστοι, ἀλλὰ καὶ τοῖς κατωτέροις Ἀγγέλοις, μόνοις δὲ τοῖς ἀνωτάτοις γινώσκονται, ἅτε ἠξιωμένοις τῶν κρειττόνων ἑνώσεων. Ταύταις ταῖς θείαις ἑνώσεσιν οἱ θεοειδεῖς νόες τῶν Θεολόγων καὶ Προφητῶν ἀγγελομιμήτως ἑνούμενοι, ἐπειδὴ καὶ οὕτω γίνεται τούτοις ἡ τοιαύτη ἕνωσις, ἀποπαύουσι δηλαδὴ κατὰ πάσης νοερᾶς ἐνεργείας· οὐδὲ γὰρ ἐν κινήσει Θεὸς, ἀλλὰ μᾶλλον ἐν ἠρεμίᾳ καὶ ἀποπαύσει ἡ θεία γνῶσις ἐνδάλλεται. Καὶ ἐκθεουμένοις διὰ καθάρσεως ὑμνοῦσι τὸ Θεῖον κυριώτατα ἐξ ἀφαιρέσεως ἣν δὴ καὶ ἀφαιρετικὴν θεολογίαν φασὶν, ὅτι οὐ σῶμα, οὐχ ἕξις, οὐ δύναμις, καὶ τὰ λογικὰ πάντα, καθὼς καὶ διὰ τῶν ἑξῆς σημαίνει, τοῦτο ἐλλαμφθέντες ὑπερφυῶς ἐκ τῆς τοιαύτης ἀρρήτου ἑνώσεως, ὅτι πάντων μὲν ἐστι τῶν ὄντων αἴτιον, αὐτὸ δὲ οὐδὲν τῶν ὄντων, πλὴν οὐχ ὡς μηδαμῇ μηδαμῶς ὂν, ἀλλ' ὡς πάντων ὑπερουσίως ἐξῃρημένον. Κυριωτάτην δὲ λέγει τὴν ἐξ ἀφαιρέσεως, πρὸς ἀντιδιαστολὴν τῆς καταφατικῆς· τί γὰρ οὐκ ἔστιν, οἴδαμεν· τί δέ ἐστιν, οὐκ οἴδαμεν.

Τὴν μὲν οὖν ὑπερουσιότητα καὶ ὑπερύπαρξιν τῆς ὑπεραγαθότητος, καὶ ὑπὲρ τὸ ἀγαθὸν γὰρ καὶ ὑπὲρ τὸ εἶναι, καὶ ὑπὲρ αὐτὴν τὴν ὕπαρξίν ἐστι. Ταῦτα γὰρ πάντα, παραγωγῆς σημασίαν ἔχουσιν· ὑπὲρ δὲ πᾶσαν παραγωγὴν τὸ Θεῖόν ἐστι· τὸ γοῦν Θεῖον ὅ, τι ποτέ ἐστιν, οὐδενὶ θεμιτὸν ὑμνῆσαι τῶν ὅσοι εἰσὶν ἐρασταὶ τῆς ὄντως ἀληθείας, οὔτε ὡς λόγον, οὔτε ὡς δύναμιν, οὔτε ὡς τἄλλα τὰ ἀπηριθμημένα· ὑπὲρ ταῦτα δὲ πάντα ἐστὶ, καὶ ὑπεροχικῶς ἀφῃρημένον ἐστὶ, καὶ πάσης ἕξεως, καὶ πάσης κινήσεως, καὶ πάντων ὅσα τούτοις συνείλεκται. Ἕξις μὲν οὖν ἐστι διάθεσις ἔμμονος· κίνησις δὲ, τὸ τῇ ἠρεμίᾳ ἀντιδιαστελλόμενον, κατὰ πολλῶν τιθέμενον· *ἐξάγει γὰρ ἡ κίνησις, ζωὴ δὲ, τὸ ταῦτα δεικνύον ἐνεργά·

*ἐξάγει.

PARAPHRASIS PACHYMERÆ.

iuslibet productionem. Verùm cùm susceptiones non eodem sensu accipiantur quo immissiones, aliter intelligendum est hoc dictum de Angelis, præsertim cùm immissiones & susceptiones Angelorum ad Deum referantur. Immissio quidem est, secundùm quam incumbunt pro suâ dignitate bonitati Dei: susceptio verò est ipsa reuelatio diuinæ bonitatis quæ ipsis exhibetur. Hæ itaque non solùm nobis sunt ignotæ, vti reuerà sunt, sed etiam Angelis inferioribus: à solis autem supremis cognoscuntur, vtpote dignis præstantioribus vnitionibus. Hisce diuinis vnionibus ad Angelorũ imitationem vnitæ sunt mentes illæ deiformes Theologorum ac Prophetarum, cumque talis eis vnio obtigerit, vtique cessant secundùm omnem intellectualem operationem: non enim in motione Deus, sed magis in silentio & quiete diuina cognitio instillatur. Et qui deificati sunt propter puritatem, propriissimè Deum laudant ex ablatione, quam & negantẽ Theologiam vocant; quia non corpus, non habitus, non virtus, ceteraque rationalia, existit, sicut in sequentibus declarat, hoc ex istiusmodi ineffabili vnione supernaturaliter illustrati, ipsum quidem rerum omnium esse causam, nihil autem earum existere: non tamen quasi nihil omnino penitus existat, sed quòd ab omnibus superessentialiter exemptus sit. Propriissimam porrò dicit hanc ex ablatione ad differentiam istius affirmantis: quid enim non sit, scimus, sed quid existat, ignoramus.

Quid sit immissio, quid susceptio.

Deus in silentio magis cognoscitur.

Scimus quid Deus non sit, non autem quid sit.

Illam igitur supraquam essentiam, & supraquam existentiam, supraquam bonitatis, quoniam & supra bonitatem, & supra esse, & supra ipsam existentiam existit. Hæc enim omnia productionis significationem habent, Deus autem est supra omnem productionem. Deus itaque quid sit nemini illorum qui veræ veritatis amatores existunt, prædicare fas est: neque vt rationem, neque vt virtutem, neq; vt alia, quæ sunt recensita; sed est super hæc omnia, & per excellentiam exemptus, & ab omni habitu, & ab omni motu, & ab omnibus quæ circa hæc versantur. Siquidem habitus est qualitas immanens: motus autem est id quod opponitur quieti; quæ oppositio in pluribus consistit: motus enim elicit, vita verò hæc ostendit

Nihil propriè de Deo prædicari.

Quid sit habitus, motus, vita,

 efficacia:

PARAPHRASIS PACHYMERÆ.

imaginatio, opinio, sententia, intellectio, statio, quies.

efficacia: imaginatio est id quod in intellectu species efformat: opinio autem est persuasa coniectura: sententia est scientificus animi habitus: intellectio est mentis operatio: statio est quidem etiam quies quæ motui opponitur, verumtamen quoque idem est quod stabilitas, pro quâ ex Græcorum vsu accipitur. Illi enim statuebant, & quibusdam ritibus confirmabant eos qui olim apud eos dij habebantur. Ἕνωσις seu vnio est mentis attactus, & quasi cognitio: terminus, quod non vt pars est in terminato, vt terminus lineæ est punctum; & terminus temporis est nunc, seu instans; instans autem est in tempore, & non tamquam pars temporis: nam pars temporis tempus existit. Infinitas est infiniti coëxtensio. Hæc omnia non sunt essentia, sed circa essentiam videntur. Super hanc autem ipsam essentiam rursum Deus eminet, & supra essentiam est, & supra Deum. Quoniam ipse quidem est essentia bonitatis, & non simplici ratione bonitas; creata vero omnia quæ sunt, etiam ipsius sui esse causam habent Deum, in hoc ipso esse, quod diuinum numen eminenter habet tamquam essentia bonitatis, per quam vtique bonitatem etiam omne quod est produxit. Atque hinc soluuntur fatuæ opiniones eorum qui ausi sunt dicere, insitam esse Deo naturâ quadam vim creandi, sicut insitum est araneolis texere: per solam enim bonitatem ineffabili volũtate Deus produxit creaturas. Cùm hæc itaque, quòd etiam in ipso sint per suum esse, causa rerum sit Deus, eius prouidentia, cùm nulla sit causa sublimior à quâ laudari possit, ex effectis laudanda est. Quam ob causam? quia & circum ipsam sunt omnia, tamquam circum causam, & conditricem, & principium, ac si quis explicationis gratiâ dicat, sicut circumferentia circum centrum, & propter hanc, tamquam finem omnium, & ipsa est ante vniuersa. Principium enim & finis omnium est Deus, verumtamen supereminenter & effectiuè: siquidem non cum ipso, sed in ipso cuncta consistunt; & eo quòd Deus est, omnium quoque productio & subsistentia existit. Hunc omnia appetunt; spiritalia quidem, vt Angeli, & rationalia, vt homines, per cognitionem diuinæ prouidentiæ pro captu suo Deum appe-

Quid sit vnio, terminus, instans.

Deus laudandus ex effectis.

Quomodo Deum omnia appetant.

φαντασία δὲ, τὸ ἐν τῇ διανοίᾳ ἀνατυπωτικόν· δόξα δὲ, πεπληροφορημένη ὑπόληψις· διάνοια, ἡ ἐπιστημονικὴ ἕξις τῆς ψυχῆς· νόησις, ἡ τοῦ νοὸς ἐνέργεια· στάσις, ἔστι μὲν καὶ ἡ ἠρεμία πρὸς τὴν κίνησιν, ἀντιδιαστελλομένη, ἔστι δὲ καὶ τὸ αὐτὸ τῇ ἱδρύσει, ἥτις παρείληπται ἐκ τῆς τῶν Ἑλλήνων συνηθείας. Ἐκεῖνοι γὰρ ἵστων καὶ ἵδρυον διά τινων τελετῶν τοὺς δοκιμαζομένους πρότερον θεοὺς παρ' αὐτοῖς. Ἕνωσις, ἡ τοῦ νοὸς ἐπαφὴ καὶ οἱονεί τις γνῶσις· πέρας, τὸ οὐχ ὡς μέρος ἐν τῷ περατουμένῳ ὄν, ὡς πέρας γραμμῆς, ἡ στιγμή· καὶ πέρας τοῦ χρόνου, τὸ νῦν· τὸ δὲ νῦν, ἐν τῷ χρόνῳ, καὶ οὐχ ὡς μέρος τοῦ χρόνου· τὸ γὰρ μέρος τοῦ χρόνου, χρόνος. Ἀπειρία, ἡ τοῦ ἀπείρου συμπαρέκτασις. Ἀ ταῦτα, οὐκ οὐσία εἰσὶν, ἀλλὰ περὶ οὐσίαν ὁρᾶται. Ταύτης δὲ πάλιν τῆς οὐσίας τὸ Θεῖον ὑπέρκειται, καὶ ὑπερούσιόν ἐστι καὶ ὑπέρθεον. Ἐπειδὴ δὲ αὐτὸ μέν ἐστιν ἀγαθότητος ὕπαρξις (καὶ οὐχ ἁπλῶς ἀγαθότης, τὰ δὲ κτίσματα πάντα ὄντα, καὶ κατὰ τὸ εἶναι αἰτίαν ἔχουσι τὸν Θεὸν, ἐν τούτῳ αὐτῷ τῷ εἶναι, ὅπερ ἔχει ἐξῃρημένως τὸ Θεῖον, ὡς ὕπαρξις ἀγαθότητος) δι' ἣν δὴ ἀγαθότητα καὶ τὸ πᾶν παρήγαγε. Καὶ ἐκ τούτων αἱ ἀνόητοι δόξαι ἐκλύονται τῶν τολμησάντων λέγειν, φύσει τινὶ ἐνεῖναι τὸ δημιουργικὸν τῷ Θεῷ, ὡς καὶ τοῖς ἀραχνίοις τὸ ὑφαίνειν· διὰ γὰρ μόνην ἀγαθότητα τὰ κτίσματα παρήγαγεν ὁ Θεὸς ἀρρήτῳ θελήσει. Ἐπεὶ οὖν ταῦτα, καὶ ἐν αὐτῷ τῷ εἶναι αἰτία τῶν ὄντων ἐστὶν ὁ Θεὸς, τὴν τούτου πρόνοιαν, ἐπεὶ ταύτης τῆς αἰτίας ἀνωτέρα αἰτία οὐκ ἔστιν, ἐξ ἧς ὑμνηθήσεται, ἐκ τῶν αἰτιατῶν ὑμνητέον. Διὰ τί; ὅτι καὶ περὶ αὐτὴν πάντα ὡς περὶ αἴτιον, καὶ δημιουργὸν, καὶ ἀρχὴν, ὡς περὶ τὸ κέντρον ἡ περιφέρεια, ὡς ἄν τις εἴποι διὰ τὴν τῶν λεγομένων σαφήνειαν· καὶ αὐτῆς ἕνεκα, ὡς τέλους πάντων· καὶ αὐτὴ πρὸ πάντων ἐστίν. Ἀρχὴ γὰρ καὶ τέλος τῶν ἁπάντων Θεὸς, πλὴν ὑπερεξῃρημένως καὶ δημιουργικῶς· καὶ γὰρ οὐ σὺν αὐτῷ, ἀλλ' ἐν αὐτῷ τὰ πάντα συνέστηκε· καὶ ἐν τῷ εἶναι τὸ Θεῖον ἡ παραγωγὴ καὶ ὑπόστασις ἁπάντων ἐστί. Τούτου πάντα ἐφίεται, τὰ μὲν νοερὰ, ἤγουν οἱ Ἄγγελοι· καὶ τὰ λογικὰ, ἤγουν οἱ ἄνθρωποι, γνωστικῶς ἐπιβάλλοντα, τῇ τοῦ Θεοῦ προνοίᾳ ἀναλόγως ἐφίενται

tũt

PARAPHRASIS PACHYMERÆ.

τοῦ Θεοῦ. Τὰ δὲ ὑφειμένα τούτων, ἤγουν τὰ ἄλογα, ὧν ἀλόγων ἡ ψυχὴ ἐκ τῶν στοιχείων καὶ τοῦ ἐνύλου πυρὸς συνεστῶσα, ἐν πνεύματι ἐνύλῳ ἔχει τὸ εἶναι. ταῦτα μόνον ἐκ τῆς αἰσθήσεως συνελαυνόμενα εἰς τὸ πεινῆν καὶ εἰς τὸ διψῆν, ἐφίενται εἰκότως αἰσθητῶς τοῦ χορηγοῦντος, ὡς τὸ, Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Τἆλλα μέντοι ὅσα τὴν ζωτικὴν μόνην ἀναισθήτως ἔχει κίνησιν, ὡς τὰ φυτὰ καὶ αἱ βοτάναι, ἅ τινα καὶ ζωτικὸν πνεῦμα μόνον συνιστῶν ἔχουσι, τὴν ἑαυτῶν οὐσίαν ἄνευ αἰσθήσεως· ἃ δὴ καὶ πολλάκις στερούμενα τοῦ φυσικοῦ πνεύματος ἀποξηραίνονται, δι' οὗ κινοῦνται πρὸς αὔξησιν καὶ εὐθαλίαν. Ἐφίενται δὲ ταῦτα τῆς θείας προνοίας, ἐφ' ᾧ συνεστάναι καὶ ἀνθεῖν· ὅθεν καὶ ταῦτα παραλαμβάνονται ἐν τῷ ρμη. Ψαλμῷ, αἰνεῖν τὸν Θεὸν διὰ τῆς αὐτῶν συστάσεως. Τὰ δὲ ἄψυχα, ἐν τῷ ἔχειν ἐν ἑαυτοῖς τὸ ὅλως εἶναι, ἢ ἐν τῷ τοιῶσδε ἢ τοιῶσδε εἶναι· τοῦτο γὰρ εἶπεν οὐσιώδη δὲ ἑκτικὴν ἐπιτηδειότητα, ὡς τοῦ λίθου ἐστὶ τὸ κάτω φέρεσθαι· καὶ τοῦ πυρὸς, τὸ ἄνω· δὲ τοῦ ὕδατος, τὸ ἐν παντὶ σχηματίζεσθαι.

Τοῦτο εἰδότες οἱ Θεολόγοι. Τοῦτο, ποῖον; Ὅτι ἀδύνατόν ἐστιν ἐκ προτέρας τινὸς αἰτίας καὶ γνώσεως τὸ Θεῖον ὑμνεῖσθαι, εἰ μὴ ἐκ τῶν αἰτιατῶν· καὶ ὡς ἀνώνυμον ὑμνοῦσιν, ὅτι ἐξῃρημένον πάντων ἐστί· καὶ πάλιν ἐκ παντὸς ὀνόματος, ὅτι δὲ αἰτιατὰ τὰ πάντα ἐκ τούτου αἰτίου. Ἀνώνυμον μὲν, ὡς ἐν τῇ βίβλῳ τῶν Κριτῶν εὕρηται, λέγων πρὸς τὸν ἐρωτῶντα, Καὶ ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου, καὶ αὐτό ἐστι θαυμαστόν; Πῶς θαυμαστὸν, ἐξηγούμενος λέγει, ὅτι ὑπὲρ πᾶν ὄνομα, καὶ ὑπερκείμενον παντὸς ὀνομαζομένου ὀνόματος, εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι. Πολυώνυμον δὲ, ὡς ὅταν καὶ αὐτὸν εἰσάγωσι λέγοντα, ὡς ἐν τῷ Σινᾷ, Ἐγώ εἰμι ὁ ὤν· καὶ ἐν ἑτέροις, ἡ ζωὴ, τὸ φῶς, ὁ Θεὸς, ἡ ἀλήθεια, ὡς ἐν Εὐαγγελίοις, Ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀλήθεια· δὲ πάλιν, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· καὶ ἐν τῷ πρὸς τὸν Ἰακὼβ χρηματισμῷ, Ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου. Καὶ πάλιν αὐτοὶ οἱ Θεολόγοι περὶ αὐτοῦ λέγουσιν ἐκ τῶν αἰτιατῶν τἆλλα τε καὶ τὸ αἰώνιον· τὸν γὰρ τῶν αἰώνων ποιητὴν, αἰώνιόν φασιν· αἰώνιον δέ ἐστι, τὸ αἰῶνος μετέχον. Καὶ γοῦν φησιν ὁ Ἡσαΐας· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς. Ὁ δὲ Θεὸς οὐ δεύτερός ἐστιν αἰῶνος, ἵνα καὶ μετέχῃ αὐτοῦ· ἀλλ'

tunt. Quæ verò his inferiora sunt; scilicet irrationalia, quorum irrationalium anima ex elementis & materiali igne constat, in spiritu materiali habent esse: hæc solùm ex sensu compulsa ad esuriendum & sitiendum, meritò desiderant sensili modo eum qui præbeat, iuxta illud, *Omnia à te expectant, vt des illis escam ipsorum in tempore opportuno.* Psal.144, 15.
Porrò alia, quæ solum vitalem sine sensu motum habent, sicut plantæ & herbæ, quæ vitalem spiritum solùm consistentẽ habent, & suam essentiam sine sensu, quæ vtique frequenter arescunt, naturali spiritu priuata, quo ad accretionem & germinationem impelluntur. Appetunt etiam hæc diuinam prouidentiã, vt consistant, & floreant, vnde etiam hæc assumuntur in Psal.148. ad laudandum Deum propter ipsorum consistentiam. Inanima verò, eò quòd omnino in se esse habeant, vel tale aut tale esse: hoc enim appellauit substantialẽ ac habitualem aptitudinem: qualis est lapidi motus deorsum, & igni sursum, & aquæ omnem admittere figuram.

§. 6. Hoc scientes Theologi. Quale illud? quòd nimirum impossibile sit, ex priori aliquâ causâ notionéve Deum collaudare, sed tantùm ex effectis, & tamquam nomine carentem laudant, quod ab omnibus exemptus sit; & rursum, ex omni nomine, quod etiam omnes effectus ex hac causâ sint. *Deus quomodo innominabilis.* Innominabilem quidem, vt in libro Iudicum reperitur, cuidam interroganti dicere: *Quare interrogas nomen meum, & hoc est mirabile?* Iud.13,18
Quomodo mirabile sit explicans, ait; quoniam *super omne nomen*, & superat *omne nomen quod nominatur* siue *in hoc sæculo*, siue *in futuro.* Philip.2,9. Ephes.1,21
Multinomium verò, vt quando etiam ipsum inducunt dicentem, vt in Sina: *Ego sum qui sum*; *Quomodo Deus multinomius.* Exod.3,14
& alibi, vita, lumen, Deus, veritas, sicut in Euangeliis, *Ego sum vita & veritas:* Ioan. 14,6
& rursum, *Ego sum lux mundi:* Ioan.8,12.
& in oraculo ad Iacob, *Ego sum Deus patris tui.* Gen.28,13
Et rursum ipsimet Theologi prædicant ex effectis sæcularem: nam conditorem sæculorum sæcularem vocant: sæculare autem est id quod sæculi particeps est. Atque Isaias ait: *Deus sempiternus* [seu secularis] *qui creauit terminos terræ.* Isa.40,28
Deus autem non est posterior sæculo, vt eius etiam particeps sit, sed

PARAPHRASIS PACHYMERÆ.

conditor sæculorum. Senij expertem dicit, secundùm illud, *Tu autem idem ipse es, & anni tui non deficient.* & iterùm; vt magnitudine omnia superantem: cælum enim & terram implet. & vt in aurâ tenui, iuxta quod dicitur in libris Regum: *Sed sibilus auræ tenuis, & ibi Dominus.* Atqui & in mentibus eum esse dicunt, & in animis, & in corporibus, iuxta illud, *Et inhabitabo in illis, & inambulabo*, & in vniuerso; & eumdem simul in mundo, vt quando in mundo esse dicitur; & circa mundum, vt quando in omni; & supra mundum, vt quando ab vniuerso comprehendi posse negatur; & supracælestem, suprasubstantialem, iuxta illud, Supra cælum gloria Domini; & iterùm solem iustitiæ, & similia; & lapidem ex monte abscissum, & petram scandali, & ex effectis, omnia quæ sunt, & nihil eorum quæ sunt.

Psal.101, 28. 3.Reg.19, 12. 2.Cor.6, 16. Ioan.1,10.

§. 7. Sic igitur ei qui omnium rerum causa est, & super omnia, congruit carere nomine, in quantum super omnia est, & nihil horum. Et rursus ei congruunt omnia rerum nomina, in quantum est causa omnium, omniaq; ipsum pro suo captu participant, vt sit perfectè regnum vniuersorum, dignitate quidem omnibus antecellens, & à nemine nomen accipiens; prouidentiâ verò complexúque suo in illis existens, & ab illis nominatum. Omnia enim ab ipso pendent, tamquam à causâ quidem & principio, omnibus essentiam suppeditante; tamquam à fine verò, vt qui illorum esse continet. Et ipse est, vt ait Scriptura, *omnia in omnibus*, qui cuncta facit subsistere, tamquam principium & finis: non quasi alius quidem incipiat, ipse verò perficiat, vel quasi ipsa det initium, & ad alium remittat, qui perficiat. Ipsamet est quæ continet & custodit, quasi domicilium exsistens & sacrum habitaculum. Est hęc phrasis Græcanica; conuertit enim ad se creaturam, dicens: *Manete in me.* & iterùm: *Qui manducat meam carnem, & bibit meum sanguinem, in me manet.* Quemadmodum enim sumus velut templum eius, iuxta illud, *Inhabitabo in illis, & inambulabo:* ita etiam ipse domus nostra est. Rectè autem statim subiunxit *vnitè.* Cùm enim dixisset ipsum esse omnia, & in ipso omnia; ne quis existimaret omnia in Deo aceruatim circumferri, atque inde in corporeas quasdam diuisas &

Deus omnia in omnibus. 1.Cor.15, 28. Ioan.15,4. Ioan.6,57. 2.Cor.6,16

αἰώνων ποιητής. Α᾽γήρω δὲ λέγει, κατὰ τὸ, Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· καὶ πάλιν, ὡς ἐν μεγέθει πάντων ὑπερέχοντα· τὸν οὐρανὸν γὰρ καὶ τὴν γῆν πληροῖ· καὶ ὡς ἐν αὔρᾳ λεπτῇ, κατὰ τὸ εἰρημένον ἐν ταῖς Βασιλείαις, Α᾽λλὰ καὶ φωνὴ αὔρας λεπτῆς, κἀκεῖ ὁ Κύριος. Καί γε καὶ ἐν νόοις αὐτὸν φασι, καὶ ἐν ψυχαῖς, καὶ ἐν σώμασι, ὡς τὸ, Ε᾽νοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἐν τῷ παντὶ, καὶ ἅμα τὸν αὐτὸν ἐγκόσμιον, ὅτε λέγεται ἐν τῷ κόσμῳ εἶναι· περικόσμιον δὲ, ὅτε ἐν τῷ παντί· καὶ ὑπερκόσμιον, ὅτε ἀχώρητος τῷ παντὶ λέγεται· καὶ ὑπερουράνιον, καὶ ὑπερούσιον, ὡς τὸ, Υ᾽πὲρ τὸν οὐρανὸν ἡ δόξα Κυρίου· καὶ πάλιν ἥλιον δικαιοσύνης, καὶ τὰ τοιαῦτα· καὶ λίθον τμηθέντα ἐξ ὄρους· καὶ πέτραν σκανδάλου, καὶ πάντα τὰ ὄντα ἐκ τῆς αἰτίας, καὶ οὐδὲν τῶν ὄντων.

Οὕτως οὖν τῇ πάντων αἰτίᾳ καὶ ὑπὲρ πάντα οὔσῃ, καὶ τὸ ἀνώνυμον ἐφαρμόσει, καθ᾽ ὃ ὑπὲρ πάντα ἐστὶ, καὶ οὐδὲν τούτων. Καὶ πάλιν, πάντα ἐφαρμόσει τὰ τῶν ὄντων ὀνόματα, καθ᾽ ὃ αἰτία πάντων ἐστὶ, καὶ μετέχουσιν αὐτῆς ἀναλόγως τὰ πάντα, ἀκριβῶς οὔσης ἀπάντων βασιλείας, ὡς τῷ μὲν ἀξιώματι ὑπεξῃρημένης, καὶ μὴ ὑπό τινος ὀνομαζομένης· τῇ δὲ προνοίᾳ καὶ τῇ συνοχῇ ἐντὸς οὔσης, καὶ ἀπ᾽ αὐτῶν ὀνομαζομένης. Πάντα γὰρ αὐτῆς ἐξήρτηται ὡς αἰτίας· καὶ ἀρχῆς μὲν, ὡς τὸ εἶναι παρεχομένης· πέρατος δὲ, ὡς τὸ εἶναι συνεχούσης. Καὶ αὐτή ἐστι, κατὰ τὸν θεῖον Α᾽πόστολον, τὰ πάντα ἐν πᾶσιν, ὑποστάτις πάντων, καὶ ἀρχικὴ, καὶ τελειωτική· οὐκ ἄλλου μὲν ἀρχομένου αὐτὴ τελειοῦσα, οὐδ᾽ αὐτὴ ἀρχομένη καὶ εἰς ἄλλον παραπέμπουσα τὸν τελειώσαντα. Α᾽υτή ἐστι καὶ ἡ συνέχουσα, καὶ ἡ φρουροῦσα, καὶ ἑστία οὖσα οἱονεὶ ἱερά τις οἴκησις. Ε᾽λληνικὴ δὲ ἡ λέξις· ἐπιστρέφει γὰρ πρὸς ἑαυτὴν τὴν κτίσιν, λέγουσα, Μείνατε ἐν ἐμοί· καὶ πάλιν, Ο῾ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει. Ω῞σπερ γὰρ ναὸς αὐτοῦ ἐσμὲν, κατὰ τὸ, Ε᾽νοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· οὕτω καὶ αὐτὸς οἶκος ἡμῶν ἐστι. Καλῶς δὲ εὐθὺς ἐπήγαγε τὸ, Η῾νωμένως. Ε᾽πειδὴ γὰρ εἶπεν, αὐτὸν εἶναι πάντα, καὶ ἐν αὐτῷ τὰ πάντα, ἵνα μὴ νοήσῃ τις ἅπαντα σωρηδὸν ἐν τῷ Θεῷ συμφέρεσθαι, ἐντεῦθεν δὲ εἰς σωματικὰς ὑπονοίας ἐμπέσῃ, μερισμούς τινας καὶ

συνθέ-

συνθέσεις, θεραπεύων τὴν ὑπόνοιαν, φησὶν Ἡνωμένως, οἱονεὶ ἀμερῶς, καὶ ἐν τῇ οἰκείᾳ ἑνάδι, μᾶλλον δὲ, καὶ ὑπὲρ τὴν ἑνάδα, μένουσα οὐσία τῶν πάντων ἐστίν· ἀλλὰ καὶ Ἀσχέτως, ἀντὶ τοῦ ὑπ' οὐδενὸς κατεχομένη, ἢ περιγραφομένη· ἐξῃρημένως δὲ μᾶλλον, ἔξω γάρ ἐστι τῶν ἁπάντων. Οὐ γὰρ μόνον αἰτία ἐστὶ συνοχῆς τῶν ἁπλῶς ὄντων, ἢ ζωῆς τῶν ζώντων, ἢ τελειώσεως τῶν νοερῶν καὶ λογικῶν οὐσιῶν· μένει δὲ ἔξω τούτων, ἵνα ἀπὸ τούτων μόνων ὀνομάζοιτο, συνοχεὺς τυχὸν, ζωὴ, καὶ τελείωσις· ἢ καὶ ἀφ' ἑτέρας προνοίας, δημιουργὸς ἴσως, παντεπόπτης, φιλάνθρωπος, παντοκράτωρ, καὶ τὰ τοιαῦτα, ἃ δὴ ἐκ τῆς αἰτίας καὶ τῆς προνοίας ὀνομασθήσονται· ἀλλ' ἐπεὶ καὶ πάντα ὄντα ἁπλῶς καὶ ἀσυνθέτως, καὶ ἀπεριορίστως, καὶ ἀκρατήτως ἐν ἑαυτῇ μὴ μόνον συνέχει, ἀλλὰ καὶ προείληφε ταῖς ἀγαθότησι τῆς παναιτίου προνοίας· αὐτὴ γάρ ἐστιν ἡ καλοῦσα τὰ μὴ ὄντα ὡς ὄντα. Ἐναρμονίως ἄρα καὶ καταλλήλως, ἐκ πάντων τῶν ὄντων ὑμνεῖται καὶ ὀνομάζεται, φῶς, ὕδωρ, πῦρ, δρόσος, νεφέλη, καὶ τὰ τοιαῦτα.

Καὶ δὴ μὴ μόνον ταύτας τὰς θεωνυμίας οἱ Θεολόγοι δοξάζουσι τὰς τῶν παντελῶν προνοιῶν τῶν προνοουμένων, οἷον τὸ βασιλεὺς, τὸ ποιητὴς, τὸ παντοκράτωρ· ταῦτα γὰρ τῶν κοινῶν προνοιῶν. Καὶ πάλιν, τὰς ἀπὸ τῶν μερικῶν προνοιῶν, ὡς τὸ, Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων, καὶ Βασιλεὺς τῶν βασιλευόντων· ταῦτα γὰρ τῶν μερικῶν εἰσι προνοιῶν, καὶ ἐπί τισι. Μὴ μόνον οὖν τὰς ἀπὸ τούτων θεωνυμίας δοξάζουσιν, ἀλλὰ καὶ ἀπὸ τινῶν ἐστιν ὅτε θείων φασμάτων, οἱονεὶ τῶν ἐν συμβόλοις ἀποκαλύψεων τῶν ἐν τοῖς ἱεροῖς ἀνακτόροις, ἤγουν ναοῖς ἐμφαινομένων· ἀνάκτορα γὰρ ἐκάλουν οἱ Ἕλληνες, τὰ παρ' αὐτοῖς θεῶν τεμένη. Ὀνομάζουσι γοῦν τὴν ὑπέρφαη ἀγαθότητα, καὶ τύπους ἀνθρωπίνους, ἢ πυρίνους, ἢ ἠλεκτρίνους περιτιθέασιν, ὡς ἐν τῷ Ἰεζεκιὴλ εὕρηται. Καὶ πάλιν μέλη ἀνθρώπινα λέγουσιν, ὡς ἐν τοῖς Ψαλμοῖς, καὶ ἐν ἑτέραις Γραφαῖς, ὡς τὸ, Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι· καὶ τὸ, Εἰς ὦτα Κυρίου σαβαώθ· καὶ τὸ, Ἡ θρὶξ αὐτοῦ ὡσεὶ ἔριον· καὶ τὸ, Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά· καὶ τὸ, Αἱ χεῖρές σου ἐποίησάν με· καὶ τὸ, Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι· καὶ, Ἐν τῇ σκέπῃ τῶν πτερύγων σου σκεπάσεις

PARAPHRASIS PACHYMERÆ.

compositas opiniones incideret, suspicionem hanc corrigens, ait *vnitè*, quasi non partim, & in propriâ vnitate, quin potiùs supra vnitatem, permanens est omnium domicilium; quinetiam *incomprehensè*, id est à nemine comprehensus aut circumscriptus, vel potiùs *eximiè*, nam est extra omnia. Siquidem non tantùm causa est complexionis eorum quæ simpliciter sunt, vel vitæ viuentium, vel perfectionis spiritalium ac rationalium essentiarum, quasi extra has maneat, vt ab his solis nominetur, continens v.g. vita, & perfectio; vel ab aliâ prouidentiâ, v.g. creator, cuncta cernens, hominum amator, omnipotens, & cetera; quæ nomina partim à causâ, partim à prouidentiâ desumuntur: sed quòd vniuersa simpliciter, & incompositè, & indefinitè, & inuictè in semetipso non solùm contineat, verùm etiam anticiparit, bonitatibus ipsius omnium effectricis prouidentiæ. Hæc enim est quæ *vocat ea quæ non sunt*, Rom 4,17.
tamquam ea quæ sunt. Congruè igitur vicissim quoque ex rebus omnibus laudatur, ac nominatur lux, aqua, ignis, ros, nubes, & cetera.

§. 8. *Quæ sint Dei nomina prouidentialia.*

Atqui Theologi non hæc solùm diuina nomina celebrant, quæ ab vniuersalibus rerum prouisarum prouidentiis ducuntur, vt rex, creator, omnipotens; hæc enim nomina sunt diuinæ prouidentię in genere. Et rursum quæ à particularibus prouidentiis sumuntur, vt Deus deorum, & Dominus dominorum, & Rex regum: hæc enim nomina particularium sunt prouidentiarum, & quorumdam. Non igitur ab his dumtaxat diuina nomina laudant, sed etiam à quibusdam diuinis visis, quæ v.g. aliquando in sacris templis symbolicè reuelata sunt, id est in templis apparuerunt: *ἀνάκτορα* enim Gentiles vocabant deorũ suorum delubra. Nominant itaque supraquam lucidam bonitatem, & humanas figuras, siue igneas, siue electrinas ei circumponunt, sicut in Ezechiele reperitur. Et rursus humana membra referunt, vt in Psalmis
aliisque Scripturis: iuxta illud, *Oculi eius su-* Psal. 10,5.
per pauperem respiciunt. & illud: *In aures* Iacob. 5,4.
Domini sabaoth. & illud: *Capilli eius quasi* Dan. 7,9.
lana. & illud: *Facies Domini super facien-* Psal. 33.17
tes mala. & illud: *Manus tuæ fecerunt* Iob 10.8.
me. & illud: *Scapulis suis obumbrabit tibi.* &: *Sub vmbrâ alarum tuarum proteges* Psal. 90,4.
me. Psal. 16,8.

PARAPHRASIS PACHYMERÆ.

me. & illud: *Brachium tuum seruauit eos.*
& posteriora Domini, quibus Moyses di-
Psal.88. gnus est habitus. & : *Audierunt vocem Do-*
Exo.33,23 Genes.3,8. *mini deambulantis in paradiso.* Rursus co-
Psal.64,12 ronas circumponunt, iuxta illud, *Bene-*
dic coronæ benignitatis tuæ; & sedes, iuxta il-
Heb.1,8. lud, *Thronus tuus Deus in sæculum sæculi*; &
Psal.74,9. calices, iuxta illud, *Calix Domini in manu*
Prou.9. *eius*; & crateras, iuxta illud, *Miscuit crateram*
suam. de quibus dicendum in symbolicâ Theologiâ. Nunc autem quæ præsentis instituti sunt colligentes, & ea quæ dicta sunt quasi regulá proponentes, Deum ex iis quæ sunt, & affirmatiuè & negatiuè nominamus. Affirmatiuè quidem, tamquam causam ex effectis; negatiuè verò, vt qui nihil sit eorum quæ sunt. Ad declarationem spiritalium Dei nominum veniamus. Et cùm in omni Theologiâ nobis lex sacra præcipiat, sanctè videnda, sanctè proferenda, sanctè audienda esse sacra; sic deiformes contemplationes diuinâ mente intueamur, & sacras aures sacris diuinorum nominum interpretationibus adhibeamus, Eloquia sancta sanctis auribus instillantes, & à profanis irrisionibus & illusionibus vindicátes eos, quos Gentiles illi crassi & carnales, dum audirent, irridebant. Quin imò, cùm quoddam aduersus Deum bellum censeatur, si res diuinæ cum illusionibus & despectibus audiantur, si fieri possit, eos qui sunt tales, ab hoc cum Deo bello reuocemus. Hæc itaque tibi seruanda sunt, optime Timothee: habes enim Apostolum admonitorem, quomodo non oporteat incapacibus de rebus istiusmodi in veritate verbum loqui. Mihi autem det Deus, innominabilis diuinitatis nomina diuina, quæ ex bonis eius operibus sumuntur, Deo dignè eloqui ac recensere. Omnia autem opera Dei bona sunt, & propter bonitatem fiunt, etsi aliqua nobis non sint delectabilia; quoniam in iis quibus peccamus iustè punimur. quod vtique est summæ Dei bonitatis, cùm ipsa pœna sit benignitatis, secundùm D. Gregorium: & non auferat Dominus sermonem veritatis ab ore meo; vti Dauid Rex & Propheta canit.

μου· καὶ τὸ, Ὁ βραχίων σου ἔσωσεν αὐτοὺς, καὶ τὰ ὀπίσθια Κυρίου, ὧν ἠξιώθη Μωϋσῆς· καὶ τὸ, Ἤκουσαν τῆς φωνῆς Κυρίου περιπατοῦντος ἐν τῷ παραδείσῳ. Πάλιν στεφάνους περιτιθέασιν, ὡς τὸ, Εὐλόγησον τὸν στέφανον τῆς χρηστότητός σου· καὶ θρόνους, ὡς τὸ, Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα· καὶ ποτήρια, ὡς τὸ, Ποτήριον ἐν χειρὶ Κυρίου· καὶ κρατῆρας, ὡς τὸ, Ἐκέρασε τὸν ἑαυτῆς κρατῆρα, περὶ ὧν ἐστιν εἰπεῖν ἐν τῇ συμβολικῇ Θεολογίᾳ. Νῦν δὲ ὅσα εἰσὶ τῆς παρούσης πραγματείας συναγαγόντες, καὶ οἱονεὶ κανόνα τὰ εἰρημένα προθέντες, ὅτι ἐκ τῶν ὄντων καὶ καταφατικῶς καὶ ἀποφατικῶς τὸ Θεῖον ὀνομάζεται. Καταφατικῶς μὲν, ὡς αἴτιον ἐκ τῶν αἰτιατῶν· ἀποφατικῶς δὲ, ὡς οὐδὲν τούτων ὄν. Ἐπὶ τὴν διασάφησιν τῶν νοητῶν θεωνυμιῶν προΐωμεν. Καὶ ὅπερ ἡμῖν ἐπὶ πάσῃ Θεολογίᾳ ὁ ἱερὸς νόμος ὑφηγεῖται, ὁσίως βλέπειν, ὁσίως λέγειν, καὶ ὁσίως ἀκούειν τὰ ἱερά· οὕτως ἐν θεοπτικῇ διανοίᾳ τὰς θεοειδεῖς ἐποπτεύσωμεν θεωρίας· καὶ ὦτα ἱερὰ ταῖς ἀναπτύξεσι τῶν θείων ὀνομάτων παραθώμεθα, ἐνιδρύοντες τὰ ἅγια Λόγια τοῖς ἁγίοις ὠσὶ, καὶ ἐξαιρούμενοι τῶν ἀνιέρων γελώτων καὶ ἐμπαιγμῶν, οὓς ἐγέλων οἱ Ἕλληνες παχεῖς καὶ σάρκινοι ὄντες, ἀκούοντες. Μᾶλλον δὲ, ἐπεὶ θεομαχία κρίνεται τὸ μετ' ἐμπαιγμῶν καὶ καταφρονήσεων ἀκούειν τῶν θείων, ἀπολυτρούμενοι, εἴπερ οἷόν τε τοὺς τοιούτους τῆς θεομαχίας. Σοὶ τοίνυν πρέπει φυλάξαι ταῦτα, ὦ καλὲ Τιμόθεε· ἔχεις γὰρ παραινοῦντα καὶ τὸν Ἀπόστολον, ὅτι οὐ δεῖ τοῖς μὴ δεχομένοις τὸν λόγον ἐν ἀληθείᾳ λαλεῖν περὶ τῶν τοιούτων. Ἐμοὶ δὲ δῴη ὁ Θεὸς, πρεπόντως τοῖς θείοις λαλῆσαι καὶ εἰπεῖν τὰς τῆς ἀκατονομάστου θεότητος θεωνυμίας, τὰς ἐκ τῶν ἀγαθῶν ἔργων αὐτοῦ παρωνυμουμένας. Πάντα δὲ τὰ ἔργα τοῦ Θεοῦ, ἀγαθὰ, καὶ δι' ἀγαθότητα τελοῦνται, εἰ καὶ ἡμῖν πολλάκις τινὰ οὐκ εἰσὶ καθ' ἡδονὴν, δικαίως τιμωρουμένοις ἐφ' οἷς ἁμαρτάνομεν· ὃ δὴ τῆς ἄκρας ἐστὶν ἀγαθότητος τοῦ Θεοῦ, γινομένης τῆς τιμωρίας φιλανθρωπίας, κατὰ τὸν θεῖον Γρηγόριον· καὶ μὴ περιέλοι ὁ Κύριος λόγον ἀληθείας ἐκ τοῦ στόματός μου, ὡς ψάλλει Δαβὶδ ὁ Προφήτης καὶ βασιλεύς.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἡνωμένης καὶ διακεκριμένης Θεολογίας, καὶ τίς ἡ θεία ἕνωσις καὶ διάκρισις.

CAPVT II.

De copulatâ distinctâque Theologiâ, & quæ sit diuina vnio & distinctio.

SYNOPSIS CAPITIS.

1. Docet, nomen boni, pulchri, veri, sapientis, & similia, de totâ Trinitate æqualiter prædicari; quia ratione naturæ, quæ in tribus Personis eadem est, Deo conueniunt: & non solùm attributa essentialia, sed etiam emanationes ad extra sic prædicari. 2. Illa quæ in Scripturis de Deo copulatim, id est ratione essentiæ, prædicantur, non esse distinguenda; & quæ distinctè siue personaliter dicuntur, non esse confundenda. 3. Exponit quænam sint illa quæ copulatim & quæ item distinctè prædicentur. 4. Ait, vniones in Deo vocari attributa essentialia, distinctiones verò dici emanationes; & exemplo ob oculos ponit, quomodo tres diuinæ Personæ se totis sine confusione vnitæ sint. 5. Docet, Personas diuinas solâ relatione inter se distingui, & Deum totum participabilē esse, & totum non participabilē; explicat rem exemplo. 6. Occurrit obiectioni, & ostendit exemplo sigilli, Deum ex parte suâ non inæqualiter participari, sed ex defectu participantium id euenire. Et simul docet, opera Christi non esse communia Trinitati, quia eius Incarnatio non est communis toti Trinitati, sed singularis personæ Verbi. 7. Tradit nos res diuinas solùm à posteriori ex participationibus cognoscere. 8. Docet, quomodo ex Deo sit omnis paternitas & filiatio; & quomodo effectus sint causis suis similes, non contrà causæ effectis. 9. Quomodo ratio mysterij Incarnationis omnibus ignota fuerit. 10. Ex S. Hierotheo ostendit, quomodo IESV *diuinitas sit omnia in omnibus, & supra omnia; & quomodo* CHRISTVS *naturam nostram supra naturam participarit. 11. Deum dici multiplicari dum res diuersas producit, eum tamen in rebus omnibus vnum esse.*

ΤΗ'Ν θεαρχικὴν ὅλην ὕπαρξιν ὅ,τι ποτέ ἐστιν, ἡ αὐτοαγαθότης ἀφορίζουσα καὶ ἐκφαίνουσα πρὸς τῶν Λογίων ὑμνῆται. Καὶ τί γὰρ ἄλλο μαθεῖν ἐστιν ἐκ τῆς ἱερᾶς Θεολογίας, ὁπόταν φησὶ τὴν θεαρχίαν αὐτὴν ὑφηγουμένην εἰπεῖν, Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ;

§. I. *Nomen boni, & similia, toti Trinitati competere.*

IPSAMET bonitas à sacris Litteris celebratur, totam essentiam diuinam, quidquid tandem sit, definiuisse atque explanasse. Quid enim aliud ex Eloquiis sacris cognoscimus, cùm ipsummet Deum tradunt se designando dixisse, *Quid me interrogas de bono?* Matth. 19, 17.

nemo bonus, nisi solus Deus. Hoc aliis etiam locis à nobis expensum demonstratum est, omnia nomina diuina Deum decentia non in parte, sed in totâ & perfectâ, & integrâ & plenâ diuinitate à Scripturis sanctis laudari, & ipsa omnia imparticipatè, absolutè, sine obseruatione vllius differentiæ, vniuersè, ad omnem vniuersitatem, ex toto perfectæ, & totius diuinitatis referri. Siquidem, vt in Theologicis informationibus meminimus, nisi quis de totâ diuinitate dicat hoc dictum esse, næ audet ille temerè Vnitatem, quæ supraquam vna & simplex est, distrahere & vituperare. Dicendum est igitur, de totâ Deitate hoc accipi oportere: etenim & Verbum ipsum, quod naturâ bonum est, ait:
Matth. 20, 15. *Ego bonus sum*; & quidam Pro-
Ps. 142, 10 pheta diuino Numine afflatus laudat Spiritum bonum. Et rur-
Exo. 3, 14. sum illud, *Ego sum qui sum*, nisi de totâ concedant diuinitate pronuntiatum, sed secundùm vnam dumtaxat partem descriptam cõtenderint, quomodo illud intel-
Apoc. 1, 4. ligent, *Hæc dicit qui est, qui erat, qui venturus est, omnipotens*; & il-
Ps. 101, 28 lud, *Tu autem idem ipse es*; & illud,
Ioã. 15, 26. *Spiritus veritatis qui est, qui à Patre procedit?* Et nisi diuinitatem totam dicant esse vitam, quomodo verum est sacrũ verbum quod ait,
Ioan. 5, 21. *Sicut Pater suscitat mortuos, & viuificat, sic & Filius quos vult viuifi-*
Ioan. 6, 64 *cat*; & illud, *Spiritus est qui viuificat?* Quoniam quoq; dominatum totius mundi tota diuinitas obtinet, de Deo quidẽ qui Deum genuit,

οὐδεὶς ἀγαθὸς, εἰ μὴ μόνος ὁ Θεός. Τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις ἐξετασθὲν ἡμῖν ἀποδέδεικται, τὸ πάσας ἀεὶ τὰς θεοπρεπεῖς θεωνυμίας οὐ μερικῶς, ἀλλ' ἐπὶ τῆς ὅλης καὶ παντελοῦς καὶ ὁλοκλήρου καὶ πλήρους θεότητος ὑπὸ τῶν Λογίων ὑμνεῖσθαι, καὶ πάσας αὐτὰς ἀμερῶς, ἀπολύτως, ἀπαραιτήτως, ὁλικῶς, ἁπάσῃ τῇ ὁλότητι τῆς ὁλοτελοῦς, καὶ πάσης θεότητος ἀνατίθεσθαι. Καὶ γοῦν, ὡς ἐν ταῖς Θεολογικαῖς ὑποτυπώσεσιν ὑπεμνήσαμεν, εἰ μὴ περὶ τῆς ὅλης θεότητος φαίη τις τοῦτο εἰρῆσθαι, βλασφημεῖ, καὶ ἀποσχίζειν ἀθέσμως τολμᾷ τὴν ὑπερηνωμένην ἑνάδα. Ῥητέον οὖν, ὡς ἐπὶ πάσης θεότητος αὐτὸ ἐκληπτέον· καὶ γὰρ αὐτός τε ὁ ἀγαθοφυὴς ἔφη Λόγος, Ἐγὼ ἀγαθός εἰμι· καὶ τις τῶν θεολήπτων Προφητῶν ὑμνεῖ τὸ Πνεῦμα τὸ ἀγαθόν. Καὶ αὖθις τὸ, Ἐγώ εἰμι ὁ ὢν, εἰ μὴ καθ' ὅλης φήσουσι τῆς θεότητος ὑμνεῖσθαι, καθ' ἓν δὲ μέρος αὐτὸ περιγράψαι βιάσαιντο, πῶς ἀκούσονται τὸ, Τάδε λέγει ὁ ὢν, ὁ ἦν, ὁ ἐρχόμενος, ὁ παντοκράτωρ· καὶ, Σὺ δὲ ὁ αὐτὸς εἶ· καὶ τὸ, Πνεῦμα τῆς ἀληθείας, τὸ ὂν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται; Καὶ εἰ μὴ ὅλην εἶναί φασι τὴν θεαρχικὴν ζωὴν, πῶς ἀληθὴς ὁ φήσας ἱερὸς λόγος, Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ· καὶ, Ὅτι τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν; Ὅτι δὲ καὶ τὴν κυρείαν ἔχει τῶν ὅλων ἡ ὅλη θεότης, περὶ μὲν τῆς θεογόνου θεότητος,

TEXTVS S. DIONYSII.

τητος, ἢ τῆς υἱικῆς, οὐδὲ εἰπεῖν ἐστιν, ὡς οἶμαι, ποσαχῆ τῆς θεολογίας ἐπὶ Πατρὸς καὶ Υἱοῦ διαθρυλλεῖται τὸ Κύριος· ἀλλὰ καὶ Κύριος τὸ Πνεῦμά ἐστι. Καὶ τὸ καλὸν δὲ καὶ τὸ σοφὸν ἐπὶ τῆς ὅλης θεότητος ὑμνεῖται, καὶ τὸ φῶς, καὶ τὸ θεοποιὸν, καὶ τὸ αἴτιον, καὶ πάντα ὅσα τῆς ὅλης θεαρχίας ἐστὶν, εἰς πᾶσαν ἀνάγει τὰ Λόγια τὴν θεαρχικὴν ὑμνῳδίαν· περιληπτικῶς μὲν, ὡς ὅταν λέγῃ, Τὰ πάντα ἐκ τοῦ Θεοῦ· διεξοδικῶς δὲ, ὡς ὅταν φαίη, Τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ, Τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ, Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται. Καὶ ἵνα συλλήβδην φαίη τις, αὐτὸς ὁ θεαρχικὸς ἔφη Λόγος, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι· καὶ πάντα τὰ ἐμὰ, σά ἐστι καὶ τὰ σὰ, ἐμά. Καὶ αὖθις, ὅσα ἐστὶ τοῦ Πατρὸς καὶ αὐτοῦ, τῷ θεαρχικῷ Πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀνατίθησι, τὰς θεουργίας, τὸ σέβας, τὴν πηγαίαν καὶ ἀνέκλειπτον αἰτίαν, καὶ διανομὴν τῶν ἀγαθοπρεπῶν δώρων. Καὶ οὐδένα τῶν ἐν τοῖς θείοις Λογίοις ἀδιαστρόφοις ἐννοίαις ἐντεθραμμένων, οἶμαι πρὸς τοῦτο ἀντερεῖν, ὅτι τὰ θεοπρεπῆ πάντα τῇ ὅλῃ θεαρχίᾳ πρόσεστι κατὰ τὸν θεοτελῆ λόγον. Τούτων οὖν ἡμῖν βραχέως μὲν ἐν τούτοις καὶ μερικῶς, ἐν ἄλλοις δὲ ἱκανῶς ἐκ τῶν Λογίων ἀποδεδειγμένων τε καὶ διωρισμένων, ὁποίαν ἀναπτύξαι θεωνυμίαν ὁλικὴν ἐγ-

vel de Deo Filio ne dici quidem possit, vt opinor, quot Scripturæ sanctæ locis in Patre & Filio nomen Dominus celebretur: atqui Spiritus quoque Dominus est. Pulchrum etiam & sapiens de totâ diuinitate prędicatur, vti & lux, & id quod Deum efficit, & causa, & quæcumque tandem sunt totius diuinitatis, ad omnem diuinam laudem sacræ Litteræ transferunt: summatim quidem, cùm dicunt, Omnia ex Deo; fusiùs verò, vt cùm quidam ait, *Omnia per* (Rom. 11, 36.) *ipsum & in ipso facta sunt*; &, *in ipso cuncta consistunt*; &, *Emittes spiritum tuum, & creabuntur*. (Psal. 103, 30.) Et, vt compendio quis dicat, ipsummet Dei Verbum ait: *Ego & Pater vnum sumus*; (Ioan. 10, 30.) *& quæcumque habet Pater mea sunt, & omnia mea tua sunt, & omnia tua mea sunt*. (Ioan. 17.) Et rursum quæ sunt Patris & sua, spiritui diuinoprincipali per communicationem vnionemque attribuit, vtputa diuinas operationes, venerationem, scaturientem & numquam deficientem causam, atque distributionem donorum quæ bonum decent. Ac neminem quidem arbitror eorum, qui Scripturis haudquaquam peruersis sunt imbuti, negaturum, omnia quæ Deo ratione perfectæ deitatis competunt, toti inesse diuinitati. Cùm igitur hæc inpræsentiarum quidem breuiter & ex parte, alibi verò, quantum satis est, sacrorum Eloquiorum testimonio probauerimus ac distinxerimus, quodcumq; tandem integrum Dei nomen explicare aggrediemur,

Non solùm attributa essentialia, sed emanationes ad extra de totâ Trinitate prædicari.

TEXTVS S.DIONYSII.

ad totam diuinitatem pertinere putandum est.

§. 2. Si quis autem obiecerit, nos isto modo contra distinctionem diuinitati competentem, confusionem quamdã introducere, næ is, nostro iudicio, eiuscemodi obiectionis veritatem probare numquam poterit. Nam si talis sit qui omnino sacris Litteris resistat, à Philosophiâ quoque nostrâ procul admodum aberit: & nisi illi curæ sit diuina sacrarum Litterarum sapientia, quomodo nobis curæ erit vt ipsum ad scientiam Theologicam manuducamus? Sin Eloquiorum veritati attendat, nos istâ quoque regulâ luceq; freti, ad reddendam pro viribus rationem sine tergiuersatione properabimus, dicentes, Theologiam quidem nonnulla copulatim tradere, quædam verò distinctè; neque fas esse copulata disiungere, nec distincta confundere, sed Scripturis insistendo pro virili ad diuinos esse splendores aspirandum: quoniam inde diuinas explanationes, ceu quamdam veritatis regulam pulcherrimam, accipimus, dum quæ ibi sunt recondita, nihil addendo, nihil minuendo, nihil peruertendo, in nobismetipsis conseruare nitimur, atque ipsi interim Eloquiorum custodiâ conseruamur, nec non ab iisdem ad eorum obseruatores defendendos vires accipimus.

Scripturas quædam copulatim, quædam distinctè de Deo prædicare.

§. 3. Nomina itaque copulata in vnum in totâ diuinitate, vt in Theologicis informationibus prolixè ex Scripturis sacris demonstraui-

Quænam copulatim dicantur, & quæ discretè.

χρήσιμον, ἐπὶ τῆς ὅλης αὐτῆς θεότητος ἐκληπτέον.

Εἰ δέ τις φαίη, σύγχυσιν ἡμᾶς ἐν τούτῳ κατὰ τῆς θεοπρεποῦς διακρίσεως εἰσάγειν, τὸν τοιόνδε λόγον ἡμεῖς οὔτε αὐτὸν οἰόμεθα πείθειν ἱκανὸν, ὡς ἔστιν ἀληθής. Εἰ μὲν γάρ ἐστί τις ὅλως ὁ τοῖς Λογίοις ἀντιστάμενος, πόῤῥω που πάντως ἔσται καὶ τῆς καθ' ἡμᾶς φιλοσοφίας· καὶ εἰ μὴ τῆς ἐκ τῶν Λογίων αὐτῷ θεοσοφίας μέλει, πῶς ἂν ἡμῖν μελήσει τῆς ἐπὶ τὴν θεολογικὴν ἐπιστήμην αὐτοῦ χειραγωγίας; Εἰ δὲ εἰς τὴν τῶν Λογίων ἀλήθειαν ἀποσκοπεῖ, τούτῳ καὶ ἡμεῖς κανόνι καὶ φωτὶ χρώμενοι πρὸς τὴν ἀπολογίαν, ὡς οἷοί τέ ἐσμεν, ἀκλινῶς βαδιούμεθα, φάσκοντες, ὡς ἡ θεολογία τὰ μὲν ἡνωμένως παραδίδωσι, τὰ δὲ διακεκριμένως· καὶ οὔτε τὰ ἡνωμένα διαιρεῖν θεμιτὸν, οὔτε τὰ διακεκριμένα συγχεῖν· ἀλλ' ἑπομένους αὐτῇ κατὰ δύναμιν, ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀνανεύειν· καὶ γὰρ ἐκεῖθεν τὰς θείας ἐκφαντορίας παραλαβόντες, ὥσπερ τινὰ κανόνα κάλλιστον ἀληθείας, τὰ ἐκεῖ κείμενα φρουρεῖν ἐν ἑαυτοῖς ἀπλήθυντα καὶ ἀμείωτα καὶ ἀπαράτρεπτα ἀποδίδομεν, ἐν τῇ φρουρᾷ τῶν Λογίων φρουρούμενοι καὶ πρὸς αὐτῶν, εἰς τὸ φρουροῦντας αὐτὰ φρουρεῖσθαι δυναμούμενοι.

Τὰ μὲν οὖν ἡνωμένα τῆς ὅλης θεότητός ἐστιν, ὡς ἐν ταῖς Θεολογικαῖς ὑποτυπώσεσι διὰ πλειόνων ἐκ τῶν Λογίων ἀπεδείξαμεν, τὸ ὑπεράγαθον,

TEXTVS S. DIONYSII.

ἀγαθὸν, τὸ ὑπέρθεον, τὸ ὑπερούσιον, τὸ ὑπέρζωον, τὸ ὑπέρσοφον, καὶ ὅσα τῆς ὑπεροχικῆς ἐστιν ἀφαιρέσεως· μεθ' ὧν καὶ τὰ αἰτιολογικὰ πάντα, τὸ ἀγαθὸν, τὸ καλὸν, τὸ ὂν, τὸ ζωογόνον, τὸ σοφὸν, καὶ ὅσα ἐκ τῶν ἀγαθοπρεπῶν αὐτῆς δωρεῶν, ἡ πάντων ἀγαθῶν αἰτία κατονομάζεται. Τὰ δὲ διακεκριμένα, τὸ Πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα, καὶ Υἱοῦ, καὶ Πνεύματος, οὐδεμίας ἐν τούτοις ἀντιστροφῆς, ἢ ὅλως κοινότητος ἐπεισαγομένης. Ἔστι δὲ αὖθις πρὸς τούτῳ διακεκριμένον, ἡ καθ' ἡμᾶς Ἰησοῦ παντελὴς καὶ ἀναλλοίωτος ὕπαρξις, καὶ ὅσα τῆς κατ' αὐτὴν ἐστι φιλανθρωπίας οὐσιώδη μυστήρια.

Χρὴ δὲ, ὡς οἶμαι, μᾶλλον ἀναλαβόντας ἡμᾶς τὸν παντελῆ τῆς θείας ἑνώσεώς τε καὶ διακρίσεως ἐκθέσθαι τρόπον, ὅπως ἂν ἡμῖν εὐσύνοπτος ὁ πᾶς ἐγγένηται λόγος, τὸ μὲν ποικίλον ἅπαν καὶ ἀσαφὲς ἀπαναινόμενος, εὐδιακρίτως δὲ καὶ σαφῶς καὶ εὐτάκτως τὰ οἰκεῖα κατὰ δύναμιν ὁρισθέντων. Καλοῦσι γὰρ, ὅπερ καὶ ἐν ἑτέροις ἔφην, οἱ τῆς καθ' ἡμᾶς θεολογικῆς παραδόσεως ἱερομύσται, τὰς μὲν ἑνώσεις τὰς θείας, τὰς τῆς ὑπεραρρήτου καὶ ὑπεραγνώστου μονιμότητος, κρυφίας καὶ ἀνεκφοιτήτους ὑπεριδρύσεις· τὰς διακρίσεις δὲ, τὰς ἀγαθοπρεπεῖς τῆς θεαρχίας, προόδους τε καὶ ἐκφάνσεις· καί φασι, τοῖς ἱεροῖς Λογίοις ἑπόμενοι, καὶ τῆς εἰρημένης ἑνώσεως ἴδια· καὶ αὖθις, τῆς διακρίσεως εἶναί τινας ἰδι-

mus, sunt, supraquam bonus, supraquam Deus, supraquam substantia, supraquam viuens, supraquam sapiens, & quæcumq; sunt ablationis secundùm exuperantiã; cum quibus numerantur omnia quæ ad rationem causæ pertinent, bonum, pulchrum, existens, viuificum, sapiens, & quæcumque sunt ex donis eius quæ bonitatem eius decent, à quibus omnium bonorum causa nominatur. Discreta verò sunt Patris suprasubstantiale nomen, & res, & Filij, & Spiritus sancti, nullâ in his factâ reciprocatione, nec vllâ prorsus communitate introductâ. Est prætereà discreta ac distincta, perfecta, sicut in nobis, & immutabilis IESV essentia, & quæcumque sunt mysteria substantialia humanitatis eius.

§. 4. Arbitror autem expedire, vt nonnihil altiùs resumendo perfectissimus ille diuinæ vnionis ac distinctionis modus explanetur, quo nobis oratio omnis ita sit aperta, vt varietatem quidem omnem & obscuritatem repudiet, distinctè autem ac planè, ordineque quæ propria sunt, quoad eius fieri potest, definiat. Theologicæ nostræ traditionis Auctores (vt alibi dixi) Diuinas quidem vniones vocant abditas istas collocationes plusquam ineffabilis & supra modum ignotæ mansionis, quæ nusquam sese prodit; distinctiones verò, beneficas Dei emanationes & manifestationes: assignantque, Scripturis sacris insistendo, nonnullæ dictæ vnioni propria, vicissimque distinctioni, proprias item

Vniones in Deo vocari attributa essentialia, distinctiones verò, nomina ab emanationibus desumpta.

suas

TEXTVS S. DIONYSII.

suas copulationes ac disiunctiones: verbi gratiâ, in diuinâ vnione seu supersubstantialitate, copulatum quidem vnitatis principi Trinitati ac commune est, superessentialis existentia, & supraquamdiuina diuinitas, supraquam bona bonitas, summa omnium eius quæ supra omnia est totius proprietatis idemtitas: vnitas supra principium vnitatis, ineffabilitas, multiuocatio, indemonstrabilitas, omnimoda intelligibilitas, omnium positio, omnium ablatio, supra omnem positionem & ablationem; diuinarum personarum in seipsis, si ita loqui fas est, mutua mansio, & collocatio, in totum supraquam copulata in vnum, & non confusa in parte vllâ: sicut lumina lampadum (vt exemplis sub sensum cadentibus & familiaribus vtar) quæ sunt in vnâ domo, & tota sunt in se totis vicissim, non permixta, ac per se existunt perfectè inter se mutuo sigillatim distincta, coniuncta in vnum discretè, & discreta coniunctim. Siquidem in domo cernimus, in quâ multæ lampades existunt, in vnum quoddam lumen cunctarum lumina coalescere, splendoremque vnum indiscretum indiuiduumque proferre; neque quisquam, vt arbitror, potest vnius lampadis lumen ab aliarum ex aëre cuncta lumina continente secernere, atque alterum absque altero videre, quod tota totis sine confusione contemperata sint. Quin imò si quis vnam lampadem educat è domo, simul exibit totum proprium lumen, nihil

Quomodo tres personæ se totis sine confusione vnitæ & vnum sint.

Exemplum.

κὰς καὶ ἑνώσεις καὶ διακρίσεις. οἷον ἐπὶ τῆς ἑνώσεως τῆς θείας, ἤτοι τῆς ὑπερουσιότητος, ἡνωμένον μέν ἐστι τῇ ἐναρχικῇ Τριάδι, καὶ κοινὸν ἡ ὑπερούσιος ὕπαρξις, ἡ ὑπέρθεος θεότης, ἡ ὑπεράγαθος ἀγαθότης· ἡ πάντων ἐπέκεινα, τῆς ἐπέκεινα πάντων ὅλης ἰδιότητος ταὐτότης· ἡ ὑπὲρ ἐναρχίαν ἑνότης, τὸ ἄφθεγκτον, τὸ πολύφωνον, ἡ ἀγνωσία, τὸ παννόητον, ἡ πάντων θέσις, ἡ πάντων ἀφαίρεσις, τὸ ὑπὲρ πᾶσαν καὶ θέσιν καὶ ἀφαίρεσιν, ἡ ἐν ἀλλήλαις, εἰ οὕτω χρὴ φάναι, τῶν ἐναρχικῶν ὑποστάσεων μονὴ καὶ ἵδρυσις, ὁλικῶς ὑπερηνωμένη, καὶ οὐδενὶ μέρει συγκεχυμένη, καθάπερ φῶτα λαμπτήρων (ἵνα αἰσθητοῖς καὶ οἰκείοις χρήσωμαι παραδείγμασιν) ὄντα ἐν οἴκῳ ἑνὶ, καὶ ὅλα ἐν ἀλλήλοις ὅλοις ἐστὶν ἀκραιφνῆ καὶ ἀκριβῆ τὴν ἀπ' ἀλλήλων ἰδικῶς ὑφισταμένην ἔχει διάκρισιν ἡνωμένα τῇ διακρίσει, καὶ τῇ ἑνώσει διακεκριμένα. Καὶ γοῦν ὁρῶμεν, ἐν οἴκῳ πολλῶν ἐνόντων λαμπτήρων πρὸς ἕν τι φῶς ἑνούμενα τὰ πάντων φῶτα, καὶ μίαν αἴγλην ἀδιάκριτον ἀναλάμποντα, καὶ οὐκ ἄν τις, ὡς οἶμαι, δύναιτο τοῦδε τοῦ λαμπτῆρος τὸ φῶς ἀπὸ τῶν ἄλλων, ἐκ τοῦ πάντα τὰ φῶτα περιέχοντος ἀέρος διακρῖναι καὶ ἰδεῖν ἄνευ θατέρου θάτερον, ὅλων ἐν ὅλοις ἀμιγῶς συγκεκραμένων. Ἀλλὰ καὶ εἰ τὸν ἕνα τις τῶν πυρσῶν ὑπεξαγάγοι τοῦ δωματίου, συνεξελεύσεται καὶ τὸ οἰκεῖον ἅπαν φῶς,

οὐδὲν

TEXTVS S. DIONYSII.

οὐδὲν ἢ τῶν ἑτέρων φώτων ἐν ἑαυτῷ συνεπισπώμενον, ἢ τοῦ ἑαυτοῦ τοῖς ἑτέροις καταλεῖπον· ἦν γὰρ αὐτῶν, ὅπερ ἔφην, ἡ ὅλων πρὸς ὅλα παντελὴς ἕνωσις ἀμιγὴς καθόλου, καὶ οὐδενὶ μέρει συμπεφυρμένη, καὶ ταῦτα ὄντως ἐν σώματι τῷ ἀέρι, καὶ ἐξ ἐνύλου τοῦ πυρὸς ἠρτημένου τοῦ φωτός. Ὅπου γε καὶ τὴν ὑπερούσιον ἕνωσιν ὑπεριδρῦσθαι φαμὲν, οὐ τῶν ἐν σώμασι μόνων ἑνώσεων, ἀλλὰ καὶ τῶν ἐν ψυχαῖς αὐταῖς καὶ ἐν αὐτοῖς νόοις, ἃς ἔχουσιν ἀμιγῶς καὶ ὑπερκοσμίως, δι' ὅλων ὅλα τὰ θεοειδῆ καὶ ὑπερουράνια φῶτα κατὰ μέθεξιν ἀνάλογον τοῖς μετέχουσι, τῆς πάντων ὑπερῃρημένης ἑνώσεως.

quidquam ceterorum luminum in se ipsâ simul trahens, nec aliquid sui illis relinquens: erat enim illorum, vt dixi, totorum ad tota perfecta coniunctio, mera penitus & nullâ ex parte confusa, idque cùm esset lumen in corpore, id est aëre, & ex materiato igne penderet. Quare supersubstantialem illam vnionem longè præstantiorem dicimus, non modò iis quæ in corporibus existunt vnionibus, verùm etiam illis quæ in animabus ipsis mentibusq; contingunt, quas inconfusâ & supermundiali ratione obtinent, dum lumina ista deiformia supercælestiaque, proportionatâ sibi participatione per vnionem quamdam omnibus eminentiorem, se totis tota participant.

Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις θεολογίαις, οὐχ ἣν ἔφην μόνον, ὅτι κατ' αὐτὴν τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται, καὶ ἀσυγχύτως ἑκάστη τῶν ἐναρχικῶν ὑποστάσεων· ἀλλ' ὅτι καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. Μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατὴρ, οὐκ ὄντος Υἱοῦ τοῦ Πατρὸς, οὐδὲ Πατρὸς τοῦ Υἱοῦ, φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν ὕμνων ὁσίως ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. Αὗται μὲν αἱ κατὰ τὴν ἄφθεγκτον ἕνωσίν τε καὶ ὕπαρξιν, ἑνώσεις τε καὶ διακρίσεις. Εἰ δὲ καὶ θεία διάκρισίς ἐστιν, ἡ ἀγαθοπρεπὴς πρόοδος τῆς ἑνώσεως τῆς θείας ὑπερηνωμένως ἑαυτὴν ἀγαθότητι πληθυνούσης τε καὶ πολλαπλασιαζούσης, ἡνωμέναι μέν εἰσι κατὰ τὴν θείαν

§. 5. Quin etiam est in superessentialibus Dei nominibus distinctio, quâ non tantùm (vt dixi) secundùm ipsam vnionem quælibet præcipuarum personarum impermixta atque inconfusa ponitur, verùm etiam ea quæ supersubstantialis illius diuinæ generationis sunt, inter se minimè reciprocantur. Adeò vt solus Pater fons sit in supersubstantiali Deitate, atque ita Pater non sit Filius, neque Filius sit Pater, sed cuique diuinarum Personarum propriæ suæ laudes inuiolatæ conseruentur. Hæc quidem sunt vniones & distinctiones in illâ ineffabili vnione & essentiâ. Quòd si verò etiam diuina distinctio sit emanatio Deum decens diuinæ vnionis, quæ supraquam vnitè bonitate Dei multiplicatur: distinctione quidem diuinâ vnitæ sunt incom-

Diuinæ personæ sunt distinctæ solâ relatione.

comprehensibiles istæ communicationes, substantificationes, viuificationes, sapientificationes, aliaque istiusmodi omnium effectricis bonitatis munera, secundùm quæ ex participationibus & participibus laudantur ea quæ imparticipatè participantur. Et hoc commune & copulatum & vnum est toti diuinitati, participari scilicet ipsam ab vnoquoque participantium, & à nullo nullâ parte: sicut punctum centri in medio circuli & ab omnibus lineis rectis, quæ sunt in circulo circumpositæ, participatur; & sicut multæ figuræ sigilli expressæ archetypum sigillum participant, & in vnaquaque figurâ sigilli expressâ totum & idem sigillum est, & in nullâ figurâ secundùm vllam partem. Vincit autem hæc exempla, diuinitatis, quæ omnium causa est, imparticipabilitas; quoniam eius nulla est tactio, neque alia cum participantibus mixtionis communio.

Deus se toto participabilis & non participabilis.

§.6. *Sigillum non est causa inæqualis participationis, sed materia subiecta.*

At dicet aliquis, sigillum in totis expressis figuris non esse totum & idem. Verùm huius rei non sigillum causa est (totum enim sese illud atque idem vnicuique communicat) sed participantium differentia, vnius, totius, eiusdemque primitiuę formæ dissimiles reddit effigies: vt si verbi gratiâ subiecta sint mollia, formatuque facilia, leuiaque & infigurata, nec reluctantia, nec dura, neque fluxa, & inconstantia figuram nitidam & apertam, ac permanentem habitura sunt: sin autem aliquid dictæ aptitudini de-

διάκεισιν, αἱ ἄχετοι μεταδόσεις, αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις, αἱ ἄλλαι δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος, καθ' ἃς ἐκ τῶν μετοχῶν καὶ τῶν μετεχόντων, ὑμνεῖται τὰ ἀμεθέκτως μετεχόμενα. Καὶ τοῦτο κοινὸν, καὶ ἡνωμένον, καὶ ἕν ἐστι τῇ ὅλῃ θεότητι, τὸ πᾶσαν αὐτὴν ὅλην ὑφ' ἑκάστου τῶν μετεχόντων μετέχεσθαι, καὶ ὑπ' οὐδενὸς οὐδενὶ μέρει· καθάπερ σημεῖον ἐν μέσῳ κύκλου, πρὸς πασῶν τῶν ἐν τῷ κύκλῳ περικειμένων εὐθειῶν· καὶ ὥσπερ σφραγῖδος ἐκτυπώματα πολλὰ μετέχει τῆς ἀρχετύπου σφραγῖδος, καὶ ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων, ὅλης καὶ ταὐτῆς οὔσης, καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος. Ὑπέρκειται δὲ καὶ τούτων ἡ τῆς παναιτίου θεότητος ἀμεθεξία, τῷ μήτε ἐπαφὴν αὐτῆς εἶναι, μήτε ἄλλην τινὰ πρὸς τὰ μετέχοντα συμμιγῆ κοινωνίαν.

Καίτοι φαίη τις, Οὐκ ἔστιν ἡ σφραγὶς ἐν ὅλοις τοῖς ἐκμαγείοις ὅλη καὶ ταὐτή. Τούτου δὲ οὐχ ἡ σφραγὶς αἰτία (πᾶσαν γὰρ ἑαυτὴν ἐκείνη καὶ ταὐτὴν ἑκάστῳ ἐπιδίδωσιν) ἡ δὲ τῶν μετεχόντων διαφορότης, ἀνόμοια ποιεῖ τὰ ἀπομόργματα, τῆς μιᾶς καὶ ὅλης καὶ ταὐτῆς ἀρχετυπίας· οἷον, εἰ μὲν ἁπαλὰ καὶ εὐτύπωτα ᾖ, καὶ λεῖα καὶ ἀχάρακτα, καὶ μήτε ἀντίτυπα καὶ σκληρὰ, μήτε εὐδιάχυτα καὶ ἄστατα, καθαρὸν ἕξει καὶ σαφῆ καὶ ἐναπομένοντα τὸν τύπον· εἰ δέ τι τῆς εἰρημένης ἐπιτη-

δειότητος

TEXTVS S. DIONYSII.

δειότητι ἐλλείποι, τοῦτο αἴτιον ἔσται τοῦ ἀμεθέκτου καὶ ἀτυπώτου καὶ τοῦ ἀσαφοῦς, καὶ τῶν ἄλλων ὅσα ἀνεπιτηδειότητι μετοχῆς γίνεται. Διακέκριται δὲ τῆς ἀγαθοπρεποῦς εἰς ἡμᾶς θεουργίας, τὸ καθ᾽ ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς οὐσιωθῆναι τὸν ὑπερούσιον Λόγον, καὶ δρᾶσαι καὶ παθεῖν ὅσα τῆς ἀνθρωπικῆς αὐτοῦ θεουργίας ἐστὶν ἔκκριτα καὶ ἐξαίρετα. Τούτοις γὰρ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα κατ᾽ οὐδένα κεκοινώνηκε λόγον, εἰ μή πού τις φαίη κατὰ τὴν ἀγαθοπρεπῆ καὶ φιλάνθρωπον βούλησιν, καὶ κατὰ πᾶσαν τὴν ὑπερκειμένην καὶ ἄρρητον θεουργίαν, ἣν δέδρακε καθ᾽ ἡμᾶς γεγονὼς ὁ ἀναλλοίωτος, ᾗ Θεὸς καὶ Θεοῦ Λόγος. Οὕτω καὶ ἡμεῖς τὰ θεῖα καὶ ἑνοῦν τῷ Λόγῳ καὶ διακρίνειν σπευδόμεθα, ὡς αὐτὰ τὰ θεῖα καὶ ἥνωται καὶ διακέκριται.

Ἀλλὰ, τούτων μὲν τῶν ἑνώσεών τε καὶ διακρίσεων, ὅσας ἐν τοῖς Λογίοις θεοπρεπεῖς αἰτίας εὑρήκαμεν, ἐν ταῖς Θεολογικαῖς Ὑποτυπώσεσιν, ἰδίᾳ περὶ ἑκάστου διαλαβόντες, ὡς ἐφικτὸν ἐξεθέμεθα, τὰ μὲν ἀνελίξαντες τῷ ἀληθεῖ λόγῳ καὶ ἀναπτύξαντες, καὶ τὸν ἱερὸν καὶ τὸν ἀνεπιθόλωτον νοῦν ἐπὶ τὰ φανὰ τῶν Λογίων θεάματα προσαγαγόντες· τοῖς δὲ, ὡς μυστικοῖς κατὰ τὴν θείαν παράδοσιν ὑπὲρ νοερὰν ἐνέργειαν ἐπιβαλόντες. Πάντα γὰρ τὰ θεῖα, καὶ ὅσα ἡμῖν ἐκπέφανται, ταῖς μετοχαῖς μόναις γινώσκεται· αὐτὰ δὲ,

fuerit, ea vtique causa erit, cur figura minùs expressa sit & clara, ceteraque accidant quæ ex participandi ineptitudine solent euenire. Porrò in beneficâ nostri reparatione munus hoc à Deitate distinctum est, quòd propter nos ex nobis Verbum, quòd supra substantiam est, integram veramque nostram substantiam assumpserit, eaque gesserit tuleritque, quæ humanæ ipsius actionis præcipua sunt & singularia. Hæc enim nullâ ratione communia sunt Patris ac Spiritus, nisi fortè quis dicat, consilij benigni atque humani communitate, & secundùm omnem illam eminentem atque ineffabilem diuinam operationem, quam, apud nos existens, is qui immutabilis erat, exercuit, in quantum Deus & Dei Verbum. Nos quoque similiter res diuinas sermone coniungere distinguereque satagimus, prout ipsæ nimirum in se vel vnitę sunt vel distinctæ.

Opera Christi non esse communia Trinitati.

§. 7. Sed harum vnionum ac distinctionum quascumque in Eloquiis rationes Deo consentaneas reperimus, in Institutionibus Theologicis, seorsùm de singulis disserentes, vti potuimus, explicuimus, partim quidem eas verâ ratione enodando, & exponendo, atque ita purum ac tranquillum animum perquam lucidis Eloquiorum contemplationibus admouendo; partim verò, ceu mysticis, ex diuinâ traditione supra intellectus operationem intendendo. Diuina enim omnia, etiam illa quæ nobis apparuerunt, solis participationibus cognoscuntur:

Nos res diuinas ex solis participationibus cognoscere.

TEXTVS S. DIONYSII.

porrò ipſa, cuiuſmodi in ſuo principio ſuaque ſede propriâ exiſtant, nullus ſenſus attingit, nulla natura nullaque cognitio penetrat. Veluti cùm arcanum illud ſupereſſentiale, vel Deum, vel vitam, vel ſubſtantiam, vel lucem, vel Verbum appellamus, nihil aliud quàm vel deificas, vel ſubſtantificas, vel viuificas, vel ſapientificas virtutes intelligimus, quæ ab eo in nos dimanant; ipſum autem omnium mentis operationum ceſſatione contingimus, cùm nullam cernamus diuinitatis effectionem, nullam vitam, aut eſſentiam, quæ planè ſimilis ſit cauſæ illi, quæ cunctis per omnem excellentiam antecellit. Rurſum, à Scripturis ſacris accepimus, Patrem quidem eſſe originem in diuinis, Ieſum verò & Spiritum ſanctum, quaſi Dei prolem, vel, ſi dictu fas ſit, quaſi germina diuina, floréſve ac lumina ſuperſubſtantialia exiſtere: quonam autem pacto ſeſe habeant, neque eloqui neque intelligere valemus.

ὁποῖά ποτέ ἐστι κατὰ τὴν οἰκείαν ἀρχὴν καὶ ὕδρυσιν, ὑπὲρ νοῦν ἐστι καὶ πᾶσαν οὐσίαν, καὶ γνῶσιν. Οἷον, εἰ τὴν ὑπερούσιον κρυφιότητα, Θεὸν, ἢ ζωὴν, ἢ οὐσίαν, ἢ φῶς, ἢ Λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν, ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις, ἐκθεωτικὰς, ἢ οὐσιοποιοὺς, ἢ ζωογόνους, ἢ σοφοδώρους· αὐτὴν δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, οὐδεμίαν ὁρῶντες θέωσιν, ἢ ζωὴν, ἢ οὐσίαν, ἧς ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ἐξηρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ. Πάλιν, ὅτι μέν ἐστι πηγαία θεότης ὁ Πατὴρ, ὁ δὲ Ἰησοῦς καὶ τὸ Πνεῦμα, τῆς θεογόνου θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν Λογίων παρειλήφαμεν· ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν.

§.8. *Quomodo ex Deo ſit omnis paternitas & filiatio.*

Ceterùm hactenus omnis intellectus noſtri ſtudium eò tendit, vt intelligat, quomodo diuina omnis paternitas & filiatio, ex ſupra-eminēti omnium Patriarchatu filijque Principatu, tam nobis quàm ſupracæleſtibus virtutibus indulta ſit, ex quâ fit, vt etiam dij Deorumque filij ac patres ſint ac nominentur mentes deiformes, quibus eiuſcemodi paternitas ac filiatio ſpiritaliter confertur, modo ſcilicet incorporeo à materiâ ſegregato, intellectilique, quo tamen Spiritus diuinus, vt ſupra omnem quæ concipi poteſt mate-

Ἀλλὰ μέχρι τούτου πᾶσα τῆς καθ' ἡμᾶς νοερᾶς ἐνεργείας ἡ δύναμις, ὅτι πᾶσα θεία πατριὰ καὶ υἱότης ἐκ τῆς πάντων ἐξηρημένης πατριαρχίας καὶ υἱαρχίας δεδώρηται καὶ ἡμῖν καὶ ταῖς ὑπερουρανίαις δυνάμεσιν, ἐξ ἧς καὶ θεοὶ, καὶ θεῶν υἱοὶ, καὶ θεῶν πατέρες καὶ θεοειδεῖς γίγνονται καὶ ὀνομάζονται νόες, πνευματικῶς δηλαδὴ τῆς τοιᾶσδε πατρότητος καὶ υἱότητος ἐκτελουμένης, τοῦτ' ἔστιν ἀσωμάτως, ἀΰλως, νοητῶς, τοῦ θεαρχικοῦ Πνεύματος ὑπὲρ πᾶσαν νοητὴν

ἀϋλίαν

TEXTVS S. DIONYSII.

ἀϋλίαν καὶ θέωσιν ὑπεριδρυμένου, καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, πάσης πατριᾶς καὶ υἱότητος θείας, ὑπεροχικῶς ἐξῃρημένων. Οὐδὲ γάρ ἐστιν ἀκριβὴς ἐμφέρεια τοῖς αἰτιατοῖς καὶ τοῖς αἰτίοις· ἀλλ᾽ ἔχει μὲν τὰ αἰτιατὰ τὰς τῶν αἰτίων ἐνδεχομένας εἰκόνας, αὐτὰ δὲ τὰ αἴτια, τῶν αἰτιατῶν ἐξῄρηται καὶ ὑπερίδρυται, κατὰ τὸν τῆς οἰκείας ἀρχῆς λόγον. Καὶ ἵνα τοῖς καθ᾽ ἡμᾶς χρήσωμαι παραδείγμασιν, ἡδοναὶ καὶ λύπαι λέγονται ποιητικαὶ τοῦ ἥδεσθαι καὶ λυπεῖσθαι, αὐταὶ δὲ οὔτε ἥδονται, οὔτε λυποῦνται· καὶ τὸ πῦρ θερμαῖνον καὶ καῖον, οὐ λέγεται καίεσθαι καὶ θερμαίνεσθαι. Καὶ ζῆν εἴ τις φαίη τὴν αὐτοζωὴν, ἢ φωτίζεσθαι τὸ αὐτοφῶς, οὐκ ὀρθῶς ἐρεῖ κατὰ τὸν ἐμὸν λόγον, εἰ μή πως καθ᾽ ἕτερον ταῦτα εἴποι τρόπον, ὅτι περιουσίως καὶ οὐσιωδῶς προένεστι τὰ τῶν αἰτιατῶν τοῖς αἰτίοις.

Ἀλλὰ καὶ τὸ πάσης θεολογίας ἐκφανέστατον, ἡ καθ᾽ ἡμᾶς Ἰησοῦ θεοπλασία, καὶ ἄρρητός ἐστι λόγῳ παντὶ, καὶ ἄγνωστος νῷ παντὶ, καὶ αὐτῷ τῷ πρωτίστῳ τῶν πρεσβυτάτων Ἀγγέλων. Καὶ τὸ μὲν ἀνδρικῶς αὐτὸν οὐσιωθῆναι, μυστικῶς παρειλήφαμεν· ἀγνοοῦμεν δὲ ὅπως ἐκ παρθενικῶν αἱμάτων ἑτέρῳ παρὰ τὴν φύσιν θεσμῷ διεπλάττετο, καὶ ὅπως ἀβρόχοις ποσὶ, σωματικὸν ὄγκον ἔχουσι καὶ ὕλης βάρος, ἐπεπορεύετο τὴν ὑγρὰν καὶ ἄστατον οὐσίαν· καὶ τὰ ἄλλα ὅσα

riæ vacuitatem ac deificationem constitutus, eminentior existit, vti & Pater Filiusque, ab omni simili paternitate ac filiatione diuinâ eminenter exempti. Non enim est perfecta & absoluta similitudo eorum quæ effecta sunt, & causarum: quin potiùs habent quidem effecta causarũ, quoad fieri potest, imagines; ipsæ verò causæ ex effectis exemptæ sunt, & pro ratione principatus sui supra locatæ ac fundatæ. Et vt nostratibus exemplis vtar, voluptates ac dolores efficere dicuntur, vt homines lætentur vel doleant, tamen ipsæ nec lætantur, nec dolent: ignis etiam cùm calefaciat & comburat, non tamen comburi & calefieri dicitur. Et si quis vitam ipsam viuere, aut illuminari lucem dixerit, meâ quidem sententiâ, non omnino rectè locutus fuerit, nisi fortè hæc alio modo dicat, quod nimirum abundantiùs, & secundùm essentiam, ea quæ sunt effectuum priùs sint causæ.

Effectus similes esse causis, non contrà.

Exempla.

§.9. Quin etiam, id quod est omnium quæ de Deo dicuntur clarissimum, diuina ipsius IESV è naturâ nostrâ formatio, & ineffabilis est sermone omni, nullique nota intelligentiæ, etiam ipsi antiquissimorum Angelorum primati. Atque eum quidem viri formam & substantiam assumpsisse, mysticè accepimus; sed ignoratur, quomodo ex Virginis sanguine aliâ quàm naturæ lege sit efformatus, quóve pacto siccis pedibus, quæ corporis molem & materiæ pondus haberent, liquidam perambulauerit fluxamque substantiam, aliaque perfecerit quę super-

Modus incarnationis omnibus ignotus est.

 na-

TEXTVS S. DIONYSII.

naturalem IESV naturam indicat. Verùm hæc à nobis etiam alibi satis explicata, & ab inclyto præceptore nostro supra naturæ modū valdè celebrata sunt in Theologicis ipsius elementis, quæ ille partim à Theologis sanctis accepit, partim etiam ex solerti Scripturarum indagatione longo exercitio ac tempore comprehendit, partim etiam diuiniore quadam inspiratione hausit, ista non discendo tantùm, verùm etiam diuina patiendo assecutus, nec non eorum (si dictu fas sit) compassione, ad illam quæ doceri nequit fidem mysticam atq; vnionem informatus. Atque vt plurima, eaq; beatissima, præclaræ illius mentis documenta paucis subijciamus, hæc de IESV in Theologicis elementis à se collectis ait:

τοῦ ὑπερφυοῦς ἐστιν Ἰησοῦ φυσιολογίας. Ταῦτα δὲ ἡμῖν τε ἐν ἄλλοις ἱκανῶς εἴρηται, καὶ τῷ κλεινῷ καθηγεμόνι κατὰ τὰς Θεολογικὰς αὐτοῦ στοιχειώσεις ὕμνηται λίαν ὑπερφυῶς, ἅπερ ἐκεῖνος, εἴτε παρὰ τῶν ἱερῶν Θεολόγων παρείληφεν, εἴτε καὶ ἐκ τῆς ἐπιστημονικῆς τῶν Λογίων ἐρεύνης συνεώρακεν, ἐκ πολλῆς τῆς περὶ αὐτὰ γυμνασίας τε καὶ τριβῆς, εἴτε καὶ ἔκ τινος ἐμυήθη θειοτέρας ἐπιπνοίας, οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθὼν τὰ θεῖα· κἀκ τῆς πρὸς αὐτὰ συμπαθείας, εἰ οὕτω χρὴ φάναι, πρὸς τὴν ἀδίδακτον αὐτῶν καὶ μυστικὴν ἀποτελεσθεὶς ἕνωσιν καὶ πίστιν. Καὶ ἵνα τὰ πολλὰ καὶ μακάρια θεάματα τῆς κρατίστης ἐκείνου διανοίας ἐν ἐλαχίστοις παραθώμεθα, τάδε περὶ τοῦ Ἰησοῦ φησιν ἐν ταῖς συνηγμέναις αὐτῷ θεολογικαῖς στοιχειώσεσι.

SANCTISSIMI HIEROTHEI verba ex Theologicis elementis.

§.10. *Quomodo Iesu diuinitas sit omnia in omnibus, & super omnia.*

Causa omnium, & quæ omnia implet, est IESV diuinitas, quæ seruat partes toti consentientes; & neque pars neque totum est, & est totum & pars, quatenus omne & totum & partem in seipsâ comprehendit & suprahabet, & antehabet. Perfecta quidem est in imperfectis, tamquam principialis causa perfectionis; imperfecta autem in perfectis, tamquam supraquam perfecta & antè perfecta: forma formæ effectrix in iis quæ carent formâ, tamquam principialis causa formæ; sine formâ in ipsis formis, vtpote supra formam substantia totis substantiis insistens impollutè, & ab om-

ΤΟΥ ἉΓΙΩΤΑΤΟΥ ἹΕΡΟΘΕΟΥ ἐκ τῶν Θεολογικῶν στοιχειώσεων.

Ἡ πάντων αἰτία, καὶ ἀποπληρωτικὴ, τοῦ Ἰησοῦ θεότης, ἡ τὰ μέρη τῇ ὁλότητι σύμφωνα διασώζουσα, καὶ οὔτε μέρος οὔτε ὅλον οὖσα, καὶ ὅλον καὶ μέρος, ὡς πᾶν καὶ μέρος καὶ ὅλον ἐν ἑαυτῇ συνειληφυῖα, καὶ ὑπερέχουσα, καὶ προέχουσα. Τελεία μέν ἐστιν ἐν τοῖς ἀτελέσιν, ὡς τελετάρχις· ἀτελὴς δὲ, ἐν τοῖς τελείοις, ὡς ὑπερτελὴς καὶ προτέλειος· εἶδος εἰδοποιὸν, ἐν τοῖς ἀνειδέοις, ὡς εἰδεάρχις· ἀνείδεος, ἐν τοῖς εἴδεσιν, ὡς ὑπὲρ εἶδος, οὐσία ταῖς ὅλαις οὐσίαις ἀχράντως ἐπιβατεύουσα, καὶ ὑπερούσιος,

TEXTVS S. DIONYSII.

ἁπάσης οὐσίας ἐξῃρημένη, τὰς ὅλας ἀρχὰς καὶ τάξεις ἀφορίζουσα, καὶ πάσης ἀρχῆς καὶ τάξεως ὑπεριδρυμένη. Καὶ μέτρον ἐστὶ τῶν ὄντων, καὶ αἰὼν, καὶ ὑπὲρ αἰῶνα, καὶ πρὸ αἰῶνος· πλήρης ἐν τοῖς ἐνδεέσιν· ὑπερπλήρης, ἐν τοῖς πλήρεσιν· ἄρρητος, ἄφθεγκτος, ὑπὲρ νοῦν, ὑπὲρ ζωὴν, ὑπὲρ οὐσίαν· ὑπερφυῶς ἔχει τὸ ὑπερφυὲς, ὑπερουσίως τὸ ὑπερούσιον. Ὅθεν ἐπειδὴ καὶ ἕως φύσεως ἀπὸ φιλανθρωπίας ἐλήλυθε, καὶ ἀληθῶς οὐσιώθη, καὶ ἀνὴρ ὁ ὑπέρθεος ἐχρημάτισεν (ἵλεω δ' εἴη τὰ πρὸς ἡμῶν τὰ ὑπὲρ νοῦν καὶ λόγον ὑμνούμενα) κἂν τούτοις ἔχει τὸ ὑπερφυὲς καὶ ὑπερούσιον, οὐ μόνον ᾗ ἀναλλοιώτως ἡμῖν καὶ ἀσυγχύτως κεκοινώνηκε, μηδὲν πεπονθὼς εἰς τὸ ὑπερπλῆρες αὐτοῦ, πρὸς τῆς ἀφθέγκτου κενώσεως· ἀλλ' ὅτι καὶ τὸ πάντων καινῶν καινότατον, ἐν τοῖς φυσικοῖς ἡμῶν ὑπερφυὴς ἦν, ἐν τοῖς κατ' οὐσίαν ὑπερούσιος, πάντα τὰ ἡμῶν ἐξ ἡμῶν ὑπὲρ ἡμᾶς ὑπερέχων.

Τούτων μὲν οὖν ἅλις· ἐπὶ δὲ τὸν τοῦ λόγου σκοπὸν προΐωμεν, τὰ κοινὰ καὶ ἡνωμένα τῆς διακρίσεως τῆς θείας ὀνόματα, κατὰ τὸ ἡμῖν ἐφικτὸν ἀνελίττοντες. Καὶ ἵνα σαφῶς περὶ πάντων ἑξῆς προδιορισώμεθα, διάκρισιν θείαν φαμὲν, ὡς εἴρηται, τὰς ἀγαθοπρεπεῖς τῆς θεαρχίας προόδους. Δωρουμένη γὰρ πᾶσι τοῖς οὖσι, καὶ

ni ſubſtantiâ ſupra ſubſtantiam abſtracta; tota principia & ordines definiens, ſupra omne principium & omnem ordinem collocata. Rerum eſt menſura, ſæculumque, & ſupra ſæculum, & ante ſæculum: plena eſt in iis quæ egent; in ijs quæ plena ſunt, exuberat; ineffabilis eſt & inexplicabilis, ſupra ſenſum, ſupra vitam, ſupra ſubſtantiam, ſupernaturaliter habet ſupernaturalitatem, & ſuperſubſtantialiter ſubſtantiam excedit. Vnde, quoniam ad noſtram vſque naturam ex humani generis amore ſe demiſit, noſtramq; verè ſubſtantiam aſſumpſit, ſummusq; ille Deus appellatus eſt homo (propitiationis profectò illa ſunt omnem intellectum orationemq; ſuperantis, quæ modò prædicamus) in his quoque naturam ſubſtantiamque ſuperat, quod non tantùm ſine ſui immutatione naturæve confuſione nobis ſeſe communicarit, nihil in exuberanti ſuâ plenitudine ex ineffabili exinanitione perpeſſus, verùm etiam, quod nouis omnibus magis nouum accidit, ea quæ naturæ noſtræ ſunt, ſupra naturæ ordinem ſubſtantiamque, ſupra ſubſtantiæ modum participarit, noſtra omnia ex nobis & ſupra nos excellenter habens.

Chriſtum naturam noſtram ſupranaturaliter participaſſe.

Sed de his ſatis; modò ſermonis noſtri ſcopum proſequamur, communia & vnita diuinæ diſtinctionis nomina, prout poſſumus, explicando. Atque vt planè de omnibus deinceps explicemus, diſtinctionem diuinam eſſe dicimus, quemadmodum dictum eſt, benigniſſimas Dei emanationes. Dum enim rebus omnibus vber- §.11.

TEXTVS S. DIONYSII.

Deus dicitur multiplicari cùm multas res producit.

tim bonorum omnium consortia impertit & infundit, tum coniunctè quidem distinguitur, amplificatur autem vnicè, multiplexque fit ex vno, nec ab vnitate discedit: vtputa, quoniam Deus superessentialiter est essentia, cunctasq; producit essentias, secundùm illud vnum quod est multiplicari dicitur, dum multas ex se producit entitates; verumtamen in se ipse manet in multiplicatione vnus, & in emanatione vnitus, atque in distinctione perfectus, quòd sit ab essentijs omnibus superessentialiter exemptus, tam singulari productione omnium quàm indiminutâ suarum indeficientium profusione cōmunicationum.

Quomodo Deus in rebus omnibus vnus sit.

Quin etiam cùm quid vnum ipse sit, omnique parti & toti, & vni & multitudini, vnius sui consortium largiatur, vel vt sic etiam supra substantiam existit vnus, cùm neque pars sit multitudinis, neque ex partibus totum: nam hoc modo non est quid vnum, neque sic vnum participat, habétve vnitatem; sed longè ab his aliâ ratione quid vnum est, supra vnum, quod rebus vnum est, & multitudo indiuidua, inexplebilis superplenitudo, omne vnum multitudinemque producens ac perficiens atque complectens. Rursus dum eius deificentiâ deiformi pro cuiusque virtute plures dij fiunt, videtur quidem diciturque vnius Dei diuisio multiplicatioque, verumtamen ipse est principium istiusmodi diuinitatis & eminenter Deus, & superessentialiter vnus Deus, indiuisus in diuiduis, in se vnus, & in multis istis neq; mixtus neque

ὑπερχέουσα τὰς τῶν ὅλων ἀγαθῶν μετουσίας, ἡνωμένως μὲν διακρίνεται, πληθύνεται δὲ ἑνικῶς, καὶ πολλαπλασιάζεται ἐκ τοῦ ἑνὸς ἀνεκφοιτήτως· οἷον ἐπειδὴ ὤν ἐστιν ὁ Θεὸς ὑπερουσίως, δωρεῖται δὲ τὸ εἶναι τοῖς οὖσι, καὶ παράγει τὰς ὅλας οὐσίας, πολλαπλασιάζεσθαι λέγεται τὸ ἓν ὂν ἐκεῖνο τῇ ἐξ αὐτοῦ παραγωγῇ τῶν πολλῶν ὄντων, μένοντος δὲ οὐδὲν ἧττον ἐκείνου, καὶ ἑνὸς ἐν τῷ πληθυσμῷ, καὶ ἡνωμένου κατὰ τὴν πρόοδον, καὶ πλήρους ἐν τῇ διακρίσει, τῷ πάντων εἶναι τῶν ὄντων ὑπερουσίως ἐξῃρημένον, καὶ τῇ ἑνιαίᾳ τῶν ὅλων παραγωγῇ, καὶ τῇ ἀνελαττώτῳ χύσει τῶν ἀμειώτων αὐτοῦ μεταδόσεων. Ἀλλὰ καὶ ἓν ὢν, καὶ παντὶ μέρει καὶ ὅλῳ, καὶ ἑνὶ καὶ πλήθει, τοῦ ἑνὸς μεταδοὺς, ἕν ἐστιν ὡσαύτως ὑπερουσίως, οὔτε μέρος ὂν τοῦ πλήθους, οὔτε ἐκ μερῶν ὅλον· καὶ οὕτως οὔτε ἕν ἐστιν, οὔτε ἑνὸς μετέχει, οὐδὲ τὸ ἓν ἔχει· πόῤῥω δὲ τούτων ἕν ἐστιν, ὑπὲρ τὸ ἓν, τοῖς οὖσιν ἓν, καὶ πλῆθος ἀμερὲς, ἀπλήρωτον ὑπερπλῆρες, πᾶν ἓν καὶ πλῆθος παράγον, καὶ τελειοῦν, καὶ συνέχον. Πάλιν τῇ ἐξ αὐτοῦ θεώσει, τῷ κατὰ δύναμιν ἑκάστου θεοειδεῖ θεῶν πολλῶν γιγνομένων, δοκεῖ μὲν εἶναι καὶ λέγεται τοῦ ἑνὸς Θεοῦ διάκρισις καὶ πολλαπλασιασμὸς, ἔστι δὲ οὐδὲν ἧττον ὁ ἀρχίθεος καὶ ὑπέρθεος ὑπερουσίως εἷς Θεὸς, ἀμέριστος ἐν τοῖς μεριστοῖς, ἡνωμένος ἑαυτῷ, καὶ τοῖς πολλοῖς ἀμιγὴς καὶ ἀπλήθυντος.

TEXTVS S. DIONYSII.

θεσμός. Καὶ τοῦτο ὑπερφυῶς ἐννοήσας ὁ κοινὸς ἡμῶν καὶ τοῦ καθηγεμόνος ἐπὶ τὴν θείαν φωτοδοσίαν χειραγωγός, ὁ πολὺς τὰ θεῖα, τὸ φῶς τοῦ κόσμου, τάδε φησὶν ἐνθεαστικῶς ἐν τοῖς ἱεροῖς αὐτοῦ Γράμμασι· Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς (ὥσπερ οὖν εἰσι θεοὶ πολλοί, καὶ κύριοι πολλοὶ) ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. Καὶ γὰρ ἐπὶ τῶν θείων αἱ ἑνώσεις τῶν διακρίσεων ἐπικρατοῦσι καὶ προκατάρχουσι, καὶ οὐδὲν ἧττόν ἐστιν ἡνωμένα, καὶ μετὰ τὴν τοῦ ἑνὸς ἀνεκφοίτητον καὶ ἑνιαίαν διάκρισιν. Ταύτας ἡμεῖς τὰς κοινὰς καὶ ἡνωμένας τῆς ὅλης θεότητος διακρίσεις, εἴτουν ἀγαθοπρεπεῖς προόδους, ἐκ τῶν ἐμφαινουσῶν αὐτὰς ἐν τοῖς Λογίοις θεωνυμιῶν ὑμνῆσαι κατὰ τὸ δυνατὸν πειρασόμεθα, τούτου καθάπερ εἴρηται προδιεγνωσμένου, τοῦ πᾶσαν ἀγαθουργικὴν θεωνυμίαν, ἐφ' ἧπερ ἂν κεῖται τῶν θεαρχικῶν ὑποστάσεων, ἐπὶ τῆς ὅλης αὐτὴν ἐκληφθῆναι θεαρχικῆς ὁλότητος ἀπαραιτήτως.

multiplicatus. Quòd cùm supernaturaliter intellexisset communis noster ac præceptoris nostri ad diuinam illustrationem manuductor, qui multùm in diuinis rebus exercitatus est, & lux est mundi, hæc in Epistolis suis diuino Numine afflatus scribit: *Nam etsi sunt qui dicantur dij siue in cælo, siue in terrâ (siquidem sunt dij multi, & domini multi) nobis tamen vnus Deus Pater, ex quo omnia, & nos in ipso; & vnus Dominus* IESVS CHRISTVS, *per quem omnia, & nos per ipsum.* (1. Cor. 8, 5.) Etenim in diuinis rebus vniones superant distinctiones & antecedunt, nihiloq; minùs tamen etiam coniunctæ sunt post vnius non abeuntem singularemque distinctionem. Has itaque communes vnitasque totius diuinitatis distinctiones, siue beneficas emanationes, ex nominibus diuinis, quæ illas in Eloquijs declarãt, pro virili nostrâ parte celebrare conabimur; si hoc primum, vti dictum est, constitutum fuerit, beneficum omne nomen Dei, cuicumque diuinarum personarum impositum fuerit, sine discrimine in totâ ipsâ diuinâ Trinitate accipi.

ANNOTATIONES CORDERII.

PRO exactiori huius Capitis intelligentiâ, maximè §. 1. vide quæ in Obseruationibus generalioribus dicta sunt, Obseruatione 5. & 10.

Vbi item nota, non tantùm attributa essentialia toti Trinitati competere, verùm etiam nomina, quæ à rerum creatarum productione, conseruatione, ac gubernatione desumpta sunt. Operationes enim, quas *ad extra* Theologi vocant, communes sunt sanctissimæ Trinitati, atque vni Diuinitati omnium creatrici.

Mysteria fidei ex Scripturis & reuelatione cognoscenda.

§. 2. *Et nisi illi curæ sit diuina sacrarum Litterarum sapientia, &c.*] Hinc benè probat D. Thomas 1. Parte, quæst. 32. art. 1. in corpore, mysteria quædam fidei rationis captum excedentia, non nisi ex Scripturis seu diuinis reuelationibus cognosci posse. Qui enim, inquit, naturali ratione Trinitatem v.g. probare nititur, is fidei dupliciter dero-

ANNOTATIONES CORDERII.

derogat. Primò quidem quantum ad dignitatem ipsius fidei, quæ in hoc consistit, vt sit de rebus inuisibilibus quæ humanam excedant rationem. Vnde Apostolus dicit, fidem esse de non apparentibus. & alibi, *Sapientiam*, inquit, *loquimur inter perfectos: sapientiam verò non huius sæculi, neque Principum huius sæculi, sed loquimur Dei sapientiam in mysterio, quæ abscondita est*. Secundò, quantum ad vtilitatem trahendi alios ad fidem. Cùm enim aliquis ad probandam fidem introducit rationes quæ non sunt vrgentes, in irrisionem cedit infidelium: credunt enim quòd huiusmodi rationibus innitamur, & propter eas credamus. Quæ igitur fidei sunt, non sunt probanda nisi per auctoritates his qui auctoritates suscipiunt: apud alios verò sufficit defendere, non esse impossibile id quod fides prædicat. Ita S. Dionysius hoc loco, & ex eo D. Thomas.

Heb. 11,1.

1.Cor.2,6.

§. 3. Nota, nomina τὸ ὑπεράγαθον, τὸ ὑπέρθεον, id est, *supra-bonū, supra-Deum*, &c. dici τῆς ὑπεροχικῆς ἀφαιρέσεως, id est, *ablationis secundùm exuperantiam*, quia tollunt in Deo bonitatem creatam, & tribuunt exuperantem & superlatam bonitatem, scilicet increatam, quæ vincit omnem cognitionem & intelligentiam. Vide Obseruationes 4. & 9. generales.

SCHOLIA S. MAXIMI: habent *duos ramos oliuæ*; alij verò interpretes *spicas* & *germina*. Lumina verò, ex [Epistola Iacobi] vbi de Patre luminum mentionem facit; & vbi dicitur lumen de lumine. Per πατριὰν autem hîc quodammodò intelligit paternitatem; vnde subiungit *filiationem*: Apostolus enim ait, *Ex quo omnis paternitas in cælo & in terrâ nominatur*. Patres enim esse & filios nominari supernè defluxit, ex Patre quidem eius qui secundùm naturam Filius est, Patre verò omnium per creationem & doctrinam. Vnde etiam incorporei ac spiritales deorum patres & filij secundùm doctrinam & præeminentiam in Angelis ac iustis existunt, vti etiam Apostolus declarat, omnibus nempe patribus istis principium dante Patre illo qui verè Pater est, quatenus iis tale munus impertit; & omnibus filiis principium dante Filio illo, ex cuius participatione tales existunt, iuxta quod ipse dicit, *Manifestaui nomen tuum hominibus*. quòd nimirum vocetur Pater is qui habet Filium hæc loquentem.

Iac. 1,17.

Ephes. 3,15

Ioan. 17,6.

§. 8. *Non est similitudo causarum & effectuum.* Effectis.] Effecta sunt omnia creata siue in cælo siue terrâ; causæ verò sunt ea quæ supereminent, id est tres personæ sanctissimę Trinitatis. Manifestum igitur est, nullam esse horum inter se similitudinem causarum scilicet & effectorum. Rectè autem subiunxit *poßibiles*, non enim possunt omnes.

Et vivere si qvis dixerit.] Quoniam ea quæ causarum sunt, priùs abundanter & essentialiter iis insunt. Quare non rectè dicimus, diuinitatem viuere ac illustrari; hæc enim nobis causa est viuendi atque illustrandi. Essentialiter ergo priùs insunt diuinitati, quæ nobis per gratiam. hoc enim significat illud, *per participationem*. Dicit enim Apostolus, *Gratiâ estis saluati*. Et nos quidem saluari dicimur, ipse autem noster Saluator est. & iterùm: Nam *de plenitudine eius nos omnes accepimus*.

Ephes. 2,5.

Ioan. 1,16.

§. 9. Qvin etiam id qvod est vniversæ Theologiæ.] Theologiam vocat ea quę spectant ad humanitatis assumptionem; & ex naturâ nostrâ Deiformationem appellat ipsam Domini Iesv Incarnationem. Hæc autem maximè faciunt contra Nestorianos, eò quòd dicat, ipsum virilem substantiam assumpsisse. Considera verò, quòd Domini Iesv corpus è virgineo sanguine efformatũ fuisse dicat. Obserua autem quomodo di-

οἱ Ἑβδομήκοντα· οἱ δὲ ἄλλοι ἑρμηνευταὶ, στάχυας καὶ βλαστούς. Φῶτα δὲ, ἐν οἷς εἴρηται, Πατρὸς τῶν φώτων, καὶ φῶς ἐκ φωτός. Πατριὰν δὲ λέγει τὴν οἱονεὶ πατρότητα· ἐπιφέρει γοῦν, Υἱότης· καὶ γοῦν φησιν ὁ Ἀπόστολος, Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. Τὸ γὰρ εἶναί τε πατέρας, καὶ υἱοὺς ὀνομάζεσθαι, ἄνωθεν ἔρρευσεν, ἐκ τοῦ Πατρὸς μὲν φύσει τοῦ Υἱοῦ ὄντος, πατρὸς δὲ πάντων δημιουργικῶς καὶ διδασκαλικῶς. Ὅθεν καὶ ἀσώματοι καὶ νοητοὶ θεῶν πατέρες καὶ υἱοὶ διδασκαλικῶς καὶ ὑπερεχόντως ἐν Ἀγγέλοις καὶ δικαίοις, ὡς καὶ ὁ Ἀπόστολος δηλοῖ, πάντων τῶν πατέρων ἄρχοντος τοῦ κυρίως Πατρὸς, ἅτε καὶ τὴν τοιαύτην μέθεξιν δόντος, καὶ πάντων τῶν υἱῶν ἄρχοντος τοῦ Υἱοῦ, ἅτε καὶ αὐτοῦ μεθεκτοῦ ἐν τούτῳ γινομένου, ὥς αὐτός φησιν, Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· ὅτι καλεῖται Πατὴρ, ὁ αὐτὸν ἔχων Υἱὸν τὸν ταῦτα εἰπόντα.

Τοῖς αἰτιατοῖς.] Αἰτιατά ἐστι πάντα τὰ παραχθέντα εἰς κτίσιν, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· αἴτια δὲ τὰ ὑπερόντα, τουτέστιν αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος. Πρόδηλον οὖν, ὅτι οὐδεμία ἐμφέρεια τούτων πρὸς ἄλληλα, αἰτίων φησὶ καὶ αἰτιατῶν. Καλῶς δὲ προσέθηκε τὸ Ἐνδεχομένας· οὐ γὰρ ἁπάσας.

Καὶ ζῆν εἴ τις φαίη.] Ὅτι προηγουμένως καὶ οὐσιωδῶς πρόσεστι τὰ τῶν αἰτίων. Ὥστε οὐ καλῶς λέγομεν ζῆν καὶ φωτίζεσθαι τὸ Θεῖον· τοῦτο γὰρ τοῦ ζῆν ἡμᾶς καὶ φωτίζεσθαι αἴτιον. Οὐσιωδῶς οὖν πρόσεστι τῷ Θείῳ, ἅπερ ἡμῖν κατὰ χάριν· τοῦτο γὰρ σημαίνει τὸ Κατὰ μέθεξιν· λέγει γὰρ ὁ Ἀπόστολος, Χάριτί ἐστε σεσωσμένοι. Καὶ ἡμεῖς μὲν σεσωσμένοι λεγόμεθα, αὐτὸς δὲ ἡμῶν σωτήρ ἐστι. καὶ πάλιν, Ἀπὸ γὰρ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.

Ἀλλὰ καὶ τὸ πάσης Θεολογίας.] Ὅτι Θεολογίαν καλεῖ, τὰ τῆς ἐνανθρωπήσεως· καὶ ὅτι καθ' ἡμᾶς θεοπλασίαν φησὶ τὴν τοῦ Κυρίου Ἰησοῦ σάρκωσιν. Ταῦτα κατὰ Νεστοριανῶν μάλιστα, τὸ ἀνδρικῶς αὐτὸν οὐσιωθῆναι λέγειν. Ὅρα δὲ, ὅτι ἐκ τῶν παρθενικῶν αἱμάτων φησὶ τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ διαπλασθῆναι. Σημείωσαι δὲ, πῶς φησι, πρεσ-

βυτάτοις

βυτάτοις Ἀγγέλους εἶναί τινας, καὶ πρῶτον αὐτῶν τινα εἶναι. Λέγει δὲ πρεσβυτέρους Ἀγγέλους ὁ θεῖος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει. Καὶ ἑπτὰ εἶναι τοὺς πρώτους, ἐν τῷ Τωβίᾳ ἀνέγνωμεν, καὶ παρὰ Κλήμεντι βιβλίῳ ε. τῶν Ὑποτυπώσεων. Πρεσβυτάτους δὲ Ἀγγέλους εἴωθε καλεῖν, τὰς ἀνωτάτω τρεῖς τάξεις, Θρόνους, Σεραφὶμ, Χερουβὶμ, ὡς δηλοῖ ἐν τῷ περὶ τῆς Οὐρανίας Ἱεραρχίας λόγῳ πολλάκις. Φησὶ δὲ ἐνταῦθα, μήτε τῷ πρωτίστῳ τῶν Ἀγγέλων ἐφικτὸν εἶναι τὸν τρόπον τῆς ἐνανθρωπήσεως.

Καὶ τῷ κλεινῷ.] Ἐνδόξῳ.

Καθηγεμόνι.] Καθηγεμόνα οἰκεῖον, τὸν ἅγιον Ἱερόθεον αἰνίττεται, ὡς εὐθὺς δηλοῖ· μετὰ γὰρ τὸν Παῦλον ἐκ τούτου ὠφελήθη. Λέγει δὲ ὅτι ἴσως παθὼν τὰ θεῖα ἐκεῖνος, οὕτως ἐνεπνεύσθη. Τί δέ ἐστιν, Οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθών; Εἴρηται μὲν οὖν καὶ ἐν τῇ πρὸς Ἑβραίους· Ἔμαθε γὰρ ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. Ὁ γὰρ παθὼν, πεῖρα λαμβάνει τὸ διδασκόμενον· οἷον ὁ τυπτόμενος, μᾶλλον τοῦ μόνον ἀκούσαντος, οὐ μὴν καὶ τυφθέντος ποτὲ, τίς ὁ τοιοῦτος πόνος γνώσεται, καὶ μᾶλλον ἂν παραστήσειεν, ὁποῖόν ἐστι τὸ ἄλγος· οὕτως καὶ ὁ δι' ἀποκαλύψεως μυούμενος, θειότερον ἑρμηνεύσει τὰ θεῖα. Τὸ δὲ παθεῖν τὰ θεῖα, τοιοῦτόν ἐστιν. Εἴρηται τῷ Ἀποστόλῳ, Συνταφῶμεν τῷ Χριστῷ, ἵνα καὶ συναναστῶμεν αὐτῷ, καὶ συμβασιλεύσωμεν. Ὁ δὲ σταυρῶν ἑαυτὸν καὶ τὴν ἑαυτοῦ σάρκα, αὐτὸς τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ οἰκείῳ σώματι περιφέρει· εἰκότως οὖν καὶ συμβασιλεύει τῷ Χριστῷ, καὶ τὰ θεῖα αὐτοῦ θαῤῥεῖται μυστήρια, ὅταν καὶ ὁ ἅγιος Ἱερόθεος λέγεται μὴ μόνον μαθεῖν, ἀλλὰ καὶ παθεῖν τὰ θεῖα· καὶ ὁ δι' ἀποκαλύψεως τὰ θεῖα μυούμενος, ἐξίσταται ἑαυτοῦ, καὶ καλῶς λέγεται παθεῖν τὸ ἐπωφελὲς τοῦτο πάθος, ἵνα Θεοῦ γένηται καταγώγιον. Ἄλλως. Παθεῖν αὐτὸν ἔφη τὰ θεῖα, ὡς οὐ διδακτῶς διὰ λόγου τὴν περὶ τούτων δέξασθαι μύησιν λέγων, ἀλλὰ τῇ θείᾳ ἐλλάμψει ἐντυπωθῆναι, καὶ οἷον ἐνσημανθῆναι τῇ διανοίᾳ τὴν γνῶσιν τὴν ὑπὲρ φύσιν. Καὶ τὴν τοιαύτην τῶν θειοτέρων μύησιν συμπάθειαν ἐκάλεσεν, ἤγουν συνδιάθεσιν.

Ἡ πάντων αἰτία.] Τὰ θεῖα ταῦτα παρίστησι ῥήματα, πῶς καὶ ὁ Υἱὸς τὰ πάντα

cat, Angelos quosdam esse antiquissimos, & quemdam illorum esse primum. Porrò Angelos antiquissimos recenset D. Ioannes in Apocalypsi. Et in Tobiâ legimus septem esse primos; vti & apud Clementem libro quinto Hypotyposeon. Solet autem antiquissimos Angelos vocare supremos illos tres ordines, Thronos, Seraphim, Cherubim, quemadmodum in libro de Cælesti Hierarchiâ frequenter declarat. Hic autem dicit ne primum quidem Angelorum assecutum fuisse modum incarnationis.

SCHOLIA S. MAXIMI. *Qui Angeli sint antiquissimi.*

Et ab inclyto.] Glorioso.

Præceptore.] Præceptorem suum sanctum Hierotheum insinuat, vti mox declarat; siquidem post S. Paulum ab hoc adiutus est. Dicit autem ipsum, vtpote diuina patientem, ita fuisse inspiratum. Quid autem sibi vult illud, *Non tantùm discens, sed & patiens*, dicitur quidē in Epistolâ ad Hebræos: *Didicit ex iis quæ passus est obedientiam.* Qui enim patitur, experientiâ capit id quod docetur: veluti qui verberatur, magis eo qui tantùm audiuit, quin imò etiam eo qui aliquando verberatus fuit, qualis iste labor sit intelligit, magisque, quantus is dolor sit poterit explicare: ita quoque qui per reuelationem docetur, diuina diuiniùs interpretabitur. Porrò diuina pati, est quid eiusmodi. Dictum est ab Apostolo, Consepeliamur Christo, vt cum illo resurgamus, ac conregnemus. Qui autem seipsum ac carnem suam crucifigit, is stigmata Christi in proprio corpore circumfert; meritò igitur conregnat Christo, audetque diuina eius mysteria contemplari; cùm etiam S. Hierotheus dicatur non solùm didicisse, sed etiam passus esse diuina, atque is qui per reuelationem diuina docetur, extra semetipsum constituatur, ac rectè dicatur pati vtilem hanc passionem, vt fiat Dei domicilium. Alio modo. Ipsum diuina passum ait, vt qui non doctrinaliter per sermonem doctrinam eorum hauserat, sed diuinâ illustratione expressam & veluti insignitam in mente supernaturalem habebat cognitionem. Istiusmodi autem rerum diuinarum eruditionem, compassionem appellauit siue consensionem.

S. Hierotheus diuina patiens.

Heb. 5, 8.

Rom. 6, 4.

Galat 6, 17

§. 10. *Deus omnia in omnibus, & nihil eorum.*

Cavsa omnivm.] Diuina hæc verba ostendunt, quomodo & Filius omnia in omnibus,

SCHOLIA S.MAXIMI.

nibus, & caput omnium sit, secundùm Apostolum: quoniam, inquit, omnium est plenitudo & compago, quæ seriem creaturarum adstringit, scilicet partes toti, tamquam qui sit omnia. Quare velut vniuersi coagmentator meritò etiam pars est, quoniam omnis pars est pars totius; & neque totum est neque pars, vt qui nihil horum sit, sed supra omnem essentiam existat. Partes autem vniuersi mundi sunt, quæ secundùm speciem videntur, aër, terra, plantæ, & cetera; estque veluti perfecta aliqua, quæ eius dicitur, diuinitas respectu nostri, qui sumus imperfecti, iuxta illud Matthæi, *Perfecti estote, quia ego perfectus sum.* Respectu autem perfectorum Angelorum, non perfectus, sed supraquam perfectus est. Filius etiam est auctor perfectionis, tamquam omnis perfectionis principium, quoniam etiam ante perfectus est. Ita etiam dicitur forma in informibus & incorporeis, tamquam creator & principium omnis formæ. Respectu autem harum formarum sine formâ est, & supra formam; quoniam tam formæ quàm exemplaria ipso sunt inferiora.

Matt. 5, 48

DEFINIENS.] Pro distinguens, & sine confusione conseruans.

ET MENSVRA EST.] Est mensura rerum, quoniam in ipso vniuersa terminantur. Et sæculum iure meritissimo dicatur: nam si sæculum appellatur, quasi semper existens, ipse est qui semper existit, iuxta quod dictum est, *Tu autem idem ipse es, & anni tui non deficient.* & iterùm: *Qui numerat multitudinem stellarum, & qui mensus est cælum palmo, & terram pugillo.* Conditor autem sæculorum, in quantum est creator Angelorum, dicitur etiam immortalitas, extensio, vita sempiterna, æternitas (non verò tempus) interminatus, & qui semper erit. Non itaque dicitur sæculum secundùm illud tempus quod finem habet, sed secundùm id quod semper est, vsque in sæcula illa quæ finem non habent.

Psal. 101, 28. Heb. 1, 12. Psa. 146, 4. Isa. 40, 12.

PLENA EST IN IIS QVÆ EGENT.] Id quod superiùs dixerat, Imperfecta verò in perfectis, hîc dicit, Exuberans in iis quæ plena sunt; quare etiam imperfecta sic intelligi debet, vt sit eminenter perfecta in perfectis.

ET VSQVE AD NATVRAM.] Vides quomodo dicat, quoniam etiam ad naturam ve-

ἐν πᾶσι, καὶ κεφαλὴ πάντων κατὰ τὸν Ἀπόστολον· καί φησιν, ὅτι πάντων ἐστὶ πλήρωμα καὶ συνοχεὺς, τὴν ἀλληλουχίαν τῶν δημιουργημάτων συσφίγγων, τουτέστι τὰ μέρη τῷ παντὶ, ὡς τὸ πᾶν ὤν. Ὡς τοῦ παντὸς οὖν συναγωγεὺς, καὶ μέρος εἰκότως, ἐπειδὴ καὶ πᾶν μέρος τοῦ παντός ἐστι μέρος, καὶ οὔτε πᾶν, οὔτε μέρος, ὡς μηδὲν ὢν ἐξ αὐτῶν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν οὐσίαν. Μέρη δὲ ὅλου τοῦ κόσμου εἰσὶ τὰ κατ' εἶδος ὁρώμενα, ἀὴρ, γῆ, φυτὰ, καὶ τὰ λοιπά· καί ἐστι μὲν οἷά τις τελεία λεγομένη ἡ αὐτοῦ θεότης, ὡς πρὸς ἡμᾶς τοὺς ἀτελεῖς, ὡς παρὰ Ματθαίῳ, Τέλειοι γίνεσθε, ὅτι ἐγὼ τέλειός εἰμι. Πρὸς δὲ Ἀγγέλους τοὺς τελείους, οὐ τέλειος, ἀλλ' ὑπερτέλειός ἐστι. Καὶ τελετάρχης ὁ Υἱὸς, ὡς ἄρχων πάσης τελειότητος, ἐπειδὴ καὶ προτέλειος. Οὕτω καὶ εἶδος λέγεται ἐν τοῖς ἀνειδέοις καὶ ἀσωμάτοις, ὡς ἁπάσης τῆς εἰδοποιΐας δημιουργὸς καὶ ἀρχὴ παντὸς εἴδους. Πρὸς δὲ ταῦτα τὰ εἴδη ἀνείδεος καὶ ὑπὲρ εἶδος, ἐπειδὴ δεύτερα αὐτοῦ καὶ τὰ εἴδη καὶ αἱ ἰδέαι.

Ἀφορίζουσα.] Ἀντὶ τοῦ, διακρίνουσα, καὶ πρὸς τὸ ἀσύγχυτον διασώζουσα.

Καὶ μέτρον ἐστί.] Μέτρον ἐστὶ τῶν ὄντων, ἐπειδὴ ἐν αὐτῷ τὰ πάντα πεπέρανται. Καὶ αἰὼν μάλιστα δικαίως ἂν λέγοιτο· εἰ γὰρ αἰὼν λέγεται οἱονεὶ ἀεὶ ὤν, αὐτός ἐστιν ὁ ἀεὶ ὤν, εἴρηται γὰρ, Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. καὶ πάλιν· Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ τὸν οὐρανὸν μετρῶν σπιθαμῇ, καὶ τὴν γῆν δρακί. Ποιητὴς δὲ αἰώνων, ἅτε τῶν Ἀγγέλων ποιητὴς ὤν, ἀθανασία, παράτασις, ἀϊζωΐα, αἰὼν (ἀλλ' οὐ χρόνος) ἀτελεύτητος καὶ ἀεὶ ἐσόμενος λέγεται. Οὐ κατὰ τοῦτο οὖν λέγεται αἰὼν, κατὰ τὸν χρόνον τὸν τέλος ἔχοντα, ἀλλὰ κατὰ τὸ ἀεὶ ὤν, εἰς αἰῶνας τέλος οὐκ ἔχοντας.

Πλήρης, ἐν τοῖς ἐνδέεσιν.] Ὅπερ εἶπεν ἄνω, Ἀτελὴς δὲ ἐν τοῖς τελείοις, ὧδέ φησιν, Ὑπερπλήρης ἐν τοῖς πλήρεσι· καὶ τὸ ἀτελὴς οὖν οὕτως ὀφείλεις νοεῖν, ὑπερτελεία ἐν τοῖς τελείοις.

Καὶ ἕως φύσεως.] Ὁρᾷς, πῶς φησιν, ἐπειδὴ καὶ ἕως φύσεως ἐλήλυθε (φύσεως μὲν

τῆς

τῆς ἡμετέρας νόσου) καὶ ὅτι τὸ φύσεως οὐ καλῶς λεγόμενον ἐπὶ Θεοῦ. Ἰδοὺ γὰρ πῶς φησιν, ἕως φύσεως κατῆλθε, τουτέστιν, ἕως ἐκείνου ἔφθασε τοῦ ἀτιμοτέρου καὶ οὗπερ αὐτὸς οὐκ ἐκέκτητο. Σημείωσαι τὰς ἐμφάσεις τῶν λέξεων.

Ἀναλλοιώτως.] Σημείωσαι, ὅτι ἀναλλοιώτως καὶ ἀσυγχύτως ἐκοινώνησεν ἡμῖν, καὶ ἀπαθῶς, καὶ ὅτι ἐν τοῖς φυσικοῖς ἡμῶν ἔμεινεν ὑπερφυής, καὶ ἐν τοῖς κατ' οὐσίαν ὑπερούσιος, καὶ εἶχε τὰ ἡμῶν ὑπὲρ ἡμᾶς, οἷον τὸ ἐκ παρθένου, τὸ ἀναμάρτητον, τὸ ἐν ἐξουσίᾳ Θεοῦ λαλεῖν, καὶ πάντα πράττειν, τὸ περιπατεῖν ἐπάνω τοῦ ὕδατος, καὶ ὅσα τοιαῦτα. Σημείωσαι οὖν, ὅτι οὐδεὶς οὕτω θεολογεῖ περὶ τῆς οἰκονομίας, κατὰ Νεστοριανῶν καὶ Ἀκεφάλων καὶ Φαντασιαστῶν.

Τὰ κοινὰ καί.] Κοινὰ καὶ ἡνωμένα τὰ τῆς ἁγίας Τριάδος ὀνόματα, ὅσα ἐκ τῶν αὐτῆς δωρεῶν τῶν εἰς τὰ μετ' αὐτὴν ὀνομάζεται· ἅς τινας δωρεάς, διακρίσεις φησί, καὶ οἱονεὶ πληθυσμούς.

Πληθύεται δὲ ἑνικῶς.] Τοῦτο κατὰ Φαντασιαστῶν, πολλαπλασιάζεσθαι λέγεται τὸ ἕν· ἐπειδὴ γὰρ ἐξ αὐτοῦ ἅπαντα, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι κεφαλὴ πάντων τῶν ὄντων, καὶ αὐτὸς τὰς ὅλας οὐσίας παρήγαγεν. Εἰκότως πολλαπλασιάζεσθαι λέγεται διὰ τῶν παρ' αὐτοῦ γινομένων, ὅταν καὶ πάντων ὑποταττομένων τῷ Πατρί, αὐτὸς λέγεται διὰ τῶν παρ' αὐτοῦ γινομένων, τῷ Πατρὶ ὑποτάττεσθαι, ὥς φησιν ὁ Ἀπόστολος, Τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται. Καὶ ὁ τοιοῦτος ἐν τῷ πληθυσμῷ τῆς πάντων παραγωγῆς ἔμεινεν εἷς, καὶ ὁ αὐτὸς ἐν τῇ ἀνελαττώτῳ χύσει τῶν αὐτοῦ μεταδόσεων, ἐν τῷ παντὶ μέρος ὤν, καὶ μηδὲν ὢν τοῦ παντός· ἔστι γὰρ ὑπερούσιος, καὶ ἡμῖν ἀνέφικτος. Ἑρμηνεύει δὲ αὐτὸ ὑποκατιών.

Καὶ τῇ ἑνιαίᾳ.] Ἑνιαίαν ἔφη τὴν ὅλων παραγωγήν, δηλῶν ἅμα τῷ βούλεσθαι, καὶ οὐ κατὰ μικρόν τι καὶ μερικῶς κτισθῆναι, ἤτοι πρὸς τὸ εἶναι ἐλθεῖν τὰ γεγονότα. Ἀνελάττωτον δὲ μετάδοσιν, ἤτοι ὅτι κτίζων τὰ ὄντα ὁ Θεός, οὐδὲν τῶν οἰκείων μειοῖ ἀγαθῶν.

Ἐννοήσας ὁ κοινὸς ἡμῶν.] Κοινὸς καθηγεμὼν καὶ χειραγωγός, ὁ Ἀπόστολος Παῦλος δηλονότι· δι' αὐτοῦ γὰρ ἐπίστευσεν,

nit (naturam scilicet nostram intellige) & naturam non rectè de Deo dici. Ecce enim quomodo dicat, quoniam vsque ad naturam descendit, id est, eò vsque vilitatis, atque eius, quod ipse non habebat, peruenit. Vbi nota significantiam verborum.

SINE IMMVTATIONE.] Nota, vt sine immutatione, & absque confusione, & sine passione nobiscum communicauerit, & in naturalibus nostris supra naturam permanserit, & in substantialibus supra substantiam, nostraque supra nos habuerit; veluti ortum ex Virgine, impeccabilitatem, in potestate Dei loqui, atque agere vniuersa, ambulare supra aquas, & similia. Obserua itaque, neminem tam diuinè loqui contra Nestorianos & Acephalos & Phantasiastas.

COMMVNIA ET.] Communia & vnita sanctæ Trinitatis nomina sunt, quibus velut ex donis in res inferiores collatis nominantur; quæ dona distinctiones, & quasi multiplicationes appellat. §. II.

MVLTIPLICATVR AVTEM VNICE.] Contra Phantasiastas dicitur, id quod vnum est multiplicari; quia ex ipso ac per ipsum, & in ipso cuncta condita sunt, & ipse est caput omnium quæ sunt, & ipse omnes substantias produxit. Rectè igitur, propter ea quæ ab ipso effecta sunt, multiplicari dicitur; quandoquidem etiam omnibus quæ Patri subiecta sunt, ipsemet in iis quæ per ipsum facta sunt, Patri subiici perhibetur, iuxta illud Apostoli, *Tunc & ipse Filius subiectus erit.* Et cùm talis esset, mansit *vnus* in multiplicatione productionis vniuersorum, & idem in indeficiente munerum suorum profusione, cùm in vniuerso pars esset, & nihil vniuersi existeret: est enim superessentialis, & nobis incomprehensus. Id ipsum autem infrà exponit.

Quomodo Deus multiplicetur in donis suis.

1. Cor. 15, 28.

ET SINGVLARI.] Singularem vocat vniuersorum productionem, significans, simul ac Deus voluit res omnes, non autem paulatim & per partes, creatas fuisse, siue in lucem prodiisse. Non imminutam verò communicationem dicit; quia scilicet Deus dum cuncta creat, nihil bonorum suorum imminuit.

INTELLIGENS COMMVNIS NOSTER.] Communis præceptor ac manuductor, scilicet Apostolus Paulus: per ipsum enim factus

S. Paulus S. Dionysii præceptor.

SCHOLIA S. MAXIMI.

ctus est fidelis, vti legimus in Actis. Notandum etiam, S. Hierotheum à sancto Paulo edoctum fuisse.

NAM ETSI SINT QVI DICANTVR.] Illud, etsi dij multi sint ac domini, tamen vnus est verè Deus ac Pater, & vnus verè Dominus IESVS, designare causam omnium ac creatricem diuinitatem, secundùm impartitam & indiuulsam communicationem nominis propriæ diuinitatis ac dominationis, eos, qui dij ac domini dicuntur, produxisse, minimè tamen in partes deitatum, deitate descissâ, sicut aurum in multos nummos, neque multis diis eius diuinitatem complentibus, quemadmodum multæ species vnum mundum; sed multiplicari dicitur Deus secundùm quamlibet res producendi voluntatem, prouidis processibus multiplicatus, manet tamen in se quid vnum absque diuisione. Quemadmodum sol multos radios emittens, & in suâ vnitate permanens, siquidem etiam de Sole iustitiæ dictum est, quòd in dies distribuatur, & minimè consumatur. Rectè autem dicitur, etiam in diuinis vniones validiores esse distinctionibus: neque enim oportet prudentem auditorem, cùm de Deo audit vnitatem, in ipso infirmitatem, neque simplicitatem quasi imbecillitatem suspicari. Nihil enim de Deo à nobis propriè pronuntiatur, quod illius proprietatem assequatur, neque secundùm priuationem, vt immortalis, & similia; neque secundùm positionem, vt vita, v.g. & vnum; sed illud vnum tamquam cum omnibus incomparabile dicendum est, quod eodem modo se habet etiam in suppositis iis, quæ à propriâ ceterorum vnitate non exeunt. Idem enim manet, etsi voluntas in reliquorum productione diuidi videatur. Omni igitur distinctione, quâ scilicet omnia in lucem prodeunt, tamquam causa præuia valentior est indiuisa Dei vnitas. E diuerso se res habet in sensilibus: nulla enim est in ipsis vnitas, sed præexistentes elementorum distinctiones, dum concurrunt & vniuntur, alias ex compositione vniones efficiunt. In diuinis verò non sic: nam præexistens in iis vnio posteriores distinctiones voluntate operatur.

Quomodo Deus vnus sit.

ETIAM POST VNIVS.] Vniones quidem in diuinis ait, propter ea quæ nimirum singulariter ac solitariè considerantur in diuinita-

ὡς ἔγνωμεν ἐν ταῖς Πράξεσι. Καὶ σημειωτέον, ὅτι καὶ ὁ ἅγιος Ἱερόθεος τῷ ἁγίῳ Παύλῳ ἐμαθητεύθη.

Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι.] Τὸ, Κἂν θεοὶ πολλοὶ καὶ κύριοι ὦσι, πλὴν ἕνα εἶναι τὸν ἀληθῶς Θεὸν, καὶ Πατέρα, καὶ ἕνα τὸν ἀληθῶς κύριον Ἰησοῦν, τοῦτο δηλοῖ, ὅτι ἡ πάντων αἰτία, καὶ δημιουργὸς θεότης κατὰ μετάδοσιν ἀμέριστον καὶ ἀσκέδαστον τῆς ἐπωνυμίας τῆς οἰκείας θεότητος καὶ κυριότητος τοὺς λεγομένους θεοὺς καὶ κυρίους παρήγαγεν, οὐ κατακερματισθείσης τῆς θεότητος εἰς μέρη θεοτήτων, ὡς χρυσὸς εἰς νομίσματα πολλὰ, οὔτε τῶν πολλῶν θεῶν συμπληρούντων τὴν αὐτοῦ θεότητα, ὃν τρόπον τὰ πολλὰ εἴδη, τὸν ἕνα κόσμον· ἀλλὰ πληθύνεσθαι λέγεται ὁ Θεὸς, τῷ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματι, προνοητικαῖς προόδοις, πολλαπλασιαζόμενος μὲν, μένων δὲ ἀμερὲς ἕν. Ὥσπερ ἥλιος ἀκτῖνας πολλὰς ἐκπέμπων, καὶ μένων ἐν τῇ ἑνότητι· εἴρηται γὰρ καὶ περὶ τοῦ ἡλίου τῆς δικαιοσύνης, ὁ καθ' ἡμέραν μεριζόμενος, καὶ μὴ δαπανώμενος. Καλῶς δὲ καὶ ἐπὶ τῶν θείων εἴρηται, τὰς ἑνώσεις τῶν διακρίσεων ἐπικρατεστέρας εἶναι· καὶ γὰρ οὐ δεῖ τὸν νουνεχῶς ἀκροώμενον περὶ Θεοῦ ἑνάδα, περὶ αὐτοῦ ἀκούοντα ὑπονοεῖν ἀσθένειαν, οὔτε ἁπλοῦν ὡς ἀδύνατον. Οὐδὲν γὰρ ἐπὶ Θεοῦ οἰκείως παρ' ἡμῶν λέγεται τῆς ἰδιότητος ἐκείνης ἐφικνούμενον, οὔτε κατὰ στέρησιν, ὡς ἀθάνατος, καὶ τὰ ὅμοια· οὔτε κατὰ θέσιν, ὡς ζωὴ τυχὸν, καὶ τὸ ἕν· ἀλλὰ τὸ ἓν ὡς πᾶσιν ἀσύμβλητον ῥητέον, ὅπερ ὡσαύτως ἔχει καὶ ἐν ταῖς ἀνεκφοιτήτοις τῆς οἰκείας ἑνάδος τῶν λοιπῶν ὑποστάσεσι. Μένει γὰρ ὁ αὐτὸς, κἂν τὸ βούλημα δοκῇ διακρίνεσθαι εἰς τὴν τῶν λοιπῶν παραγωγήν. Πάσης οὖν διακρίσεως, τουτέστιν εἰς τὸ εἶναι τὰ πάντα παρόδου, προαιτία δὲ καὶ ἐπικρατεστέρα ἡ τοῦ Θεοῦ ἀμέριστος ἑνάς. Ἐπὶ δὲ τῶν αἰσθητῶν, τὸ ἐναντίον· οὐδὲ γὰρ αὐτῶν ἐστιν ἑνὰς, ἀλλ' αἱ διακρίσεις τῶν στοιχείων προϋποῦσαι, σύνδρομοι γινόμεναι καὶ ἑνούμεναι, δευτέρας τὰς ἐκ τῆς συνθέσεως ἑνώσεις ἐργάζονται. Ἐπὶ δὲ τῶν θείων, οὐχ οὕτως· ἐπὶ αὐτῶν γὰρ προϋποῦσα ἡ ἕνωσις, τὰς διακρίσεις βουλήματι δευτέρας ποιεῖ.

Καὶ μετὰ τὴν τοῦ ἑνός.] Ἑνώσεις μὲν ἐπὶ τῶν θείων φησὶν, ἤτοι τὰ ἑνιαίως τε καὶ μοναδικῶς ἐπὶ τῆς

θεότητος θεωρούμενα, ἄνευ γε δηλαδὴ ὧν προϋπεστείλατο ἰδιοτήτων, τουτέστι πατρότητος, υἱότητος, καὶ τῆς ἐκ τοῦ Πατρὸς τοῦ Πνεύματος ἐκπορεύσεως. διακρίσεις δὲ, τὸ πολλὰ εἶναι τὰ τῶν θείων μετέχοντα δωρεῶν. Προκατάρχουσι τοίνυν καὶ ἐπικρατοῦσι τὰ τῶν ἑνώσεων· οὐ γὰρ ἐκ τῶν πολλῶν συνήχθη τὰ τῆς μιᾶς θεότητος καὶ κυριότητος, ἀλλὰ ἐκ τοῦ ταύτης μοναδικοῦ, ὃ ἐν ἐκείνοις πληθυσμὸς θεωρεῖται).

te, sine quibus vtique priùs contracta erat proprietatibus, id est, paternitate, filiatione, & ex Patre Spiritus processione: distinctiones verò, quia multa sunt quæ diuina dona participant. Vniones itaque prædominantur ac præualent: neque enim vna deitas & dominatio ex pluribus conflata est, sed ex huius singularitate ista, quæ in illis existit, multitudo consideratur.

PARAPHRASIS PACHYMERÆ.

PARAPHRASIS PACHYMERÆ.

ΤΟ παρὸν κεφάλαιόν ἐστι περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας. Ἐπειδὴ γὰρ προέθετο ὁ Ἅγιος περὶ θείων ὀνομάτων εἰπεῖν, τὰ δὲ θεῖα ὀνόματα, τὰ μὲν κοινῶς καὶ ταῖς τρισὶ θεαρχικοῖς προσώποις ἁρμόζουσι, τὰ δὲ μιᾷ ἑκάστῃ τῶν ὑποστάσεων· διὰ τοῦτο τὰ μὲν κοινῶς τῇ θείᾳ φύσει ἁρμόζοντα ὀνόματα, ἡνωμένην ἐπιγράφει θεολογίαν, τὰ δὲ μιᾷ ἑκάστῃ τῶν ὑποστάσεων διακεκριμένην. Καὶ πάλιν θείαν ἕνωσιν λέγει, τὴν κρυφίαν καὶ ἀκατάληπτον γνῶσιν τῆς θείας φύσεως (τὴν γὰρ οὐσίαν αὐτὴν τῆς ἀκαταλήπτου Τριάδος τί ἐστιν, οὐδεὶς γνώσεταί ποτε) διάκρισιν δὲ θείαν, τὰς ἐνυποστάτους προσκυνητὰς ὑπάρξεις, τουτέστι, τοῦ μὲν Υἱοῦ, τὸν ἐκ Πατρὸς ἀνέκφατον ἀπαυγασμὸν, τοῦ δὲ παναγίου Πνεύματος, τὴν ἐκ Πατρὸς ἀνεννόητον ἐκπόρευσιν, τὴν θεαρχικὴν ὅλην ὕπαρξιν, μᾶλλον δὲ οὐδὲ κυρίως ὕπαρξιν, ἀλλὰ ὑπερύπαρξιν· ἀλλ' ἐπειδὴ πᾶσα ὕπαρξις ἐξ αὐτῆς, ἐκ τῶν αἰτιατῶν κτισμάτων ὀνομάζεται ὕπαρξις. Τὴν γοῦν θεαρχικὴν ταύτην ὕπαρξιν ὅλην, τουτέστι τὴν μίαν καὶ μόνην θεότητα (ἔθος γὰρ αὐτῷ οὕτω καλεῖν τὴν τῆς ἁγίας καὶ μόνης προσκυνητῆς Τριάδος τὴν ἐν τρισὶν ὑποστάσεσι γνωριζομένην θεότητα) ταύτην γοῦν ὅτι ποτέ ἐστιν ἡ αὐτοαγαθότης, ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις γνωρίζων ἡμῖν ὑμνεῖται, τουτέστι μετὰ πάσης εὐλαβείας καὶ θεότητος κατανοεῖται· αὐτὴ γὰρ ἡ θεαρχία ὁ Κύριος ὑφηγούμενος ἔλεγε πρὸς τὸν ἐρωτῶντα, Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. Τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις εἴρηται παρ' ἡμῶν ἐξετασθὲν, ὅτι οὐ μερικῶς ἐφ' ἑνὶ τῶν θεαρχικῶν ὑποστάσεων τὰ τοιαῦτα ὀνόματα λέγονται, ἀλλ'

§. 1. *Quæ sit vnita & quæ distincta Theologia.*

HOC præsens caput est de vnitâ distinctaque Theologiâ. Cùm enim hic Sanctus de diuinis nominibus loqui proposuerit, diuina verò nomina, quædam in communi tribus personis diuinis conueniant, quædam etiam vni ex personis illis in particulari; idcircò illa quidem nomina quæ in communi diuinæ naturæ congruunt, vnitam inscribit Theologiam, quæ verò cuilibet personæ in particulari competunt, distinctam. Et rursus diuinam vnionem vocat occultam & incomprehensibilem diuinæ naturæ cognitionem (nam essentiam incomprehensibilis Trinitatis, quid sit, nemo cognoscet vmquam) diuinam verò distinctionem, subsistentes existentias adorandas, id est, filij quidem ex Patre splendorem ineffabilem, sancti verò Spiritus ex Patre inconceptibilem processionem, diuinam totam existentiam, vel potiùs propriè non exsistentiam, sed superexistentiam: sed quoniam omnis existentia ex ipsâ est, ex effectis creaturis existentia nominatur. Hanc itaque diuinam totam existentiam, id est vnicam & solam Deitatem (sic enim appellare consueuit sanctæ atque solùm adorandæ Trinitatis in tribus personis agnitam Deitatem) hanc inquam ipsam per se bonitatem esse, in Euangeliis nobis declarasse Dominus prædicatur, id est, cum omni religione ac diuinitate agnoscitur: nam ipsemet Deus Dominus explicando dixit cuidam interroganti, *Quid me dicis bonum? nemo bonus, nisi solus Deus.* Marc. 10, 18. Verùm hoc aliis etiam locis à nobis expositum, istiusmodi nomina non partialiter de vnâ ex personis diuinis dici, sed de totâ plenaque deitate; nec non omnia

ἐπὶ τῆς ὅλης καὶ πλήρους θεότητος· καὶ ὅτι

 hæc

PARAPHRASIS PACHYMERÆ. hæc nomina communia ipsi attribui imparticipatè, id est, non participata secundùm attributionem, sicut vna persona, sed ad vnamquamq; & ad tres in communi, absolutè, id est sine vllâ restrictione ad vnam personam, vel sine hac ad aliam, sed sine reseruatione, vti ad vnamquamque, sic etiam ad tres in communi; & vniuersim, tam ad vnamquamque quàm vniuersè ad omnem vniuersitatem diuinitatis referri. Siquidem, vt alibi meminimus, qui hæc diuina nomina negat esse communia, distrahit omnino impiè vnitatem adorandæ Trinitatis. Dicendum itaque, in Euangeliis vocem illam *bonus* de tribus diuinis personis accipiendam esse: nam bonum Verbum ait, *An*
Matth.20, 15. *oculus tuus nequam est, quia ego bonus sum?* & rursum apud Dauidem in Psalmis dicen-
Psal.142, 10. tem reperitur, *Spiritus tuus bonus deducet me in viam rectam.* & iterùm, id quod ad
Exod.3,14 Moysem dictum est: *Ego sum qui sum.* Si id nonnulli vni personæ adscribere velint, quomodo intelligent, quæ in Apocalypsi Ioannis Euangelistæ de Patre dicta sunt,
Apoc. 1,4. *Qui est, qui erat, qui venturus est?* de Filio
Ps.101,28. verò in Dauide, *Tu autem idem ipse es?* de
Ioan. 15, 26. sancto quoque Spiritu in Euangeliis, *Spiritus veritatis qui est, qui à Patre procedit?* Et obserua, quomodo hæc dicat vsurpari; nunc enim non ita fertur. Et rursum de vitâ, nisi hæc de tribus personis dicta sint, quomodo in diuinis Euangeliis reperitur, quòd,
Ioan.5,21. *sicut Pater suscitat mortuos & viuificat, sic*
Ioan.6,64. *& Filius quos vult viuificat?* Et illud, *Spiritus est qui viuificat?* Quòd autem nomen Dominus etiam commune sit, de Deo quidem qui Deum genuit, siue Patre, & de Deo qui genitus est, siue Filio, vix dici possit quoties dicatur. Quin etiam Spiritus sanctus Dominus est: similiter quoq; pulchrum, & sapiens, & lumen, & Deificum, & causa. Omnia, inquam, hæc nomina summatim de totâ Deitate prædicantur; iuxta illud, Omnia ex Deo sunt. & diffusiùs etiam de singulis personis, vt cùm de Deo quidem Fi-
Rom.11,36. lio dicit, *Omnia per ipsum & in ipso facta sunt, & in ipso cuncta consistunt.* hoc enim omnes referunt ad Verbum quod
Psal. 103, 30. creat. De Spiritu autem: *Emittes Spiritum tuum, & creabuntur.* Et vt compendio quis

πάντα ταῦτα τὰ κοινὰ ὀνόματα ἀνατίθεται ἀμερῶς, οὐ μεριζόμενα κατὰ ἀπόκλήρωσιν, ὡς ἐν πρόσωπον, ἀλλ' ἐφ' ἑνὶ ἑκάστῳ, καὶ ἐπὶ ταῖς τρισὶ κοινῶς, ἀπολύτως, τουτέστιν οὐ μετά τινος προσθήκης εἰς ἓν πρόσωπον, ἢ δίχα ταύτης εἰς ἄλλο· ἀλλ' ἀπαρατηρήτως, ὡς ἐφ' ἑνὶ ἑκάστῳ, καὶ ἐπὶ ταῖς τρισὶ κοινῶς· καὶ ὡς κοινῶς, καὶ ἐφ' ἑνὶ ἑκάστῳ, καὶ ὁλικῶς ἐπὶ ἁπάσῃ τῇ ὁλότητι τῆς θεότητος. Καὶ γοῦν καὶ, ὡς ἐν ἄλλοις ὑπεμνήσαμεν, ὁ μὴ κοινὰς εἶναι λέγων τὰς θεωνυμίας, ἀποσχίζει ἀσεβῶς τὴν ἑνότητα τῆς προσκυνητῆς Τριάδος. Ῥητέον οὖν, ὡς τὸ ἐν Εὐαγγελίοις Ἀγαθὸς ἐπὶ τῶν τριῶν θεαρχικῶν ὑποστάσεων ἐκληπτέον· καὶ γὰρ καὶ ὁ ἀγαθοφυὴς Λόγος λέγει, Εἰ οὖν ὁ ὀφθαλμός σου πονηρὸς ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι· καὶ πάλιν παρὰ τῷ Δαβὶδ εὕρηται, λέγοντι, Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν τῇ εὐθείᾳ. καὶ πάλιν τὸ πρὸς Μωσῆν εἰρημένον· Ἐγώ εἰμι ὁ ὤν. Ἐὰν περιγράψαι θελήσωσί τινες ἐν ἑνὶ προσώπῳ, πῶς ἀκούσονται, περὶ μὲν τοῦ Πατρὸς τὰ ἐν τῇ Ἀποκαλύψει τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, Ὁ ὤν, ὁ ἦν, ὁ ἐρχόμενος; περὶ δὲ τοῦ Υἱοῦ τὰ ἐν τῷ Δαβὶδ, Σὺ δὲ ὁ αὐτὸς εἶ; περὶ δὲ τοῦ ἁγίου Πνεύματος τὰ ἐν ταῖς ἱεραῖς Εὐαγγελίοις, Τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ὂν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Καὶ σκέψαι πῶς φησι τὴν χρῆσιν ταύτην· οὐδὲ γὰρ φέρεται οὕτως νῦν. Καὶ πάλιν, περὶ τῆς ζωῆς, εἰ μὴ καὶ ἐπὶ τῶν τριῶν ὑποστάσεσι ῥηθείη, πῶς ἐν τοῖς θείοις Εὐαγγελίοις εὕρηται, ὅτι ὥσπερ ὁ Πατὴρ ἐγείρει καὶ ζωοποιεῖ τοὺς νεκροὺς, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ; καὶ τό· Πνεῦμά ἐστι τὸ ζωοποιοῦν. Ὅτι δὲ καὶ τὸ Κύριος κοινόν ἐστι, περὶ μὲν τῆς θεογόνου θεότητος τοῦ Πατρὸς, ἢ τῆς υἱικῆς, δηλονότι τοῦ Υἱοῦ, οὐδ' ἐστὶν εἰπεῖν ποσαχῶς λέγεται. Ἀλλὰ καὶ Κύριος τὸ Πνεῦμά ἐστιν· ὁμοίως καὶ τὸ καλὸν, καὶ τὸ σοφὸν, καὶ τὸ φῶς, καὶ τὸ θεοποιὸν, καὶ τὸ αἴτιον. Πάντα ταῦτα καὶ περιληπτικῶς ἐπὶ τῆς ὅλης θεότητος, κατὰ τὸ, Τὰ πάντα ἐκ τοῦ Θεοῦ ἐστι. καὶ διεξοδικῶς ἐπὶ μιᾷ ἑκάστῃ τῶν ὑποστάσεων, ἐπὶ μὲν τοῦ Υἱοῦ, ὅτε φησὶ, Τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ ἐν αὐτῷ συνέστηκε· τοῦτο γὰρ εἰς τὸν δημιουργικὸν Λόγον ἐδέξαντο πάντες. Ἐπὶ δὲ τοῦ ἁγίου Πνεύματος· Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται. Καὶ ἵνα

συλληπτικῶς εἴποι τις, αὐτὸς ὁ Κύριος ἔφη· Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι, καὶ πάντα τὰ ἐμὰ, σά ἐστι, καὶ τὰ σὰ, ἐμά. Πλὴν κοινωνικῶς καὶ ἡνωμένως καὶ τῷ παναγίῳ Πνεύματι. Τίνα ταῦτα; Αἱ θεουργίαι, δηλονότι τὰ θαύματα, ὡς τὸ, Εἰ δὲ ἐγὼ ἐν ὀνόματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. Τὸ σέβας, ὡς τὸ, Τῷ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Τὴν πηγὴν καὶ διανομὴν τῶν χαρισμάτων, ὡς τὸ, Λήψεσθε δύναμιν ἐξ ὕψους, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος. Καὶ οὐδένα τῶν ἐν ταῖς ἱεραῖς Γραφαῖς ἀδιαστρόφως ἐντεθραμμένων, οἶμαι ἀντερεῖν πρὸς ταῦτα, ὅτι καὶ κοινῶς καὶ ἰδίᾳ τὰ τοιαῦτα ὀνόματα πρόσεισι, κατὰ τὸν λόγον καὶ τὴν αἰτίαν, ὅτι ἕκαστον τῶν θεαρχικῶν τέλειος Θεὸς, καὶ τὰ τρία πάλιν εἷς Θεὸς τέλειος. Τούτων οὖν, βραχέως μὲν ἐνταῦθα, ἐν ἄλλοις δὲ ἱκανῶς διωρισμένων, ὁποίαν θεωνυμίαν ὁλικὴν καὶ κοινὴν (ὑπεξαιρουμένης τῆς ἰδίας καὶ ὑποστατικῆς) ἀναπτύξαι ἐγχειρήσομεν, κοινῶς αὐτὴν ἐκληπτέον.

Εἰ δέ τις εἴποι, ὅτι σύγχυσιν ἐντεῦθεν ποιούμεθα, καὶ συγχέομεν τὴν θεοπρεπῆ κατὰ τὰς ὑποστάσεις διαίρεσιν, ὅτι τὴν ἐπὶ τοῦ Υἱοῦ θεωνυμίαν τυχὸν ἐπὶ πάσης φέρομεν τῆς θεότητος, ἡμεῖς οὐδὲ ὑπολαμβάνομεν αὐτὸν εἶναι ἱκανὸν εἰς τὸ πείθειν, ὅτι ἀληθῆ λέγει ἃ λέγει καθ᾽ ἡμῶν. Εἰ μὲν γὰρ τῇ θείᾳ Γραφῇ ἀνθίσταται, πόῤῥω καὶ τῆς ἡμετέρας φιλοσοφίας ἔσται· καὶ εἰ μὴ μέλει τούτῳ τῶν θείων Λογίων, πῶς ἂν μελήσοι ἡμῖν τῆς ἐκείνου χειραγωγίας καὶ διδασκαλίας; Εἰ δὲ δέχεται τὴν τῶν Λογίων ἀλήθειαν, ἡμεῖς αὐτοῖς τοῖς Λογίοις, ὡς κανόνι καὶ φωτὶ χρώμενοι, ἀπολογησόμεθα αὐτῷ, ὡς ἡ θεολογία τὰ μὲν τῶν ὀνομάτων ἡνωμένως παραδίδωσιν, ὡς τὸ Θεὸς, τὸ Ἀγαθὸς, καὶ τὰ ὅμοια· τὰ δὲ διακεκριμένως, ὡς τὸ Πατὴρ, τὸ Υἱὸς, τὸ Πνεῦμα, τὸ Γεννητὸν, τὸ Ἀγέννητον, τὸ Ἐκπορευτόν· καὶ οὐχ οἷόν τε οὔτε τὰ ἡνωμένα διαιρεῖν, οὔτε τὰ διακεκριμένα συγχεῖν· ἀλλὰ χρὴ ἑπομένους τῇ θεολογίᾳ, ἀνανεύειν ἐπὶ τὰς θείας φωταγωγίας· καὶ γὰρ ἐκεῖθεν τὰς διδασκαλίας παραλαβόντες, σπεύσομεν ὥσπερ τινὰ κανόνα ταύτας φυλάττειν καὶ ἀπληθύντους, καὶ ἀμειώτους, τοῦτο γάρ ἐστι τοῦ κανόνος τὸ ἴδιον· τὸ πλέον δὲ ἀπαρεκτρέπτους

dicat, ipsemet Dominus dixit: *Omnia quæ habet Pater mea sunt, & omnia mea tua sunt, & tua mea sunt.* Ioã.16,15. Ioan.17,10. Verumtamen hæc etiam sanctissimo Spiritui per communicationem vnionemque attribuit. Quænam hæc? Diuinas operationes, id est miracula, iuxta illud, *Si ego in * spiritu Dei eÿcio dæmonia.* Luc.11,20 * digito Venerationem, iuxta illud, *Qui verò blasphemauerit in Spiritum sanctum, non remittetur ei.* Marc.3,29 Fontem & distributionem gratiarum, iuxta illud, *Accipietis virtutem ex alto*, superueniente Spiritu sancto. Actor.1,8. Ac neminem existimo eorum qui Scripturis haudquaquam peruersè sunt imbuti, negaturum, quin istiusmodi nomina, tam in communi quàm in particulari, secundùm rationem & causam insint omnibus personis diuinis, ita vt quælibet sit perfectus Deus, & rursum omnes tres sint vnus perfectus Deus. Cùm igitur hæc inpræsentiarum quidem breuiter, alibi verò satis definita sint, quodcumque tandem integrum & commune Dei nomen (excepto scilicet proprio & personali) explicare aggrediemur, in communi accipiendum est.

§. 2. Si quis autem obiecerit, nos hoc modo confusionem introducere, & Deo competentem personarum distinctionem confundere, quòd v. g. nomen Filij Dei de totâ diuinitate prædicemus, nos putamus ipsum non satis probare posse, se nobis hæc secundùm veritatem obiicere. Nam si talis sit qui omnino sacris Litteris resistat, à Philosophiâ quoque nostrâ procul admodum aberit: & nisi ipsi curæ sint Scripturæ sacræ, quomodo nobis curæ erit vt ipsum ad scientiam manuducamus? Scripturam esse veritatis regulam. Sin Eloquiorum veritatem admittat, nos Scripturas tamquam regulam lucemque adhibentes, respondebimus ipsi, quòd Theologia nonnulla quidem nomina vnitè tradat, vt *Deus, bonus*, & similia; nonnulla verò distinctè seu diuisim, vt *Pater, Filius, Spiritus, genitum, ingenitum, procedens*: & nefas sit vel vnita distinguere, vel distincta confundere, sed Scripturis insistendo, ad diuinas esse illustrationes suspiciendum, quoniam inde diuinas explanationes accipientes, conamur easdem tamquam canonem seu regulam obseruare, nihil addendo, nihil demendo, hoc enim proprium est regulæ: & quod magis est,

PARAPHRASIS PACHYMERÆ.

dum quidem illas inuiolatas custodimus, Scripturarum ipsi custodiâ seruamur; dum verò ita seruamur, potentiores euadimus ad easdem custodiendas.

§. 3. *Quæ in Deo vnitè dicantur, & quæ discretim.*

Nomina igitur vnita, scilicet totius deitatis, trinæ vnitatis, sicut alibi diximus, sunt supraquam bonum, & cetera, quibus præpositio *supra* præponitur, quæ vocat ablationis secundùm exsuperantiam; siquidem etiam ablatiuum est nomen Immortale & Increatum, sed secundùm affirmationem. Ablatiuum etiam est Supraquam-bonum; non enim simpliciter bonum & sapiens, sed supra hæc, & sine comparatione, & idcircò superlatiuè ablationem continent: quibus annumerantur omnia quæ ad rationem causæ pertinent; nam bonum, & pulchrum, & ens, quoniam Deus ea quæ sunt pulchra, & exsistunt, & bona sunt, suppeditauit, ex effectis hæc nomina sortitur; quæ sunt vnita. Discreta verò sunt nomen superessentiale Patris, nomen superessentiale Filij, nomen superessentiale Spiritus sancti; ex his enim nulla fit reciprocatio, vel communicatio. Pater enim Deus, non tamen Deus solùm Pater; & Filius Deus, non tamen Deus solus Filius; similiter etiam de sancto & viuifico Spiritu. Inuenitur etiam alia quædam distincta Theologia, quæ propria est Domino nostro IESV CHRISTO ac Deo, scilicet perfecta eius secundùm nos existentia, siquidem assumpsit carnem animatam ac intellectus participem: & immutabilis; quod enim erat immutabiliter manens, id quod non erat assumpsit, nempe filium hominis, principij temporisque subiectionem, aliaque quæ humana sunt, ceteraque mysteria humanitatis eius, esuriem, sitim, laborem, & cetera quæ dicit essentialia, vt excludat apparentiam imaginariam.

§. 4. Expedit vtique, nonnihil altiùs resumendo, perfectissimum illum diuinæ vnionis ac distinctionis modum explanari, quò nobis oratio sit aperta, obscuritatem quidem fugiens, hæc verò, quoad fieri potest, clarè definiens. Sacri enim Doctores, vt in aliis etiam dixi, diuinas quidem vniones vocant notiones illas diuinæ & incomprehensibilis essentiæ; ipsam autem essentiam incomprehensibilis Trinitatis, quid sit, nemo cognoscet vmquam: distinctiones verò diuinas, per

φρουρούμενοι μὲν ἐν τῇ φρουρᾷ τῶν Λογίων, δυναμούμενοι δὲ, εἰς τοῦτο δὴ τὸ φρουρεῖσθαι ἐν τῷ φρουρεῖν αὐτά.

Τὰ μὲν οὖν ἡνωμένα, δηλαδὴ τῆς ὅλης θεότητος, τῆς Τριαδικῆς μονάδος, ὡς ἐν ἄλλοις εἴπομεν, ἐστὶ τὸ ὑπεράγαθον, καὶ τἄλλα, προσλαμβανομένης τῆς Ὑπὲρ προθέσεως, ἃ δὴ καὶ τῆς ὑπεροχικῆς ἀφαιρέσεως λέγει· ἀφαιρεματικὸν γὰρ καὶ τὸ Ἀθάνατον, καὶ τὸ Ἄκτιστον, ἀλλὰ κατὰ ἀπόφασιν. Ἀφαιρεματικὸν καὶ τὸ Ὑπεράγαθον· οὐδὲ γὰρ ἁπλῶς ἀγαθὸν καὶ σοφὸν, ἀλλ᾽ ὑπὲρ ταῦτα καὶ ἀσυγκρίτως, καὶ διὰ τοῦτο ὑπεροχικῶς τὴν ἀφαίρεσιν ἔχουσι· μεθ᾽ ὧν εἰσι καὶ τὰ αἰτιολογικά· τὸ γὰρ ἀγαθὸν, καὶ τὸ καλὸν, καὶ τὸ ὂν, ὅτι τὸ Θεῖον ὑπέστησε καλὰ, καὶ ὄντα, καὶ ἀγαθὰ, ἐκ τῶν αἰτιατῶν αὐτὰ ὀνομάζεται· ταῦτα τὰ ἡνωμένα. Τὰ δὲ διακεκριμένα, τὸ ὑπερούσιον ὄνομα τοῦ Πατρὸς, τὸ ὑπερούσιον ὄνομα τοῦ Υἱοῦ, τὸ ὑπερούσιον ὄνομα τοῦ ἁγίου Πνεύματος· οὔτε γὰρ ἀντιστροφὴ ἐκ τούτων γίνεται, οὔτε κοινότης. Ὁ γὰρ Πατὴρ Θεὸς, οὐ μὴν ὁ Θεὸς Πατὴρ μόνως· καὶ ὁ Υἱὸς Θεὸς, οὐ μὴν δὲ καὶ ὁ Θεὸς, Υἱὸς μόνως· ὁμοίως καὶ ἐπὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος. Εὕρηται καὶ ἄλλη διακεκριμένη θεολογία ἰδίως ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, ἡ τούτου καθ᾽ ἡμᾶς ὕπαρξις ἡ παντελὴς, σάρκα γὰρ ἐμψυχωμένην καὶ νοερὰν προσελάβετο· καὶ ἀναλλοίωτος· ὃ γὰρ ἦν μείνας ἀτρέπτως, ὃ οὐκ ἦν προσελάβετο, δηλονότι υἱὸς ἀνθρώπου, τὸ ὑπ᾽ ἀρχὴν γενέσθαι, τὸ ὑπὸ χρόνον, καὶ τἄλλα τὰ ἀνθρώπινα, καὶ ὅσα ἄλλα τῆς κατ᾽ αὐτὸν φιλανθρωπίας μυστήρια, τὸ πεινῆσαι, τὸ διψῆσαι, τὸ κοπιάσαι, καὶ τἄλλα, ἅ δή φησιν οὐσιώδη, ἐκβάλλων τὴν κατὰ φαντασίαν δόξαν.

Πρέπει τοίνυν ἀναλαβόντας τὸν ὁλοτελῆ τῆς θείας ἑνώσεώς τε καὶ διακρίσεως ἐκθέσθαι καὶ εἰπεῖν τρόπον, ὅπως δῆλος ὁ λόγος γένηται, ἅπαν μὲν ἀσαφὲς φεύγων, τὰ δὲ κατὰ δύναμιν σαφῶς περιορίζων. Καλοῦσι γὰρ, ὅπερ καὶ ἐν ἑτέροις εἶπον, οἱ τὰ ἱερὰ μεμυημένοι, ἑνώσεις μὲν θείας, τὰς περὶ τῆς οὐσίας ἀκαταλήπτου γνώσεις· τὴν δὲ οὐσίαν αὐτὴν τῆς ἀκαταλήπτου Τριάδος τί ἐστιν, οὐδεὶς γνώσεταί ποτε· διακρίσεις δὲ θείας, τὰς ἐνυ-

ποστάτους

PARAPHRASIS PACHYMERÆ.

προσάτες προσκυνητὰς ὑπάρξεις, τουτέστι, τοῦ μὲν Υἱοῦ, τὸν ἐκ Πατρὸς ἀνέκφραστον ἀπαυγασμὸν, τοῦ δὲ παναγίου Πνεύματος, τὴν ἐκ Πατρὸς ἀνεννόητον ἐκπόρευσιν· ἐκεῖ ἑνώσεις, ὅτι τὸ ταυτὸν τῆς ἑνιαίας δηλοῦσι φύσεως· ἐνταῦθα διακρίσεις, ὅτι τὴν διαίρεσιν τῶν ὑποστάσεων παριστῶσι. Καὶ φασιν οἱ τοιοῦτοι ἱεροὶ ἄνδρες, καὶ τῆς ἑνώσεως τὰ ἴδια, δηλονότι τὸ ἀγαθὸν, τὸ σοφὸν, τὸ ἀθάνατον· καὶ τῆς διακρίσεως πάλιν τὰ ἴδια, Πατρὸς μὲν, τὸ ἀγέννητον· Υἱοῦ δὲ, τὸ γεννητόν· καὶ Πνεύματος ἁγίου, τὸ ἐκπορευτόν. Τινὲς δὲ εἰσιν αἱ ἰδικαὶ ἑνώσεις, καὶ τινὲς αἱ ἰδικαὶ διακρίσεις· δηλονότι, κοινὸν μὲν Υἱοῦ καὶ Πνεύματος, τὸ ἐκ Πατρὸς εἶναι, ἴδιον δὲ πάλιν, ὅτι τὸ μὲν γεννητῶς, τὸ δ' ἐκπορευτῶς. Καὶ πάλιν, κοινὸν μὲν Πατρὸς καὶ Υἱοῦ, τὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· ἴδιον δὲ, ὅτι Πατρὸς μὲν Πνεῦμα, ὡς ἐκ Πατρὸς ἐκπορευόμενον· Υἱοῦ δὲ Πνεῦμα, ὡς συνουσιωμένον καὶ ἴδιον αὐτοῦ. Καὶ ταύτας λέγει ἑνώσεις καὶ διακρίσεις τῆς διακρίσεως ἰδικάς. Ἐφεξῆς λέγει, τίνες αἱ θεῖαι ἑνώσεις, ἤγουν αἱ κοιναὶ τῆς θείας οὐσίας, δηλονότι, ἡ ὑπερούσιος ὕπαρξις, ἡ ὑπερούσιος θεότης, ἡ ὑπεράγαθος ἀγαθότης· ὅτι καὶ ὑπὲρ ἃ λέγεται, τὸ θεῖον ἀσυγκρίτως ἐστίν· ὃ δὴ προλαβὼν, καὶ ὑπεροχικὴν ἀφαίρεσιν εἶπεν. Ἡ πάντων ἐπέκεινα ταυτότης, ἡ ἐπέκεινα πάντων ὅλης Θεοῦ ἰδιότητος, δηλονότι τοῦ ἀγαθοῦ, τοῦ σοφοῦ, καὶ τῶν τοιούτων· ταῦτα γάρ εἰσιν ἰδιότης Θεοῦ πρὸς τὰ κτιστὰ ὑπεροχικῶς. Τὸ ὑπὲρ πᾶσαν ἑνότητα ἐν τοῖς οὖσιν ἀμερές τε καὶ ἁπλοῦν, τὸ ἄφθεγκτον καὶ πολύφωνον· τὸ μὲν, ὅτι ἀκατονόμαστον· τὸ δὲ, ὅτι τῇ ποικιλίᾳ τῶν εὐεργετουμένων ποικίλως ὀνομάζεται. Ἡ ἀγνωσία, καὶ τὸ παννόητον· ἐν ἀγνοίᾳ γὰρ γίνεται γνωστὸς ὁ Θεός. Ἄγνοιαν δὲ μὴ τὴν διὰ τῆς ἀμαθίας λάβῃς (αὕτη γὰρ σκότος ἐστὶ ψυχῆς) μή τε τὴν γνώσκουσαν (ὅτι ἀγνοεῖται ὁ ἄγνωστος) εἶδος γὰρ καὶ αὕτη γνωριστικόν· ἀλλὰ κατ' ἐκείνην τὴν ἄγνοιαν, καθ' ἣν ἁπλωθέντες ὑπὲρ τὰς νοήσεις, καὶ πᾶσαν ἔννοιαν περὶ Θεοῦ ὑπερβάντες, ἁπλοῖ γινόμεθα· νομίζοντες δὲ κατειληφέναι, καὶ ἀδιάκριτοι μένοντες, διὰ τὴν πρὸς τὴν ἑνότητα στάσιν· καὶ βεβαίως

se subsistentes existentias venerandas, id est, Filij quidem ex Patre ineffabilem splendorem, & sancti Spiritus ex Patre inconceptibilem processionem; illas, inquam, vocant vniones, quoniam idemtitatem vnius naturæ declarant; has verò distinctiones, quoniam distinctionem personarum exponunt. Traduntque istiusmodi viri sancti, quædam esse vnionis propria, videlicet bonitatem, sapientiam, immortalitatem; atque item quædam propria distinctionis, vt Patris quidem, esse ingenitum; Filij verò, genitum; & Spiritus sancti, processionem. Quædam item sunt propriæ vnitates, & quædam propriæ distinctiones: v.g. commune quidem est Filio & Spiritui sancto, ex Patre esse; proprium verò, quòd ille per generationem, hic per processionem. Et rursus, commune quidem Patri & Filio, quòd Spiritus sanctus sit Patris & Filij: proprium verò, quòd sit Patris Spiritus, tamquam ex Patre procedens; * Filij verò Spiritus, tamquam consubstantialis ac proprius ipsius. Et has vocat vniones & distinctiones distinctionis proprias. Deinde dicit, quænam sint diuinæ vniones; siue quæ communes sunt essentiæ diuinæ, nimirum superessentialis existentia, & superessentialis deitas, & supraquam bona bonitas: quoniam supra ea, supra quæ Deus esse dicitur, incomparabiliter superior est; quod asserens, per exuberantem negationem dixit. Idemtitas omnibus superior, omnia superantis totius Dei proprietatis, scilicet boni, & sapientis, & similium; hæc enim sunt Dei proprietas, videlicet per excessum ad creaturas. Super omnem vnitatem quæ in rebus est, indiuisus & simplex, ineffabilis, & multis vocibus expressus: tum quia innominabilis est, tum quia pro beneficiorum diuersitate diuersimodè nominatur. Ignoratio, & ex omni intellectilis, in ignoratione enim Deus cognoscitur. Ignorationem autem non eam accipias quæ ex inscitiâ oritur (nam hæc animæ quædam est tenebricositas) neque etiam cognoscentem (quoniam qui incognoscibilis est minimè cognoscitur) nam hæc quoque species est cognoscitiua: sed secundùm illam ignorationem, secundùm quam simplificati, supra notiones omnemque Dei cogitationem transscendentes, simplices efficimur. Dum existimamus autem nos comprehendisse, etiam manemus ambigui, propter statum vnionis; & firmiter in vnione

*Nota, locū hunc redolere errorem Græcorum, dicentium, Spiritum sanctum à solo Patre procedere; quod & definiuerunt in Pseudosynodo ab annis iam octingentis, sub Photio Patriarchâ Constantinopolitano celebratâ: in quo errore etiamnū cum Rhutenis & Moscis perseuerant.

Quali ignoratione Deus cognoscatur.

 con-

PARAPHRASIS PACHYMERÆ.

consistentes, ignoramus nos non percepisse, id est, nihil aliud scientes, nos velut rudes ignoramus. Tamen quæ ab omni creaturâ religiosè ignorantur, ignoramus. In hac enim ignoratione constituti, efficimur forma eius quod ante omnia existit, negligentes quidem formas omnes ac notiones, in silentio autem sermone omni præstantiori constituti, hoc ipso, quòd ne hoc ipsum quidem cognoscimus nos ignorare; postmodum iterùm à muto silentio conuersi, & cognoscentes nos ignorare, abstinemus ceterùm ab eius quod cognosci nequit inquisitione. Rursum verò Deus ex omni intellectilis dicitur; quoniam ex amicis suis muneribus & * intelligentiis, nec non ex creaturis existere cognoscitur, ex illis quidem Saluator, ex his verò creator. Positionem autem seu affirmationem vocat existentiam, tamquam ex ipso Deo, qui est omnium existentia. Philosophi enim *θέσιν*, seu positionem, vocant formas illas quæ materiæ imprimuntur; ablationem verò, quando qualitates à formis auferuntur, veluti à terrâ siccitas & grauitas, tunc enim fortassis aqua erit. Deus igitur qui hæc omnia transformat, omnium est positio & ablatio. Omnium quidem positio, vt qui omnia ponit & facit, atque vt consistant disponit: in ipso enim cuncta consistunt. Est autem omnium ablatio, vt qui ipsammet rerum positionem ac creationem componit atque concinnat, nec non aufert à rebus positis quæ illarum naturæ aduersantur. Cùm enim in confesso sit, ea quæ generantur omnino etiam corrumpi, ipse autem abundantiâ bonitatis quorumdam quoque auferat corruptibilitatem, vt Angelorum atque animarum; quorumdam verò corruptibilitatem transferat ad incorruptionem, vt corpora nostra in resurrectione: manifestum est ipsum nobis hæc existentem, supra positionem quoque esse & ablationem, cùm sit fundamentum ac radix omnium, non quoad locum, sed quantum ad causam. Neque ipse etiam est ablatio eorum quę habet: nam ipse per se habet immortalitatem, & incomprehensibilitatem, & incognoscibilitatem, aliáq; similia; non quasi non sit contrarium, sed iuxta proprietatem quamdam omnibus ineffabilem: nam exemptus est ab omnibus, & à nullo cognoscitur, vel omnino comprehenditur, vt qui semetipsum propter infinitatem subducat. Rursum est diuinarum quoque in se in-

Quæ sit positio in Deo.

Quomodo Deus sit omnium ablatio.

* Maximus, *prouidentiis.*

ἑστῶτες ἐν τῇ ἑνώσει, ἀγνοοῦμεν ὅτι οὐ κατελάβομεν, τουτέστιν, οὐχ ἑτέρου τινὸς εἰδότες, ἡμεῖς ὡς ἀμαθεῖς ἀγνοοῦμεν. Ἀλλὰ τὰ παρὰ πάσης τῆς κτίσεως εὐσεβῶς ἀγνοούμενα ἀγνοοῦμεν. Ἐν ταύτῃ γὰρ στάντες τῇ ἀγνοίᾳ, εἶδος γινόμεθα τοῦ πρὸ πάντων ὄντος, ἐάσαντες μὲν πάντα τὰ εἴδη καὶ τὰς νοήσεις, ἐν ἀφασίᾳ δὲ κρείττονι πάσης φθέγξεως ἱδρυμένοι, τὸ μηδὲ τοῦτο γινώσκειν ὅτι ἀγνοοῦμεν· εἶτα πάλιν ὑποστρέψαντες ἐκ τῆς ἐν ἀφασίᾳ σιωπῆς, καὶ συνιέντες ὅτι ἠγνοοῦμεν, ἀφιστάμεθα λοιπὸν τοῦ περὶ ἀγνώστου ζητεῖν. Παννόητος δὲ πάλιν ὁ Θεὸς, ὡς ἐκ τῶν φιλοδωρεῶν * ἐννοιῶν νοούμενος ὅτι ἐστὶ, καὶ ἐκ τῶν δημιουργημάτων· ἐκ τῶν μὲν, ὅτι σωτήρ ἐστιν· ἐκ τῶν δὲ, ὅτι δημιουργός. Καὶ θέσιν μὲν τὴν ὕπαρξιν καλεῖ, ὡς ἐξ αὐτοῦ τοῦ Θείου, τῆς πάντων οὔσης ὑπάρξεως. Λέγουσι γὰρ οἱ Φιλόσοφοι θέσιν, τὰ ἐπιτιθέμενα εἴδη τῇ ὕλῃ· ἀφαίρεσιν δὲ, ὅταν αἱ ποιότητες τῶν εἰδῶν ἀφαιρεθῶσιν, οἷον γῆς τὸ ξηρὸν καὶ βαρύ· τότε γὰρ ἔσται τυχὸν ὕδωρ. Ὁ γοῦν Θεὸς ὁ καὶ ταῦτα μετασχηματίζων, ἡ πάντων θέσις καὶ ἀφαίρεσίς ἐστι. Θέσις μὲν πάντων, ὡς τὰ πάντα θεὶς καὶ ποιήσας, καὶ ἱδρύσας παρασκευάζων· ἐν αὐτῷ γὰρ τὰ πάντα συνέστηκεν. Ἀφαίρεσις δὲ πάντων ἐστὶν, ὡς καὶ τὴν θέσιν αὐτὴν τῶν ὄντων καὶ τὴν ποίησιν μεταρρυθμίζων, μετασκευάζων, καὶ ἀφαιρῶν ἐκ τῶν τεθειμένων τὰ παρὰ φύσιν. Εἰ γὰρ ὡμολόγηται, τὰ ἐν γενέσει πάντως καὶ φθείρεσθαι, αὐτὸς δὲ πλούτῳ ἀγαθότητος, τῶν μὲν ἀνεῖλε καὶ τὸ φθαρτὸν, ὡς Ἀγγέλων καὶ ψυχῶν· τῶν δὲ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μετήγαγεν, ὡς τὰ σώματα ἡμῶν ἐν τῇ ἀναστάσει· δῆλον ὡς αὐτὸς ταῦτα ἡμῶν ὑπάρχων, αὐτὸς καὶ ὑπὲρ θέσιν ἐστὶ καὶ ἀφαίρεσιν, θεμέλιος καὶ ῥίζα πάντων ὢν, οὐ τοπικῶς, ἀλλὰ κατὰ τὸ αἴτιον. Οὔτε ἀφαίρεσις αὐτὸς ὢν, ὧν αὐτὸς ἔχει· τὸ γὰρ ἀθάνατον, καὶ ἀκατάληπτον, καὶ ἄγνωστον, καὶ ὅσα τοιαῦτα ἔχει, οὐχ ὡς μὴ ὢν τὸ ἐναντίον, ἀλλὰ κατὰ ἰδιότητά τινα πᾶσιν ἄρρητον· ἐξῄρεται γὰρ τῶν ἁπάντων, καὶ ὑπ' οὐδενὸς νοεῖται, ἢ ὅλως καταλαμβάνεται, ὡς αὐτὸς ἑαυτὸν ἁρπάσας διὰ τῆς ἀπειρίας. Ἡ ἐν ἀλλήλαις πάλιν τῶν ἐναρχικῶν ὑποστά-

* γρ. προνοιῶν.

σεων

σεων μονὴ καὶ ἵδρυσις· ἓν γάρ, καὶ ἕν, καὶ ἕν, καὶ τὰ τρία ἕν. Τί δέ ἐστιν ἡ μονὴ καὶ ἵδρυσις, ὡς τὸ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί; οὕτω καὶ περὶ τοῦ ἁγίου Πνεύματός φησιν ὁ θεῖος Ἀπόστολος. Ἡ μὴ συγκεχυμένη ἐν μέρει, καθάπερ τὸ αἰσθητὸν παράδειγμα ἔχον. Ὥσπερ γὰρ τριῶν κηρῶν ἁπτόντων ἔν τινι οἴκῳ, ταῖς μὲν ὑποστάσεσι διακεκριμένων, τῷ δὲ φωτὶ ἡνωμένην τὴν κοινωνίαν ἐχόντων, καὶ οὐδεὶς δύναται διακρῖναι τὸ κοινὸν φῶς, ὅτι τοῦτο μὲν τούτου, τοῦτο δὲ τοῦ ἄλλου λαμπτῆρος. Ταῦτα εἰπὼν, μεταφέρει τὸν λόγον ἐπὶ τὸ τῆς οἰκονομίας μυστήριον, καὶ τὸ Εὐαγγελικὸν ῥητὸν σαφηνίζει τὸ, Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ πρὸς τὸν Πατέρα μου ὑπάγω, φησίν. Ὅτι εἴ τις ἕνα τῶν πυρσῶν ὑπεξαγαγεῖσθαι τοῦ δωματίου νοήσῃ, οὐδέν τι τῶν ἑτέρων φώτων συνεπισπώμενον, ἢ τὸ ἑαυτοῦ τοῖς ἑτέροις καταλεῖπον, τὸ ὑπεξαγόμενον φῶς ὑπεξάγεται· οὕτω νόει καὶ ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας. Ἐλθὼν ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, καὶ ἐπιδημήσας ἐν τῷ κόσμῳ, οὐ συνεξήγαγεν ἑαυτῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, οὔτε μὴν τῶν οἰκείων τι ἐκείνοις κατέλιπεν, ἀλλ' ἀδιαίρετον τῆς ἑαυτοῦ μονῆς τὴν ἔξοδον ἐποιήσατο. Πλὴν αἱ τῶν σωμάτων ἑνώσεις τῶν τε στοιχειωδῶς θεωρουμένων, καὶ τῶν ἄλλως πως μιγνυμένων δυνάμεσι καὶ ποιότησι τὸ παρηλλαγμένον ἔχουσιν· ὡσαύτως καὶ αἱ ψυχικαὶ δυνάμεις τὸ διάφορον ἔχουσι, καὶ μὴν καὶ αἱ τῶν Ἀγγέλων πρὸς τὰς θείας ἐλλάμψεις ἑνότητες, τὸ ἀνὰ μέρος καὶ ἀνάλογον τῆς οἰκείαις τάξεσιν ἔχουσιν· ἡ δὲ ἐν τῇ ἁγίᾳ Τριάδι ἑνότης, καὶ ὅσα ταύτης, οὐδενὶ τῶν εἰρημένων διακοπτομένη, ἢ ἑαυτῶν διαφέρουσα, εἰκότως ὑπὲρ ταύτας τὰς ἑνώσεις εἶναι δοξάζεται. Ὑπερίδρυται μὲν ἡ ὑπερούσιος ἕνωσις, οὐ τῶν σωματικῶν μόνων ἑνώσεων, ἀλλὰ καὶ τῶν ἐν ψυχαῖς αὐταῖς, καὶ μᾶλλον ἐν αὐτοῖς τοῖς Ἀγγέλοις, ἃς δὴ ἑνώσεις θείας ἔχουσι τὰ ὑπερουράνια φῶτα, οἱ Ἄγγελοι, ἀμιγῶς, ἀσυγχύτως, καὶ ὑπερκοσμίως, ὅλα δι' ὅλων· οὐ γὰρ μερικῶς ἐπιβραβεύεται τούτοις ἡ ἔλλαμψις, ἀλλ' ὁλοτελῶς, εἰ κἀκεῖνοι πρὸς τὸ δυνατὸν καὶ μόνον ἑνοῦνται. Ὥσπερ ἡλίου ὁλοτελῶς ἐπιλάμποντος, ἕκαστον πρὸς τὸ δυνατὸν τοῦ φωτὸς μεταλαμβάνει, οὕτω καὶ ἐπὶ τοῖς Ἀγγέλοις γίνεται, κατὰ τὴν ἀναλογίαν αὐτῶν, τῆς θείας καὶ ὑπερῃρμένης ἑνώσεως

uicem personarum mansio & collocatio: sunt enim vnum, & vnum, & vnum, & tria vnum. Quid autem est mansio & collocatio, vt illud, *Ego in Patre, & Pater in me est*? ita etiam de Spiritu sancto Apostolus ait. Hæc mansio non est in parte confusa, sicut sensibile exemplum declarat. Quemadmodum enim si in aliquâ domo tres cerei accendantur, subiectis quidem diuersi erunt, sed lumine vniti sibi inuicem communicabunt; neque quisquam potest commune lumen discernere, quodnam sit huius, & quod alterius luminaris. Hæc vbi dixit, transfert sermonem ad mysterium dispensationis, & Euangelicum illud dictum explanans, *Ego à Patre exiui, & ad Patrem meum vado*, ait. Vt si quis vnam facem accensam è domo educi intelligit, nihil aliorum luminum secum trahentem vel de suo ceteris relinquentem, lumen eductum subducendo; sic etiam intellige in dispensatione Incarnationis. Quippe Filius à Patre veniens, & in hoc mundo conuersatus non eduxit secum Patrem, neque Spiritum, neque quidquam sibi proprium iis reliquit, sed hunc egressum à sui ipsius mansione fecit indiuulsum. Ceterùm vniones corporum quæ elementaliter considerantur, atque alio quodam modo permiscentur, virtutibus & qualitatibus permutantur; similiter quoque facultates animales suam habent differentiam: quin & Angelorum cum diuinis illustrationibus vnitiones pro ordinum propriorum parte ac proportione fiunt. Diuinitas verò sanctæ Trinitatis, & quidquid eius est, nullo dictorum modo dissecta, aut à se diuersa, meritò censetur esse supra istas vniones. Supercollocatur enim vnio supersubstantialis non tantùm corporeis, verùm etiam iis quæ in animabus, quin & in ipsismet Angelis contingunt, quas vtique diuinas vniones illa luminaria supercælestia, scilicet Angeli, impermixtè, inconfusè, & supermundialiter tota se totis obtinent: non enim partialiter his illustratio conceditur, sed omnino integrè, tametsi quoque pro captu suo dumtaxat vniantur. Quemadmodum sole omnino perfectè illucescente quidlibet pro captu suo lumen participat, ita etiá in Angelis contingit, dum secundùm proportionem suam diuinæ illius & supereminentis vnionis par-

PARAPHRASIS PACHYMERÆ.

Ioan. 10. 38.

Exemplo sensili declaratur circuminsessio Diuinarum personarum.

Ioan. 16, 28.

PARAPHRASIS PACHYMERÆ.

participes existunt. Est etiam distinctio in diuinis, non ea tantùm quam priùs diximus, quòd inconfusè in tres personas indiuidua simplexque natura diuina diuidatur; verùm etiam Patris notio, scilicet actiua Dei generatio, cum aliis non conuertatur. Pater enim solus fons est superessentialis deitatis, qualibet diuinarum personarum proprietatis suæ laudes religiosè conseruantibus. Ecce etiam aliam distinctionem, secundùm quam Pater ab effectis Filij & Spiritus sancti distinguitur. Hæ quidem sunt vniones & distinctiones in illâ ineffabili vnione naturali.

§. 5. *Emanationes toti Trinitati communes.*

Est etiam secundùm aliam rationem diuina distinctio, illa Dei propter abundantiam bonitatis emanatio ad multiplices tam inuisibilis quàm visibilis creaturæ formas. Porrò prouidentiæ benignitatesque creationis, trinæ vnitati sunt communes. Ne itaq; cùm audies distinctionem, existimaueris, vni quoque personæ alicui seorsim competere creationem prouidentiámve; sed distinctiones appellauit emanationes creationis ac prouidentiæ, tamquam effusiones bonitatis à beatâ & inconfusâ Trinitate distinctas, secundùm quas à participatis, scilicet donis, & participantibus, scilicet effectis, laudantur ea quæ imparticipatè participantur. Imparticipatè autem participatur Deus, qui naturâ suâ in tribus subsistit personis: siquidem hoc toti diuinitati commune est, omnem ipsam totam à quolibet participantium participari, & non in parte, tametsi participantia secundùm propriam facultatem eam participent; quemadmodum validâ voce excitatâ, præsentes omnes pro facultate suâ eamdem percipiunt, & vir, & puer, & bruta; sed illi quidem valentiùs, hi verò remissiùs, secundùm facultatis audiendi efficaciam. Atque communicabilis est vox, & in se ipsâ incommunicabilis manens. Vel, iuxta exempla proposita, sicut lineæ rectæ à circumferentiâ centro circuli incidentes, illud integrè participant, & non ex parte, quoniam punctum, quod & centrum est, parte caret; & sicut ea quæ expressa sunt totaliter & non ex parte sigillum participant. Dum autem exempla profert, declarat diuinitatis imparticipabilitatem hæc ipsa superare; quoniam neque tactus eius est, sicut in puncto; neque alia quæ-

μετέχουσιν. Ἔστι διάκρισις ἐν ταῖς θεολογίαις, οὐχ ἣν ἔφημεν μόνον πρότερον, ὅτι ἀσυγχύτως εἰς τρεῖς ὑποστάσεις διακέκριται ἀδιαιρέτως ἡ θεία καὶ ἁπλῆ φύσις· ἀλλ᾽ ὅτι καὶ τὸ τοῦ Πατρὸς αὔχημα, δηλονότι ἡ θεογονία, οὐκ ἀντιστρέφει πρὸς τἄλλα. Μόνη γὰρ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ, φυλαττόντων τῶν ὑμνῶν εὐσεβῶς τὰ οἰκεῖα ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. Ἰδοὺ καὶ ἑτέρα διάκρισις, καθ᾽ ἣν διακέκριται ὁ Πατὴρ τῶν αἰτιατῶν, Υἱοῦ τε καὶ Πνεύματος. Αὗται μὲν αἱ κατ᾽ ἐκείνην τὴν ἄρρητον φυσικὴν ἕνωσιν, ἑνώσεις τε καὶ διακρίσεις.

Ἔστι καὶ κατ᾽ ἄλλον λόγον θεία διάκρισις, ἡ διὰ πλῆθος ἀγαθότητος πρόοδος τοῦ Θεοῦ εἰς τὴν πολυειδίαν τῆς δημιουργίας τῆς ἀοράτου καὶ ὁρατῆς. Κοιναὶ δέ εἰσι τῆς τρισυποστάτου ἑνάδος αἱ δημιουργικαὶ πρόνοιαί τε καὶ ἀγαθότητες. Μὴ γοῦν ἀκούσης διάκρισιν, καὶ νομίσῃς ὅτι διακεκριμένως μία ὑπόστασις ἔχει τὴν δημιουργίαν ἢ τὴν πρόνοιαν· ἀλλὰ διακρίσεις εἶπον, τὰς προόδους τῆς δημιουργίας καὶ τῆς προνοίας, ὥς τινας χύσεις ἀγαθότητος διακεκριμένας ἀπὸ τῆς μακαρίας καὶ ἀσυγχύτου Τριάδος, καθ᾽ ἃς ἐκ τῶν μετοχῶν, δηλονότι τῶν δωρεῶν, καὶ τῶν μετεχόντων, τῶν αἰτιατῶν δηλονότι, ὑμνεῖται τὰ ἀμεθέκτως μετεχόμενα. Μετεχόμενον δέ ἐστιν ἀμεθέκτως, ἡ τρισυπόστατος φύσις ὁ Θεός· καὶ τοῦτο γὰρ κοινὸν τῇ ὅλῃ θεότητι, τὸ, πᾶσαν αὐτὴν ὅλην ὑφ᾽ ἑκάστου τῶν μετεχόντων μετέχεσθαι, καὶ οὐκ ἐν μέρει, εἰ καὶ τὰ μετέχοντα κατὰ τὴν οἰκείαν μετέχουσι δύναμιν, ὥσπερ φωνῆς μεγάλης γινομένης ἅπαντες μετέχουσιν οἱ παρόντες κατὰ τὴν οἰκείαν δύναμιν, καὶ ἀνήρ, καὶ νήπιον, καὶ ἄλογα· ἀλλ᾽ οἱ μὲν ἐρρωμενέστερον, οἱ δὲ ἀμυδρότερον πρὸς τὴν τῆς ἀκουστικῆς ἐνέργειαν. Καὶ ἔστι μεθεκτικὴ ἡ φωνή, ἐφ᾽ ἑαυτῆς ἀμέθεκτος μένουσα. Ἢ, κατὰ τὰ ὑποκείμενα παραδείγματα, ὥσπερ κέντρου κύκλου αἱ ἀπὸ τῆς περιφερείας προσπίπτουσαι εὐθεῖαι πρὸς τοῦτο, ὁλικῶς μετέχουσι, καὶ οὐκ ἐν μέρει· ἀμερὲς γὰρ τὸ σημεῖον, ὃ δὴ καὶ τὸ κέντρον ἐστί· καὶ ὥσπερ τὰ ἐκτυπώματα ὁλικῶς, καὶ οὐκ ἐν μέρει τῆς σφραγῖδος μετέχουσιν. Εἰπὼν δὲ τὰ παραδείγματα, ὑπερκειμένην δείκνυσι πρὸς ταῦτα τὴν τῆς θεότητος ἀμεθεξίαν· διότι οὔτε ἐπαφὴ αὐτῆς ἐστιν, ὡς ἐπὶ τοῦ σημείου· οὔτε ἄλλη τις συμμι-

γῆς

PARAPHRASIS PACHYMERÆ.

τῆς κοινωνία πρὸς τὰ μετέχοντα, ὡς ἐπὶ τῆς σφραγῖδος· κατ᾽ οὐσίαν γὰρ ἡ θεότης οὐ μετέχεται, μεθεκτικὴ δέ ἐστιν ἐν τῷ ἐξ αὐτῆς εἶναι τὰ πάντα, καὶ ὑπ᾽ αὐτῆς συνέχεσθαι εἰς τὸ εἶναι.

Καίτοι φαίη τις, ὡς οὐκ ἔστιν ἡ σφραγὶς ἐν ὅλοις τοῖς ἐκμαγείοις ἡ αὐτή· ποῦ μὲν γὰρ ἀκριβῶς ἐγκεχάρακται, ποῦ δὲ μετρίως· καὶ λέγει λύων ὁ Ἅγιος, ὅτι τοῦτο μᾶλλόν ἐστι παραστατικὸν τῶν λεγομένων, ὅτι ἡ μὲν σφραγὶς, ἡ αὐτή ἐστιν· ἡ δὲ τῶν μετεχόντων διαφορὰ, ἀνόμοια ποιεῖ τὰ ἐκτυπώματα τῆς αὐτῆς καὶ μιᾶς ἀρχετυπίας· οἷον εἰ ἁπλᾶ, καὶ εὐτύπωτα, ἢ καὶ λεῖα καὶ ἀχάρακτα ἀπὸ ἄλλων προηγησαμένων χαρακτήρων, καὶ μήτε σκληρὰ καὶ ἀντίτυπα ὡς κατεσκληκὼς κηρὸς, μήτε πάλιν εὐδιάχυτα, ὡς κατατετηγμένος τῇ θέρμῃ, καθαρὸν ἕξει τὸν τύπον· εἰ δέ τι ἐλλείπει, τοῦτο αἴτιον ἢ τοῦ ἀσαφοῦς, ἢ τοῦ παρακεκομμένου, ἤ τινος ἄλλου, ὅσα ἐπισυμβαίνει διὰ τὴν τῶν μετεχόντων ἀνεπιτηδειότητα. Σκόπει καὶ ἑτέραν θείαν διάκρισιν τὴν τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, καὶ τὸ δρᾶσαι καὶ παθεῖν, ὅσα ὡς ἄνθρωπος καὶ ἔδρασε καὶ ἔπαθε θαυμαστὰ καὶ παράδοξα· τούτοις γὰρ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα οὐ κεκοινωνήκασιν· εἰ μή τις εἴποι κατὰ τὴν φιλάνθρωπον εὐδοκίαν καὶ βούλησιν, καὶ κατὰ τὸ συνεργάζεσθαι τῷ Υἱῷ τὰς θεοσημείας. Οὕτω γοῦν καὶ ἡμεῖς καθὼς τὰ θεῖα ἔχουσιν ἀληθείας καὶ φύσεως, καὶ ἑνοῦν τῷ λόγῳ καὶ διακρίνειν σπεύδομεν.

Ἀλλὰ τούτων μὲν τῶν ἑνώσεων καὶ διακρίσεων ὅσας αἰτίας θεοπρεπεῖς ἐν ταῖς ἱεραῖς Γραφαῖς εὑρήκαμεν, ἐν ἄλλοις ἰδίᾳ περὶ ἑκάστης διελάβομεν, τὰ μὲν ἀναπτύξαντες, νοῦν ἀθόλωτον προσαγαγόντες τοῖς φανοῖς γραφικοῖς θεάμασιν (οὕτως γὰρ ὁ ἱερὸς ἀναπτύσσει καὶ ἑρμηνεύει νοῦς) τοῖς δὲ, ὡς μυστικοῖς καὶ ὑπὲρ νοερὰν ἐνέργειαν, ἑνωθέντες, δηλονότι σιγῇ καὶ ἀκαταληψίᾳ τιμήσαντες· οὐκ ἄλλως γὰρ τοῖς τοιούτοις ἐπιβάλλει ὁ ἱερὸς νοῦς, ἢ κατὰ ἀπόπαυσιν πάσης κινήσεως νοητικῆς τῶν ὄντων· τοῦτο γὰρ δηλοῖ τὸ ὑπὲρ νοερὰν ἐνέργειαν, τουτέστιν ὅταν τῷ ἀκαταλήπτῳ τοῦ Θεοῦ πάντοθεν περιεχεθῇ, τότε καταλαμβάνει πως τὸ ζητούμενον. Πάντα γὰρ τὰ θεῖα ὀνόματα, καὶ ὅσα ἡμῖν πεφανέρωται, ταῖς μετοχαῖς μό-

uis mixta communio cum participante, vt in sigillo: nam diuinitas secundùm substantiam non participatur, sed est participans, in quantum ex eâ sunt omnia, & ab ipsâ in suo esse continentur.

§. 6. *Vnde proueniat inæqualis repræsentatio sigilli.*

At dicet aliquis, sigillum in totis expressis figuris non esse idem; quandoque enim exactè expressum est, quandoque verò mediocriter: aitq; sanctus Pater id soluens, magis ea quæ dicuntur confirmare, quoniam sigillum idem est, sed diuersitas communicantium, vnius ac eiusdem primitiuæ formæ, dissimiles reddit effigies: vt si simplicia, formatuque facilia, vel etiam mollia, aliisque figuris ac formis carentia, quæ neque dura sint, neque reluctantia, vt exsiccata cera; neque iterùm fluxa, vt cera præ calore liquefacta, nitidam figuram habitura sunt: sin autem aliquid defuerit, hoc causa erit vel obscuritatis, vel falsitatis, vel alterius defectus, quæ propter ineptitudinem participantium accidunt. Obserua etiam aliam diuinam distinctionem Verbi incarnati tam in agendo quàm patiendo mirabilia & obstupenda, quæ, in quantum homo, & egit & pertulit: his enim & Pater & Spiritus non communicarunt, nisi fortè quis dixerit, secundùm benignum beneplacitum ac voluntatem, & in diuinis signis Filio cooperando. Nos itaque similiter res diuinas sermone coniungere distinguereque satagimus, prout verè ac naturâ suâ vnitæ sunt ac distinctæ.

§. 7. *Deum in silentio maximè cognosci.*

Sed harum vnionum ac distinctionum quascumque in sacris Litteris rationes Deo consentaneas reperimus, alibi seorsum explicuimus, partim quidem eas enucleando, ac purum tranquillumque animum per quam lucidis Scripturarum contemplationibus admouendo (sic enim eas mens sacra explicat & interpretatur) partim verò, ceu mysticis, supra mentis etiam operationem vniti, silentio scilicet, & incomprehensibili modo honorem exhibentes. Mens enim sacra non aliter iis intendit quàm per omnem cessationem motus, qui ad intelligendas res facit: hoc enim declarat illud quod dixit, supra mentis operationem, id est, quādo vndiq; Dei incomprehensibilitate comprehenditur, tunc assequitur quod quærebat. Nam omnia diuina nomina, & quæcumque nobis apparuerunt, solis participa-

PARAPHRASIS PACHYMERÆ.

tionibus cognoscuntur, secundùm quas impermixtè Deum participamus: nam ex participationibus quæ à Deo nobis donantur, Dei quoque nomina componimus. Porrò quales ipsæmet res diuinæ sint secundùm naturam suam, omnem mentem & essentiam excedit: velut cùm arcanum illud superessentiale Deum nominamus, vel vitam, vel alia, nihil aliud intelligimus, quàm vel benignas in nos virtutes, secundùm quas deificamur, vel substantificamur, vel viuificamur, atque alia similiter. Ipsa verò diuina supraquam existentia sic quodammodò laudabitur, quando ab efficaciâ omni validissimâ & intelligente absoluta suscipiet nos in sancto silentio, mentem iis quæ illinc promanant donis adiicientes: hæc enim est cognitio in ignoratione, in quâ nullam cernimus vel deificationem, vel vitam, vel substantiam quæ planè similis sit causæ isti, quæ cunctis per omnem excellentiam antecellit. Veneranda sacroque pauore digna sunt sanctæ Trinitatis nomina: quoniam Pater est diuinitas fontalis, Filius verò sanctusque Spiritus sunt quædam germina ac flores, ac lumina superessentialia. Germina quidem, ex
Zach 4,3. visione oliuarum Zachariæ: lumina verò, ex
Iac. 1,17. Epistolâ Iacobi fratris Domini, qui de Patre luminum mentionem facit. Hæc itaque nomina à Scripturis sacris accepimus: quonam autem pacto sese habeant, neque eloqui neque intelligere valemus.

§. 8. *Quomodo in Deo sit omnis paternitas & filiatio, &c.*

Ceterùm hactenus omne mentis nostræ studium hoc spectat, quomodo ex hac paternitate ac filiatione omnis paternitas in cælo & in terrâ nominetur; ex quâ fit, vt spiritaliter ac doctrinaliter etiam dij & deorum patres, diuini ac sancti viri, & deorum filij qui in sacrâ Doctrinâ proficiunt, nuncupentur. Quid autem est spiritaliter? id est incorporeè & immaterialiter, ac intellectualiter, viris nimirum sanctis ex sancto quidem Spiritu diuino, qui est supra omnem immaterialitatem ac deificationem, diuinitatem hanc ac spiritalitatem accipientibus; ex Patre verò ac Filio, qui per excellentiam omnem paternitatem ac filiationem superant, istiusmodi statum participantibus. Non enim est perfecta similitudo effectis creatis ad causas, diuinas inquam personas: sed habent quidem creaturæ, quoad fieri potest, ima-

ναις γινώσκονται, καθ' ἃς μετέχομεν ἀμιγῶς ἡμεῖς τοῦ Θεοῦ· ἐκ γὰρ τῶν μετοχῶν τῶν ἀπὸ τοῦ Θεοῦ δωρουμένων ἡμῖν, καὶ τὰς περὶ Θεοῦ ὀνομασίας ποιούμεθα. Αὐτὰ δὲ τὰ θεῖα ὁποῖά ποτέ ἐστι κατὰ τὴν οἰκείαν φύσιν, ὑπὲρ νοῦν καὶ πᾶσαν οὐσίαν ἐστίν· οἷον εἰ τὴν ὑπερούσιον κρυφιότητα, τὸν Θεὸν, ὀνομάζοιμεν, ἢ Θεὸν, ἢ ζωὴν, ἢ τἄλλα, οὐδὲν ἕτερον νοοῦμεν, ἢ τὰς εἰς ἡμᾶς ἀγαθοπρεπεῖς δυνάμεις, καθ' ἃς ἐκθεούμεθα, ἢ οὐσιοποιούμεθα, ἢ ζωοποιούμεθα, καὶ τἄλλα ὁμοιοτρόπως. Αὐτὴ δὲ ἡ θεία ὑπερύπαρξις οὕτως πως ὑμνηθήσεται, ὅταν πάσης ἐνεργείας δραστικωτάτης καὶ νοερᾶς ἀπολυθεῖσα, τούτων ἡμῶν ἐν τῇ τοῦ ἡμετέρου νοῦ ἀδιακελσίᾳ δέξηται ἡμᾶς διὰ σιγῆς ἁγίας ἐπιβάλλοντας ταῖς ἐκεῖθεν ἐκφοιτώσαις δωρεαῖς· τοῦτο γάρ ἐστι καὶ ἡ ἐν ἀγνωσίᾳ γνῶσις, ἐν ᾗ οὐδεμίαν ὁρῶμεν ἢ θέωσιν, ἢ ζωὴν, ἢ οὐσίαν, ἢ τίς ἀκριβῶς ἐξισωθήσεται τῇ κατὰ πᾶσαν ὑπεροχὴν ἐξῃρημένῃ αἰτίᾳ. Τὰ σεβάσμια καὶ φρικτὰ ἐπὶ τῆς ἁγίας Τριάδος ὀνόματα, ὅτι πηγαία θεότης ὁ Πατήρ· ὁ δὲ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα βλαστοὶ, καὶ ἄνθη, καὶ φῶτα ὑπερούσια. Βλαστοὶ μὲν, ἀπὸ τῆς τῶν ἐλαιῶν ὀπτασίας τοῦ Ζαχαρίου· φῶτα δὲ, ἐκ τοῦ Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου, παρὰ τοῦ Πατρὸς τῶν φώτων λέγοντος. Ταῦτα γοῦν τὰ ὀνόματα παρὰ τῆς Γραφῆς παρελάβομεν· ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν.

Ἀλλ' ἄχρι τούτου προβαίνει ἡ τῆς ἡμετέρας νοερᾶς ἐνεργείας δύναμις, ὅτι ἐκ ταύτης τῆς πατρότητος καὶ τῆς υἱότητος πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· ἐξ ἧς πνευματικῶς καὶ διδασκαλικῶς καὶ θεοὶ καὶ θεῶν πατέρες, οἱ θεῖοι καὶ ἱεροὶ ἄνδρες, καὶ θεῶν υἱοὶ ἐν τῇ ἱερᾷ διδασκαλίᾳ προσβαίνοντες ὀνομάζονται. Τί γοῦν ἐστι τὸ πνευματικῶς; ἀσωμάτως δηλαδὴ καὶ ἀΰλως, καὶ νοητῶς, ἐκ μὲν τοῦ θεαρχικοῦ Πνεύματος τοῦ ὑπὲρ πᾶσαν ἀϋλίαν ὄντος καὶ θέωσιν, τὸ θεοὶ καὶ τὸ πνευματικὸν λαμβανόντων τῶν ἱερῶν ἀνδρῶν· ἐκ δὲ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, τῶν ὑπεροχικῶς ἐξῃρημένων πάσης πατριᾶς καὶ υἱότητος, τὰς τοιάσδε σχέσεις προσδεχομένων. Οὐδὲ γάρ ἐστιν ἀκριβὴς ὁμοιότης τοῖς αἰτιατοῖς κτίσμασι καὶ τοῖς αἰτίοις, ταῖς θεαρχικαῖς φημι ὑποστάσεσιν· ἀλλ' ἔχει μὲν τὰ κτίσματα τὰς ἐνδεχομέ-

τας

νας εἰκόνας ἐκ τοῦ Θεοῦ· αὐτὰ δὲ τὰ αἴτια, παντελῶς τῶν αἰτιατῶν κτισμάτων ἐξῄρηνται. Καὶ ἵνα χρήσωμαι τοῖς γηΐνοις παραδείγμασιν, ἡδοναὶ ποιητικαὶ τοῦ ἥδεσθαι, καὶ λῦπαι τοῦ λυπεῖσθαί εἰσιν· αὐταὶ δὲ αἱ ἡδοναὶ οὐ λέγονται ἥδεσθαι, οὐδὲ αἱ λῦπαι λυπεῖσθαι. Καὶ τὸ πῦρ θερμαίνει καὶ καίει, οὐ θερμαίνεται δὲ καὶ καίεται. Διὰ τοῦτο καὶ εἴ τι φαίη ζῆν τὴν ζῶσαν καὶ αὐτοζωὴν, καὶ φωτίζεσθαι τὸ αὐτοφῶς, οὐκ εἴποι κυρίως κατὰ τὸν ὀρθὸν τῆς ἀληθείας λόγον, εἰ μή πως καθ' ἕτερον τρόπον, ὅτι περιουσίως, καὶ οὐσιωδῶς, καὶ οὐ κατὰ μετοχὴν, παρὰ τῶν αἰτιατῶν ἔνεισι ταῦτα τοῖς αἰτίοις.

Ἀλλὰ καὶ τὸ ἐκφανέστατον ἁπάσης θεολογίας τὸ τῆς Ἰησοῦ φιλανθρωπίας μυστήριον (ὅτι καὶ φανερῶς καὶ ἀληθινῶς ὡμίλησεν ἡμῖν) ἀλλὰ καὶ τοῦτο ἄρρητόν ἐστι λόγῳ παντὶ, καὶ ἄγνωστον νῷ παντὶ, καὶ αὐτῷ τῷ πρωτίστῳ καὶ πρεσβυτάτῳ Ἀγγέλῳ, δηλονότι τῇ ὑψηλοτάτῃ καὶ πρώτῃ τάξει. Λέγει γὰρ καὶ ὁ θεολόγος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει πρεσβυτέροις Ἀγγέλους. Καὶ τὸ μὲν σαρκωθῆναι μυστικῶς παρειλήφαμεν, τὸ δ' ὅπως ἐκ παρθενικῶν αἱμάτων ἑτέρῳ παρὰ τὴν φύσιν θεσμῷ διεπλάττετο, καὶ τἄλλα πάντα τῆς Ἰησοῦ φυσιολογίας, πῶς ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενος, καὶ κατὰ ἄνθρωπον ἔπραττε, καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει, ἑτέρου λόγου καὶ κρείττονος ἢ καθ' ἡμᾶς καὶ τὴν ἡμετέραν ἀνθρωπίνην δύναμιν. Εἰ γοῦν ἐπὶ τούτοις ἄρρητά εἰσι τὰ θεοπρεπῆ, ἃ δὴ καὶ τὴν θεολογίαν ἐκφανεστέραν ἔχουσι, τί φήσειέ τις περὶ τῆς μακαρίας Τριάδος; Ταῦτα ἡμῖν τε ἐν ἄλλοις εἴρηται, καὶ τῷ κλεινῷ ἡμῶν διδασκάλῳ τῷ μακαρίῳ Ἱεροθέῳ, ὃν μετὰ τὸν Παῦλον διδάσκαλον ἐπλούτησεν· ἅπερ ἐκεῖνος, εἴτε ἀπὸ τῶν ἱερῶν Γραφῶν παρείληφεν, εἴτε καὶ ἐκ τῆς περὶ τὰς Γραφὰς ἐρεύνης συνεώρακεν, ἐκ τῆς πολλῆς γυμνασίας καὶ τριβῆς, εἴτε καὶ ἔκ τινος ἐμυήθη θειοτέρας ἐπιπνοίας, οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθών· ὡς οὐ διδακτῶς διὰ λόγων τὴν περὶ τούτων δεξάμενος μύησιν, ἀλλὰ τῇ θείᾳ ἐλλάμψει τυπωθεὶς, καὶ οἷον ἐνσημανθεὶς τῇ διανοίᾳ τὴν γνῶσιν τῶν ὑπὲρ φύσιν. Ταύτην γὰρ τὴν τῶν θειοτέρων μύησιν, συμπάθειαν ἐκάλεσεν, ἤγουν συνδιάθεσιν. Καὶ ἵνα τὰ πολλὰ καὶ μακάρια τοῦ ἐκείνου

gines Dei; ipsæ verò causæ penitus ab effectis creatis exemptæ sunt. Et, vt terrenis exemplis vtar, voluptates ac dolores efficere dicuntur, vt homines lætentur vel tristentur, tamen ipsæ voluptates non dicuntur lætari, nec dolores tristantur. Et ignis calefacit, & adurit, tamen non calefit, nec aduritur. Idcircò etsi quis vitam viuere, & per se vitam dixerit, & illuminari id quod per se lumen est, nequaquam propriè locutus fuerit, secundùm rectam veritatis rationem; nisi fortè hæc alio modo dicat, quòd nimirum abundantiùs, & secundùm essentiam, non autem secundùm participationem, præ effectis hæc insint causis. PARAPHRASIS PACHYMERÆ.

Quin etiam quod est vniuersæ Theologiæ manifestissimum Iesu humanitatis mysterium (quoniam etiam manifestè ac verè nobiscum communicauit) tamen id ipsum etiam ineffabile est sermoni omni, & omni menti inconceptibile, etiam primo & antiquissimo Angelo, scilicet sublimissimo primoq; ordini. hoc enim Ioannes ille Theologus in Apocalypsi de antiquioribus iis Angelis tradit. Atque eum quidem carnem assumpsisse, mysticè accepimus, sed quomodo ex virgineis sanguinibus aliâ quàm naturæ lege sit efformatus, aliaque omnia quæ ad naturæ Iesu explicationem spectant, quomodo in duabus naturis cognitus, & prout hominem se gesserit, & supra hominem opera ediderit, longè alterius & præstantioris sermonis res est, quàm nostra ratio aut facultas ferat. Adhæc itaque, si ineffabilia sunt diuina, vt quæ subtiliorem habeant Theologiam, quid dicet quis de beatâ Trinitate? Verùm hæc à nobis etiam alibi dicta sunt, & ab inclyto præceptore nostro beato Hierotheo, quem post sanctum Paulum habuit præceptorem: quæ ille, siue à Scripturis sacris acceperat, siue ex earumdem indagatione fuerat contemplatus, & exercitio vsuque plurimo, siue etiam diuiniori aliquâ insinuatione doctus erat, non solùm discens, sed & patiens diuina, vt qui non doctrinaliter per verba doctrinam eorum hauserat, sed diuinâ illustratione expressam, & veluti insignitam, in mente supernaturalem habebat cognitionem. Hanc autem rerum diuinarum eruditionem συμπάθειαν seu consensionem appellauit. Atque, vt plurima eaque beatissima

§. 9. *Mysterium incarnationis est ineffabile.*

illius

PARAPHRASIS PACHYMERÆ.

illius documenta transeamus, paucis subiiciamus ea quæ de Domino nostro IESV CHRISTO ac Deo in Theologicis elementis tradit.

HIEROTHEI.

§. 10. *Quomodo Iesus sit omnia in omnibus.*

Deinde verò ad verbum exponit scriptum quoddam sancti Hierothei, in quo beatus ille ait, ostendendo, quomodo & Filius omnia in omnibus & caput omnium sit, secundùm Apostolum; quoniam omnium est plenitudo & compago, & conseruat ac adstringit partes toto, & neque pars est neque totum, quia his superior est: attamen & totum est, & pars, tamquam continens vniuersa, & suprahabet naturâ, & antehabet vt causa; & perfectus est in imperfectis nobis, & imperfectus in perfectis Angelis, tamquam supraquam perfectus, & antè perfectus, & nullam habens comparationem perfectionis ad illos; & forma rerum informium, tamquam creator & principium omnis formæ, & sine formâ respectu rerum informatarum, vtpote supra formam. Substantia cunctas substantias peruadens suâ prouidentiâ, & naturâ suâ rursus ab omni substantiâ exempta, cuncta principia ordinesque definiens, supra omne principium ordinemque collocatus. Et rerum est mensura, quoniam in ipso vniuersa terminantur; & sæculum & supra sæculum, tamquam auctor sæculorum; quasi perfectus in imperfectis, & in perfectis imperfectus, quippe supraquam perfectus; tamquam plenus in indigentibus, & supraquam plenus in plenis, & quæcumque supra hæc sunt, ne singula recenseamus. Hinc quoniam etiam nobiscum in carne & sanguine communicauit, & verè substantiam nostram assumpsit, & homo dictus est, rursus etiam in iis habet perfecta quædam vestigia diuinitatis: non solùm quòd diuinitas sine vllâ immutatione nobiscum communicarit, nihilque à viliori humanitate passa sit; verùm etiam, quod nouis omnibus maximè nouum est, in naturalibus nostris supernaturalis extiterit, ambulans, sed supra aquam fluxam; comedens, sed tot millia satian s, omnia nostra ex nobis & supra nos excellenter habens.

παραδῶμεν, ἐν ἐλαχίστοις παραθώμεθα, ἅπερ φησὶ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ ἐν ταῖς θεολογικαῖς στοιχειώσεσιν.

ΙΕΡΟΘΕΟΥ.

Ἐφεξῆς δὲ ἐκτίθησι πρὸς ῥῆμα καὶ τὴν τοῦ Ἁγίου γραφήν, ἐν οἷς ὁ μακάριος λέγει, παριστῶν ὅτι καὶ ὁ Υἱὸς τὰ πάντα ἐστὶν ἐν πᾶσι, καὶ κεφαλὴ πάντων κατὰ τὸν Ἀπόστολον, ὅτι πάντων ἐστὶ πλήρωμα καὶ συνοχεύς, καὶ διασώζει καὶ περισφίγγει τὰ μέρη τῇ ὁλότητι· καὶ οὔτε μέρος ἐστίν, οὔτε ὅλον, ὑπὲρ ταῦτα γάρ· ἀλλὰ καὶ ὅλον καὶ μέρος, ὡς συνειληφὼς τὰ πάντα· καὶ ὑπερέχει τῇ φύσει, καὶ προέχει τῷ αἰτίῳ, καὶ τέλειος ἐν τοῖς ἀτελέσιν ἡμῖν ἐστι, καὶ ἀτελὴς ἐν τοῖς τελείοις Ἀγγέλοις, ὡς ὑπερτελὴς καὶ προτέλειος, καὶ μηδεμίαν ἔχων σύγκρισιν τῆς τελειότητος πρὸς αὐτούς, καὶ εἶδος τῶν ἀνειδέων, ὡς δημιουργὸς καὶ ἀρχὴ παντὸς εἴδους καὶ ἀνείδεος πρὸς σύγκρισιν τῶν εἰδοπεποιημένων, ὡς ὑπὲρ ταῦτα. Οὐσία πᾶσιν ἐπιβατεύουσα τῇ προνοίᾳ, καὶ πάλιν ἐξῃρημένη ἁπάσης οὐσίας τῇ φύσει· πάσας ἀρχὰς καὶ τάξεις περιορίζων, καὶ πάσης ὑπεριδρυμένος καὶ ἀρχῆς καὶ τάξεως. Καὶ μέτρον ἐστὶ τῶν ὄντων, ἐπειδὴ ἐν αὐτῷ πάντα πεπέρασται· καὶ αἰών, καὶ ὑπὲρ αἰῶνα, ὡς αἰώνων ποιητής· ὥσπερ τέλειος ἐν τοῖς ἀτελέσι, καὶ ἐν τοῖς τελείοις ἀτελής, ὡς ὑπερτέλειος. οὕτως πλήρης ἐν τοῖς ἐνδέεσι, καὶ ὑπερπλήρης ἐν τοῖς πλήρεσι· καὶ τἄλλα ὑπὲρ ταῦτα, ἵνα μὴ καθ' ἕκαστον λέγωμεν. Ὅθεν καὶ ἐπεὶ ἡμῖν κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ ἀληθῶς οὐσιώθη, καὶ ἄνθρωπος ἐχρημάτισε, πάλιν κἀν τούτοις ἔχει τὰ τῆς θεότητος αὐχήματα τέλεια, οὐ μόνον καθ' ὃ ἀναλλοιώτως κεκοινώνηκε, μηδὲν πεπονθὼς παρὰ τῆς χείρονος ἀνθρωπότητος εἰς τὴν αὐτοῦ θεότητα, ἀλλ' ὅτι καὶ τὸ πάντων καινότατον, ἐν τοῖς φυσικοῖς ἡμῶν ὑπερφυὴς ἦν, πεζεύων, ἀλλ' ἐπάνω διαλυτοῦ ὕδατος· ἐσθίων, ἀλλὰ τόσας χιλιάδας χορτάζων· πάντα τὰ ἡμῶν ἐξ ἡμῶν ἔχων, ὑπὲρ ἡμᾶς ὑπερέχων.

Τούτων μὲν ἅλις· ἐπὶ δὲ τὸν τοῦ λόγου σκοπὸν προΐωμεν, ἀνελίττοντες τὰ κοινὰ καὶ

§. 11. Sed de his satis; modò sermonis nostri scopum prosequamur, communia & vnita

ἡνωμένα,

ἡνωμένα, τῆς ἁγίας δηλαδὴ Τριάδος ὀνόματα τῆς θείας διακρίσεως, οἱονεὶ τῶν θείων δωρεῶν, αἳ δὴ ἀπὸ Θεοῦ διακρίνονται). Καὶ ἵνα σαφῶς προδιορισώμεθα, διάκρισιν θείαν φαμὲν, τὰς ἀγαθοπρεπεῖς ὡς εἴρηται δωρεάς· δωρουμένη γὰρ πᾶσι τοῖς οὖσι τὰς τῶν ἀγαθῶν μετουσίας, ἡνωμένως μὲν, ἤγουν ἐκ τῆς ἰδιότητος τῆς μιᾶς φύσεως, διακρίνεται εἰς τὰς δωρεάς· πληθυνομένη δὲ εἰς τὰς μερικὰς εὐεργεσίας, πάλιν ἑνοῦται· ὅτι ἐξ ἑνὸς Θεοῦ αἱ εὐεργεσίαι. Καὶ πολλαπλασιάζονται μὲν αἱ δωρεαὶ ἐπὶ τοῖς καθ' ἕκαστον, μένουσι δὲ ἀνεκφοιτήτως εἰς τὸ ἕν, οἷον ἐπὶ ἑνὸς τοῦ ὄντος ἴδοι τις, ἐπειδὴ ὤν ἐστιν ὁ Θεὸς, ἀλλ' ὑπερουσίως· καὶ παράγει τὰ ὄντα, τὸ εἶναι τούτοις δωρούμενος· πολλαπλασιάζεται τοῦτο τὸ ἓν ὂν εἰς πολλὰ ὄντα· μένει δὲ οὐδὲν ἧττον ἓν ἡνωμένον ἐν τῷ τοιούτῳ πληθυσμῷ, καὶ πλῆρες ἐν τῷ διακρίνεσθαι τοῖς καθ' ἕκαστον, διότι ἐστὶ πάντων τῶν ὄντων ἐξῃρημένον καὶ τῇ ἑνιαίᾳ παραγωγῇ, (ἤγουν τῇ ἅμα τῷ βούλεσθαι, καὶ οὐ κατὰ μικρόν τε καὶ μερικῶς, καὶ τῇ ἀνελαττώτῳ χύσει,) ὅτι κτίζων τὰ ὄντα ὁ Θεὸς, οὐδὲν τῶν οἰκείων μειοῖ ἀγαθῶν, ἀλλὰ καὶ ἓν ὤν, καὶ μεταδιδοὺς τῆς ἑνιαίας δυνάμεως καὶ μέρει ἑκάστῳ εἴτε τοῦ κόσμου, εἴτε τοῦ ζώου· πᾶν γὰρ μέρος ἑνιαῖόν τι, καὶ ὅλῳ (τὸ γὰρ ὅλον, ἕν τι) καὶ ἑνὶ ἀτόμῳ, καὶ πλήθει ἤγουν πολλοῖς, ἃ τῷ εἴδει ἕν εἰσιν, ὥσπερ οἱ πολλοὶ ἄνθρωποι εἷς τῇ φύσει ἐστί. Τούτοις οὖν τοῖς πᾶσι τοῦ ἑνὸς μεταδιδοὺς, συνθεὶς αὐτὰ ἐκ τῶν ἀρχικῶν στοιχείων, ἃ καὶ αὐτὰ ὑπέστησε, καὶ ἓν ποιήσας ἕκαστον τῇ συστάσει, πάλιν ἕν ἐστιν ὡσαύτως, οὐ μερισθεὶς τοῖς εἰς πλῆθος δημιουργήμασιν, ὥσπερ ἡ αὐτὴ καὶ μία τέχνης τινὸς δύναμις, πολλὰ κατασκευάσασα τεχνητὰ, καὶ τοῖς αὔλοις ἐπιστατήσασα, πάλιν ἐν ἑαυτῇ μία καὶ ἁπλῆ μένει, οὔτε μέρος οὖσα τῶν τεχνητῶν, οὔτε τι ὅλον ἐξ ἐκείνων συγκείμενον. Πῶς γὰρ μέρος κατὰ τὴν τέχνην συστάντων ἡ τέχνη, αὐτὴ ὁλοτελῶς ἐφ' ἑκάστῳ ἐπιστατήσασα; πῶς δὲ ὅλον ἐκ τούτων, ἡ πρώτη ἐκ τῶν ὑστέρων, καὶ ἡ αἰτία ἐκ τῶν αἰτιατῶν; Καὶ διὰ τοῦτο συνάγεται, ὅτι οὔτε ἕν ἐστι τὸ Θεῖον τοιοῦτον, οἷόν ἐστιν ἐν ἡμῖν· ἐν ἡμῖν γὰρ τὸ ἕν, ἢ ὅλον, ἢ μέρος ἐστὶ, τὸ δὲ Θεῖον ὑπὲρ ταῦτα, οὔτε μετέχει τοῦ ἑνός. πῶς γάρ; πρῶτον γὰρ ἔσται πάλιν ἕτερον ἕν,

sanctæ Trinitatis nomina; quæ diuinæ sunt distinctionis, vtpote donorum diuinorum quæ à Deo distinguuntur, exponentes. Et vt clarè definiamus, distinctionem diuinam esse dicimus, Deum decentes, vti dictum est, donationes: dum enim rebus omnibus bonorum consortia impertit, tum vnitè quidem, id est ex vnius naturæ proprietate in sua munera distinguitur, multiplicata verò in beneficia particularia rursum vnitur; quoniam ex vno Deo omnia sunt beneficia. Et dona quidem in singulis multiplicantur, manent autem in vno sine egressione, ac si in vno qui est illa quis videat; quoniam Deus est is qui est, sed superessentialiter; & producit ea quæ sunt; dumque iis tribuit esse, multiplicatur is quod vnum est in iis quæ multa sunt: nihilominus tamen in istiusmodi multiplicatione manet in se quid vnum, & in singulorũ distinctione plenum, quoniam est ab omnibus rebus exemptum, tam singulari productione omnium (scilicet simul volendo, & non paulatim ac per partes & minutâ fusione;) quia Deus dum res creat, nihil imminuit bona sua, sed quid vnũ existit, ac virtutẽ vnitam distribuit cuilibet parti siue mundi, siue animalis. Nam pars quælibet quid vnum est etiam toti (quia totum est quid vnum) etiã vni atomo, ac multitudini siue multis, quæ sunt quid vnum specie, sicut multi homines sunt quid vnum naturâ. Cùm itaque his omnibus impertiat vnitatem, dum ea ex principialibus elementis, quæ ipsemet condidit, componit, & singula composito quid vnum facit; similiter iterùm quid vnum est, nequaquam creationibus in multitudinẽ diuisus, quemadmodum vna eademq; ars alicuius, quæ virtute multa arte facta componens, & rebus immaterialibus præfecta, rursum in semetipsâ vna simplexque manet, cùm neq; pars sit arte factorum, neque quid totum ex iis conflatum. Quomodo enim ars pars esse possit eorum quæ arte consistunt, cùm ipsa singulis præsideat? quomodo autem totum ex his sit, & quæ prior est ex posterioribus, & causa ex effectis existat? Vnde etiam concluditur, Deum non esse istiusmodi vnum quid, quale in nobis est: in nobis enim id quod vnum est, vel totum vel pars est; Deus autem est supra ista, neque participat de vno. quomodo enim? nam sic iterùm aliud

PARAPHRASIS PACHYMERÆ.

Quomodo Deus dicatur multiplicari in donis suis.

 quid-

PARAPHRASIS PACHYMERÆ.

quiddam vnum prius erit, cuius particeps erit Deus: quoniam id quod participatur, prius est iis quæ participant. Neque etiam quid vnum est tamquam per accidens, vel etiam vt proprietas essentialis; hæc enim illud vnum habet quod essentia & ens; Deus autem supra essentiam est & supra ens. His omnibus itaque modo longè sublimiori Deus quid vnum est, supra vnum quod est in rebus: quin etiam multitudo est, cùm in optima quæque munera prouidentiasque multiplicetur, minimè diuisus, sed ex integro singulis obtingat, tametsi pro facultate quæque suâ ipsum participent. Quocircà est inexhaustus, & superplenus: si enim diuideretur, impleretur, cùm omne tam vnum quàm multitudinem producat, perficiat, & contineat, multis tam Angelis quàm hominibus ex ipsius deificatione diis factis, iuxta cuiusq; deiformem facultatem quam à Deo accipiunt. Hinc itaque, dum quemlibet deificat, videtur quodammodò distingui & multiplicari Deus: nihilominùs Archideus vnus est Deus, indiuiduus in diuiduis, vnitus in semetipso, supra omnem vnionem; & impermixtus manet multis, neque multiplicatur, sicut lumen solis dum multos illuminat, manet vnum, & non multiplicatur. Quod cùm egregiè nosset communis noster, meus inquam & præceptoris mei Magni Hierothei præceptor, qui sicut est Doctor mundi, sic & lux mundi, & discipulus eius qui verè lux est mundi, Magnus inquam Paulus, diuinitus hæc ait: *Etsi* sint *dij multi*, *& Domini multi* secundùm gratiam, vt Angeli diuini, virique sancti; *nobis tamen* verè *vnus* est *Deus Pater*, & Filius, & Spiritus sanctus, qui secundùm indiuisam & indistinctam communicationem nominis propriæ diuinitatis, & dominationis, multis se communicat, minimè tamen in partes deitatum deitate discissâ, sicut aurum in nummos; neque multis diis eius diuinitatem complentibus, quemadmodum multæ species vnum mundum; sed multiplicari dicitur Deus secundùm quamlibet res producendi voluntatem, prouidis processibus multiplicatus, manet tamen in se quid vnum absque diuisione. Idcircò etiam in diuinis vniones superant distinctiones, quæ scilicet vnicè & solitariè spectantur: non

Quomodo Deus in rebus omnibus vnus sit.

1.Cor.8.

οὗπερ μεθέξει τὸ Θεῖον· τὸ γὰρ μετεχόμενον, τῶν μετεχόντων πρῶτόν ἐστιν. Οὔτε τὸ ἓν ἔχει, ὥς τι ἐπισύμβαμα, ἢ καὶ οὐσιῶδες ἰδίωμα· ἐκεῖνο γὰρ ἔχει τὸ ἕν, ὃ ἐστιν οὐσία καὶ ὄν, τὸ δὲ Θεῖον ὑπὲρ τὴν οὐσίαν καὶ ὑπὲρ τὸ ὄν. Πόῤῥω γοῦν τούτων ἁπάντων τὸ Θεῖον ἓν ὑπὲρ τὸ ἐν τοῖς οὖσιν ἕν· ἀλλὰ καὶ πλῆθος, ἐπεὶ εἰς τὰς ἀγαθοπρεπεῖς δωρεὰς καὶ προνοίας πεπλήθυνται μὴ μεριζόμενον, ἀλλ᾽ ὁλοκλήρως ἑκάστοις προσβάλλον, εἰ καὶ τὰ μετέχοντα κατὰ τὴν οἰκείαν μετέχουσι δύναμιν. Διὰ τοῦτο, ἀπλήρωτον, ὑπερπλῆρες· εἰ γὰρ ἐμερίζετο, ἐπληροῦτο, πᾶν καὶ τὸ ἓν· καὶ τὸ πλῆθος, παράγον, τελειοῦν τε συνέχον, πολλῶν θεῶν γινομένων, καὶ τῶν Ἀγγέλων, καὶ τῶν ἀνθρώπων τῇ ἐξ αὐτοῦ θεώσει ἐν τῷ κατὰ δύναμιν ἑκάστου θεοειδεῖ, ὃ ἀπὸ Θεοῦ λαμβάνουσι. Δοκεῖ μὲν οὖν ἐντεῦθεν, ὅτι τὸ Θεῖον διακρίνεται καὶ πληθύνεται, ἐν τῷ θεοῦν ἕκαστον· ἀλλ᾽ οὐδὲν ἧττον ὁ Ἀρχίθεος, εἷς Θεὸς ἀμέριστος ἐν τοῖς μεριστοῖς, ἡνωμένος ἑαυτῷ ὑπὲρ ἅπασαν ἕνωσιν· καὶ ἀμιγὴς μένων τοῖς πολλοῖς καὶ ἀπλήθυντος, ὡς τὸ φῶς τοῦ ἡλίου πολλοὺς φωτίζον, μένει ἓν καὶ ἀπλήθυντον. Καὶ τοῦτο ὑπερφυῶς ἐννοήσας ὁ κοινὸς ἡμῶν διδάσκαλος ἐμοῦ τε καὶ τοῦ ἡμετέρου καθηγεμόνος τοῦ μεγάλου Ἱεροθέου, τὸ φῶς τοῦ κόσμου, ὡς διδάσκαλος τοῦ κόσμου, καὶ μαθητὴς τοῦ κυρίως τοῦ κόσμου φωτὸς, ὁ μέγας Παῦλός φημι, τάδε φησὶν ἐνθέως. Κἂν θεοὶ πολλοὶ καὶ κύριοι ὦσι κατὰ χάριν, οἱ θεῖοι Ἄγγελοι καὶ οἱ ἱεροὶ ἄνδρες· ἀλλ᾽ ἡμῖν εἷς Θεὸς ἀληθῶς, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, ὃς κατὰ μετάδοσιν ἀμέριστον καὶ ἀσκέδαστον τῆς ἐπωνυμίας τῆς οἰκείας θεότητος καὶ κυριότητος τοῖς πολλοῖς μεταδίδωσιν, οὐ κατακερματιζομένης τῆς θεότητος εἰς μέρη θεοτήτων, ὡς χρυσὸς εἰς νομίσματα· οὔτε τῶν πολλῶν θεῶν συμπληρούντων τὴν αὐτὴν θεότητα, ὃν τρόπον τὰ πολλὰ εἴδη τὸν ἕνα κόσμον· ἀλλὰ πληθύνεσθαι λέγεται ὁ Θεὸς τῷ καθ᾽ ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματι προνοητικαῖς προόδοις πολλαπλασιαζόμενος, μένει δὲ ἀμερίστως πάλιν ἕν. Διὰ τοῦτο καὶ ἐπὶ τῶν θείων, ἐπικρατοῦσιν αἱ ἑνώσεις τῶν διακρίσεων, τὰ ἑνιαίως δηλονότι καὶ μοναδικῶς θεωρούμενα· οὐ γὰρ ἐκ πολ-

λῶν

λων συνήχθη τὰ τῆς μιᾶς θεότητος καὶ κυριότητος, ἀλλ' ἐκ τοῦ ταύτης μοναδικοῦ, ὁ ἐν ἐκείνοις, πληθυσμὸς θεωρεῖται. Ἀλλ' τοῦτο μὲν ἐπὶ τῶν θείων· ἐπὶ δὲ τῶν καθ' ἡμᾶς, τὸ ἐναντίον γίνεται· οὐδὲν γὰρ αὐτῶν ἐστὶν ἑνὰς κυρίως, ἀλλ' αἱ διακρίσεις τῶν στοιχείων προϋποῦσαι, σύνδρομοι γινόμεναι καὶ ἑνούμεναι, δευτέρας τὰς ἐκ τῆς συνθέσεως ἑνώσεις ἐργάζονται. Ἐπὶ δὲ τῶν θείων καὶ τὸ ἓν προέστι, καὶ μετὰ τὴν εἰς τὰς εὐεργεσίας διάκρισιν, πάλιν ἓν καὶ ὑπὲρ τὸ ἓν μένει. Ταύτας καὶ ἡμεῖς τὰς κοινὰς τῆς ὅλης θεότητος καὶ ἡνωμένας διακρίσεις καὶ εὐεργεσίας πειραθῶμεν ὑμνῆσαι ἐκ τῶν ἐν τοῖς Λογίοις θεωνυμιῶν, τούτου προδιεγνωσμένου, ὡς εἴ τι ἂν κέηται ὄνομα, καὶ μία ἑκάστη τῶν ὑποστάσεων, ἄνευ δηλαδὴ ὧν προϋπεστείλατο ἰδιοτήτων, πατρότητος, υἱότητος, ἐκπορεύσεως ἐπὶ τῆς ὅλης θεότητος ἐκληφθήσεται.

enim vna Deitas & potestas ex multis conflata est, sed ex huius singularitate, quæ in illis est, multitudo consideratur. Et hæc quidem quoad diuina; in nostris autem rebus contrarium accidit: nulla enim in ipsis propriè est vnitas, sed præexistentes elementorum distinctiones, dum concurrunt & vniuntur, alias ex compositione vniones efficiunt. In diuinis verò & vnum præexistit, & post illam in beneficia distinctionem, iterùm manet vnum & supraquam vnum. Has etiam nos communes totius deitatis, & vnitas distinctiones ac beneficentias è diuinis nominibus iuxta Scripturas laudare conabimur, modò id antè cognitum sit, quòd si quod nomen ponatur etiam cuiuslibet personæ, sine proprietatibus v. g. paternitatis, filiationis, processionis, quibus ad certam aliquam contrahitur, in totâ ipsâ diuinitate accipiendum esse.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Τίς ἡ τῆς εὐχῆς δύναμις, καὶ περὶ τοῦ μακαρίου Ἱεροθέου, καὶ περὶ εὐλαβείας καὶ συγγραφῆς Θεολογικῆς.

CAPVT III.

Quæ sit vis orationis, & de beato Hierotheo, de religione & conscriptione Theologicâ.

SYNOPSIS CAPITIS.

1. Docet, ad Deum accedendum esse per orationem; non quia Deus à nobis abest, sed vt nos Deo mente & spiritu præsentes simus. In oratione enim non tam Deus nobis, quàm nos Deo cogitatione appropinquamus. 2. Reddit rationem, cur post sanctum Hierotheum hosce libros Theologicos conscripserit, & simul describit laudes Hierothei, & quomodo vnà cum Petro & Jacobo interfuerint obdormitioni sanctissimæ Virginis Mariæ, quidq; ibidem egerint. 3. Declarat, quàm submissè de se ipse scriptisq; suis sentiat.

ΚΑΙ πρώτην, εἰ δοκεῖ, τὴν παντελῆ, καὶ τῶν ὅλων τοῦ Θεοῦ προόδων ἐκφαντορικὴν ἀγαθωνυμίαν ἐπισκεψώμεθα, τὴν ἀγαθαρχικὴν καὶ ὑπεράγαθον ἐπικαλεσάμενοι Τριάδα, τὴν ἐκφαντορικὴν πάν ὅλων ἑαυτῆς ἀγα-

Ac primùm, si videtur, perfectum, & quod omnes Dei emanationes manifestat, boni nomen expendamus, inuocatâ Trinitate, quæ boni principium est, & bo- §.1.

num

TEXTVS S. DIONYSII.

Oratio nos ad Deum subleuat.

num superat, & optimas quasque suas prouidentias explanat. Oportet enim nos primùm orationibus ad ipsam, vt ad boni principium, adduci, ac deinde magis ipsi propinquantes, edoceri optima quæque munera quæ penes ipsam sunt collocata. nam ipsa quidem præsens adest omnibus, non autem illi adsunt omnia. Sed cùm eam sanctis precationibus, & mente tranquillâ, & ad diuinam vnionem accommodatâ deprecamur, tum demum nos etiam ei præsentes sumus. ipsa enim nec in loco ita est, vt vsquam absit, vel ex aliis ad alia migret. Quin imò dicere, in omnibus rebus ipsam esse, quid minus est eius infinitate, quæ & excedit & continet vniuersa. Nos ipsos itaque orationibus ad sublimiorem diuinorum benignorumque radiorum contuitum comparemus: quemadmodum si lucidissimam catenam è summo cælo suspensam, & huc vsque demissam, manibus alternis in anteriora protensis continenter arriperemus, attrahere quidem ipsam videremur, re autem verâ, non illam ipsi deduceremus, vt quæ supernè & infernè præsens esset, sed ipsimet magis ad subliminores radiorum illustrium fulgores eueheremur. Aut sicut si nauim ingressi, rudentes ex petrâ quadam ad nos vsque porrectos auxilij causâ teneremus, non ad nos petram, sed nos ipsos reuerà nauimque ad petram traduceremus. Quemadmodum etiam rursus, si quis stans in naui

Nota, Deum etiam esse extra vniuersa.

In oratione non tam Deum nobis quàm nos Deo appropinquare.

θειοτάτων προνοιῶν. Χρὴ γὰρ ἡμᾶς ταῖς εὐχαῖς πρῶτον ἐπ᾽ αὐτήν, ὡς ἀγαθαρχίαν, προσανάγεσθαι, καὶ μᾶλλον αὐτῇ πλησιάζοντας, ἐν τούτῳ μυεῖσθαι τὰ πανάγαθα δῶρα τὰ περὶ αὐτὴν ἱδρυμένα· καὶ γὰρ αὕτη μὲν ἅπασι πάρεστιν, οὐ πάντα δὲ αὐτῇ πάρεστι. Τότε δέ, ὅταν αὐτὴν ἐπικαλώμεθα, παναγνοῖς μὲν εὐχαῖς, ἀνεπιθολώτῳ δὲ νῷ, καὶ τῇ πρὸς θείαν ἕνωσιν ἐπιτηδειότητι, τότε καὶ ἡμεῖς αὐτῇ πάρεσμεν· αὐτὴ γὰρ οὔτε ἐν τόπῳ ἐστίν, ἵνα καὶ ἀπῇ τινος, ἢ ἐξ ἑτέρων εἰς ἕτερα μεταβῇ. Ἀλλὰ καὶ τὸ ἐν πᾶσι τοῖς οὖσιν αὐτὴν εἶναι λέγειν, ἀπολείπεται τῆς ὑπὲρ πάντα καὶ πάντων περιληπτικῆς ἀπειρίας. Ἡμᾶς οὖν αὐτοὺς ταῖς εὐχαῖς ἀνατείνωμεν ἐπὶ τὴν τῶν θείων καὶ ἀγαθῶν ἀκτίνων ὑψηλοτέραν ἀνάνευσιν, ὥσπερ εἰ πολυφώτου σειρᾶς ἐκ τῆς οὐρανίας ἀκρότητος ἠρτημένης, εἰς δεῦρο δὲ καθηκούσης, καὶ ἀεὶ αὐτῆς ἐπὶ τὸ πρόσω χερσὶν ἀμοιβαίαις δραττόμενοι, καθέλκειν μὲν αὐτὴν ἐδοκοῦμεν, τῷ ὄντι δὲ οὐ κατήγομεν ἐκείνην, ἄνω τε καὶ κάτω παροῦσαν, ἀλλ᾽ αὐτοὶ ἡμεῖς ἀνηγόμεθα πρὸς τὰς ὑψηλοτέρας τῶν πολυφώτων ἀκτίνων μαρμαρυγάς. Ἢ ὥσπερ εἰς ναῦν ἐμβεβηκότες, καὶ ἀντεχόμενοι τῶν ἔκ τινος πέτρας εἰς ἡμᾶς ἐκτεινομένων πεισμάτων, καὶ οἷον ἡμῖν εἰς ἀντίληψιν ἐκδιδομένων, οὐκ ἐφ᾽ ἡμᾶς τὴν πέτραν, ἀλλ᾽ ἡμᾶς αὐτοὺς τῷ ἀληθεῖ καὶ τὴν ναῦν ἐπὶ τὴν πέτραν προσήγομεν. Ὥσπερ καὶ τὸ ἔμπαλιν, εἴ τις τὴν

προσ-

TEXTVS S. DIONYSII.

περιαλίαν πέτραν ἔσω ἐπὶ τὸ νηὸς ἀπώσεται, δράσει μὲν οὐδὲν εἰς τὴν ἑστῶσαν καὶ ἀκίνητον πέτραν, ἑαυτὸν δὲ ἐκείνης ἀποχωρίζει, καὶ ὅσῳ μᾶλλον αὐτὴν ἀπώσεται, μᾶλλον αὐτῆς ἀκολουθήσεται. Διὸ καὶ πρὸ παντὸς, καὶ μᾶλλον Θεολογίας, εὐχῆς ἀπάρχεσθαι χρεὼν, οὐχ ὡς ἐφελκομένους τὴν ἀπανταχῆ παροῦσαν καὶ οὐδαμῆ δύναμιν, ἀλλ' ὡς ταῖς θείαις μνείαις καὶ ἐπικλήσεσιν ἡμᾶς αὐτοὺς ἐγχειρίζοντας αὐτῇ καὶ ἑνοῦντας.

maritimum ſaxum impellat, nequidquam ſaxum illud fixum & immobile mouebit, ſed ſe ipſe ab illo repellet; quantoq; vehementiùs illud impulerit, tantò longiùs ab eo remouebitur. Quapropter ante omnia, maximè in Theologiâ, ab oratione auſpicandum eſt, non vt vbique & nuſquam præſentem virtutem attrahamus, ſed vt diuinis commemorationibus inuocationibusque nos ipſos illi dedamus atque vniamus.

§. 2. *Cur Dionyſius poſt S. Hierotheum libros hos ſcripſerit.*

Καὶ τοῦτο δὲ ἴσως ἀπολογίας ἄξιον, ὅτι τοῦ κλεινοῦ καθηγεμόνος ἡμῶν Ἱεροθέου τὰς Θεολογικὰς στοιχειώσεις ὑπερφυῶς συναγαγόντος, ἡμεῖς ὡς οὐχ ἱκανῶν ἐκείνων, ἄλλας τε καὶ τὴν παροῦσαν Θεολογίαν συνεγραψάμεθα. Καίτοι γε, εἰ μὲν ἐκεῖνος ἐξῆς διαπραγματεύσασθαι πάσας τὰς Θεολογικὰς πραγματείας ἠξίωσε, καὶ μερικαῖς ἀνελίξεσι διῆλθεν ἁπάσης Θεολογίας κεφάλαιον, οὐκ ἂν ἡμεῖς ἐπὶ τοσοῦτον, ἢ μανίας, ἢ σκαιότητος ἐληλύθειμεν, ὡς ἢ ὀπτικώτερον ἐκείνου καὶ θειότερον οἰηθῆναι ταῖς Θεολογίαις ἐπιβαλεῖν· ἢ δὶς τὰ αὐτὰ περιττῶς λέγοντας, εἰκαιολογῆσαι, προσέτι καὶ ἀδικῆσαι καὶ διδάσκαλον καὶ φίλον ὄντα, καὶ ἡμᾶς τοὺς μετὰ Παῦλον τὸν θεῖον ἐκ τῶν ἐκείνου λόγων στοιχειωθέντας, τὴν κλεινοτάτην αὐτοῦ καὶ θεωρίαν καὶ ἔκφανσιν ἑαυτοῖς ὑφαρπάζοντας. Ἀλλ' ἐπειδὴ τῷ ὄντι τὰ θεῖα πρεσβυτικῶς ὑφηγούμενος ἐκεῖνος, συνοπτικοὺς ἡμῖν ὅρους ἐξέθετο, καὶ ἐν ἑνὶ πολλὰ περιειληφότας, ὡς

Atque hîc fortaſſe nobis non immeritò reddenda ratio ſit, cur cùm eximius præceptor noſter Hierotheus Theologica principia accuratè collegerit, nos, quaſi illa non ſufficerent, & alios, & hunc præſentem tractatum Theologicum conſcripſerimus. Profectò ſi conſequenter ille omnes tractatus Theologicos ordine digeſtos edere voluiſſet, & vel breuiſſimis expoſitionibus totius Theologiæ ſummam explanaſſet, numquam ea nos inſania ſtoliditáſve cepiſſet, vt illo vel liquidiùs vel diuiniùs res iſtas Theologicas nos penetrare poſſe putaremus; aut eadem bis repetendo, ſuperfluo caſſoque labore nos vellemus fatigare, tantamque amico & præceptori noſtro iniuriam irrogare, vt præſtantiſſimam eius, à quo poſt diuinum Paulum imbuti ſumus, ſcientiam & expoſitionem nobis per plagium vſurparemus. Sed quoniam ille res diuinas verè grauiter explicans, compendio nobis ſubtiles aliquot definitiones tradidit, quæ in

S. Dionyſij de Hierotheo teſtimonium laudabile.

TEXTVS S. DIONYSII.

in vnum multa conglomerant, iussus sum, vnà cum collegis meis, qui animabus adhuc rudioribus imbuendis vacant, subtiles istas ac singulares conclusiones, in quibus maximè spiritalis tanti viri virtus enituit, sermone magis ad captum nostrum accommodato explanare atque digerere; quin & ipse tu quoque nos frequenter ad hoc hortatus es, ipsumque librum vt perquam sublimem nobis remisisti. Quapropter nos quoque, ceu perfectorum seniliumq; sensuum magistrum, alterasque Scripturas, quæ diuinitus afflatorum scripta proximè assequantur, iis qui subliniora capiunt illum assignamus; nos verò nostri similibus ad captum nostrum res diuinas explanabimus. Si enim solidus cibus perfectorum est, eo etiam alios pascere quantæ sit perfectionis? Meritò itaque dicimus, ad spiritalium Eloquiorum intuitionem, & subtilem eorumdem eruditionē, virtute senili opus esse; sermonum verò introductoriorum, ceu inferioris notæ, scientiam ac disciplinam initiantibus atque initiatis conuenire. Atqui & hoc à nobis perquam studiosè obseruatum est, ne quidquam eorum, quæ diuinus ille præceptor planè nobis expressit, vllo modo attingeremus; ne secundò eadem repeteremus quæ ad Scripturam aliquam elucidandam ipse tradiderat: nam etiam apud ipsos diuino Spiritu plenos Antistites nostros (cùm & nos, vt nosti, & ipse plurimique sanctorum fratrum nostrorum, ad

οἷον ἡμῖν, καὶ ὅσοι καθ' ἡμᾶς διδάσκαλοι τῶν νεοτελῶν ψυχῶν, ἐγκελευόμενος ἀναπτύξαι καὶ διακρῖναι τῷ ἡμῖν συμμέτρῳ λόγῳ τὰς συνοπτικὰς καὶ ἑνιαίας τῆς νοερωτάτης τἀνδρὸς ἐκείνου δυνάμεως συνελίξεις· καὶ πολλάκις ἡμᾶς καὶ αὐτὸς εἰς τοῦτο προέτρεψας, καὶ τήν γε βίβλον αὐτὴν, ὡς ὑπεραίρουσαν ἀντεπέσταλκας. Ταύτῃ τοι καὶ ἡμεῖς, τὸν μὲν, ὡς τελείων καὶ πρεσβυτικῶν διανοιῶν διδάσκαλον, τοῖς ὑπὲρ τοὺς πολλοὺς ἀφορίζομεν, ὥσπερ τινα δεύτερα Λόγια, καὶ τῶν θεοχρίστων ἀκόλουθα· τοῖς καθ' ἡμᾶς δὲ ἡμεῖς ἀναλόγως ἡμῖν τὰ θεῖα παραδώσομεν. Εἰ γὰρ τελείων ἐστὶν ἡ στερεὰ τροφὴ, τὸ ταύτην ἑστιᾶν ἑτέρους, ὁπόσης ἂν εἴη τελειότητος; Ὀρθῶς οὖν ἡμῖν καὶ τοῦτο εἴρηται, τὸ, τὴν μὲν αὐτοπτικὴν τῶν νοητῶν Λογίων θέαν, καὶ τὴν συνοπτικὴν αὐτῶν διδασκαλίαν, πρεσβυτικῆς δεῖσθαι δυνάμεως· τὴν δὲ τῶν εἰς τοῦτο φερόντων λόγων ἐπιστήμην καὶ μάθησιν τοῖς ὑφειμένοις καθιερωταῖς καὶ ἱερωμένοις ἁρμόζειν. Καίτοι καὶ τοῦτο ἡμῖν ἐπιτετήρηται λίαν ἐμμελῶς· ὥς τε τοῖς αὐτῷ τῷ θείῳ καθηγεμόνι κατὰ ἔκφανσιν σαφῆ διηυκρινημένοις, μηδ' ὅλως ἐγκεχειρηκέναι ποτὲ πρὸς ταυτολογίαν, εἰς τὴν αὐτὴν τοῦ προτεθέντος αὐτῷ Λογίου διασάφησιν· ἐπεὶ καὶ παρ' αὐτοῖς τοῖς θεολήπτοις ἡμῶν Ἱεράρχαις (ἡνίκα καὶ ἡμεῖς, ὡς οἶσθα, καὶ αὐτὸς, καὶ πολλοὶ τῶν ἱερῶν ἡμῶν ἀδελφῶν, ἐπὶ τὴν

TEXTVS S. DIONYSII.

θείαν τοῦ ζωαρχικοῦ καὶ θεοδόχου σώματος συνεληλύθαμεν· παρῆν δὲ καὶ ὁ ἀδελφόθεος Ἰάκωβος, καὶ Πέτρος, ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν Θεολόγων ἀκρότης, εἶτα ἐδόκει μετὰ τὴν θέαν ὑμνῆσαι τοὺς Ἱεράρχας ἅπαντας, ὡς ἕκαστος ἦν ἱκανὸς, τὴν ἀπειροδύναμον ἀγαθότητα τῆς θεαρχικῆς ἀσθενείας) πάντων ἐκράτει μετὰ τοὺς Θεολόγους, ὡς οἶσθα, τῶν ἄλλων ἱερομυστῶν ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος ἑαυτοῦ, καὶ τὴν πρὸς τὰ ὑμνούμενα κοινωνίαν πάσχων, καὶ πρὸς πάντων ὧν ἠκούετο καὶ ἑωρᾶτο, καὶ ἐγιγνώσκετο, καὶ οὐκ ἐγιγνώσκετο, θεόληπτος εἶναι, θεῖος ὑμνολόγος κρινόμενος. Καὶ τί ἄν σοι περὶ τῶν ἐκεῖ θεολογηθέντων λέγοιμι; Καὶ γὰρ εἰ μὴ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, πολλάκις οἶδα παρά σου καὶ μέρη τινὰ τῶν ἐνθεαστικῶν ἐκείνων ὑμνῳδιῶν ἐπακούσας· οὕτω σοὶ σπουδὴ μὴ ἐκ παρέργου τὰ θεῖα μεταδιώκειν.

Ἀλλ' ἵνα τὰ ἐκεῖ μυστικὰ, καὶ ὡς τοῖς πολλοῖς ἄρρητα, καὶ ὡς ἐγνωσμένα σοι παραλείψωμεν, ὅτε τοῖς πολλοῖς ἐχρῆν κοινωνῆσαι, καὶ ὅσους δυνατὸν ἐπὶ τὴν καθ' ἡμᾶς ἱερογνωσίαν προσαγαγεῖν, ὅπως ὑπερεῖχε τοὺς πολλοὺς τῶν ἱερῶν διδασκάλων, καὶ χρόνου τριβῇ, καὶ νοῦ καθαρότητι, καὶ ἀποδείξεων ἀκριβείᾳ, καὶ ταῖς λοιπαῖς ἱερολογίαις, ὥς τε οὐκ ἄν ποτε πρὸς οὕτω μέγαν ἥλιον ἀντωπεῖν ἐνεχειρήσαμεν. Οὕτω γὰρ ἡμεῖς ἑαυτῶν συνῃσθήμεθα, καὶ ἴσμεν, ὡς οὔτε

corpus illud, quod dedit principium vitæ, Deumque susceperat, contuendum venissemus; aderat autem & frater Domini Iacobus, & Petrus suprema ista atque antiquissima summitas Theologorum, placuissetque post contuitum Antistitibus omnibus, pro virili cuique suo, infinitâ potentiâ præditam diuinæ imbecillitatis bonitatem collaudare) ipse post Theologos, vt nosti, ceteris omnibus sacris laudatoribus antecellebat, totus excedens, totus se deserens, rerumq; quas laudabat consortium patiens; denique ab omnibus, à quibus audiebatur ac videbatur, tam à notis quàm ignotis, diuino numine afflatus diuinusque planè laudator censebatur. Sed quid tibi, quænam ibi diuinissimè dicta sunt, refero? Etenim, nisi me mei capiat obliuio, memini me sæpiùs diuinarum istarum laudationum partes aliquas abs te accepisse; tantæ tibi curæ fuit, ne vmquam perfunctoriè diuina prosequereris.

S. Dionysius cum Hierotheo & Petro & Iacobo quid egerint circa defuncta Deiparæ corpus.

§. 3. Verùm vt ista mystica, quippe vulgo non promulganda, tibique notissima, missa faciamus; quando iam tempus erat, quamplurimis hominibus fidem nostram promulgandi, & quotquot adduci possent, ad sacram disciplinam nostram attrahendi, non paucos hoc in munere Doctores sanctos superabat cùm vsu temporis, tum mentis puritate, tum acumine demonstrationum, ceterisque sacris institutis, adeò vt numquam tanto soli conati simus obtueri. Ita enim nobis conscij sumus, imò scimus,

Humilis Dionysij de se opinio.

mus, nos rebus diuinis intelligendis minimè sufficere, nedum, quòd ineffabiles sint, vt cognitæ essent eloquendis. Cùm autem in Theologicâ veritate explanandâ à virorum diuinorum facultate procul absimus, eò etiam præ religionis abundantiâ deducti sumus, vt de diuinâ Philosophiâ nihil vel audire vel loqui præsumeremus, nisi intellexissemus, non esse rerum diuinarum, quam assequi possumus, negligendam scientiam. Atque id non solùm naturalia mentiũ desideria, quæ amanter semper, quantum fas est, ad diuinarum rerum contemplationem excitantur, verùm ipsa quoque præstantissima legum diuinarum institutio persuadet; quæ, vt ea quæ supra nos sunt, meritaque nostra excedunt, & captum superant curiosiùs inuestigare vetat; ita iubet omnia, quæ permissa nobis & indulta sunt, assiduè addiscere, benigneq; aliis communicare. His itaque adducti, neque labore neque ignauiâ à licitâ rerum diuinarum scrutatione deterriti, ne pro modulo nostro illos, quibus sublimiora nobis contemplandi facultas deest, adminiculo destitutos pateremur, ad scribendum animum appulimus, nihil quidem noui adferre præsumentes, sed minutioribus dumtaxat quibusdam singularum partium obseruationibus, ea quæ à verè Hierotheo subtili sanè compendio tradita sunt, distinguentes atque explanantes.

ἱκανῶς νοῆσαι τὰ νοητὰ τῶν θείων χωρούμενοι, οὔτε ὅσα τὰ ῥητὰ τῆς θεογνωσίας ἐξειπεῖν καὶ φράσαι. Πόρρω δὲ ὄντες, ἀπολειπόμεθα τῆς τῶν θείων ἀνδρῶν εἰς θεολογικὴν ἀλήθειαν ἐπιστήμης, ὥστε πάντως ἂν εἰς τοῦτο διὰ περιουσίαν εὐλάβειαν ἐληλύθαμεν, εἰς τὸ μηδόλως ἀκούειν ἢ λέγειν τι περὶ τῆς θείας φιλοσοφίας, εἰ μὴ κατὰ νοῦν εἰλήφαμεν, ὡς οὐ χρὴ τῆς ἐνδεχομένης τῶν θείων γνώσεως ἀμελεῖν. Καὶ τοῦτο ἡμᾶς ἔπεισαν, οὐ μόνον αἱ κατὰ φύσιν ἐφέσεις τῶν νοῶν, ἐρωτικῶς ἀεὶ γλιχόμεναι τῆς ἐγχωρούσης τῶν ὑπερφυῶν θεωρίας, ἀλλὰ καὶ αὐτὴ τῶν θείων θεσμῶν ἡ ἀρίστη διάταξις· τὰ μὲν ὑπὲρ ἡμᾶς ἀποφάσκουσα πολυπραγμονεῖν, καὶ ὡς ὑπὲρ ἀξίαν, καὶ ὡς ἀνέφικτα· πάντα δὲ ὅσα ἐν ἡμῖν ἐφίεται καὶ δεδώρηται μανθάνειν, προσεχῶς ἐγκελευομένη καὶ ἑτέροις ἀγαθοειδῶς μεταδιδόναι. Τούτοις οὖν καὶ ἡμεῖς πειθόμενοι, καὶ πρὸς τὴν ἐφικτὴν τῶν θείων εὕρεσιν μὴ ἀποκαμόντες, ἢ ἀποδειλιάσαντες, ἀλλὰ καὶ τοὺς μὴ δυναμένους εἰς τὰ ἡμῶν κρείττονα θεωρεῖν, ἀβοηθήτους καταλιπεῖν οὐ καρτεροῦντες, ἐπὶ τὸ συγγράφειν ἑαυτοὺς καθήκαμεν, καινὸν μὲν οὐδὲν εἰσηγεῖσθαι τολμῶντες, λεπτοτέραις δὲ καὶ ταῖς κατὰ μέρος ἑκάστου ἐξετάσεσι, τὰ συνοπτικῶς εἰρημένα τῷ ὄντως Ἱεροθέῳ, διακρίνοντες καὶ ἐκφαίνοντες.

ANNOTATIONES CORDERII.

§.1. Ac *primùm, si videtur, boni nomen expendamus.*] Occasione huius loci, S. Thomas 1. Parte, q. 5. art. 2. quærit, vtrùm bonum secundùm rationem sit prius quàm ens. Et ratio dubitandi est; quia ordo nominum est secũdùm ordinem rerum per nomina significatarum; sed Dionysius (inquit) inter alia nomina Dei prius ponit bonum quàm ens, ergo bonum secundùm rationem est prius quàm ens. Resoluit tamen, ens, cùm prius cadat in conceptionem intellectus quàm bonum, ipso etiam prius esse secundùm rationem. Est enim primum intelligibile, sicut sonus est primũ audibile: quia secundùm hoc vnumquodq; cognoscibile est, in quantũ est actu, vnde etiam prius est secundùm rationem.

Ens bono prius cognoscitur.

Ad auctoritatem autem Dionysij, & argumentum inde sumptum, respondet, sanctũ Dionysium diuina nomina assignare secundùm quod important circa Deum habitudinem causæ. Bonum autem, cùm habeat rationem appetibilis, importat habitudinem causæ finalis, cuius causalitas prima est; quia agens non agit nisi propter finem, & ab agente materia mouetur ad formam, vnde finis dicitur causa causarum. Et sic in causando bonum est prius quàm ens, sicut finis quàm forma: & hac ratione, inter nomina diuinam causalitatem significantia, prius ponitur bonum quàm ens. vide quoque quæst. 13. art. 11. Verùm faciliùs mens Dionysij sic explicari possit, quòd cùm Dei nomina secundùm emanationes assignet quę Deo ratione bonitatis tribuuntur, cuius proprius actus est, aliis se communicare, idcircò primo loco boni nomen interpretetur. Vnde non sequitur, nomen boni primam omnium rationem in Deo significare.

Bonum ente prius intenditur.

Ibidem. *Oportet enim nos primùm orationibus,* &c.] Vbi nota primò, per orationem à Deo rerum diuinarum notitiam esse impetrandã; quoniam est generale medium ad omnia dona spiritalia obtinenda. Est enim, vt S. Chrysostomus ait, instar clauis cuiusdam, per quam omnes Dei thesauros possumus aperire, & ex illis accipere quidquid nobis commodum videtur ad æternam salutem consequendam. Omnia enim ista oratione certissimè possumus impetrare, vt idem S. Chrysostomus fusè ac pulchrè ex Scripturis probat in aureis illis libris de Orando Deo. Hîc tantùm obserua tria ad orationis efficaciam summoperè necessaria. Primum quidem, perturbationes sensuum cohibere, quæ ad corporea, longissimè à diuinitate distantia, nos detorquent. Secundum, tamquam nebulas ab intellectu expellere fallacias & machinamenta imaginationis. Tertium, vniuersum voluntatis affectum, in diuersa nunc bona distractum, in primum bonum totâ prorsus amoris intentione conuertere. ita enim feruor obsecrantis animum coniungit Deo, sicut sulphureus calor copulat lignum flammæ. Huc tendit Zoroasticum illud: Si mentem igneam ad opus pietatis intenderis, caducum quoque corpus inde seruabis.

Lib. 1. de Orando Deo.

Nota secundò, quòd *Deus quidem præsens adest omnibus, non autem illi adsunt omnia.* Etiamsi enim Deus omnibus rebus sit intimè præsens, easque suo substantifico influxu tangat & conseruet, ab illis tamen non attingitur. Nam (vt benè notat Lessius) ita præsens est loco, seu locali præsentiâ & indistantiâ cuilibet rei, vt tamen naturæ gradu & celsitudine infinitè distet, in seipsum collectus, & firmissimè in suâ puritate subsistens, ab omnibus segregatus. Vnde simul & coniunctissimus est & remotissimus, præsentissimus & secretissimus, vnitissimus seu collectissimus, & diffusissimus. Et quamuis infinitis modis per suos influxus ad creaturas descẽdat, manet tamen in suâ celsitudine & immobili idemtitate stabiliter fixus. Illi autem per orationem coniungimur, dum eum in rebus omnibus pręsentem adoramus, & in Deo vniuersa contemplamur.

Lib. 2. de Perfectionibus diuinis c. 3.

Quærit autem D. Thomas in Primum Sententiarum distinct. 37. quæst. 1. artic. 2. vbi hunc S. Dionysij locum citat, vtrùm Deus sit in omnibus per potentiam, præsentiam & essentiam, in sanctis per gratiã, in Christo per esse; & respondet, distinctionem istorum modorum partim sumi ex parte creaturæ, partim ex parte Dei. Ex parte creaturæ, in quantum diuerso modo ordinatur in Deum, & coniungitur ei, non diuersitate rationis tantùm, sed etiam realiter. Cùm enim Deus in rebus esse dicatur, secundùm quod eis aliquo modo applicatur, oportet, vt vbi est diuersus coniunctionis vel applicationis modus, ibi sit diuersus modus essendi. Coniungitur autem creatura Deo tripliciter. Primò, secundùm similitudinem tantùm, in quantum videlicet inuenitur in creaturâ aliqua similitudo diuinæ bonitatis, non autem quòd attingat

Creatura Deo tripliciter coniungitur.

ANNOTATIONES CORDERII.

ipsum Deum secundùm substantiam. Et ista coniunctio inuenitur in omnibus creaturis diuinam bonitatem assimilantibus: atque ita Deus est in omnibus per essentiam, præsentiam, & potentiam.

Secundò, creatura attingit ad ipsum Deum etiam secundùm substantiam suam consideratum, & non tantùm secundùm similitudinem: & hoc est per operationem, vt quando aliquis fide adhæret ipsi primæ veritati, & charitate ipsi summæ bonitati. Et ita est alius modus, quo Deus spiritualiter est in sanctis per gratiam.

Tertiò, creatura attingit ad ipsum Deum non solùm secundùm operationem, sed etiam secundùm esse: non quidem prout esse est actus essentiæ diuinæ (quia creatura non potest transire in naturam diuinam) sed secundùm quod est actus hypostasis seu personæ, in cuius vnionem creatura assumpta est. Et hic est modus quo Deus est in Christo per vnionem hypostaticam.

Ex parte tamen Dei non inuenitur diuersitas rei sed rationis tantùm, quatenus in ipso distinguitur essentia, virtus & operatio. Essentia autem eius cùm sit absoluta ab omni creaturâ, non est in creaturâ, nisi in quantum applicatur illi per operationem; & secundùm hoc quod operatur in re, dicitur esse in re per præsentiam, secũdùm quod operans operato debet esse aliquo modo præsens. Et quia operatio non deserit virtutem diuinam à quâ exit, ideò dicitur esse in re per potentiam. Et quia virtus est ipsa essentia, ideò consequitur, vt etiam in re sit per essentiam.

Nota tertiò, ex eo quòd subiungat, *Quin imò dicere in omnibus rebus ipsum esse, quid minus est eius infinitate, quæ & excedit & continet vniuersa*, manifestè colligi, Deum non solùm esse in hoc mundo, sed etiam extra mundum per immensa spatia diffusum; sicut lumen quoddã non solùm totum occupans mundum, sed extrorsum in omnem partem se absque termino extendens. quod benè probat Lessius lib. 2. de Perfectionibus diuinis cap. 2. Sicut enim, inquit, coëxistit non solùm durationi huiusmodi, sed etiam immensis interuallis quæ sunt extra mundum, nimirum simul & semel omnia locorum & temporum interualla occupans & adæquans. Vnde, sicut ante mundum nullum potest signari momentum, quantumuis à principio mundi distans, in quo non sit Deus; ita extra mundum nullum potest fingi animo punctum quantumuis à mundo remotum & disiunctum, vbi plenissimè cum totâ suâ maiestate, potentiâ & gloriâ non sit Deus. Vide plura apud Lessium loco citato.

§. 2. *Petrus suprema ista atque antiquissima summitas Theologorum.*] Nota hinc firmissimum à S. Dionysij auctoritate argumentum pro primatu Petri, & consequenter Pontificum Romanorum eiusdem successorum. Describit autem hîc, quomodo Apostoli cum aliis discipulis, inter quos ipse erat cum Hierotheo, interfuerint exequiis B. Virginis Mariæ, eamq; diuinis laudibus celebrarint. vide Baronium Tom. 1. ad Annum Christi quadragesimum octauum.

SCHOLIA S. MAXIMI.

§. 1. VÆ BONI PRINCIPIVM EST.] Id est, Auctor omnis bonitatis.

NON TAMEN OMNIA.] Quomodo non omnia presentia sint Deo, & ipse dicit, & ex oraculo illo diuino cognosces: *Accedite ad me, & ego accedam ad vos*, dicit Dominus.

NOS IGITVR IPSOS.] Nota, vt oratio nos ad Deum euehat, non ipsum ad nos deducat. Obserua verò hîc etiam pulcherrima exempla.

LVCIDISSIMAM CATENAM.] Pulchrè nostram precationem cælesti cuidam catenæ assimilauit: qui enim cæli fastigium adire cupit, quasi manibus quibusdam catenam hanc prehensat.

RVDENTES.] Funes.

ΗΝ ἀγαθαρχικήν.] Τὴν ἀρχηγὸν πάσης ἀγαθότητος.

Οὐ πάντα δέ.] Πῶς οὐ πάντα πάρεστι τῷ Θεῷ, φησὶ μὲν καὶ αὐτός, νοήσεις δὲ αὐτὸ καὶ ἐκ θείου χρησμοῦ, Ἐγγίσατε πρός με, καὶ ἐγὼ ἐγγιῶ πρὸς ὑμᾶς, λέγει Κύριος.

Ἡμᾶς οὖν αὐτούς.] Σημείωσαι, ὅτι ἡ εὐχὴ ἡμᾶς ἀνάγει πρὸς τὸν Θεόν, οὐκ αὐτὸν πρὸς ἡμᾶς κατάγει. Σημείωσαι δὲ καὶ τὰ παραδείγματα ὡραῖα ὄντα.

Πολυφώτου σειρᾶς.] Καλῶς ἀπείκασεν οὐρανίᾳ σειρᾷ τὴν καθ' ἡμᾶς προσευχήν· ὥσπερ γὰρ ὁ εἰς ὕψος οὐρανοῦ ἀνιέναι θέλων, ἐπιδράττεται ταῖς χερσὶν ἰσχυρῶς τῆς σχοίνου ταύτης.

Πεισμάτων.] Σχοινίων.

Τὴν ἁπανταχῆ.] Πῶς πανταχοῦ πάρεστι καὶ οὐδαμοῦ ὁ Θεὸς, εἴρηται ἡμῖν ἀνωτέρω ἐν τῇ ἐξηγήσει ἧς ἡ ἀρχὴ, Θέσιν φασὶν οἱ Φιλόσοφοι. Ὥσπερ οὖν ὁ κατὰ μικρὸν ἑαυτὸν τῆς γῆς κουφίζων ταῖς χερσὶ, δοκεῖ μὲν καθέλκειν τὴν σειρὰν, αὐτὸς δὲ πρὸς ὕψος αἴρεται τῇ κατὰ μικρὸν ἀναβάσει· οὕτω καὶ ὁ ἐκτενῶς προσευχόμενος διὰ τῶν πράξεων, ἃς ὁ λόγος χεῖρας καλεῖ, τῇ κατὰ μικρὸν ἐργασίᾳ καὶ προσευχῇ τὸν νοῦν αὐτοῦ πρὸς Θεὸν ἀνυψοῖ. Ἐὰν δὲ τὰς χεῖρας ἀπολύσωμεν τῆς σειρᾶς, καὶ μὴ φροντίσωμεν τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πίπτομεν ἐξ ὕψους. Τὸ αὐτὸ καὶ περὶ τῆς νηὸς, ἵνα νοήσωμεν ναῦν τὴν ἡμῖν διάνοιαν, ῥιπιζομένην τοῖς τοῦ βίου ἀνέμοις· θάλασσαν δὲ, τὸν βίον τὸν γέμοντα πολλῶν χειμώνων· πέτραν δὲ, τὸν Χριστὸν, ὃν κρατοῦντες ἀσάλευτοι διαμένομεν πρὸς αὐτὸν, τὸν βίον ἡμῶν ἕλκοντες.

Τοῦ κλεινοῦ.] Ἐνδόξου.

Εἰκαιολογῆσαι.] Ματαιολογῆσαι.

Στοιχειωθέντας.] Στοιχειωθέντας λέγει, ἀντὶ τοῦ Ὠφεληθέντας. Ἰστέον δὲ, ὅτι μετὰ Παῦλον ἐμαθητεύθη τῷ ἁγίῳ Ἱεροθέῳ. Ὑφαρπάζοντας δὲ λέγει, ἀντὶ τοῦ κρυφίως ἰδιοποιουμένους καὶ σφετεριζομένους.

Πρεσβυτικῶς.] Τὸ Πρεσβυτικῶς μὲν ἴσως ἔλαβεν ἀντὶ τοῦ ἐμπείρως καὶ ἐπιστημονικῶς· συνοπτικοὺς δὲ ὅρους φησὶ, τοὺς σύντομον ἔχοντας τὴν θεωρίαν· τοῦτο γὰρ ἐδήλωσε καὶ ἑνιαίας εἰπών· συνελίξεις δέ φησι τὰς δι' ὀλίγων ἐκφράσεις.

Ὡς οἷον ἡμῖν.] Τουτέστιν, ὡς δυνατὸν ἐμοὶ, καὶ αὐτὸς προτρέψας ἑρμηνεῦσαι, καὶ ὅσοι καθ' ἡμᾶς διδάσκαλοι οὕτως ἡρμήνευσαν. Αὕτη ἡ σύνθεσις τοῦ ὑπερβατοῦ.

Δεύτερα Λόγια.] Σημείωσαι, ὅτι τὰ τοῦ ἁγίου Ἱεροθέου συγγράμματα, ὡς δευτέραν ἁγίαν Γραφὴν νομιστέον.

Αὐτοπτικήν.] Τὴν ἀνεπικάλυπτον καὶ ἐμφανεστέραν κατανόησιν λέγει.

Πρεσβυτικῆς.] Ὅτι ἡ πρεσβυτικὴ ἀξία, τελειοτέρα καὶ διδασκαλικωτέρα πάντων ἱερέων ἐστί. Τί δέ ἐστι Πρεσβυτικὴ, νοήσεις ἐξ Ἡσαΐου λέγοντος· Οὐ πρέσβυς, οὐκ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἥξει, καὶ σώσει ἡμᾶς· καὶ ἐκ τῆς τοῦ ἁγίου Ἰωάννου Ἀποκαλύψεως, ὃς εἴκοσι τέσσαρας πρεσβυτέρους εἶπεν ἑωρακέναι ἐν οὐρανοῖς περὶ τὸν τοῦ Θεοῦ ἀνεκλάλητον θρόνον.

VBIQVE.] Quomodo Deus vbique & nusquam præsens sit, superiùs à nobis dictum est in expositione, cuius initium est, Positionẽ vocant Philosophi. Sicut ergo qui sensim semetipsum à terrâ eleuans videtur quidem manibus catenam illam ad se trahere; ipse verò potiùs in altum tollitur sensim ascendendo: sic qui intensè orat, per opera, quæ manus vocat, sensim cùm operando tum precando mentem suam applicat ad Deum. Sin verò manus à catenâ remittimus, & sursum ferri minimè satagimus, ex alto decidimus. Simile est in naui, vt cognoscamus mentem nostram nauem esse, quæ vitæ huius ventis agitatur; mare verò hanc vitam multis tempestatibus refertam; petram verò Christum, quem dum apprehendimus, inconcussi permanemus, ad ipsum vitam nostram dirigentes.

INCLYTI.] Illustris. §. 2.

INCASSVM LOQVI.] Frustrà loqui.

IMBVTI SVMVS.] Elementaliter instituti sumus ait, pro fructum cepimus. Est verò sciendum, post D. Paulum à S. Hierotheo ipsum fuisse institutum. Suffurari ait, pro clàm & per plagium sibi vsurpare.

GRAVITER.] Grauiter fortè sumpsit pro peritè & intelligenter: compendiosas autem definitiones vocat, quæ breuem quamdam continent contemplationem: hoc enim significauit, cùm dixit singulares; conglobationes autem vocat expositiones illas, quę fiunt paucis verbis.

AD CAPTVM NOSTRVM.] Hoc est, prout à me explicari poterit, & vt ipse cohortatus es, & prout præceptores, quotquot apud nos sunt, exposuerunt. Hæc constructio est per transgressionem.

ALTERAS SCRIPTVRAS.] Nota, S. Hierothei commentarios velut alteram quamdam scripturam censendos esse.

INTVITIONEM.] Minimè tectam & perspicuam cognitionem intelligit.

SENILI.] Quoniam Sacerdotum omnium senilis dignitas perfectior & ad docendum accõmodatior est. Quid porrò sibi velit illud *senilis*, intelliges ex Isaiâ dicente, Isa. 35,4.
Non senior, non Angelus, sed *ipse* Dominus *veniet*, *& saluabit* nos; & ex Apocalypsi Apoc. 4,4
B. Ioãnis, qui circa ineffabile illud soliũ Dei vnigeniti quatuor seniores se vidisse asserit.

PRIN-

SCHOLIA S. MAXIMI.

PRINCIPIVM VITÆ.] Fortè illud erat B. Deiparæ corpus, quod principium vitæ ac Dei tabernaculum appellat. Nota verò & illud, *Frater Domini Iacobus*. nempe cum Petro & Iacobo Apostolis diuinus hic vir aderat.

THEOLOGORVM.] De sanctis Apostolis loquitur.

Quæ sint mysteria diuinæ imbecillitatis in Christo.

DIVINÆ IMBECILLITATIS.] Diuinam imbecillitatem hîc vocat, voluntariam condescensionem Filij Dei vsque ad corpus absque peccato. Cùm enim peccatum prorsus ignoraret, dignatus est pro nobis, propria non deserens, sine peccato fieri peccatum, vt nos peccato mancipatos, per nostri adoptionem, quæ per ipsum facta est, in pristinam assereret libertatem. Nam cùm diues esset diuinitate, locupletante nos inopiâ fit pauper, excellenti quodam modo carnem nostram assumens, vt nos diuinitate eius ditaremur: & cùm in formâ Dei ac secundùm essentiam Deus existeret, propter effusam bonitatem serui formam induit. Cùm simplex Verbum existeret, factus est immutabiliter subsistens. His adde omnem illam pauperem secundùm carnem eius vitæ rationem, præsepe, fugam in Ægyptum, promiscuam illam cum meretricibus ac publicanis conuersationem, pauperrimorum piscatorum delectum, tecti carentiam, totam eius secundùm carnem abiectam & plebeiam, nullisq; commoditatibus instructam viuendi rationem, & infamem in cruce
Galat. 3, 13 mortem, *Maledictus* enim *omnis qui pendet in ligno*; illam cum scelestis latronibus computationem, fixuras clauorum, lateris per lanceam transfixionem, alapas, sputa, acetum, fel, spineam coronam, illusiones, irrisiones, genuflexiones, simplices exequias, & sepulturam. Hæc veluti stultitia & imbecillitas Dei, ratione incarnationis, incomparabiliter sapientior & fortior est hominibus, propter plusquam potentissimam sapientissimamque victoriam de fortiore relatam, quæ tacito silentio clarissimè per opera toto orbe incessanter deprædi-
2. Cor. 13, 4 catur. Etsi enim, iuxta diuum Paulum, *crucifixus est ex infirmitate, sed viuit ex virtute*. Ibidem pulchrè dixit illud *diuinæ imbecillitatis*: nam propter spontaneam ad nos

Τοῦ ζωαρχικοῦ.] Ζωαρχικὸν καὶ θεοδόχον σῶμα, τάχα τὸ τῆς ἁγίας Θεοτόκου λέγει, τότε κοιμηθείσης. Σημείωσαι δὲ καὶ τὸ, Ὁ ἀδελφόθεος Ἰάκωβος, καὶ ὅτι συμπαρῆν Πέτρῳ καὶ Ἰακώβῳ τοῖς Ἀποστόλοις ὁ θεῖος οὗτος ἀνήρ.

Τῶν Θεολόγων.] Περὶ τῶν ἁγίων Ἀποστόλων λέγει.

Τῆς θεαρχικῆς ἀσθενείας.] Θεαρχικὴν ἀσθένειαν ἐνταῦθά φησι τὴν ἑκούσιον τοῦ Υἱοῦ ἄχρι σαρκὸς, ἁμαρτίας δίχα, συγκατάβασιν. Ἁμαρτίαν γὰρ πάντη ἀγνοήσας, κατηξίωσεν ὑπὲρ ἡμῶν, μὴ ἐκστὰς τῶν οἰκείων, ἀναμαρτήτως ἁμαρτία γενέσθαι, ἵν' ἡμᾶς τοὺς δουλωθέντας τῇ ἁμαρτίᾳ, διὰ τῆς δι' ἑαυτοῦ ἡμῶν υἱοθεσίας εἰς τὴν ἀρχαίαν ἐπαναγάγῃ ἐλευθερίαν. Πλούσιος γὰρ ὢν θεότητι, πτωχεύει τὴν πλουτοποιὸν πτωχείαν, ἀναλαβὼν ὑπερφυῶς τὴν ἡμῶν σάρκα, ἵνα ἡμεῖς τὴν ἐκείνου πλουτήσωμεν θεότητα· καὶ ἐν μορφῇ Θεοῦ καὶ Θεὸς κατ' οὐσίαν ὑπάρχων, τὴν τοῦ δούλου δι' ὑπερέκχυσιν ἀγαθότητος ὑπέδυ μορφήν. Λόγος ἁπλοῦς ὢν, ἐνυπόστατος καὶ γεγονὼς ἀτρέπτως σάρξ. Ἔτι πρὸς τούτοις, καὶ πᾶσαν τὴν ἔνσαρκον αὐτοῦ πενιχρὰν πολιτείαν, τὴν φάτνην, τὴν εἰς Αἴγυπτον φυγὴν, τὴν μετὰ πόρνων καὶ τελωνῶν ἀδιάφορον συνδιαγωγὴν, τὴν ἐκλογὴν τῶν πτωχοτάτων ἁλιέων, τὸ ἄοικον αὐτοῦ, τὸ αὐτοσχέδιον καὶ ἀπεριστάσκευον πάντη τῆς ὅλης αὐτοῦ ἐνσάρκου ζωῆς, τὸν ἄτιμον ἐπὶ σταυροῦ θάνατον, Ἐπικατάρατος γὰρ πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· τὴν μετὰ τῶν κακούργων λῃστῶν συναρίθμησιν, τὰς διαπερονήσεις τῶν ἥλων, τὴν διὰ τῆς λόγχης νύξιν τῆς πλευρᾶς, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα, τὸ ὄξος, τὴν χολὴν, τὸν ἀκάνθινον στέφανον, τοὺς διαπαιγμοὺς καὶ διαγελασμοὺς, τὰς γονυπετήσεις, τὴν εὐτελεστάτην κηδείαν τε καὶ ταφήν. Τοῦτο τὸ ὡσανεὶ μωρὸν καὶ ἀσθενὲς τοῦ Θεοῦ, τῷ λόγῳ τῆς οἰκονομίας, σοφώτερον καὶ ἰσχυρότερον ἀσυγκρίτως τῶν ἀνθρώπων, τῇ ὑπερδυνάμῳ καὶ ὑπερσόφῳ ἐκνικήσει τοῦ κρείττονος διαπρυσίως ἀπεδείχθη ἀφθέγκτῳ σιγῇ δι' ἔργων ἐκβοώμενον πάσῃ τῇ κτίσει ἀκαταλήπτως. Εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως, κατὰ Παῦλον τὸν θεσπέσιον. Εἰς τὸ αὐτό. Καλῶς τὸ τῆς ἀσθενείας τῆς θεαρχικῆς εἴρηκε· διὰ γὰρ τὴν πρὸς ἡμᾶς

ἑκούσιον

SCHOLIA S. MAXIMI.

ἑκούσιον συγκατάβασιν, πάντα ὑπομεῖναι ἄχρι θανάτου, θανάτου δὲ σταυροῦ· καὶ τὰς ἀσθενείας ἡμῶν αὐτὸς αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν. Καὶ τὸ πάθος αὐτοῦ ἴδιον λέγεται, κατὰ τὴν τοῦ Πέτρου φωνὴν τὴν λέγουσαν· Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί. καί· Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ὅθεν καὶ Κυριοκτόνοι οἱ Ἰουδαῖοι λέγονται.

Ὑμνολόγος κρινόμενος.] Ὅτι καὶ ψαλμοὺς ἔλεγον τότε ἐμμελεῖς οἱ περὶ τὸν ἅγιον Ἱερόθεον, καὶ ᾠδάς, ὡς δηλοῖ καὶ τὸ ὑμνολογεῖν καὶ τὸ ὑμνῳδεῖν· καὶ ὅτι, τὰ μὲν ὑψηλὰ καὶ μυστικά, ἄρρητα τοῖς πολλοῖς δεῖ φυλάττειν, ὁμιλεῖν δὲ καὶ διδάσκειν δεῖ τοὺς πολλούς, τὰ δυνατὰ καὶ εὐαπόδεικτα.

Τῶν θείων.] Γραφῶν δηλονότι καὶ θεωρημάτων.

Διὰ περιττὴν εὐλάβειαν.] Ὅτι εὐλαβὲς τὸ μὴ ζητεῖν τὰ θειότερα.

Εἰλήφαμεν.] Σημείωσαι, ὅτι οὐ δεῖ τῆς ἐνδεχομένης τῶν θείων γνώσεως ἀμελεῖν, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι· καὶ ὅτι κατὰ φύσιν οἱ νόες ἔφεσιν ἔχουσι πρὸς τὴν ἐγχωροῦσαν τῶν ὑπερφυῶν θεωρίαν.

Τὰ μὲν ὑπὲρ ἡμᾶς.] Ὅτι οὐ δεῖ τὰ ὑπὲρ ἡμᾶς πολυπραγμονεῖν, οὐδὲ ἀμελεῖν τῆς θείας γνώσεως, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι τῶν ἐνδεχομένων· εἴρηται γάρ, Ὑψηλότερά σου μὴ ἐρεύνα, ἃ προσετάγη σοι, ταῦτα διανοοῦ.

Ἐγκελευομένη.] Κατὰ τὸν Ἀπόστολον, Ταῦτα παράθου πιστοῖς ἀνθρώποις.

Τούτοις οὖν καὶ ἡμεῖς.] Σημείωσαι, πόθεν ἐπὶ τὸ συγγράφειν ἦλθεν.

Ἱεροθέῳ.] Ὅτι ἐν τοῖς λεχθησομένοις τὰ Ἱεροθέου ἑρμηνεύει.

condescensionem, omnia sustinuit *usque ad mortem, mortem autem crucis*; & infirmitates nostras ipse tulit, & propter nos excruciatus est, & liuore eius sanati sumus. Quin & passio illius propria perhibetur, iuxta vocem Petri dicentis, *Christo igitur passo* pro nobis *in carne*. item: *Si cognouissent, numquam Dominum gloriæ crucifixissent*. Vnde etiam Dominicidæ Iudæi appellantur. Philip.2,8. 1.Pet.2,24 1.Pet. 4,1. 1.Cor.2,8.

DIVINVS LAVDATOR.] Quia nimirum Psalmos modulatos & Cantica recitabant, qui tunc beato Hierotheo aderant, vti declarant quoq; voces istæ ὑμνολογεῖν & ὑμνῳδεῖν: & quia quæ sublimia sunt & mystica, vulgo seruanda sunt arcana, explicare autem decet ea, multitudinemque docere, quæ & fieri & facilè demonstrari possunt.

RERVM DIVINARVM.] Scripturarum scilicet, & contemplationum. §. 3.

PRÆ ABVNDANTIA RELIGIONIS.] Quoniam religiosum est, diuiniora non scrutari.

INTELLEXISSEMVS.] Nota, concessam rerum diuinarum notitiam minimè negligendam, sed etiam aliis communicandam esse; mentesq; naturali cupiditate trahi ad indultam rerum admirabilium contemplationem.

QVÆ SVPRA NOS.] Quoniam non oportet ea quæ supra nos sunt curiosiùs inquirere, neque tamen diuinam negligere cognitionem, sed, quoad possumus, cum aliis communicare; dictum est enim: *Altiora te ne quæsieris, sed quæ præcepta sunt tibi, illa cogita.* Eccli.3,22

IVBET.] Secundùm Apostolum, *Hæc commenda fidelibus hominibus.* 2.Tim.2,2

HIS ITAQVE ETIAM NOS.] Nota, vnde ad scribendum processerit.

HIEROTHEO.] Quoniam in iis, quæ adducenda sunt, Hierotheïa verba interpretatur.

PARAPHRASIS PACHYMERÆ.

ΠΡΩΤΟΝ, εἰ δοκεῖ, τὴν ἐκφαντορικὴν τῶν ὅλων τοῦ Θεοῦ εὐεργεσιῶν, δηλονότι τὴν τοῦ ἀγαθοῦ ὀνομασίαν, ἐπισκεψώμεθα, τὴν ἀρχικὴν πάσης ἀγαθότητος ἁγίαν Τριάδα, τὴν πάσας τὰς προνοίας ἑαυτῆς ἀγαθὰς ἐκφαίνουσαν, ἐπικαλεσάμενοι. Χρὴ τοίνυν ἡμᾶς ταῖς εὐχαῖς προαγομένους, ἢ μᾶλλον

PRIMVM, si placet, id quod vniuersa Dei beneficia manifestat, scilicet boni nomen, expendamus, inuocatâ sanctâ Trinitate, quæ omnis boni principium est, & omnes suas prouidentias benignè explanat. Oportet itaque nos orationibus adductos, vel potiùs appropinquantes, §. 1.

Per orationem accedi ad Deum.

PARAPHRASIS PACHYMERÆ.

iuxta illud, *Accedite ad me, & ego accedam ad vos*, dicit Dominus, edoceri eius munera, vel potiùs pati magis ea dum discimus: etenim ipsa quidem adest omnibus, non autem ipsi adsunt omnia, quæcumque videlicet rerum terrrenarum affectione & cogitationũ perturbatione procul recedunt; quando verò precatione & tranquillâ mente idonei euadimus ad diuinam vnionem, tunc etiam nos ipsi adsumus. Confirmans autem ipsam omnibus adesse, ait: Ipsa enim nec in loco ita est, vt vsquam absit, vel ex aliis ad alia migret. Quæ enim in loco sunt, continentur; locus enim terminus est eius quod continet contentum. Quin imò dicere, in omnibus rebus ipsam esse, multum deficit ab eius infinitate quâ cuncta complectitur: non enim tantùm est in omnibus, verùm etiam continet vniuersa; neque tantùm continet, verùm etiam complexum omnem infinitum excedit. Incumbamus itaque orationibus, non vt Deum deducamus, sed vt ipsi potiùs ad Deum adducamur. Et adducit primum exemplum Gentile ex Homero; pulcherrimè autem id rebus diuinis accommodat: tradit enim ipse, catenam auream è cælo dependisse. Sicut ergo catenâ sic constitutâ, qui sensim semetipsum à terrâ eleuans, alternis quidem apprehensionibus videtur illam catenam ad se trahere, ipse verò potiùs in altum tollitur sensim ascendendo: sic qui intensè orat, per opera, quæ manus vocat, sensim & operando & precando mentem suam applicat ad Deum. Sin verò manus, iam in altum adducti, à catenâ soluimus, ex alto decidimus: nam dum adducimur, etiam Deo adhærere debemus. Simile est in naui, vt cognoscamus mentem nostram nauem esse, quæ vitæ huius ventis agitatur; mare verò hanc vitam multis tempestatibus refertam, petram verò Christum, quem dum apprehendimus, inconcussi permanemus, ad ipsum tam vitam quàm viuendi rationem dirigentes. Quapropter ante omne opus, præsertim ante omnem de Deo sermonem, ab oratione inchoandum est, non vt ad nos attrahamus virtutem illam, quæ vbique & nusquam præsens est (adest enim vbique, quia penetrat vniuersa, nusquam verò adest, quoniam nullus locus dignus est eius

πλησιάζοντας, κατὰ τὸ, Ἐγγίσατε πρός με, καὶ ἐγγιῶ πρὸς ἡμᾶς, λέγει Κύριος, μυεῖσθαι τὰς περὶ αὐτὴν δωρεὰς, ἐν τῷ πάσχειν μᾶλλον αὐτὰς, ἢ ἐν τῷ μανθάνειν· καὶ γὰρ αὐτὴ μὲν πᾶσι πάρεστιν, οὐ πάντα δὲ ταύτῃ πάρεστιν, ὅσα δηλαδὴ ἐν τῇ τῶν γηΐνων ἕξει, καὶ τῇ τῶν λογισμῶν ἐπιθολώσει ἀπομακρύνονται· ὅτε δὲ δι' εὐχῆς καὶ νοῦ ἀνεπιθολώτου ἐπιτήδειοι γινόμεθα πρὸς τὴν θείαν ἕνωσιν, τότε πάρεσμεν καὶ ἡμεῖς αὐτῇ. Κατασκευάζων δὲ τὸ, ὅτι πᾶσι πάρεστι, φησὶν, Ὅτι οὐκ ἐν τόπῳ ἐστὶν, ἵνα καὶ ἀπῇ τινος, ἢ εἰς ἕτερα ἐξ ἄλλων μεταστῇ. Τὰ γὰρ ἐν τόπῳ, περιέχονται· ὁ τόπος ἐστὶ πέρας τοῦ περιέχοντος τὸ περιεχόμενον. Ἀλλὰ καὶ τοῦτο τὸ λέγειν ἐν πᾶσιν εἶναι αὐτὴν, πρὸς τὸ περιληπτικὸν τῆς ἀπειρίας ἐκείνης πολὺ ἀπολείπεται· οὐδὲ γὰρ μόνον ἐν πᾶσίν ἐστιν, ἀλλὰ καὶ πάντα περιλαμβάνει· καὶ οὐ μόνον περιλαμβάνει, ἀλλὰ καὶ τὸ τῆς περιλήψεως ἐπέκεινα ἄπειρόν ἐστι. Τοίνυν καὶ ἀνανεύσωμεν ταῖς εὐχαῖς, οὐχ ἵνα τὸ Θεῖον κατάξωμεν, ἀλλ' ἵνα μᾶλλον πρὸς αὐτὸ ἀναχθῶμεν. Καὶ λαμβάνει πρῶτον παράδειγμα Ἑλληνικὸν ἐκ τοῦ Ὁμήρου, προσαρμόζει δὲ τοῦτο τοῖς θείοις παγκάλλιστα· λέγει γὰρ ἐκεῖνος, σειρὰν χρυσέην οὐρανόθεν κρεμάσαντες. Ὥσπερ γὰρ τῆς σειρᾶς οὕτω διακειμένης, ὁ κατὰ μικρὸν ἑαυτὸν τῆς γῆς κουφίζων, εἴτε ταῖς ἀμοιβαίαις ἐπιδράξεσι, δοκεῖ μὲν καθέλκειν τὴν σειρὰν, αὐτὸς δὲ μᾶλλον πρὸς ὕψος αἴρεται τῇ κατὰ μικρὸν ἀναβάσει· οὕτω καὶ ὁ ἐκτενῶς προσευχόμενος, διὰ τῶν πράξεων, ἃς χεῖρας καλεῖ, τῇ κατὰ μικρὸν ἐργασίᾳ καὶ προσευχῇ τὸν νοῦν αὐτοῦ ἀναλέγεται πρὸς Θεόν. Ἐὰν δὲ τὰς χεῖρας τῆς σειρᾶς ἀπολύσωμεν ἀναγόμενοι, πίπτομεν ἐξ ὕψους· ἐν γὰρ τῷ ἀνάγεσθαι, καὶ τοῦ Θεοῦ ὀφείλομεν ἔχεσθαι. Τὸ αὐτὸ καὶ περὶ τῆς νηὸς, ἵνα νοήσωμεν ναῦν τὴν ἡμῶν διάνοιαν, ῥιπιζομένην τοῖς τοῦ βίου ἀνέμοις· θάλασσαν δὲ τὸν βίον αὐτὸν γέμοντα πολλῶν χειμώνων· πέτραν δὲ, τὸν Χριστὸν, ὃν κρατοῦντες ἀσάλευτοι διαμείνομεν, πρὸς αὐτὸν, τὸν βίον ἡμῶν καὶ τὴν πολιτείαν ἕλκοντες. Διὸ καὶ πρὸ παντὸς πράγματος, μᾶλλον δὲ τῆς θεολογίας, δεῖ ἀπάρχεσθαι τῆς εὐχῆς, οὐχ ἵνα ἐφελξώμεθα τὴν ἁπανταχοῦ παροῦσαν καὶ οὐδαμοῦ δύναμιν (πάρεστι γὰρ πανταχοῦ, ὅτι πᾶσι διήκει, οὐδαμοῦ δὲ, ὅτι οὐδεὶς ἄξιος τόπος τῆς κα-

ταπαυ-

ταπαύσεως αὐτοῦ) ἀλλ' ἵνα ἐγείρωμεν ἑαυτοὺς καὶ τῷ Θείῳ ἑνώσωμεν ταῖς θείαις μνήμαις ἐπικλήσεσι.

Καὶ τοῦτο δ' ἴσως ἀπολογοῦμεν, ὅτι τοῦ κλεινοῦ Ἱεροθέου τὰς θεολογικὰς στοιχειώσεις συναγαγόντος, ἡμεῖς δὲ συνεγραψάμεθα, ἄλλας τε πραγματείας, καὶ ταύτην τὴν θεολογίαν, ὡς οὐχ ἱκανῶν ἐκείνων ὄντων. Καὶ γὰρ εἴπερ ἐκεῖνος περὶ τούτων λεπτομερέστερον ἠξίωσε διελθεῖν, οὐκ ἂν ἡμεῖς εἰς τοσοῦτον ἢ μανίας ἢ σκαιότητος ἐληλύθαμεν, ὡς οἰηθῆναι ἐπιβαλεῖν τοῖς θείοις ἐπιστημονικώτερον, ὥστε δὶς τὰ αὐτὰ λέγειν, καὶ ἀδικεῖν φίλον ἅμα καὶ διδάσκαλον· καὶ ἡμᾶς τέως τοὺς μετὰ τὸν μακάριον Παῦλον μαθητευθέντας αὐτῷ, ὑφαρπάζειν τὰ ἐκείνου καὶ ὡς ἴδια γράφειν. Ἀλλ' ἐπειδὴ πρεσβυτικῶς τε ἐπιστημονικῶς εἶπεν ἐκεῖνος, καὶ συντόμους καὶ κεφαλαιώδεις τὰς διδασκαλίας πεποίηκεν, ἐγκελευόμενος καθ' ἕκαστον καὶ ἡμῖν, καὶ τοῖς ἑτέροις τῶν νεοτελῶν ψυχῶν διδασκάλοις, καθ' ὅσον ἔνι ἀναπτύξαι καὶ διακρῖναι τὰς συνοπτικὰς καὶ δι' ὀλίγων ἐκφράσεις τῆς ἑνιαίας ἐκείνου καὶ νοερωτάτης δυνάμεως· καὶ πολλάκις ἡμᾶς εἰς αὐτὸ τοῦτο τε σὺ προετρέψας, ἀντεποστείλας καὶ τὴν βίβλον αὐτοῦ. Ταύτῃ τοι καὶ ἡμεῖς, τὸν μὲν ἅγιον Ἱερόθεον, ὡς τελείων διανοιῶν διδάσκαλον, τοῖς τελείοις ἀφορίζομεν, καὶ τὰ ἐκείνου λόγια, ὡς δεύτερα Λόγια, πρὸς τὰ θεῖα καὶ ἱερὰ τῶν Ἀποστόλων παραγγέλματα ἔχομεν· τοῖς δὲ καθ' ἡμᾶς ἀτελέσι, τὰ θεῖα παραδώσωμεν, ἀναλόγους τοῖς διδασκάλοις ἡμῖν τοὺς μαθητὰς ἔχοντες. Ὁπόσον δὲ ἔχει ἐκεῖνος τὸ τέλειον, ἐν ᾧ ἑστιᾷν ἑτέρους τὴν στερεὰν τροφήν, ὅπου γε καὶ ἡμεῖς λεγόμεθα τέλειοι, ὡς τῆς τοιαύτης στερεᾶς τροφῆς μεταλαμβάνειν ἠξιωμένοι; Ὀρθῶς οὖν εἴπομεν τὸ, τὴν μὲν αὐτοπτικὴν καὶ ἀνεπικάλυπτον, καὶ ἐμφανεστέραν κατανόησιν, καὶ τὴν κεφαλαιώδη διδασκαλίαν, πρεσβυτικῆς δεῖσθαι δυνάμεως· τὴν δὲ διασάφησιν καὶ ἐκμάθησιν ἁρμόζειν τοῖς ὑφειμένοις ἡμῖν. Ἐπιτετήρηται γοῦν ἡμῖν, ὥστε ὅσα δὴ σαφῶς παρὰ τοῦ θείου Ἱεροθέου διευκρίνηται, μηδ' ὅλως ἐγκεχειρηκέναι καὶ οἷον φαίνεσθαι ταυτολογεῖν· τὰ δὲ συνοπτικῶς εἰρημένα ἐκείνῳ (τοῦτο γὰρ ἔξωθεν προσληπτέον) λεπτοτέραις ἐννοίαις ἐκφαίνειν· τοῦτο γάρ ἐστι τὸ ζητούμενον, ὃ ἐν τῷ τέλει τοῦ λόγου ἐπη-

PARAPHRASIS PACHYMERÆ.

requiete) ſed vt nos ipſi excitemus, Deoq; coniungamus diuinis commemorationibus & inuocationibus.

§. 2. *Cur S. Dionyſius poſt Hierotheũ ſcripſerit.*

Atque hîc fortaſſe nobis reddenda ratio ſit, cur, cùm inclytus Hierotheus Theologica principia collegerit, nos, quaſi illa non ſufficerent, vti alia opuſcula, ſic & præſentem hunc tractatum Theologicum conſcripſerimus. Etenim ſi ille de his enucleatiùs diſſerere voluiſſet, numquam ea nos inſania ſtoliditáſve cepiſſet, vt illo doctiùs nos de diuinis loqui poſſe putaremus, atque adeò bis eadem repetendo, & amico ſimul & præceptori hanc iniuriam faceremus, vt, cùm eius poſt B. Paulum diſcipuli fuerimus, eius ſcripta nobis per plagium vſurparemus: ſed quoniam ille grauiter & ſcitè de his loquens, compendio & ſummatim doctrinas ſuas tradidit, iubens nos, aliosque rudiorum adhuc animorum præceptores, ſigillatim, quoad fieri poteſt, explanare ac diſtinguere compendioſas illas breueſque enarrationes vnitæ illius ac ſpiritualiſſimæ virtutis; quin & ipſe tu quoque frequenter nos ad hoc adhortatus es, & librum eius nobis remiſiſti. Quapropter nos quoque ſanctum Hierotheum, tamquam perfectarum mentium præceptorem, perfectis aſſignamus, & ipſius dicta tamquam altera Oracula, ſecundùm diuina ſacraque Apoſtolorum ſcripta, æſtimamus; nos verò noſtri ſimilibus imperfectis res diuinas explicabimus, nobis præceptoribus non abſimiles diſcipulos habentes. Quantæ verò ipſe eſt perfectionis, cùm etiam alios ſolido cibo nutriat, cùm nos etiam perfecti appellemur, ſi iſtiuſmodi ſolido cibo veſci nobis licuerit? Meritò itaque dicimus, ad ipſam per ſe intuitionem, & non reuelatam manifeſtioremque intelligentiam, & ſummariam doctrinam ſenili facultate opus eſſe, explanationem autem & explicationem nobis vt inferioribus conuenire. Obſeruatum itaque à nobis, vt quæcumque clarè à diuo Hierotheo diſtincta ſunt ne quidem omnino attingeremus, ne quodammodò idem iteratò dicere videremur; quæ verò ipſe compendioſè tradidit (hoc enim excipiendum eſt) minutioribus intelligentiis explanaremus: nam hoc eſt quod quæritur, vt in fine ora-

PARAPHRASIS PACHYMERÆ.

tionis addidit. Nunc verò viri laudes aggrediens, quanam ratione, & qualia ab ipso sanctæ Deiparæ obdormitionis tempore laudata sint, ostendit artificiosè ipsa loquendi formula, orationis ea compositionem effugere, & ait: Cùm Patribus illis diuino Spiritu afflatis (& nos ipsis adessemus) tempore obdormitionis sanctissimæ Dominæ nostræ Deiparæ, placuissetque post contuitum sanctis Antistitibus pro virili cuique suo, infinitâ potentiâ præditam diuinæ imbecillitatis bonitatem collaudare, id est voluntariam condescensionem Dei vsque ad corpus absque peccato. ceteros Sacerdotes superabat Magnus Hierotheus, totus quodammodò à corpore abductus, totus extra se positus in hymnis ac laudibus, rerumque quas laudabat consortium patiens, ab omnibus tam notis quàm ignotis diuino Numine afflatus censebatur. Vel itaque hoc dicit, ab omnibus tam iis qui ipsum nouerant, quàm qui non nouerant; vel potiùs, non dixit quòd noscebatur, sed non cognoscebatur: siquidem ab illis, inquit, noscebatur, qui videlicet nouerant eorum quæ dicebantur valorem; non cognoscebatur autem ab illis, qui istarum laudum celsitudinem attingere non valebant. Videbatur itaque diuino Numine afflatus & illis & his. Illis quidem, tamquam consciis ac scientibus ipsum esse talem; his verò, tamquam non intelligentibus quæ dicebantur, atque ideò existimabant, illa diuina quædam esse quæ vulgi captum superarent, & diuinis tantùm eorumque similibus viris digna forent. Diuinarum porrò laudum istarum partem aliquam me abs te audiuisse memini: tantam diuinorum curam geris, vt numquam illa perfunctoriè percurras.

Quid Apostoli fecerint sub mortem D. Virginis.

Hierothei ecstasis.

§.3. Atque vt multa omittamus quæ vulgo sunt arcana, tibique nota, vel ideò nota quia arcana mysticaque, vel tibi nota tamquam supra vulgus existenti, ac diuino, hoc inpræsentiarum dicimus. Quomodo, cùm multos vellet instruere, & quotquot poterat ad Dei cultum traducere, plurimis modis superasse plurimos præceptores sacros, à quibus vt diuinus Magister celebrabatur, adeò vt numquam tanto soli conati simus obtueri. Agit de illius compositionibus ac scriptis,

γαγε. Νῦν δὲ εἰς τοὺς ἐπαίνους τοῦ ἀνδρὸς εἰσελθὼν, ὅπως καὶ ὁποῖα ἦσαν τὰ παρ' αὐτοῦ ὑμνούμενα ἐν τῷ καιρῷ τῆς ἁγίας Θεοτόκου κοιμήσεως, κατὰ ἐνδιάθετον σχῆμα, τεχνικῶς οἷον ἐπελάθετο τῆς τοῦ λόγου συμφράσεως, καί φησιν, Ἐπεὶ καὶ παρ' αὐτοῖς τοῖς θεολήπτοις Πατράσιν (ὅτε συμπαρῆμεν ἐκείνοις καὶ ἡμεῖς) ἐν τῷ καιρῷ τῆς κοιμήσεως τῆς παναγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἔδοξε δὲ κατὰ τὴν θείαν ὑμνῆσαι τοὺς Ἱεράρχας ὡς ἕκαστος εἶχε δυνάμεως τὴν ἀπειροδύναμον ἀγαθότητα τῆς θεαρχικῆς ἀσθενείας, τῆς ἑκουσίου δηλονότι τοῦ Θεοῦ ἄχρι σαρκὸς χωρὶς ἁμαρτίας συγκαταβάσεως, πάντων ἐκράτει τῶν ἱερομυστῶν ὁ μέγας Ἱερόθεος, ὅλος ὢν ὥσπερ ἔκδημος ἐκ τοῦ σώματος, ὅλος ἐξιστάμενος ἑαυτοῦ ἐν τοῖς ὕμνοις, καὶ πάσχων τὴν πρὸς τὰ ὑμνούμενα κοινωνίαν, παρὰ πάντων καὶ τῶν γνωρίμων καὶ τῶν μὴ γνωρίμων θεόληπτος ἐκρίνετο. Ἢ γοῦν τοῦτο λέγει, παρὰ πάντων καὶ τῶν γινωσκόντων καὶ τῶν μὴ γινωσκόντων αὐτόν· ἤ, ὅπερ καὶ κρεῖττον, οὐ γὰρ εἶπε, οὐκ ἐγινώσκετο, ἀλλ' οὐκ ἐπεγινώσκετο· ἐγινώσκετο μὲν λέγει παρ' ἐκείνων, δηλονότι οἵ τινες ἐγίνωσκον τὴν τῶν λεγομένων δύναμιν· οὐκ ἐπεγινώσκετο δὲ παρ' ἐκείνων, οἵ τινες οὐχ οἷοί τε ἦσαν ἐπιβαλεῖν τῷ ὕψει τῶν ὕμνων. Ἐφαίνετο γοῦν θεόληπτος κἀκείνοις καὶ τούτοις. Ἐκείνοις μὲν, ὡς συνιεῖσι καὶ ἐπιστήμην ἔχουσιν, ὅτι τοιοῦτός ἐστι· τούτοις δὲ, ὡς μὴ συνιεῖσι τὰ λεγόμενα, κἀντεῦθεν θεῖά τινα κρίνουσι ταῦτα καὶ ὑπὲρ τοὺς πολλοὺς, καὶ μόνοις ἄξια τοῖς θείοις καὶ κατ' ἐκεῖνον ἀνδράσιν. Ἐκ τῶν ὕμνων γοῦν ἐκείνων, οἶδα ἐπακούσας πολλάκις καὶ παρά σου μέρη τινά· οὕτως ἔχεις σπουδὴν εἰς τὰ θεῖα, ὥστε μὴ ἐκ παρέργου λογίζεσθαι ταῦτα.

Καὶ ἵνα σοι παραλείψωμεν τὰ πολλὰ ὡς ἄρρητα τοῖς πολλοῖς, καί σοι ἐγνωσμένα· ἢ γοῦν ἐγνωσμένα, ὅτι εἰσὶν ἄρρητα καὶ μυστικά· ἢ ὅτι σοὶ ἐγνωσμένα, ὡς ὄντι ὑπὲρ τοὺς πολλοὺς, καὶ θείῳ, τοῦτο πρὸς τὸ παρὸν λέγομεν. Πῶς, ὅτε τοῖς πολλοῖς ἤθελεν ὁμιλῆσαι, καὶ ὅσους ἦν δυνατὸν μετάξαι εἰς θεοσέβειαν, ὑπερεῖχε τοὺς πολλοὺς τῶν ἱερῶν διδασκάλων κατὰ πολλοὺς τρόπους οἷς ἂν σεμνύνοιτο ὁ θεῖος διδάσκαλος, ὥστε οὐκ ἄν ποτε πρὸς τοῦτον ἥλιον ἀντωπεῖν ἐνεχειρήσαμεν. Δηλονότι τὰ ἐκείνῳ συντεθειμένα λέγει, καθὼς ἐκεῖνος·

PARAPHRASIS PACHYMERÆ.

νος εἴπω, προστιθέμενοι· ἡμεῖς γὰρ κατὰ τὸ, Γνῶθι σαυτὸν, ἑαυτῶν αἰσθανόμεθα, ὡς οὔτε νοῆσαι ἱκανῶς τὰ θεῖα χωροῦμεν, οὔτε εἰπεῖν. Πόῤῥω δέ ἐσμεν τῆς ἕξεως καὶ ἐπιστήμης τῶν ἱερῶν ἀνδρῶν· πολλὴν γὰρ ἂν εὐλάβειαν εἴχομεν εἰς τὸ μηδόλως ἀκούειν ἢ λέγειν περὶ τῶν θείων, μὴ ὅτι γε ἐπὶ τοῖς ἀγνοουμένοις, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀκριβῶς γινωσκομένοις ἡμῖν, εἰ μὴ κατὰ νοῦν εἴχομεν ὅτι οὐ δίκαιόν ἐστιν ἀμελεῖν τῆς ἐνδεχομένης τῶν θείων γνώσεως, ἧς ἕκαστος μετέχειν ἐκ τῆς θείας χάριτος· καὶ δῆλον ἐκ τοῦ μὴ ἐπεξεργασαμένου τὸ τάλαντον. Καὶ εἰς τοῦτο ἡμᾶς ἔπεισαν, ὅτι καλόν ἐστι δηλαδὴ τὸ μεταδιδόναι καὶ ἑτέροις τῆς ἐνδεχομένης γνώσεως, αἱ φυσικαὶ ἐφέσεις τῶν θείων Ἀγγέλων ἐφετικῶς ἀεὶ γλιχόμεναι τῆς προσηκούσης θείας θεωρίας· καὶ αὐτὴ δὴ ἡ τῶν θείων Γραφῶν διάταξις, ἀποτρέπουσα μὲν πολυπραγμονεῖν τὰ ὑπὲρ ἡμᾶς, ὡς ἡ Σοφία τοῦ Σιρὰχ παραινοῦσα· Ὑψηλότερά σου μὴ ζήτει, καὶ βαθύτερά σου μὴ ἐρεύνα. Προτρέπουσα δὲ, εἰς τὰ κατὰ δύναμιν, ὡς ὁ θεῖος Ἀπόστολος διακελευόμενος, Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ, ταῦτα παράθου πιστοῖς ἀνθρώποις. Ταῖς τοιαύταις πειθόμενοι παραινέσεσι, πρὸς τὴν ἐφικτὴν τῶν θείων εὕρεσιν μὴ ἀποδειλιάσαντες, ἀλλὰ καὶ τοὺς ἐπὶ δυναμένους εἰς τὰ κρείττονα καὶ ὑψηλότερα τῆς ἡμετέρας ἕξεως καὶ δυνάμεως ἀναδραμεῖν, ἀβοηθήτους οὐ φέροντες καταλιπεῖν ὡς τυχὸν, ἐκ ταύτης δὴ τῆς ἡμετέρας χαμερποῦς διδασκαλίας ἀναχθήσεσθαι μελλόντων τινῶν εἰς ὑψηλοτέραν γνῶσιν, μελέτῃ τε καὶ σπουδῇ, καὶ τῇ θείᾳ συνάρσει, καθήκαμεν καὶ ἐνεβάλομεν ἑαυτοὺς εἰς τὴν ἐγγραφήν· νέον μέντοι καὶ ξένον οὐ τολμῶντες εἰσηγεῖσθαι καὶ διδάσκειν, λεπτοτέραις δὲ ἐξετάσεσι τὰ συνοπτικῶς εἰρημένα τῷ ἱερῷ καὶ θείῳ ἀνδρὶ (τοῦτο γάρ ἐστι τὸ, τῷ ὄντως Ἱεροθέῳ) ἀναπτύσσοντες, καὶ δῆλα ποιοῦντες τοῖς πλείοσιν.

vnde dicit, ita nobis conſcij ſumus, quoniam iuxta tritum illud, *Noſce te ipſum*, ita de nobis ſentimus, ac ſi ne diuinis quidem intelligendis, ne dicam eloquendis, ſufficere poſſimus. Multum verò à ſanctorum virorum habitu atque ſcientiâ diſtamus; quin eò præ nimiâ religione adducti ſumus, vt de diuinis nihil omnino audire vel loqui auderemus, non tantùm de iis quæ ignoramus, verùm etiam de iis quæ exactè noſcimus, niſi nobis perſuaſum eſſet, haud æquum eſſe, rerum diuinarum, quam quilibet cum diuinâ gratiâ aſſequi poteſt, ſcientiam negligere; vti manifeſtum fit ex eo qui talentum non expenderat. Quin id ipſum nobis quoque perſuadent, pulchrum nempe eſſe cum aliis ſcientiam ſuam communicare, naturalia diuinorum Angelorum deſideria, dum conuenientem ſemper diuinam contemplationem deſiderant; nec non etiam diuinarum Scripturarum ordinatio, dum prohibet quidem ea quæ ſupra nos ſunt curioſiùs inquirere, ſicuti Sapientia Sirach ſuadet: *Altiora te ne quæſieris, & profundiora te ne ſcruteris.* (Eccli. 3, 22) Præcipit verò, vt diſcamus ea quę poſſumus, vt diuinus iubet Apoſtolus dicens, *Et quæ audiſti à me, hæc commenda fidelibus hominibus.* (2. Tim. 2, 2) Iſtiuſmodi monitis morem gerentes, quoad poſſibilem diuinorum inuentionem animum non deſpondentes, ſed & illos qui noſtro modulo ac facultate ſublimiora capere poſſunt, auxilio deſtitui non ferentes, cùm aliqui ex hac humi reptante doctrinâ noſtrâ, ſtudio ac meditatione ſuâ, poſſent ad ſublimiorem aliquam notitiam aſcendere, nos ipſos ope diuinâ excitauimus, & animum ad ſcribendum appulimus, nihil quidem noui ac peregrini adferre & explicare præſumentes, ſed minutioribus dumtaxat quæſtionibus ea, quæ ſummatim à ſancto diuinoque viro (id eſt à verè Hierotheo) dicta ſunt, exponentes, & pluribus plana facientes.

Humilis Dionyſij de ſe opinio.

 CAPVT

CAPVT IV.

De bono, luce, pulchro, amore, ecstasi, zelo; & quòd malum neque ens sit, neque ex entibus, neque in entibus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἀγαθοῦ, φωτὸς, καλοῦ, ἔρωτος, ἐκστάσεως, ζήλου· καὶ ὅτι τὸ κακὸν οὔτε ὂν, οὔτε ἐξ ὄντος, οὔτε ἐν τοῖς οὖσι.

SYNOPSIS CAPITIS.

1. Docet, bonitatem esse primum Dei attributum, & diuinâ bonitate cuncta consistere. 2. A bonitate esse Angelorum ordines ac functiones; item animas earumque facultates; similiter res animatas & inanimatas. 3. Bonitatem esse super omnia, atque illa ipsa quæ non sunt vocare vt sint. 4. Bonitatem hanc esse causam quòd sint cæli, atque illorum motus; Solem autem esse imaginem diuinæ bonitatis, & ad se cuncta conuertere. 5. Docet, cur Deus lumen appelletur. 6. Deum esse lumen intellectile, & quanta sit eius excellentia & vis. 7. Tradit, quomodo Deus dicatur pulcher & pulchritudo, & vnde ac quâ ratione sic appelletur; & quomodo anticipet rerum omnium pulchritudinem vt causa, & ex hac eius pulchritudine omnes existant congruentiæ. 8. Spiritus Cælestes triplici motu cieri. 9. Iisdem motibus pro captu suo nostros animos moueri. 10. Omnia per pulchrum & bonum conseruari, omniaque pulchrum & bonum appetere. 11. Nomen amoris etiam in Scripturis vsurpari, & non tam verborum quàm significationum rationem habendam esse. 12. Scripturas aliquando nomen amoris nomini dilectionis anteferre, & vulgus nomen amoris spiritalis non capere. 13. Amorem ecstaticum esse & zelotem. 14. Quomodo Deus sit amor & dilectio, & amabilis & dilectus; & qualis sit diuini amoris circulus. 15. Ex Hierotheo docet, quomodo omnis amor sit vnitiuus. 16. Distribuit ordines amoris. 17. Ostendit, quomodo diuinus amor ex Deo, per Deum, in Deum reuoluitur. 18. Obijcit, cur Dæmones non expetant pulchrum & bonum, & petit quid sit malum, & vnde. 19. Respondet, malum non esse ex bono, & quidquid est bonum esse, virtutem autem vitio contrariari. 20. Malum quà malum ad nihil vtile esse; & quidquid existit secundùm boni participationem, esse id quod existit: & vitia præ se ferre quamdam boni speciem sub quâ appetuntur: & malum purum non existere, sed bono mixtum. 21. Malum non esse in rebus, & dualitatem non principiare, sed vnitatem & bonum esse pacificum: malum autem nec ex Deo nec in Deo esse. 22. In Angelis quoque non esse malum. 23. Quin nec dæmones naturâ suâ malos esse, sed per defectum Angelicorum bonorum; illos autem non perdidisse vires naturales. 24. An, & quid in animis malum sit, disserit. 25. Nec in bru-

tis

TEXTVS S. DIONYSII.

tis ait quidem malum esse. 26. Nec in rerum naturâ. 27. Nec in corporibus. 28. Nec in materiâ primâ. 29. Sed nec priuationem per se esse malam. 30. Exponit, quid sit bonum & malum, & vnde 31. Bonorum causam ait esse vnam, malorum verò multas; & ex bono & propter bonum esse omnia. 32. Malum tantùm esse per accidens; & simul tradit, quid sit malum, & quid possit. 33. Discutit, quomodo extante prouidentiâ sint aliqua mala; & ostendit prouidentiam rerum naturas seruare inuiolatas. 34. Ait malum non esse rem aliquam, neque potentiam, sed defectum. 35. Inscitia peccatum quale sit, & quid in peccato pœnâ dignum.

ΕΙΕΝ δὴ οὖν, ἐπ' αὐτὴν ἤδη τῷ λόγῳ τὴν ἀγαθωνυμίαν χωρῶμεν, ἣν ἐξῃρημένως οἱ Θεολόγοι τῇ ὑπερθέῳ θεότητι, καὶ ἀπὸ πάντων, ἀφορίζουσιν αὐτὴν, ὡς οἶμαι, τὴν θεαρχικὴν ὕπαρξιν, ἀγαθότητα λέγοντες· καὶ ὅτι τῷ εἶναι τὸ ἀγαθὸν, ὡς οὐσιῶδες ἀγαθὸν, εἰς πάντα τὰ ὄντα διατείνει τὴν ἀγαθότητα. Καὶ γὰρ ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος, οὐ λογιζόμενος ἢ προαιρούμενος, ἀλλ' αὐτῷ τῷ εἶναι φωτίζει πάντα τὰ μετέχειν τοῦ φωτὸς αὐτοῦ κατὰ τὸν οἰκεῖον δυνάμενα λόγον· οὕτω δὴ καὶ τἀγαθὸν (ὑπὲρ ἥλιον, ὡς ὑπὲρ ἀμυδρὰν εἰκόνα τὸ ἐξῃρημένως ἀρχέτυπον αὐτῇ τῇ ὑπάρξει) πᾶσι τοῖς οὖσιν ἀναλόγως ἐφίησι τὰς τῆς ὅλης ἀγαθότητος ἀκτῖνας. Διὰ ταύτας ὑπέστησαν αἱ νοηταὶ καὶ νοεραὶ πᾶσαι καὶ οὐσίαι, καὶ δυνάμεις, καὶ ἐνέργειαι· διὰ ταύτας εἰσὶ καὶ ζωὴν ἔχουσι τὴν ἀνέκλειπτον καὶ ἀμείωτον, ἀπάσης φθορᾶς, καὶ θανάτου, καὶ ὕλης καὶ γενέσεως καθαρεύουσαι, καὶ τῆς ἀστάτου καὶ ῥευστῆς, καὶ ἄλλοτε ἄλλως φερομέ-



GE ergo, iam ad ipsum nomen boni progrediamur, quod exemptè ab omnibus diuinitati supra diuinitatem attribuunt Theologi, vocantes, vt arbitror, bonitatem ipsam essentiam diuinam, diuinitatis * originem: & quia sic essentiâ suâ bonus est Deus, vt, tãquam substantiale bonum, bonitatem in omnia porrigat. Quemadmodum enim Sol ille noster non cogitatione aut voluntate, sed eo ipso quòd est, illuminat vniuersa quæ quoquo modo lucis eius sunt capacia: sic etiam ipsum bonum (quod non secùs præstat soli quàm primæua species imagini obscuræ) ipsamet substantiâ suâ, rebus omnibus, pro cuiusque captu, totius bonitatis suæ radios affundit. His constiterunt omnes intellectiles ac intelligentes substantiæ, & virtutes, & operationes; horum virtute sunt, vitamq; habent sempiternã & indeficientem, ab omni corruptione ac morte, & materiâ generationeq; liberæ, nec non ab instabili fluxaque, quæ in diuersa diuersimodè fertur per-

§. 1. *Bonitas primum Dei attributum.*

* Scilicet creatæ seu participatæ.

Bonitate Dei omnia consistunt.

TEXTVS S. DIONYSII.

permutatione ſemotæ, & tamquam incorporeę & immateriales intelliguntur, & vt mentes ſupermundialiter intelligunt, atq; propriis rerum rationibus illuſtrantur, rurſumq; in ea quæ illis cognata ſunt ſua munera deriuant. Manſionem quoque à bonitate habent: quin & earum firmitas hinc, & ſtabilitas, & conſeruatio, bonorumque pabulum pendet; & dum illam appetunt, tam vt ſint, quàm vt benè ſint, obtinent, nec non illi, quantum fas eſt, conformantur, atque boni ſpeciem præ ſe ferunt, &, iuxta legis dictamen, inferiores ſuos donorum ex ſummo bono promanantium participes reddunt.

§. 2. *A bonitate eſt ordinatio Angelorum.*

Inde illis ordines ſupermundiales, earum inter ſe coniunctiones, mutuæ ſuſceptiones, inconfuſæ diſtinctiones, virtutes iſtæ quibus inferiores adducuntur ad ſuperiores, prouidentiæ ſuperiorũ circa inferiores, cuiuſlibet virtutum ſuarum conſeruationes, & immutabiles in ſemetipſas reuolutiones, eadem atq; ſumma ſummi boni deſideria, & quæcumque alia in Tractatu de Proprietatibus atque ordinibus Angelorum à nobis ſunt commemorata; quin imò etiam quæ ad cæleſtem Hierarchiam ſpectant, vt Angelicæ luſtrationes, ſupermundanæ illuminationes toti uſque Angelicæ perfectionis conſummatio, ex vniuerſali causâ fontaliq; bonitate proficiſcuntur, ex quâ etiam ipſamet forma bonitatis ipſis data eſt, conceſſumque, vt latentem in ſe bo-

Similiter eorum functiones.

νης ἀλλοιώσεως ἀνῳκισμέναι· καὶ ὡς ἀσώματοι καὶ ἄϋλοι νοοῦνται, καὶ ὡς νόες ὑπερκοσμίως νοοῦσι, καὶ πρὸς τῶν ὄντων οἰκείως ἐλλάμπονται λόγους, καὶ αὖθις εἰς τὰ συγγενῆ, τὰ οἰκεῖα διαπορθμεύουσι. Καὶ τὴν μονὴν ἐκ τῆς ἀγαθότητος ἔχουσι· καὶ ἵδρυσις αὐταῖς ἐκεῖθέν ἐστι, καὶ συνοχὴ, καὶ φρουρὰ καὶ ἑστία τῶν ἀγαθῶν, καὶ αὐτῆς ἐφιέμεναι, καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι ἔχουσι, καὶ πρὸς αὐτὴν ὡς ἐφικτὸν ἀποτυπούμεναι, καὶ ἀγαθοειδεῖς εἰσι καὶ ταῖς μετ᾽ αὐτὰς κοινωνοῦσιν ὡς ὁ θεῖος θεσμὸς ὑφηγεῖται, τῶν εἰς αὐτὰς ἐκ τἀγαθοῦ διαφοιτησάντων δώρων.

Ἐκεῖθεν αὐταῖς αἱ ὑπερκόσμιοι τάξεις, αἱ πρὸς ἑαυτὰς ἑνώσεις, αἱ ἐν ἀλλήλαις χωρήσεις, αἱ ἀσύγχυτοι διακρίσεις, αἱ πρὸς τὰς κρείττους ἀναγωγικαὶ τῶν ὑφειμένων δυνάμεις, αἱ περὶ τὰ δεύτερα πρόνοιαι τῶν πρεσβυτέρων, αἱ τῶν οἰκείων ἑκάστης δυνάμεως φρουραὶ, καὶ περὶ ἑαυτὰς ἀμετάπτωτοι συνελίξεις, αἱ περὶ τὴν ἔφεσιν τἀγαθοῦ ταυτότητες, καὶ ἀκρότητες, καὶ ὅσα ἄλλα εἴρηται πρὸς ἡμῶν ἐν τῷ περὶ τῶν Ἀγγελικῶν ἰδιοτήτων καὶ τάξεων· ἀλλὰ καὶ ὅσα τῆς οὐρανίας Ἱεραρχίας ἐστὶν, αἱ Ἀγγελοπρεπεῖς καθάρσεις, αἱ ὑπερκόσμιοι φωταγωγίαι, καὶ τὰ τελεσιουργὰ τῆς ὅλης Ἀγγελικῆς τελειότητος, ἐκ τῆς πανταιτίου καὶ πηγαίας ἐστὶν ἀγαθότητος, ἐξ ἧς καὶ τὸ ἀγαθοειδὲς αὐταῖς ἐδωρήθη, καὶ τὸ ἐκφαίνειν ἐν ἑαυταῖς τὴν κρυ-

φίαν

φίαν ἀγαθότητα, καὶ εἶναι Ἀγγέλους ὥσπερ ἐξαγγελτικὰς τῆς θείας σιγῆς, καὶ οἷον φῶτα φανὰ τοῦ ἐν ἀδύτοις ὄντος ἑρμηνευτικὰ προβεβλημένας. Ἀλλὰ καὶ μετ' ἐκείνους τοὺς ἱεροὺς καὶ ἁγίους νόας, αἱ ψυχαὶ καὶ ὅσα ψυχῶν ἀγαθὰ, διὰ τὴν ὑπεράγαθόν ἐστιν ἀγαθότητα· τὸ νοερὰς αὐτὰς εἶναι, τὸ ἔχειν τὴν οὐσιώδη ζωὴν ἀνώλεθρον αὐτὸ τὸ εἶναι, καὶ δύνασθαι πρὸς τὰς Ἀγγελικὰς ἀνατεινομένας ζωὰς, δι' αὐτῶν ὡς ἀγαθῶν καθηγεμόνων, ἐπὶ τὴν πάντων ἀγαθῶν ἀγαθαρχίαν ἀνάγεσθαι, καὶ τῶν ἐκεῖθεν ἐκβλυζομένων ἐλλάμψεων ἐν μετουσίᾳ γίνεσθαι κατὰ τὴν σφῶν ἀναλογίαν, καὶ τῆς τοῦ ἀγαθοειδοῦς δωρεᾶς ὅση δύναμις μετέχειν, καὶ ὅσα ἄλλα πρὸς ἡμῶν ἐν τοῖς περὶ ψυχῆς ἀπηρίθμηται. Ἀλλὰ καὶ περὶ αὐτῶν, εἰ χρὴ φάναι τῶν ἀλόγων ψυχῶν, ἢ ζώων, ὅσα τὸν ἀέρα τέμνει, καὶ ὅσα ἐπὶ γῆς βαίνει, καὶ ὅσα εἰς γῆν ἐκτέταται, καὶ τὰ ἐν ὕδασι τὴν ζωὴν, ἢ ἀμφιβίως λαχόντα, καὶ ὅσα ὑπὸ γῆν ἐγκεκαλυμμένα ζῇ καὶ ἐγκεχωσμένα, καὶ ἁπλῶς ὅσα τὴν αἰσθητικὴν ἔχει ψυχὴν, ἢ ζωὴν, καὶ ταῦτα πάντα διὰ τἀγαθὸν ἐψύχωται καὶ ἐζώωται. Καὶ φυτὰ δὲ πάντα τὴν θρεπτικὴν καὶ κινητικὴν ἔχει ζωὴν, ἐκ τἀγαθοῦ· καὶ ὅση ἄψυχος καὶ ἄζωος οὐσία, διὰ τἀγαθόν ἐστι, καὶ δι' αὐτὸ τῆς οὐσιώδους ἕξεως ἔλαχεν.

Εἰ δὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστὶν (ὥσπερ οὖν ἐστι) τἀγαθὸν,

nitatem valeant enuntiare, ſintq́; Angeli velut interpretes diuini ſilentij, & tamquam clara lumina, quæ in adytis latentem indicant. Prætereà poſt ſacras iſtas ſanctaſque mentes, animæ quoque ac quælibet animarum bona ſunt per bonitatem illam, quæ omne bonum ſuperat: inde prouenit, illas intellectu præditas eſſe, vitam habere ſubſtantialem, corruptionis expertem, vt eſſe habeant cum Angelis commune, poſſintque ad eorum viuendi rationem aſpirare, quorum ductu optimo ad bonorum omnium ſummum bonum promoueantur, atque ex eodem promanantium illuminationum pro captu ſuo participes euadant, donique boniformis, quantam poſſunt, ſortem accipiant, & quæcumque alia in tractatu de Animâ ſunt à nobis enumerata. Porrò, ſi de animabus quoque ratione carentibus animalibúſve loquendum, quæ vel aërem tranant, terrámve permeant, aut humi reptant, vel in aquis vitam agunt, aut amphibia ſunt, vel ſub terrâ recondita, atque in cauernâ viuunt, vel quæcumque ſimpliciter animâ ſenſili vitaque præſtant, hæc vtique omnia etiam per eamdem bonitatem & animantur, & viuificantur. Plantæ ſimiliter omnes ex eodem bono nutritiuâ motabilemq́; vitam habent; denique ſubſtantia quæcũq; animâ vitaq́; caret, per illud ipſum bonum exiſtit, à quo & ſtatum ſuum ſubſtantialem obtinuit.

A ſummo bono ſunt animæ earumq́; facultates.

Similiter animalia & inanimata.

Quòd ſi autem ſupra res omnes ſit (vti verè eſt) bonum ipſum, §. 3.

 &

TEXTVS S. DIONYSII.

Bonum est super omnia, & vocat etiam ea quæ non sunt vt sint.

& quod informe est, format; & in ipso solo id quod substantiâ caret, substantiæ est excellentia; quod inanime est, vita est præstantissima; & quod mentis expers est, suprema est sapientia; & quæcumque in bono sunt, rerum sunt informium supereminētis efformationis; &, si dictu fas sit, illud ipsum quod non est, illius quod supra res omnes est, boni desiderio tenetur, quin etiam in bono verè supersubstantiali per omnium ablationem esse contendit.

§. 4. *Bonum est causa quòd sint cæli & motus eorum.*

Sed, quod in medio præterlapsum nos effugerat, cælestium etiam principiorum & subterminationum causa est bonum, item substantiæ huius cælestis quæ non augetur neque minuitur, & penitus non variatur, & motuum cælestis curriculi vastissimi, non sonantium, si ita loqui oportet, & ordinum stellarum, & pulchritudinum, & luminum, & infixionum earum, & multiplicis cursus vagantis quorumdam siderum, & duorum luminarium, quę Scriptura vocat magna, circuitus, & eódem, vnde profecta sunt, reuersionis, quibus apud nos dies & noctes distinguuntur; & menses atq; anni definiti ipsos motus temporis, & eorum quæ in tempore sunt, circulo cōfectos distinguunt, numerant, ordinant, & continent. Quid autem dicatur de ipsomet radio solis? à summo enim bono lumen proficiscitur, & imago bonitatis est: quamobrem nomine luminis bonum laudatur, tamquam appareat primum exemplar in imagine. Sicut enim boni-

Gen. I.

Est & causa luminis, & rerum omnium.

καὶ τὸ ἀνείδεον εἰδοποιεῖ, καὶ ἐν αὐτῷ μόνῳ καὶ τὸ ἀνούσιον, οὐσίας ὑπερβολή· καὶ τὸ ἄζωον, ὑπερέχουσα ζωή· καὶ τὸ ἄνουν, ὑπερέχουσα σοφία, καὶ ὅσα ἐν τἀγαθῷ τῆς τῶν ἀνειδέων ἐστὶν ὑπεροχικῆς εἰδοποιΐας· καὶ εἰ θεμιτὸν φάναι, τἀγαθοῦ τοῦ ὑπὲρ πάντα τὰ ὄντα, καὶ αὐτὸ τὸ μὴ ὂν ἐφίεται, καὶ φιλονεικεῖ πως ἐν τἀγαθῷ καὶ αὐτὸ εἶναι, τῷ ὄντως ὑπερουσίῳ, κατὰ τὴν πάντων ἀφαίρεσιν.

Ἀλλ᾽ ὅπερ ἡμᾶς ἐν μέσῳ παραδραμὸν διαπέφευγε, καὶ τῶν οὐρανίων ἀρχῶν καὶ ἀποπερατώσεων αἰτία τἀγαθόν, τῆς ἀναυξοῦς καὶ ἀμειώτου, καὶ ὅλως ἀναλλοιώτου ταύτης οὐσίας, καὶ τῶν ἀψόφων, εἰ οὕτω χρὴ φάναι, τῆς παμμεγέθους οὐρανοπορίας κινήσεων, καὶ τῶν ἀστρῴων τάξεων καὶ εὐπρεπειῶν, καὶ φώτων, καὶ ἱδρύσεων, καὶ τῆς ἐνίων ἀστέρων μεταβατικῆς πολυκινησίας, καὶ τῆς τῶν δύο φωστήρων, οὓς τὰ Λόγια καλεῖ μεγάλους, ἀπὸ τῶν αὐτῶν εἰς τὰ αὐτὰ περιοδικῆς ἀποκαταστάσεως, καθ᾽ ἃς αἱ παρ᾽ ἡμῖν ἡμέραι καὶ νύκτες ὁριζόμεναι, καὶ μῆνες, καὶ ἐνιαυτοὶ μετρούμενοι, τὰς τοῦ χρόνου καὶ τῶν ἐν χρόνῳ κυκλικὰς κινήσεις ἀφορίζουσι, καὶ ἀριθμοῦσι, καὶ τάττουσι καὶ συνέχουσι. Τί δ᾽ ἄν τις φαίη περὶ αὐτῆς καθ᾽ αὐτὴν τῆς ἡλιακῆς ἀκτῖνος; ἐκ τἀγαθοῦ γὰρ τὸ φῶς, καὶ εἰκὼν τῆς ἀγαθότητος· διὸ καὶ φωτωνυμικῶς ὑμνεῖται τἀγαθόν, ὡς ἐν εἰκόνι τὸ ἀρχέτυπον ἐκφαινόμενον. Ὡς γὰρ

TEXTVS S. DIONYSII.

ἡ τῶν πάντων ἐπέκεινα θεότητος ἀγαθότης, ἀπὸ τῶν ἀνωτάτων καὶ πρεσβυτάτων οὐσιῶν, ἄχρι τῶν ἐσχάτων διήκει, καὶ ἔτι ὑπὲρ πάσας ἐστί, μή τε τῶν ἄνω φθανουσῶν αὐτῆς τὴν ὑπεροχὴν, μήτε τῶν κάτω τὴν περιοχὴν διαβαινουσῶν, ἀλλὰ καὶ φωτίζει τὰ δυνάμενα πάντα, καὶ δημιουργεῖ, καὶ ζωοῖ, καὶ συνέχει, καὶ τελεσιουργεῖ, καὶ μέτρον ἐστὶ τῶν ὄντων, καὶ αἰὼν, καὶ ἀριθμὸς, καὶ τάξις, καὶ περιοχὴ, καὶ αἰτία, καὶ τέλος· οὕτω δὴ καὶ ἡ τῆς θείας ἀγαθότητος ἐμφανὴς εἰκὼν, ὁ μέγας οὗτος, καὶ ὁλολαμπὴς, καὶ ἀείφωτος ἥλιος, κατὰ πολλοστὸν ἀπήχημα τἀγαθοῦ, καὶ πάντα ὅσα μετέχειν αὐτοῦ δύναται, φωτίζει, καὶ ὑπερηπλωμένον ἔχει τὸ φῶς, εἰς πάντα ἐξαπλῶν τὸν ὁρατὸν κόσμον, ἄνω τε καὶ κάτω, τὰς τῶν οἰκείων ἀκτίνων αὐγάς· καὶ εἴ τι αὐτῶν οὐ μετέχει, τοῦτο οὐ τῆς ἀδρανείας, ἢ τῆς βραχύτητός ἐστι τῆς φωτιστικῆς αὐτοῦ διαδόσεως, ἀλλὰ τῶν διὰ φωτοληψίας ἀνεπιτηδειότητα, μὴ ἀναπλουμένων εἰς τὴν φωτὸς μετουσίαν. Ἀμέλει πολλὰ τῶν οὕτως ἐχόντων ἡ ἀκτὶς διαβαίνουσα, τὰ μετ᾽ ἐκεῖνα φωτίζει, καὶ οὐδέν ἐστι τῶν ὁρατῶν οὗ μὴ ἐφικνεῖται κατὰ τὸ τῆς οἰκείας αἴγλης ὑπερβάλλον μέγεθος. Ἀλλὰ καὶ πρὸς τὴν γένεσιν τῶν αἰσθητῶν σωμάτων συμβάλλεται, καὶ πρὸς ζωὴν αὐτὰ κινεῖ, καὶ τρέφει, καὶ αὔξει, καὶ τελειοῖ, καὶ καθαίρει, καὶ ἀνανεοῖ· καὶ μέτρον ἐστὶ, καὶ ἀριθμὸς ὡρῶν, ἡμερῶν, καὶ παντὸς

tas diuinitatis quæ ſupra omnia eſt, à ſupremis & prouectiſſimis ſubſtantiis vſque ad extremas peruadit, & adhuc ſupra omnes eſt, ita vt neque ſuperiores vſque ad illius excellentiam pertingat, nec inferiores eius ambitum pertranſeant; quin potiùs omnia quæ illuminari poſſunt illuminat, & creat, & vitam dat, & continet, & perficit, & menſura eſt eorum quæ ſunt, & æuum, & numerus, & ordo, & complexus, & cauſa, atque finis; ſic etiam ingens iſte, & totus ſplendidus ac ſemper lucens ſol imago expreſſa eſt diuinæ bonitatis, quatenus tenuiſſimum quid illius boni in eo procul reſonat, & omnia quæ eum participare poſſunt illuſtrat, & lumen habet ſuprà extenſum, quod in vniuerſum mundum qui cernitur, tum ſuperiorem, tum inferiorem, ſplendore radiorum ſuorum multiplicat: & ſi quid eum non participat, non eſt in cauſâ imbecillitas aut tenuitas facultatis illuminandi, ſed potiùs rem ipſam non eſſe expeditam ad participationem luminis, quia non ſit idonea ad admittendum illud. Ac reuerà multa ſic ſunt, quæ radius ſolis prætergreſſus, illa quæ vltrà ſunt illuminat; & nihil eſt eorum quæ cerni poſſunt, quò non pertingat ſol ingenti vi ſplendoris ſui. Quin etiam ad ortum corporum ſub ſenſum cadentium confert, & ea mouet ad vitam, nutrit, auget, perficit, & purgat, ac renouat; & menſura eſt ac numerus tempeſtatum ac dierum, & omnis

Sol eſt imago diuinæ bonitatis.

Sol omnia illuminat & perficit.

TEXTVS S. DIONYSII.

nis nostri temporis. hoc enim est illud lumen, tametsi tunc non erat figuratum, quod dixit diuinus Moyses distinxisse illud primum dierum nostrorum triduum. Atque vt omnia bonitas ad se conuertit, primaque, quæ dispersa sunt, colligit, tamquam vnifica diuinitas & principium vnitatis, omniaque ipsam vt principium, vt complexum, vt finem appetũt; bonumque illud est (vt Scriptura sacra testatur) ex quo omnia constiterunt, & veluti à perfectissimâ causâ producta sunt, & in quâ cõsistunt vniuersa, tamquam in fundo cuncta continente custodita, contentaque; & ad quod omnia, tamquam ad finem quæq; suum, conuertuntur, quodque appetunt vniuersa, spiritalia quidem ratione que vtentia scienter, sensilia verò sensiliter; quæ autẽ sensus sunt expertia, innato motu vitalis appetitionis, & quæ vitâ carent, ac tantummodò existunt, vi quadam ad solius essentiæ participationem propensa sunt. Eadem clarissimæ similitudinis ratione lux quoque colligit conuertitque ad se omnia quæ videntur, quæ mouentur, quæ illustrantur, quæ calescunt, quæque vniuersim radiis eius perstringuntur: vnde ἥλιος seu sol, nomen habet, quòd omnia faciat ἀολλῆ, id est, omnia seruet salua, & congreget dispersa. Et omnia quæ sentiendi vim habent eum appetunt, vel vt videant, vel vt moueantur, & illuminentur, & calescant, & deniq; vt contineantur, & conseruentur à luce. Non

Bonum est congregatiuum, & ad se omnia conuertit.

Sic etiam lux.

τοῦ καθ' ἡμᾶς χρόνου τὸ φῶς· αὐτὸ γάρ ἐστι τὸ φῶς, εἰ καὶ τότε ἀσχημάτιστον ἦν, ὅπερ ὁ θεῖος ἔφη Μωσῆς, καὶ αὐτὴν ἐκείνην ὁρίσαι τὴν πρώτην τῶν καθ' ἡμᾶς ἡμερῶν τριάδα. Καὶ ὥσπερ πάντα πρὸς ἑαυτὴν ἡ ἀγαθότης ἐπιστρέφει, καὶ ἀρχισυναγωγός ἐστι τῶν ἐσκεδασμένων, ὡς ἐναρχικὴ καὶ ἑνοποιὸς θεότης, καὶ πάντα αὐτῆς ὡς ἀρχῆς, ὡς συνοχῆς, ὡς τέλους ἐφίεται· καὶ τἀγαθόν ἐστιν (ὡς τὰ Λόγιά φησιν) ἐξ οὗ τὰ πάντα ὑπέστη, καὶ ἔστιν, ὡς ἐξ αἰτίας παντελοῦς παρηγμένα, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν, ὡς ἐν παντοκρατορικῷ πυθμένι φρουρούμενα καὶ διακρατούμενα, καὶ εἰς ὃ τὰ πάντα ἐπιστρέφεται, καθάπερ εἰς οἰκεῖον ἑκάστῳ πέρας, καὶ οὗ ἐφίεται πάντα, τὰ μὲν νοερὰ καὶ λογικὰ γνωστικῶς, τὰ δὲ αἰσθητικὰ αἰσθητικῶς· τὰ δὲ αἰσθήσεως ἄμοιρα, τῇ ἐμφύτῳ κινήσει τῆς ζωτικῆς ἐφέσεως, τὰ δὲ ἄζωα καὶ μόνον ὄντα, τῇ πρὸς μόνην τὴν οὐσιώδη μέθεξιν ἐπιτηδειότητι. Κατὰ τὸν αὐτὸν τῆς ἐμφανοῦς εἰκόνος λόγον, καὶ τὸ φῶς συνάγει καὶ ἐπιστρέφει πρὸς ἑαυτὸ πάντα τὰ ὄντα, τὰ ὁρῶντα, τὰ κινούμενα, τὰ φωτιζόμενα, τὰ θερμαινόμενα, τὰ ὅλως ὑπὸ τῶν αὐτοῦ μαρμαρυγῶν συνεχόμενα· διὸ καὶ ἥλιος, ὅτι πάντα ἀολλῆ ποιεῖ, καὶ συνάγει τὰ διεσκεδασμένα. Καὶ πάντα αὐτοῦ τὰ αἰσθητικὰ ἐφίεται, ἢ ὡς τοῦ ὁρᾶν, ἢ ὡς τοῦ κινεῖσθαι, καὶ φωτίζεσθαι, καὶ θερμαίνεσθαι, καὶ ὅλως συνέχεσθαι πρὸς τοῦ φωτὸς ἐφιέμενα. Καὶ οὐ δήπου

φημὶ

φημὶ κατὰ τὸν τῆς παλαιότητος λόγον, ὅτι Θεὸς ὢν ὁ ἥλιος καὶ δημιουργὸς τοῦδε τοῦ παντὸς ἰδίως ἐπιτροπεύει τὸν ἐμφανῆ κόσμον, ἀλλ' ὅτι τὰ ἀόρατα τοῦ Θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.

Ἀλλὰ ταῦτα μὲν ἐν τῇ συμβολικῇ Θεολογίᾳ. Νῦν δὲ τὴν νοητὴν τἀγαθοῦ φωτωνυμίαν ἡμῖν ὑμνητέον, καὶ ῥητέον, ὅτι φῶς νοητὸν ὁ ἀγαθὸς λέγεται, διὰ τὸ πάντα μὲν ὑπερουράνιον νοῦν ἐμπιμπλάναι νοητοῦ φωτός· πᾶσαν δὲ ἄγνοιαν καὶ πλάνην ἐλαύνειν ἐκ πασῶν, αἷς ἂν ἐγγένηται ψυχαῖς, καὶ πάσαις αὐταῖς φωτὸς ἱεροῦ μεταδιδόναι, καὶ τοὺς νοεροὺς αὐτῶν ὀφθαλμοὺς ἀνακαθαίρειν τῆς περικειμένης αὐταῖς ἐκ τῆς ἀγνοίας ἀχλύος, καὶ ἀνακινεῖν καὶ ἀναπτύσσειν τῷ πολλῷ βάρει τοῦ σκότους συμμεμυκότας· καὶ μεταδιδόναι, πρῶτα μὲν, αἴγλης μετρίας· εἶτα, ἐκείνων ὥσπερ ἀπογευομένων φωτὸς, καὶ μᾶλλον ἐφιεμένων, μᾶλλον ἑαυτὴν ἐνδιδόναι, καὶ περιουσίως ἐπιλάμπειν, ὅτι ἠγάπησαν πολύ· καὶ ἀεὶ ἀνατείνειν αὐτὰς ἐπὶ τὰ πρόσω, κατὰ τὴν σφῶν εἰς ἀνάνευσιν ἀναλογίαν.

Φῶς οὖν νοητὸν λέγεται τὸ ὑπὲρ πᾶν φῶς ἀγαθὸν, ὡς ἀκτὶς πηγαία καὶ ὑπερβλύζουσα φωτοχυσία, πάντα τὸν ὑπερκόσμιον καὶ περικόσμιον, καὶ ἐγκόσμιον νοῦν, ἐκ τοῦ πληρώματος αὐτῆς καταλάμ-

hoc dico, vt Antiquitas existimabat, quòd sol sit Deus, & auctor vniuersi, qui hunc mundum, quem cernimus, propriè gubernet, sed potiùs, quòd *inuisibilia Dei, à creaturâ mundi, per ea quæ facta sunt, intellecta, conspiciuntur, sempiterna quoque eius virtus & diuinitas.* (TEXTVS S. DIONYSII.) (Rom. 1, 20.)

§. 5. Verùm de his in symbolicâ Theologiâ. Nunc autem intellectile boni à luce nomen nobis celebrandum est, & dicendum, quòd is qui bonus est, lux intellectilis dicitur, quia omnem mentem supracælestem implet lumine intellectili; omnem autem ignorantiam & errorem ex omnibus animis, in quibus est, eiicit, & ipsis omnibus lumen sanctum impertit, eorumque oculos mentales à caligine ex ignorantiâ circumfusâ repurgat, & liberat; & excitat, atque aperit multâ grauitate tenebrarum compressos & clausos: datque primùm quidem mediocrem splendorem, deinde, tamquam degustato lumine, & oculis iam magis post degustationem lumen appetentibus, magis se impertit, & copiosiùs fulget, quia dilexerunt multum; ac semper eas vlteriùs prouehit proportione studij earum ad aspiciendum sursum. (Cur Deus lumen appelletur.) (Luc. 15.)

§. 6. Lumen igitur intellectile dicitur illud bonum quod est supra omne lumen, tamquam fons radiorum & effusio luminis inundans omnem mentem supramundanam, & circummundanam, & mundanam ex plenitudine suâ il- (Deus lumen intellectile; eiúsque præstantia ac vis.)

 lumi-

TEXTVS S. DIONYSII.

luminans, & totas earum facultates intelligendi renouans, & omnes cõtinens, quatenus supra omnes tenditur; & omnibus antecellens, quatenus supra omnes stat, atque simpliciter omnem principatum illuminandi, tamquam princeps luminis, & supraquam lumen in se comprehensum habet, & supraquam habet, & præhabet, atque omnia ratione & mente vtentia congregat, & in vnum copulat. Etenim sicut ignorantia errantes dirimit; sic aduentus luminis congregat & copulat illuminatos, perficitq; eos, & ad id quod verè est conuertit, à multis opinationibus eos reuocans, ac varios aspectus, vel, vt magis propriè dicam, varia in vnam veram & puram ac simplicem cognitionem contrahit, & vno lumine vnifico implet.

§. 7. *Deus etiam dicitur pulcher & pulchritudo.*

Hoc item bonum laudatur à sacris Theologis vt pulchrum & vt pulchritudo, & vt dilectio & vt dilectũ, & quæcumq; alia sunt diuina nomina, quibus ipse speciosus decor & effector pulchritudinis decenter nominatur. Pulchrũ autem & pulchritudo non sunt distinguenda in causâ quæ vniuersa in vno complexa est: hæc enim in omnibus rebus, in participationes & in participantia diuidentes, pulchrum quidem dicimus, quod pulchritudinis particeps est; pulchritudinem verò, participationẽ causæ omnia pulchra efficientis. Ipsum autem

Vnde & quâ ratione sic appelletur.

pulchrum superessentiale pulchritudo quidem appellatur, pro-

πτουσα, καὶ τὰς νοερὰς αὐτῶν ὅλας ἀνανεάζουσα δυνάμεις, καὶ πάντας περιέχουσα τῷ ὑπερτετάσθαι, καὶ πάντων ὑπερέχουσα τῷ ὑπερκεῖσθαι· καὶ ἁπλῶς, πᾶσαν τῆς φωτιστικῆς δυνάμεως τὴν κυρείαν, ὡς ἀρχίφωτος καὶ ὑπέρφωτος, ἐν ἑαυτῇ συλλαβοῦσα, καὶ ὑπερέχουσα, καὶ προέχουσα, καὶ τὰ νοερὰ καὶ τὰ λογικὰ πάντα συνάγουσα καὶ ἀολλῆ ποιοῦσα. Καὶ γὰρ ὥσπερ ἡ ἄγνοια διαιρετικὴ τῶν πεπλανημένων ἐστὶν, οὕτως ἡ τοῦ νοητοῦ φωτὸς παρουσία, συναγωγὸς καὶ ἑνωτικὴ τῶν φωτιζομένων ἐστὶ, καὶ τελειωτικὴ, καὶ ἔτι ἐπιστρεπτικὴ πρὸς τὸ ὄντως ὂν, ἀπὸ τῶν πολλῶν δοξασμάτων ἐπιστρέφουσα, καὶ τὰς ποικίλας ὄψεις, ἢ κυριώτερον εἰπεῖν, φαντασίας, εἰς μίαν ἀληθῆ καὶ καθαρὰν, καὶ μονοειδῆ συνάγουσα γνῶσιν, καὶ ἑνὸς καὶ ἑνωτικοῦ φωτὸς ἐμπιπλῶσα.

Τοῦτο τἀγαθὸν ὑμνεῖται πρὸς τῶν ἱερῶν Θεολόγων, καὶ ὡς καλὸν καὶ ὡς κάλλος, καὶ ὡς ἀγάπη καὶ ὡς ἀγαπητὸν, καὶ ὅσαι ἄλλαι εὐπρεπεῖς εἰσι τῆς καλλοποιοῦ καὶ κεχαριτωμένης ὡραιότητος θεωνυμίαι. Τὸ δὲ καλὸν καὶ κάλλος, οὐ διαιρετέον ἐπὶ τῆς ἐν ἑνὶ τὰ ὅλα συνειληφυίας αἰτίας· ταῦτα γὰρ ἐπὶ μὲν τῶν ὄντων ἁπάντων, εἰς μετοχὰς καὶ μετέχοντα διαιροῦντες, καλὸν μὲν εἶναι λέγομεν, τὸ κάλλους μετέχον· κάλλος δὲ, τὴν μετοχὴν τῆς καλλοποιοῦ τῶν ὅλων καλῶν αἰτίας. Τὸ δὲ ὑπερούσιον καλὸν, κάλλος μὲν λέγεται, διὰ τὴν

ἀπ'

TEXTVS S. DIONYSII.

ἀπ' αὐτοῦ πᾶσι τοῖς οὖσι μεταδιδομένην οἰκείως ἑκάστῳ καλλονήν, καὶ ὡς τῆς πάντων διαρμοσίας καὶ ἀγλαΐας αἴτιον, δίκην φωτὸς ἐναστράπτον ἅπασι τὰς καλλοποιοὺς τῆς πηγαίας ἀκτῖνος αὐτοῦ μεταδόσεις, καὶ ὡς πάντα πρὸς ἑαυτὸ καλοῦν (ὅθεν καὶ κάλλος λέγεται) καὶ ὡς ὅλα ἐν ὅλοις εἰς ταὐτὸ συνάγον. Καλὸν δὲ ὡς πάγκαλον ἅμα καὶ ὑπέρκαλον, καὶ ἀεὶ ὂν κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καλόν, καὶ οὔτε γιγνόμενον, οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμενον, οὔτε φθίνον, οὐδὲ τῇ μὲν καλόν, τῇ δὲ αἰσχρόν, οὐδὲ τοτὲ μέν, τοτὲ δὲ οὔ· οὐδὲ πρὸς μὲν τό, καλόν, πρὸς δὲ τό, αἰσχρόν· οὔτε ἔνθα μέν, ἔνθα δὲ οὔ, ὡς τισὶ μὲν ὂν καλόν, τισὶ δὲ οὐ καλόν· ἀλλ' ὡς αὐτὸ καθ' ἑαυτὸ μεθ' ἑαυτοῦ μονοειδὲς ἀεὶ ὂν καλόν, καὶ ὡς πάντος καλοῦ τὴν πηγαίαν καλλονὴν ὑπεροχικῶς ἐν ἑαυτῷ προέχον. Τῇ γὰρ ἁπλῇ καὶ ὑπερφυεῖ τῶν ὅλων καλῶν φύσει, πᾶσα καλλονή, καὶ πᾶν καλόν, ἑνοειδῶς κατ' αἰτίαν προϋφέστηκεν. Ἐκ τοῦ καλοῦ τούτου πᾶσι τοῖς οὖσι τὸ εἶναι, κατὰ τὸν οἰκεῖον λόγον ἕκαστα καλά, καὶ διὰ τὸ καλὸν αἱ πάντων ἐφαρμογαί, καὶ φιλίαι, καὶ κοινωνίαι· καὶ τῷ καλῷ τὰ πάντα ἥνωται· καὶ ἀρχὴ πάντων τὸ καλόν, ὡς ποιητικὸν αἴτιον, καὶ κινοῦν τὰ ὅλα, καὶ συνέχον τῷ τῆς οἰκείας καλλονῆς ἔρωτι· καὶ πέρας πάντων, καὶ

pter illam pulchritudinem quam rebus omnibus pro cuiuſque modulo communicat, in quantum eſt cauſa omnis pulchritudinis ac venuſtatis, dum rebus omnibus pulchrificas fontalis ſui radij diſtributiones lucis in morem afflat, omniaq; ad ſe καλεῖ, id eſt vocat (vnde & κάλλος, id eſt pulchritudo, dicitur) & tota in totis quaſi in ſe colligit. Pulchrum verò vocatur, quod ex omni parte pulchrum ſit & plus quàm pulchrũ, & tamquam ſemper exiſtens, ſecundùm eadem & eodem modo pulchrum, neque factum; neque deſtructum, neque augeſcens, neque decreſcens, nec ex parte vnâ pulchrum, & ex aliâ turpe, neque aliàs quidem pulchrum, aliàs verò non; neq; ad hoc pulchrum, & ad illud inconcinnum; neque hîc quidem ita, alibi verò aliter, nec vt aliis formoſum, aliis verò deforme; ſed vt ipſum ſecundùm ſe, atque ſecum vniforme, ſemper exiſtens pulchrum, atque fontanam vniuerſi pulchri pulchritudinem in ſeipſo eminenter anticipans, præhabenſque. In ipſâ enim naturâ ſimplici ac ſupernaturali pulchrorum vniuerſorum omnis pulchritudo, & omne pulchrum vniformiter ſecundùm cauſam præexiſtit. Ex hoc ipſo pulchro rebus omnibus obtingit, vt ſint ſingula ſecundùm propriam rationem pulchra; & propter pulchrum ſunt omnes congruentiæ, & amicitię, & cōmunicationes; & per pulchrum cuncta coniunguntur; atque pulchrum eſt omnium principium, vt cauſa efficiens, & mouens, & vniuerſa propriæ pulchritudinis amore continens; & vt finis omnium, atque id quod

Deus anticipat rerum omnium pulchritudinē vt cauſa.

TEXTVS S. DIONYSII.

quod appetitur tamquam causa finalis (nam pulchri gratiâ cuncta fiunt) & exemplaris, quia secundùm illud omnia definiuntur. quamobrem idem est pulchrum atque bonum, quoniam omnia secundùm omnem causam pulchrum & bonum appetunt; & nihil est in rerum naturâ, quin pulchrum & bonum participet. Audebo etiam hoc dicere, quod non est, pulchrum & bonum participare: tunc enim est ipsum pulchrum & bonum, quando in Deo laudatur supra substantiam, auferendo vniuersa. Deniq; hoc vnum bonum & pulchrum singulariter est omnium multorum pulchrorum & bonorum causa. Ex hoc rerum omnium substantiales existentiæ, vniones, distinctiones, idemtitates, diuersitates, fœdera contrariorum, rerum vnitarum impermixtiones, prouidentiæ superiorum, mutua consortia rerum quæ sunt eiusdem ordinis, conuersiones inferiorum, omniumque suimetipsorum cōseruatrices immutabilesque mansiones ac firmitates. Et rursus omnium in omnibus pro cuiusque proprietate communiones, & congruentię, inconfusæque amicitiæ, & consentiones vniuersi, nec non rerum in hoc vniuerso contemperationes, indissolubilesque complexus, & eorum quæ fiunt perpetuæ successiones, status omnes, motusque mentium, animorum, corporum: status enim est omnibus atq; motus, quòd omni statu motuque superius extans, rem quamlibet in

Ex hac pulchritudine sunt omnes congruentia.

ἀγαπητὸν ὡς τελικὸν αἴτιον (τοῦ καλοῦ γὰρ ἕνεκα πάντα γίγνεται) καὶ παραδειγματικὸν, ὅτι κατ' αὐτὸ πάντα ἀφορίζεται. διὸ καὶ ταὐτόν ἐστι τἀγαθῷ τὸ καλὸν, ὅτι τοῦ καλοῦ καὶ ἀγαθοῦ κατὰ πᾶσαν αἰτίαν πάντα ἐφίεται· καὶ οὐκ ἔστι τι τῶν ὄντων, ὃ μὴ μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ. Τολμήσει δὲ καὶ τοῦτο εἰπεῖν ὁ λόγος, ὅτι καὶ τὸ μὴ ὂν, μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ· τότε γὰρ καὶ αὐτὸ καλὸν καὶ ἀγαθὸν, ὅταν ἐν Θεῷ κατὰ τὴν πάντων ἀφαίρεσιν ὑπερουσίως ὑμνῆται. Τοῦτο τὸ ἓν ἀγαθὸν καὶ καλὸν ἑνικῶς ἐστι πάντων τῶν πολλῶν καλῶν καὶ ἀγαθῶν αἴτιον. Ἐκ τούτου πᾶσαι τῶν ὄντων αἱ οὐσιώδεις ὑπάρξεις, αἱ ἑνώσεις, αἱ διακρίσεις, αἱ ταὐτότητες, αἱ ἑτερότητες, αἱ ὁμοιότητες, αἱ ἀνομοιότητες, αἱ κοινωνίαι τῶν ἐναντίων, αἱ ἀσυμμιξίαι τῶν ἡνωμένων, αἱ πρόνοιαι τῶν ὑπερτέρων, αἱ ἀλληλουχίαι τῶν ὁμοστοίχων, αἱ ἐπιστροφαὶ τῶν καταδεεστέρων, αἱ πάντων ἑαυτῶν φρουρητικαὶ καὶ ἀμετακίνητοι μοναὶ καὶ ἱδρύσεις. Καὶ αὖθις, αἱ πάντων ἐν πᾶσιν οἰκείως ἑκάστῳ κοινωνίαι, καὶ ἐφαρμογαὶ, καὶ ἀσύγχυτοι φιλίαι, καὶ ἁρμονίαι τοῦ παντὸς, αἱ ἐν τῷ παντὶ συγκράσεις, καὶ αἱ ἀδιάλυτοι συνοχαὶ τῶν ὄντων, αἱ ἀνέκλειπτοι διαδοχαὶ τῶν γινομένων, αἱ στάσεις πᾶσαι, καὶ αἱ κινήσεις, αἱ τῶν νοῶν, αἱ τῶν ψυχῶν, αἱ τῶν σωμάτων· στάσις γάρ ἐστι πᾶσι καὶ κίνησις, τὸ ὑπὲρ πᾶσαν στάσιν καὶ πᾶσαν κίνησιν ἐνιδρῦον,

ἕκαστον

ἕκαστον ἐν τῷ ἑαυτοῦ λόγῳ, καὶ κινοῦν ἐπὶ τὴν οἰκείαν κίνησιν.

Καὶ κινεῖσθαι μὲν οἱ θεῖοι λέγονται νόες, κυκλικῶς μὲν, ἑνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ· κατ' εὐθεῖαν δὲ, ὁπόταν προΐωσιν εἰς τὴν τῶν ὑφειμένων πρόνοιαν, εὐθείᾳ τὰ πάντα περαίνοντες· ἑλικοειδῶς δὲ, ὅτι καὶ προνοοῦντες τῶν καταδεεστέρων, ἀνεκφοιτήτως μένουσιν ἐν ταὐτότητι περὶ τὸ τῆς ταὐτότητος αἴτιον καλὸν καὶ ἀγαθὸν, ἀκαταλήκτως περιχορεύοντες.

Ψυχῆς δὲ κίνησίς ἐστι, κυκλικὴ μὲν, ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν ἔξω καὶ τῶν νοερῶν αὐτῆς δυνάμεων ἡ ἑνοειδὴς συνέλιξις, ὥσπερ ἔν τινι κύκλῳ τὸ ἀπλανὲς αὐτῇ δωρουμένη, καὶ ἀπὸ τῶν πολλῶν τῶν ἔξωθεν αὐτὴν ἐπιστρέφουσα καὶ συνάγουσα, πρῶτον εἰς ἑαυτὴν, εἶτα ὡς ἑνοειδῆ γενομένην, ἑνοῦσα ταῖς ἑνιαίως ἡνωμέναις δυνάμεσι, καὶ οὕτως ἐπὶ τὸ καλὸν καὶ ἀγαθὸν χειραγωγοῦσα, τὸ ὑπὲρ πάντα τὰ ὄντα, καὶ ἓν καὶ ταὐτὸν, καὶ ἄναρχον καὶ ἀτελεύτητον. Ἑλικοειδῶς δὲ ψυχὴ κινεῖται, καθ' ὅσον οἰκείως ἑαυτῇ τὰς θείας ἐλλάμπεται γνώσεις, οὐ νοερῶς καὶ ἑνιαίως, ἀλλὰ λογικῶς καὶ διεξοδικῶς, καὶ οἷον συμμίκτοις καὶ μεταβατικαῖς ἐνεργείαις. Τὴν κατ' εὐθεῖαν δὲ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα καὶ ἑνικῇ νοερότητι κινουμένη (τοῦτο γὰρ, ὡς ἔφην, ἐστὶ τὸ κατὰ κύκλον) ἀλλὰ πρὸς τὰ περὶ ἑαυτὴν προϊοῦσα, καὶ ἀπὸ τῶν ἔξωθεν, ὥσπερ ἀπὸ συ-

propriâ ratione firmat, & ad propriam dirigit motionem.

§. 8. *Spiritus cælestes triplici motu mouentur.*

Denique diuinæ mentes dicuntur moueri, circulariter quidem, dum principio fineque carentibus pulchri boníque ſplendoribus vniuntur; directè autem, quando ad inferiorum prouidentiam procedunt, rectè omnia dirigendo; obliquè verò, dum inferioribus conſulentes in eodem ſtatu perpetuò manent, circum bonum & pulchrum, eiuſdem ſtatus cauſam, ſemper ſe verſantes.

§. 9. *Similiter & animi noſtri.*

Animi autem motus orbicularis eſt eius ab extraneis in ſemetipſum introitus, ſpiritaliumque ipſius facultatum vnimoda inflexio, quæ quaſi in circulo fixum & ab omni errore liberum motum ei tribuit, & à multis rebus extraneis ipſum conuertit ac colligit primùm ad ſe, deinde, quaſi iam vnius modi effectum, coniunctis vno modo facultatibus coniungit, atque ita demum ad pulchrum ac bonum manuducit, quod ſupra omnia quæ ſunt & vnum & idem, & ſine principio & ſine fine eſt. Obliquè verò cietur animus, quando pro captu ſuo notionibus diuinis illuſtratur, non ſpiritali quidem vnito modo, ſed cogitando & diſcurrēdo quaſi permixtis fluxiſque actionibus. Directè verò mouetur, quando non ad ſeipſum ingreditur, neque ſingulari motu ſpiritali fertur (nam hic motus circularis eſt, vt dixi) ſed ad ea quæ ipſi vicina ſunt progreditur, & à rebus externis, non ſecùs ac ſignis quibuſdam

TEXTVS S. DIONYSII.

variis ac multiplicibus, ad simplices & vnitas contemplationes reuocatur.

§. 10. *Omnia sunt & conseruantur per pulchrum & bonum.*

Harum igitur trium, vti & sensilium, in hac rerum vniuersitate motionum, statuumque ac firmitatum causa, & conseruatio, & finis, est bonum illud pulchrum, quod est supra statum omnem ac motum, per quod, & ex quo, & ad quem, & cuius gratiâ, status omnis ac motus existit. Etenim ex ipso, & per ipsum, & substantia, & vita omnis, & mentis & animæ, atque vniuersæ naturę paruitates, æqualitates, magnitudines, mensuræ omnium, & rerum proportiones, & concentus, & concretiones, tota, partes, omne vnum, & multitudo, coniunctiones partium, omnis multitudinis copulationes, perfectiones totorum, quale, quãtum, quàm magnum aut paruum, infinitum, comparationes, separationes, omnis infinitas, omnis finis, definitiones, ordines, excellentiæ, elementa, formæ, omnis substantia, omnis facultas siue potestas, omnis actio, omnis habitus, omnis sensus, omnis ratio, omnis intelligentia, omnis tactus, omnis scientia, omnis copulatio, & simpliciter, omne quod ex pulchro & bono existit, & in pulchro & bono est, & ad pulchrum & bonum conuertitur; & quæcumque sunt & fiunt, propter pulchrum & bonum sunt & fiunt, & cuncta in ipsum intuentur, & ab ipso mouentur & conseruantur, & ipsius gratiâ, & propter ipsum, & in ipso

νῶν, συμβόλων πεποικιλμένων καὶ πεπληθυσμένων, ἐπὶ τὰς ἁπλᾶς καὶ ἡνωμένας ἀνάγεται θεωρίας.

Τούτων οὖν, καὶ τῶν αἰσθητῶν ἐν τῷ δὲ τῷ παντὶ τριῶν κινήσεων, καὶ πολλῷ πρότερον τῶν ἑκάστου μονῶν καὶ στάσεων, καὶ ἱδρύσεων αἴτιόν ἐστι, καὶ συνοχικὸν, καὶ πέρας τὸ καλὸν καὶ ἀγαθὸν, τὸ ὑπὲρ πᾶσαν στάσιν καὶ κίνησιν· διὸ πᾶσα στάσις καὶ κίνησις, καὶ ἐξ οὗ, καὶ ἐν ᾧ, καὶ εἰς ὅ, καὶ οὗ ἕνεκα. Καὶ γὰρ ἐξ αὐτοῦ, καὶ δι᾽ αὐτοῦ, καὶ οὐσία, καὶ ζωὴ πᾶσα, καὶ νοῦ καὶ ψυχῆς, καὶ πάσης φύσεως αἱ σμικρότητες, αἱ ἰσότητες, αἱ μεγαλειότητες τὰ μέτρα πάντα, καὶ αἱ τῶν ὄντων ἀναλογίαι, καὶ ἁρμονίαι, καὶ κράσεις, αἱ ὁλότητες, τὰ μέρη, πᾶν ἕν, καὶ πλῆθος, αἱ συνδέσεις τῶν μερῶν, αἱ παντὸς πλήθους ἑνώσεις, αἱ τελειότητες τῶν ὁλοτήτων, τὸ ποιὸν, τὸ ποσὸν, τὸ πηλίκον, τὸ ἄπειρον, αἱ συγκρίσεις, αἱ διακρίσεις, πᾶσα ἀπειρία, πᾶν πέρας, οἱ ὅροι πάντες, αἱ τάξεις, αἱ ὑπεροχαὶ, τὰ στοιχεῖα, τὰ εἴδη, πᾶσα οὐσία, πᾶσα δύναμις, πᾶσα ἐνέργεια, πᾶσα ἕξις, πᾶσα αἴσθησις, πᾶς λόγος, πᾶσα νόησις, πᾶσα ἐπαφὴ, πᾶσα ἐπιστήμη, πᾶσα ἕνωσις, καὶ ἁπλῶς πᾶν ὂν ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ, καὶ ἐν τῷ καλῷ καὶ ἀγαθῷ ἐστι, καὶ εἰς τὸ καλὸν καὶ ἀγαθὸν ἐπιστρέφεται· καὶ πάντα ὅσα ἐστὶ καὶ γίνεται, διὰ τὸ καλὸν καὶ ἀγαθόν ἐστι καὶ γίνεται, καὶ πρὸς αὐτὸ πάντα ὁρᾷ, καὶ ὑπ᾽ αὐτοῦ κινεῖται καὶ συνέχεται, καὶ αὐτοῦ ἕνεκα, καὶ δι᾽ αὐτὸ, καὶ ἐν

αὐτῷ

TEXTVS S. DIONYSII.

αὐτῷ πᾶσα ἀρχὴ παραδειγματικὴ, τελικὴ, ποιητικὴ, εἰδικὴ, στοιχειώδης, καὶ ἁπλῶς πᾶσα ἀρχὴ, πᾶσα συνοχὴ, πᾶν πέρας· ἢ ἵνα συλλαβὼν εἴπω, πάντα τὰ ὄντα, ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ· καὶ πάντα τὰ οὐκ ὄντα, ὑπερουσίως ἐν τῷ καλῷ καὶ ἀγαθῷ· καί ἐστι πάντων ἀρχὴ, καὶ πέρας ὑπεράρχιον, καὶ ὑπερτελὲς, ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ ἐν αὐτῷ, καὶ εἰς αὐτὸ τὰ πάντα, ὥς φησιν ὁ ἱερὸς Λόγος. Πᾶσιν οὖν ἐστι τὸ καλὸν καὶ ἀγαθὸν, ἐφετὸν, καὶ ἐραστὸν, καὶ ἀγαπητόν· καὶ δι' αὐτὸ, καὶ αὐτοῦ ἕνεκα, καὶ τὰ ἥττω τῶν κρειττόνων ἐπιστρεπτικῶς ἐρῶσι, καὶ κοινωνικῶς τὰ ὁμόστοιχα τῶν ὁμοταγῶν, καὶ τὰ κρείττω τῶν ἡττόνων προνοητικῶς, καὶ αὐτὰ ἑαυτῶν ἕκαστα συνεκτικῶς, καὶ πάντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέμενα, ποιεῖ καὶ βούλεται πάντα ὅσα ποιεῖ καὶ βούλεται. Παῤῥησιάσεται δὲ καὶ τοῦτο εἰπεῖν ὁ ἀληθὴς λόγος, ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος, δι' ἀγαθότητος ὑπερβολὴν πάντων ἐρᾷ, πάντα ποιεῖ, πάντα τελειοῖ, πάντα συνέχει, πάντα ἐπιστρέφει, καί ἐστι καὶ ὁ θεῖος ἔρως ἀγαθὸς ἀγαθοῦ, διὰ τὸ ἀγαθόν. Αὐτὸς γὰρ ὁ ἀγαθοεργὸς τῶν ὄντων ἔρως, ἐν τἀγαθῷ καθ' ὑπερβολὴν προϋπάρχων, οὐκ εἴασεν αὐτὸν ἄγονον ἐν ἑαυτῷ μένειν, ἐκίνησε δὲ αὐτὸν εἰς τὸ πρακτικεύεσθαι κατὰ τὴν ἁπάντων γεννητικὴν ὑπερβολήν.

Καὶ μή τις ἡμᾶς οἰέσθω παρὰ τὰ Λόγια τὴν τοῦ ἔρωτος ἐπωνυ-

omne principium exemplare, finale, efficiens, formale, materiale, & deniq; omne principium, omnis conseruatio, omnis finis: &, vt summatim dicam, omnia quæ sunt, ex pulchro & bono existunt, & omnia quæ non sunt, in pulchro & bono sunt suprasubstantialiter, & est omniũ principium supraquam principiale, & finis supraquam perfectus; *quoniam ex ipso, & per ipsum*, & ad ipsum *omnia*, sicut ait Scriptura. Rom.11,36. Vniuersis igitur pulchrum & bonum desiderabile & amabile est, & ab vniuersis diligitur; & propter ipsum, & ipsius causâ, & inferiora amant superiora, conuertendo se ad ea; & quæ sunt eiusdem ordinis amant similia, communicando; & maiora minora, prouidendo eis; & singula seipsa, conseruando se; & omnia, pulchrum & bonum expetendo, faciunt & volunt, quæcumque faciunt & volunt. Quin & hoc verè audemus dicere, quòd ipse qui est omnium causa, propter excellentiam bonitatis omnia amat, omnia facit, omnia perficit, omnia continet, omnia conuertit ad se; & est diuinus amor bonus boni propter bonum. Ipse enim amor diuinus, qui bonitatem in iis quæ sunt operatur, quia priùs exstitit in bono superlatè, non siuit ipsum in se sine fœtu manere, sed potiùs mouit eum ad operandum secundùm excellentiam virtutis suæ omnium rerum effectricis.

Omnia pulchrum & bonum appetunt.

§. II. *Nomē amoris etiam in Scripturis celebrari.*

Neque verò nos quisquam putet contra Scripturæ auctoritatem

TEXTVS S. DIONYSII.

tem amoris nomen celebrare. Est enim à ratione alienum, vt opinor, & absurdum, non vim ipsam instituti attendere, sed verba; neque hoc proprium est eorum qui res diuinas intelligere cupiunt, sed sonos exiles aucupantur, eosdemque extrinsecus aure tenus admittunt, neque scire volunt, quid huiuscemodi dictio significet, & quonam modo aliis etiã verbis æquipollentibus & explanatoriis sit exponenda, sed addicti sunt elementis ac lineis quæ intelligi non possunt, syllabisque & verbis incognitis, quæ illorum intellectum minimè feriunt, sed extrà circum labra & aures eorum perstrepunt, quasi non liceat quatuor per bis duo significare, aut simplices lineas per lineas rectas, aut maternum solum per patriam, aut aliud quodlibet per id quod in plurimis orationis partibus æquiualet: cùm recta ratio doceat, elementis, syllabis, dictionibus, scriptis, verbisq; nos vti propter sensus, adeò vt cùm anima nostra intelligendi facultatibus fertur in ea quæ intellectu percipiuntur, tum frustrà sensus vnà cum sensilibus adhibeantur, sicut etiam vires intelligendi, quando anima iam deiformis effecta per ignotam vnionem, lucis inaccessæ radiis exoculatis quasi iactibus se ingerit. Quando autem mens per sensilia studet ad contemplatrices illas intelligentias excitari, præstantissimæ omnium sunt perspicacissimæ sensuum traiectiones, vt apertissimi

Non tam habenda ratio verborum quàm significationum.

μίαν πρεσβεύειν. Ἔστι μὲν γὰρ ἄλογον, ὡς οἶμαι, καὶ σκαιὸν, τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ τοῦτο οὐκ ἔστι τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον, ἀλλὰ τῶν ἤχους ψιλοὺς εἰσδεχομένων, καὶ τούτους ἄχρι τῶν ὤτων ἀδιαβάτους, ἔξωθεν συνεχόντων, καὶ οὐκ ἐθελόντων εἰδέναι, τί μὲν ἡ τοιάδε λέξις σημαίνει, πῶς δὲ αὐτὴν χρὴ καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντικωτέρων λέξεων διασαφῆσαι, προσπασχόντων δὲ στοιχείοις, καὶ γραμμαῖς ἀνοήτοις, καὶ συλλαβαῖς, καὶ λέξεσιν ἀγνώστοις, μὴ διαβαινούσαις εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερὸν, ἀλλ' ἔξω περὶ τὰ χείλη καὶ τὰς ἀκοὰς αὐτῶν διαβομβουμέναις, ὥσπερ οὐκ ἐξὸν, τὸν τέσσαρα ἀριθμὸν διὰ τοῦ δὶς δύο σημαίνειν, ἢ τὰ εὐθύγραμμα διὰ τῶν ὀρθογράμμων, ἢ τὴν μητρίδα διὰ τῆς πατρίδος, ἢ ἕτερόν τι τῶν πολλοῖς τοῦ λόγου μέρεσι ταὐτὸ σημαινόντων· δέον εἰδέναι κατὰ τὸν ὀρθὸν λόγον, ὅτι στοιχείοις, καὶ συλλαβαῖς, καὶ λέξεσι, καὶ γραφαῖς, καὶ λόγοις χρώμεθα διὰ τὰς αἰσθήσεις, ὡς ὅταν ἡμῶν ἡ ψυχὴ ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινῆται, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις, ὅταν ἡ ψυχὴ θεοειδὴς γενομένη, δι' ἑνώσεως ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτὸς ἀκτῖσιν ἐπιβάλλῃ ταῖς ἀνομμάτοις ἐπιβολαῖς. Ὅταν δὲ ὁ νοῦς διὰ τῶν αἰσθητῶν ἀνακινεῖσθαι σπεύδῃ πρὸς θεωρητικὰς νοήσεις, τιμιώτεραι πάντως εἰσὶν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διαπορθμεύσεις· τῶν σα-

φέστεροι

φέϛερϱι λόγοι τὰ τρανέϛερα τῶν ὁρατῶν, ὡς ὅταν ἀτράνωτα ᾖ τὰ προκείμενα ταῖς αἰσθήσεσιν οὐδὲ αὐταὶ τῷ νῷ παραςῆσαι τὰ αἰσθητὰ καλῶς δυνήσονται. Πλὴν ἵνα μὴ ταῦτα εἰπεῖν δοκῶμεν, ὡς τὰ θεῖα Λόγια παρακινοῦντες, ἀκουέτωσαν αὐτῶν οἱ τὴν ἔρωτος ἐπωνυμίαν διαβάλλοντες. Ἐράσθητι αὐτῆς, φησὶ, καὶ τηρήσει σε· περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε· τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ· καὶ ὅσα ἄλλα κατὰ τὰς ἐρωτικὰς θεολογίας ὑμνεῖται.

Καίτοι ἔδοξέ τισι τῶν καθ᾽ ἡμᾶς ἱερολόγων, καὶ θειότερον εἶναι τὸ τοῦ ἔρωτος ὄνομα, τοῦ τῆς ἀγάπης. Γράφει δὲ καὶ ὁ θεῖος Ἰγνάτιος, Ὁ ἐμὸς ἔρως ἐςαύρωται. Καὶ ἐν ταῖς προεισαγωγαῖς τῶν Λογίων, εὑρήσεις τινὰ λέγοντα περὶ τῆς θείας σοφίας, Ἐραςὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς. Ὥςτε τοῦτο δὴ τὸ τοῦ ἔρωτος ὄνομα μὴ φοβηθῶμεν, μηδέ τις ἡμᾶς θορυβείτω λόγος περὶ τούτου δεδιττόμενος. Ἐμοὶ γὰρ δοκοῦσιν οἱ Θεολόγοι κοινὸν μὲν ἡγεῖσθαι τὸ τῆς ἀγάπης, καὶ τὸ τοῦ ἔρωτος ὄνομα, διὰ τοῦτο δὲ τοῖς θείοις μᾶλλον ἀναθεῖναι τὸν ὄντως ἔρωτα, διὰ τὴν ἄτοπον τῶν τοιούτων ἀνδρῶν πρόληψιν. Θεοπρεπῶς γὰρ τοῦ ὄντως ἔρωτος, οὐχ ὑφ᾽ ἡμῶν μόνον, ἀλλὰ καὶ πρὸς τῶν Λογίων αὐτῶν ὑμνουμένου, τὰ πλήθη μὴ χωρήσαντα τὸ ἑνοειδὲς τῆς ἐρωτικῆς θεωνυμίας, οἰκείως ἑαυτοῖς ἐπὶ τὸν μεριςὸν καὶ σωματοειδῆ καὶ διῃρημένον ἐξωλίσθησαν, ὡς

TEXTVS S. DIONYSII.

sermones ac clarissimæ visiones; quippe, quando illa quæ sensibus obiecta sunt minimè liquent, tum vtique sensus res sensiles menti porrigere minimè possunt. Sed ne hæc dicere videamur, vt diuina scripta immutemus, audiant illa qui nomen amoris criminantur: Ama illam, inquit, & custodiet te: sepi illam, & extollet te: honora eam, vt complectatur te: & quæcumque alia in amatoriis de Deo sermonibus celebrantur. Prouerb. 4.

§. 12. *Scripturas sæpè nomen amoris præferre nomini dilectionis.*

Atqui visum est quibusdam nostris sacrarum Scripturarum tractatoribus, nomen amoris diuinius esse quàm nomen dilectionis. Scribit enim diuinus Ignatius, Meus amor crucifixus est. Et in iis quæ aditum ad Scripturam præparant, quemdam inuenies de diuinâ Sapientiâ aientem *Amator factus sum formæ illius*. Sap. 8, 2. Quare ne propter hoc nomen amoris metuamus; nec vllus de hoc nomine sermo nos moueat, aut terreat. Mihi enim videntur Theologi existimasse quidem cōmune nomen esse amoris & dilectionis, sed attribuisse diuinis Scripturis verum amorem propter huiusmodi hominum turpem mentis anticipationem. Cùm enim verus amor non à nobis solùm, sed ab ipsis sanctis Scripturis, vt Deum decet, laudetur, vulgus hominū, cùm non percepisset illam vniformitatem quam diuinum nomen amoris significat, conuenienter sibi ad amorē patibilem & corporeum atq; distractum delapsum

TEXTVS S. DIONYSII.

Vulgus ſenſuale non capit nomen amoris ſpiritalis.

pſum eſt, qui non eſt verus amor, ſed imago, vel potiùs lapſus à vero amore: multitudo enim non poteſt cogitatione capere illud ſingulare diuini & vnius amoris; quamobrem tamquam nomen, quod vulgo videtur durius, ponitur in diuinâ Sapientiâ, vt vulgus ad cognitionem veri amoris eleuetur & erigatur, & ab eâ, quam illi ineſſe concipit, indecentiâ liberetur: & in nobis rurſus, vbi ſæpenumerò aliquid abſurdum homines terræ affixi cogitare poſſent, ponitur nomen quod honeſtius videtur: Cecidit, ait quidam, dilectio tua in me, ſicut dilectio mulierum. quoniam ſacri Theologi nomen dilectionis & amoris adhibent ſecundùm diuinas elocutiones, vt eamdem vim habeāt apud eos qui diuina rectè audiunt. Eſtque hoc virtutis cuiuſdam vnificæ ac collectiuæ excellenterque contemperantis, quæ in pulchro & bono per pulchrum & bonum præexiſtit, & ex pulchro & bono propter pulchrum & bonum emanat, continetque quidem æqualia per mutuam connexionem, ſuperiora verò ad inferiorum mouet prouidentiam, inferiora porrò per conuerſionem quamdam ſuperioribus inſerit.

2. Reg. 1.

§. 13. *Amor eſt ecſtaticus.* Eſt prætereà diuinus amor ecſtaticus, qui non ſinit eſſe ſuos eos qui ſunt amatores, ſed eorũ quos amant. Atque hoc declarant quidem ſuperiora, quæ inferiorum fiunt, per eorumdem prouidentiam; & quæ eiuſdem generis ſunt,

οὐκ ἔστιν ἀληθὴς ἔρως, ἀλλ' εἴδωλον, ἢ μᾶλλον ἔκπτωσις τοῦ ὄντως ἔρωτος· ἀχώρητον γάρ ἐστι τῷ πλήθει, τὸ ἑνιαῖον τοῦ θείου καὶ ἑνὸς ἔρωτος, διὸ καὶ ὡς δυσχερέστερον ὄνομα τοῖς πολλοῖς δοκοῦν, ἐπὶ τῆς θείας σοφίας τάττεται, πρὸς ἀναγωγὴν αὐτῶν καὶ ἀνάστασιν εἰς τὴν τοῦ ὄντως ἔρωτος γνῶσιν, καὶ ὥστε ἀπολυθῆναι τῆς ἐπ' αὐτῷ δυσχερείας· ἐφ' ἡμῶν δὲ αὖθις, ἔνθα καὶ ἄτοπόν τι πολλάκις ἦν οἰηθῆναι τοὺς χαμαιζήλους κατὰ τὸ δοκοῦν εὐφημότερον. Ἐπέπεσε, τίς φησιν, ἡ ἀγάπησίς σου ἐπ' ἐμὲ, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν, ἐπὶ τοῖς ὀρθῶς τῶν θείων ἀκροωμένοις ἐπὶ τῆς αὐτῆς δυνάμεως τάττεται πρὸς τῶν ἱερῶν Θεολόγων τὸ τῆς ἀγάπης καὶ τὸ τοῦ ἔρωτος ὄνομα κατὰ τὰς θείας ἐκφαντορίας. Καί ἐστι τοῦτο δυνάμεως ἑνοποιοῦ καὶ συνδετικῆς, καὶ διαφερόντως συγκρατικῆς ἐν τῷ καλῷ καὶ ἀγαθῷ, διὰ τὸ καλὸν καὶ ἀγαθὸν προϋφεστώσης, καὶ ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ διὰ τὸ καλὸν καὶ ἀγαθὸν ἐκδιδομένης, καὶ συνεχούσης μὲν τὰ ὁμόταγῆ κατὰ τὴν κοινωνικὴν ἀλληλουχίαν, κινούσης δὲ τὰ πρῶτα πρὸς τὴν τῶν ὑφειμένων πρόνοιαν, καὶ ἐνιδρυούσης τὰ καταδεέστερα τῇ ἐπιστροφῇ τοῖς ὑπερτέροις.

Ἔστι δὲ καὶ ἐκστατικὸς ὁ θεῖος ἔρως, οὐκ ἐῶν ἑαυτῶν εἶναι τοὺς ἐραστὰς, ἀλλὰ τῶν ἐρωμένων. Καὶ δηλοῦσι, τὰ μὲν ὑπέρτερα τῆς προνοίας γιγνόμενα τῶν καταδεεστέρων· καὶ τὰ ὁμόστοιχα, τῆς ἀλ-

λήλων

TEXTVS S. DIONYSII.

ἀλλήλων συνοχῆς· καὶ τὰ ὑφειμένα, τῆς πρὸς τὰ πρῶτα θειοτέρας ἐπιστροφῆς. Διὸ καὶ Παῦλος ὁ μέγας, ἐν κατοχῇ τοῦ θείου γεγονὼς ἔρωτος, καὶ τῆς ἐκστατικῆς αὐτοῦ δυνάμεως μετειληφὼς, ἐνθέῳ στόματι, Ζῶ ἐγὼ, φησὶν, οὐκ ἔτι, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὡς ἀληθὴς ἐραστὴς καὶ ἐξεστηκὼς, ὡς αὐτός φησι, τῷ Θεῷ, καὶ οὐ τὴν ἑαυτοῦ ζῶν, ἀλλὰ τὴν τοῦ ἐραστοῦ ζωὴν, ὡς σφόδρα ἀγαπητήν. Τολμητέον δὲ καὶ τοῦτο ὑπὲρ ἀληθείας εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος, τῷ καλῷ καὶ ἀγαθῷ τῶν πάντων ἔρωτι δι' ὑπερβολὴν τῆς ἐρωτικῆς ἀγαθότητος, ἔξω ἑαυτοῦ γίνεται, ταῖς εἰς τὰ ὄντα πάντα προνοίαις, καὶ οἷον ἀγαθότητι καὶ ἀγαπήσει καὶ ἔρωτι θέλγεται· καὶ ἐκ τοῦ ὑπὲρ πάντα καὶ πάντων ἐξῃρημένου πρὸς τὸ ἐν πᾶσι κατάγεται κατ' ἐκστατικὴν ὑπερούσιον δύναμιν ἀνεκφοίτητον ἑαυτοῦ. Διὸ καὶ ζηλωτὴν αὐτὸν οἱ τὰ θεῖα δεινοὶ προσαγορεύουσιν, ὡς πολὺν τὸν εἰς τὰ ὄντα ἀγαθὸν ἔρωτα, καὶ ὡς πρὸς ζῆλον ἐγερτικὸν τῆς ἐφέσεως αὐτοῦ τῆς ἐρωτικῆς, καὶ ὡς ζηλωτὴν αὐτὸν ἀποδεικνύντα, ᾧ καὶ τὰ ἐφιέμενα, ζηλωτὰ, καὶ ὡς τῶν προνοουμένων, ὄντων αὐτῷ ζηλωτῶν. Καὶ ὅλως τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐστι τὸ ἐραστὸν, καὶ ὁ ἔρως, καὶ ἐν τῷ καλῷ καὶ ἀγαθῷ προΐδρυται, καὶ διὰ τὸ καλὸν καὶ ἀγαθόν ἐστι καὶ γίνεται.

Τί δὲ ὅλως οἱ Θεολόγοι βουλόμενοι, ποτὲ μὲν, ἔρωτα καὶ ἀγάπην αὐτόν φασι, ποτὲ δὲ ἐρα-

per mutuam cohærentiam; & inferiora, per diuiniorem ad superiora conuersionem. Vnde diuinus Paulus diuino isto amore captus, & virtutis ecstaticæ particeps factus, diuino ore ait: *Viuo ego, iam non ego, viuit verò in me Christus*; (Galat. 2, 20) tamquam verus amator, & qui excessit è se Deo, & non iam vitam suam, sed amati tamquam vehementer dilectam viuens. Audendum est hoc etiam pro veritate dicere, quòd ipsemet omnium auctor, pulchro & bono omnium amore, propter excellentiam summam amatoriæ bonitatis extra se per prouidentias omnium rerum existit, & bonitate atq; dilectione & amore veluti delinitur, & oblectatur: & cùm sit supra omnia, & ex omnibus exemptus, ad omnia demittitur secundùm potestatem suprasubstantialem, quâ extra se non egrediendo exit. Hanc ob causam periti rerum diuinarum zelotem (*Amor zelotes.*) illum nuncupant, quòd magno & benigno rerum amore teneatur, easque ad ipsius amatorij desiderij zelum prouocet, atque adeò semet ipse quodammodò zelotem præstet, vt cui res desiderabiles sint zelo dignæ, & vt qui rerum, quibus prouidet, zelo afficiatur. Deniq; omnino pulchrum est & bonum, quidquid amabile est & amor, & in pulchro bonoque prȩcollocatur, & propter pulchrum & bonum est, & fit.

Quid porrò tandem significare volunt Theologi, cùm aliquando quidem Deum vocant amorem & dilectionem, quandoque verò §. 14.

TEXTVS S. DIONYSII.

Quomodo Deus sit amor & dilectio, & amabilis & dilectus.

verò amabilem & dilectum? Illius quidem [scilicet amoris & dilectionis] auctor, & tamquam productor ac generator est; hoc autem [id est amabilis & dilectus] ipse est. Illo quidem [id est amore & dilectione] mouetur, hoc autem [id est vt amabilis & dilectus] mouet; quia se ipse adducit, & sibi adducit, & mouet. Hac autem ratione dilectum & amabilem eum vocant, tamquam pulchrum & bonum; amorem verò rursus & dilectionem, tamquam vim motricem, & sursum trahentem ad se, qui solus est ipsum per se pulchrum & bonum, & tamquam manifestationem sui ipsius per seipsum, & vt benignum processum eximiæ illius vnionis, & amatoriam motionẽ, simplicem, per se mobilem, per se operantem, præexistentem in bono, & ex bono in ea quæ sunt redundantem, ac rursus ad bonum reuertentem.

Circulus amoris diuini.

Quâ in re & fine & principio se carere diuinus amor excellenter ostendit, tamquam sempiternus circulus, propter bonum, ex bono, in bono, & ad bonum indeclinabili conuersione circumiens, in eodem, & secundùm idem, & procedens semper, & manens, & remeans. Hæc etiam inclytus noster in sacris initiator diuino Spiritu afflatus in amatoriis suis Hymnis exposuit, quos non abs re fuerit commemorare, & quasi sacrum quoddam caput huic nostro sermoni de amore attexere.

στὸν καὶ ἀγαπητόν; Τοῦ μὲν γάρ, αἴτιος, καὶ ὥσπερ προβολεύς, καὶ ἀπογεννήτωρ· τὸ δέ, αὐτός ἐστι. Καὶ τῷ μὲν κινεῖται, τῷ δὲ κινεῖ· ἢ ὅτι αὐτὸς ἑαυτοῦ καὶ ἑαυτῷ ἐστι προαγωγικὸς καὶ κινητικός. Ταύτῃ δὲ ἀγαπητὸν μὲν καὶ ἐραστὸν αὐτὸ καλοῦσιν, ὡς καλὸν καὶ ἀγαθόν· ἔρωτα δὲ αὖθις καὶ ἀγάπην, ὡς κινητικὴν ἅμα, καὶ ὡς ἀναγωγὸν δύναμιν οὖσαν ἐφ᾽ ἑαυτὸν, τὸ μόνον αὐτὸ δι᾽ ἑαυτὸ καλὸν καὶ ἀγαθὸν, καὶ ὥσπερ ἔκφανσιν ὄντα ἑαυτοῦ δι᾽ ἑαυτοῦ, καὶ τῆς ἐξῃρημένης ἑνώσεως ἀγαθὴν πρόοδον, καὶ ἐρωτικὴν κίνησιν, ἁπλῆν, αὐτοκίνητον, αὐτενέργητον, προοῦσαν ἐν τἀγαθῷ, καὶ ἐκ τἀγαθοῦ τοῖς οὖσιν ἐκβλυζομένην, καὶ αὖθις εἰς τἀγαθὸν ἐπιστρεφομένην· Ἐν ᾧ καὶ τὸ ἀτελεύτητον ἑαυτοῦ καὶ ἄναρχον ὁ θεῖος ἔρως ἐνδείκνυται διαφερόντως, ὥσπερ τις ἀΐδιος κύκλος, διὰ τἀγαθὸν, ἐκ τἀγαθοῦ, καὶ ἐν τἀγαθῷ, καὶ εἰς τἀγαθὸν, ἐν ἀπλανεῖ συνελίξει περιπορευόμενος, καὶ ἐν ταὐτῷ, καὶ κατὰ τὸ αὐτὸ, καὶ προϊὼν ἀεὶ, καὶ μένων, καὶ ἀποκαθιστάμενος. Ταῦτα καὶ ὁ κλεινὸς ἡμῶν ἱεροτελεστὴς ἐνθέως ὑφηγήσατο κατὰ τοὺς ἐρωτικοὺς Ὕμνους· ὧν οὐκ ἄτοπον ἐπιμνησθῆναι, καὶ οἷον ἱεράν τινα κεφαλὴν ἐπιθεῖναι τῷ περὶ ἔρωτος ἡμῶν λόγῳ.

HIEROTHEI SANCTISSIMI viri verba ex Hymnis amatoriis.

§. 15. Amorem siue diuinum, siue Angelicum, siue spiritualem, siue

ΙΕΡΟΘΕΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ἐκ τῶν ἐρωτικῶν Ὕμνων.

Τὸν ἔρωτα, εἴτε θεῖον, εἴτε Ἀγγελικὸν, εἴτε νοερὸν, εἴτε ψυχικὸν,

κὸν, εἴτε φυσικὸν εἴποιμεν, ἑνωτικήν τινα καὶ συγκρατικὴν ἐννοήσωμεν δύναμιν, τὰ μὲν ὑπέρτερα κινοῦσαν ἐπὶ πρόνοιαν τῶν καταδεεστέρων, τὰ δὲ ὁμόστοιχα πάλιν εἰς κοινωνικὴν ἀλληλουχίαν, καὶ ἐπ' ἐσχάτων τὰ ὑφειμένα πρὸς τὴν τῶν κρειττόνων καὶ ὑπερκειμένων ἐπιστροφήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΩΝ ΑΥΤΩΝ
ἐρωτικῶν ὕμνων.

Ἐπειδὴ τοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς ἔρωτας διετάξαμεν, ἑξῆς εἰρηκότες, οἷαι μὲν αἱ τῶν ἐγκοσμίων τε καὶ ὑπερκοσμίων ἐρώτων γνώσεις τε καὶ δυνάμεις, ὧν ὑπερέχουσι κατὰ τὸν ἀποδοθέντα τοῦ λόγου σκοπὸν, αἱ τῶν νοερῶν τε καὶ νοητῶν ἐρώτων τάξεις τε καὶ διακοσμήσεις, μεθ' οὓς οἱ αὐτονόητοι καὶ θεῖοι τῶν ὄντως ἐκεῖ καλῶν ἐρώτων ὑπερεστᾶσι, καὶ ἡμῖν οἰκείως ὑμνοῦνται. Νῦν αὖθις ἀναλαβόντες ἅπαντας εἰς τὸν ἕνα καὶ συνεπτυγμένον ἔρωτα, καὶ πάντων αὐτῶν πατέρα συνελίξωμεν ἅμα, καὶ συναγάγωμεν ἀπὸ τῶν πολλῶν, πρῶτον εἰς δύο συναιροῦντες αὐτοῦ ἐρωτικὰς καθόλου δυνάμεις, ὧν ἐπικρατεῖ, καὶ προκατάρχει πάντως ἡ ἐκ τοῦ πάντων ἐπέκεινα παντὸς ἔρωτος ἄσχετος αἰτία, καὶ πρὸς ἣν ἀνατείνεται συμφυῶς ἑκάστῳ τῶν ὄντων ὁ ἐκ τῶν ὄντων ἁπάντων ὁλικὸς ἔρως.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΩΝ ΑΥΤΩΝ
ἐρωτικῶν ὕμνων.

Ἄγε δὴ καὶ ταύτας πάλιν εἰς ἓν συναγαγόντες, εἴπωμεν, ὅτι μία

TEXTVS S. DIONYSII.

animalem, siue naturalem dixerimus, vim quamdam siue potestatem copulantem & commiscentem intelligamus, superiora quidem mouentem ad prouidentiam inferiorum; ea verò quæ sunt eiusdem ordinis, ad mutuam communicationem, & nouissimè ea quæ sunt inferiora, ad conuertendum se ad præstantiora & præposita. *Amor vim coniũgendi habet.*

EIVSDEM VERBA EX
iisdem Hymnis amatoriis.

Quoniam ex vno amores multos ordinauimus, ordine recensendo quales mundialium & supermundialium amorum notiones ac virtutes existerent, quibus, iuxta rationem assignatam, spiritalium & intellectu præditorum amorum ordines distinctionesq; præcellunt, inter quos illi qui seipsis intellectiles ac diuini, bonis qui illic verè sunt amoribus præfecti, & à nobis propriè laudati sunt. Modò iterùm altiùs repetentes, omnes in vnum coniunctumque amorem, & eorum omnium parentẽ colligamus simul, & conferamus ex multis; primùm in duas eorum amatorias omnino vires cõtrahentes, quibus omnibus præstat & antecellit incomprehensa illa omnis amoris causa, quòd sit omnibus superior, & ad eam pro cuiusque captu rerum omnium totalis amor tendat. §. 16. *Distributio amoris.*

EIVSDEM EX IISDEM
Hymnis amatoriis.

Age verò, his iterùm in vnum collectis, dicamus, vnam esse sim- §. 17.

TEXTVS S. DIONYSII. *Diuinus amor ex Deo, per Deum in Deum reuoluitur.*

plicem virtutem, per se mouentem adamatoriam quamdã mixtionem ex bono vsque ad extremum eorum quæ existunt, & ab illo rursus consequenter per omnia ad bonum, ex seipsâ, per seipsum, & in seipsâ seipsam reuoluentem, & ad seipsam semper eodem modo reuertentem.

τίς ἐστιν ἁπλῆ δύναμις ἡ αὐτοκίνητος πρὸς ἑνωτικήν τινα κρᾶσιν ἐκ τἀγαθοῦ μέχρι τοῦ τῶν ὄντων ἐσχάτου, καὶ ἀπ' ἐκείνου πάλιν ἑξῆς διὰ πάντων εἰς τἀγαθὸν ἐξ ἑαυτῆς, καὶ δι' ἑαυτῆς, καὶ ἐφ' ἑαυτῆς ἑαυτὴν ἀνακυκλοῦσα, καὶ εἰς ἑαυτὴν ἀεὶ ταυτῶς ἀνελιττομένη.

§.18. *Obiectio. Cur dæmones non expetant hoc pulchrum & bonum.*

Atqui aliquis obiiciat: Si pulchrum & bonum omnibus amabile & desiderabile atq; dilectum sit (desiderat enim illud etiam id quod non existit, vt dictum est, & aliquo modo in ipso esse contendit; quoniam ipsum est quod formam rebus formâ carentibus tribuit, & in ipso etiam id quod non est, supra essentiam dicitur, & est) quomodo turba dæmonum non expetit hoc pulchrum & bonum, sed affixa materiæ, atque ab illo statu, quem Angeli in boni appetitione obtinẽt, prolapsa, causa est malorum omnium tam sibi quàm aliis, quę peruerti deprauarique dicuntur? aut quomodo genus dæmonum, ex omnino bono productum, boni formâ caret? vel quomodo bonum ex bono factum mutatum est? & quid est

Quid malum, & vnde.

quod illud deprauauit? & quidnam etiam malum est? & ex quo principio constitit? & quanam in re existit? & quomodo bonus illud producere voluit? quomodo item volens potuit? Quòd si malum existat ex aliâ causâ, quænam alia rerum causa est, prę ter bonum? quomodo verò etiam extante prouidentiâ est malũ aut omnino factum, aut non penitus sublatum? quomodo etiam eorum quæ sunt quidpiam præ bono illud expetit?

Καίτοι φαίη τις· Εἰ πᾶσίν ἐστι τὸ καλὸν καὶ ἀγαθὸν ἐραστὸν καὶ ἐφετὸν, καὶ ἀγαπητὸν (ἐφίεται γὰρ αὐτοῦ καὶ τὸ μὴ ὂν, ὡς εἴρηται, καὶ φιλονεικεῖ πως ἐν αὐτῷ εἶναι· καὶ αὐτό ἐστι τὸ εἰδοποιὸν, καὶ τῶν ἀνειδέων, καὶ ἐπ' αὐτοῦ, καὶ τὸ μὴ ὂν ὑπερουσίως λέγεται καί ἐστι) πῶς ἡ δαιμονία πληθὺς οὐκ ἐφίεται τοῦ καλοῦ καὶ ἀγαθοῦ, πρόσυλος δὲ οὖσα, καὶ τῆς Ἀγγελικῆς περὶ τὴν ἔφεσιν τἀγαθοῦ ταυτότητος ἀποπεπτωκυῖα, κακῶν ἁπάντων αἰτία καὶ ἑαυτῇ καὶ τοῖς ἄλλοις γίνεται, ὅσα κακύνεσθαι λέγεται; πῶς δὲ ὅλως ἐκ τἀγαθοῦ παραχθὲν τὸ δαιμόνιον φῦλον, οὐκ ἔστιν ἀγαθοειδές; ἢ πῶς ἀγαθὸν ἐκ τἀγαθοῦ γεγονὸς, ἠλλοιώθη; καὶ τί τὸ κακύναν αὐτὸ, καὶ ὅλως τί τὸ κακόν ἐστι; καὶ ἐκ τίνος ἀρχῆς ὑπέστη; καὶ ἐν τίνι τῶν ὄντων ἐστί; καὶ πῶς ὁ ἀγαθὸς αὐτὸ παραγαγεῖν ἠβουλήθη; πῶς δὲ βουληθεὶς ἠδυνήθη; Καὶ εἰ ἐξ ἄλλης αἰτίας τὸ κακὸν, τίς ἑτέρα τοῖς οὖσι παρὰ τἀγαθὸν αἰτία; πῶς δὲ καὶ προνοίας οὔσης, ἔστι τὸ κακὸν, ἢ γινόμενον ὅλως, ἢ μὴ ἀναιρούμενον; καὶ πῶς ἐφίεταί τι τῶν ὄντων αὐτοῦ παρὰ τἀγαθόν;

Ταῦτα

TEXTVS S. DIONYSII. §. 19.

Ταῦτα μὲν οὖν ἴσως ἐρεῖ τοιόσδε ἀπορῶν λόγος, ἡμεῖς δὲ ἀξιώσομεν αὐτὸν εἰς τὴν τῶν πραγμάτων ἀλήθειαν ἀποβλέπειν, καὶ πρῶτόν γε τοῦτο εἰπεῖν παῤῥησιασόμεθα, Τὸ κακὸν οὐκ ἔστιν ἐκ τἀγαθοῦ· καὶ εἰ ἐκ τἀγαθοῦ ἐστιν, οὐ κακόν· οὐδὲ γὰρ πυρὸς τὸ ψύχειν, οὔτε ἀγαθοῦ τὸ μὴ ἀγαθὰ παράγειν. Καὶ εἰ τὰ ὄντα πάντα ἐκ τἀγαθοῦ (φύσις γὰρ τῷ ἀγαθῷ, τὸ παράγειν καὶ σώζειν· τῷ δὲ κακῷ, τὸ φθείρειν καὶ ἀπολύειν) οὐδέν ἐστι τῶν ὄντων ἐκ τοῦ κακοῦ· καὶ οὐδὲ αὐτὸ ἔσται τὸ κακὸν, εἴπερ καὶ ἑαυτῷ κακὸν εἴη. Καὶ εἰ μὴ τοῦτο, οὐ πάντη κακὸν τὸ κακὸν, ἀλλ᾽ ἔχει τινὰ τἀγαθοῦ, καθ᾽ ἣν ὅλως ἐστὶ, μοῖραν. Καὶ εἰ τὰ ὄντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφίεται, καὶ πάντα ὅσα ποιεῖ διὰ τὸ δοκοῦν ἀγαθὸν ποιεῖ, καὶ πᾶς ὁ τῶν ὄντων σκοπὸς, ἀρχὴν ἔχει καὶ τέλος τἀγαθόν (οὐδὲν γὰρ εἰς τὴν τοῦ κακοῦ φύσιν ἀποβλέπον, ποιεῖ ἃ ποιεῖ) πῶς ἔσται τὸ κακὸν ἐν τοῖς οὖσιν, ἢ ὅλως ὂν τῆς τοιαύτης ἀγαθῆς ὀρέξεως παρῃρημένον; Καὶ εἰ τὰ ὄντα πάντα ἐκ τἀγαθοῦ, καὶ τἀγαθὸν ἐπέκεινα τῶν ὄντων, ἔστι μὲν ἐν τἀγαθῷ, καὶ τὸ μὴ ὂν, ὄν· τὸ δὲ κακὸν, οὔτε ὄν ἐστιν· εἰ δὲ μὴ, οὐ πάντη κακὸν, οὔτε μὴ ὄν· οὐδὲν γὰρ ἔσται τὸ καθόλου μὴ ὂν, εἰ μὴ ἐν τἀγαθῷ κατὰ τὸ ὑπερούσιον λέγοιτο. Τὸ μὲν οὖν ἀγαθὸν ἔσται, καὶ τοῦ ἁπλῶς ὄντος, καὶ τοῦ μὴ ὄντος, πολλῷ πρότερον ὑπεριδρυμένον. Τὸ δὲ κακὸν οὔτε ἐν τοῖς οὖσιν, οὔτε ἐν τοῖς μὴ οὖσιν, ἀλλὰ καὶ

Hæc fortaſſe dixerit qui iſta ignorabit, nos autem eum rogabimus, vt attendat veritati, idque primùm dicere non verebimur, malum non eſſe ex bono; ac ſi ex bono eſt, non eſſe malum. neque enim ignis eſt refrigerare, neque boni facere non bona. Si etiam ea quę ſunt, omnia ex bono ſunt (natura enim boni eſt, producere & conſeruare, mali autem, corrumpere ac perdere) nihil eorum quæ ſunt ex malo eſt, ac ne ipſum quidem malum erit, ſiquidem etiam ſibi malum eſſet. Quod niſi ita ſit, malum omnino malum non erit, ſed habet quamdam boni, ſecundùm quam omnino eſt, partem. Et ſi ea quæ ſunt, pulchrum bonumque appetunt, & quæcumq; agunt, propter id quod bonum videtur, faciunt, omniſque rerum intentio cùm principium tum finem bonum ſpectat (nihil enim, mali naturam ſpectando, facit ea quæ facit) quonam pacto erit malum in rerum naturâ, vel omnino exiſtat eiuſcemodi boni appetitu deſtitutum? Enimuerò ſi res omnes ex bono ſint, bonumque ſit ſupra res ipſas, id quod non eſt, iam in bono eſt, malum verò nequaquam eſt; alioquin non eſt planè malũ, nec id quod non eſt. nihil enim erit id quod omnino non eſt, niſi ſecundùm modum quemdam ſupraeſſentialem in bono eſſe dicatur. Bonum igitur erit, & eo quod omnino eſt, & eo quod non eſt, multò prius & ſuperiùs locatum. Malum autem nec in iis eſt quæ ſunt, nec in iis quæ non ſunt, ſed eo etiam quod

Malum non eſſe ex bono.

Quidquid eſt bonum eſſe.

 non

TEXTVS S. DIONYSII.

non eſt, remotius eſt à bono, tamquam alienum ac minus ens. Vnde igitur eſt malum? dicet aliquis. Si enim malum non eſt, virtus & vitium idem ſunt (proportione ſcilicet totius ad totum, & partis ad partem) aut ſaltem id quod virtuti repugnat non erit malum. Atqui contraria ſunt temperantia & intemperãtia, iuſtitia & iniuſtitia. Neq; verò dico illas eſſe cõtrarias, in quantum prodeunt à iuſto & iniuſto, & à temperante atque intemperante, verùm etiam priùs quàm viri probi ab improbo diſcrepantia foris appareat, iam in ipſo animo à virtutibus vitia diſcrepant, & à ratione diſſident perturbationes; quapropter neceſſariò cõcedendum eſt, malum aliquod eſſe bono contrarium. Neque enim ſibi bonum contrarium eſt, ſed vt ab vno principio vnaque causâ profectum communione, coniunctione, amicitiáque gaudet. Neque etiam minus bonum maiori aduerſatur: quia neque id quod minùs calidum aut frigidum eſt, magis calido frigidóve contrariatur. Eſt igitur in rerum naturâ, eſtque aliquid, & opponitur atque aduerſatur bono malum. Et eſto corruptio ſit rerum, non tamen hoc penitus exterminat malum è rerum naturâ, ſed erit illud etiam aliquid, & ad rerum conferet generationem. An non frequenter vnius corruptio alterius eſt generatio? Atqui malum hoc modo ad vniuerſi plenitudinem conducet, ac per ſe faciet, vt rerum vniuerſitas non ſit imperfecta.

Virtutem & vitium, bonum & malum contrariari.

αὐτοῦ τοῦ μὴ ὄντος μᾶλλον ἀπέχον τἀγαθοῦ, ἀλλότριον, καὶ ἀνουσιώτερον. Πόθεν οὖν ἐστι τὸ κακόν; εἴποι τίς. Εἰ γὰρ μή ἐστι τὸ κακὸν, ἀρετὴ καὶ κακία ταὐτὸν, καὶ ἡ πᾶσα τῇ ὅλῃ, καὶ ἡ ἐν μέρει τῇ ἀναλόγῳ· ἢ οὐδὲ τὸ τῇ ἀρετῇ μαχόμενον, ἔσται κακόν. Καίτοι ἐναντία σωφροσύνη καὶ ἀκολασία, καὶ δικαιοσύνη καὶ ἀδικία. Καὶ οὐ δήπου κατὰ τὸν δίκαιον καὶ τὸν ἄδικόν φημι, καὶ τὸν σώφρονα καὶ τὸν ἀκόλαστον· ἀλλὰ καὶ πρὸ τῆς ἐξωφαινομένης τοῦ ἐναρέτου πρὸς τὸν ἀντικείμενον διαστάσεως, ἐν αὐτῇ πολλῷ πρότερον τῇ ψυχῇ καθόλου διεστήκασι τῶν ἀρετῶν αἱ κακίαι, καὶ πρὸς τὸν λόγον τὰ πάθη στασιάζει, καὶ ἐκ τούτων ἀνάγκη δοῦναί τι τῷ ἀγαθῷ κακὸν ἐναντίον. Οὐ γὰρ ἑαυτῷ τἀγαθὸν ἐναντίον, ἀλλ' ὡς ἀπὸ μιᾶς ἀρχῆς, καὶ ἑνὸς ἔκγονον αἰτίου, κοινωνίᾳ, καὶ ἑνότητι, καὶ φιλίᾳ χαίρει. Καὶ οὐδὲ τὸ ἔλαττον ἀγαθὸν, τῷ μείζονι ἐναντίον· οὔτε γὰρ τὸ ἧττον θερμὸν ἢ ψυχρὸν τῷ πλείονι ἐναντίον. Ἔστιν οὖν ἐν τοῖς οὖσι, καὶ ὄν ἐστι, καὶ ἀντιτέθειται καὶ ἠναντίωται τἀγαθῷ τὸ κακόν. Καὶ εἰ φθορά ἐστι τῶν ὄντων, οὐκ ἐκβάλλει τοῦτο τοῦ εἶναι τὸ κακὸν, ἀλλ' ἔσται καὶ αὐτὸ ὂν, καὶ ὄντων γενεσιουργόν. Ἢ οὐχὶ πολλάκις ἡ τοῦδε φθορὰ, τοῦδε γίγνεται γένεσις; Καὶ ἔσται τὸ κακὸν, εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν συντελοῦν, καὶ τῷ ὅλῳ τὸ μὴ ἀτελὲς εἶναι, δι' ἑαυτὸ παρεχόμενον.

Ἐρεῖ

Ἐρεῖ δὲ πρὸς ταῦτα ὁ ἀληθὴς λόγος, ὅτι τὸ κακὸν, ᾗ κακὸν, οὐδεμίαν οὐσίαν ἢ γένεσιν ποιεῖ· μόνον δὲ κακύνει καὶ φθείρει τὸ ἐπ' αὐτῷ, τὴν τῶν ὄντων ὑπόστασιν. Εἰ δὲ γενεσιουργόν τις αὐτὸ εἶναι λέγει, καὶ τῇ τούτου φθορᾷ, τῷ ἑτέρῳ διδόναι γένεσιν, ἀποκριτέον ἀληθῶς, οὐχ ᾗ φθορὰ δίδωσι γένεσιν, ἀλλ' ᾗ μὲν φθορὰ καὶ κακὸν, φθείρει καὶ κακύνει μόνον· γένεσις δὲ καὶ οὐσία διὰ τὸ ἀγαθὸν γίγνεται· καὶ ἔσται τὸ κακὸν φθορὰ μὲν δι' ἑαυτὸ, γενεσιουργὸν δὲ διὰ τὸ ἀγαθόν· καὶ ᾗ μὲν κακὸν, οὔτε ὂν οὔτε ὄντων ποιητικόν· διὰ δὲ τὸ ἀγαθὸν, καὶ ὂν, καὶ ἀγαθὸν ὂν, καὶ ἀγαθῶν ποιητικόν. Μᾶλλον δὲ, οὐδὲ γὰρ ἔσται τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ κακὸν, οὐδὲ τοῦ αὐτοῦ φθορὰ καὶ γένεσις ἡ αὐτὴ κατὰ τὸ αὐτὸ δύναμις, οὔτε αὐτοδύναμις, ἢ αὐτοφθορά· τὸ μὲν αὐτοκακὸν, οὔτε ὂν, οὔτε ἀγαθὸν, οὔτε γενεσιουργὸν, οὔτε ὄντων καὶ ἀγαθῶν ποιητικόν· τὸ δὲ ἀγαθὸν, ἐν οἷς μὲν ἂν τελέως ἐγγένηται, τέλεια ποιεῖ, καὶ ἀμιγῆ, καὶ ὁλόκληρα ἀγαθά· τὰ δὲ ἧττον αὐτοῦ μετέχοντα, καὶ ἀτελῆ ἐστιν ἀγαθὰ, καὶ μεμιγμένα διὰ τὴν ἔλλειψιν τοῦ ἀγαθοῦ. Καὶ οὐκ ἔστι καθόλου τὸ κακὸν, οὔτε ἀγαθὸν, οὔτε ἀγαθοποιόν· ἀλλὰ τὸ μᾶλλον ἢ ἧττον τῷ ἀγαθῷ πλησιάζον, ἀναλόγως ἔσται ἀγαθόν· ἐπείπερ ἡ διὰ πάντων φοιτῶσα παντελὴς ἀγαθότης, οὐ μέχρι μόνον χωρεῖ τῶν

TEXTVS S. DIONYSII. §. 20.

Malum quà malum ad nihil vtile esse.

Ad hæc autem vera ratio reſpondebit, malum quà malum nihil conferre ad eſſentiam aut rerum generationem, ſed, quantum in ipſo eſt, rerum ſubſtantiam tantùm deprauare atque abolere. Si quis autem dixerit, hoc ipſo rerum generationi ſubſeruire, dum alterius corruptione præſtat alteri genituram; reſpondendum vtique, non quatenus corrumpit perficere generationem, quia quatenus corrumpit malum eſt, nam vt ſic tantùm deſtruit ac deprauat, cùm generatio & eſſentia per bonum fiant: atque adeò malum ex ſe quidem erit corruptio, ſubſeruit autem generationi per id quod bonum eſt, adeoque quà malum neque res eſt, neque res producit, ſed per bonum & res eſt & bonum, producitque bona. Quin imò non erit quidem idem eádem ex parte & bonum & malum, neque eadem potentia ſub eadem ratione corruptio & generatio, neque ipſa vis, aut ipſa corruptio: ipſum enim malum neque eſt, neque bonum eſt, neque generandi vim habet, neque res, neque bona facit; bonum autem quibuſcumque perfectè ineſt, eadem & perfecta & ſimplicia atque integra bona reddit, quæ verò minùs ipſum participant, imperfecta bona ſunt & permixta, propter boni priuationem. Sed malum penitus non eſt, neq; bonum neq; beneficum eſt; verùm id quod magis vel minùs appropinquat bono, pro ſuâ portione bonum erit: nam perfecta bonitas, quæ per omnia ſe diffundit, non ſolùm ad illas optimas,

Malum quà malum penitus non eſſe.

TEXTVS S. DIONYSII.

mas, quæ ipsi vicinæ sunt, essentias dimanat, sed ad extremas vsque protenditur, aliis quidem se totâ præsens, aliis autem inferiori modo, atque aliis infimo, pro captu scilicet singulorum. Eorum autem quæ existunt, alia quidem bonum planè participant, alia autem eò magis minúsve priuata sunt; alia verò tenuiorem quamdam boni præsentiam sortiuntur, aliis denique boni vltimum vestigium obtingit. Nisi enim bonum pro cuiusque captu singulis adesset, vtique antiquissima diuinissimaque essent, quæ nouissimorum modo ordinem tenent. Quonam autem pacto fieri poterat, vt vniformiter omnia bonum participarent, cùm quælibet ad omnimodam boni participationẽ minimè sint accommodata? Nunc autem hæc est potentiæ boni præstans magnitudo, vt ea quoque quæ sunt illius expertia, quin & ipsam sui priuationem corroboret, ad ipsum omnino participandum. Quòd si confidentiùs verum proferre liceat, illa etiam quæ illi contraria sunt, eius vi & sunt & repugnare possunt; aut potiùs, vt summatim dicam, ea quæ sunt omnia, in quãtum sunt, & bona & ex bono sunt, in quantum autem bono priuata sunt, neque bona sunt, neque exsistunt. In ceteris nempe qualitatibus, velut in calore vel frigore, illa quæ calefacta fuerunt superesse quoque possunt, postquam calor ea deseruit, plurimæque res existunt cùm vitæ tum mentis expertes; quin & ipse Deus, à substantiâ secretus, suprasubstantialiter tamen existit. Et simpliciter

Quidquid est, secundùm boni participationem est id quod est.

περὶ αὐτὴν πανάγαθον οὐσιῶν, ἐκτείνεται δὲ ἄχρι τῶν ἐσχάτων, ταῖς μὲν ὁλικῶς παροῦσα, ταῖς δὲ ὑφειμένως, ἄλλαις δὲ ἐσχάτως, ὡς ἕκαστον αὐτῆς μετέχειν δύναται τῶν ὄντων. Καὶ τὰ μὲν πάντη τοῦ ἀγαθοῦ μετέχει, τὰ δὲ μᾶλλον καὶ ἧττον ἐστέρηται, τὰ δὲ ἀμυδροτέραν ἔχει τοῦ ἀγαθοῦ μετουσίαν, καὶ ἄλλοις κατὰ ἔσχατον ἀπήχημα πάρεστι τἀγαθόν. Εἰ γὰρ μὴ ἀναλόγως ἑκάστῳ τἀγαθὸν παρῆν, ἦν ἂν τὰ θειότατα καὶ πρεσβύτατα τὴν τῶν ἐσχάτων ἔχοντα τάξιν. Πῶς δὲ καὶ ἦν δυνατὸν, μονοειδῶς πάντα μετέχειν τοῦ ἀγαθοῦ, μὴ πάντα ὄντα ταὐτῶς εἰς τὴν ὁλικὴν αὐτοῦ μέθεξιν ἐπιτήδεια; Νῦν δὲ τοῦτό ἐστι τῆς τοῦ ἀγαθοῦ δυνάμεως τὸ ὑπερβάλλον μέγεθος, ὅτι καὶ τὰ ἐστερημένα καὶ τὴν ἑαυτοῦ στέρησιν δυναμοῖ, κατὰ τὸ ὅλως αὐτοῦ μετέχειν. Καὶ εἰ χρὴ παρρησιαζόμενον εἰπεῖν τἀληθῆ, καὶ τὰ μαχόμενα αὐτῷ, τῇ αὐτοῦ δυνάμει καὶ ἔστι καὶ μάχεσθαι δύναται· μᾶλλον δὲ, ἵνα συλλαβὼν εἴπω, τὰ ὄντα πάντα, καθ' ὅσον ἐστὶ, καὶ ἀγαθά ἐστι, καὶ ἐκ τἀγαθοῦ, καθόσον δὲ ἐστέρηται τοῦ ἀγαθοῦ, οὔτε ἀγαθὰ οὔτε ὄντα ἐστίν. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἕξεων, οἷον θερμότητος ἢ ψυχρότητος, ἐστὶ τὰ θερμανθέντα, καὶ ἀπολειπούσης αὐτὰ τῆς θερμότητος, καὶ ζωῆς, καὶ νοῦ, πολλὰ τῶν ὄντων ἄμοιρα· καὶ οὐσίας ὁ Θεὸς ἐξῄρηται, καί ἐστιν ὑπερουσίως. Καὶ ἁ-

πλῶς,

ἁπλῶς, ἐπὶ μὲν τῶν ἄλλων πάντων, καὶ ἀπελθούσης, ἢ μηδὲ ἐγγινομένης πάντη τῆς ἕξεως, ἔστι τὰ ὄντα, καὶ ὑφίστασθαι δύναται· τὸ δὲ κατὰ πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον, οὐδαμῆ οὐδαμῶς οὔτε ἦν, οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε εἶναι δύναται. Οἷον ὁ ἀκόλαστος, εἰ καὶ ἐστέρηται τἀγαθοῦ κατὰ τὴν ἄλογον ἐπιθυμίαν, ἐν τούτῳ μὲν οὔτε ἐστὶν, οὔτε ὄντων ἐπιθυμεῖ, μετέχει δὲ ὅμως τἀγαθοῦ, κατ' αὐτὸ τὸ τῆς ἑνώσεως καὶ φιλίας ἀμυδρὸν ἀπήχημα. Καὶ ὁ θυμὸς δὲ μετέχει τἀγαθοῦ, κατ' αὐτὸ τὸ κινεῖσθαι, καὶ ἐφίεσθαι τὰ δοκοῦντα κακὰ πρὸς τὸ δοκοῦν καλὸν ἀνορθοῦν καὶ ἐπιστρέφειν. Καὶ αὐτὸς ὁ τῆς χειρίστης ζωῆς ἐφιέμενος, ὡς ὅλως ζωῆς ἐφιέμενος, καὶ τῆς ἀρίστης αὐτῷ δοκούσης, κατ' αὐτὸ τὸ ἐφίεσθαι, καὶ ζωῆς ἐφίεσθαι, καὶ πρὸς ἀρίστην ζωὴν ἀποσκοπεῖν, μετέχει τἀγαθοῦ. Καὶ εἰ πάντη τἀγαθὸν ἀνέλῃς, οὔτε οὐσία ἔσται, οὔτε ζωὴ, οὔτε ἔφεσις, οὔτε κίνησις, οὔτε ἄλλο οὐδέν. Ὥστε καὶ τὸ γίνεσθαι ἐκ φθορᾶς γένεσιν, οὐκ ἔστι κακοῦ δύναμις, ἀλλ' ἥττονος ἀγαθοῦ παρουσία, καθ' ὅθεν καὶ νόσος ἔλλειψίς ἐστι τάξεως, οὐ πάσης· εἰ γὰρ τοῦτο γένηται, οὔτε ἡ νόσος αὐτὴ ὑποστήσεται, μένει δὲ καί ἐστιν ἡ νόσος, οὐσίαν ἔχουσα τὴν ἐλαχίστην τάξιν, καὶ ἐν αὐτῇ παρυφισταμένη. Τὸ γὰρ πάντη ἄμοιρον τοῦ ἀγαθοῦ, οὔτε ὂν, οὔτε ἐν τοῖς οὖσι· τὸ δὲ μικτὸν, διὰ τὸ ἀγαθὸν ἐν τοῖς οὖσι, καὶ κατὰ τοῦτο ἐν τοῖς οὖσι

Ἀλλὰ καὶ πρὸς τὴν γένεσιν.] Μὴ νομίσῃς τὸν ἥλιον γενέσεως, ἢ ζωῆς, ἢ τροφῆς, ἢ αὐξήσεως, ἢ τελειότητος αἴτιον εἶναι τῶν ὄντων τινὸς, ὥσπερ οὐδὲ ἄλλο τι στοιχεῖον, εἰ καὶ σφόδρα τύχοι τῶν ἀναγκαίων, οἷον τὸ ὕδωρ· δυνατὸν γὰρ ἡμᾶς διαγενέσθαι, καὶ ἡλίου χωρὶς, καὶ ὕδατος, εἰ καὶ μὴ τελείως, ἀλλ' οὖν ἱκανὸν χρόνον. Ἀλλ' εἰδὼς ὁ Θεὸς, ὅτι τὸ μὲν ψυχρὸν, ἄγονον παντελῶς, τὸ δὲ μεμετρημένως θερμὸν γενεσιουργεῖ, καὶ ὅτι τὰ φυτὰ καὶ τὰ σπέρματα θερμότητος δεῖται, ὡς καὶ τὰ σώματα πάντα τὰ ζωὴν ἔχοντα, εἴτε αἰσθητικὴν, εἴτε φυτικήν· καθαίρεται δὲ πολλὰ, ὡς καὶ εἰς λευκότητα φέρεσθαι, ὡς ἐσθῆτες, καὶ ἄλλα· ἀνανεοῖ δὲ καὶ τὰ ψυγέντα σπέρματα· τούτου χάριν τὸν ἥλιον οὕτως ἔχειν φύσεως ἐποίησεν, ἵνα τὰ εἰρημένα πάντα ποιῇ ἐκ τοῦ δημιουργοῦ, τὸ δύνασθαι λαβὼν οὐκ ἐκ προαιρέσεως ἰδίας, ἢ δυνάμεως. Τοῦτο τελείως φησὶν ὁ ἅγιος Διονύσιος, ἑαυτὸν ὥσπερ ἐπεξηγούμενος κατωτέρω ἐν τῷ τέλει τοῦ πέμπτου κεφαλαίου, καὶ ἐν τῷ τέλει τοῦ ἕκτου. Νόει ἀσφαλῶς, καὶ μὴ διαστρέφου.

Μέτρον ἐστί.] Μέτρον διὰ τοῦτο λέγεται ὁ ἥλιος καὶ ἀριθμὸς ὡρῶν, ἐπειδὴ τῆς ἡμέ-

IVXTA MVLTESIMAM RESONANTIAM.] Quemadmodum sol sensibilis omnia quæ cernuntur illuminat, & quæcumque lucem eius non participat, propter propriam suam opacitatem ipsius expertia existunt; sic etiam in Deo, omnes, quicumque volunt, ab ipso sanctificantur. Pulchrè autem D. Dionysius statim correxit ea quæ minùs consentaneè de sole dicta videbantur. Quandoquidem enim dixerat, solem hunc inanimem claram esse imaginem bonitatis Dei, creaturam creatoris imaginem appellando, primò quidem mox adiunxit, *secundùm multesimam resonantiam*; in sequenti porrò capite illud ipsum perfectiùs exponit. Quid autem sit *multesima resonantia*, dicendum est. Quemadmodum enim si quis magnâ vociferatione aliquid dicat, qui adstant, & benè clamorem & quod dictum est percipiunt; qui autem distant, quò magis distant, minùs audiunt, qui verò longè sunt, tenuissimum sonum audiunt sine significatione vocis. Sic cogitandum est de lumine solis, si cum diuino conferatur, vt nimirum incomparabilis intersit differentia.

SCHOLIA S. MAXIMI.

Similitudo à sole.

QVIN ETIAM AD GENERATIONEM.] Ne putes solem auctorem esse generationis, aut vitæ, aut accretionis, aut perfectionis rei alicuius, sicut neque aliud aliquod elementum quantumuis necessarium, vt aqua: siquidem & absque sole & aquâ esse possumus, licet non perfectè, attamen longo tempore. Ceterùm Deus cùm sciret frigus esse omnino sterile, moderatum autem calorem generationi conducere, atque stirpes & semina indigere caloris, vti etiam corpora omnia quæ vitam habent siue sensilem siue vegetantem; multa item mundari debere, vt nimirum candida fiant, velut vestimenta, aliaque; item semina illa quæ refrixerant esse renouanda; idcircò solem naturæ fecit eiusmodi, vt dicta omnia creatoris opera præstet, cùm tamen non ex voluntate ac virtute propriâ talem vim acceperit. Hoc denique dixit S. Dionysius, vt qui semetipsum ampliùs explicaret infrà in fine capitis quinti & sexti. Securè hæc intellige, non ambiguè.

MENSVRA EST.] Sol dicitur mensura & numerus tempestatum; quoniam diem inchoat,

SCHOLIA S. MAXIMI.

choat, dies autem reuolutus *tempus* efficit. Idcircò vocatus eſt menſura, veluti vitam noſtram metiens, ait enim, totius noſtri temporis.

Hoc enim est illvd lvmen.] Nota, ſolem adhuc informem tres iſtos dies, qui creationem eius præceſſerunt, illuminaſſe; & lucem illam primigeniam quarto die in ſolem fuiſſe transformatam; atque illud triduum ipſum intellexiſſe, vti etiam in Hexaëmero Magnus Baſilius diſertè docet. Denique non te fugiat, illa, quæ antè dicta ſunt, non de ſole, ſed de luce iſtâ primigeniâ, quæ in ſolem transfigurata eſt, dici.

Tamqvam principivm vnitatis.] Id eſt principium & cauſa veræ vnitatis ſeu ſimilitudinis.

Quomodo omnia Deũ appetant.

Qvodqve appetvnt vniversa.] Vide quomodo res omnes diuidat quæ ſunt circum Regem omnium, quem etiam appetunt vniuerſæ. Primùm itaque recenſet intellectilia, deinde rationalia. Intellectilia itaque ſunt ea, quæ non ſunt corporibus permixta, v. g. virtutes omnes ſupermundiales; rationalia verò ſunt animæ humanæ, quæ propenſionem habent ad corpus, qualis eſt homo ſenſualis. Si enim interior homo, id eſt animus, ſecundùm Apoſtolum, ſolus operatur, non omnem erga corpus affectum habens, tunc eſt homo intelligens. Neque iam rationalis appelletur, ſicut omne animal, quod ex corpore & animâ rationali conſtat. Porrò intelligentia rationaliaque dicit Deum appetere ſcienter, vt quæ à naturâ hunc appetitum habeant, Regem omnium cognoſcendi, atque bonitatem eius participandi, eò quòd ſint anima cognitionis rationiſque particeps, rectè dicitur etiam boni appetitus. Verùm bruta animantia, ſecundùm eamdem vim ſenſitiuam, vitam appetunt, atque adeò etiam bonum. Inſenſibilia verò, vt plantæ, quæ & animâ vitâque carent, naturaliter quidẽ bonum appetunt, non quidem vt ipſum cognoſcant, ſed vt perſiſtát naturali ſuâ permanſione contẽta.

Sol vnde ἥλιος dictus.

Omnia ἀολλῆ facit.] Ἀολλῆ, id eſt congregata: quoniam ſol ἥλιος appellatur, quòd omnia ἀολλῆ ſeu congregari faciat, & diſperſa congreget. & docet ſolem non eſſe Deum, etſi multa dixerimus quæ illi contraria videantur, quæ facilè detorquentur.

ρας ἀρχεῖ, ἡ δὲ ἡμέρα ἀνακυκλουμένη, τὸν χρόνον ποιεῖ. Διὰ τοῦτο μέτρον ἐκλήθη, οἷα τὴν ἡμετέραν μετρῶν ζωήν· λέγει γὰρ, παντὸς τοῦ καθ' ἡμᾶς χρόνου.

Αὐτὸ γάρ ἐστι τὸ φῶς.] Σημείωσαι, ὅτι ὁ ἥλιος καὶ τὰς τρεῖς ἡμέρας τὰς πρὸ τῆς αὐτοῦ ποιήσεως ἐφώτιζεν ἀσχημάτιστος ὤν, καὶ ὅτι τὸ πρωτόκτιστον φῶς τῇ τετάρτῃ ἡμέρᾳ μετεσχηματίσθη εἰς ἥλιον, καὶ ὅτι ἡμερῶν τριάδα φησὶν, ὡς καὶ ὁ μέγας Βασίλειος ἐν τῇ Ἑξαημέρῳ σαφῶς φησιν. Ἐκεῖνο δὲ μὴ παραδράμῃς, ὅτι τὰ προειρημένα οὐ περὶ τοῦ ἡλίου, ἀλλὰ περὶ τοῦ σχηματισθέντος εἰς ἥλιον πρωτοκτίστου φωτὸς ἐῤῥήθη.

Ὡς ἐναρχική.] Τουτέστιν ἀρχὴ καὶ αἰτία τῆς πρὸς τὸ ὄντως ἑνώσεως ἢ ὁμοιώσεως.

Καὶ οὗ ἐφίεται πάντα.] Ὅρα πῶς διαιρεῖ τὰ ὄντα πάντα, καὶ περὶ τὸν πάντων ὄντα βασιλέα, οὗ καὶ τὰ ὄντα ἐφίεται πάντα. Φησὶν οὖν πρῶτον νοερὰ, εἶτα λογικά. Νοερὰ οὖν εἰσι, τὰ μὴ μεμιγμένα σώμασιν, οἷον αἱ ὑπερκόσμιοι δυνάμεις πᾶσαι· λογικὰ δὲ, αἱ ἀνθρώπιναι ψυχαὶ, αἱ τὴν σχέσιν ἔχουσαι πρὸς τὸ σῶμα, καθώς ἐστιν ὁ αἰσθητὸς ἄνθρωπος. Εἰ γὰρ ὁ ἔσω ἄνθρωπος μόνον ἐνεργείη κατὰ τὸν Ἀπόστολον, τουτέστιν ἡ ψυχὴ, μὴ τὴν πᾶσαν ἔχουσα σχέσιν πρὸς σῶμα, τότε νοερὸς ὁ ἄνθρωπος. Οὐ μὴν λογικῶς καλοῖτο ἂν κατὰ τὸ πᾶν ζῶον τὸ ἐκ σώματος καὶ λογικῆς ψυχῆς συνεστώς. Γνωστικῶς δέ φησι τὰ νοερὰ καὶ λογικὰ ἐφίεσθαι τοῦ Θεοῦ, ὡς φύσει προσούσης αὐτοῖς τῆς ὀρέξεως ταύτης, τοῦ γνῶναι τὸν τῶν πάντων Βασιλέα, καὶ μετέχειν τῆς ἀγαθότητος αὐτοῦ, διὰ τὸ εἶναι τὴν ψυχὴν γνωστικὴν, καὶ λογικὴν, καλῶς λέγεται, καὶ ἡ ἔφεσις τοῦ ἀγαθοῦ. Τὰ δὲ ἄλογα ζῶα, κατ' αὐτὴν τὴν αἰσθητικὴν δύναμιν, ζωῆς ἐφίεται, διὸ καὶ τοῦ ἀγαθοῦ. Τὰ δὲ ἀναίσθητα, οἷον τὰ φυτὰ καὶ τὰ ἄψυχα καὶ ἄζωα, ἐφίεται μὲν φυσικῶς τοῦ ἀγαθοῦ, οὐ μὴν ἵνα καὶ γνῷ αὐτὸ, ἀλλ' ἵνα μείνῃ, ὅπερ ἐστὶ μόνον τῇ φυσικῇ ἐφέσει συνεχόμενα παρὰ τοῦ ἀγαθοῦ εἰς τὸ εἶναι αὐτά.

Πάντα ἀολλῆ ποιεῖ.] Ἀολλῆ, συνηθροισμένα· ὅτι ὁ ἥλιος λέγεται παρὰ τὸ ἀολλῆ ποιεῖν, καὶ συνάγειν τὰ διεσκεδασμένα, καὶ ὅτι ἀναιρεῖ τὸ εἶναι Θεὸν τὸν ἥλιον, εἰ καὶ πολλὰ εἴπομεν τῆς εὐχερῶς διαστρεφομένης δοκοῦντα ἐναντία εἶναι.

Κατὰ

Κατὰ τὸν τῆς παλαιότητος.] Κατὰ τὸν τῆς παλαιότητος λόγον, ἢ ὅτι Ἕλληνες ὑπῆρχον, καὶ ὁ θεῖος Διονύσιος, καὶ ὁ θεῖος Τιμόθεος, ὡς ἐν ταῖς Πράξεσι τῶν ἁγίων Ἀποστόλων δηλοῦται· ἢ τὸν μωρὸν τῶν Ἑλλήνων λόγον φησί. Παλαιὸν γὰρ καὶ ἀρχαῖον τὸν ἥλιον ἔλεγον, ὡς ἐν τῇ Κωμῳδίᾳ εἴρηται.

Ἀνακαθαίρειν.] Εἴρηται γὰρ, Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Ὅτι ἠγάπησαν πολύ.] Τῷ γὰρ ἀγαπῶντι πολὺ, πολὺ καὶ δοθήσεται· τῷ δὲ ἔλαττον, πρὸς τὸ μέτρον τῆς ἀγάπης· ὅπερ λέγει ἄνω, ὅτι τάξις καὶ μέτρον ἡμῶν ἐστιν ὁ Θεός.

Καὶ ὑπερκόσμιον.] Τὸ Ὑπερκόσμιον εἰρῆσθαι νοῦν, ὡς τινῶν μὲν ὑπὲρ τοὺς πάντας κόσμους ὄντων νόων ἁγίων ἀνωτάτω, τάξεων Ἀγγελικῶν· τινῶν δὲ ἐπικοσμίων, τουτέστι τῶν ἐπὶ τῇ λειτουργίᾳ τῶν κόσμων, εἰς διοίκησιν αὐτῶν τεταγμένων τῶν παρά τισι καὶ κοσμαγωγῶν λεγομένων· τινῶν δὲ ἐγκοσμίων νόων ὄντων, ἀνθρώπων τε καὶ Ἀγγέλων, ἐθναρχῶν τε καὶ πολιούχων· καὶ ἐπὶ τῶν Ἐκκλησιῶν καὶ τῶν ἁγίων, ὡς ἐν τῇ Ἀποκαλύψει φησὶν ὁ θεῖος Ἰωάννης, καὶ ἐπὶ τῶν ἑτέρων κοσμικῶν διατάξεων. Καὶ ὁ Ψαλμῳδὸς δέ φησι, Παρεμβαλεῖ Ἄγγελος Κυρίου. Ὑπερκόσμιός ἐστιν, ὁ πνευματικός· περικόσμιος, ὁ ψυχικός· ἐγκόσμιος, ὁ σαρκικός. Ἄλλως. Ὑπερκόσμιός ἐστιν, ὁ καὶ τὴν θεολογίαν κατορθώσας· περικόσμιος, ὁ τὴν φυσικὴν θεωρίαν· ἐγκόσμιος, ὁ τὴν πρακτικὴν ἀρετήν.

Πάντα συνάγουσα.] Ὁμοῦ πάντα ποιοῦσα, καὶ θάλπουσα, καὶ αὔξουσα, καὶ μεταποιοῦσα.

Διαιρετική.] Διαιρεῖ γὰρ ἀπὸ τοῦ Θεοῦ ἡ ἄγνοια, ὡς μᾶλλον τὸ φῶς συνάγει, καὶ ἀολλῆ ποιεῖ, ὡς ἔφη ἄνω.

Δοξασμάτων.] Τῶν εἰδώλων, καὶ τῆς αὐτῶν πολυθείας.

Φαντασίας.] Φαντασίας φησὶ, τὰς πλασματώδεις ἐννοίας περὶ τὰ αἰσθητὰ, ἢ ὡς αἰσθητά.

Καὶ ὡς καλόν.] Καλὸς μὲν εἴρηται ὁ Θεὸς καὶ ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων, ὥσπερ οὖν καὶ κάλλος λέγεται. Καὶ ὁ Δαβίδ, Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Λέγεται δὲ καλὸν, καὶ τὸ κάλλους

SCHOLIA S. MAXIMI.

IVXTA ANTIQVITATIS.] Secundùm antiquitatis sermonem, aut quod Gentiles fuerint D. Dionysius & D. Timotheus, sicut in Actis sanctorum Apostolorum declaratur; aut stultum gentilem sermonem dicit. Solem enim veterem seu antiquum appellabant, vt in Comœdiâ dictum est.

§ 5. Psal. 33, 6.

REPVRGARE.] Dictum est enim, *Accedite ad eum, & illuminamini, & facies vestræ non confundentur.*

QVONIAM DILEXERVNT MVLTVM.] Multum enim diligenti multum etiam dabitur, alteri autem minùs, iuxta mensuram dilectionis: quoniam superiùs dixit, Deum esse ordinem ac mensuram nostram.

§. 6. *Quænam sint mentes supramundanæ, circamundanæ, & mundanæ.*

ET SVPRAMVNDANAM.] Mentem supramundanam dixit, ac si essent supremæ quædam sanctæ mentes Angelicorum ordinum supra mundos vniuersos; aliquæ autem circa mundum versarentur, id est, circa ministerium mundorum occuparentur, in ipsorum administrationem constitutæ ab iis qui mundi rectores appellantur; aliquæ verò mentes in mundo versarentur hominum atque Angelorum nationibus præfectorum, & præsidum ciuitatum, atque in Ecclesiis & sanctis, sicut in Apocalypsi D. Ioannes ait, nec non in ceteris mundi cõstitutionibus: quin & Psalmista canit, *Immittet Angelus Domini.* Psal. 33, 8. Supermundialis est, spiritalis; circamundialis, animalis; mundialis, carnalis. Aliter. Supermundialis est qui Theologiam docet, circamundialis, qui naturalem contemplationem, mundialis, qui practicam virtutem tradit.

OMNIA CONGREGANS.] Simul omnia faciens, & fouens, & augens atque commutans.

DIRIMIT.] Ignorantia enim à Deo dirimit, sicut lumen magis colligit & conuertit, vti dixit superiùs.

OPINATIONIBVS.] Simulacrorum & multorum deorum ipsorum.

VISA.] Visa vocat, commentitias cogitationes circa sensilia vel quasi sensilia.

§. 7. Cant. 1. Psal. 44, 3. *Deus quomodo pulcher & pulchritudo.*

ET VT PVLCHRVM.] Pulcher dicitur Deus in Cantico canticorũ, quo etiam modo pulchritudo dicitur. Et Dauid, *Speciosus formâ præ filijs hominum.* Pulchrum autem dicitur etiam id quod pulchritudinem par-

SCHOLIA S. MAXIMI.

participat. Nota, quomodo diſtinguatur in rebus pulchrum & pulchritudo in participantia & participata, in Deo autem non ſic. Pulchritudo namque dicitur, quia tribuit omnibus pulchritudinem, & quia omnia ad ſe vocat; pulchrum verò, tamquam ſemper exiſtens, vtpote numquam decreſcens, nec augeſcens.

Secvndvm se vniforme.] Vniforme quoddam pulchrum eſt Deus, quoniam neque in habitus diuiditur & pulchrificas differentias, neque quoad aliquos quidem pulcher eſt, quoad alios non; ſed immutabiliter ipſum pulchrum ſine principio ac diſſolutione, atque defectione, eodem modo ſemper exiſtens: ideoque in ſemetipſo dicitur anticipare pulchritudinem, tamquam qui etiam ante creaturas fons ſit & principium cauſaque pulchri; vnde quoque excellenter continet pulchritudinem. Etſi enim multa ſint pulchra, tamen ex ipſo pulchra ſunt, neque ſicut ipſe pulchra. Quî ſic? quoniam ipſe pulchrum eſt, ſiue cauſa, iſta verò pulchra ſunt per cauſam & participationem: nam Deus eſt quid pulchrum vniforme, quoniam ex ipſo quæ poſt ipſum pulchra ſunt, & quaſi in qualitate obtinent pulchritudinem.

Geneſ. 1. Zach. 9, 17. *Ex Deo omne pulchrum.*

Ex hoc ipso pvlchro.] Illud, *Ecce omnia pulchra valdè*; & illud Zachariæ, *Omne ſi quid pulchrum illius*, ex hoc pulchro, quod cauſâ caret, prodiit. Huius enim pulchri cauſâ elementorum connexiones, quas coaptationes vocant, fiunt, rerumque benè ordinatæ colligationes perdurant, quæ dicuntur amicitiæ ac communiones, ratione quidem præditorum ad Deum aſpirationes, quemadmodum Eccleſia primogenitorum in cælo & in terrâ; in brutis autem gregales ſocietates, in inanimis verò mutuæ quædam, quibus colligantur, ſympathiæ. Omnia itaq; cum pulchro vniuntur per participationem ad auctorem conuerſa.

Quomodo Deus ſit rerum principium, & medium, & finis.

Et finis omnivm.] Dicitur Deus finis omnium tamquam omnia continens, & veluti cuncta in ſecuritate complectens, & in quantum eius cauſâ producta ſunt vniuerſa, & nullius alterius indiguerunt vt perficerentur. Vnde ſicut principium omnium, vt cauſa, dicitur, ſic etiam *medium* dicitur veluti perdurationem in conſiſtendo concedens; & *finis*, quatenus omnia in eius vo-

μετέχον. Καὶ σημείωσαι, πῶς διαιρεῖται τὸ καλὸν καὶ τὸ κάλλος ἐπὶ τῶν ὄντων, εἰς μετέχοντα καὶ εἰς μετεχόμενα· ἐπὶ δὲ τοῦ Θεοῦ, οὐχ οὕτως. Κάλλος μὲν γὰρ λέγεται, διὰ τὴν ἐξ αὐτοῦ διαδιδομένην πᾶσι καλλονὴν, καὶ ὅτι πάντα πρὸς ἑαυτὸ καλεῖ· καλὸν δὲ, ὡς ἀεὶ ὂν, καὶ μηδέποτε μειούμενον ἢ αὖξον.

Μεθ' ἑαυτοῦ μονοειδές.] Μονοειδὲς καλόν ἐστιν ὁ Θεὸς, ἐπεὶ μήτε σκεδάννυται εἰς ἕξεις καὶ διαφορὰς καλλοποιοὺς, μήτε πρὸς ἐνίους μὲν τὸ καλὸν κέκτηται, πρὸς ἐνίους δὲ οὔ· ἀλλ' ἀτρέπτως αὐτὸ τὸ καλὸν ἀνάρχως καὶ ἀπολύτως, ἀνεπιτηδεύτως, καὶ ὡσαύτως ἀεί ἐστι· καὶ διὰ τοῦτο προέχειν ἐν ἑαυτῷ λέγεται τὴν καλλονὴν, ὡς καὶ πρὸ τῶν δημιουργημάτων πηγὴ, καὶ ἀρχὴ, καὶ αἴτιον ὂν τοῦ καλοῦ· ὅθεν καὶ ὑπεροχικῶς ἔχει τὸ καλόν. Κἂν γὰρ πολλὰ καλὰ, ἀλλ' ἐξ αὐτοῦ εἰσι καλὰ, καὶ οὐδὲ κατ' αὐτὸν καλά. Πόθεν; Ὅς γε ἀναιτίως καλὸν, αὐτὰ δὲ αἰτιατῶς καὶ κατὰ μετοχήν· ἑνοειδῶς γάρ ἐστι καλὸν ὁ Θεὸς, ἐπεὶ ἐξ αὐτοῦ τὰ μετ' αὐτὸν καλὰ, καὶ ὡς ἐν ποιότητι κεκτημένα τὸ καλόν.

Ἐκ τοῦ καλοῦ τούτου.] Τὸ, Ἰδοὺ πάντα καλὰ λίαν, καὶ τὸ κατὰ τὸν Ζαχαρίαν, Πᾶν, εἴ τι καλὸν αὐτοῦ, ἐκεῖθεν ἐκ τοῦ ἀναιτίου καλοῦ γέγονε. Διὰ γὰρ τὸ καλὸν, αἱ τῶν στοιχείων γεγόνασιν ἀλληλουχίαι, ἃς ἐφαρμογάς φησι· καὶ αἱ τῶν ὄντων εὔτακτοι συνδέσεις διαρκοῦσι, λεγόμεναι φιλίαι καὶ κοινωνίαι πάντων ἐναρέτων λογικῶν, αἱ πρὸς Θεὸν που διανοήσεις, ὡς ἡ τῶν πρωτοτόκων Ἐκκλησία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ἐπὶ δὲ τῶν ἀλόγων, αἱ ἀγελαῖαι συναγωγαί· ἐπὶ δὲ τῶν ἀψύχων, αἱ πρὸς ἄλληλα ἑκτικαὶ συμπάθειαι. Πάντα οὖν ἑνοῦται τῷ καλῷ, τῇ μεθέξει πρὸς τὸν αἴτιον ἐπεστραμμένα.

Καὶ πέρας πάντων.] Πέρας πάντων λέγεται ὁ Θεὸς, καὶ ὡς συνέχων πάντα, καὶ ὡς πάντων εἰς ἀσφάλειαν περιδεδραγμένος, καὶ ὡς αὐτοῦ γε ἕνεκα πάντων εἰς τὸ εἶναι παραχθέντων, καὶ ἑτέρου τινὸς εἰς τὸ τετελέσθαι οὐ δεομένων. Ὅθεν ὡς ἀρχὴ πάντων, ἅτε αἴτιος, λέγεται, οὕτω καὶ μέσον, ὡς τὴν εἰς τὸ συνεστάναι παράτασιν διδούς· καὶ τελευτὴ, ὡς ἐν τῷ

SCHOLIA S. MAXIMI.

θελήματι αὐτοῦ περατουμένων τῶν ὄντων, ἐφ' ὃν καὶ ἐπέστραπται, καθὸ καὶ τελικὸν αὐτόν φησιν, ὡς ἀρχὴν ὄντα καὶ τέλος, κατὰ τὸν θεῖον Ἰωάννην ἐν Ἀποκαλύψει· καὶ παραδειγματικὸν, ὡς πάντων τῶν ἐσομένων τοὺς προορισμοὺς ἐν ἑαυτῷ προειληφότα, καὶ πρὶν ἢ παραγαγεῖν, ὥς φησιν ὁ Ἀπόστολος, Οὓς καὶ προώρισε, καὶ τὰ ἑξῆς. Ταῦτα γὰρ ὁ ἅγιος Διονύσιος παραδείγματα ἐνόησε, τὸ προωρίσθαι ἐν ἑαυτῷ προγνωστικῶς τὰ ἐσόμενα, καὶ πρὶν παραχθῇ, τουτέστι πρὶν ἀφορισθῇ, καὶ διακριθῇ διὰ τῆς περιεχούσης τὰ πάντα ἑνιαίας προγνώσεως τοῦ Θεοῦ. Ταῦτα εὑρήσεις καὶ ἐν τῷ ἑξῆς πέμπτῳ κεφαλαίῳ. Σημείωσαι δὲ, ὅτι ταὐτὸν εἶναί φησι τῷ ἀγαθῷ τὸ καλόν.

Ὅτι καὶ τὸ μὴ ὄν.] Πῶς δύναται τὸ μὴ ὂν μετέχειν τοῦ ἀγαθοῦ. Εἰ γὰρ μὴ ὑπέστι αὐτῷ, οὔτε ἔφεσιν ἔχει, οὔτε μετοχὴν πρός τι τῶν ὄντων. Λεκτέον οὖν, ὅτι τὸ μὴ ὂν διαφόρως νοεῖ ὁ θεῖος οὗτος ἀνήρ· ποτὲ μὲν γὰρ αὐτὸ τὸ Θεῖον οὕτω καλεῖ, ὡς μηδὲν ὂν τῶν ὄντων· ποτὲ δὲ τὴν ὕλην. Ἔστι δὲ ὅτε καὶ τὸ κακὸν οὕτω καλεῖ κατὰ διαφόρους ἐννοίας. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ ὕλη μετέχει τοῦ ἀγαθοῦ, καθὸ μετεβλήθη εἰς εἶδος, καὶ ἀπηλλάγη τῆς προτέρας ἀμορφίας· ἢ ὅτι τὸ κακὸν μετέχει τοῦ ἀγαθοῦ, καθὸ προαιρέσει καλῇ καὶ αὐτὸ τὸ δοκοῦν θέλει κακὸν εἶναι, καὶ ὅτι ἀεὶ βούλεται εἶναι τὸ κακόν. Πᾶν δὲ τοῦ εἶναι ἐφιέμενον, τοῦ ἀγαθοῦ ἐφίεται. Ἄνω δὲ πρὸ δύο φύλλων, τὸν Θεόν φησι καὶ ὑπὲρ τὰ ὄντα εἶναι. Οὐκοῦν καλῶς ἄν εἴποι τις τὸ τὸν Θεὸν ὑπὲρ τὰ ὄντα εἶναι, καὶ τὸ μὴ ὂν μετέχειν τοῦ ἀγαθοῦ, ὡς καὶ ὑπὲρ τὰ ὄντα ὄντος, καὶ μηδὲν ὄντος τῶν ὄντων. Σημείωσαι ἀναγκαῖον, πῶς φησι, τὸ μὴ ὂν εὑρίσκεται καλὸν καὶ ἀγαθὸν, ὅτε περὶ Θεοῦ λέγεται· ὁ γὰρ Θεὸς καὶ ὂν λέγεται καὶ μὴ ὂν, ὡς οὐδὲν ὢν τῶν ὄντων, ἀλλ' ὑπερηρμένος ἀγνώστως τῶν ἁπάντων. Οὐ γάρ ἐστί τι τὸ γνωστικὸν, κατὰ τί οὐδέν ἐστιν ὁ Θεός.

Αἱ οὐσιώδεις ὑπάρξεις.] Καλῶς τὸ Οὐσιώδεις, ὑπάρξεις καθ' ἑαυτὰς ἀνώτεραι τῶν οὐσιῶν εἰσι. Νῦν δὲ, ἐπειδὴ περὶ τῶν κτιστῶν φησιν, εἰκότως τῷ Ὑπάρξεις προσέθηκε τὸ Οὐσιώδεις. Ἑνώσεις δὲ λέγονται, οὐχ ὅτι συνεκείνωσαν σωρηδὸν ἕν τι ἀποτελοῦντα, ἀλλ' ὅτι

luntate terminantur, ad quem etiam conuertuntur, secundùm quod ipsum etiam finalem causam vocat, tamquam principium & finem, iuxta D. Ioannem in Apocalypsi; *Apoc. 1,8.* & exemplarem, quâ omnium futurorum prædefinitiones in seipso præconcepit etiam ante ipsorum productionem, vt ait Apostolus, *Quos & prædestinauit*, & quæ *Rom. 8,30.* sequuntur. Hæc enim exemplaria sanctus Dionysius intellexit, quibus futura præscienter ex ipso, priùs quàm producerentur, id est, distinguerentur, prædefinita erant per vnicam illam prænotionem, quâ Deus cuncta complectitur. Hæc etiam reperies sequenti capite quinto. Nota autem, eum dicere idem esse pulchrum ac bonum.

QVOD ETIAM ID QVOD NON EST.] Quomodo possit id quod non est boni particeps existere. Si enim non subsistit, neque appetitum habet, neque cum re quapiam communicat. Dicendum itaque, diuinum hunc virum diuersimodè intelligere illud *quod non est:* aliquando enim ipsam diuinitatem ita vocat, vt quæ nulla sit rerum; quandoque verò materiam. solet etiam malum sic appellare, secundùm diuersos sensus. Licet itaque dicere, materiam boni participem esse, quatenus transformatur, & à pristinâ informitate liberatur; aut malum de bono participare, prout voluntate bonâ vult esse illud quod videtur malum, & quia semper vult esse malum. Omne autem quod esse appetit, bonum appetit. Superiùs autem ante duas paginas ait, Deum esse supra ea quæ sunt. Rectè igitur dicat aliquis, Deum esse supra ea quæ sunt, & id quod non est boni particeps existere, cùm sit supra ea quæ sunt, & nihil sit eorum quæ sunt. Necessariò nota vt dicat, id quod non est inueniri pulchrum & bonum, quando de Deo pronuntiatur: Deus enim dicitur & quod est & quod non est, cùm nihil sit eorum quæ sunt, sed supra omnia modo ignoto eminet. Nihil enim est quod sciat, secundùm quid Deus sit nihil.

Quomodo id quod non est Deum participet.

SVBSTANTIALES EXISTENTIÆ.] Rectè [dicit] *substantiales:* nam existentiæ secundùm seipsas superiores sunt substantiis. Nunc autem, quia de creaturis loquitur, meritò dictioni *existentiæ* apposuit *substantiales. Vniones* autem dicuntur, non quòd simul aceruatim quid vnum efficiant, sed quòd

Quid sint substantiales existentiæ.

Quid vniones.

SCHOLIA S. MAXIMI.

quòd Deus esset fons illorum atque principium, & ex ipso producta sint ea quæ subsistunt secundùm subsistentiam, ita vt etiam ad distinctiones suppositorum appareant. *Idemtitates* autem sunt virtutes adductrices & vnitrices rerum intelligibilium ad Deum, vti & similitudines, quandoquidem & ex ipso sint eique inhæreant. *Diuersitates* verò sunt quasi partita quædam multiplicatio diuinæ voluntatis ad inferiora & visibilia procedentis. *Dißimilitudines* verò, quoniam id quod creatur secundùm omnia diuersum est à creatore, nec vllo modo simile. *Communiones* verò sunt contrariorum elementorum temperationes. omnia enim corpora ex quatuor constant elementis. *Cohærentiæ* autem sunt mundorum cùm visibilis tum intelligibilis subordinatæ constitutiones, ex vnâ substantiâ materiæ in solidis corporibus multiplicatæ, atque instar catenæ sibi mutuò connexæ, ex quibus cogitationes ceteraque existunt. *Impermixtiones* verò sunt rerum vnitarum, sicut in humani generis communitate & cuiusque hominis proprietate: communi enim essentiæ ratione omnes vniti sumus, vniuscuiusque verò proprietate minimè commiscemur.

Quid idemtitates.

Quid diuersitates, &c.

Quotuplex sit status ac motus mentium.

STATVS OMNES.] Dicit tres esse status ac motus, quos etiam recenset, mentium, & animarum, & corporum. Hæc vtique commodè intelligenda sunt. Mentes quidem stant & mouentur, quemadmodum Isaias & Ezechiel de Seraphim ac Cherubim testantur, quoniam ascendunt & descendunt, vti Moyses ait: nam quòd indesinéter versentur circa Deum, atque suâ in ipsum intentione firmétur, etsi delegentur atque descendant ad inferiora, vt ope indigentibus prouideât, hoc ipsum est firmiter in Dei viciniâ stare, & ad benefica ministeria moueri. Quin etiam mouentur, quando considerant superiora, stantque, dum ab inferioribus intelliguntur, tamquam intellectiles manentes in propriâ idemtitate: nam sunt custodiæ suæ ac mansiones, atque in seipsis habitant, & ad se conuertuntur, neque distrahuntur ad ea quæ à Dei cultu aliena sunt. Cùm itaque inferiora omnia conuertantur ad superiora, motus autem mentium & animarum orbiculares sint ac circulares, vti quoque testa-

πηγὴ αὐτῶν καὶ ἀρχὴ ἦν ὁ Θεὸς, καὶ ἐξ αὐτοῦ παρήχθησαν ἐλλάμψαντα καὶ ὑποστάντα καθ᾽ ὑπόβασιν ἅπαντα τὰ ὄντα, ὡς καὶ εἰς διακρίσεις ὑποστάσεων φανῆναι. Ταυτότητες δέ εἰσιν αἱ ἀναγωγοὶ καὶ ἑνωτικαὶ πρὸς Θεὸν δυνάμεις τῶν νοητῶν, ὡς καὶ ὁμοιότητες, ἐπειδὴ καὶ ἐξ αὐτοῦ εἰσι καὶ προσεχεῖς αὐτῷ. Ἑτερότητες δὲ καθὸ καταγωγὸς οὖσα ἡ ἑτερότης, καὶ μεριστὴ, ἐν ταῖς ὑποβεβηκυίαις καὶ ἐσχάταις προόδοις τοῦ θείου θελήματος εἰς ὁρατὰ ἐπληθύνθη. Ἀνομοιότητες δὲ πάλιν, ἐπειδὴ τὸ γινόμενον ἕτερον ἂν εἴη τοῦ δημιουργήσαντος κατὰ πάντα, καὶ οὐκ ἐμφερές. Κοινωνίαι δὲ, τῶν ἐναντίων αἱ τῶν στοιχείων εἰσὶ κράσεις· ἐκ γὰρ τῶν τεσσάρων στοιχείων εἰσὶ τὰ σώματα πάντα. Ἀλληλουχίαι δὲ, τῶν ὁμοστοίχων εἰσὶν αἱ τῶν κόσμων, τοῦ τε ὁρατοῦ καὶ τοῦ νοητοῦ, καθ᾽ ὑπόβασιν κατατάξεις, ἐκ μιᾶς οὐσίας τῆς ὕλης εἰς σώματα πληθυνθεῖσαι στερεωμάτων, καὶ οἱονεὶ σειρὰ, ἀλλήλων ἐχόμεναι, ἐκ τούτων νοήσεις, καὶ τὰ ἑξῆς. Ἀσυμμιξίαι δὲ, τῶν ἡνωμένων εἰσὶν, ὡς ἐπὶ τῆς τοῦ ἀνθρώπου γένους κοινότητος, καὶ τῆς καθ᾽ ἕκαστον ἄνθρωπον ἰδιότητος· τῷ μὲν γὰρ κοινῷ τῆς οὐσίας λόγῳ πάντες ἡνώμεθα, τῇ δὲ καθ᾽ ἕκαστον ἰδιότητι τὸ ἀσύμμικτον ἔχομεν.

Αἱ στάσεις πᾶσαι.] Στάσεις καὶ κινήσεις λέγει τρεῖς, ἃς καὶ καταλέγει, νόων, καὶ ψυχῶν, καὶ σωμάτων. Δεῖ τοίνυν προσφόρως νοεῖν. Οἱ μὲν οὖν νόες ἵστανται καὶ κινοῦνται, ὡς Ἠσαΐας φησὶ, καὶ Ἰεζεκιὴλ περὶ τῶν Σεραφὶμ καὶ Χερουβὶμ, ἐπειδὴ αὐτοί εἰσιν οἱ ἀναβαίνοντες καὶ καταβαίνοντες, ὡς φησὶ Μωϋσῆς· τὸ μὲν γὰρ ἐπεστράφθαι ἀλήκτως ἐπὶ τὸν Θεὸν, καὶ ἱδρύσθαι ἐν τῇ πρὸς αὐτὸν ἀνατάσει, κἂν ἀποστέλλοιντο καὶ καταβαίνοιεν ἐπὶ τὰ ὑποβεβηκότα, προνοίας χάριν τῶν ὠφεληθησομένων, τοῦτό ἐστι τὸ ἑστάναι βεβαίως ἐν τῇ πρὸς Θεὸν ἐγγίσει, καὶ κινεῖσθαι εἰς τὰς περὶ τοὺς εὐεργετουμένους διακονίας. Κινοῦνται δὲ καὶ ἐν τῷ νοεῖν τὰ ὑπερβεβηκότα, καὶ ἑστᾶσιν ἐν τῷ νοεῖσθαι παρὰ τῶν καταδεεστέρων, ὡς νοητὰ, μένοντα ἐν τῇ οἰκείᾳ ταυτότητι· φρουραὶ γάρ εἰσιν ἑαυτῶν καὶ μοναὶ, καὶ εἰς ἑαυτὰ οἰκειοῦνται, καὶ ἐφ᾽ ἑαυτὰ συνεστραμμένα, καὶ ἀσκέδαστα ἐπὶ τὰ ἀλλότρια τῆς θεοσεβείας. Καὶ γοῦν πάντα τὰ καταδεέστερα ἐπέστραπται ἐπὶ τὰ ὑπερβεβηκότα, αἱ δὲ κινήσεις τῶν νόων καὶ ψυχῶν τροχοειδεῖς εἰσι καὶ κυκλικαὶ, ὡς καὶ

Ἰεζεκιὴλ

Ἰεζεκιὴλ φησιν, ἐπείπερ ἐξ ἑαυτῶν προΐασι καὶ εἰς ἑαυτὰ ἐπαναστρέφουσιν, ἀνεξόδευτα ἑαυτῶν. Καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀσωμάτων· στάσις δὲ καὶ κίνησις ἐπὶ τῶν σωμάτων νοηθήσεται, μενούσης μὲν τῆς ὕλης ἐν ὑποκειμένῳ, κινουμένης δὲ εἰς τὰς τῶν γινομένων ἐξ αὐτῆς τροπὰς καὶ μεταλλαγὰς σωμάτων ἐμψύχων τε καὶ ἀψύχων.

Κυκλικῶς μέν.] Σημείωσαι πῶς κινοῦνται τὰ οὐράνια κυκλικῶς, καὶ κατ' εὐθεῖαν, καὶ ἑλικοειδῶς, καὶ πῶς νοεῖται ψυχῆς ἑλικοειδὴς κίνησις.

Οἱ θεῖοι νόες κινοῦνται

ἢ κυκλικῶς, ἢ κατ' εὐθεῖαν, ἢ ἑλικοειδῶς.

Ψυχῆς δὲ κίνησις.] Ἐπειδὴ, ὡς καὶ ἄνω προγεγράφαμεν, νοερὰ μέν εἰσι τὰ νοοῦντα, νοητὰ δὲ τὰ νοούμενα, τροφὴ δὲ τῶν νοερῶν τὰ νοητά· εἰκότως οὖν ἐπὶ ψυχῆς νοερᾶς φησι, δυνάμεις αὐτῆς ὡς μόνον νοούσης τὰ ὑπερβεβηκότα· αὕτη γὰρ ὑπ' οὐδενὸς νοεῖται, καὶ πάντων τῶν νοητῶν ἐσχάτη ἐστί. Δυνάμεις δέ εἰσι ψυχῆς, αἱ πρὸς τὰς αἰσθήσεις ἐπιτηδειότητες.

Ἑλικοειδῶς δέ.] Ὁρᾷς ἐντεῦθεν, πόση διαφορὰ ψυχῆς πρὸς τὰ νοητά· τὰ μὲν γὰρ νοερῶς καὶ ἑνιαίως, τουτέστι κατ' ἀθρόαν ἐπιβολὴν νοεῖ τὰς ὑπερκειμένας θείας ἐλλάμψεις, κατὰ τὸ αὐτῶν μέτρον ἀποκαλυπτομένας· ἡ δὲ ψυχὴ λογικῶς καὶ διεξοδικῶς, τουτέστιν εἰς μερικὰ μεριζομένη, καὶ ἐκ μετοχῆς διδασκομένη. Ὁ γὰρ νοῦς εἰς λογισμοὺς κατιὼν, οἱονεὶ μερίζεται, καὶ δέεται τῶν διὰ πλειόνων παραδειγμάτων, διεξοδεύοντος λόγου πρὸς παράστασιν τοῦ νοουμένου τὸ ὑπεραναβεβηκός. Συμμίκτως οὖν ἐνεργεῖ ψυχὴ καὶ μεταβατικῶς, ὅτε καὶ νοερῶς νοεῖ, τοῦτο γὰρ οἰκεῖον ψυχῆς· καὶ ὅτε ἔξωθεν ἐπὶ τὰ ὑψηλότερα χειραγωγεῖται· ἐκ γὰρ τῶν ἀλλοτρίων ἀναβαίνει.

Αἱ ψυχαὶ αἱ λογικαὶ κινοῦνται

ἢ κυκλικῶς, ἢ ἑλικοειδῶς, ἢ κατ' εὐθεῖαν.

Τούτων οὖν, καὶ τῶν αἰσθητῶν.] Ὅρα, ὅτι καὶ τῶν αἰσθητῶν τρεῖς φησιν εἶναι τὰς κινήσεις, τὴν κυκλοειδῆ, καὶ τὴν ἑλικοειδῆ, καὶ τὴν κατ' εὐθεῖαν. Παραγόμεθα δὲ ταύτας νοεῖν ἐκ τῶν περὶ ψυχῆς εἰρημένων, κυκλικὴν μὲν αὐτὴν, ὅταν τὰ αἰσθητὰ αὐτὰ κατὰ τὰς

tur Ezechiel;quoniam à ſeipſis progrediuntur & in ſe reuertuntur, abſque eo quòd à ſeipſis recedant. Et hæc quidem in incorporeis: in corporibus verò ſtatus ac motus intelligetur,dum materia quidem manet in ſubiecto, mouetur autem in mutationibus iſtis quæ ex ipsâ fiunt in corporibus ſiue animatis ſiue inanimis.

CIRCVLARITER QVIDEM.] Nota,quomodo cæleſtia moueantur circulariter, & rectà, & obliquè, & quomodo intelligatur motus animæ obliquus. §.8.

Diuinæ mentes mouentur

vel circulariter, vel rectà, vel obliquè.

ANIMI AVTEM MOTVS.] Cùm,vti quoque ſuprà notauimus, intelligentia ſint ea quæ intelligunt, intellectilia verò quæ intelliguntur, alimentum autem intelligentium ſunt intellectilia; meritò in animo intelligente facultates eius aſſignat,vtpote qui ſolummodò intelligat ſuperiora, ipſe autem à nullo intelligitur, omniumq; intellectilium poſtremus eſt. Porrò animæ facultates conducunt ad ſenſationes. §.9. *Quis ſit motus animarum.*

OBLIQVE.] Hinc vides quanta ſit differentia animæ ab intellectilibus: hæc enim intellectualiter & vnitè, hoc eſt, per ſimplicem apprehenſionem intelligit ſuperiores diuinas illuſtrationes, quæ pro illorum captu reuelantur; anima verò per ratiocinationem ac euagationem,id eſt, ad particularia diſtracta, ex communicatione diſcens intelligit. Mens enim, cùm ad ratiocinandum deſcendit, quodammodò diuiditur,& pluribus exemplaribus ſeu ſpeciebus indiget, dum ratio modum inquirit, vt exprimat quod intellexit. Itaque anima commixtim & tranſcurſim operatur, etiam quando intellectualiter intelligit, ſiquidem hoc animæ proprium eſt:etiam quando extra ſe ad ſublimiora manuducitur; ex alienis enim aſcendit.

Animæ rationales mouentur

aut circulariter, aut obliquè, aut rectà.

HORVM IGITVR, VTI ET SENSILIVM.] Conſidera, vt etiam dicat ſenſilium tres eſſe motus,ſcilicet circularem,& obliquum,& rectum. Ex iis autem quæ de animâ dicta ſunt,adducimur,vt intelligamus circularem quidem illum,quando ſenſilia ſecundùm pro- §. 10. *Quis ſit motus ſenſilium.*

SCHOLIA S. MAXIMI.

proprias suas facultates ac qualitates operantur, vt cùm ignis calefacit, aqua refrigerat, & cetera similiter. Obliquum autem illum, quando fit per transmutationem, vt piscium & auium ex aquâ, & virgæ Moysis in serpentem, & similium. Rectum denique, quando rursum ad propria principia reuertuntur, v.g. cùm post dissolutionem eorum quæ facta fuerant, in elementa denuò resoluuntur.

Ac motvm.] Motum crediderit quis esse sensilium alterationem & corruptionē: cùm enim status significet horum generationem, manifestum fit, motum declarare contrarium. Obserua igitur, ea quæ alterantur ac corrumpuntur, & ex ipso & per ipsum & ad ipsum respicere.

Propter qvod omnis statvs.] Propter quod, nempe bonum ac pulchrum.

Ex bono est omnis vnitas & multitudo.

Omne vnvm et mvltitvdo.] Quomodo intelligetur illud, Omne vnum & multitudo? Suppone, mundum vniuersum magnam esse arborem, quæ in suis partibus animatis, veluti stirpibus & caudicibus, & in partium partibus, veluti ramis, surculis & foliis, aliquo modo viuat: nam si horum quodlibet quasi animal in se perfectum accipias, quod in toto vnionem & ordinem seruet, iuxta quem arbor ipsa secundùm se & cum partibus suis viuat, pariter quoque viuunt, intelligentia quidē intellectualiter ac rationaliter, bruta verò sensiliter, inanima verò spirituque carentia vegetanter & habitualiter. Et cùm per se, vt dixi, vnumquodque viuens viuat, & cùm toto partes moueantur, cognosces etiam simul omnium partium in vno toto compagem atq; conuictum, qui, vti diximus, etiam in multitudine pro cuiusque viuentis vtilitate atque proprietate existat. Et rursus, cùm omnia sint ex vno ac solo Deo, meritò etiam propter colligationem atque congruentiam quid vnum appellantur, nec non multa, propter speciem multiplicem singulorum.

Definitiones.] Definitiones sunt sermones qui singularum rerum naturam explicant, atque genus & differentiam & speciem declarant.

Ex Deo est omnis causa.

Principivm exemplare.] Exemplaris causa, siue principium, est id secúdùm quod aliquid fit: hoc autē est idea, quæ est intel-

οἰκείας δυνάμεις καὶ ποιότητας ἐνεργῇ· οἷον πῦρ θερμαῖνον, καὶ ὕδωρ ψύχον, καὶ τὰ ἑξῆς ὁμοίως. Ἑλικοειδῶς δὲ, ὅταν μεταβατικῶς ἐνεργῇ, οἷον ἐξ ὑδάτων ἰχθύες, καὶ πετεινὰ, καὶ ἡ ῥάβδος Μωϋσέως εἰς ὄφιν, καὶ τὰ τοιαῦτα. Κατ' εὐθεῖαν δὲ, ὅταν αὖθις εἰς τὰς οἰκείας ἀρχὰς ἀνατρέχῃ, οἷον ὅταν μετὰ διάλυσιν τῶν γινομένων πάλιν εἰς τὰ στοιχεῖα τὰ φθειρόμενα ἀναλύηται.

Καὶ κίνησιν.] Κίνησιν ἄν τις προσαχθείη νοῆσαι τῶν αἰσθητῶν τὴν ἀλλοίωσιν καὶ τὴν φθοράν· ἐξ οὗ γὰρ ἡ στάσις τούτων σημαίνει τὴν γένεσιν, πρόδηλον ὡς ἡ κίνησις τὸ ἐναντίον ἐμφαίνει. Σημείωσαι οὖν, ὅτι καὶ τὰ ἀλλοιούμενα, καὶ τὰ φθειρόμενα, ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸ ὁρᾷ.

Δι' ὃ πᾶσα στάσις.] Δι' ὃ, ἀγαθὸν καὶ καλὸν δηλονότι.

Πᾶν ἓν καὶ πλῆθος.] Πῶς νοηθήσεται τὸ, Πᾶν ἓν καὶ πλῆθος; Ὑπόθου, τὸν πάντα κόσμον φυτὸν μέγα, καθ' ὅλα τὰ μέρη αὐτοῦ τὰ ἔμψυχα ζῶν τρόπον τινὰ, οἷον πρέμνα καὶ στελέχη, καὶ τῶν μερῶν τὰ μέρη, οἷον κλάδους, ἀκρέμονάς τε καὶ φύλλα· εἰ γάρ μοι τούτων ἕκαστον οἷον αὐτοτελὲς ζῶον ὑπολάβοις, τηροῦν δὲ τὴν ἐν τῷ ὅλῳ ἕνωσίν τε καὶ τάξιν, καθ' ἣν αὐτό τε τὸ δένδρον ζῇ καθ' ἑαυτὸ, καὶ μετὰ τῶν αὐτοῦ μερῶν, ὡς ἔστι ζῆν, τὰ μὲν νοερὰ νοερῶς τε καὶ λογικῶς, τὰ δὲ ἄλογα αἰσθητικῶς, τὰ δὲ ἄψυχα καὶ ἄπνοα φυτικῶς τε καὶ ἑκτικῶς. Καὶ ζῶν καθ' ἑαυτὸ, ὡς ἔφην ἕκαστον ζῆν, καὶ μετὰ τοῦ ὅλου κινητικῶς τὰ μέρη μετὰ τῶν καθολικῶν, γνώσῃ τοῦ παντὸς τὴν εἰς τὸ ἓν συμφυΐαν τε καὶ σύζησιν, καὶ τὴν εἰς τὸ πλῆθος ὡς ἑκάστου προσφόρως τε καὶ ἰδίως ζῶντος, ὡς ἔφημεν. Καὶ πάλιν, εἰ ἐξ ἑνὸς καὶ μόνου Θεοῦ τὰ πάντα, εἰκότως καὶ ἓν λέγονται διὰ τὴν σύνδεσιν καὶ ἁρμονίαν, καὶ πλῆθος, διὰ τὴν πολυείδειαν τῶν καθ' ἕκαστον.

Οἱ ὅροι.] Ὅροι εἰσὶν οἱ ἑρμηνευτικοὶ λόγοι τῆς οὐσίας ἑκάστου τῶν πραγμάτων, καὶ τοῦ γένους, καὶ τῆς διαφορᾶς, καὶ τὸ τί ἐστι δηλοῦντες.

Ἀρχὴ παραδειγματική.] Παραδειγματικὸν αἴτιον, ἤτοι ἀρχὴ, ἐστὶ τὸ πρὸς ὃ γίνεται τὸ γινόμενον· τοῦτο δέ ἐστιν ἡ ἰδέα, ἥτις ἐστὶ νόη-

σις

σις αὐτοτελής, ἀΐδιος, τοῦ ἀϊδίου Θεοῦ· ἢ παράδειγμα αἰώνιον ἐνεστὼς τῇ φύσει, πρὸς ὃ γίνεται τὰ γινόμενα· ἀσώματοι γὰρ αἱ ἰδέαι, καὶ τὰ παραδείγματα. Τελικὸν δὲ αἴτιον, ἤτοι ἀρχὴ, ἐστὶν τὸ οὗ ἕνεκα τὸ γινόμενον τελεῖται· ἢ τελικὸν αἴτιόν ἐστιν; ὃ ἀχώριστόν ἐστιν τοῦ ἀποτελέσματος; ἢ ἐξ οὗ ἐνυπάρχοντος γίνεται τὸ γινόμενον, ὡς ἡ τῶν ὅλων ὕλη· ὁ δὲ Θεὸς καὶ ταύτην παρήγαγε. Ποιητικὸν δὲ αἴτιόν ἐστι, τὸ κεχωρισμένον τοῦ ἀποτελέσματος, ὡς ὁ Θεὸς, καὶ πᾶς ὑφ' οὗ γίνεταί τὸ γινόμενον.

Καὶ πάντα τὰ οὐκ ὄντα.] Πῶς τὰ μὴ ὄντα ἐν τῷ ἀγαθῷ, οὕτω νόησον. Ἐπειδὴ αἱ στερήσεις ἐν αὐτῷ εἰσιν ὑπερουσίως· οὔτε γὰρ ἂν εἴποιμι οὐσίαν τὴν στέρησιν, οἷον ἄναρχος, ἄφθαρτος, ἀθάνατος, καὶ ὅσα τοιαῦτά ἐστι· καὶ γὰρ οὐκ ἔστι ταῦτα ὁ Θεὸς, ἐπεὶ καὶ πρὸ τούτων ἐστίν· ἐξ αὐτοῦ γὰρ ἐγνώσθη, τί ἐστι ταῦτα. Καὶ γοῦν οὐδὲ τί οὐκ ἔστιν ὁ Θεὸς γινώσκομεν, ἢ πῶς ἄρρητος καὶ ἀκατάληπτος· οὐ γὰρ ταῦτα ἀρχὴ αὐτοῦ, ἀλλ' ἐξ αὐτοῦ. Αὐτὸς οὖν καὶ τοῦ μηδενὸς αἴτιος, πάντων αὐτοῦ ὑστέρων ὄντων, κατὰ τὴν τοῦ εἶναι καὶ μὴ εἶναι αἰτίαν· καὶ γὰρ αὐτὸ τὸ μηδὲν, στέρησίς ἐστιν. Ἔχει γὰρ τὸ εἶναι, διὰ τὸ μηδὲν εἶναι τῶν ὄντων· καὶ μὴ ὢν ἐστι, διὰ τὸ εἶναι καὶ ὑπερεῖναι, πάντα ὢν, ὡς ποιητής· καὶ μηδὲν ὢν, ὡς ὑπερβεβηκώς· μᾶλλον δὲ καὶ ὑπεραναβεβηκὼς καὶ ὑπερούσιος ὤν. Ἀνάγνωθι καὶ ἐν τῷ προτέρῳ φύλλῳ τὴν ἐμὴν παραγραφὴν περὶ τοῦ μὴ ὄντος.

Καὶ τὰ ἥττω τῶν κρειττόνων.] Παρέγραψα καὶ ἄνω τὸ ὅμοιον ἐν τῷ πρώτῳ κεφαλαίῳ, ὅτι ἀεὶ τὰ ὑποβεβηκότα ἐπέστραπται πρὸς τὰ ὑπερκείμενα, ὡς ὑπ' ἐκείνων περιεχόμενα, καὶ προνοούμενα. Κοινωνικῶς δὲ τὰ ὁμόστοιχα τῶν ὁμοταγῶν, καὶ ἁπλῶς πάντα ἀλλήλων καὶ αὐτῶν ἐρᾷ. καὶ ὁ Θεὸς πάντων ἐρᾷ, ἵνα τὰ πάντα τὰ ἀγαθὰ ποιήσῃ.

Αὐτὸς γὰρ ὁ ἀγαθοεργός.] Θαυμαστῶς λέγει, ὅτι ἀγαθὸς ἔρως, ἐν τῷ ἀγαθῷ προϋπάρχων, οὐκ ἔμεινεν ἄγονος, ἀλλ' ἔτεκεν ἡμῖν τὸν ἀγαθὸν ἔρωτα, δι' ὃν τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέμεθα· πρακτικὸν γὰρ καὶ γεννητικὸν τὸ Θεῖον, κατὰ τὸ εἰρημένον, Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Σημείωσαι δὲ ἐντεῦθεν κίνησιν θείαν· ὁ γὰρ ἀγαθοεργὸς ἔρως ἐκίνησε τὸ Θεῖον εἰς

lectio per se perfecta, æterna, æterni Dei; vel exemplar æternum, quod inest naturæ, secundùm quod omnia fiunt: ideæ enim & exemplaria sunt incorporea. Finalis autem causa, seu principium, est, cuius gratiâ aliquid perficitur; vel, finalis causa est, quæ ab effectu separari nequit, aut ex quâ existente aliquid fit, vt vniuersorum materia; Deus autem hanc etiam produxit. Causa verò efficiens est, quæ ab effectu separata est, vt Deus, & omnis à quo aliquid fit. SCHOLIA S. MAXIMI.

Et omnia qvæ non svnt.] Quomodo quæ non sunt sint in bono, sic intellige. Quoniam priuationes in ipso sunt supra substantiam: neque enim priuationem dixerim esse substantiam, vt quòd sit sine principio, incorruptibilis, immortalis, & quæ sunt eiusmodi; neque enim ita Deus, cùm hisce prior sit, quoniam ex ipso cognitum quid hæc sint. Imò ne quidem quid Deus sit noscimus, vel quomodo ineffabilis & incomprehensibilis existat: non enim hæc sunt eius principium, sed ex ipso. Ipse igitur etiam ipsius nihili est auctor, cùm sint omnia ipso posteriora secundùm causam existendi & non existendi: nam ipsum nihil, est priuatio; habet enim suum esse, hoc ipso quòd nihil sit eorum quæ sunt: & non existendo est, eò quòd suo modo sit, & supraquam sit, & omnia sit tamquam creator, & nihil sit tamquam transscendens, quin imò etiam supraquam transscendens, & supra substantiam existens. Lege etiam in priori paginâ meam de non ente annotationem. *Quomodo priuationes sint in Deo.*

Et inferiora svperiora.] Superiùs etiam capite primo quid simile annotaui, nempe inferiora semper ad superiora conuerti, vt quæ ab ipsis contineantur ac conseruentur. Et quæ sunt eiusdem ordinis, sui similia, cum iis communicando, & simpliciter omnia se mutuò & seipsa amant. & Deus amat omnia, vt omnia bona reddat.

Ipse enim bonifex.] Mirificè dicit, quòd bonus amor, qui ante omnia in bono existit, non remansit sine fœtu, sed potiùs bonum amorem nobis peperit, per quem pulchrum & bonum expetimus: diuinum enim Numen & operatur, & generat, iuxta illud Scripturæ, *Pater meus vsque modò* Ioan. 5, 17. *operatur, & ego operor.* Obserua hinc diuinum motum: amor enim bonorum effector *Bonus amor haudquaquam sterilis est.*

mouit

SCHOLIA S. MAXIMI.

mouit Deum ad prouidendum nobis, & vt nos conſtitueret; vt cùm moueretur produceret, & non remaneret expers fœtus. Ex hoc intelliges etiam illud, Monade quidem motâ, & quæ deinceps à Gregorio Theologo dicta ſunt in Oratione primâ de Filio.

GENERANDI EXCELLENTIAM.] Id eſt, creaturam produxit, vt circa ipſam amabilem ſuum motum declararet.

§. II. NEQVE VERÒ NOS QVISQVAM PVTET.] Nota, diſſentanea nomina non eſſe vſurpanda, niſi in diuinâ Scripturâ reperiantur, prout etiam modò de amore dicit: nec tam ipſas dictiones quàm earum inſtitutionis ſcopum attendendum eſſe; diuinè enim has ipſas explicat.

PER ALIA ÆQVIVALENTIA.] Quoniam non prohibemur, quò minùs aliquas dictiones per æquiualentes efferamus.

Quid in verbis ſpectandum ſit.

OPORTET SCIRE.] Conſidera hanc lectionem, cur nempe ſyllabis & dictionibus vtamur. Senſus autem hic eſt, q.d. Quando ſermonem mouemus de re ſenſili quapiam, tum dictionibus & ſcripturis & verbis opus habemus, ad id quod dicitur declarandum. Si autem anima à ſemetipſâ ad intellectilia mouetur in rectis operationibus, tum ſuperflui ſunt ſenſus vnà cum ſenſilibus, nam ſublimia imaginatur. Quando verò deiformis facta fuerit, ſenſim proficiens per eleuationes, atque per ignotam vnionem intellectiones ſuas habuerit in lumine inacceſſo, tum etiam ſuperfluæ ſunt intelligibiles operationes, non ſecùs ac ſenſus; quia nimirum anima hiſce ſublimiora meditatur, cùm deinceps Deo coniungitur. Quando autem terreſtria imaginatur, & circa rem ſenſilem quampiam moueri ſatagit, tunc ſermones clariores, & quæ in rebus viſibilibus maximè perſpicua ſunt, ſeligere oportet.

SICVT ETIAM INTELLIGENDI FACVLTATES.] Obſerua, aliud eſſe mentem, & aliud animam. Intelligendi facultates hîc vocat intellectiones iſtas quæ inferiores ſunt, mentemque diſtrahunt. Quando igitur anima voluerit ad Deum aſpirare, & pro viribus ipſi vniri, oculum quidem ſuum, id eſt, mentem, debet à particularibus auertere, & ad vniuerſaliora tranſmittere. Porrò particularia, vti diximus, intellectiones: tunc enim mens tota facta, & introrſum verſa, denique ad vnitatem ſimplicitatemque

πρόνοιαν, εἰς σύστασιν ἡμῶν, ἵνα καὶ πρακτικὸν ᾖ κινούμενον, καὶ μὴ μείνῃ ἄγονον. Ἐκ τούτου νοήσεις καὶ τό, Μονάδος μὲν κινηθείσης; καὶ τὰ ἑξῆς εἰρημένα τῷ Θεολόγῳ Γρηγορίῳ ἐν τῷ πρώτῳ περὶ Υἱοῦ.

Γεννητικὴν ὑπερβολήν.] Τουτέστι τὴν κτίσιν παρήγαγεν, ὥστε περὶ αὐτὴν τὰ τῆς ἀγαπητῆς ἐπιδείκνυσθαι κινήσεως.

Καὶ μή τις ἡμᾶς οἰέσθω.] Σημείωσαι, ὅτι οὐ δεῖ τὰ ἀπεμφαίνοντα ὀνόματα λέγειν, εἰ μή γε καὶ ἐν θείᾳ ἐμφέρεται Γραφῇ, ὡς καὶ νῦν περὶ ἔρωτος φησί· καὶ ὅτι οὐ χρὴ προσέχειν λέξεσιν, ἀλλὰ τῇ δυνάμει τοῦ σκοποῦ· θείως γὰρ αὐτὰ διέξεισι.

Δι' ἑτέρων ὁμοδυνάμων.] Ὅτι καὶ διὰ τῶν ἰσοδυνάμων οὐ κωλυόμεθα ἐκφωνεῖν τὰς λέξεις.

Δέον εἰδέναι.] Διὰ τί συλλαβαῖς καὶ λέξεσι χρώμεθα, σκόπει τὴν ἀνάγνωσιν. Ὃ θέλει εἰπεῖν, τοῦτό ἐστι, Ἡνίκα τὸν προφορικὸν λόγον κινοῦμεν, τοῦτον περί τινος τῶν αἰσθητῶν, τότε λέξεων, καὶ συλλαβῶν, καὶ στοιχείων καὶ Γραφῶν δεόμεθα πρὸς δήλωσιν τοῦ λαλουμένου. Εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς τὰ νοητὰ κινεῖται, διὰ τῶν ὀρθῶν ἐνεργειῶν περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις, ὑψηλὰ γὰρ φαντάζεται. Ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀνατάσεσι, καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχει, τότε καὶ αἱ νοηταὶ ἐνέργειαι περιτταί εἰσιν, ὡς καὶ αἱ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψυχὴ διανοεῖται, λοιπὸν ἡνωμένη Θεῷ. Ὅταν δὲ ὁμοῦ χαμαίζηλα φαντασθῇ, καὶ περί τινος τῶν αἰσθητῶν σπουδάσῃ κινηθῆναι, τότε τοὺς σαφεστέρους λόγους καὶ τὰ τρανότερα τῶν ὁρατῶν χρὴ ἐπιζητεῖν.

Ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις.] Σημείωσαι, ὅτι ἕτερον νοῦς, καὶ ἕτερον ψυχή. Νοερὰς δυνάμεις φησὶ τὰς νοήσεις, αἵ τινές κατώτεραί εἰσι, καὶ σκεδασμὸς τοῦ νοῦ. Ὅταν οὖν ἡ ψυχὴ βούληται πρὸς Θεὸν ἀναδραμεῖν, καὶ κατὰ τὸ δυνατὸν ἑνωθῆναι αὐτῷ, τὸ μὲν ὄμμα αὐτῆς, τουτέστι τὸν νοῦν, αὐτὸν ἀποστρέψαι ὀφείλει τῶν μερικῶν, καὶ ἐπὶ τὰ καθολικώτερα ἀναπηδῆσαι. Μερικὰ δέ εἰσιν αἱ νοήσεις, ὡς ἔφημεν· τότε γὰρ νοῦς ὅλη γινομένη, καὶ εἰς τὸ ἔσω στραφεῖσα, ἑνὰς λοιπὸν καὶ

ἁπλότης γενομένη, ἐπιβαλεῖν δυνήσεται ταῖς θείαις ἀκτῖσι, διὰ τῆς ἐπαινετῆς ἀγνωσίας, οὐ τῆς ἐξ ἀμαθίας ἀγνοίας, ἀλλὰ τῆς γινωσκούσης ὅτι ἀγνοεῖ τὰ περὶ Θεοῦ ἀκατάληπτα. Γνώσεται δὲ ἀπολαύουσα τῶν θείων μαρμαρυγῶν, οὐ διὰ τῶν αἰσθητῶν ὀμμάτων (οὐ γὰρ καταλαμβάνεται τούτοις) ἀλλὰ ταῖς ἀνομμάτοις τοῦ νοῦ καταστάσεσιν.

Ἐπιδηλότεραι τῶν αἰσθήσεων.] Ἐξηγεῖται, τί εἰσὶν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διαπορθμεύσεις, καί φησιν, αὐτὰς τοὺς σαφεστέρους λόγους καὶ τὰ φανέστερα τῶν ὁρατῶν.

Καλῶς δυνήσονται.] Αἱ αἰσθήσεις δηλονότι.

Καίτοι ἔδοξέ τισιν.] Ὅτι καὶ ἡ ἀγάπη ἔρωτα δηλοῖ, καὶ ὅτι θειότερον ὄνομα τοῦ ἔρωτος.

Ἀκουέτωσαν.] Σημείωσαι, ὅτι καὶ τότε ἦσάν τινες ἐπιλαμβανόμενοι ὀνομάτων, οὓς ἐπιστομίζει ἐκ τῆς θείας Γραφῆς.

Ὁ θεῖος Ἰγνάτιος.] Καὶ ἐκ τούτου τινὲς οἴονται διαβάλλειν δικαίως τὸ παρὸν σύνταγμα, ὡς μὴ ὂν τοῦ θείου Διονυσίου, ἐπειδὴ Ἰγνάτιον λέγουσι μεταγενέστερον αὐτοῦ εἶναι· πῶς δὲ δύναταί τις τῶν μεταγενεστέρων μεμνῆσθαι; Πλάσμα δὲ καὶ τοῦτο δοκοῦν αὐτοῖς· ὁ γὰρ ἅγιος Παῦλος ὁ φωτίσας Διονύσιον, μεταγενέστερος ἦν τῷ χρόνῳ τοῦ ἁγίου Πέτρου, μεθ' ὃν ὁ Ἰγνάτιος Ἐπίσκοπος γίνεται Ἀντιοχείας, μετατεθέντος Πέτρου ἐν Ῥώμῃ· ἐπέζησε δὲ ὁ ἅγιος Παῦλος χρόνον πολύν, φωτίσας Διονύσιον, καὶ Διονύσιος μετ' αὐτὸν ἔζησεν. Ὁ δὲ Εὐαγγελιστὴς Ἰωάννης ἐπὶ Δομετιανοῦ ἐξορίζεται εἰς Πάτμον, ᾧ ἀντιγράφει Διονύσιος. Ἰγνάτιος δὲ πρὸ Δομετιανοῦ μαρτυρεῖ, ὥστε προγενέστερος Διονυσίου.

Ὁ ἐμὸς ἔρως.] Ζητητέον, πῶς ἐπὶ Ὀνησίμου τοῦ μετὰ Τιμόθεον Ἰγνατίου διαλεγομένου καὶ γράφοντος Ῥωμαίοις τό, Ἐμὸς ἔρως ἐσταύρωται, Διονύσιος νῦν Τιμοθέῳ γράφων τούτου μέμνηται, ὡς Ἰγνατίου ἤδη γράψαντος· καὶ μήποτε παρά τινος τῶν φιλολόγων ἔξω παρατεθὲν, πρὸς πλείονα σύστασιν τῶν περὶ θείου ἔρωτος τῷ ἁγίῳ Διονυσίῳ εἰρημένων, ὕστερον κατ' ἄγνοιαν ἔσω παρενετέθη, ὅπερ ἐν πολλοῖς πολλάκις γενόμενον ἔγνωμεν· καὶ γὰρ δίχα τούτου ἵσταται ἀπαραλείπτως τὸ σῶμα τοῦ λόγου. Ἢ τάχα συνήθες αὐτῷ εἶναι ἀπόφθεγμα, ὡς καὶ τὸ Θεοφόρος πολλάκις αὐτῷ λεγόμενόν τε καὶ γραφόμενον.

redacta, in diuinos istos radios intendere poterit, per laudabilem scilicet ignorationem, non verò istam quæ ex inscitiâ nascitur, sed quæ agnoscit se incomprehensibilia Dei minimè capere. Cognoscet autem diuinis fruens coruscationibus non per oculos sensiles (neque enim istis apprehenditur) sed exoculatis mentis constitutionibus. SCHOLIA S. MAXIMI.

PERSPICACISSIMÆ SENSVVM.] Explicat quæ sint perspicacissimæ sensuum traiectiones, aitque, illas esse apertissimos sermones, & clarissimas visiones.

RECTE POTERVNT.] Nempe sensus.

ATQVI VISVM EST QVIBVSDAM.] Quòd etiam dilectio amorem designet, & nomen amoris sit quid diuinius. §.12.

AVDIANT.] Nota etiam, tum fuisse aliquos qui nomina carpebant, quos ex diuinâ Scripturâ refutat.

DIVVS IGNATIVS.] Etiam ex hoc nonnulli putant, se opportunè librum hunc refellere, ac si non esset D. Dionysij, quia dicunt, Ignatium esse ipso posteriorē. quomodo autē possit quis meminisse posteriorum? Verùm hoc totum fictum est, quantumuis id ipsis videatur: nam S. Paulus, qui Dionysium baptizauit, tempore posterior fuit sancto Petro, post quem Ignatius fit Episcopus Antiochię, Petro Romam profecto; sanctus verò Paulus multo tempore superuixit, qui Dionysium baptizauit, & Dionysius post ipsum vixit. Porrò Ioannes Euangelista sub Domitiano exulat in Patmo, cui Dionysius rescribit; Ignatius autem ante Domitianum patitur, ita vt Dionysio sit antiquior.

AMOR MEVS.] Quærendum, quomodo, Ignatio cum Onesimo, Timothei postero, disputante, & ad Romanos scribente, *Amor meus crucifixus est*, Dionysius modò Timotheo scribens huius meminerit, ac si Ignatius anteà scripsisset, & non potiùs olim ab aliquo litterato extrinsecus appositum, ad perfectiorem eorum, quæ de diuino amore à S. Dionysio dicta sunt, confirmationē, posteà per ignorantiam textui insertum sit, quod in multis sæpè accidisse nouimus; siquidem sine hac parte etiam corpus orationis integrum constituitur. Vel fortè illud erat dictum illi familiare, sicut etiam vox *deifer* frequenter ab ipso dicta scriptaque.

SCHOLIA S. MAXIMI. Cuius rei argumentum est, quòd non habeatur hîc, *scribit verò quibusdam*, id est, *Romanis*, sed simpliciter, *scribit verò diuus Ignatius*.

In præviis introdvctionibvs.] Sciendum, quòd præuias introductiones diuinæ Scripturæ vocet libros Salomonis, ex quo ista desumpta sunt.

Divinis potivs.] Cur diuinis potiùs attribuant Theologi verum amorem.

Vvlgvs.] Nota, pro captu vulgi etiam dictionibus vtendum esse. Dicit autem quid amor efficiat, agitque de duobus amoribus, nempe diuino & diuisibili seu corporeo.

Dvrivs.] Nempe vt obnoxium cauillationi.

Cecidit ait qvidam.] Ait hoc Dauid de Ionathâ lib. 1. Regum.

Ponitvr a sacris.] Quia dilectio & amor æquiualet; & quæ sit amoris efficacia.

Contemperantis.] Id est, sibi mutuò commiscentis ea quæ amant.

Propter pvlchrvm.] Quod etiam superiùs dixit: quoniam diuinus amor præexistens in bono peperit in nobis amorem, quo bonum appetimus.

§.13. Ecstaticvs.] De excessu amoris etiam

Psal. 115, 11. Dauid ait, *Ego dixi in excessu meo*.

Qvi excessit.] Nota quomodo intelligatur illud, *Qui excessit Deo*.

Avdendvm.] Quoniam etiam Deus amat vniuersa.

Hanc ob cavsam etiam zelotem illvm.] Quo sensu Deus dicatur zelotes, tamquam amator salutis omnium.

§.14. Qvid porro tandem.] Dilectionis quidem & amoris ipsum, nempe Deum, auctorem ac genitorem ait: ipse enim ista, quæ in ipso erant, foras produxit, scilicet

1.Ioan.4,16 creaturas, atque hac ratione dicitur, *Deus charitas est*: & in Cantico similiter charitas, seu dilectio, appellatur; item dulcedo & desiderium, quod est amor; ipse autem est id quod verè diligibile & amabile existit. Quatenus ergo diligibilis, amor ex ipso promanat, ipse huius genitor moueri perhibetur; quatenus autem est id quod verè amabile & diligibile existit, mouet ea quæ ad ipsum respiciunt, & quibus pro captu suo inest vis appetendi.

Τεκμήριον δὴ, τὸ μὴ προσκεῖσθαι, Γράφει δέ τισι, τουτέστι Ῥωμαίοις· ἀλλ' ἁπλῶς, Γράφει δὲ καὶ ὁ θεῖος Ἰγνάτιος.

Καὶ ἐν ταῖς προεισαγωγαῖς.] Ἐπιστητέον, ὅτι προεισαγωγὰς καλεῖ τῆς θείας Γραφῆς τὰ Σολομῶντος, ἀφ' οὗ καὶ τὰ ῥητά.

Τοῖς θείοις μᾶλλον.] Διὰ τί τοῖς θείοις μᾶλλον ἀνατιθέασι τὸν ὄντως ἔρωτα οἱ Θεολόγοι.

Τὰ πλήθη.] Σημείωσαι, ὅτι πρὸς ὃ χωροῦσι τὰ πλήθη, δεῖ καὶ ταῖς λέξεσι χρῆσθαι. Λέγει δὲ, τί ποιεῖ ὁ ἔρως, καὶ περὶ δύο ἐρώτων, θείου, καὶ μεριστοῦ, ἤτοι σωματοπρεποῦς.

Ὡς δυσχερέστερον.] Ὡς διαβεβλημένον δηλονότι.

Ἐπέπεσέ τίς φησιν.] Ὁ Δαβὶδ λέγει περὶ τοῦ Ἰωνάθαν, ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν.

Τάττεται πρὸς τῶν ἱερῶν.] Ὅτι τὸ αὐτὸ δύναται ἀγάπη, καὶ ἔρως· καὶ τίς ἡ τοῦ ἔρωτος ἐνέργεια.

Συγκρατικῆς.] Τουτέστι συγκιρνώσης τὰ ἐρῶντα πρὸς ἄλληλα.

Διὰ τὸ καλόν.] Ὅπερ εἶπεν ἄνω, ὅτι ὁ θεῖος ἔρως προϋπάρχων ἐν τῷ ἀγαθῷ ἔτεκε τὸν ἐν ἡμῖν ἔρωτα, δι' οὗ τοῦ ἀγαθοῦ ἐφιέμεθα.

Ἐκστατικός.] Περὶ ἐκστάσεως ἐρωτικῆς, καὶ ὁ Δαβὶδ, Ἐγὼ εἶπον ἐν τῇ ἐκστάσει μου.

Ἐξεστηκώς.] Σημείωσαι, πῶς νοεῖται τὸ Ἐξεστηκὼς Θεῷ.

Τολμητέον.] Ὅτι καὶ ὁ Θεὸς πάντων ἐρᾷ.

Διὸ καὶ ζηλωτήν.] Κατά τι λέγεται ζηλωτὴς ὁ Θεὸς, ὡς ἐραστὴς τῆς πάντων σωτηρίας.

Τί δὲ ὅλως.] Τῆς μὲν ἀγάπης, καὶ τοῦ ἔρωτος αὐτὸν, δηλαδὴ τὸν Θεὸν, προβολέα φησὶ καὶ γεννήτορα· αὐτὸς γὰρ ταῦτα ἐν ἑαυτῷ ὄντα προήγαγεν εἰς τὰ ἐκτὸς, τουτέστι τὰ περὶ τὰ κτίσματα· καὶ κατὰ τοῦτο εἴρηται, Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ἐν τῷ Ἄισματι ὁμοίως ἀγάπη εἴρηται· καὶ πάλιν γλυκασμὸς καὶ ἐπιθυμία, ὅ ἐστιν ἔρως· τὸ δὲ ἀγαπητὸν καὶ ὄντως ἐραστὸν, αὐτός ἐστι. Τῷ μὲν οὖν τὸν ἀγαπητικὸν ἔρωτα ἐξ αὐτοῦ προχεῖσθαι, αὐτὸς κινεῖσθαι λέγεται ὁ τούτου γεννήτωρ· τῷ δὲ αὐτὸν εἶναι τὸ ἀληθῶς ἐραστὸν καὶ ἀγαπητὸν, κινεῖ τὰ πρὸς τοῦτο ὁρῶντα, καὶ οἷς ἡ τοῦ ἐφίεσθαι δύναμις ἀναλόγως αὐτοῖς.

Ἐραστὸν

SCHOLIA S. MAXIMI.

Ἐραστὸν καὶ ἀγαπητόν.] Προσαγωγικὸν καὶ κινητικὸν πρὸς ἐρωτικὴν συνάψαι τὴν ἐν πνεύματι, τὸν Θεὸν εἶναι, μοι νοεῖς, τουτέστι μεσίτην ταύτης καὶ πρὸς ἑαυτὸν συναρμοστὴν τοῦ ἐρᾶσθαι αὐτὸν ὑπὸ τῶν αὐτοῦ ποιημάτων καὶ ἀγαπᾶσθαι. Κινητικὸν δέ φησιν, ὡς κινοῦντα ἕκαστα κατὰ τὸν οἰκεῖον λόγον πρὸς αὐτὸν ἐπιστρέφεσθαι. Τὸ δὲ τῆς προαγωγίας ὄνομα, εἰ καὶ παρὰ τοῖς τῶν ἔξωθεν πρᾶγμα σημαίνει, οὐκ εὐαγές, ἀλλ' ἐνταῦθα τὴν πρόξενον τῆς ἐν Θεῷ ἑνώσεως μεσιτείαν φησί.

Καὶ τῷ μὲν κινεῖται.] Σημείωσαι κίνησιν θείαν, ἐν ᾗ κινεῖται καὶ αὐτοῦ ἐστι προαγωγὸς καὶ κινητικὸς ὁ Θεός.

Καὶ τῆς ἐξῃρημένης.] Ἡ πρὸς Θεὸν ἀγαπητικὴ ἕνωσις, πάσης ἐξῄρηται καὶ ὑπέρκειται ἑνώσεως, ἐξῃρημένην οὖν τὴν ἀνωτέραν φησίν. Ἄναρχον δέ, καὶ ἀτελεύτητον, τὸν θεῖον ἔρωτα λέγει ὡς ἐκ τοῦ ἀγαθοῦ προϊόντα, καὶ πρὸς τὸ ἀγαθὸν ἐπαναστρέφοντα, κατὰ σχῆμα κυκλικόν· ἐπεὶ καὶ ἡ τοῦ κύκλου γραμμή, οὐ γνώριμον ἔχει ὅθεν ἤρξατο, καὶ οὗ κατέληξε. Καὶ γὰρ ἐξ αὐτοῦ ἡ τοῦ ἀγαθοῦ ἔφεσις, καὶ εἰς αὐτὸν πάλιν ὁρᾷ. Ἐν ἑαυτῷ δὲ καὶ ἔστι καὶ μένει τὸ ἐρᾶν τῆς συμφυοῦς ἀγαθότητος, καὶ τῶν πρὸς τὸ ἀγαθὸν ἀνατεινομένων.

Ἐρωτικὴν κίνησιν.] Ὅτι ἡ ἐρωτικὴ κίνησις, τοῦ ἀγαθοῦ προϋπάρχουσα, ἐν τῷ ἀγαθῷ ἁπλῆ καὶ αὐτοκίνητος οὖσα, καὶ ἐκ τοῦ ἀγαθοῦ προϊοῦσα, αὖθις ἐπὶ τὸ αὐτὸ ἐπιστρέφει, ἀτελεύτητος καὶ ἄναρχος οὖσα, ὅπερ δηλοῖ τὴν ἡμῶν ἔφεσιν πρὸς τὸ Θεῖον. Σημείωσαι δέ, ὅτι ἀΐδιον κύκλον προϊὼν φησιν εἶναι ἐν τῷ ἀγαθῷ, προϊόντος μὲν αὐτοῦ ἐπὶ τὰ νοητὰ καὶ αἰσθητά, πάλιν δὲ πρὸς ἑαυτὸν ὑποστρέφοντος, καὶ μήτε ἱσταμένου μήτε λήγοντος.

Τὸν ἔρωτα.] Ἐπίστησον, ὅπως ὁ μέγας Ἱερόθεος, τὰ περὶ τοῦ ἐπαινετοῦ ἔρωτος ἄριστα φιλοσοφεῖ, πρῶτον μὲν θεῖον αὐτὸν λέγων, ἐπειδὴ καὶ πρῶτον αἴτιον τοῦ οὐρανίου ἔρωτος ὁ Θεός ἐστιν ἐξῃρημένως καὶ ἀναιτίως. Εἰ γὰρ ὁ ἔρως αὐτός ἐστιν ἡ ἀγάπη, ὡς προείρηται, γέγραπται δέ, Ὅτι Θεὸς ἀγάπη ἐστί· δῆλον ὅτι πάντων ἑνοποιὸς ἔρως, ἤτοι ἀγάπη ὁ Θεός ἐστιν. Ἐκεῖθεν οὖν μεταβατικῶς πρόεισιν ἐπ' Ἀγγέλους, ὅθεν καὶ Ἀγγελικὸν αὐτόν φησιν, ἔνθα μάλιστα καὶ τὸν τῆς ἑνότητος εὕροι τις ἂν ἔρωτα θεῖον· οὐδὲν

AMABILEM ET DILECTVM.] Considera, Deum habere vim adducendi ac mouendi ad amatoriam in ſpiritu coniunctionem, id eſt, ipſummet mediatorem ac conciliatorem eſſe amoris, quo à ſuis creaturis adamatur. Dicit autem habere vim mouendi, vt qui ſingula moueat ſecundùm propriam rationem, vt ad ipſum conuertantur. Porrò nomen illud productionis [ſeu proſtitutionis] etſi apud profanos rem impuram ſignificet, attamen hîc dicit interceſſionem iſtam, quæ cum Deo conciliat vnionem.

ET ILLO QVIDEM MOVETVR.] Obſerua hîc diuinam motionem, quâ mouetur, & ſui eſt promotor ac motor Deus.

ET EXIMIÆ.] Vnio charitatis cum Deo excedit ac ſuperat omnem vnionem: eximiam itaque vocat ſublimiorem. Porrò dicit, hunc amorem diuinum principio fineq; carere, vtpote ex bono prodeuntem, & ad bonum ſe conuertentem ſecundùm figuram circularem; quemadmodum neque linea circuli cognoſci poteſt vnde inceperit, vel vbi deſierit. Etenim ex ipſo boni deſiderium, & ad ipſum iterùm tendit. In ipſo verò eſt & manet amor connaturalis bonitatis, & eorum quæ ad bonum tendunt. *Amor eximius & circularis.*

AMATORIAM MOTIONEM.] Quoniam amatoria motio boni præexiſtens in bono, cùm ſimplex ac per ſe mobilis exiſtat, & ex bono promanet, rurſum ad illud reuertitur principio fineque carens, quod noſtrum erga Deum deſiderium declarat. Nota verò, ipſum deinceps dicere, perpetuum eſſe circulum in bono, dum nempe ad intellectilia ſenſiliaque procedit, atque iterùm ad ſe reuertitur, & neque ſtat neque ceſſat.

AMOREM.] Obſerua, quàm præclarè magnus Hierotheus de laudabili amore diſſerat, primùm quidem diuinum ipſum aſſerens; quoniam Deus ipſe primus auctor eſt amoris, idque per excellentiam, & ſine causâ. Si enim amor ipſe charitas eſt, vti prædictum, ſcriptum ſit autem, *Quoniam Deus charitas eſt*; manifeſtum eſt, Deum eſſe omnium amorem ſeu charitatem vnificantem, ſiquidem Deus charitas exiſtit. Iſthinc igitur per tranſgreſſionem progreditur ad Angelos, vnde ipſum quoque Angelicum dicit, vbi maximè quis reperiat diuinum illum amo- §.15. 1.Ioan.4,8

SCHOLIA S. MAXIMI.

Amor omnia colligit.

amorem vnitatis: nihil enim apud ipsos dissonum aut seditiosum. Deinde post Angelos, intelligentem quoque amorem commemorat, id est, qui insit viris diuinis Ecclesiæ, ad quos Paulus ait, vt idem dicant, &c.
Ioan. 17, 22. & Dominus: *Vt sint vnum, sicut & nos vnum sumus.* Et hæc quidem de veris Christianis; posteà verò etiam de aliis hominibus, in quibus lex amicitiæ locum habet. Animas autem rationales anteà vocauit, ipsas sic ex diuinâ mente appellans. Animalem verò amorem nuncupauit brutorum illam sensilem, vtpote amentem amicitiam: nam ex hac amatoriâ virtute & volucres gregatim volant, vt cygni, & anseres, & grues, & corui, & quæ sunt similia; ac terrestria quidem, cuiusmodi sunt cerui, boues, & similia; & natatilia, vt thynni, & mugiles, & quæ sunt eiusmodi: quæ verò non sunt gregalia, hinc etiam ad parium societatem incitantur. Porrò amorem naturalem vocat illum rerum animatarum sensúque carentium, quo habituali quadam aptitudine seu qualitate creatorem suum amant, proptereà quòd ab ipso producta sint: nam secundùm vitalem ac naturalem suum motum etiam ipsamet ad Deum conuertuntur.

§. 16. QVONIAM EX VNO.] Diximus etiam superiùs, intelligentia esse illa quæ intelligunt; intellectilia verò ista quæ intelliguntur, & intelligentia ab intellectilibus absq; controuersiâ superari: vnde etiam illa quæ intelliguntur, cibus sunt intelligentium. Itaque intelligentia amant intellectilia, tamquam ad ipsa conuersa, & quasi transscendentia; intellectilia verò etiam amant intelligentia, sed prouisiuè illis vtilia communicando: in confesso igitur est, amores istiusmodi superare sensitiuos. Ceterùm hæc intelligibilia & intelligentia dici puto, quòd ex participatione veri boni talia facta sint: ipsi autem amores per se intellectiles diuini sunt, id est ipsius Dei. Sicut enim aliud est bonum quod alicui bonum est, & aliud est bonum simpliciter; sic etiam aliud est intelligibile alicui, vt quod ab illo intelligitur, & aliud, quod simpliciter est intelligibile, non vt tempus aut locus (hæc enim etiam intelligibilia sunt, cùm non sint sensibilia) sed quòd sit intellectus intelligibilium, & operatio, & viuens, & vita. Quæ enim deinceps intelligibilia sunt, id vel ex inqui-

γὰρ ἀσύμφωνον ἢ στασιάζον παρ' αὐτοῖς. Εἶτα μετ' Ἀγγέλους, καὶ νοερόν φησιν ἔρωτα, τουτέστι παρὰ θεοσόφοις ἀνδράσιν, οἵ εἰσι τῆς Ἐκκλησίας, πρὸς οὓς ὁ Παῦλός φησιν, ἵνα τὸ αὐτὸ λέγηται, καὶ τὰ ἑξῆς. Καὶ ὁ Κύριος· Ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. Καὶ ταῦτα μὲν περὶ τῶν ἐξ ἀληθείας Χριστιανῶν· λοιπὸν δὲ καὶ περὶ πάντων ἀνθρώπων, ἐν οἷς ὁ περὶ φιλίας νόμος. Τὰς δὲ λογικὰς ψυχὰς, νοερὰς προσεῖπεν ἐκ τοῦ θείου νοῦ προσφωνῶν αὐτάς. Ψυχικὸν δὲ ἐκάλεσεν ἔρωτα, τῶν ἀλόγων τὴν αἰσθητικὴν φιλίαν, ἄνουν μέν τοι δηλονότι· ἐκ γὰρ τῆς ἐρωτικῆς ταύτης δυνάμεως καὶ πτηνὰ ἀγεληδὸν ἵπτανται, ὡς κύκνοι, καὶ χῆνες, καὶ γέρανοι, καὶ κόρακες, καὶ ὅσα τοιαῦτα· καὶ πεζὰ μέν τινα εἰσι τοιαῦτα, ἔλαφοι, βόες, καὶ τὰ παραπλήσια· καὶ νηκτὰ δὲ εἰσιν, ὡς θύννοι, καὶ κέφαλοι, καὶ ὅσα ὁμοιότροπα. Καὶ τὰ μὴ ἀγελαῖα δὲ, πρὸς τὴν τῶν ὁμοστοίχων σύνοδον, ἔνθεν κινοῦνται. Φυσικὸν δὲ ἔρωτά φησι, τὸν τῶν ἀψύχων καὶ ἀναισθήτων, κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα, ἤτοι τῆς ποιότητος ἐρώντων τοῦ δημιουργοῦ, διὰ τὸ ὑπ' αὐτοῦ συνεστάναι· κατ' οὖν τὴν ζωτικὴν, ἤτοι τὴν φυσικὴν κίνησιν, καὶ αὐτὰ ἐπέστραπται πρὸς τὸν Θεόν.

Ἐπειδὴ τοὺς ἐκ τοῦ ἑνός.] Καὶ ἄνω εἰπόμεν, νοερὰ μὲν εἶναι, τὰ νοοῦντα· νοητὰ δὲ, τὰ νοούμενα, καὶ ἀζητήτως τὰ νοερὰ ὑπερβαίνεσθαι ὑπὸ τῶν νοητῶν· ὅθεν καὶ τροφὴν εἶναι τῶν νοούντων τὰ νοούμενα. Τῶν οὖν νοητῶν τὰ νοερὰ ἐρᾷ, ὡς ἐπεστραμμένα πρὸς αὐτὰ, καὶ ὥσπερ ἀναβεβηκότα· ἐρᾷ δὲ καὶ τὰ νοητὰ τῶν νοερῶν προνοητικῶς, τῷ μεταδιδόναι τῆς ἴσης ὠφελείας· ὡμολόγηται οὖν, ὅτι οἱ τῶν τοιούτων ἔρωτες ὑπερεστᾶσι τῶν αἰσθητῶν. Ἀλλὰ ταῦτα, οἶμαι, νοητὰ καὶ νοερὰ εἴρηται, ἐκ μετοχῆς τοῦ ὄντος ἀγαθοῦ, τοιαῦτα γινόμενα· οἱ δὲ αὐτονόητοι ἔρωτες, οἱ θεῖοί εἰσιν, ἀντὶ τοῦ οἱ τοῦ Θεοῦ. Ὥσπερ γὰρ ἐστὶν ἀγαθὸν ᾧ τινί ἐστιν ἀγαθὸν, καὶ ἄλλο τὸ ἁπλῶς ἀγαθὸν καὶ αὐτὸ τὸ ἀγαθόν· οὕτως ἐστὶ καὶ νοητὸν, τό τινι νοητὸν, ἅτε νοούμενον ὑπ' αὐτοῦ, καὶ ἁπλῶς νοητὸν, οὐχ ὡς ὁ χρόνος ἢ ὁ τόπος, (νοητὰ γὰρ καὶ ταῦτα, ἐπεὶ μὴ αἰσθητὰ,) ἀλλὰ νοῦς νοητῶν, ἐνέργεια ὢν, καὶ ζῶν, καὶ ζωή. Τὰ γὰρ μετὰ τοῦτο νοητὰ, ἐκ ζητήσεως καὶ τῆς

περὶ

περὶ τὰ προβλήματα ἀκολουθίας εὑρίσκουσιν, ἢ ἐξ ἀποκαλύψεως ἔχουσιν.

Ἄσχετος αἰτία.] Ἄσχετόν φησι, τὸ ἀπόλυτον, οὗ πρὸς τὸ πᾶν οὐδεμία σχέσις ἤτοι οἰκειότης φυσική.

Ἁπάντων ὁλικὸς ἔρως.] Εἰπὼν ὁλικὸν ἔρωτα, δηλοῖ καὶ μερικοὺς, λέγων τὸν Θεὸν εἶναι τὸν ὁλικὸν, καὶ τὸν μερικὸν, ὡς αἴτιον, καὶ πᾶσι χορηγοῦντα κατὰ τὴν ἑκάστου δύναμιν, ἐρωτικὴν οἱονεὶ ἀπόρροιαν. Πῶς οὖν ὁ Θεὸς τὸ ὅλον καὶ τὸ μέρος, ἀνεκφοιτήτως ἑαυτῷ συνὼν εἶναι δύναται, ἐκ τοῦ σπερματικοῦ λόγου σαφὲς ἔσται. Ὅταν μὲν γὰρ τὸ σπέρμα ἀδιακόπως ὁμοῦ εἰς τὴν μήτραν καταβληθῇ, ἓν ἀποτελεῖται τὸ ἔμβρυον· ἐὰν δὲ μερισθῇ τὸ σπέρμα εἰς διαφόρους κύστιδας τῆς μήτρας, ἕκαστον μέρος ὁλόκληρον ἔμβρυον ἀποτελεῖ. Ἔσται δὲ τοῦ σπέρματος, τὸ μὲν ῥὶς, τὸ δὲ ὀφθαλμοὶ, καὶ τὰ ἑξῆς, καὶ πάντα τέλεια. Ὅμοιον οὖν τι καὶ περὶ τὸν παντέλειον νοῦν κατὰ ἀναλογίαν θεωρητέον· ὅλη γὰρ ἡ ἐνέργεια περιέχει καὶ τὰ μέρη. Τῶν δὲ μερῶν ἕκαστον ἀπήρτισται· καὶ τὸ μὲν αὐτοδικαιοσύνη, τὸ δὲ αὐτοανδρία, καὶ τὰ ἑξῆς. Οὕτως καὶ οὔτε συγκέχυται εἰς ἀλλήλας, ἀλλὰ καὶ ἑκάστη διακέκριται, καὶ οὔτε μετὰ ἀταξίας τὸ ἀδιαίρετον ἔχουσιν ἐν τῷ μεταλαμβάνειν αὐτῶν ἕκαστον, ὡς δύναται· τῶν γὰρ εἰδῶν μεταλαμβάνει ἕκαστος πρὸς τὴν οἰκείαν ἐπιτηδειότητα· οὕτω καὶ ὁ Θεὸς, καὶ ὅλον, καὶ μέρη τοῦ ἔρωτος.

Ἐφίεται γὰρ αὐτοῦ.] Ἐπειδὴ εἶπε, καὶ τὸ μὴ ὂν ἐφίεσθαί πως τοῦ ἀγαθοῦ, καὶ ἐν αὐτῷ βούλεσθαι εἶναι, ὅπερ καὶ ἄνω πρὸ ὀλίγων φύλλων εὑρήσεις αὐτὸν λέγοντα, εἰ καὶ ἐξ Ἑλληνικῶν σαφηνίζεται δογμάτων. Πρὸς γὰρ Ἕλληνας μάχεται μάλιστα, καὶ Μανιχαίους, τοὺς τοῦ κακοῦ δόγματος προεστῶτας, δεῖ πλατύτερον παραστῆσαι, τί ὀνομάζεται μὴ ὂν, καὶ διὰ τί μίαν ἀρχὴν τῶν ὄντων, εὐσεβὲς καὶ ἐπαναγκες εἶναι· τοῦτο γὰρ ὑγιές ἐστι φρονεῖν. Ἔστι γὰρ αὕτη ὁ Θεός· εἰ γὰρ εἶεν ἀρχαὶ διάφοροι, πάντως ἀπειροπλήθεις φανήσονται. Εἰ οὖν ἀρχὴ μία ὁ Θεὸς, οὕτω καὶ τὸ ὄντως ὂν, καὶ αὐτὸ τὸ ἀγαθόν. Εὑρήσει δὲ ὁ λόγος καὶ τὰ ἐναντία τῶν εἰρημένων ἀναγκαίως· ἔνθα γὰρ ἀρχὴ, ἔσται πάντως καὶ ἔσχατον· καὶ εἰ ἔστιν ὂν, ἔσται καὶ μὴ ὄν·

sitione & sequelâ propositionum inueniunt, vel ex reuelatione habent.

INCOMPREHENSA ILLA CAVSA.] Incomprehensam intelligit absolutam, cuius cum vniuerso nulla sit connexio seu proprietas naturalis.

OMNIVM TOTALIS AMOR.] Cùm dixit totalem amorem, declarat quoque particulares, dicendo Deum esse totalé, & particularem, vt causam, & omnibus pro cuiusque captu præbentem amatorium velùti humorem. Quomodo igitur Deus totum & pars sine egressu sibi præsens esse possit, ex seminandi ratione patet. Quando enim semen absque interruptione simul in matricem deciderit, quidam embryo formatur; si verò semen in varias matricis cellulas diuidatur, quælibet pars integrum format embryonem. Erit autem seminis pars vna nasus, altera oculus, & sic deinceps, omniaque perfecta. Simile quidpiam considerandum etiam per proportionem de mente illâ perfectissimâ: nam tota efficacia complectitur etiam partes. Quælibet autem pars perfecta est, atque alia quidem est ipsa iustitia, alia verò ipsa fortitudo, &c. sic etiam neque inter se confunduntur, sed quælibet distincta est; neque cum inordinatione habent indistinctionem, cùm singulæ ipsarum participent quantum possunt: singulæ namque species participant iuxta propriam capacitatem; sic etiam Deus cùm totalis tum partialis amor est. §.17. *Quomodo Deus totalis & partialis amor sit.*

DESIDERAT ENIM ILLVD.] Quoniam dixerat, illud etiam quod non est, aliquo modo bonum appetere, & in ipso esse velle, quod suprà quoque paucas ante paginas ipsum dixisse reperies, quamuis etiam ex Gentilium doctrinis declaretur. Quare cùm aduersus Gentiles & Manichæos, peruersi dogmatis patronos, potissimùm id militet, fusiùs explicandum est, quid dicatur non ens, & cur pium ac necessarium sit, vnicum rerum principium adstruere. sanum enim est ita sentire. Nam id ipsum est Deus: quoniam si diuersa sint principia, vtique erunt multitudine infinita. Si igitur principium vnicum Deus, ita, quod verè est, etiam ipsum bonum est. Ratio autem quædam inueniet quæ necessariò dictis contraria sint: vbi enim principium, erit quoque necessariò extremum; & si sit non ens, erit quoq; non §. 18. *Quomodo etiam id quod non est bonum appetat.*

ens; & si sit bonum, erit quoque malum. Sed quoniam entia sunt essentiæ & formæ, non ens informe esset, & essentiâ careret, cùm solâ ratione concipiatur. Veteres itaque illud non ens, non solùm informem materiam, verùm etiam extremam turpitudinem appellabant. Materia autem dicitur non ens, non quòd omnino nihil sit, sed quòd non existat: verum enim ens & bonum Deus est, à quo etiam materia ex non entibus producta fuit, sed non, vt aliqui opinati sunt, sine formâ & figurâ; ideoq; materia non est principium sensilium, sed potiùs eorum complemẽtum & extremum quid ac fundamentum entium: quare neq; Dei imago est, vt rationalia, neque veri entis simulacrum. Et quod sensibile est, cùm sit intelligibilis mundi simulacrum verè sensu perceptum, non sine materiâ est; sed, cùm quid præstantius sit materiâ, formam quoquo modo participat. Numquam igitur ostẽdetur materia sine formâ & qualitatibus. Quando enim fuit ignis sine calore aut lumine, ac splendido colore, vel aqua sine frigore & humiditate, & cæruleo colore, & similiter terra & aër? Idcircò etiam dixi, materiam ab intellectu concipi vt formâ, qualitate, ac figurâ destitutam. Quando enim visibilia & inuisibilia de non entibus fiebãt, nequaquam à Deo producebantur ex informi quapiam materiâ præexistente, quæ deinceps exornata sit, vti diuinus ille Moyses docet. Itaque materia in Deo est, cùm ab ipso producta sit; in ipso autem vt bono, quod cuncta complectitur, supra substantiam intelligitur. Hæc sparsim in iis quæ dicenda sunt inuenies.

Quomodo materia sit non ens.

QVOMODO TVRBA DÆMONVM.] Deinde discutit quæstiones dicendo, si omnia ex bono, vnde mala, & vnde Angeli facti dæmones? Hæc omnia contra Manichæos.

BONI FORMA CARET.] Pulchrè & accuratè posuit in Angelis formam boni. Cùm enim Deus essentialiter ipsum bonum existat; illa verò, quæ post ipsum sunt, tamquam ex participatione & extrinsecus eius desiderio bona facta sunt, meritò boniformia dicuntur, & non reapse bona.

Vnde existat malum.

ET QVOMODO BONVS.] Obserua, quomodo has propositiones per modum quæstionis introducat, cùm contineant obiectio-

καὶ εἰ ἔστιν ἀγαθὸν, ἔσται καὶ κακόν. Ἀλλ' ἐπειδὴ τὰ ὄντα οὐσίαι εἰσὶ, καὶ εἴδη, τὸ μὴ ὂν ἀνείδεον ἂν εἴη καὶ ἀνούσιον, λόγῳ μόνῳ θεωρητόν. Τὸ μὴ ὂν οὖν τοῦτο καὶ ἀνείδεον, ὕλην ἐκάλεσαν οἱ παλαιοὶ, ἣν καὶ ἔσχατον αἶσχος ὀνομάζουσι. Λέγεται δὲ μὴ ὂν ἡ ὕλη, οὐχ ὅτι παντελῶς οὐδέν ἐστιν, ἀλλ' ὅτι μή ἐστι· τὸ γὰρ ὄντως ὂν ὁ Θεὸς, καὶ αὐτὸ τὸ ἀγαθόν· παρήχθη γὰρ ἐκ μὴ ὄντων ὑπὸ τοῦ Θεοῦ καὶ ἡ ὕλη, ἀλλ' οὐχ ὥς τινες ὑπέλαβον, ἀνείδεος καὶ ἀσχημάτιστος· ὅθεν οὐδὲ ἀρχὴ τῶν αἰσθητῶν ἡ ὕλη, ἀλλὰ μᾶλλον συμπληρωτικὴ τούτων, καὶ ἔσχατόν τι καὶ ὑποστάθμη τῶν ὄντων· διὸ οὔτε εἰκὼν Θεοῦ, ὡς τὰ λογικά, οὔτε εἴδωλον τοῦ ὄντως ὄντος. Καὶ τὸ αἰσθητὸν δὲ εἴδωλον τοῦ ὄντως νοητοῦ κόσμου, ὅπερ αἰσθητὸν, οὐκ ἄνευ μὲν ὕλης ἐστὶ, κρεῖττον δὲ τῆς ὕλης, εἴδους ὁπωσοῦν μετέχον. Οὐδέποτε οὖν δειχθήσεται ἡ ὕλη δίχα τῶν εἰδῶν καὶ τῶν ποιοτήτων, αἵ τινές εἰσιν ἕξεις. Πότε γὰρ γέγονε τὸ πῦρ ἄνευ θερμότητος, ἢ φωτὸς, ἢ τοῦ λευκοῦ τῆς χροιᾶς, ἢ τὸ ὕδωρ ἄνευ ψυχρότητος, ἢ ὑγρότητος, ἢ τοῦ κυανίζοντος χρώματος; ἡ γῆ καὶ ὁ ἀὴρ ὁμοίως. Διὰ τοῦτο καὶ λόγῳ θεωρητὴν εἶπον τὴν ὕλην ἀνείδεον, καὶ ἄποιον, καὶ ἀσχημάτιστον. Ἐξ οὐ γὰρ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα γέγονεν, ἐκ μὴ ὄντων, δηλονότι ὑπὸ Θεοῦ παρήχθη, οὐ προτέρας ὕλης ἀμόρφου ὑποκειμένης, εἶτα κοσμηθείσης, ὡς διδάσκει Μωϋσῆς ὁ θεῖος. Ἐν μὲν οὖν τῷ Θεῷ ἐστιν, ἅτε καὶ ὑπ' αὐτοῦ παραχθεῖσα ἡ ὕλη· ὑπερούσιος δὲ τὰ πάντα ἐκείνου ὡς ἀγαθοῦ συνέχοντος νοεῖται ἐν αὐτῷ. Ταῦτα εὑρήσεις ἐν τοῖς λεχθησομένοις σποράδην ἐγκείμενα.

Πῶς ἡ δαιμονία πληθύς.] Λοιπὸν προβλήματα διαγυμνάζει λέγων, Ὅτι εἰ πάντα ἐκ τοῦ ἀγαθοῦ, πόθεν τὰ κακὰ, καὶ πόθεν Ἄγγελοι ἐγένοντο δαίμονες; Ταῦτα πάντα κατὰ Μανιχαίων.

Οὐκ ἔστιν ἀγαθοειδές.] Καλῶς καὶ ἀκριβῶς ἐπὶ τῶν Ἀγγέλων τέθεικε τὸ Ἀγαθοειδές. Ὁ μὲν γὰρ Θεὸς οὐσιωδῶς αὐτὸ τὸ ἀγαθὸν ὢν, τὰ δὲ μετ' αὐτὸν, ὡς ἐκ μετοχῆς καὶ ἔξωθεν ἀγαθυνόμενα τῇ περὶ αὐτὸν ἐφέσει, εἰκότως ἀγαθοειδῆ λέγονται, οὐκ αὐτόχρημα ἀγαθά.

Καὶ πῶς ὁ ἀγαθός.] Ὅρα ὅπως προβλήματα ὡς ἐν ζητήσει παράγει, ἔχοντα μὲν

καὶ

SCHOLIA S. MAXIMI.

καὶ αὐτὰς τὰς τῶν ἐχθρῶν ἀντιθέσεις, οἷον Μανιχαίων· δηλώσας δὲ ὅμως τὸν σκοπὸν τοῦ θείου τούτου ἀνδρὸς τὸν ὀρθόν. Λέγει γάρ, ἐκ τίνος ἀρχῆς παρήχθη τὸ κακόν, καὶ εἰ ἐξ ἄλλης αἰτίας, καὶ ὅσα τοιαῦτα τῶν ἀντιδίκων εἰσίν· εἶτα λοιπόν, πῶς ὁ ἀγαθὸς αὐτὸ παραγαγεῖν ἠβουλήθη, πῶς δὲ καὶ προνοίᾳ ἐστὶ τὸ κακόν· ἐκ τούτων δεικνύς, ὅτι εἰ καὶ ὅλως παραγωγὴν ἔχει τὸ κακόν, ἐκ τοῦ ἀγαθοῦ ταύτην ἔχει, καὶ ὅτι μόνη ἡ πρόνοια διοικεῖ τὸ ὅλον, ὡς ἐκ τούτου μίαν ἀγαθὴν ἀρχὴν εἶναι τοῖς οὖσι. Ταῦτα δὲ ἐν τοῖς προβλήμασιν ἐξήτασεν ὁ θεῖος οὗτος ἀνήρ· παρακατιὼν γὰρ ἀναλύει σαφῶς τὰ προβλήματα, δεικνὺς ὡς οὔτε ἐνυπόστατον τὸ κακόν, οὔτε ἐν φύσει, ἀλλὰ κατὰ στέρησιν τοῦ ἀγαθοῦ γινόμενον, οὔτε ὄν, οὔτε ὡς μὴ ὂν λογιζόμενον· καὶ τοῦτο αἰνίττεσθαι τὸ ἐν Ψαλμῷ τριακοστῷ ἕκτῳ εἰρημένον, Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθεν, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, τουτέστι τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὑρέθη. Τοῦτο γὰρ δηλοῖ, ὅτι τὸ κακόν, ἢ καὶ σφόδρα ἐπαίρεται, ἀλλ' οὖν οὐκ ἔστιν, οὔτε καταλείψει τόπον ἑαυτοῦ, τουτέστιν ἴχνος· ἅμα γὰρ τῷ φανῆναι διαλέλυται, μὴ ἔχων ὑπόστασιν. Μὴ οὖν ὑπολάβοις αὐτὸν ἐναντίον λέγειν τι.

Τὸ κακὸν οὐκ ἔστιν ἐκ τἀγαθοῦ.] Σημείωσαι, πῶς θαυμασίως πλέκει τὴν λύσιν ἐκ διαφόρων ἐπιχειρημάτων.

Ὁ τῶν ὄντων σκοπός.] Καὶ γὰρ ὁ ὀργιζόμενος, ἤτοι θυμούμενος (ὡς ἐν ὑποδείγματι δὲ ὁ λόγος, ὡς δοκεῖ) κακόν τι ποιοῦντος τοῦ πρὸς ὃν θυμοῦται, πρὸς τὸ ἐναντίον τοῦτον μεταγαγεῖν βουλόμενος, τουτέστι τὸ ἀγαθόν, τῇ τοιαύτῃ κινήσει χρῆται.

Καὶ εἰ τὰ ὄντα πάντα.] Ἔφημεν ἀνωτέρω, εἰ ὁ Θεὸς ὑπερουσίως ὢν λέγεται ὡς ἄναρχος καὶ πάντων αἴτιος, τὸ ἀντίθετον, ὡς ἔσχατον τῶν ὄντων, καὶ ἀνούσιον, ὡς ὑπερουσίου τοῦ Θεοῦ, τουτέστιν ἡ ὕλη, καὶ μὴ ὂν λέγεται, καὶ ἐν Θεῷ λέγεται, δι' ἀγαθότητα αὐτοῦ γινομένη, εἰ καὶ διὰ τοῦ μεμίχθαι τοῖς αἰσθητοῖς οὐ πάντη κακόν, οὔτε πάντη ἀγαθόν, ὡς δηλοῖ διὰ τὸ ἄστατον· ἔχει μὲν γὰρ τὸ κακὸν ἐν τῷ ἀστάτῳ, μερίδα δὲ τοῦ ἀγαθοῦ, ἐπειδὴ καὶ ὑπὸ Θεοῦ παρήχθη, καὶ ἐν Θεῷ ἐστι. Τὸ δὲ αὐτοκακὸν (οὐ λέγω ἡ κα-

nes aduerſariorum, velut Manichæorum, ſimul tamen indicans diuini huius viri ſcopum eſſe rectum. Ait enim, ex quo principio productum ſit malum, & vtrùm ex aliâ causâ, & quæcumque obiiciant aduerſarij; deinde, quomodo bonus ipſum malum producere voluerit, quomodo etiam extante prouidentiâ ſit malum: ex his demonſtrans, ſi malum omnino productum fuerit, ex bono fuiſſe, atque ſolam prouidentiam vniuerſa gubernare, ita vt hinc ſequatur, vnum bonum eſſe rerum principium. Hæc autem in propoſitionibus iſtis diuinus vir examinauit: quæ & progrediens liquidò reſoluit, demonſtrando malum neque exſiſtentiam habere, neque in rerum naturâ cenſeri, ſed, cùm boni priuatione fiat, neque exiſtere, neque tamquam non ens concipi: atque hoc inſinuare illud quod in Pſalmo trigeſimo ſexto dicitur: *Vidi impium ſuperexaltatum ſicut cedros Libani, & tranſiui, & ecce non erat, & quæſiui eum,* id eſt locum eius, *& non eſt inuentus.* hoc enim declarat, malum, etſi valdè extollatur, tamen non eſſe, neque locum ſuum, id eſt veſtigium, relicturum: ſimul enim vt apparuit diſſolutum eſt, cùm non habeat ſubſiſtentiam. Noli itaque putare, ipſum dicere aliquid contrarium. Pſal. 36. 35. & 36.

MALVM NON EST EX BONO.] Nota, quàm mirificè ex variis argumentis nectat ſolutionem. §. 19.

RERVM SCOPVS.] Etenim & ille qui iraſcitur, vel excandeſcit (videtur autem exempli loco adferri) ſi ille, cui iraſcitur, malum quodpiam admittat, dum eum in contrarium, hoc eſt ad bonum, reducere ſtudet, iſtiuſmodi motione vtitur.

ET SI RES OMNES.] Superiùs dicebamus, ſi Deus tamquam principio carens, & omnium cauſa ſupra ſubſtantiam eſſe dicitur, eius oppoſitum, v.g. extremum entium, & eſſentiæ carentia, id eſt materia, vt superſubſtantialis Dei, etiam non ens appellatur, & in Deo dicitur per bonitatem eius facta; etſi, propter mixtionem cum ſenſilibus, neq; quid omninò malũ nec omnino bonum ſit, vti inſtabilitas iſta declarat: malum enim habet in inſtabilitate, boni verò particulam, quòd & à Deo producta ſit, atque in Deo ſit. Quod autem per ſe malum eſt (non di- Vnde malum ſit fuſius inquiritur.

SCHOLIA S. MAXIMI.

co malitia, quæ quasi forma quædam ac qualitas naturæ rationali adest, & abest, sed ipsum simpliciter malum) neque in rebus quoquo modo bonum appetentibus existit, neque in non entibus, id est in materialibus, quatenus in eo, qui supra substantiam est, intelliguntur. Quin etiam non ente, id est materiâ, magis à bono distat malum, atque adeò etiam ex hac parte magis caret essentiâ quàm materia, eò quòd omnino non sit. Illud igitur, quod simpliciter per se malum est, nequaquam est, malum autem materiæ est per defectum bonitatis, in quantum & insensibilis & informis conspicitur: vnde etiam intelliges illud dictum Abdiæ Prophetæ, *Et erunt quasi non sint*, agit enim de peccatoribus.

Abd. 16.

VNDE IGITVR EST MALVM?] Proponens hîc obiectionem, fusè deducit oppugnationem tamquam probabili nixam argumento. Nisi enim concesserimus aliquid esse bono contrarium, scilicet malum, non apparebit bonum virtus, sed promiscuè omnia erunt indistincta, quoniam neque virtus laude neque contrarium vituperio afficietur: sicut si non sit lex, neque peccatum erit. Nunc autem obiiciens ait: Si non dederimus malum esse bono contrarium, bonum erit sibi ipsi contrarium in iis qui defectu boni peccant; imò ante operationem virtutis viri virtute præditi, aduertimus in animâ ipsius à virtute peccata distingui. Quando enim pars animæ rationalis propria operatur, à nullo bonum impeditur; quando verò irrationalis animæ portio, quæ cum materiâ corporeque miscetur, præualuerit, tum pars rationalis officio suo fungi prohibetur. Quare pars irrationalis ex materiæ mixtione inficitur, rationalis verò non quidem ex materiæ commixtione, sed ad eamdem propensione vitiatur, irrationali nempe parti cedendo, neque ipsam cohibendo; non secùs atque oculus, dum tenebræ existunt, prohibetur videre. Hoc itaque non demonstrat, an existat id quod per se malum est: non enim id quod alicui malum est, iam per se malum est. Sed est malitia etiam, quæ quædam species mali sit, & accidens: fit enim accessionibus, vt tale quid vel tale constituatur, v.g. inquitas quidem animæ est malitia. Et rursum, iniquitatis species sunt iuxta materiam quæ appetitur:

κία, ἤ τις ὡς εἶδος καὶ ποιότης συμβαίνῃ τῷ λογικῷ, καὶ ἀποσυμβαίνῃ, ἀλλ' αὐτὸ τὸ ἁπλῶς κακὸν) οὔτε ἐν τοῖς οὖσιν ἐστι τοῖς ὁπωσοῦν ἐφιεμένοις τοῦ ἀγαθοῦ, οὔτε ἐν τοῖς μὴ οὖσιν, ἀντὶ τοῦ ἐν τοῖς ὑλικοῖς, ὡς νοουμένοις ἐν τῷ ὑπερουσίῳ. Ἀλλὰ καὶ τοῦ μὴ ὄντος, ὅ ἐστι τῆς ὕλης, τὸ κακὸν πλέον ἀφεστήκει τοῦ ἀγαθοῦ, καὶ ἐστιν ἐντεῦθεν εἰκότως ἀνουσιώτερον τῆς ὕλης τὸ αὐτὸ κακὸν, ὡς πάντη οὐδὲν ὄν. Τὸ οὖν ἁπλῶς αὐτὸ κακὸν, οὐδαμῆ οὐδαμῶς· τὸ δὲ τῆς ὕλης, κατ' ἔλλειψιν τῆς ἀγαθότητος, καθὸ καὶ ἀναίσθητος καὶ ἀνείδεος ὁρᾶται· ὅθεν νοήσεις καὶ τὸ παρὰ Ἀβδιοὺ τῷ Προφήτῃ εἰρημένον, Καὶ ἔσονται ὡς μὴ ὄντες, περὶ τοὺς ἁμαρτωλοὺς δηλονότι.

Πόθεν οὖν ἐστι τὸ κακόν;] Ἐντεῦθεν ἀντίθεσιν προστιθεὶς, πλατέως γυμνάζει τὴν ὑπόκρισιν, ὡς ἐξ εὐλογοφανοῦς ἀντιθέσεως. Εἰ γὰρ μὴ δοίημεν εἶναί τι τῷ καλῷ ἐναντίον, τουτέστι τὸ κακὸν, οὐκ ὀφθήσεται ἀγαθὸν ἡ ἀρετὴ, ἀλλ' ἀναμὶξ ἀδιάκριτα ἔσται πάντα, οὔτε ἀρετῆς ἐπαινουμένης, οὔτε τοῦ ἐναντίου ψεκτοῦ ὄντος· ὥσπερ μὴ ὄντος νόμου, οὔτε ἁμαρτία ἔσται. Νῦν δέ φησιν ὁ ἀντιτιθείς, Εἰ μὴ δοίημεν κακὸν ἐναντίον τῷ ἀγαθῷ, ἔσται αὐτὸ τὸ ἀγαθὸν ἐναντίον ἑαυτῷ ἐν τοῖς κατ' ἔλλειψιν τοῦ ἀγαθοῦ ἁμαρτάνουσιν· ἀλλὰ καὶ πρὸ τῆς ἐνεργείας τῆς ἀρετῆς τοῦ ἐναρέτου ἀνθρώπου, ὁρῶμεν ἐν τῇ ψυχῇ αὐτοῦ διακεκριμένας τῆς ἀρετῆς τὰς κακίας. Ὅταν μὲν γὰρ τὸ λογικὸν μέρος τῆς ψυχῆς τὰ οἰκεῖα ἐνεργῇ, εἰς οὐδὲν τὸ ἀγαθὸν ἐμποδίζεται· ὅταν δὲ τὸ ἄλογον μέρος τῆς ψυχῆς, ὅπερ μέμικται ὕλῃ καὶ σώματι, ἐπικρατῇ, τότε ἐμποδίζεται τὸ λογικὸν οἰκείως ἐνεργεῖν. Κακύνεται οὖν τὸ ἄλογον ἐκ τῆς πρὸς τὴν ὕλην ἐπιμιξίας, τὸ δὲ λογικὸν οὔτι μεμίχθαι τῇ ὕλῃ, ἀλλὰ τῷ νεύειν εἰς ὕλην, τουτέστι τῷ ἐνδιδόναι τῷ ἀλόγῳ, καὶ μὴ κρατεῖν αὐτοῦ κακύνεται, ὡς ὄμμα σκότους ὄντος, κωλύεται ὁρᾶν. Οὐ δείκνυσιν οὖν τοῦτο, εἰ ὑφέστηκε τὸ αὐτοκακόν· οὐ γὰρ τὸ τινὶ κακὸν, τουτέστι τὸ αὐτοκακόν. Ἀλλὰ καὶ κακία ἐστὶν, εἶδος οὖσα καὶ συμβεβηκὸς ἐκ τοῦ κακοῦ· ταῖς γὰρ προσθήκαις καθίσταται, εἰς τὸ τόδε τι εἶναι, οἷον, ἀδικία μὲν ψυχῆς ἐστι πονηρία. Καὶ πάλιν, τῆς ἀδικίας εἴδη πρὸς τὴν τῆς ὀρέξεως ὕλην·

ὕλην· ἡ μὲν γὰρ περὶ χρήματα, ἡ δὲ περὶ τιμὰς συμβαίνει. Γίνεται δὲ καὶ κατὰ προσθήκας εἴδη κακῶν, καὶ ἀπὸ τῶν μερῶν τῆς ψυχῆς· δειλία μὲν γάρ, ἡ θρασύτης, ἀπὸ τοῦ θυμικοῦ· ἀκολασία δέ, ἡ ἠλιθιότης, ἀπὸ τοῦ ἐπιθυμητικοῦ. Γίνεται δὲ καὶ ἀπὸ τῶν ἐνεργειῶν εἴδη κακῶν· ἡ μὲν γὰρ δειλία, οἷον περὶ τὸ ὁρμᾶν ἐστιν ἔλλειψις· ἡ δὲ θρασύτης, περὶ τὸ ὁρμᾶν ὑπερβολή, ἡ δὲ ἀκολασία περὶ τὸ πάσχειν. Σαφὲς οὖν γέγονε, πῶς ἐν ψυχῇ καὶ πρὸ ἐνεργείας διακέκριται τὰ κακὰ ἐκ τῶν ἀρετῶν, διά τε ἀλόγου καὶ τοῦ λογικοῦ μερῶν ὄντων τῆς ψυχῆς. Ταῦτα δὲ τὰ τοῦ ἀλόγου ἕτερον νόμον δείκνυσιν ἡμῖν ἀντιστρατευόμενον τῷ νῷ, ὥς φησιν ὁ Ἀπόστολος, καὶ ἐν τῷ μὴ κρατεῖσθαι αἰχμαλωτεύοντα τὸ λογικόν, ὡς ἀπεδείξαμεν.

Πρὸς τὸν λόγον.] Ἀντὶ τοῦ, πρὸς τὸ λογικὸν τῆς ψυχῆς μέρος.

Καὶ εἰ φθορά ἐστι τῶν ὄντων.] Ἀντὶ τοῦ, Εἰ ἐν τοῖς οὖσι τὸ φθείρεσθαι ὁρᾶται, ἤγουν εἴ τινα τῶν ὄντων ὑπόκειται φθορᾷ· ἐκ τούτου δείκνυται τὸ εἶναι τὸ κακόν· τὸ γάρ, Οὐκ ἐκβάλλει, τοῦτο δηλοῖ.

Ἢ οὐχὶ πολλάκις.] Ἔτι τῆς ἀντιθέσεώς εἰσι καὶ ταῦτα, ὅτι μᾶλλον καὶ ἐν τοῖς οὖσίν ἐστι, καὶ ὂν τὸ κακόν. Κἂν γὰρ τὸ κακὸν φθορά ἐστι τῶν ὄντων, ἀλλ' οὐκ ἡ φθορὰ αὐτή· ἕτερον ἐστὶν ὅτε εἰς γένεσιν ἄγει, οἷον τὸ ᾠὸν φθείρεται μέν, μεταστοιχειοῦται δὲ εἰς πτηνόν· καὶ ὁ κύαμος δὲ καταμασσόμενος καὶ ἐν τῇ γῇ κρυπτόμενος, μετασχηματίζεται εἰς ἐμβρύου εἶδος· καὶ τὰ σώματα δὲ ἡμῶν εἰς σκώληκας· καὶ ἕτερα ζῶα, καὶ ἄλλα μυρία τοιαῦτα· ὡς ἵπποι μέν, σφηκῶν γενέσεις, ταῦροι δέ, μελισσῶν.

Καὶ ἔσται τὸ κακόν.] Λύσις τῶν προβληθεισῶν ἀντιθέσεων. Εἰ ἡ φθορὰ κακόν, φθείρει δὲ ἡ φθορὰ καὶ τὸ κακόν, πῶς ἔσται τὸ κακὸν αὐτὸ ἑαυτὸ φθεῖρον; Εἰ γὰρ ἐν τῇ ὕλῃ τὸ κακόν, εὔδηλον, ὡς τὸ εὐφθαρτότερον· ὕλη δέ ἐστι, καὶ τοῦτο ἑαυτὸ φθείρει· διὰ τοῦτο γὰρ ἡ ὕλη καὶ ἀνούσιος λέγεται κατ' ἀντιπαράθεσιν τῆς ὑπερουσίου τοῦ Θεοῦ· οὐσίας, ὡς αὐτὴ φθαρτὴ οὖσα, καὶ οὐκ ἀεὶ οὖσα· καὶ ἀνείδεος κατὰ ἀντιπαράθεσιν τοῦ εἴδους τοῦ Θεοῦ, ὡς ἐκάλεσε Μωϋσῆς τὸν δημιουργὸν Λόγον.

alia enim circa pecunias, altera verò circa honores accidit. Quin & malorum species secundùm accessiones fiunt, & ab animæ partibus existunt: metus quidem & audacia ab irascibili, intemperantia autem & stoliditas à concupiscibili. Imò etiam ab operationibus malorum species existunt: metus enim veluti defectus est animositatis in aggrediendo; audacia verò excessus animositatis in aggrediendo, intemperantia autem in patiendo. Perspicuum itaque est, quomodo in animâ, etiam ante operationes, tam in rationali quàm in irrationali animæ parte à virtutibus peccata distinguantur. Quæ autem ad irrationalem partem spectant, aliam legem nobis exhibent, quæ menti aduersatur, vti docet Apostolus; & nisi compescatur, captiuat rationem; quemadmodum demonstrauimus. Rom. 7, 23

A RATIONE.] Pro, à rationali animę portione.

ET SI CORRVPTIO SIT RERVM.] Pro, si in rebus corruptio cernatur, siue, si res aliquæ sint obnoxiæ corruptioni; ex hoc vtiq; ostenditur quòd sit malum, nam hoc significat illud, *Non exterminat.*

AN NON FREQVENTER.] Hæc adhuc ad obiectionem spectant, quomodo nimirum potiùs in rebus sit, & existat malum. Etsi enim malum sit quædam rerum corruptio, non tamen est ipsa corruptio; nam aliud quid est, quando confert ad generationem: sic ouum quidem corrumpitur, sed in auem transformatur; & faba, quæ subigitur, & in terrâ occulitur, dum in speciem embryonis efformatur; & corpora nostra in vermes, vti & alia animalia, & infinita similia: sic ex equis vespæ, de tauris apes generantur.

ET ERIT MALVM.] Solutio propositarum obiectionum. Si corruptio sit malum, corruptio autem & malum corrumpant, quomodo erit ipsum malum, quod seipsum perimit? Nam si malum sit in materiâ, manifestum fit, hoc esse magis corruptibile; atqui est materia, adeoque seipsum perimit: quoniam idcircò etiam materia dicitur expers essentiæ, tamquam quæ ipsa in se sit corruptibilis, neque semper existat; quin & informis dicitur, vt Dei formæ opponatur, quemadmodũ Moyses creatorem vocauit

Verbum. Denique materia dicitur non ens, vt opponatur diuinæ secundùm essentiam existentiæ.

§. 20. QVA MALVM.] Illud *quà malum*, idem est quod *quatenus malum*.

QVIN IMO.] Nota, vt etiam in diuinis sermonibus licita sit exactior traditio, quæ ratiocinatione comparatur. Ecce enim, vti vides, post prioris sententiæ expositionem certiora tradit ratiocinando.

In quibus sint bona simplicia, in quibus mixta.

ET SIMPLICIA ET PERFECTA.] Simplicia quidem bona & omnino perfecta supermundialibus istis spiritibus, vtpote incorporeis, ex bono inseruntur, mixta verò bona in rationalium corporibus cernuntur, id est in nobis; dum pars quidem animæ rationis expers per corpus efformatum, iuxta quod dictum est, materiæ sit particeps, pars autem rationalis vergit ad id quod alienum est à ratione, & quandoque illi indulget, adeoque in materiam propendet. Ceterùm ipsum per se malum concipiendum est per se interminatum, per se immensum, per se informe, per se essentialiter malum, non autem per alterum malum, hoc enim forma est, & accidens malitiæ. Ergo malum oportet quid istiusmodi esse, vti dixi; quemadmodum Deus omnium per se finis, per se mensura, per se formam tribuens, & per se bonum essentiale est. Non loquor modò de bono per aliud, hoc enim accidens est. Quomodò igitur erit essentiale malum, & per aliud, cùm omnia quæ sunt mixtim inficiantur, & in bono existant, quoniam nullum bonum est prorsus incommunicabile? Itaque malum non apparet in aliquâ existentiâ, sed in irreptione, in boni priuatione.

AD EXTREMAS VSQVE PORTENDITVR.] Per extremum intelligenda sunt materialia, corporea, & terrestria. Quemadmodum enim Deus rerum omnium principium exsistit, vti antè diximus; ita postremum omnium est feculenta hæc & crassa materiæ pars atque terrestris, quæ idcircò, tamquam
Isa.66,1. quid extremũ, Dei scabellum nuncupatur; attamen ipsius quoque bonitatis particeps
Sap.9,15. existit, vt quod ipsum postremo loco gestet: ait enim Sapientia, *Terrena inhabitatio deprimit sensum multa cogitantem*, quòd nimirum pars animæ rationis expers, cum materiali corpore commixta rationali, nonnumquam parti animæ dominetur.

Καὶ μὴ ὂν δὲ λέγεται ἡ ὕλη κατὰ ἀντιπαράθεσιν τῆς θείας κατ' οὐσίαν ὑπάρξεως.

Ἧι κακόν.] Τὸ Ἧι κακὸν, ἀντὶ τοῦ, καθ' ὃ κακόν.

Μᾶλλον δέ.] Σημείωσαι, ὅτι καὶ ἐν τοῖς θείοις λόγοις ἀκωλύτως ἡ ἐξ ἐπιλογισμοῦ τοῦ ἀκριβεστέρου παράδοσις. Ἰδοὺ γὰρ ὡς ὁρᾷς μετὰ τὴν ἔκθεσιν τῆς προτέρας γνώμης, ἐξ ἐπιλογισμοῦ τὰ ἀκριβέστερα παραδίδωσιν.

Καὶ ἀμιγῆ, καὶ ὁλόκληρα.] Τὰ μὲν ἀμιγῆ ἀγαθὰ, καὶ ὁλοτελῆ ἐκ τοῦ ἀγαθοῦ ἐγγίνεται τοῖς ὑπερκοσμίοις νοητοῖς, ἅτε καὶ ἀσωμάτοις· τὰ δὲ μεμιγμένα ἀγαθὰ, περὶ τὰ λογικὰ σώματα θεωρεῖται, τουτέστιν ἐν ἡμῖν, τοῦ μὲν ἀλόγου τῆς ψυχῆς μέρους, ὡς εἴρηται, μετέχοντος ὕλης διὰ τοῦ σώματος τοῦ εἴδους μετέχοντος, τοῦ δὲ λογικοῦ μέρους, ῥέποντος πρὸς τὸ ἄλογον, καὶ ἐνδιδόντος ἔσθ' ὅτε αὐτῷ καὶ διὰ τοῦτο πρὸς ὕλην νεύοντος. Τὸ μὲν γὰρ αὐτοκακὸν δεῖ θεωρεῖν αὐτοάπειρον, αὐτοάμετρον, αὐτοανείδεον, ἑαυτῷ κακὸν οὐσιῶδες, οὐ μὴν ἑτέρῳ κακόν· τοῦτο γὰρ εἶδός ἐστι, καὶ συμβεβηκὸς κακίας. Δεῖ οὖν τὸ κακὸν τοιοῦτόν τι εἶναι, οἷον ἔφην· ὥσπερ ὁ Θεὸς πάντων αὐτοπέρας καὶ αὐτόμετρον, καὶ αὐτοειδοποιὸν, καὶ αὐτοαγαθὸν οὐσιῶδες. Οὐ γὰρ λέγω νῦν τῷ ἑτέρῳ ἀγαθόν· συμβεβηκὸς γὰρ τοῦτο. Πῶς οὖν ἔσται τὸ κακὸν οὐσιῶδες, καὶ ἑτέροις, πάντων καθάπαξ τῶν ὄντων μεμιγμένως κακυνομένων, καὶ ἐχόντων τὸ εἶναι ἐν τῷ ἀγαθῷ, οὐδενὸς κατὰ τὸ παντελὲς ἀμετόχου ὄντος τοῦ ἀγαθοῦ, ἀλλὰ πάντων πρὸς τὴν ἰδίαν ἐπιτηδειότητα μετεχόντων τοῦ ἀγαθοῦ; Τὸ οὖν κακὸν οὐκ ἐν ὑπάρξει, ἀλλ' ἐν παρεισδύσει, ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει φαινόμενον.

Ἐκτείνεται δὲ ἄχρι τῶν ἐσχάτων.] Ἔσχατον νοητέον, τὰ ὑλικὰ σώματα καὶ γήϊνα. Ὥσπερ γὰρ πάντων ἀρχὴ ὁ Θεὸς, ὡς καὶ ἤδη ἔφημεν, οὕτω πάντων ἔσχατον τὸ σκυβαλῶδες τοῦτο τὸ παχὺ τῆς ὕλης μέρος καὶ γεῶδες· ὅθεν καὶ ὑποπόδιον λέγεται τοῦ Θεοῦ, ὡς καὶ ἔσχατον, καὶ ὅμως μετέχον ἀγαθότητος αὐτοῦ, ὡς καὶ φέρον αὐτὸν ἐσχάτως· λέγει γὰρ καὶ ἡ Σοφία, Καὶ βρίθει γὰρ τὸ γεῶδες τοῦτο σκῆνος νοῦν πολυφροντίδα, ὡς τοῦ ἀλόγου τῆς ψυχῆς μέρους μεμιγμένου τῷ ὑλικῷ σώματι, καὶ κατακρατοῦντος ἔσθ' ὅτε τοῦ λογικοῦ τῆς ψυχῆς.

Παρέστι

Πάρεσι τἀγαθόν.] Ὅσον γὰρ ἐπὶ τὸ παχύτερον καὶ ὑλικώτερον ὑποβαίνει τὰ ἐν δημιουργίᾳ, τοσοῦτον κατὰ στέρησιν καὶ ἔλλειψιν τοῦ ἀγαθοῦ ἧττον μετέχει, ὡς ἐξ ἀμυδροῦ καὶ ἐσχάτου ἀπηχήματος. Ὡς γὰρ ἔφημεν, ἤδη ὑπόθου τινὰ βοῆσαι μέγα, καὶ τοὺς μὲν πλησίον ὄντας, καὶ ἐρρωμένους τὸ ἀκουστικὸν, ὅλην δέξασθαι τὴν βοὴν, καὶ γνῶναι τὸ λαληθέν· τοὺς δὲ ἀφεστηκότας ἀναλόγως τῇ διαστάσει ἧττον ἀκοῦσαι τοῦ φθέγματος· τοὺς δὲ πάνυ πόῤῥω διεστηκότας ἀμυδρότατα, ὡς ἀπηχήματος ὑστάτου πως αἰσθέσθαι.

Καὶ τὴν ἑαυτοῦ στέρησιν.] Τὸ μὴ ἐστερημένον τοῦ καλοῦ, ἀλλὰ μερικῶς, καὶ αὐτὸ τὸ ἐστερημένον τοῦ ἀγαθοῦ συνεστάναι ποιεῖ, τῷ ὅλως κατά τι μετέχειν τοῦ ἀγαθοῦ· οὐ γὰρ ἡ μερικὴ, ἀλλ' ἡ παντελὴς ἔλλειψις τοῦ ἀγαθοῦ ἐστι τὸ κακόν.

Καὶ τὰ μαχόμενα αὐτῷ.] Ὅρα πῶς φησιν, ὅτι καὶ τὰ μαχόμενα τῇ δυνάμει τοῦ ἀγαθοῦ, δι' αὐτοῦ ὑφέστη καὶ σώζεται. Οὐκοῦν αἴτιος τῶν κακῶν ὁ Θεός; Μὴ γένοιτο· ὁ μὲν γὰρ Θεὸς, ὡς πάντων ἀρχὴ καὶ δημιουργὸς, δι' ὑπερβολὴν ἀγαθότητος, καὶ δι' ἀγάπην ἄφατον, καὶ ἁμαρτωλῶν ἀνέχεται, ἵνα καὶ τὴν ἰδίαν δείξῃ φιλανθρωπίαν, καὶ τὸ τοῦ πλάσματος αὐτεξούσιον. εἴρηται γὰρ, Ἡ ἀγάπη πάντα στέγει· καὶ πάλιν, Ὁ ἀνατέλλων τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους.

Τὸ δὲ κατὰ πάντα τρόπον.] Τὸ προκείμενον αὐτῷ ἐστιν, ἀποδεῖξαι, ὅτι οὐκ ἔστιν οὐσία, τὸ ἁπλῶς αὐτοκακόν· καὶ φησὶν, ὅτι οὐδὲν τῶν ἐν τοῖς οὖσι καὶ ἐν δημιουργίᾳ ἀμέτοχόν ἐστι παντελῶς τοῦ ἀγαθοῦ· τὰ γὰρ πάντη ἄμοιρα τοῦ ἀγαθοῦ, ὡς μηδὲ παραχθέντα ὑπὸ τοῦ ἀγαθοῦ, οὔτε εἰσί. Τίς ἄλλος δημιουργός; Ἀλλ' οὔτε δύναταί τι ὑφεστάναι, μὴ τῆς ἕξεως, ἤτοι ποιότητος τοῦ ἀγαθοῦ μετέχον κατὰ συμβεβηκός· πολλὰ μὲν γὰρ καὶ καταλειφθέντα ὑπὸ τῆς προσγενομένης ἕξεως, ἤτοι ποιότητος, μένει συνεστῶτα, οἷον ὁ σίδηρος πυρωθεὶς, καὶ θερμότητος ἄκρας μεταλαβὼν, σβεσθέντος τοῦ πυρὸς, μένει ὅπερ ἦν· καὶ τὸ ὕδωρ, καθ' ἑαυτὸ μὲν τὸ στοιχεῖον ἄποιον λέγεται εἶναι, διὰ δὲ γῆς παρελθὸν, ἐκεῖθεν ποιοῦται, καὶ ὅμως μετοχετευθὲν, παύεται τῆς ποιότητος, καὶ ἔτι συνέστηκεν. Οὕτω καὶ τὰ χιονιζόμενα, καὶ ψυχόμενα, παυσαμένης τῆς ψυχρότητος, ἔτι συνέστηκεν. Ἀλλὰ καὶ

ADEST BONVM.] Quantò enim res creatæ magis crassum magisque materiale quid subeunt, tantò minùs secundùm priuationẽ & defectum boni participes exsistunt, vt fit in obscuro & extremo cuiuspiam vocis sibilo. Sicut enim diximus, suppone aliquem altè vociferari, ac vicinos quidem audituq; valentes totam vocem excipere, & id quod dictũ est intelligere; remotos autem pro ratâ distantiæ portione; remotissimos verò obscurissimè tamquam sibilum quemdam vltimum vocis quodammodò percipere.

ET IPSAM SVI PRIVATIONEM.] Quod nimirum non penitus bono priuatum est, sed ex parte, illud etiam id ipsum quod bono priuatum est, facit subsistere per hoc, quòd aliquid omnino boni participet: non enim partialis, sed omnimodus boni defectus malum est.

ILLA ETIAM QVÆ ILLI CONTRARIA SVNT.] Obserua quomodo dicat, ea quoque, quæ cum boni virtute pugnant, per ipsum subsistere ac conseruari. Num igitur Deus auctor malorum est? Absit. Deus enim, vt principium omnium & creator, ob bonitatis excessum & ineffabilem charitatem, peccatores quoque sustinet, vt & clementiam suam & liberum arbitrium figmenti sui declaret. dictum est enim, *Charitas omnia sus-* 1.Cor.13,7
tinet: & iterùm, *Qui solem suum oriri facit* Matt.5,45
super iustos & iniustos.

QVOD AVTEM OMNIMODE.] Propositum ipsi est demonstrare, non esse substantiam id quod simpliciter per se malum est; aitque, nihil in rebus ac creaturis omnino expers esse bonitatis: illa enim, quæ omnino boni sunt expertia, tamquam quæ à bono minimè producta sint, etiam non existunt. Quis enim alius opifex sit? Sed neque quidquam subsistere potest, quod habitum seu boni qualitatem per accidens non participet: multa siquidem, congenito sibi habitu *Nihil esse boni expers.* seu qualitate destituta, consistunt, veluti ferrum ignitum, & summi caloris particeps, extincto calore manet id quod erat: & aqua secundùm se quidem dicitur esse elementum expers qualitatis, dum verò terram transit, inde qualificatur, & simul vt transfusa est, vacat qualitate, & adhuc consistit. Eodem modo niuosa frigidaque, cessante frigore, adhuc consistunt. Quin etiam res

SCHOLIA S. MAXIMI.

res vitæ expertes, vt arbores, & lapides, & ſtellæ, & quæ mente carent, vt pecora, nihilominùs ſubſiſtunt. Quin & Deus, quod ſupra ſubſtantiam ſit, à ſubſtantiâ eximitur, attamen & eſt, & antè eſt. Non licet autem ſic de bono dicere: nam niſi qualitatẽ boni participet, non poteſt ſubſiſtere: *In ipſo enim viuimus, & ſumus*, vti ait Apoſtolus. Quid ergo? intemperánſne, dum intemperans eſt, bono priuatur? & tamen ſubſiſtit. Et ait quidem ipſum, ſecundùm quod intemperans eſt, vti bono priuatus eſt, ita neque ſit propriè. Quin nec res aliquas cupit: quid enim eſt ipſa per ſe intemperantia, ſine certâ ſpecie intemperantiæ? Tamen quoniam ipſe cenſet bonum aliquod in falsâ opinione obtinere, atque in amicitiâ cum aliquo ſimul cum ipſo corrupto, etſi pernicioſa eſſe videatur amicitia, tamen eſt obſcurum quoddam diuini amoris veſtigium, & ſpecie boni imaginationem ferit. Neque enim ignorandum eſt, quòd cùm rationalis pars animæ ab irrationali ſuperatur, propria quidem munia obire impediatur, ita tamen tandem cum irrationali conſentit, vt neque impetus illius cohibeat, neque comprobet actiones. Nam falſæ opiniones non ſunt ſententiæ partis rationalis, neque falſæ intellectiones ſunt rationalis partis intellectiones: falſæ enim, non ſunt propriè intellectiones. Hinc etiam iracundus quandoque erranter erumpit, non tamen expers eſt boni, cùm iudicet, in eius qui punitur correctione iram adhibendam eſſe. Sic etiam obſcœnus, dum voluptatem finem eſſe bonum opinatur. Ex hoc vtique, etiam qui Deum oppugnant, à bono permittuntur, quia abſolutè ſunt. Id enim quod non prorſus vacat bono, ſed ex parte boni conſiſtentiâ priuatum eſt, facit, vt aliquid abſolutè boni particeps exiſtat: neque enim partialis, ſed omnimodus boni defectus eſt malus; quoniam non quod ex parte, ſed quod penitus bono priuatum eſt, illud neque erat, neque eſt, neque erit, neque eſſe poteſt.

Act. 17. 28.

Malum ſub ſpecie boni placet.

τὰ ζωῆς ἄμοιρα, ὡς δένδρα, καὶ λίθοι, καὶ ἄστρα· καὶ τὰ νοῦ, ὡς τὰ κτήνη, ὅμως ὑφίσταται. Καὶ οὐσίας δὲ ὁ Θεὸς ἐξῄρηται ὑπερούσιος ὤν, καὶ ὅμως ἐστὶ, καὶ προέστιν. Οὕτω δὲ καὶ οὐκ ἔστιν εἰπεῖν ἐπὶ τοῦ ἀγαθοῦ· εἰ μὴ γὰρ μετέχοι ποιότητος τοῦ ἀγαθοῦ, ἐν ᾧ συνίστασθαι χρὴ, οὐ δύναται ὑφεστάναι· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ ἐσμὲν, ὡς φησὶν ὁ Ἀπόστολος. Τί οὖν; ὁ ἀκόλαστος ἐν τῷ ἀκολασταίνειν, οὐκ ἐστέρηται τοῦ ἀγαθοῦ; καὶ ὅμως ὑφέστηκε. Καὶ φησὶ μὲν, κατ' αὐτὸ τὸ ἀκολασταίνειν, ὡς ἐν στερήσει ὢν τοῦ ἀγαθοῦ, κυρίως οὐκ ἔστιν. Ἀλλ' οὔτε ὄντων ἐπιθυμεῖ· τί γάρ ἐστιν αὐτοακολασία, δίχα τοῦ εἴδους τοῦ ἀκολασταίνειν; Ὅμως ἐπειδὴ κατὰ ψευδοδοξίαν δοκεῖ αὐτὸς ἀγαθοῦ τινος ἔχεσθαι, καὶ ἡνῶσθαι κατὰ φιλίαν τῷ συμφθειρομένῳ αὐτῷ, κἂν διεφθαρμένη δοκῇ ἡ φιλία εἶναι, ὅμως τοῦ θείου ἔρωτος ἀμυδρόν ἐστιν ἀπήχημα, καὶ διὰ τὴν τοῦ ἀγαθοῦ φαντασίαν ἔχει. Οὐ γὰρ δεῖ ἀγνοεῖν, ὅτι ὅταν κρατηθῇ ὑπὸ τοῦ ἀλόγου μέρους τὸ λογικὸν τῆς ψυχῆς, ἐμποδίζεται μὲν τὰ οἰκεῖα ἐνεργεῖν, συνδοξάζει δὲ οὕτω λοιπὸν τῷ ἀλόγῳ, ὡς μήτε κρατεῖν αὐτοῦ τὴν ὁρμὴν, μήτε συμψηφίζεσθαι ταῖς πράξεσιν. Αἱ γὰρ ψευδοδοξίαι οὐκ εἰσὶ τοῦ λογικοῦ δόξαι, οὔτε αἱ ψευδεῖς διάνοιαι τῶν διανοιῶν τοῦ λογικοῦ μέρους· οὔτε γὰρ διάνοιαι κυρίως, αἱ ψευδεῖς. Ἔνθεν καὶ ὁ θυμικὸς ἔσθ' ὅτε ἐσφαλμένως ἐπέξεισιν, ὅμως οὐκ ἄμοιρος ἀγαθοῦ, δοκῶν ἐπὶ διορθώσει τοῦ κολαζομένου τῷ θυμῷ χρῆσθαι. Καὶ ὁ αἰσχρὸς οὕτως ὑπονοῶν ἀγαθὸν τέλος, τὴν ἡδονήν. Ἐκ τούτου οὖν καὶ οἱ θεομαχοῦντες, διὰ τὸ ὅλως εἶναι, ὑπὸ τοῦ ἀγαθοῦ συγχωροῦνται. Τὸ γὰρ μὴ ἐστερημένον τοῦ καλοῦ, ἀλλὰ μερικῶς αὐτὸ τὸ ἐστερημένον τοῦ ἀγαθοῦ, συνεστάναι ποιεῖ τὸ ὅλως μετέχειν τι τοῦ ἀγαθοῦ· οὐ γὰρ ἡ μερικὴ, ἀλλ' ἡ παντελὴς ἔλλειψις τοῦ ἀγαθοῦ ἐστι τὸ κακόν· καὶ γὰρ οὐ τὸ μερικῶς, ἀλλὰ τὸ παντελῶς τοῦ ἀγαθοῦ ἐστερημένον, τοῦτο οὔτε ἦν, οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε εἶναι δύναται.

Οὔτε ὄντων ἐπιθυμεῖ.] Ὅτι ὁ ἀκόλαστος, εἰ καὶ κατὰ τὸ αὐτὸ τὸ ἀκολασταίνειν, οὔτε ἐστὶν, οὔτε ὄντων ἐπιθυμεῖ· ὅμως κατ' αὐτὸ τὸ τῆς ἑνώσεως καὶ φιλίας σχῆμα, ἀμυδρῶς μετέχει τοῦ ἀγαθοῦ.

NEQVE QVIDQVAM CONCVPISCIT.] Quoniam intemperans etſi, ſecũdùm quod intemperans eſt, neque ſit, neque rem aliquam concupiſcat, attamen ipsâ coniunctionis atque amicitiæ ſpecie bonum aliquod obſcurè participat.

Πρὸς

Πρὸς τὸ δοκεῖν καλόν.] Σημείωσαι, ὅτι καὶ ὁ τῷ θυμῷ ἀποχρώμενος, μετέχειν λέγεται τοῦ ἀγαθοῦ, ἐν τῷ πρὸς διόρθωσιν κινεῖσθαι τῶν δοκούντων κακῶν. Οὕτω δὲ ὁ χειρίστης, ἤγουν κακίστης ζωῆς ἐφιέμενος, μετέχει τοῦ ἀγαθοῦ ἐν τῷ τῆς ἀρίστης ζωῆς αὐτῷ δοκούσης ἐφίεσθαι· καὶ ὁ τὸ κακὸν δὲ μετιὼν ἐν τῷ δοκεῖν καλὸν ποιεῖν, μετέχει τοῦ ἀγαθοῦ.

Καθ' ὅσον καὶ νόσος.] Ἡ νόσος, εὔδηλον ὡς ἔλλειψίς ἐστιν ὑγείας, καὶ ὑπερβολὴ σωμάτων ἐνύλων, οὔτε μέτρων οὔτε τάξεων ἐχομένη, ἀλλὰ δι' ἀκρασίας τῆς ὕλης μιᾶς ὑπὲρ τὴν εὔτακτον κρᾶσιν στασιαζούσης ποιούντων τὴν νόσον. Ἐπὶ τοσοῦτον μὲν οὖν ἡ νόσος ἐστὶν ἐν τῷ σώματι, ἐφ' ὅσον ὁπωσοῦν ἡ τάξις ἐλλείποι, καὶ τὸ σῶμα συνίσταται. Εἰ γὰρ ἡ παντελὴς ἀμετρία, λύσει τὸ σῶμα, τουτέστι τὴν τῶν ὑλῶν τάξιν, καὶ ἡ νόσος ἀφανίζεται, τοῦ σώματος λυομένου ἐν ᾧ συνειστήκει ἡ νόσος· οὕτω δὲ ἐπὶ τοῦ ἀγαθοῦ ἐν ὅσῳ σώζεται ἐν ἡμῖν, ἔχομεν ἐξουσίαν πράττειν καὶ τὸ κακόν· ἀφισταμένου γὰρ τοῦ ἀγαθοῦ, οὔτε κακόν ἐστιν εὑρεῖν ἐν ἡμῖν.

Τὸ γὰρ πάντῃ ἄμοιρον.] Ὁ σκοπὸς τοῦ θείου Διονυσίου ἐκ πολλῶν σαφής, μαχόμενος ταῖς τινῶν Ἑλλήνων δόξαις περὶ τοῦ κακοῦ· λέγει γὰρ μὴ εἶναι ὂν τὸ κακόν· κακὸν γὰρ αὐτὸ καθάπαξ οὐσιῶδες οὐκ ἂν εἴη, εἰ μὴ τὸ κατὰ παντελῆ ἔλλειψιν τοῦ ἀγαθοῦ ὁλοσχερῶς ἄμοιρον ὂν τούτου. Τοῦτο γὰρ οὐκ ἔστιν οὐδαμοῦ εὑρεῖν, οὐδὲ ἐν τῇ ὕλῃ αὐτῇ τῇ ἀνειδέῳ, κἂν τοῦτό τισι τῶν Ἑλλήνων δοκῇ· ὃ γὰρ ὅλως ὑπὸ Θεοῦ παρῆκται, κἂν ἀμυδρῶς καὶ ἐσχάτως, μετέχει δ' οὖν ὅμως τοῦ ἀγαθοῦ. Τοῦτο δὲ προϊὼν ἐν τῷ δεκάτῳ κεφαλαίῳ τούτου τοῦ προβλήματος τελείως ἀποδείκνυσιν. Εἰ γὰρ μικτὸν εἴη τῷ ἀγαθῷ τὸ κακόν, τουτέστι, πῇ μὲν μὴ ὂν διὰ τὸ ἐπ' ὀλίγον ἐλλείψεως τοῦ ἀγαθοῦ· πῇ δὲ ὄν, διὰ τὸ εἶναι ὅλως τὸν ποιοῦντα, οὐ κακὸν τοῦτο· οὐ γὰρ ἐν τῇ ὁπωσοῦν ἐλλείψει, ἀλλ' ἐν τῇ παντελεῖ ἐλλείψει τοῦ ἀγαθοῦ, τὸ κακόν. Τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ, οὐ κακόν· δύναται γὰρ καὶ τέλειον εἶναι, ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν. Ἔστι μὲν γάρ τι, ὡς πρὸς μὲν τὸ ἀγαθὸν, ἐλλιπές· ὡς δὲ πρὸς τὴν ἑαυτοῦ φύσιν, τέλειον· ὃ δὴ ἀγαθὸν μὲν ἐστι, κακὸν δὲ οὐδαμῶς. Καίτοι τε ἐλλείψεως μετέχον,

SCHOLIA S. MAXIMI.

AD ID QVOD BONI SPECIEM PRÆ SE FERT.] Nota, quoniam is qui irâ abutitur, particeps eſſe boni dicitur, in quantum mouetur ad corrigenda illa quæ videntur mala. Sic & is qui deterrimam vitam expetit, boni particeps exiſtit, in quantum cupit vitam optimam ipſi viſam; & qui malum aggreditur, in quantum videtur bellè agere, boni fit particeps.

SICVT ETIAM MORBVS.] Clarum eſt, morbum eſſe defectum ſanitatis, & exceſſum quemdam corporum materialium, qui neque modum neque ordinem ſeruet, ſed per materiæ cuiuſdam intemperiem ea, quę rectum temperamentum conſtituunt, interturbando morbum generat. Eatenus ergo morbus eſt in corpore, quatenus aliquantulum ordo deficit, & corpus conſiſtit. Nam ſi omnimodus eſſet menſuræ exceſſus, ipſum corpus, id eſt, materiarũ ordinem, diſſoluet, atque corpore diſſoluto morbus etiam abolebitur, in quo morbus conſtiterat: ita etiam in bono, quatenus in nobis conſeruatur, poteſtatem etiam habemus patrandi malum; abſoluto enim bono, neq; malum in nobis reperiri poterit.

Malum eſt defectus.

QVOD ENIM OMNINO EXPERS EST.] Manifeſtus D. Dionyſij ſcopus eſt, refellere quorumdam Gentilium opiniones de malo: ait enim, malum non eſt ens, quoniam ipſum malum abſolutè nequit eſſe quid ſubſtantiale, niſi per omnimodum boni defectum totaliter eius expers eſſet. Hoc autem nuſquam reperiri poteſt, ne quidem in ipſamet informi materiâ, quãtumuis id quibuſdá Gentilibus videatur: quod enim omnino productum eſt à Deo, quantumuis obſcurè infimoque gradu, boni tamen particeps exiſtit. Verùm hoc deinceps in decimo capite huius propoſitionis perfectè demonſtrat. Si enim mixtum eſſet bono malum, id eſt, partim quidem non eſſet in aliquantulo defectu boni, partim verò eſſet, eò quòd omnino ſit qui illud facit, quod non eſt malum: non enim in qualicumque defectu, ſed in omnimodo defectu boni malum eſt. Quod itaque quid modicum deficit à bono, non eſt malum; nam poteſt etiam perfectum eſſe quantum ad naturam ſuam. Eſt enim aliquid reſpectu quidem boni defectuoſum, reſpectu autem naturæ ſuæ perfectum; quod vtique bonum eſt, nequaquam verò malum. Atqui defectum parti-

Malum non eſſe ſubſtantiam.

SCHOLIA S. MAXIMI.

cipat respectu primi boni, hoc ipso autem non est expers boni, sed respectu eius quod magis accedit ad malum; aliquid boni obtinet, ex quo etiam substantiam accipit, & suiipsius priuationem substantificat, dum totaliter de bono certat. Si enim purè & omnimodè fuerit absentia boni, manifestum est, quòd tunc non sit secundùm se totum bonum, neque mixtum bonum, neq; per se malum: vbi enim non est bonum, ibi neque quidquam est in naturâ. Quomodo igitur erit malum, quod à nemine substantiam accepit? Aufer enim corpora & lucem, & non erit vmbra. Itaque malum simpliciter non subsistit, sed quasi adiacet; bonum autem etiam absq; subiecto naturam suam obtinet, ac conseruatur, & per se bonum exsistit; malum autem non absque subiecto, quòd à bono conseruatur: omnia enim sine ipso neque sunt, neque videntur, neque corrumpuntur (quomodo enim id fiat, si nullum exstet subiectum?) sed prorsus est expers existentiæ, neque vllibi vsquam est.

Et statum dat.] Id est, ipsi malo statum tribuit. Nam si malum sit priuatio boni, bonum autem suiipsius priuationi tribuat vt sit, vtique malo statum tribuit, quod est priuatio boni.

Omnino per sui communicationem.] Quoniam per partialem boni communicationem etiam priuatio eius statum accipit.

Quando aliis quidem malum est.] Hæ species sunt mali, vti prædiximus. Quod enim substantiale est, non est per se malum istud quod non est: nam aliquid malum esse, quod obscœnæ voluptati tamquam bono alicui adhæreat, id non est per se malum, sed quædam mali species. Quod enim prorsus malum, illud ne existit quidem: nam quod existit, saltem extremum quoddam boni vestigium participat. Obserua enim quid in progressu dicat: nam si omnia bonum participant, & in rebus omnibus sit bonum, malum certè vel non est, vel in bono est: neque enim natura ignis est refrigerare; quin nec ignis erit, si refrigerare cœperit. Ergo & malum, si quidem existat, vel tenuiter bonum participat: omnia enim quæ sunt, in bono sunt, & manent. Si verò nihil boni habet, neque etiam subsistit: ipsum enim subsistendi desiderium est ex participatione boni, vt superiùs sæpè dictum est.

ὡς πρὸς τὸ ἀκρότατον ἀγαθόν· τὸ δὲ μὴ παντελῶς ἄμοιρον τοῦ ἀγαθοῦ, ἀλλὰ κατὰ τὸ πλέον ἐγγίζον τῷ κακῷ, οὐ πάντη κακόν· ὥσπερ καὶ τὸ ἔλαττον, ἐγγίζον τῷ ἀγαθῷ, ἔχει τι τοῦ ἀγαθοῦ, καὶ οὐσιοῦται ἐξ αὐτοῦ, καὶ τὴν ἑαυτοῦ στέρησιν οὐσιοῖ ἐν τῷ ὅλως μάχεσθαι ἐκ τοῦ ἀγαθοῦ. Εἰ γὰρ ἀκράτως καὶ παντελῶς ἀπουσία εἴη τοῦ ἀγαθοῦ, δῆλον ὡς οὔτε καθ' ὅλου ἀγαθὸν, οὔτε μικτὸν ἀγαθὸν, οὔτε αὐτοκακόν· ἔνθα γὰρ οὐκ ἔστι τὸ ἀγαθὸν, οὐδ' ἔστι τι ἐν τῇ φύσει. Πῶς οὖν ἔσται τὸ κακὸν, μὴ ὑπό τινος οὐσιούμενον; Ἄνελε γὰρ τὰ σώματα, καὶ τὸ φῶς, καὶ οὐκ ἔσται σκιά. Οὐκοῦν οὐκ ὂν τὸ κακὸν ἁπλῶς, ἀλλ' ὡς ἐν ὑποκειμένῳ· τὸ δὲ ἀγαθὸν καὶ δίχα τοῦ ὑποκειμένου καὶ φύσιν ἔχει, καὶ σώζεται, καὶ αὐτὸ καθ' ἑαυτὸ ἀγαθόν· τὸ δὲ κακὸν οὐ δίχα τοῦ ὑποκειμένου τοῦ ὑπὸ τοῦ ἀγαθοῦ φυλαττομένου· πάντα γὰρ ἄνευ αὐτοῦ οὔτε ἐστὶν, οὔτε φαίνεται, οὔτε φθείρεται (πῶς γὰρ, μὴ ὄντος ὑποκειμένου τινός;) ἀλλὰ παντελῶς ἀνύπαρκτον, καὶ οὐδαμῇ οὐδαμῶς ὄν.

Καὶ οὐσιοῖ.] Τουτέστιν, οὐσιοῖ τὸ κακόν. Εἰ γὰρ τὸ κακὸν στέρησίς ἐστι τοῦ ἀγαθοῦ, τὸ δὲ ἀγαθὸν οὐσιοῖ τὴν ἑαυτοῦ στέρησιν, οὐσιοῖ ἄρα τὸ κακὸν, ὅπερ στέρησίς ἐστι τοῦ ἀγαθοῦ.

Τῇ ὅλως αὐτοῦ μεθέξει.] Ὅτι τῇ μερικῇ τοῦ ἀγαθοῦ μεθέξει, καὶ ἡ στέρησις αὐτοῦ οὐσιοῦται.

Ἡνίκα τοῖς μέν ἐστι κακόν.] Ταῦτα εἴδη εἰσὶ τοῦ κακοῦ, ὡς προειπόμεθα. Οὐ γὰρ τὸ οὐσιῶδες, αὐτοκακὸν, ὃ μηδέ ἐστι· τὸ γὰρ τόδε εἶναι κακὸν, ἡδονῆς δὲ αἰσχρᾶς ὡς ἀγαθοῦ τινος ἀντέχεσθαι, οὐκ αὐτοκακὸν, ἀλλ' εἶδος κακοῦ. Τὸ γὰρ πάντη κακὸν, αὐτὸ οὔτε ἐστὶν, ἐπειδὴ μετέχει, κἂν κατ' ἔσχατον ἀπήχημα τοῦ ἀγαθοῦ. Ὅρα γὰρ, τί φησι παρακατιών· εἰ γὰρ πάντα μετέχει τοῦ ἀγαθοῦ, καὶ ἐν πᾶσι τοῖς οὖσίν ἐστι τὸ ἀγαθὸν, τὸ κακὸν προδήλως ἢ οὐκ ἔστιν, ἢ ἐν τῷ ἀγαθῷ ἐστιν· οὐδὲ γὰρ φύσις πυρὸς τὸ ψύχειν· εἰ δὲ ἄρξεται ψύχειν, οὐκ ἔσται πῦρ. Οὐκοῦν καὶ τὸ κακὸν, ἐὰν μὲν ὕπεστι, μετέχει ἀμυδρῶς τοῦ ἀγαθοῦ, πάντα γὰρ τὰ ὄντα ἐν τῷ ἀγαθῷ εἰσι καὶ μένουσιν. Εἰ δὲ οὐδὲν ἔχει ἀγαθοῦ, οὔτε ὕπεστιν· αὐτὸ γὰρ τὸ θέλειν ὑπεῖναι, ἀγαθῆς ἐστι μεταλήψεως, ὡς ἀνωτέρω πολλάκις εἴρηται.

Ἄτοπον

SCHOLIA S. MAXIMI.

§.21.

Ἄτοπον καὶ ἀδύνατον.] Σημείωσαι, ὅτι καὶ ἐπὶ τοῦ Θεοῦ καλῶς λέγεται ἔν τισι, τὸ οὐ δύναται, ὡς καὶ ὁ Ἀπόστολός φησιν, Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, καὶ ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.

Πᾶσα γὰρ δυάς.] Ὅτι πᾶσα δυὰς οὐκ ἀρχή· μονὰς δὲ, πάσης δυάδος ἀρχή. Σημείωσαι κατὰ Μανιχαίων.

Παντελῶς ἐναντία.] Σημείωσαι ταῦτα, πάνυ γὰρ κατὰ Μανιχαίων ἀγωνίζεται, τῶν δυάδα ἀρχῶν ἐναντίων δογματιζόντων ἀνοήτως. Ἡ μὲν γὰρ ἀριθμητικὴ, τὸ ἐν ἀριθμοῖς διαίρεσιν ἔχον πλήθους, εἰς πέρας ἀνάγει, τὴν μὲν μονάδα, τοῦ παντὸς ἀριθμοῦ ἀρχὴν τιθεμένη· τὴν δὲ δυάδα, τῶν ἀρτίων. Ἡ τοίνυν ἀρχὴ τὸ ἁπλούστατον ἐν ἑκάστῳ γένει δηλοῖ. Πῶς οὖν ἡ δυὰς ἀρχὴ πάντων ἔσται; οὐ γάρ ἐστιν ἁπλῆ ἀρχὴ ἡ δυὰς, ἀλλὰ σύνθετος· οὐκοῦν οὐχ ἁπλοῦν ἡ ἐκ συνθέσεως ἀρχή. Καὶ πῶς ἂν κληθείη ἀρχή; πρὸ γὰρ τῆς συνθέτου ταύτης ἀρχῆς ἔσται ἡ κυρίως ἀρχὴ τὸ ἓν, ἀφ' οὗ μονάδων συντεθεισῶν, δυὰς ἀπετελέσθη. Δῆλον οὖν ἁπανταχόθεν, ὡς ἀσύστατον τῶν δύο ἀρχῶν τὸ δόγμα.

Καὶ μὴν οὔτε δύο.] Ὅτι οὐ δυνατὸν δύο ἐναντίας ἀρχὰς ἐναντίων εἶναι.

Οὐδ' ἐκτὸς δυσχερείας.] Οὐκ ἀβλαβής.

Διὸ καὶ φίλα τὰ ἀγαθά.] Ἐπειδὴ τοῦ ἀγαθοῦ πάντα μετέχει, καὶ αὐτῷ τῷ εἶναι εἰς τὸ ἀγαθὸν ἀνάγονται, τὸ ἀγαθὸν καὶ τὸ καλὸν τῶν πάντων, οὐκ ἂν εἴη τὸ πρῶτον καλὸν, οὗ πάντα μετέχοντα, καλὰ γίνονται, ὁμοιωθέντα πως τῇ μεταλήψει τοῦ καλοῦ, πλὴν πολλῷ ἀμυδρότατα ὁμοιοῦται τοῦ ἑνὸς ἀγαθοῦ καὶ καλοῦ, καθάπερ αὐξομένου, καὶ εἰς τὴν τῶν καλῶν φύσιν ἐκφαινομένου· ὅθεν, Καὶ πάντα καλὰ λίαν. Ἡ δὲ τῶν καλῶν φύσις προϊοῦσα κατὰ πλῆθος, ἤδη πως ἐστὶν εἰς τὰ σύνθετα, ἃ δὴ καὶ μάλιστα καλὰ εἰώθασι καλεῖν οἱ ἄνθρωποι, ἀποδείκνυται πολλαχῶς τοῦ κακοῦ συντιθεμένου, καὶ κατὰ πολλοὺς τρόπους λεγομένου. Τὸ δὲ ἐν τοῖς οὖσι καλὸν οὔτε οὐσία ἐστὶν, οὔτε γένος, ἀλλὰ συμβεβηκός, ὁμοιότητά τινα κεκτημένον κατὰ μικρὸν συναπτομένην· οὐ γὰρ καθ'

ABSVRDVM ET IMPOSSIBILE.] Nota, in aliquibus etiam de Deo rectè dici, quod ea non possit, iuxta illud Apostoli, *Si non credimus, ille fidelis permanet, negare seipsum non potest.* 2.Tim.2, 13.

OMNIS ENIM DVALITAS.] Quoniam nulla dualitas principiat, vnitas autem omnis dualitatis principium existit. Nota hoc contra Manichæos.

PRORSVS CONTRARIA.] Obserua hæc, quoniam valdè pugnant aduersus Manichæos, qui stultè docent esse duo principia contraria. Nam ars quidem numerandi id, quod in numeris diuisionem continet multitudinis, ad finem refert, cùm omnis numeri principium ponat vnitatem, numerorum verò parium dualitatem. Itaque principium in vnoquoque genere declarat illud quod simplicissimum existit. Quomodo igitur dualitas omnium principium erit? dualitas enim non est simplex principium, sed compositum: atqui non est quid simplex principium quod compositione constat. Et quomodo vocari possit principium? nam ante compositum huius principij propriè principium, existet id quod est vnum, ex quibus vnitatibus compositis dualitas perficitur. Ex omni ergo parte manifestum est, doctrinam istam de duobus principiis minimè subsistere. *Vnicum est rerum principium.*

NEQVE VERO DVO.] Quoniam impossibile est duo esse contraria principia contrariorum.

NEQVE VACVVS MOLESTIA.] Haud incolumis.

PROPTER QVOD ETIAM BONA SVNT AMICA.] Quoniam vniuersa bonum participant, & hoc ipso quòd sunt, ad bonum adducuntur: quod bonum cùm item pulchrum omnibus existat, vtique non erit primum illud pulchrum, cuius participatione omnia euadunt pulchra, dum per eam pulchro assimilantur, etsi quàm obscurissimè, vni isti bono ac pulchro, tamquam crescenti, & in pulchrorum naturâ relucenti, assimilentur; vnde etiam omnia pulchra valdè. Natura deniq; pulchrorum, dum ad multitudinem promanat, iam etiam in compositis ostenditur, quæ vel maximè solent homines vocare pulchra, cùm malum multipliciter componatur, multisque modis nominetur. Pulchrum autem, quod in rebus existit, neque est substantia, neque genus, sed accidens, quod similitudinem quamdam habet parum cohærentem: neque enim *Omnia participant bonum & pulchrum.* Gen.1.

SCHOLIA S. MAXIMI. secundùm vnam ſpeciem dicuntur pulchra, ſed multipliciter; conueniũnt autem tantùm inter ſe tamquam ſimilia, etſi diuerſimodè, in eo quod & ipſa ſecundùm ſpeciem quæque ſuam pulchra ſint, adeoque ſecundùm hoc, in quantum ſimilia inter ſe, etiam familiaria exiſtunt.

SI VERO IN DEO BONVM.] Quoniam in Deo bonum eſt ſubſtantia.

NEQVE OMNINO.] Pro perpetuò.

IN TEMPORE.] Pro participatè.

§. 22. QVIN NE IN ANGELIS QVIDEM.] De Angelis, quòd neque in ipſis malum ſit, & cur Angeli appellentur.

DIVINAM BONITATEM.] Diuina vocat ea, quæ ſunt in naturâ iſtorum Angelorum qui deiformes permanſerunt. Dicebamus autem ſuperiùs, cur boniformes, & non per ſe bonos Angelos appellet. Ob eaſdem igitur cauſas neque malum eſt in Angelis. Aſſignat autem nominis rationem, cur Angeli appellati ſint.

EST IMAGO DEI.] Nota, quoniam Angelos boni imagines appellat; obſerua etiam quomodo hoc dicat.

AT QVOD PVNIANT.] Quaſi refellendo præoccupat quorumdam hæreticorum oppoſitionem, qui Angelos, quòd iuſſu Dei prauos puniant, ipſamque caſtigationem malam cenſent, & mox iſta ſapientiſſimè & ingenioſè reſoluit. Atque ex Sacerdotibus, qui ſceleſtos ac profanos propter profanas ac ſceleſtas actiones ab Eccleſiâ arcent, & expellunt, manifeſtum facit, nequaquam à malo eſſe illos qui puniũt ſceleſtos. Abſit. Rom.13,4 dictum eſt enim: *Non enim ſine cauſâ gladium portat, Dei miniſter eſt, vindex in iram ei qui malum agit.* Nota igitur ſolutiones: multas ſiquidem queſtiones diſſoluit eorum qui petunt, num carnifices ac Principes ex Deo ſint.

QVI PROFANVM A MYSTERIIS DIVINIS ARCENT.] Nota, profanos à diuinis myſteriis arcendos eſſe per Sacerdotes.

NEQVE PVNIRI.] Quia non puniri, ſed punitione dignum eſſe, malum eſt.

SED NEQVE DÆMONES.] Quòd neque dæmones naturâ ſuâ mali ſint.

DEINDE NE ID QVIDEM OMNIBVS.] Nota etiam, corruptionem non cuiuis neq; ſemper malum eſſe, vt in quibuſdam feris, & ſerpentibus, & herbis noxiis.

ἓν εἶδος λέγεται τὰ καλά, ἀλλὰ πολλαχῶς· προσέοικε δὲ μόνον ἀλλήλοις ὡς ὅμοια, κἂν πολυειδῶς περὶ τὸ καὶ αὐτὰ καλὰ εἶναι κατὰ τὰ οἰκεῖα εἴδη ἕκαστα, καὶ κατὰ τοῦτο, ἅτε ὁμοιούμενα, καὶ προσήγορα ὄντα ἀλλήλοις.

Εἰ δὲ ἐν Θεῷ τἀγαθόν.] Ὅτι τὸ ἀγαθὸν ἐν Θεῷ ὕπαρξίς ἐστιν.

Οὔτε ἁπλῶς.] Ἀντὶ τοῦ ἀϊδίως.

Κατὰ χρόνον.] Ἀντὶ τοῦ μεθεκτῶς.

Ἀλλ' οὔτε ἐν Ἀγγέλοις.] Περὶ Ἀγγέλων, ὅτι οὔτε ἐν αὐτοῖς τὸ κακόν, καὶ διὰ τί Ἄγγελοι λέγονται.

Τὴν ἀγαθότητα τὴν θείαν.] Θεῖα λέγει τὰ περὶ φύσεως Ἀγγέλων τῶν μεινάντων θειοειδῶν. Εἴπομεν δὲ ἀνωτέρω, διὰ τί ἀγαθοειδεῖς καὶ οὐκ αὐτοαγάθους τοὺς Ἀγγέλους φησί. Κατὰ τὰς αἰτίας τοίνυν ταύτας, οὔτε ἐν Ἀγγέλοις τὸ κακόν. Ἐτυμολογεῖ δέ, διὰ τί ἐκλήθησαν Ἄγγελοι.

Εἰκών ἐστι τοῦ Θεοῦ.] Σημείωσαι, ὅτι τοὺς Ἀγγέλους, εἰκόνας φησὶ τοῦ ἀγαθοῦ· καὶ σημείωσαι πῶς τοῦτο λέγει.

Ἀλλὰ τῷ κολάζειν.] Ὡς ἐξ ὑποκρούσεως προλαμβάνει τὴν τινῶν αἱρέσεων ἀντίθεσιν, τῶν τοὺς κολαστὰς κελεύσει Θεοῦ Ἀγγέλους, καὶ αὐτὴν δὲ τὴν κόλασιν, τοῦ κακοῦ τιθεμένων, καὶ εὐθὺς ἐκλύει ταῦτα φιλοσοφώτατα, καὶ προσφυῶς. Καὶ ἐκ τῶν ἱερέων τῶν τοὺς ἐναγεῖς καὶ βεβήλους τῆς Ἐκκλησίας εἰργόντων καὶ ἐξωθούντων ἐπὶ βεβήλοις καὶ ἐναγέσι πράξεσι, δηλῶν, ὡς οὐδὲ αὐτοὶ τιμωρούμενοι τοὺς ἐναγεῖς, ἐκ τοῦ κακοῦ εἰσι. Μὴ γένοιτο· εἴρηται γάρ· Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· διάκονος γάρ ἐστι Θεοῦ εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Σημείωσαι οὖν τὰς λύσεις· πολλὰς γὰρ ζητήσεις διαλύει τῶν λεγόντων, εἰ ἐκ Θεοῦ οἱ δήμιοι, καὶ οἱ ἄρχοντες.

Οἱ τὸν βέβηλον τῶν θείων μυστηρίων ἀπείργοντες.] Σημείωσαι, ὅτι δεῖ τοὺς βεβήλους ἀπείργεσθαι τῶν θείων μυστηρίων διὰ τῶν ἱερέων.

Οὐδὲ τὸ κολάζεσθαι.] Ὅτι οὐ τὸ κολάζεσθαι κακόν, ἀλλὰ τὸ κολάσεως ἄξιον γενέσθαι.

Ἀλλ' οὔτε οἱ δαίμονες.] Ὅτι οὔτε οἱ δαίμονες φύσει κακοί.

Ἔπειτα, οὐδὲ τοῦτο παντί.] Σημείωσαι, ὅτι οὐ παντὶ καὶ πάντῃ κακὸν ἡ φθορά, ὡς ἐπὶ θηρίων, καὶ ἑρπετῶν, καὶ βοτανῶν ὀλεθρίων.

Ἀλλ'

SCHOLIA S. MAXIMI.

Ἀλλ' οὐδὲ φθείρεται.] Ὅτι οὐδὲ φθείρεταί τι τῶν ὄντων, καθ' ὃ οὐσία.

Ἀλλὰ τῇ ἐλλείψει.] Σημείωσαι, ὅτι φθορὰν καλεῖ, καὶ τὴν πλημμελῆ καὶ ἀναρμόνιον παρὰ τὴν τάξιν κίνησιν τῆς φύσεως. Ἔχεις δὲ καὶ τοῦτο παρὰ τῷ Ἰεζεκιὴλ περὶ τοῦ διαβόλου· Ἐφθάρη ἡ ἐπιστήμη σου σὺν τῷ κάλλει σου. Φησὶ δὲ, τὸ παρ' Ἕλλησι καὶ Μανιχαίοις λεγόμενον διαλύων, ὅτι οὔτε οἱ δαίμονες φύσει κακοί· εἶτα τὰ καθ' ὑπόθεσιν παρ' αὐτῶν ἀντιτιθέμενα προτίθησι καὶ διαλύει, λέγων, πρῶτον μὲν, οὐ φθείρουσιν οἱ δαίμονες οὐσίας· αἱ γὰρ οὐσίαι, καθ' ὃ οὐσίαι, οὐ χωροῦσιν εἰς ἀνυπαρξίαν· ἔπειτα, καὶ εἰ τοῦτο ἦν, οὐ πᾶσιν οὐδὲ πάντων ἡ φθορὰ κακή, ὡς ἐν τοῖς θηρίοις, καὶ τοῖς ἑρπετοῖς, καὶ πόαις ὀλεθρίαις, καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις. Ζητητέον οὖν, μὴ δύναμιν ἢ ἐνέργειαν φθείρουσιν οἱ δαίμονες· καὶ τέως ἐν συντόμῳ χρὴ εἰπεῖν, τί δύναμις, καὶ τί ἐνέργεια. Ἰστέον οὖν, ὅτι ἡ διαφθορὰ τῆς δυνάμεως πρὸς τὴν ἐνέργειαν τοιαύτη ἐστὶν, ὡς ἡ ἕξις πρὸς τὴν ἐνέργειαν τὴν κατὰ τὴν ἕξιν. Ἡ μὲν οὖν ἕξις, ποιότης ἐστὶν ἔμμονος. Σαφὲς δὲ ἔσται οὕτως· τὸ πῦρ δύναμιν ἔχει θερμαντικὴν, καὶ ἔστιν αὐτοῦ ἕξις, ἤτοι ποιότης, τὸ θερμαντικόν. Ἔστιν οὖν ἐνέργεια ἡ κατὰ τὴν ἕξιν, ἤγουν ποιότητα, ὅτε καὶ τὸ σῶμα θερμαίνεται· ἰδοὺ γὰρ ἀποτελεῖται ἡ ἐνέργεια τῆς ἕξεως τοῦ πυρός. Ἡ οὖν δύναμις παρ' ἑαυτῆς ἔχει τὴν ἐνέργειαν· αὐτῆς γάρ ἐστι τῆς δυνάμεως ἡ ἐνέργεια, τὸ ἐξ αὐτῆς ἀποτελούμενον· ἡ γὰρ δύναμις κατὰ τὸ ποιεῖν λαμβάνεται· φθορὰ οὖν δυνάμεως ἡ ἐνέργεια. Ὥσπερ οὖν καὶ οὐσίας ἡ δύναμις, ταυτὸν δὲ καὶ περὶ τῆς ἐνεργείας ἡ παρὰ τὴν τάξιν, καὶ τὴν συμμετρίαν, καὶ ἁρμονίαν ἀσθενὴς πρόοδος, καθ' ἣν προϊοῦσαν πλημμελῶς οὐ δύνανται μένειν ὡς εἶχον ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ οὐσία. Εἰ γὰρ παντελὴς, ὡς ἔφημεν, ἔσται ἀσθένεια, οὐ μὴν ἡ μερική, τῶν εἰρημένων· καὶ τὸ ὑποκείμενον φθείρει ἐν ᾧ ἡ δύναμις, καὶ ἡ ἐνέργεια· καὶ οὔτε ἡ δύναμις, καὶ ἡ ἐνέργεια, ὡς οὔτε ἡ οὐσία, ἀλλ' οὔτε αὐτὴ ἡ φθορὰ παραλειφθήσονται, ἀπολομένων ἐκείνων περὶ ἃ ἡ φθορά. Ἐνέργεια μὲν οὖν νοητῶν καὶ νοερῶν νόων, τὸ κατὰ φύσιν πράττειν, τουτέστι τὸ εἰς Θεὸν

Sed neque quidquam interit.] Quoniam nihil interit, quatenus eſſentia eſt.

Sed defectu.] Obſerua, quòd corruptionem vocet & vitioſam, & ineptam, præter ordinem, naturæ motionem. Hoc autem etiam habes apud Ezechielem de diabolo: *Corrupta eſt diſciplina tua cum decore tuo.* Denique Gentilium & Manichæorum ſententiam reſoluens, ait, neque dæmones etiam naturâ ſuâ malos eſſe; deinde proponit ac refellit ea quæ ab ipſis ſupponuntur, dicens: primùm quidem dæmones non corrumpere ſubſtantias; ſubſtãtiæ enim, quatenus ſubſtantiæ ſunt, haud penitus abolentur: deinde, quòd etiamſi eſſet, non tamen omnibus neque omnium corruptio mala eſt, vt in feris, & reptilibus, & herbis noxiis, aliiſque ſimilibus. Quærendum itaque, num dæmones potentiam vel actionem corrumpant: & breuiter hîc explicandum quid ſit potentia, & quid actio ſeu operatio. Sciendum itaque, corruptionem potentiæ reſpectu operationis talem eſſe, qualis eſt habitus reſpectu actionis ex habitu. Ac habitus quidem eſt qualitas immanens. Hoc autem ita perſpicuum fiet: ignis habet potentiam calefaciendi, & ipſius habitus ſeu qualitas eſt, hæc ipſa vis calefaciendi. Quando itaque corpus calefit, tum exiſtit eius operatio, quæ eſt ſecundùm habitum ſeu qualitatem; & ecce cùm ignis actio habitualis perficitur. Itaque potentia in ſe continet operationem, ſiquidem hæc eſt actio potentiæ, quæ ab ipsâ perficitur: potentia enim ſumitur in ordine ad actum; corruptio igitur potentiæ eſt operatio ſeu actio. Quemadmodum ergo etiam potentia eſt ſubſtantiæ, ita etiam actio; quæ cùm præter ordinem & congruentiam aptamq; proportionem elicitur, progreſſus eius imbecillis eſt, quo vitioſè procedente, nequit manere quod erat potentia, & actio, & ſubſtantia. Nam ſi totalis, vti diximus, foret interitus eorum quæ dicta ſunt, & non partialis, & ſubiectum ipſum interiret, in quo & potentia & operatio exiſtit; vtique nec potentia, nec operatio, nec ſubſtantia, ſed nec ipſa corruptio ſupererit, illis etiam intereuntibus circa quæ corruptio verſatur. Mentium itaq; intellectilium & intelligentium actio eſt, agere ſecundùm naturam, id eſt, ad

Ezech. 28, 17.

An & quæ corruptio ſit malum.

 Deum

SCHOLIA S. MAXIMI. Deum tendere; potentia verò mentis, elicere cogitationes, in quo, cùm ea, quæ dicta sunt, vitiosè mouentur, à bono deficiunt. Nihil igitur naturâ suâ malum est.

SED DEFICIENS BONVM.] Vt quod non perfectum corruptionis interitum inducat.

DENIQVE QVOMODO QVI A DEO.] *Neque dæmones esse malos.* Agit contra illos qui dicunt, si dæmones à Deo conditi sunt, quomodo mali? Est autem solutio quæstionis, num mali sint dæmones: aitque, non esse malos, quatenus boni sunt secundùm productionem substantiæ suæ, nam à bono producti sunt boni; sed in quantum infirmati sunt in suâ naturali actione.

BONAMQVE SORTITI SVNT ESSENTIAM.] Bona nempe dæmonum essentia est.

VT ELOQVIA TESTANTVR.] Obserua *Iudæ 6.* quomodo intelligat, Angelos non seruasse principatum suum. Principium enim, seu principatum, intelligit productionem eorũ, quâ in lucem prodierunt: quoniã procreati sunt & ipsi ad omne opus bonum, sicut & nos. Hinc vtique dæmones in hoc solo deprauati sunt, quòd in bonorum habitu cessarint, neque bonum operati sint, ita vt secundùm propositum suum mali sint, non autem secundùm naturam; bonum verò inest iis quæ secundùm naturam existunt. Inter hæc vtique magna est differentia.

DIVINORVM BONORVM HABITVS.] Nota illud *habitus* & *actionis*. Ecce enim, quam anteà potentiam vocabat, modò habitum appellat, vti superiùs in magno illo paragrapho explicuimus.

SI ITAQVE SEMPER.] Dæmones non semper boni expertes esse.

QVOD ENIM SEMPER IDEM EST.] Quoniam semper idem esse, boni proprium est.

PRAVI AVTEM ESSE.] Cur dæmones dicantur praui.

ILLIS DESERTIO.] Desertionem vocat hîc, recessum ab eo quod ipsis congruit; imperfectionem verò vocat, à perfecto siue perfectione defectionem.

IMAGINATIO PRÆCEPS.] Quid sit imaginatio, diximus in primo capite.

Malum non esse à naturâ. VERVM ISTA.] En & aliam solutionem, nullum malum esse naturâ suâ malum, sed prolapsione à bono. Quod enim à naturâ inest, id semper eodem modo se habet, &

ἀνατείνεσθαι· δύναμις δὲ νοῦ, τὸ εἰς νοήσεις κατιέναι, περὶ ἃ τὰ εἰρημένα πλημμελῶς κινούμενα ἐλλείπουσι τοῦ ἀγαθοῦ. Φύσει οὖν κακὸν οὐδέν.

Ἀλλ' ἐλλιπὲς ἀγαθόν.] Ὡς μὴ τὴν τελείαν φθορὰν τῆς φθορᾶς εἰσάγον.

Εἶτα, πῶς οἱ ἐκ Θεοῦ.] Πρὸς τοὺς λέγοντας, Εἰ ἐκ Θεοῦ ἐγένοντο οἱ δαίμονες, πῶς εἰσι κακοί; Ἔστι δὲ λύσις τῆς πεύσεως τοῦ, κακοί εἰσιν οἱ δαίμονες; καὶ φησὶν, ὅτι οὐ καθὸ ἀγαθοί εἰσι κατὰ τὴν παραγωγὴν τῆς οὐσίας αὐτῶν, ἐκ τοῦ ἀγαθοῦ γὰρ παρήχθησαν καλοὶ, ἀλλὰ καθὸ ἠσθένησαν τῆς φυσικῆς αὐτῶν ἐνεργείας.

Καὶ ἀγαθὴν ἔλαχον οὐσίαν.] Ὅτι ἀγαθὴ τῶν δαιμόνων ἡ οὐσία.

Ὡς τὰ Λόγιά φησι.] Σημείωσαι, πῶς νοεῖ τὸ, Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν. Ἀρχὴν γὰρ αὐτῶν φησι, τὴν εἰς τὸ εἶναι παραγωγήν· παρήχθησαν γὰρ καὶ αὐτοὶ εἰς πᾶν ἔργον ἀγαθὸν, ὥσπερ καὶ ἡμεῖς. Ἐκ τούτων οὖν εἰσιν οἱ δαίμονες, ἐν τούτῳ μόνῳ κακυνόμενοι ἐν τῇ παύσει τῆς ἕξεως τῶν ἀγαθῶν, καὶ ἐν τῷ μὴ ἐνεργεῖν τὸ ἀγαθὸν, ὥστε κατὰ προαίρεσίν εἰσι κακοὶ, ἀλλ' οὐ κατὰ φύσιν· τὸ δὲ ἀγαθὸν πρόσεστι τοῖς οὖσι κατὰ φύσιν. Πολλὴ τούτων διαφορά.

Τῶν θείων ἀγαθῶν ἕξεως.] Σημείωσαι τὸ Ἕξεως καὶ Ἐνεργείας. Ἰδοὺ γὰρ, ἣν προεῖπε δύναμιν, ταύτην νῦν ἕξιν φησὶν, ὡς ἡρμηνεύσαμεν ἐν τοῖς ἀνωτέρω ἐν τῇ μεγάλῃ παραγραφῇ.

Οὐκοῦν, εἰ ἀεί.] Ὅτι οὐ πάντῃ ἄμοιροι οἱ δαίμονες τοῦ ἀγαθοῦ.

Τὸ γὰρ ἀεὶ ταυτόν.] Ὅτι τὸ ἀεὶ ταυτὸν, ἴδιον τοῦ ἀγαθοῦ.

Κακοὶ δὲ εἶναι.] Διὰ τί κακοὶ λέγονται οἱ δαίμονες.

Αὐτοῖς ἔκβασις.] Ἔκβασιν, τὴν ἀναχώρησιν τοῦ ἁρμόζοντος λέγει· ἀτέλειαν δὲ, τὴν τοῦ τελείου, ἤτοι τῆς τελειότητος, τὴν ἔλλειψιν.

Φαντασία προπετής.] Τί ἐστι φαντασία, ἐν τῷ πρώτῳ κεφαλαίῳ εἴπομεν.

Ἀλλὰ ταῦτα.] Ἰδοὺ καὶ ἑτέρα λύσις, τὸ μὴ εἶναι τὸ κακὸν φύσει κακὸν, ἀλλὰ κατ' ἔκπτωσιν τοῦ ἀγαθοῦ. Τὸ γὰρ ἐν φύσει ὂν, ἀεὶ ὡσαύτως ἔχει,

καὶ

καὶ οὐ καταβάλλεται, ὥσπερ αὐτὸ τὸ ἀγαθόν· τὸ δὲ κακὸν ἀστατόν ἐστιν, ἐπειδὴ φθείρει καὶ ἀλλοιοῖ τὸ περιστυχὸν, ὡς εἴπομεν ἄνω. Οὐκοῦν οὐκ ἐν φύσει τὸ κακὸν, ὥσπερ ἐπὶ τῶν δαιμόνων φησὶν ὁ θεῖος οὗτος ἀνήρ. Εἰ γὰρ οὐκ ἀεὶ κακοὶ οἱ δαίμονες, οὐ φύσει κακοί· τὸ γὰρ ἐν φύσει ὂν, ἀεὶ ὡσαύτως ἔχει. Ἀπέδειξεν οὖν, ὅτι καὶ δαίμονες καθό εἰσι, καὶ νοοῦσι, καὶ ζῶσι, καὶ ἔφεσιν ἔχουσι τοῦ ἀγαθοῦ, οὐκ εἰσὶ φύσει κακοὶ, ἀλλὰ κατὰ παρατροπὴν τοῦ ἀγαθοῦ, ἐν ᾧ καὶ ἐγένοντο.

Οὐδ᾽ αὐτὰ καθ᾽ αὑτὰ κακά.] Ὁ θυμὸς ὁ ἄλογος καθ᾽ ἑαυτὸν, καὶ ἡ ἄνους ἐπιθυμία καθ᾽ ἑαυτὴν, καὶ ἡ προπετὴς φαντασία, οὐ πάντως καὶ ἐπὶ πάντων κακὸν, καθ᾽ ἑαυτὰ σκοπούμενα, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ ἡ ἀναίρεσις αὐτῶν λυμαίνεται τῷ ταῦτα ἔχοντι ζώῳ, ὡς φησὶ τελείως ἐν τῷ ζ. κεφαλαίῳ τούτου τοῦ λόγου. Καλῶς δὲ ἐν ταῖς σχέσεσι ταύταις τὰ διαβαλλόμενα τέθεικεν, ἐπεί ἐστι καὶ θυμὸς μετὰ λόγου, ὡς ὁ κατὰ τῆς ἁμαρτίας, καὶ κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ. Καὶ ἐπιθυμία ἔννους, ὡς τὸ ἐπιθυμεῖν τοῦ βελτίονος, καὶ τὸ, Ἐπιθυμίᾳ ἐπεθύμησα φαγεῖν τὸ Πάσχα τοῦτο μεθ᾽ ὑμῶν. Οὕτως ἐστὶ καὶ φαντασία οὐ προπετὴς, καθ᾽ ἣν ἐφαπτόμεθα τῶν νοητῶν τῷ νῷ ἡμῶν τοῦτο ποιοῦντες.

Οὐχ ἡ σχέσις.] Σχέσιν μέν φησιν, αὐτὸ τὸ ἔχειν ἁπλῶς. Τὰ δὲ προειρημένα, λέγω δὴ θυμὸς καὶ τὰ συνημμένα τῆς ἔν τισι ζώοις ἰδιότητος, συστατικαὶ δυνάμεις εἰσὶ, καὶ κατὰ τοῦτο οὐ κακὸν τὰ τοιαῦτα.

Ἀλλ᾽ ᾗ οὐκ ἔστι.] Κατὰ κοινὸν τὸ Κατὰ φύσιν.

Οὐ μήποτε αὐτάς.] Ἰδοὺ ἐνταῦθα σαφῶς φησιν, ὅτι ἐξ Ἀγγέλων οἱ δαίμονες· τὰς γὰρ δοθείσας αὐτοῖς Ἀγγελικὰς δωρεὰς οὐκ ἀποβάλλουσι, τουτέστιν ὅπερ ἐκ φύσεως ἔχουσιν ἀγαθὸν, οὐ μετατρέπουσιν, εἰ καὶ αὐτοὶ μὴ βούλονται ὁρᾶν τὸ ἐν αὐτοῖς φῶς, μύσαντες αὐτῶν τὰς ἀγαθοποιητικὰς δυνάμεις, ὡς τὸ εἰρημένον περὶ τῶν Ἰσραηλιτῶν, Τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, μήποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Σημείωσαι δὲ, ὅτι φωτοειδεῖς καὶ οἱ δαίμονες, μᾶλλον δὲ φῶτα κατ᾽ οὐσίαν, ὡς καὶ οἱ λοιποὶ Ἄγγελοι· οὕτω καὶ ἐν Εὐαγγελίοις, Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπήν.

instar boni non deiicitur; malum verò non est stabile, quoniam quidquid obuium est corrumpit & alterat, vti suprà diximus. Malum itaque non est in naturâ, quemadmodum neque in dæmonibus esse diuinus hic vir affirmat. Si enim non semper mali dæmones, non sunt naturâ suâ mali. Quod enim naturæ inest, semper eodem modo se habet. Demonstrauit itaque, dæmones, in quantum sunt, & intelligunt ac viuunt, boniqúe desiderio tenentur, non esse naturâ suâ malos, sed auersione à bono, in quo etiam creati sunt.

NEQVE IPSA PER SE MALA SVNT.] Furor irrationalis secundùm se, & amens concupiscentia secundùm se, & imaginatio præceps, non in omnibus & omnino quid malum sunt, secundùm se considerata, quin imò ablatio horum nocet animali quod ea habebat, vti absolutè dicit capite septimo libri huius. Rectè autem in hisce habitibus posuit illa quæ reprehendebantur: nam etiam quædam ira cum ratione coniungitur, vt quæ est contra peccatum & hostes Dei. Estque etiam concupiscentia prudens, vt cùm id, quod præstantius est, desideratur; & illud, *Desiderio desideraui hoc pascha manducare vobiscum.* Ita etiam imaginatio est minimè præceps, quâ apprehendimus ea quæ intelliguntur, dum quid mente nostrâ concipimus.

Neque passiones per se mala sunt.

Luc. 22, 15

NON AFFECTIO.] Affectionem hîc seu habitum vocat ipsam quoquo modo possessionem. Quæ verò anteà dicta sunt, ira inquam ceteraque in animalibus quibusdam sunt potentiæ constitutiuæ proprietatis, & secundùm hoc talia non sunt mala.

SED QVATENVS NON EST.] Subaudiendum, secundùm naturam.

NVMQVAM IPSAS.] Ecce hîc clarè docet, dæmones ex Angelis existere: neque enim Angelica munera ipsis concessa penitus abiiciunt, id est bonum, quod à naturâ habent, minimè euertunt, quamuis ipsi nolint videre lumen suum, dum potentias suas boni visiuas odio habentes, iuxta id quod de Israëlitis dictum est, *Oculos suos clauserunt, & auribus suis grauiter audierunt, ne quando conuertantur, & sanem eos.* Nota verò, dæmones etiam esse luciformes naturâ suâ, quin imò lumina, vti ceteri Angeli; iuxta quod in Euangeliis habetur, *Videbam satanam sicut fulgur.*

Matth. 13, 15.

Luc. 10, 18

MALI

SCHOLIA S. MAXIMI.

MALI NOMINANTVR.] Non ſimpliciter quid dicantur, ſed quid naturâ ſuâ ſint, quærendum eſt. Illud autem, quatenus non ſunt, ſic intelligendum, quòd non fuerint creati in deprauatione datorum ipſis diuinitus habituum & actionum, quæ cùm depoſuerunt, mali facti ſunt, qualem naturam non acceperant.

Qui malũ appetit, id quod non eſt appetit.

DVMQVE ID QVOD NON EST.] Quomodo qui id quod non eſt appetunt, malum appetant. Dicendum: Deus eſt ens entibus ſuperius, atque adeò etiam veritas ens eſt, quoniam Deus veritas eſt. Meritò itaq; id quod veritati repugnat, mendacium & non ens eſt, ſiquidem omnino eſt extra Deum; nec imago veritatis exiſtit, quoniam nullum ex Deo bonum habet. Cùm autem perſuadeat quibuſdam prorſus eſſe aliquid, obſcurum erit ac tenue rerum quoquo modo exiſtentium ſimulacrum; quocircà etiam effectu ſimulacrum eſt, & effectu falſum, id eſt, verè ac realiter falſum, atque adeò etiam effectu non exiſtens, & realiter non exiſtens, non eſt ens, & realiter non ens. Quemadmodum igitur in falſis entibus, & omnino falſum hoc exiſtentibus, ſi falſitas auferatur, omnem rei ſubſtantiam aufert; ita quoq; falſitatis amans, vt dæmones, amat id quod non eſt, & in eo quod eſt, id eſt in veritate non ſtat; quemadmodum ipſamet Veritas teſtatur. Dæmones itaque, vti IESVS ait, cùm mendaces ſint, & mendacij patres, neque ſunt, & id quod non eſt appetunt, quando malum falſumque appetunt.

§. 24. SIN VERO DEPRAVARI.] Nota, minimè malum eſſe verſari cum malis, vt eorum emendatio procuretur; non malum, iuxta

1.Cor.9,21 quod dictum eſt, *Factus ſum iis qui ſine lege erant, tamquam ſine lege, vt lucrifacerem eos qui ſine lege erant.* Diximus autem ſuprà, non eſſe omnimodam boni priuationem in rerum naturâ (quoniam hæc ipſius etiam corruptionis omnimoda corruptio exiſteret) ſed ſecundùm partialem dumtaxat boni alicuius defectionem. Itaque, iuxta illud, neque etiam anima malum habet abſolutũ, ſed vnum quidem habebit, alterum verò non habebit: atque adeò bonum eſt quid eſſentiale, malum autem extrinſecus accidit. Ceterùm, his etiam poſitis, dicet aliquis, malum eſſe animæ impedimentum propriæ ſecundùm naturam operationis: ergo, quamuis extrinſecus fiat

Bonum eſt per ſe, malum verò per accidens.

Λέγονται κακοί.] Οὐχ ἁπλῶς τὸ λέγεσθαι, ἀλλὰ τὸ ὂν τῇ φύσει ζητητέον. Τὸ δὲ καθὸ οὐκ εἰσὶν, οὕτω νοητέον. Οὐ γεγόνασιν ἐπὶ παρατροπῇ τῶν θεόθεν αὐτοῖς δεδομένων ἀγαθῶν ἕξεών τε καὶ ἐνεργειῶν, ἅς τινα ἀποθέμενοι, γεγόνασι κακοὶ, καθ' ἣν οὐκ εἰσὶ τὸ εἶναι λαχόντες.

Καὶ τοῦ μὴ ὄντος.] Πῶς οἱ τοῦ μὴ ὄντος ἐφιέμενοι, τοῦ κακοῦ ἐφίενται. Λεκτέον, Ὁ Θεὸς ὂν ἐστιν ὑπὲρ τὰ ὄντα, καὶ ἡ ἀλήθεια οὖν τὸ ὂν ἐστιν, ἐπειδὴ καὶ ἡ ἀλήθεια ὁ Θεός ἐστιν. Εἰκότως οὖν τὸ ἀντικείμενον τῇ ἀληθείᾳ, ψεῦδός ἐστι, μήτε ὄν· ἔξω γάρ ἐστι τοῦ Θεοῦ παντελῶς· μήτε εἰκὼν ἀληθείας ὂν, οὐδὲν γὰρ ἀγαθὸν ἐκ τοῦ Θεοῦ ἔχει. Ἐπειδὴ δὲ πείθει τινὰς ὅλως εἶναί τι, ἔσται σκοτεινὸν καὶ ἀμυδρὸν τῶν ὁπωσοῦν ὄντων εἴδωλον· διὸ καὶ ἐνεργείᾳ εἴδωλον, καὶ ἐνεργείᾳ ψεῦδος, τουτέστιν ἀληθινῶς καὶ ὄντως ψεῦδος, ὅθεν καὶ ἐνεργείᾳ μὴ ὂν, καὶ ὄντως μὴ ὂν, οὐκ ὄν ἐστι, καὶ ὄντως μὴ ὄν. Τοιγαροῦν ὥσπερ καὶ ἐπὶ τῶν ψευδῶς ὄντων, καὶ τὸ ὅλον τούτου ψεῦδος ὄντων, τὸ ψεῦδος ἀναιρεθὲν, πᾶσαν τὴν οὐσίαν τοῦ πράγματος ἀναιρεῖ· οὕτω καὶ ὁ τοῦ ψεύδους ἐρῶν, ὥσπερ οἱ δαίμονες, τοῦ μὴ ὄντος ἐρᾷ, καὶ ἐν τῷ ὄντι, τουτέστιν ἐν τῇ ἀληθείᾳ, οὐχ ἕστηκεν, ὡς αὐτὴ ἡ Ἀλήθειά φησιν. Οἱ οὖν δαίμονες, καθώς φησιν ὁ Ἰησοῦς, ψεῦσται ὄντες, καὶ πατέρες τοῦ ψεύδους, οὔτε εἰσὶ, καὶ τοῦ μὴ ὄντος ἐφίενται, ὅταν καὶ κακοῦ ἐφίενται τοῦ ψεύδους.

Εἰ δὲ τὸ κακύνεσθαι.] Σημείωσαι, ὅτι τὸ συγγίνεσθαι κακοῖς, ἐπὶ προνοίᾳ τοῦ καὶ αὐτὰ ἀγαθύνεσθαι, οὐ κακὸν, κατὰ τὸ εἰρημένον, Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος, ἵνα καὶ ἀνόμους κερδήσω. Ἔφημεν δὲ καὶ ἀνωτέρω, μὴ παντελῆ στέρησιν γίνεσθαι τοῦ ἀγαθοῦ ἐν τοῖς οὖσιν (ἐπεὶ καὶ παντελὴς ἐγένετο φθορὰ καὶ αὐτῆς τῆς φθορᾶς) ἀλλὰ κατ' ἔλλειψιν τοῦ ἀγαθοῦ μερικήν. Οὐκοῦν κατὰ τοῦτο, οὔτε ἡ ψυχὴ παντελὲς ἔχει τὸ κακὸν, ἀλλὰ τὸ μὲν ἕξει, τὸ δὲ οὐχ ἕξει· καὶ τὸ μὲν ἀγαθὸν, οὐσιῶδες· τὸ δὲ κακὸν, ἔξωθεν. Ἀλλὰ καὶ οὕτως ἐρεῖ τις κακὸν εἶναι τῇ ψυχῇ τὸν ἐμποδισμὸν τῆς οἰκείας κατὰ φύσιν ἐνεργείας· εἰ καὶ ἔξωθεν γίνεται ἦν ὁ ἐμποδισ-

μός,

SCHOLIA S. MAXIMI.

μὸς, ἀλλ' οὖν ὡς ἐν σκότῳ βλέπειν κωλυομένη ψυχὴ, ποιήσει κακά. Πρὸς δὲ λεκτέον, ὅτι ἐκ τῶν εἰρημένων δείκνυται ὁ ἐμποδισμὸς ποιητικὸν κακοῦ, οὐ μὴν αὐτοκακόν. Οὐ γὰρ ἡ κακία πρῶτον κακὸν, ἀλλ' εἶδος κακοῦ, ὥσπερ ἡ ἀρετὴ συνεργόν τί ἐστι πρὸς ἀγαθὸν, οὐ τὸ πρῶτον ἀγαθόν.

Τὸ κακὸν, ὡς ὂν κακόν.] Τουτέστιν, οὐκ οὐσία τις τὸ κακὸν, ἀλλ' οὐδὲ ἐν τοῖς κατ' οὐσίαν ἐστὶ, ὡς συμπληρωτικὸν ταύτης ὁρᾶται, ὥσπερ δύναμις καὶ ἐνέργεια, τὸ κακόν. Καὶ πρὸς τὴν τοιαύτην τῆς ἐννοίας ἀπόδοσιν, ὁ πᾶς περὶ τούτου σκοπὸς ὁρᾶται τοῦ Πατρός.

Ἀλλ' ὡς ἔλλειψις.] Πῶς νοεῖται τὸ κακόν.

Ἀλλ' οὐδ' ἐν ζώοις.] Ὅτι οὔτε ἐν ζώοις ἀλόγοις ἐστὶ τὸ κακὸν, ἐπεὶ μήτε φύσει κακά εἰσιν, ἀλλ' οὔτε αἱ σχέσεις αὐτῶν κακαὶ, οἷον θυμὸς, ἐπιθυμία, φαντασία προπετής.

Εἰ γὰρ ἀνέλοις.] Ὅτι φυσικαί εἰσιν αἱ σχέσεις τῶν ἀλόγων, ὥσπερ λέοντι καὶ ἑρπετοῖς ὁ θυμὸς, καὶ κυσὶ τὸ ὑλακτικόν· ὅθεν ὡς φυσικαὶ, οὔτε κακαί.

Ἀλλ' οὐδὲ ἐν τῇ ὅλῃ.] Φύσις ἐστὶ καθ' ἕξιν θεία τέχνη εἰς γένεσιν προϊοῦσα, ἧς θείας τέχνης τὰ ἀποτελέσματα, φυτά τε καὶ ζῶα καὶ καρποὶ, καὶ τῶν στοιχείων εἰς ἄλληλα μεταβολαὶ, καὶ ὅλως καθ' ἑαυτὴν ἡ οὐσία τῶν φυομένων, ἀρχὴ κινήσεως οὖσα καὶ στάσεως. Ὥσπερ οὖν ἐπὶ τῶν κηροπλάστων, καὶ τῶν τὰς πλαστικὰς μετιόντων τέχνας, δεῖ εἶναί τι ἐν αὐτοῖς μένον, τουτέστι λόγον καὶ νοῦν, οἱ διὰ χειρῶν ποιοῦσι τὰ ἑαυτῶν ἔργα· οὕτω καὶ ἐπὶ τῆς φύσεως τῶν ὅλων, ἐστί τι ἐν αὐτοῖς μένον, τουτέστιν ἡ δύναμις, οὐ διὰ χειρῶν ἐργαζομένη, ἀλλὰ βούλησις καὶ διανόησις οὖσα Θεοῦ, προϊοῦσα οἷον τέχνη εἰς γένεσιν τῶν φυομένων. Οὐ γὰρ δεῖται ἡ φύσις τινῶν* μενόντων, ἑτέρων δὲ ὡς κινουμένων· ἡ γὰρ ὕλη ἐστὶν ἡ εἰς γένεσιν κινουμένη. Τὸ δὲ κινοῦν αὐτὴν, ὁ ἀκίνητός ἐστι λόγος, ὁ ἐν τῷ ὅλῳ, ὅς ἐστιν ἡ θεία τέχνη, ἣν ἔφημεν φύσιν, εἶδος οὖσα, οὐ μὴν ἐξ ὕλης καὶ εἴδους. Τί γὰρ αὐτὴ ὕλης δεῖ; θερμῆς ἢ ψυχρᾶς; ἡ γὰρ δεδημιουργημένη ὕλη, τοῦτο φέρει ἐν ἑαυτῇ. Οὐ γὰρ δεῖ

*κινούντων,

impedimentum, nihilominùs tamen anima, velut in tenebris videre prohibita, mala perpetrabit. Ad quod dicendum, ex dictis reperiri, impedimentum illud mali esse effectiuum, non verò per se malum. Malitia enim non est primum malum, sed mali quædam species; sicut virtus est quid ad bonum adiuuans, non primum bonum.

QVASI MALVM SIT RES ALIQVA.] Id est, malum non est substantia, quin neque in rebus ad complementum substantiæ spectantibus cernitur malum, v. g. vt potentia vel actus. Omnis autem scopus Patris in hoc esse videtur, vt talem aliquem sententiæ suæ sensum reddat.

SED VT DEFECTVS.] Quomodo malum intelligatur.

VERVM NEC IN ANIMALIBVS.] Neq; in animalibus etiam brutis malum esse; quoniam neque naturâ suâ mala sunt, sed nec illorum affectiones malæ sunt, veluti ira, concupiscentia, imaginatio præceps. §. 25.

SI ENIM SVSTVLERIS.] Quoniam affectiones istæ brutorũ naturales sunt, quemadmodum leoni & serpentibus furor, & canibus latratus; vnde, in quantum naturales sunt, non sunt malæ.

SED NEQVE IN TOTO.] Natura est secundùm habitum ars diuina quæ ad generationem procedit, cuius diuinæ artis effectus sunt plantæ & animalia, & fructus, atq; elementorum in se mutuò transmutationes, atque vniuersim, secundùm se, substantia eorum quæ producuntur, quæ est principium motus ac status. Quemadmodum igitur in iis qui ceram variè fingunt, fingendique artes exercent, debet aliquid inesse permanens, id est ratio ac mens, quæ per manus opera sua peragunt; sic etiam in naturâ vniuersorum aliquid in rebus ipsis manet, nempe facultas quædam, quæ non per manus operatur, sed est voluntas conceptusq; Dei, quæ instar artis cuiusdam concurrunt ad eorum quæ producuntur generationem. Natura enim haud opus habet rebus quibusdã mouentibus, aliis verò quasi motis: nam materia est quæ in generatione mouetur. Id autem quod ipsam mouet, est verbum immobile, quod in vniuerso exsistit, estque ars diuina, quam naturam appellauimus, cùm sit forma, non autem ex materiâ & formâ. Quid enim illi opus sit materiâ? calidáne, an frigidâ? quoniam id secum fert materia creata. Neque enim ad §. 26. Rationes rerum bonas esse.

SCHOLIA S. MAXIMI.

ignem accedendum est, vt materia fiat ignis, sed ad rationem. Quod etiam signum est non paruum, esse in animalibus & plantis rationes effectrices, esse rationem illam naturalem, quæ in ipsis permanet; rationes verò formales eorum quæ videntur, esse quædam germina naturæ siue immobilis ac permanentis rationis. Quomodo igitur in vniuersâ naturâ malum sit, cùm in creaturis exsistant rationes quædam naturales quæ in re nullâ toti naturæ, quæ in bono est, contrarientur? Si igitur demonstratum est, vniuersam naturam ex bono exsistere, singularum autem rationes creaturarum minimè contrarias esse naturæ vniuersæ, manifestum est, neque etiam in naturâ malum esse; hoc enim esset pulchro contrarium: itaque non est etiam malum in vniuerso. Porrò quæ secundùm speciem creationis accidunt contraria, siue in temperie, siue in animalibus, & ceteris, non sunt sibi contra naturam, sed aliis, in quæ præter naturam vitiosè feruntur. Est etiam infirmitas quædam naturalis, sed hoc non malum, sed potiùs ordinis est vitium.

Nihil vniuersim malum.

VNIVERSÆ NATVRÆ.] Vniuersam naturam vocat naturam diuinam.

SI ENIM OMNES.] Omnes, inquit, naturæ rationes seu causæ, secundùm quas res factæ sunt & existunt, à naturâ diuinâ exsistunt, quam, vti dictum est, vniuersalem vocat; quia ex ipsâ vniuersa procedunt. Vniuersam autem naturam appellat omnia quæ à Deo creata sunt. Nihil igitur est in rerum naturâ, quod vniuersim vniuersis contrarietur: quod enim alicui rei contra naturam est, alteri est natura: hoc autem bonum; omni igitur naturæ malum est, non manere in quibus producta est; hoc enim naturæ priuationem appellauit, si res non expleant illa, quacumque ex causâ, propter quæ productæ sunt.

§. 27. VERVM NEC IN CORPORIBVS.] Sicut pulchritudo est, membrorum & partium cum bono colore proportio, ita deformitas est, eorumdem disproportio.

CAVSA ANIMÆ.] Cùm Philosophi quidam dicant, ex irrationali animæ parte materiæ corporique commixtâ, cùm ad eam anima adreperet, mala proficisci, vti suprà disseruimus, diuus Dionysius pulcherrimè hîc dubium resoluit ex aliis

πῦρ προσελθεῖν, ἵνα πῦρ ἡ ὕλη γένηται· ἀλλὰ λόγον. Ὃ καὶ σημεῖόν ἐστιν οὐ μικρὸν, τοῦ τὲ ἐν τοῖς ζώοις καὶ τοῖς φυτοῖς τοὺς λόγους εἶναι τοὺς ποιητικοὺς, κατὰ τὴν φύσιν εἶναι λόγον τὸν μένοντα· λόγους δὲ τοὺς κατὰ τὰς μορφὰς τῶν ὁρωμένων, τῆς φύσεως εἶναι γεννήματα, ἤτοι τοῦ κατ' αὐτὴν ἀκινήτου καὶ μένοντος λόγου. Πῶς οὖν ἐν τῇ καθόλου φύσει τὸ κακὸν, τῶν ἐν τοῖς δημιουργήμασι λόγων φυσικῶν ὄντων, καὶ ἐν οὐδενὶ ἐναντιουμένων τῇ ὅλῃ φύσει ἐξ ἀγαθοῦ οὔσῃ; Εἰ τοίνυν ἀποδέδεικται τὴν καθόλου φύσιν ἐκ τἀγαθοῦ εἶναι, τοὺς δὲ καθ' ἕκαστον ἐν τοῖς δημιουργήμασι, λόγους μὴ ἐναντιοῦσθαι τῇ καθόλου φύσει, πρόδηλον ὡς οὐδὲ ἐν φύσει τὸ κακόν· τοῦτο δὲ τῷ καλῷ ἐναντίον· ἐκεῖν οὐκ ἔστι τὸ κακὸν, οὐδὲ ἐν τῷ καθόλου. Τὰ δὲ ἐν τοῖς κατ' εἶδος τῆς δημιουργίας ἐναντία, εἴτε ἐν κράσεσιν, εἴτε ἐν ζώοις, καὶ λοιποῖς, οὐχ ἑαυτοῖς εἰσι παρὰ φύσιν, ἀλλὰ τοῖς ἄλλοις, ἐν οἷς δὲ παρὰ φύσιν πλημμελῶς φέρονται. Τοῦ κατὰ φύσιν ἐστὶν ἀσθένεια, οὐ μὴν τοῦτο κακὸν, κακία δὲ τάξεως μᾶλλόν ἐστι.

Τῆς καθόλου φύσεως.] Καθόλου φύσιν, τὴν θείαν φύσιν καλεῖ.

Εἰ γὰρ οἱ πάντες.] Πάντες, φησὶν, οἱ τῆς φύσεως λόγοι, ἤγουν αἱ αἰτίαι, καθ' ἃς γεγόνασι καὶ εἰσὶ, παρὰ τῆς θείας φύσεως ὑπάρχουσιν, ἣν, ὡς εἴρηται, καθόλου καλεῖ, ἐπειδὴ ἐξ αὐτῆς ἔφυ τὰ ὅλα. Ὅλην δὲ φύσιν πάντα τὰ ὑπὸ τοῦ Θεοῦ κτισθέντα ἐκάλεσεν. Οὐδὲν οὖν ἐστιν ἐν τῇ φύσει, ὅπερ ὅλον ὅλοις ἀντίκειται· τὸ γάρ τινι τῶν ὄντων παρὰ τὴν αὐτοῦ φύσιν, ἑτέρῳ φύσις ἐστί· τοῦτο δὲ ἀγαθόν· πάσῃ οὖν φύσει, τὸ μὴ μένειν ἐφ' οἷς γέγονε κακόν· τοῦτο γὰρ ἔφη στέρησιν τῆς φύσεως, τὸ μὴ ἐκτελεῖν, καθ' ὁποιανοῦν αἰτίαν, τὰ ἐφ' οἷς παρήχθη πρὸς γένεσιν.

Ἀλλ' οὐδ' ἐν σώμασι.] Ὥσπερ τὸ κάλλος, συμμετρία ἐστὶ μελῶν καὶ μερῶν μετὰ εὐχροίας, οὕτως αἶσχος ἀσυμμετρία ἐστὶ τῶν αὐτῶν.

Αἴτιον τῇ ψυχῇ.] Ἐπειδή τινες τῶν Φιλοσόφων φασὶν, ἐκ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους ὕλῃ καὶ σώματι μεμιγμένου, ῥεπούσης ἐπ' αὐτὸ τῆς ψυχῆς, τὰ κακὰ πράττειν, ὡς ἀνωτέρω διῆλθον, παγκάλως ὁ θεῖος Διονύσιος λύει τὸ ἐπαπόρημα ἐκ τῶν ἄλλων ἀσωμά-

ἀσωμάτων καὶ ἀμιγῶν σώματος πάντη, οἳ καὶ δίχα σώματος ἐλλείψει τοῦ ἀγαθοῦ πλημμελοῦσι.

Παρυφίστασθαι κακίαν.] Ὅτι δυνατὸν καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὡς ἐν τοῖς δαίμοσι.

Καὶ σώμασι κακόν.] Τί ἐστι κακόν.

Ἣ μηδὲ τὸ πάσχειν δύνασθαι καθ' ἑαυτήν.] Εὔλογον ἐπιδρομάδην ἐκθέσθαι τὰς δόξας τῶν λεγόντων τὴν ὕλην μὴ ὄν, καὶ πῶς καλοῦσιν αὐτὴν μὴ ὄν, ἵνα καὶ οἱ συλλογισμοὶ τοῦ θείου Διονυσίου νοηθῶσι. Καλοῦσιν οὖν τὴν ὕλην μὴ ὄν, ἐκ τοῦ τοιούτου· φασὶ γὰρ, ὅτι τὸ ὄν, ὅ ἐστιν ἐν τοῖς νοητοῖς διακόσμοις, ἐκ τοῦ πρώτου τοῦ ὑπὲρ τὸ ὂν ὄντος, ἐγένετο. Ἐπεὶ οὖν ἐκεῖνος ὑπὲρ τὸ ὄν ἐστι, τὸ ἐξ αὐτοῦ ὂν ἐκλήθη ἕτερον ὂν τοῦ ὄντος καθ' ὑπόβασιν· τὸ γὰρ ὄν, ὃ λέγουσι, τὴν τῶν νοητῶν ὕλην ὀνομάζουσι, λόγῳ μόνῳ θεωρητήν, ἣν καὶ αὐτὴν εἶδος καὶ ζωήν φασιν, οἱονεὶ τὸ ὑποκείμενον ταῖς νοηταῖς οὐσίαις. Τὴν δὲ ἐν τοῖς αἰσθητοῖς ὕλην, ὡς ἐνδεᾶ πάντων τῶν ἐν τοῖς νοητοῖς· οὔτε γὰρ εἶδος, οὔτε ζωὴ αὐτή· ἐγένετο δὲ αὕτη, ὥς φασιν, ὑπὸ τοῦ ὄντος, ὃ ἔφησαν γενέσθαι ἀπὸ τοῦ πρώτου καὶ ὑπερόντος, ὥστε ἑτέραν αὐτὴν οὖσαν τοῦ ὄντος, οὐ λέγουσιν αὐτὴν εἶναι ὄν, ἀλλὰ μὴ ὄν. Φασὶ γὰρ, χρῆναι τὴν ὑπόβασιν καὶ μέχρι τῶν ἐσχάτων ἰέναι, καὶ διὰ τοῦτο ἑτέραν φασὶ τὴν ὕλην τοῦ ὄντος, καὶ τοῦ καλοῦ, ὡς μηδὲ καλὸν εἶναι. Οὐδὲν οὖν φασιν αὐτὴν ἐνεργείᾳ εἶναι, ἀλλὰ πάντων ἐστερῆσθαι τῶν ἐπ' αὐτῆς συμβαινόντων, οἷον εἴδους καὶ ποιότητος· οὔτε γὰρ ἑαυτὴν μορφοῖ εἰς εἶδος, οἷον οὐρανοῦ, γῆς, ἀέρος, ὕδατος, ζώων, ἀστέρων, οὔτε ποιοῖ, ἀλλ' ἐξ ἑτέρου κοσμεῖται εἰς ταῦτα. Ὡς οὖν οὐδὲν οὖσα τῶν ὄντων ἐπ' αὐτῇ (εἴδους φασὶ καὶ ποιότητος) μόνον δὲ δυνάμει οὖσα ταῦτα, τουτέστιν εἰς εἶδος καὶ ποιότητα ἐναχθῆναι δυναμένη, οὐ μὴν ἐνεργείᾳ τι οὖσα τούτων, εἰκότως μὴ ὄν ἐστι, καθ' ἑαυτὴν ἐνεργείᾳ μὴ οὖσα· διὸ καὶ ὡς ἀνείδεος, καὶ ὡς ἄποιος, καὶ μὴ ὄν, καὶ ὡς πάντων ἐνδεής, ἐκλήθη κακὸν παρ' αὐτῶν. Ταῦτα οὖν λύων ὁ θεῖος Διονύσιος, φησί, Πῶς ποιήσει κακὸν ἡ ὕλη, ἡ παντελῶς μὴ οὖσα τῇ ἐνεργείᾳ; τὸ γὰρ ποιεῖν ἐνεργείας ἐστίν·

rebus incorporeis & omnino impermixtis, quæ etiam ſine corpore boni defectu peccant. SCHOLIA S. MAXIMI.

ADHÆRERE MALITIAM.] Quoniam etiam ſine corpore poteſt alicui malitia adhærere, vt in dæmonibus.

ET CORPORIBVS MALVM.] Quid ſit malum.

QVÆ NEC ID IPSVM A SE HABET, VT PATI POSSIT.] Rationi conſentaneum eſt, curſim exponere opiniones eorum qui materiam non ens appellant, & quâ ratione id dicant, vt etiam D. Dionyſij argumenta intelligantur. Vocant itaque ipſam non ens ob hanc cauſam: quoniam, inquiunt, ens illud, quod eſt in intellectilibus diſpoſitionibus, à primo illo ente, quod ens ſuperat, productum eſt. Cùm itaque ille ſit ente ſublimior, illud ens, quod ab ipſo procedit, vocatum fuit diuerſum ens ab ente in ſubiecto: ens enim quod dicunt, intellectilium materiam appellant, ſolâ ratione viſibilem, quam etiam formam & vitam dicunt intellectilibus quodammodò ſubſtantiis ſubiectam. Materiam verò rerum ſenſibilium aiunt eſſe indignam omnium quæ in intellectilibus exiſtunt: hæc enim neque forma neque vita eſt; aiuntque, ipſam productam eſſe ab iſto ente, quod à ſupremo ente conditum tradunt, adeoque cùm quid aliud ſit ab eo, non dicunt ipſam eſſe ens, ſed non ens. Aiunt enim ſubiectum etiam ad extrema vſque pertingere debere, atque idcircò dicunt, materiam aliquid diuerſum eſſe ab ente & pulchro, cùm non ſit pulchrũ quid. Aiunt itaque, ipſam nihil eſſe actu, ſed omnibus, quæ in ipſa conueniunt, priuatam eſſe, v.g. formâ & qualitate: neque enim ſeipſam in ſpeciem aliquam efformat, veluti cæli, terræ, aëris, aquæ, animalium, aſtrorum; neque qualitate afficit, ſed ab alio ad hæc diſponitur. Cùm itaque in ſemetipsâ nihil ſit rerum exiſtentium (formæ, inquiunt, ac qualitatis) ſed hæc tantùm virtute cõtineat, id eſt, ad formam & qualitatem eleuari poſſit, non verò actu aliquid horum ſit, meritò eſt non ens, quippe per ſe actu non exiſtens; quapropter tamquam formâ qualitateque carens, & non ens, omniumque indigens, ab ipſis vocata eſt malum. Hæc igitur ſoluens D. Dionyſius ait: Quomodo materia malum producet cùm nullo modo actu ſit? producere autẽ proprium ſit actus; §. 28. Materia non eſt mala.

SCHOLIA S. MAXIMI.

imò neque aliquid pati poteſt, ſecundùm ſe ſolam exiſtens: per aliud enim materia hæc noſtra diſponitur ad formam & qualitatem; non patitur ergo quando ſolitaria eſt. Si verò eam non eſſe dicitis, cùm nihil prorſus ſit, neque malum erit, neque bonum. Si autem ſit ens aliquod, aut ex Deo eſt, aut ex ſeipsâ, aut ex alio principio, & ipſa etiam Deus eſt. Si verò materia ſit quidpiam neceſſarium quod mundum compleat, quomodo materia eſt malum? Definitio enim neceſſarij eſt æternum, verum, tamquam vtile, ſicut etiam virtus vtilis eſt: eſt ergo aliud malum, aliud neceſſarium.

Malvm enim qva parte malvm est.] Euertens opiniones eorum qui dicunt, materiam eſſe malum, ait: Quomodo igitur ex materiâ generantur & nutriuntur ea quę ex terrâ gignuntur, vt plantæ & animalia? hæc enim formâ materiaque conſtant. Quomodo igitur id, quod per ſe malum eſt, generat & nutrit, neque ſtatim corrumpit ac corrumpitur? hæc eſt enim affectio mali. Verùm neque (vt ſuprà quoſdam ſentire diximus) materia per irrationalem animæ partem trahit ad malitiam, dum per corpus iſti parti irrationali commiſcetur: plurimi enim hanc partem ſubegerunt, vt ſancti Dei. Quoniam verò quidam Gentilium dixerunt, propterea cælum & aſtra non corrumpi, quia ex puriori materiâ producta ſunt: ea verò quæ corruptibilibus corporibus adhærent, cùm ex ſubiectâ craſſioríque materiâ producantur, quæ neceſſariò, ceu fundamentum creaturarum, quoque vltima exiſtit, taliſque euadit; idcircò etiam res inferiores corrumpi minimeque ſubſiſtere, quòd non poſſint ſtabiliri, & ſecum firmiter hærere, vt cælum & aſtra. Si igitur neceſſariò ſic fiat, quomodo materia eſt malum, cùm, ſecundùm nos, in ſe habeat neceſſarium? Non igitur materia malum eſt.

§.29. *Priuatio non eſt mala.* Privatio vi sva.] Priuatio non eſt aliquod ſuppoſitum, ſed eſt in eo, quod priuatur formâ aliquâ quæ ineſſe poteſt ac debet, vti etiam hîc. Si enim particularis alicuius formæ priuatio ſit in materiâ, aliquid etiam in eâ boni erit, quatenus & formam & ornatum amat, atque hæc vt bona ſuſcipit. Quod autem per ſe malum eſt, id nullam boni communionem admittit; quare etiam non eſt: omnimoda enim priuatio

ἀλλὰ μηδὲ πάσχειν τι δυναμένη, καθ' ἑαυτὴν μόνον οὖσα· ἐξ ἑτέρου γὰρ καθ' ἡμᾶς κοσμεῖται εἰς εἶδος καὶ ποιότητα· οὐ πάσχει οὖν καθ' ἑαυτὴν οὖσα. Εἰ δὲ μὴ ὂν αὐτὴν λέγεται, ὡς παντελῶς οὐδὲν οὖσαν, οὔτε κακὸν ἔσται, οὔτε ἀγαθόν. Εἰ δὲ ἐστί τι ὄν, ἢ ἐκ Θεοῦ ἐστιν, ἢ ἐξ ἑαυτῆς, ἢ ἐξ ἑτέρας ἀρχῆς, καὶ αὐτὴ ἐστὶν ὁ Θεός. Εἰ δὲ ἀναγκαῖον ἡ ὕλη, ὡς συμπληρωτικὸν κόσμου, πῶς κακὸν ἡ ὕλη; Ὅρος γὰρ ἀναγκαίου, ἀΐδιον, ἀληθές, ὡς ὠφέλιμον, οἷα ἐστὶν ἡ ἀρετὴ ὠφελοῦσα· ἄλλο οὖν τὸ κακὸν, καὶ ἄλλο τὸ ἀναγκαῖον.

Τὸ γὰρ κακὸν, ᾗ κακόν.] Ἀνατρέπων τὰς δόξας τῶν λεγόντων κακὸν εἶναι τὴν ὕλην, φησί· Πῶς οὖν ἐξ ὕλης γεννᾶται καὶ τρέφεται ἡ ἔκφυσις τῶν ἀπὸ γῆς, φυτὰ καὶ ζῶα; καὶ ταῦτα γὰρ ἐξ εἴδους καὶ ὕλης εἰσί. Τὸ οὖν αὐτοκακὸν πῶς γεννᾷ καὶ τρέφει, καὶ οὐκ εὐθὺς φθείρει καὶ φθείρεται; αὕτη γὰρ ἕξις τοῦ κακοῦ. Ἀλλ' οὔτε (ὡς ἔφημεν ἄνω λέγειν τινὰς) ἐφέλκεται εἰς κακίαν τὰς ψυχὰς ἡ ὕλη, διὰ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, διὰ τοῦ σώματος μεμιγμένη τῷ ἀλόγῳ τῆς ψυχῆς· πολλοὶ γὰρ ἐκράτησαν τοῦ τοιούτου μέρους, ὡς οἱ ἅγιοι τοῦ Θεοῦ. Ἐπειδὴ δὲ ἔνιοι τῶν Ἑλλήνων φασὶ, διὰ τοῦτο τὸν οὐρανὸν καὶ τὰ ἄστρα μὴ φθείρεσθαι, διὰ τὸ ἐκ τοῦ καθαρωτέρου τῆς ὕλης γενέσθαι· τὰ δὲ προσεχῆ τοῖς φθαρτοῖς σώμασιν, ἐκ τῆς ὑποστάθμης καὶ παχυτέρας ὕλης λέγουσι γενέσθαι, ἀναγκαίως καθ' ὑπόβασιν τῶν κτισθέντων ἐσχάτην οὖσαν, ἀποβῆναι τοιαύτην· διὸ καὶ φθείρονται τὰ κατώτερα, καὶ ἀστατοῦσι, μὴ δυνάμενα ἱδρῦσθαι καὶ βεβαίως ἔχειν ἐφ' ἑαυτοῖς, ὡς ὁ οὐρανὸς καὶ τὰ ἄστρα. Εἰ οὖν ἀναγκαίως οὕτω γέγονε, πῶς ἡ ὕλη κακὸν, ἔχουσα καθ' ἡμᾶς ἐν ἑαυτῇ τὸ ἀναγκαῖον; Οὐκ οὖν ἡ ὕλη κακόν.

Ἡ στέρησις κατὰ δύναμιν.] Ἡ στέρησις οὐκ ἔστιν ὑπόστασίς τις, ἀλλὰ περὶ τὸ ἐστερημένον τοῦ παρεῖναι πεφυκότος καὶ ἐπιβάλλοντος εἴδους γίνεται, ὡς καὶ ἐνταῦθα. Μερικῶς γὰρ τῆς στερήσεως οὔσης ἐν τῇ ὕλῃ τοῦ εἴδους, ἔσται τοῦ ἀγαθοῦ τι ἐν αὐτῇ, καθὸ καὶ εἴδους καὶ κόσμου ἐρᾷ, καὶ δέχεται ταῦτα ὡς ἀγαθά. Τὸ δὲ αὐτοκακὸν, οὔτε ἀγαθοῦ μετουσίαν δέχεται, διὸ οὔτε ἐστίν· ἡ γὰρ παντελὴς στέρησις καὶ

αὐτὸ

SCHOLIA S. MAXIMI.

αὐτὸ τὸ ὑποκείμενον σῶμα φθείρῃ, ὡς μηδὲ νόσον ἔτι ὑπομεῖναι· ὅθεν καὶ ἀδύναμον αὐτὴν εἶπεν. Ἡ δὲ μερικὴ, ὡς ἔχουσά τι τοῦ ἀγαθοῦ, δύναμιν λέγεται ἔχειν.

Ἀλλὰ καθὸ οὐ παντελής.] Ὅρος σύντομος τοῦ κακοῦ, ὅτι οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ μερικὴν ἔλλειψιν τοῦ ἀγαθοῦ ἐστι.

Καὶ τῆς ὅλης αἰτίας.] Ὅλην αἰτίαν, τὴν τῶν ὅλων φησί. Τὸ δὲ μερικὸν εἴρηκεν, ἵνα τὸ καθόλου ἀνέλῃ· παντελὴς γὰρ ἔλλειψις, τὸ μὴ εἶναι συνίστησιν.

Οἶδεν ὁ Θεὸς τὸ κακόν.] Καὶ τὰ λεγόμενα κακὰ οἶδεν ὁ Θεὸς ἔσθ' ὅτε ὡς ἀγαθά. Κακὰ δὲ νῦν φησιν, οἷον πολέμους, νόσους παιδευτικὰς, θανάτους, καὶ τὰ τοιαῦτα· νομίζονται γὰρ ἡμῖν κακὰ, εἰσὶ δὲ δυνάμεις ἀγαθοποιοῦ αἰτίας· ἢ γὰρ διὰ τῶν εἰρημένων μετάνοια καὶ ἐπίγνωσις Θεοῦ, καὶ εὐσεβείας τοῖς πλείοσιν ἐγένετο πρόφασις, καὶ ἐν τοῖς Προφήταις ἡ κακία, παιδεία λέγεται. Ἀνάγνωθι τὸ κβ. κεφάλαιον.

Παρ' αὐτῷ αἱ αἰτίαι.] Αἰτία τοῦ ἐν τῷ ἀσελγαίνειν κακοῦ, ἡ ἐπιθυμία παρὰ λόγον κινηθεῖσα· ἀλλ' αὐτὴ ἡ ἐπιθυμία, δύναμις ἀγαθοποιὸς, λογικοῖς μὲν, πρὸς τὸ δι' αὐτῆς πρὸς τὸ ὄντως ἀνατείνεσθαι ἀγαθόν· ἀλόγοις δὲ, πρὸς ὄρεξιν τῶν ἐπιτηδείων τῆς οἰκείας διαμονῆς.

Εἰ δὲ τὸ κακὸν ἀΐδιον.] Ταῦτα κατὰ Μανιχαίων ἔλεγχος, καὶ τῆς δόξης αὐτῶν ἀνατροπή. Εἰ γὰρ καὶ μήπω ἡ αἵρεσις, ἀλλὰ προφυλακτικῶς ἐνεπνεύσθη τὰ τὴν πλάνην αὐτῶν ἀνατρέποντα. Ἴσως δὲ καὶ πρὸς τινὰς τὰς ἔξωθεν δόξας τὰ τοιαῦτα.

Πᾶν τὸ κατὰ φύσιν.] Τουτέστιν οὐκ ἄτακτοι τῶν φύσεων οἱ λόγοι. Ἕπεται δὲ τῷ κατὰ φύσιν τὸ ὡρισμένον· ὅρος γάρ ἐστι καὶ ὁ ἑρμηνευτικὸς λόγος τῆς οὐσίας τῶν πραγμάτων, καὶ τὸ τί ἦν εἶναι δηλῶν, τοῦ τί ἦν εἶναι, τῷ τί ἐστιν ἴσα δυναμένου. Πᾶν οὖν τὸ κατὰ φύσιν, ἐξ αἰτίας ὡρισμένης ἐστὶ, δι' ἣν αἰτίαν γίνεται τὸ γινόμενον. Εἰ οὖν τὸ κακὸν ἀναίτιόν ἐστιν (οὐ γὰρ διά τι γέγονεν) εἰκότως καὶ ἐν ἀορισίᾳ (οὐ γάρ ἐστιν αὐτοῦ λόγος, τὸ τί ἦν εἶναι ἑρμηνεύων) ἐξ ἀνάγκης, οὐδὲ κατὰ φύσιν. Εἰ οὖν παρὰ φύσιν, οὐχ

ita etiam ipsum subiectum corpus corrumpit, vt amplius morbum sustinere nequeat; vnde ipsam quoque viribus carere dixerunt. Partialis verò, vt quæ aliquid boni habeat, vi aliquâ pollere dicitur.

Sed secundum quod non est omnimoda.] Breuis definitio mali, quòd non sit secundùm naturam, sed secundùm partialem defectum boni existat.

Et ex integra causa.] Integram causam vocat eam quæ est vniuersorum. Dixit autem particulare, vt tolleret vniuersale: omnimoda enim defectio nihilum constituit. §. 30.

Cognovit Deus malum.] Deus etiam ea quæ dicuntur mala, quandoque nouit vt bona. Mala verò modò appellat, vt bella, morbos qui mores corrigant, mortes, & similia: reputantur enim à nobis mala, sunt autem vires causæ boni effectricis; nam per prædicta pœnitentia Deique notitia comparatur, pluribusque existit occasio pietatis. atque in Prophetis etiam malitia dicitur disciplina. Lege caput vigesimum secundum.

Penes ipsum causæ.] Causa mali in lasciuiendo, est concupiscentia præter rationem mota: ipsa tamen concupiscentia facultas est benefica, ratione quidem vtentibus, vt per ipsam sursum ad verum bonum tendant; brutis verò, vt appetant ea quæ ad propriam suam conseruationem conducunt.

Quod si malum æternum est.] Hoc argumentū valet contra Manichæos, & ad opinionem eorum euertendam. Etsi enim illa hæresis tum nondum existeret; tamen ad præcautionem inspiratione accepit quæ errorem istum euerterent. Fortassis etiam ista erant contra quasdam Ethnicas opiniones.

Omne quod secundum naturam est.] Id est, haud inordinatæ sunt rationes naturarū. Ceterùm quod ex naturâ sequitur definitum est: definitio enim est ratio essentiam rerum explicans, & quod quid erat esse declarās; cùm istud *quid erat esse*, æquiualeat isti *quid est*. Omne igitur quod est secundùm naturā, ex definitâ causâ est, per quam fit id quod fit. Si itaq; malum causâ caret, (à nullo enim productum est) meritò nec definitum est (nulla enim eius est ratio quæ essentiā declaret) & necessariò non est etiam secundùm naturam. Si autem est contra

Naturas esse ordinatas & bonas.

SCHOLIA S. MAXIMI.

naturam, non habebit etiam in naturâ rationem, sicut nec inscitia in arte.

Si qvidem natvra.] Nisi anima secundùm partialem boni priuationem deprauetur ab aliquo extrinseco quod substantiæ ipsius accidat, mali priuatio erit de essentiâ ipsius, eritque ipsi malum illud substantiale. Et quomodo erit anima? neque enim viuet, quia vitam non habebit; vita autem est quid bonum. Si verò anima sit, aliquid boni participat, scilicet vitam; ergo habebit aliquod bonum essentiale, non verò malum; & idcircò dicitur boniformis. Imbecillitate porrò propriâ contra naturam operando deprauatur, tamquam imbecilla & ad passiones propensa. Imbecillitas autem animæ non est sicut in corporibus crassities aut gracilitas quoad substantiam eius, sed ad materialia temporaliaq; procliuitas, vnde etiam vitiosè posteà mouetur. huius autem fœtus vocat hîc opera. Nota verò, animæ operationem non habere immutabilitatem, vtpote accedentem ac recedentem.

Sin per actiones.] Ita vt compendio hæc eius sit sententia, Naturam animæ esse bonam, quandoquidem à bono producta est, eiusque actiones esse bonas. Videmus enim viros probos sibi conuenientia operari. Ex subuersione verò & defectu boni subit malum: ergo malum non est in naturâ, neque in substantiâ.

§.31. *Malum multas habet causas.*

Si bono malvm.] Multa sunt vni contraria. Ergo si vni ac bonæ causæ contraria sint multa, malo multæ causæ erunt. Atque si rerum naturalium, vt suprà dixi, rationes quædam ac virtutes sint effectrices, vitiosi vtique motus earumdem, ex imbecillitate facultatisque defectu promanantes, ea, quæ naturæ contraria sunt, producunt, quibus etiam malum quodammodò subsistere videtur. Quin etiam mala quandoque generat immoderata quędam rerum dissimilium commixtio, cùm aut calidum, aut frigidum, aut siccum, aut humidum præ ceteris inualescit, vnde morbi frequenter existunt. Quomodo autem malum, rebus omnibus prout factæ sunt manentibus, consistat? hæ enim ex motu Dei voluntate productę sunt, ac in terminis propriis manent immotæ, cùm stent & terminentur in Deo. Harum autem contrarium, nempe ipsum per se ma-

ἔχει ἐν τῇ φύσει λόγον, ὡς οὔτε ἐν τῇ τέχνῃ ἡ ἀτεχνία.

Εἰ μὲν φύσει.] Εἰ μὴ κατὰ στέρησιν μερικὴν τοῦ ἀγαθοῦ κακύνεται ψυχὴ, ἔξωθεν τῆς οὐσίας αὐτῆς, ἀλλ' ἀλλοτρίου τινὸς ἐπισυμβαίνοντος, ἔσται τῆς οὐσίας αὐτῆς ἡ στέρησις τοῦ ἀγαθοῦ, καὶ ἔσται οὐσιῶδες αὐτῇ τὸ κακόν. Καὶ πῶς ἔσται ψυχή; οὔτε γὰρ ἔσται ζῶσα· οὐ γὰρ ἔχει ζωὴν, ἀγαθὸν δὲ ζωή. Εἰ δὲ ψυχή ἐστι, μετέχει τοῦ ἀγαθοῦ, τουτέστι ζωῆς· οὐσιῶδες οὖν ἔχει τὸ ἀγαθὸν, καὶ οὐ τὸ κακὸν, διὸ καὶ ἀγαθοειδὴς λέγεται. Ἀσθενείᾳ δὲ τῇ περὶ τὰ οἰκεῖα, κατὰ φύσιν ἐνεργεῖν κακύνεται, ὡς ἀσθενὴς καὶ εὐκίνητος οὖσα πρὸς τὰ πάθη. Ἀσθένεια δὲ ψυχῆς, οὐχ ὡς ἐπὶ σωμάτων παχύτης ἢ ἰσχνότης εἰς τὴν οὐσίαν αὐτῆς, ἀλλ' ἐπὶ τὰ ὑλικὰ καὶ πρόσκαιρα ἔνδοσις· ὅθεν καὶ πλημμελῶς λοιπὸν κινεῖται· ἔκγονα δὲ ταύτης, ἐνταῦθα τὰ ποιήματα λέγει. Σημείωσαι δὲ, ὅτι ἡ ἐνέργεια τῆς ψυχῆς οὐκ ἔχει τὸ ἀμετάβλητον, ὡς συμβαίνουσα καὶ ἀποσυμβαίνουσα.

Εἰ δὲ ταῖς ἐνεργείαις.] Ἵνα ᾖ ὁ νοῦς ἐν συντόμῳ οὕτως, Ὅτι ἡ φύσις τῆς ψυχῆς ἀγαθὴ, ἐπειδὴ ἐκ τοῦ ἀγαθοῦ παρήχθη, καὶ αἱ ἐνέργειαι αὐτῆς ἀγαθαί. Ὁρῶμεν γὰρ τοὺς ἀγαθοὺς ἄνδρας ἐνεργοῦντας τὰ οἰκεῖα. Ἐκ παρατροπῆς δὲ καὶ ἐλλείψεως τοῦ ἀγαθοῦ, παρεισδύνει τὸ κακόν· οὐκοῦν οὐκ ἐν φύσει, οὐδὲ ἐνούσιον τὸ κακόν.

Εἰ τῷ ἀγαθῷ τὸ κακόν.] Τῷ ἑνὶ ἐναντία τὰ πολλά. Οὐκοῦν εἰ τῷ ἑνὶ καὶ ἀγαθῷ αἰτίῳ ἐναντίον τὰ πολλὰ, αἴτια πολλὰ τῷ κακῷ. Καὶ εἰ τῶν κατὰ φύσιν, ὡς ἄνω ἔφην, λόγοι καὶ δυνάμεις εἰσὶ τὰ ποιητικὰ, τῶν παρὰ φύσιν ποιητικὰ, αἱ πλημμελεῖς τῶν κατὰ φύσιν κινήσεις ἐξ ἀσθενείας καὶ ἀδυναμίας συμβαίνουσαι, δι' ὧν καὶ παρυφίσταται τὸ κακόν. Ποιεῖ δὲ κακὰ ἔσθ' ὅτε καὶ μίξις τῶν ἀνομοίων ἀσύμμετρος, ὅταν ἢ τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν πλέον τῶν ἄλλων κρατήσῃ, ὅθεν καὶ νόσοι πολλάκις. Πῶς δὲ συσταίη κακὸν τῶν γινομένων ἁπάντων, ὡς ἐποιήθησαν μενόντων; ταῦτα μὲν γὰρ ἐκ κινήσεως θελήματι Θεοῦ παρήχθη, καὶ ἀκίνητα ἐν τοῖς ἰδίοις ὅροις μένει, ἑστῶτα καὶ πεπερασμένα ἐν τῷ Θεῷ. Τὸ δὲ τούτων ἐναντίον, τὸ αὐτοκακὸν, ἄστα-

τον, καὶ πέρας οὐκ ἔχον, οὔτε ὡρισμένον, ὧν οὐδὲν ἐν τῇ δημιουργίᾳ ὁρῶμεν. Πῶς οὖν ἐνυπόστατον τὸ κακόν;

Λόγοι καὶ δυνάμεις.] Τουτέστιν, οὐ κατὰ λόγον ἀναγκαῖον τῇ φύσει, ἤ τινα οὐσιώδη ἰδιότητα ταῦτα λογίζεσθαι χρή. Μίξιν δὲ τῶν ἀνομοίων οἶμαι νοῆσαι τὴν τῶν φυσικῶν δυνάμεων ἐπὶ τὰ μὴ προσήκοντα κίνησιν, ὅπερ ἡ ἀμετρία ποιεῖ, μὴ λόγῳ κρατουμένων τῶν κινήσεων εἴσω μένειν τῶν ὅρων, ἐφ' οἷς καὶ γεγόνασι.

Πάντων καὶ τῶν κακῶν.] Ὅτι πάντων καὶ τῶν κακῶν ἀρχὴ καὶ τέλος ἐστὶ τὸ ἀγαθὸν, ἐπειδὴ καὶ πᾶν ποιοῦντες, ἀγαθὸν ποιεῖν νομίζομεν· καὶ ὅτι ὑπόστασιν οὐκ ἔχει τὸ κακὸν, ἀλλὰ παρυπόστασιν, τοῦ ἀγαθοῦ ἕνεκα, καὶ οὐχ ἑαυτοῦ γινόμενον. Τοῦτο δὲ καὶ ἀνωτέρω εἰρήκαμεν, ὅτι οὐ πρὸς τὸ κακὸν ὁρῶντες, τοῦτο πράττομεν, ἀλλὰ δοκοῦντες ἀγαθὸν ποιεῖν, εἰ καὶ ἡ ἔκβασις τοὐναντίον δείκνυσιν.

Ὅτι τοῦ ἀγαθοῦ ἕνεκα.] Ὃ εἶπε καὶ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ διὰ τὸ ἀγαθὸν, ἐπειδὴ νομίζομεν ὃ ποιοῦμεν ἀγαθόν.

Τῷ ὄντι δὲ, οὐκ ὀρθόν.] Ἐφιέμενοι γὰρ κατὰ φύσιν καὶ δύναμιν τοῦ ἀγαθοῦ ἑκτικὴν, πράττομεν ἔσθ' ὅτε ἀγνοοῦντες τὸ κακὸν, ὃ ἡμῖν μὲν νομίζεται καλὸν, τῇ δὲ ἀληθείᾳ ἐστὶ κακόν. Τί γάρ; ὅτι τιμωροῦντες τῷ ἠδικημένῳ, φονεύομεν ἔσθ' ὅτε τὸν ἀδικήσαντα μὴ ἄξιον ὄντα θανάτου. Οὕτω νόει, καὶ οὐ σφάλλῃ.

Στέρησις ἄρα ἐστί.] Θαυμασίως ἔδειξεν ἀνυπόστατον τὸ κακὸν, στέρησιν ἀποδείξας τῶν ἐν τάξει καὶ φύσει· ἡ δὲ στέρησις οὐκ αὐτοϋπόστασις, ὡς προέφημεν, ἀλλὰ τὸ πεφυκὸς καὶ ἐπιβάλλον παρεῖναι μὴ παρόν. Ὅθεν καὶ ἁμαρτίαν, τουτέστιν ἀτευξίαν καὶ ἀπόπτωσίν τινα τοῦ προσήκοντος, αὐτὸ τὸ τῆς στερήσεως καλεῖ, καὶ ἄσκοπον, ἀντὶ τοῦ παρὰ τὸν σκοπὸν βάλλον, ἐκ μεταφορᾶς τῶν τοξευόντων. Ὥσπερ γὰρ ἐκεῖνοι ἐπιτυγχάνοντες τοῦ σκοποῦ (τουτέστι τοῦ σημείου ἐφ' ὃ τοξεύουσιν, ὃ δὴ καὶ σκοπὸς λέγεται) καλῶς προΐασιν· οὕτως οἱ ἔξω τοῦ σκοποῦ τοξεύοντες, ἁμαρτάνουσι τοῦ προσήκοντος.

Καὶ ἁμαρτία.] Τὸ Ἁμαρτία μὴ νοήσῃς τὴν γινομένην ἐν ἡμῖν, οἷον μοιχείαν, ἢ

lum, instabile est, neque terminum habet, neque definitum est, quorum nihil videmus in creatis. Quomodo igitur malum subsistere possit?

RATIONES AC FACVLTATES] Id est, non secundùm rationem aliquam naturæ necessariam aut essentialem quamdam proprietatem hæc accipi debent. Mixtionem autem dissimilium existimo significare motionem quamdam naturalium potentiarum ad ea quæ non decet, quam intemperantia conciliat, quando motus iuxta suos terminos, in quibus orti sunt, minimè coërcentur.

MALORVM ETIAM OMNIVM.] Omnium etiam malorum principium & finem esse bonum, quia quidquid facimus, bonum facere arbitramur: quocircà etiam malum nullam habet subsistentiam, sed quasi quodammodò adiacentiam, dum boni & non suiipsius causâ fit. Hoc verò etiam superius indicauimus, nos nempe nihil agere spectando malum, sed putando nos aliquid boni agere, licet exitus contrarium probet. *Nihil propter malum facimus.*

QVIA BONI GRATIA.] Quod dixit etiam capite præcedenti propter bonum: quia id quod facimus, putamus esse bonum. §. 32.

REVERA AVTEM NON RECTVM.] Dum enim aliquid secundùm naturam & habitualem boni virtutem cupimus, inscij quandoque malum agimus, quod nobis quidem bonum videtur, reuerà tamen malum est: vt cùm maleficum morte mulctamus, qui aliquando tamen mortem non meruit. Sic intellige, & non erras.

PRIVATIO ERGO EST.] Mirabiliter ostendit malum non subsistere, dum vocat illud priuationem rerum ordinatarum ac naturalium: priuatio autem, vti prædiximus, per se minimè subsistit, sed quod deberet & exigeret adesse, non adest. Vnde etiam priuationem vocat aberrationem & lapsum à decoro, & scopi frustrationem, pro iactu à scopo deflectente, à iaculantibus metaphorâ desumptâ. Quemadmodum enim ipsi dum scopum (seu signum ad quod collineant, & scopus dicitur) attingunt, rectè progrediuntur; ita qui extra scopum iaculantur, à decoro aberrant.

ET PECCATVM.] Per peccatum non intelligas illud quod in nobis factũ est, veluti adul-

SCHOLIA S. MAXIMI.

adulterium vel iniustitiam, vel aliud quid simile; sed id quod ait, est eiusmodi; quòd nempe, à bono & naturali motu seu ordine aberrantes, vergimus, præter naturam, ad irrationalem & omnimodam, & substantiâ vacuam abolitionem. Vnde etiam ait, malum nusquam vllo modo esse.

NON OMNIA OMNIBVS.] Diuinè seruauit subordinationes in creatione: siquidem mens, secundùm quam diuini & prorsus immateriales spiritus substantiam suam sortiuntur, cùm animâ sublimior sit. Angelus igitur, à boniformitate deficiens, in dæmonem euasit; anima verò, in quantum intelligens ac rationalis, mentem intellectilem sibi subditam non direxit secundùm rationem, non agit ea quæ sunt propria: corpora verò, quæ sunt infra rationem intelligentem, præter naturam suam, reperta, in seipsis nihil valent.

§.33. QVOMODO SINT OMNINO MALA?] Si in omnibus sit prouidentia, nusquam naturâ malum est.

QVIN ETIAM IIS QVÆ SVNT.] Quoniam etiam iis, quæ sunt aut censentur mala, benignè Deus vsus est ad nostram aliorúmve vtilitatem.

AVT ALIORVM, VEL PROPRIAM.] Contra eos qui dicunt, nos etiam inuitos debere esse bonos.

QVI AIVNT DEBERE PROVIDENTIAM.] Obserua quomodo increpet dicentes, Quare non fecit nos Deus sic, vt vel inuiti non peccemus? hoc enim nihil aliud est quàm dicere, Quare non amentes nos & irrationales fecit? Si enim necessariò ad virtutem duceremur, nequaquam nos nostri rerumque nostrarum compotes ac potentes declarasset, neque naturam nostram intelligentem esse siuisset, id est animam intellectu præditam. Aufer enim libertatem nostram, & neq; Dei imago erimus, nec habebimus animas rationales & intelligentes, & natura nostra penitus interibit, dum non est quod ipsam esse oportebat. Quod autem dixit *per se mobilium*, intelligendum est, pro liberi arbitrij suique iuris ac potestatis existentium, non autem pro se mouentium, v.g. animatorum, ad distinctionem immobilium, vt ædium atq; montium; aut in alteram partem mobilium, vt lapidum & lignorũ. Differens enim de virtute, *per se mobiles* seu liberos accipit, quibus ait accommodatam esse

ἀδικίαν, ἢ ἄλλο τι τοιοῦτον· ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι, τοῦ ἀγαθοῦ καὶ τῆς κατὰ φύσιν κινήσεως, ἤτοι τάξεως ἀποτυγχάνοντες, φερόμεθα εἰς τὴν παρὰ φύσιν ἄλογον, καὶ παντελῆ, καὶ ἀνούσιον ἀνυπαρξίαν· ὅθεν καὶ μηδαμῆ μηδὲν ὂν λέγει τὸ κακόν.

Οὐ πάντα πᾶσι.] Θείως τὰς ὑποβάσεις τὰς ἐν τῇ δημιουργίᾳ διέσωσεν· ὁ μὲν γὰρ νοῦς, καθ' ὃν οὐσιοῦνται οἱ θεῖοι νόες, καὶ πάντη ἄϋλοι, ἀνώτερος ψυχῆς ἐστιν. Ὁ οὖν Ἄγγελος, ὁ παρὰ τὸν ἀγαθοειδῆ νοῦν κινηθεὶς, δαίμων ἀπέβη· ἡ δὲ ψυχὴ, καθὸ νοερὰ καὶ λογικὴ, οὐ κατὰ λόγον ἐνεργοῦσα τὸν ὑποβεβηκότα νοῦν τὸν νοητὸν, οὐκ ἐνεργεῖ τὰ οἰκεῖα· τὰ δὲ σώματα τὰ ὑποβεβηκότα τὸν νοερὸν λόγον παρὰ φύσιν εὑρεθέντα, οὐκ ἐρρῶνται εἰς τὰ ἑαυτῶν.

Πῶς ὅλως τὰ κακά;] Εἰ πρόνοια ἐν πᾶσιν, οὐδαμοῦ φύσει τὸ κακόν.

Ἀλλὰ καὶ τοῖς γινομένοις.] Ὅτι καὶ τοῖς γινομένοις καὶ νομιζομένοις κακοῖς ἀγαθοπρεπῶς κέχρηται ὁ Θεὸς πρὸς διόρθωσιν ἢ ὠφέλειαν ἡμῶν, ἢ ἑτέρων.

Ἢ ἄλλων, ἢ ἰδικήν.] Πρὸς τοὺς λέγοντας, ὅτι ἐχρῆν ἡμᾶς καὶ ἄκοντας εἶναι ἀγαθούς.

Οἱ χρῆναί φασι τὴν πρόνοιαν.] Σημείωσαι, πῶς ἐπιπλήττει τοῖς λέγουσι, Διὰ τί γὰρ μὴ ἐποίησεν ἡμᾶς ὁ Θεὸς οὕτως, ἵνα κἂν θέλωμεν μὴ ἁμαρτάνωμεν; τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ λέγειν, Διὰ τί μὴ ἀνόητα καὶ ἄλογα ἡμᾶς ἐποίησε; Τὸ γὰρ ἐξ ἀνάγκης ἡμᾶς ἄγεσθαι ἐπ' ἀρετὴν, οὔτε αὐτοκράτορας εἶναι ἡμᾶς ἐδείκνυ τῶν καθ' ἑαυτοὺς, οὔτε τὴν νοερὰν ἡμῶν φύσιν εἶναι συνεχώρει, τουτέστι τὴν νοερὰν ψυχήν. Ἄνελε γὰρ ἡμῶν τὸ αὐτεξούσιον, καὶ οὔτε εἰκὼν Θεοῦ ἐσόμεθα, οὔτε ψυχὴ λογικὴ καὶ νοερὰ, καὶ τῷ ὄντι φθαρήσεται ἡ φύσις, οὐκ οὖσα ὅπερ ἔδει αὐτὴν εἶναι. Ὅπερ δέ φησιν Αὐτοκινήτων, ἀντὶ τοῦ αὐτεξουσίων καὶ αὐτοκρατόρων εἰρῆσθαι νοητέον· οὐ γὰρ τῶν ἑαυτοὺς κινούντων, οἷον ἐμψύχων, πρὸς ἀντιδιαστολὴν τῶν ἀκινήτων, ὡς οἴκων καὶ ὀρῶν· ἢ ἑτεροκινήτων, ὡς λίθων καὶ ξύλων. Περὶ γὰρ ἀρετῆς διαλεγόμενος, τοὺς αὐτοκινήτους παρέλαβεν, ὧν φησι πρόσφορον τὴν πρόνοιαν,

οἷον

SCHOLIA S. MAXIMI.

οἷον τὴν διὰ νόμου καὶ Προφητῶν, τὴν διὰ τῶν εὐεργεσιῶν, ὡς καὶ ὁ Ἀπόστολος δηλοῖ, δημηγορῶν παρ' Ἀθηναίοις.

Ἄκοντας ἡμᾶς.] Καλῶς ἀνέτρεψε τὸν λόγον τῶν λεγόντων, ὅτι ἐχρῆν ἡμᾶς καὶ ἄκοντας καὶ ἐξ ἀνάγκης εἶναι καλούς· τοῦτο γὰρ φθορὰ ἦν ἡμῶν τῆς οὐσίας, ἀνῄρητο γὰρ ἂν τὸ αὐτεξούσιον.

Τῶν αὐτοκινήτων.] Ἀντὶ τοῦ τῶν αὐτεξουσίων, ὡς ἡ παρακειμένη δηλοῖ παραγραφή.

Καὶ ἀλλοίωσις.] Σημείωσαι, ὅτι καὶ τὰ ἀσώματα καὶ τὰ ἄϋλα ἀλλοιοῦται, μὴ μένοντα ἐν τῇ τοῦ ἀγαθοῦ ὁλοτελῶς ταυτότητι. Τὸ μὲν γὰρ ἀγαθὸν, ταὐτὸν, ὡς ἀεὶ ἑστὼς καὶ βέβαιον· τὸ δὲ τρεπόμενον, οὐ ταὐτόν.

Ἐν γνώσει δὲ ἁμαρτάνοντας.] Ὅρα πῶς ἑρμηνεύει τὸ, Οὐαὶ τοῖς ἐν γνώσει ἁμαρτάνουσι· καὶ τὸ, Ὁ δοῦλος ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν αὐτὸ, δαρήσεται πολλάς.

Ἢ τῆς γνώσεως.] Γνῶσίν φησιν ἴσως τὴν ἐκ διδασκαλίας προσγινομένην, ἣν καὶ λήθη πολλάκις δύναται ἀμαυρῶσαι, ἣν καὶ ἀνωτέρω φησὶν ἐξ ἀκοῆς ἐγγίνεσθαι. Ἄληστον δὲ τὴν γνῶσιν οἰητέον, τὴν ἐκ φυσικῆς θεωρίας ἢ ἐλλάμψεως ἀδιδάκτως προσγινομένην.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν.] Σημείωσαι, ὅτι καὶ ἄλλο ἐστὶν αὐτοῦ σύνταγμα περὶ Δικαίου καὶ θείου δικαιωτηρίου. Σημείωσαι δὲ καὶ, ὅτι εἴκοσι καὶ τρεῖς συλλογισμοὺς ἔχει τὸ κεφάλαιον τοῦτο, ἀποδεικνῦντας, ὅτι οὐκ ἔστιν ὂν τὸ κακόν.

prouidentiam, nempe istam quæ per legem ac Prophetas & beneficia exhibetur, vti & Apostolus declarat, dum ad Athenienses concionatur.

INVITOS NOS.] Pulchrè subuertit rationem eorum qui dicunt, oportere nos etiam inuitos & ex necessitate bonos esse: hoc enim esset essentiæ nostræ destructio, tolleretur enim liberum arbitrium.

PER SE MOBILIVM.] Pro liberorum, prout adiunctus paragraphus declarat.

ET MVTATIO.] Nota, etiam incorporea & immaterialia mutari, quando non omnino in boni idemtitate permanent. Bonum enim, vt semper stans & firmum, idem manet; quod verò mutatur, non manet idem. §. 34.

IN SCIENTIA VERO PECCANTES.] Vide quomodo interpretetur illud, Væ vobis cum cognitione peccantibus; & illud, *Seruus sciens voluntatem domini sui, & non faciens eam, vapulabit multis.* §. 35. Luc. 12, 47

SIVE SCIENTIÆ.] Scientiam fortè vocat eam quæ ex doctrinâ hauritur, quam etiam obliuio sæpenumerò potest obliterare; & quam superiùs dixit ex auditu ingenerari. Liquida porrò cognitio intelligi debet ista, quæ ex naturali meditatione aut illustratione sine doctore inhæret.

VERVM HÆC QVIDEM NOBIS.] Nota, etiam alium quemdam eius tractatum esse de Iusto ac diuino iudicio. Nota item, caput hoc viginti tres syllogismos continere, qui demonstrant malum non esse ens.

PARAPHRASIS PACHYMERÆ.

ΣΤΙΚΤΕΟΝ εἰς τὸ Οὖν τελείαν· τὸ γὰρ Εἶεν, κατὰ παλαιὰν χρῆσιν, ἀπόθεσίς ἐστι τῶν λεχθέντων, καὶ ἔναρξις τῶν ἐσομένων· ἀντὶ τοῦ, Ἔστωσαν δὴ οὖν τὰ προειρημένα· νῦν δὲ χωροῦμεν ἐν τῷ λόγῳ, ἐπ' αὐτὴν τὴν τοῦ ἀγαθοῦ ὀνομασίαν, ἣν διαφερόντως οἱ Θεολόγοι ἀνατιθέασι τῇ θεότητι, πάντων τῶν παραχθέντων δηλαδὴ, ὅτι τὰ πάντα ἐξ αὐτῆς παρήχθη δι' ἀγαθότητα, λέγοντες αὐτὴν τὴν τοῦ Θεοῦ ὑπερύπαρξιν, ἀγαθότητα καὶ αὐταγαθότητα. Οὐ μὴν δὲ, ἀλλ' ὅτι οὐκ ἐπίκτητον καὶ συμβεβηκὸς ἔχει τὸ ἀγαθὸν ὁ Θεὸς, ὥστε ἄλλο τι ὂν, ἐπισύμβαμα ἔχειν τὸ ἀγαθὸν, ἀλλ' οὐσία



AD illud *ergo* perfecta distinctio est apponenda: siquidem illud *age*, iuxta vsum antiquum, remotio quædam est eorum quæ dicta sunt, & exordium dicendorum. ac si dicat: Quæ prædicta sunt ita se habeant; modò autem orationem conuertamus ad ipsum nomen boni, quod Theologi per excellentiam attribuũt diuinitati, tamquam à quâ cuncta procedunt, quoniam omnia ex ipsâ producta sunt propter bonitatem, ipsam Dei superexistentiam appellantes bonitatem, & per se bonitatem. Non enim Deus adscititium habet bonum aut per accidens, quasi essen- §. 1.

Quomodo Deus bonus sit.

PARAPHRASIS PACHYMERÆ.

tia eius sit quid aliud, & accidentariam habeat bonitatem; sed ipse, cùm existat ipsius boni substantia naturaliter, ad omnes extendit bonitatis suæ fulgorem, hoc ipsò quo bonus est. Quemadmodum enim sol non est à lumine distinctus, neq; aliunde lumen mutuãdo illuminat; (siquidem ipse lux est, & hoc ipso quo lux est, naturaliter illuminat omnia quæcumque lumen eius valent excipere, neque ratiocinans, neque præeligens: nam si non illuminaret, neq; etiam sol esset; ecquid aliud concipi possit illuminare, nisi lux sit? hoc enim vult hic sanctus, & non simpliciter solem esse irrationalem & exortem libertatis, hoc enim manifestum est, & nihil ad propositũ:) sic etiam illud supra solem bonum Deus, qui primæuum est exemplar respectu istiusmodi obscuræ & absimilis imaginis, ipsâ suâ substantiâ quâ bonus est, rebus ipsis pro cuiusque captu bonitatis suæ radios affundit. Hac omnes intelligibiles ac intelligentes substantiæ consistunt. Aliud autem est intelligibile, & aliud intelligens: nam id quod intelligibile est, est velut alimentum eius quod intelligit; quoniam id quod intelligitur, seu intelligibile, nobilius est, & anteà intelligitur, quàm id quod intelligit, id est intelligens. Superiores igitur & Deo vicini ordines propriè dicendi sunt intellectiles, inferiores verò intelligentes, vt qui intelligant superiores: non ideò tamen quòd intellectiles dicantur, qui intelliguntur, censendum est ipsos non intelligere; ipsi enim intelligunt, quoniam mentes sunt & substantiæ. Ideò intelliguntur quidem, vt materiæ expertes; intelligunt verò res, vt incorporei & supermundiales, rationibus rerum supernè illustrati, ipsasq; mysticè ad inferiores Angelos traiicientes. Hos autem vocat Virtutes & Operationes, non quòd non subsistant, sed subsistentes sint ac viuentes, & potentes, & efficaces motuum propriorũ. à Dauide enim dicuntur *potentes virtute*. Vel etiam alio modo: *Virtutes* quidẽ, quòd cùm necdum creaturæ apparerent, omnia virtute in Deo anteà substiterint, quæ ab eo, vt essent, producenda erant; *Operationes* verò, quòd creatura etiam ad operationem perducta fuerit. Propter hosce bonitatis radios & sunt ipsi, & viuunt, & vitam habent indeficientem, & à corruptione, & morte, & materiâ, & generatione sunt liberi. Corru-

Quomodo differant intellectile & intelligens.

Ps. 102, 20

Angeli quomodo sint Virtutes & Operationes.

τοῦ ἀγαθοῦ αὐτὸς ὑπάρχων, ἐκτείνει περὶ πάντας τὴν τῆς ἀγαθότητος αἴγλην φυσικῶς ἐν τῷ εἶναι ἀγαθός. Ὥσπερ γὰρ ὁ ἥλιος οὐκ ἄλλο τι ὢν παρὰ τὸ φῶς, οὐδὲ ἑτέρωθεν τὸ φῶς λαμβάνων φωτίζει· (αὐτὸς γάρ ἐστι φῶς, καὶ φωτίζει φυσικῶς ἐν τῷ εἶναι φῶς πάντα τὰ δυνάμενα μετέχειν αὐτοῦ, οὔτε λογιζόμενος, οὔτε προαιρούμενος· μὴ φωτίζων γὰρ, οὐδέ γε ἥλιος ἂν εἴη· καὶ τί ἂν εἴη ἄλλο λογίσαι τὸ φωτίσαι, ὃ μὴ ὢν φῶς; τοῦτο γὰρ ἐμφαίνει ὁ ἅγιος, καὶ οὐχ ὅτι ἁπλῶς ἄλογός ἐστι καὶ ἀπροαίρετος ὁ ἥλιος, τοῦτο γὰρ δῆλον, καὶ οὐδὲν πρὸς τὸ προκείμενον) οὕτω δὴ καὶ τὸ ὑπὲρ ἥλιον ἀγαθὸν ὁ Θεὸς, τὸ ἐξῃρημένως ἀρχέτυπον πρὸς ταύτην σκοτεινὴν καὶ μηδὲν παρομοιάζουσαν εἰκόνα, αὐτῇ τῇ ὑπάρξει, καὶ τὸ εἶναι ἀγαθὸς, τὰς ἀκτῖνας τῆς ἀγαθότητος ἀναλόγως τοῖς οὖσιν ἐφίησι. Διὰ ταύτης αἱ οὐράνιαι οὐσίαι ὑπέστησαν, αἱ νοηταί τε καὶ νοεραί. Ἄλλο δέ ἐστι τὸ νοητὸν, καὶ ἄλλο τὸ νοερόν. Τὸ γὰρ νοητὸν, οἷά τις τροφὴ τοῦ νοεροῦ ἐστιν, ἐπείπερ τὸ νοούμενον, ὅ ἐστι νοητὸν, μεῖζόν ἐστι καὶ προεπινοούμενον τοῦ νοοῦντος, ὅ ἐστι νοερόν. Τὰ μὲν οὖν ὑπερκείμενα καὶ προσεχῆ τῷ Θεῷ τάγματα, νοητὰ κυρίως λεκτέον, τὰ δὲ ὑποβεβηκότα, νοερὰ, ἅτε νοοῦντα τὰ ὑπερκείμενα· οὐχ ὅτι δὲ νοητά ἐστι τὰ νοούμενα, νομιστέον αὐτὰ μὴ νοεῖν· νοεῖ γὰρ καὶ αὐτὰ, ἐπειδὴ νόες εἰσὶ καὶ οὐσίαι. Διὸ νοοῦνται μὲν, ὡς ἄϋλοι, νοοῦσι δὲ τὰ ὄντα, ὡς νόες ἀσώματοι καὶ ὑπερκόσμιοι, ἄνωθεν ἐλλαμπόμενοι τοὺς περὶ τῶν ὄντων λόγους, καὶ διαβιβάζοντες αὐτοὺς μυστικῶς εἰς τοὺς ὑποβεβηκότας Ἀγγέλους. Δυνάμεις δὲ καὶ Ἐνεργείας λέγει ταύτας, οὐκ ἀνυποστάτους, ἀλλ' ἐνυποστάτους καὶ ζώσας, δυνατάς τε καὶ ἐνεργεῖς τῶν οἰκείων κινήσεων· δυνατοὶ γὰρ ἰσχύϊ παρὰ τῷ Δαβὶδ λέγονται. Ἢ καὶ ἄλλως· Δυνάμεις μὲν, ἐπειδὴ καὶ μήπω τῶν ἐν τῇ κτίσει φανέντων, δυνάμει πάντα τῷ Θεῷ προϋφειστήκει, μέλλοντα παράγεσθαι δι' αὐτοῦ εἰς τὸ εἶναι· Ἐνέργειαι δὲ, ὅτι καὶ πρὸς ἔργον ἡ δημιουργία παρήχθη. Διὰ ταύτας τὰς ἀκτῖνας τῆς ἀγαθότητος καί εἰσιν αὐταὶ, καὶ ζῶσι, καὶ ἀνέκλειπτον ἔχουσι τὴν ζωὴν, καθαρεύουσαι καὶ φθορᾶς καὶ θανάτου, καὶ ὕλης, καὶ γενέσεως. Φθο-

ρὰ

ρὰ δέ ἐστι τοῦ θανάτου καθολικωτέρα, ἡ εἰς τὸ μὴ ὂν κίνησις, ἥ τις ἐστὶ καὶ τῶν ἀψύχων. Γενέσεως δὲ ἀνώτεραι αἱ Δυνάμεις, οὐχ ὅτι οὐκ ἐγενήθησαν (καὶ γὰρ ἐδημιουργήθησαν) ἀλλ' ὅτι ἐξ ὕλης οὐ συνέστησαν· τοιαῦτα γὰρ τὰ ἐν γενέσει καὶ φθορᾷ, οἷς ἡ ὕλη ὑποκειμένη, εἰ μὲν εἶδος δέξεται, εἰδοποιεῖται, καὶ ἰδοὺ ὄν τι ἐγένετο· εἰ δὲ στερηθείη τοῦ εἴδους, χωρεῖ πρὸς τὸ ἀνείδεον, καὶ ἰδοὺ φθορά τινος ὄντος, καὶ εἰς τὸ μὴ ὂν κίνησις. Αἱ δὲ θεῖαι Δυνάμεις καὶ τούτων ἀνώτεραι τῶν φθορῶν τε καὶ τῶν γενέσεων, ὅτι καὶ ἄϋλοι, καὶ τῆς ῥευστῆς ἀλλοιώσεως ἀνῳκισμέναι. Τοῦτο δὲ λέγει, ἐπειδὴ τρεπτοὶ καὶ οἱ Ἄγγελοι ἐδημιουργήθησαν, ἀλλὰ κατὰ γνώμην, οὐ κατ' οὐσίαν· ὅθεν κατ' οὐσίαν ἐστὶ τούτοις καὶ τὸ ἀναλλοίωτον. Νοητοὶ γοῦν εἰσιν ὡς ἀσώματοι, καὶ παρ' ἀλλήλων καὶ παρ' ἡμῶν ὁπωσοῦν νοούμενοι, καὶ νοεροὶ ὡς νόες, καὶ ὅτι ὑπερκοσμίως νοοῦσιν, ἐπιβάλλοντες δι' ἐλλάμψεως τοῖς λόγοις τῶν ὄντων καὶ οὐκ αἰσθητῶς ὡς ἡμεῖς τῶν πραγμάτων ἀντιλαμβανόμενοι. Εἰ δὲ καὶ ἡμεῖς πολλάκις τοῖς λόγοις ἐπιβάλλομεν, ἀλλ' ἐπιστημονικῶς καὶ τὰς ἀρχὰς ἔχοντες ἐξ αἰσθήσεως, καὶ διὰ τοῦτο δεόμενοι ταύτης· οὐδὲν γὰρ ἔξω τῆς αἰσθήσεως γινόμενον ἴσμεν, κἂν ἠθημένοι ὦμεν αὐτοῦ. Ἀλλ' οἱ θεῖοι νόες ὑπερκοσμίως τοὺς λόγους ἐλλάμπονται, καὶ τοῖς συγγενέσι διαπορθμεύουσι, καὶ μονὴ, καὶ ἵδρυσις, καὶ συγκράτησις, καὶ συντήρησις αὐταῖς ἐστιν ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ· καὶ τὸ εἶναι αὐτὰς ὥσπερ τινὰ ἑστίαν καὶ θεῖον βωμὸν τῶν ἐκ Θεοῦ ἀγαθῶν. Ἑστίαν γὰρ οἱ παλαιοὶ τὸν βωμὸν ἐκάλουν, ἐν ᾧ τὰς θυσίας ἐπετέλουν. Ἔλεγον δὲ καὶ ἑτέραν νοητὴν ἑστίαν, τὴν περὶ τὸ αὐτὸ τῶν θείων ἵδρυσιν, ἣν καὶ ἱερὰν εἶχον, καὶ ὅρκον ἐτίθεντο, θεῖα δὲ τὰ οὐράνια ἔλεγον. Λέγει γὰρ καὶ ὁ Ἰουδαῖος Φίλων ἐν τῷ περὶ τῆς Φλογίνης ῥομφαίας καὶ τῶν Χερουβὶμ λόγῳ· Ἡ δὲ μονὴ τῶν τοῦ κόσμου μερῶν, ἑστῶσα παγίως, ἑστία πρὸς τῶν παλαιῶν εὐθυβόλως ὠνόμασται· κόσμου μέρη λέγων τὴν φαῦσιν τοῦ ἡλίου, καὶ τὴν ἐπὶ τὸ αὐτὸ ἀποκατάστασιν τῆς σελήνης, αὔξησίν τε καὶ μείωσιν τὴν τῶν ὑετῶν χύσιν, τὴν τῶν βροντῶν τε καὶ ἀστραπῶν σύστασιν καὶ οἰκονομίαν, καὶ τἄλλα ἃ δὴ κατὰ τὰς αὐτὰς αἰτίας εἰσαεί ποτε γίνονται· ταῦτα

ptio autem, quæ magis latè patet morte, eſt motio ad id quod non eſt, quæ etiam competit inanimatis. Virtutes autem generatione ſunt ſublimiores, non quòd non factæ ſint (ſiquidem creatæ ſunt) ſed quòd non conſtent materiâ: iſtiuſmodi enim ſunt, quæ in generatione ac corruptione verſantur, quibus materia ſubiecta, ſi quidem formam ſuſcipiat, efformatur, & ecce aliquid facta eſt: ſi verò formâ priuetur, fit aliquid informe, & ecce interitus cuiuſdam entis, & ad id quod non eſt motio. Diuinæ autem Virtutes, etiam hiſce ſublimiores tam corruptionibus quàm generationibus, quoniam & immateriales ſunt, & ab omni fluxâ immutatione exemptæ. Hoc dicit, quoniam Angeli etiam mutabiles creati fuerunt, ſed ſecundùm ſententiam, non ſecundùm ſubſtantiam: vnde quoad ſubſtantiam etiam ſunt immutabiles. Intellectiles itaque ſunt, in quantum incorporei, & tam ab inuicem quàm à nobis aliquo modo cogniti; & intelligentes, in quantum mentes, & quoniam ſupermundialiter intelligunt, per illuſtrationem rerum rationes cognoſcentes, & non ſenſiliter, vti nos, res apprehendentes. Quòd ſi nos quoque non rarò rerum rationes intelligimus, tamen ſcientificè id habemus & dependenter à ſenſu, quo idcircò egemus: nihil enim quod ſenſum fugiat cognoſcimus, etſi etiam eius ſenſum accipimus. At mentes diuinæ ſupermundialiter illuſtrantur rationibus, & in mentes cognatas transfundunt; & manſio, & firmitas, & contemperatio, & conſeruatio ipſis eſt ex bonitate Dei, quódque ſint inſtar domicilij cuiuſdam, ac diuinæ aræ bonorum quæ ex Deo ſunt. Ἑστίαν enim Veteres aram appellabant, in quâ ſacrificia conſecrabant. Dicebant etiam alio ſenſu ἑστίαν, ipſam rerum diuinarum firmitatem, quam ſacroſanctam habebant, & iuſiurandum appellabant, res autem cæleſtes vocabant diuinas. Philo etiam Iudęus, in Sermone de flammeâ rhomphæâ & Cherubim, ait: Manſio autem partium mundi, cùm ſtet firmiter, ἑστία ab Antiquis rectâ coniecturâ nominata eſt; partes mundi vocans fulgorem ſolis, & lunæ in eumdem ſtatum reſtitutionem, incrementumque ac imminutionem, pluuiarum effuſionem, tonitruorum ac fulgurum conſtitutionem ac diſpenſationem, ceteraq; quæ ſecundùm eaſdem perpetuò fiunt: nam hæc

PARAPHRASIS PACHYMERÆ.

Quomodo ſint incorruptibiles.

Quomodo ſint mutabiles.

Quid ſit ἑστία.

PARAPHRASIS PACHYMERÆ.

etiam Gentiles diuina nominabant, ad distinctionem rerum nostratium, quæ aliis atque aliis de causis fluxæ sunt ac mutabiles. Dumque rursus illæ diuinum splendorem appetunt, tam vt sint quàm vt benè sint, ex eadem bonitate obtinent, nec non ipsi boniformiter conformantur, &, iuxta diuinæ legis dictamen, inferiores suos donorum istorum participes efficiunt.

§.2. Ab hac diuinâ bonitate ipsis & gradus sunt, & ordines, & ad inuicem vniones, id est diuinus amor ad inuicem. Qui diuinus amor, cùm sit etiam vnificus, coniungit ipsas non aceruatim comportans, sed amabiliter constringens. Nam cùm res intelligibiles, vt & sensibiles, æquiuocè dicantur, alia quidem sunt vnita & à se mutuò dependentia, alia verò diuisa & coaceruata. Ac intelligibilium quidem vnita sunt, veluti lumen, vita, & mundus intelligibilis, & similia; secundùm quam vnionem etiam ordines Angelorum sunt vniti, & à se mutuò diuino amore dependent: diuisa verò & apposita sunt, velut exercitus, & ordo particularis Angelorum, & familia, & chorus. In sensibilibus autem vnio est animal, arbor, mundus hic sensibilis: diuisiones verò, grex, populus, chorus, aceruus. Verùm hæ quidem sunt vniones Angelicarum virtutum ad inuicem, habent autem etiam mutuas penetrationes, atque iterùm distinctiones inconfusas. Mutuas quidem penetrationes, ne vniones intelligens ad inuicem, naturalem aliquam dixeris vnionem, secundùm quam partes ad totius alicuius complementum vniuntur, sed libera est penetratio, quâ ista vnio Dei bonitate in ipsis fit: nam res materiæ expertes & se mutuò inconfusæ penetrant, & rursum recedunt, ac discernuntur, atque ad hoc sunt gradus & ordines ipsorum primi & secundi. Tu verò considera, quomodo inconfusionem ponat in distinctionibus. Oportebat enim potiùs id dictum in mutuis penetrationibus, vbi etiam confusionis suspicio oboritur: sed huic occurrit, assignando statim etiam distinctionem proprietatum, ne confusio sit illa mutua penetratio, quoniam illicò sequitur distinctio. In distinctionibus autem intellectã fuisse inconfusionẽ, declarat ordinis eorum

Quæ sint vnita & quæ diuisa in Angelis.

γὰρ καὶ οἱ Ἕλληνες θεῖα ἔλεγον πρὸς ἀντιδιαστολὴν τῶν καθ' ἡμᾶς δι' ἄλλας καὶ ἄλλας αἰτίας ῥευσῶν τε καὶ ἀλλοιωτῶν. Καὶ τὸ ἐφίεσθαι πάλιν τῆς θείας αἴγλης αὐτὰς, ἀλλὰ καὶ τὸ εἶναι, καὶ τὸ εὖ εἶναι, ἐκ ταύτης τῆς ἀγαθότητος ἔχουσι, καὶ πρὸς ἐκείνην ἀγαθοειδῶς ἀποτυποῦνται, καὶ ταῖς μετ' αὐτὰς κοινωνοῦσι τῶν δώρων, ὡς ὁ περὶ αὐτὰς θεῖος τῆς διαδόσεως νόμος ὑφηγεῖται.

Ἀπὸ ταύτης τῆς θείας ἀγαθότητος αὐτῶν οἱ βαθμοὶ καὶ αἱ τάξεις εἰσὶν, αἱ πρὸς ἀλλήλας ἑνώσεις, δηλονότι ὁ πρὸς ἀλλήλας θεοπρεπὴς ἔρως. Ὃς δὴ θεῖος ἔρως ὢν καὶ ἑνοποιὸς, συνάπτει αὐτὰς οὐ σωρηδὸν συγκομίζων, ἀλλὰ ἀγαπητῶς συνδεσμῶν. Τῶν γὰρ νοητῶν, ὡς καὶ τῶν αἰσθητῶν, ὄντων ὁμωνύμως λεγομένων, τὰ μὲν ἐστιν ἡνωμένα καὶ ἀλληλεχόμενα, τὰ δὲ διῃρημένα καὶ σωρηδόν. Καὶ νοητῶν μὲν, ἡνωμένα, οἷον φῶς, ζωὴ, καὶ νοητὸς κόσμος, καὶ ὅσα τοιαῦτα, καθ' ἣν ἕνωσιν καὶ αἱ τῶν Ἀγγέλων τάξεις εἰσὶν ἑνοποιούμεναι, καὶ ἀλληλουχούμεναι τῷ θείῳ ἔρωτι· διῃρημένα δὲ καὶ ἐν παραθέσει, οἷον στρατιὰ, καὶ τάξις ἰδία Ἀγγέλων, καὶ πατριὰ, καὶ χορός. Ἐπὶ δὲ αἰσθητῶν, ἑνώσεις μὲν, ζῶον, δένδρον, ὁ αἰσθητὸς οὗτος κόσμος· διαιρέσεις δὲ, ποίμνη, δῆμος, χορὸς, σωρός. Ἀλλ' αὗται μὲν εἰσιν αἱ πρὸς ἀλλήλας ἑνώσεις τῶν Ἀγγελικῶν δυνάμεων, ἔχουσι δὲ καὶ ἐν ἀλλήλαις χωρήσεις, καὶ αὖθις διακρίσεις ἀσυγχύτους. Χωρήσεις μὲν ἐν ἀλλήλαις, ὅτι μὴ ἀκούσας ἑνώσεις πρὸς ἀλλήλας, φυσικήν τινα εἴπῃς ἕνωσιν, καθ' ἣν ἑνοῦνται τὰ μέρη εἰς ἑνὸς ὅλου συμπλήρωσιν, ἀλλὰ προαιρετή ἐστι χώρησις, ἡ τοιαύτη ἕνωσις ἐξ ἀγαθότητος Θεοῦ γενομένη εἰς αὐτάς· τὰ γὰρ ἄϋλα, καὶ ἐν ἀλλήλοις χωρεῖ ἀσυγχύτως, καὶ πάλιν ἀποχωρεῖ καὶ διακρίνεται, καὶ τοῦτό ἐστιν οἱ βαθμοὶ καὶ αἱ τάξεις αὐτῶν πρῶται καὶ δεύτεραι. Σὺ δὲ σκόπει, πῶς τὸ ἀσύγχυτον ἐπὶ τῶν διακρίσεων τίθησιν. Ἔδει γὰρ μᾶλλον περὶ τῶν εἰς ἀλλήλας χωρήσεων τοῦτο εἰπεῖν, ὅπου καὶ ἡ σύγχυσις ὑποπτεύεται. Ἀλλ' ἐκεῖνο μὲν θεραπεύεται, τῷ εἰπεῖν εὐθὺς καὶ διάκρισιν τῶν ἰδιοτήτων τὴν σύγχυσιν ἡ εἰς ἄλληλα χώρησις, ἐπεὶ εὐθὺς ἀκολουθεῖ ἡ διάκρισις. Ἐπὶ δὲ τῶν διακρίσεων τίς εἶδεν ἀσύγχυτον, δηλῶν τὸ τῆς τάξεως αὐ-

τῶν

τῶν ἀπαραλλάκτων· ἐπεὶ γὰρ κατὰ τὴν τοιαύτην διάκρισιν συνίστανται οἱ βαθμοὶ καὶ αἱ τάξεις αὐτῶν, καθ' ἃς τὸ πρῶτόν ἐστι καὶ τὸ δεύτερον. Διὰ τοῦτο ὡσανεὶ λέγει, μὴ ὅτι ἐν ἀλλήλαις χωροῦσι, καὶ πάλιν διακρίνονται, παραλλαγὴν λαμβάνειν τὰς τάξεις αὐτῶν, καὶ σύγχυσίν τινα μὴ ἐννοήσῃς· ἀλλ' ἡ αὐτὴ πάλιν μένει τάξις αὐταῖς, κἂν καὶ ἐν ἀλλήλαις χωρῶσι. Πάλιν ἐστὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ, τὸ τὰς ὑφειμένας δυνάμεις πρὸς τὰς κρείττους ἀνάγεσθαι, καὶ πάλιν τὰς κρείττους τῶν δευτέρων προνοεῖν, ὡς μήτ' ἐκείνας ἀρχὰς εἶναι περὶ τὴν ἀναγωγὴν, μήτε ταύτας ἀντεπιστρόφους περὶ τὴν πρόνοιαν· ἑνὸς γὰρ δυοῖν λείποντος, οὐκ ἂν τι γένοιτο. Ἀλλ' ἡ ἀγαθότης ἡ θεία, οὕτως περὶ αὐτῶν ᾠκονόμησε· παρ' οἷς καὶ αἱ τῆς οἰκείας ἑκάστης δυνάμεως φρουραὶ, καὶ αἱ περὶ αὐτὰς ἀμετάπτωτοι συνελίξεις. Μὴ γὰρ ὅτι ἐφίενται καὶ μειζόνων, καταφρονεῖν αὐτὰς τῶν οἰκείων ὑπολάβῃς. Ἑλίσσονται δὲ οἱ θεῖοι νόες περὶ αὐτὰς, ἕλιξίν τινα οὐ σωματικὴν, ἀλλ' ὑπερκόσμιον καὶ νοερὰν, καὶ οἵαν πέφυκε νοῦς ἑλίττεσθαι ἐξ ἑαυτοῦ προϊὼν ἐπὶ νοήσεις, καὶ εἰς ἑαυτὸν ἀναστρέφων, οὐ μὴν ἔξω ἑαυτοῦ χωρὶς σκεδασθείς. Τοῦτο αἰνίττονται καὶ οἱ παρὰ τῷ θείῳ Ἰεζεκιὴλ τροχοὶ πολυόμματοι. Ἐκ τῆς θείας εἰσὶν ἀγαθότητος καὶ αἱ περὶ τὴν ἔφεσιν τἀγαθοῦ ταυτότητες καὶ ἀκρότητες. Ταυτότητα μὲν νοητέον, τὴν οὐκ ἀποστάτων πρὸς Θεὸν προσοχήν· ἀκρότητα δὲ, τὴν τῆς νοήσεως αὐτῶν εἰς ἀναγωγὴν καὶ κατὰ χάριν θέωσιν, πρόοδον, καὶ ὅσα ἄλλα εἴρηται ἡμῖν ἐν ἰδίῳ βιβλίῳ τῷ περὶ τῶν Ἀγγελικῶν ἰδιοτήτων καὶ τάξεων. Οὐ μὴν δὲ, ἀλλὰ καὶ ὅσα εἴπομεν ἐν τῷ περὶ τῆς Οὐρανίου Ἱεραρχίας βιβλίῳ, ὅτι ταῖς θείαις δυνάμεσι πρόσεισι, καὶ ταῦτα ἐξ ἀγαθότητός εἰσι τοῦ Θεοῦ. Τίνα ταῦτα; Αἱ Ἀγγελοπρεπεῖς δηλαδὴ καθάρσεις, αἱ φωταγωγίαι, αἱ τελειότητες· καθαίρονται γὰρ καὶ αὗται, καὶ φωτίζονται, καὶ τελοῦνται, παρὰ τῆς πηγῆς τῆς ἀγαθότητος ἱεραρχούμεναι, ἐξ ἧς ἐδωρήθη ταύταις καὶ τὸ ἀγαθοειδὲς, καὶ τὸ ἐκφαίνειν ἐν ἑαυταῖς τὴν κρυφίαν ἀγαθότητα. Καθαίρουσι γὰρ καὶ αὗται, καὶ φωτίζουσι, καὶ τελοῦσιν ἃ πάσχουσι, ταῦτα ποιοῦσαι, καὶ δηλοῦσαι τὸ τῆς ἀγαθότητος κρύφιον τοῦ Θεοῦ. Εἰ γὰρ ἐξ ἐμοῦ θαυμαστοῦται ἡ τοῦ Θεοῦ γνῶσις, πόσῳ μᾶλλον ἐκ τῶν Ἀγγελικῶν καὶ θείων δυ-

immutabilitas; siquidem secundùm istiusmodi distinctionem consistunt gradus & ordines earum, secundùm quos primum est & secundum. Idcircò quodammodò dicit, non quòd se mutuò penetrant, & iterùm discernuntur, immutari ordines earum, ne confusionem aliquam intelligas, sed iterùm ipsis eumdem ordinem manere, tametsi se mutuò penetrent. Hoc iterùm est bonitatis Dei, quòd inferiores Virtutes ad superiores adducantur, & rursus superiores inferioribus prouideant, vt neque ipsę principia sint adductionis, neque hæ inconuersæ sint ad prouidentiam; vno enim è duobus deficiente nihil fieret. Verùm diuina bonitas ita de ipsis disposuit. Hinc etiam sunt propriæ cuiusque virtutis custodiæ, & immutabiles circum semetipsas conuolutiones. Ne existimes autem ipsas; quòd potiora desiderent, contemnere propria. Voluuntur autē diuinę mentes circum semetipsas non volutatione quadam corporeâ, sed supermundiali & intelligente, & quali mens volui solet, dum ex se ipsâ ad considerationes progreditur, & ad seipsam reuertitur, non verò extra semetipsam diuulsa abit. Hoc etiam insinuant rotæ apud diuinum Ezechielem, quæ multos habent oculos. Ex diuinâ quoque bonitate existunt istæ circa boni desiderium idemtitates & extremitates. Idemtitas quidem intelligenda, minimè deficiens à Deo coniunctio; extremitas verò, intelligentiæ earum adductio, & secundùm gratiam deificatio, progressus, & quæcumque alia in peculiari libro de Proprietatibus & ordinibus Angelorum à nobis commemorata sunt. Quin & illa quæ diximus in libro de Cælesti Hierarchiâ diuinis Virtutibus adesse, etiam hæc sunt ex bonitate Dei. Quæ verò ea sunt? Angelicæ nimirum lustrationes, illuminationes, perfectiones; siquidem & ipsæ expiantur, & illuminantur, & perficiuntur, à fonte bonitatis initiatæ, ex quo ipsis quoque boniformitas donata est, & in semetipsis manifestant arcanam illam bonitatem. Siquidem & ipsæ expiant, & illuminant, & perficiunt ea quæ patiuntur, dum hæc agunt, & manifestant arcanum bonitatis Dei. Si enim ex me scientia Dei mirificatur, quantò magis ex Angelicis ac diuinis virtutibus?

PARAPHRASIS PACHYMERÆ.

Quæ sit volutatio in Angelis.

PARAPHRASIS PACHYMERÆ.

tutibus? Enuntiant enim non cùm dicunt, sed cùm in semetipsis intelligunt diuinum illud silentium, ac incomprehensibilem illustrationem eius qui in adytis & occulto existit, iuxta illud, *Posuit tenebras latibulum suum*, tamquam lumina quædam secundaria, quæ proposita sunt ad primum illum splendorem quoquo modo interpretãdum.

Psal. 17, 12

Anima quomodo participent bonitatem.

Præterea, post Angelos, animæ quoque, & quæcumque animarum bona sunt, ex bonitate Dei existunt; vt quòd intelligentes sint, tamquam quæ intelligant, quòd sint immortales, quòd sint, & habeant virtutem, & ad Angelicas vitas accedant, & per illos ceu præceptores ad diuinam ipsam bonitatem adducantur, & pro captu suo diuinis illustrationibus communicent, & muneris boniformis participes existant, sicut in Isaiâ & Ezechiele accidit, dum ille quidem prunam accepit, hic verò libri capite refectus est, & quæcumque alia in peculiari tractatu de Animâ à nobis dicta sunt. Quin & animæ irrationales, & omnia bruta animantia, & aëria, & cicura, & serpentia, & aquatilia, & amphibia, & quæ in cauernis terræ degunt, omnia hæc per Dei bonitatem & animata sunt & viuificata; similiter & plantæ, & quælibet inanima vitæque expers substantia, per eamdem bonitatem, illa quidem nutritiuam & auctricem vitam, hæc verò habitum substantialem acceperunt.

§.3. *Quomodo priuationes sint in Deo.*

Quòd si autem Deus sit supra omnia, vti & bonum ipsum, ergo priuationes in Deo sunt excellentiæ positionum effectrices, vt expers formæ, expers substantiæ, expers vitę, expers mentis; quæ quidem videntur significare aliquid quod non existit, tamen in Deo, qui superessentialiter omnium rerum negatione existit (nihil enim est eorũ quæ sunt) eminenter intelliguntur. Et, si dictu fas sit, illud ipsum quod non est, illius, quod supra res omnes est, boni desiderio tenetur: (si enim id non est, quomodo desiderat?) vnde manifestum, per id quod non est, malum intellexisse, cùm non sit aliquo modo bonum, vti in progressu orationis ostendit; quia illud etiam quod malum dicitur, propter bonum fit.

§.4. Sed, quod nos effugerat, cælestium & mundanorũ (cęlum enim mundũ vocant) principiorum ac terminationum causa est Dei

νάμεων; Ἐξαγγέλλουσι γὰρ οὐκ ἐν τῷ λέγειν, ἀλλ' ἐν ἑαυταῖς ἐν τῷ ταύτας νοεῖσθαι, τὴν θείαν ἐκείνην σιγὴν, τὴν ὑπὲρ κατάληψιν φωταυγίαν τοῦ ἐν ἀδύτοις καὶ ἐν ἀποκρύφῳ ὄντος, κατὰ τὸ, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, ὡς φῶτα φανὰ δεύτερα προβεβλημένα εἰς ἑρμηνείαν ὁπωσοῦν τῆς πρώτης λαμπρότητος. Ἀλλὰ καὶ μετὰ τοὺς Ἀγγέλους αἱ ψυχαὶ, καὶ ὅσα εἰσὶν ἀγαθὰ τῶν ψυχῶν, ἐκ τῆς ἀγαθότητός εἰσι τοῦ Θεοῦ, τὸ νοερὰς αὐτὰς εἶναι, ὡς νοούσας, τὸ ἀθανάτους, αὐτὸ δὴ τὸ εἶναι, καὶ τὸ ἔχειν δύναμιν, ἀνατεινομένας πρὸς τὰς ἀγγελικὰς ζωὰς, δι' ἐκείνων ὡς καθηγεμόνων ἐπὶ τὴν θείαν ἀγαθαρχίαν ἀνάγεσθαι, καὶ τῶν ἐκ τοῦ Θεοῦ μετέχειν ἐλλάμψεων κατὰ τὴν ἀναλογίαν αὐτῶν, καὶ τῆς ἀγαθοειδοῦς δωρεᾶς ἐν μετουσίᾳ γίνεσθαι, καθὼς ἐπὶ τοῦ Ἡσαΐου καὶ τοῦ Ἰεζεκιὴλ γέγονε, τοῦ μὲν, δεξαμένου τὸν ἄνθρακα, τοῦ δὲ, ψωμισθέντος τὴν κεφαλίδα, καὶ ὅσα ἄλλα ἐν ἰδίᾳ πραγματείᾳ τῇ περὶ ψυχῆς εἴρηται. Ἀλλὰ καὶ αὐταὶ αἱ ἄλογοι ψυχαὶ, καὶ πάντα τὰ ἄλογα ζῶα, τὰ ἀέρια, τὰ χερσαῖα, τὰ ἑρπετὰ, τὰ ἐν ὕδασι, τὰ ἀμφίβια, τὰ ὑπὸ γῆν ἐγκεχωσμένα, πάντα ταῦτα διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα ἐψύχωνται καὶ ἐζώωνται· ὁμοίως καὶ τὰ φυτὰ, καὶ ὅση ἄψυχος καὶ ἄζωος οὐσία, διὰ τἀγαθὸν, τὰ μὲν τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωὴν, ἡ δὲ τῆς οὐσιώδους ἕξεως εἴληχεν.

Εἰ δὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστὶ τὸ Θεῖον, ὥσπερ καὶ αὐτὸ τὸ ἀγαθὸν, ἀλλ' οὖν αἱ στερήσεις ἐπὶ Θεοῦ, ὑπερβολαί εἰσι θέσεων δραστήριοι, ὡς τὸ ἀνείδεος, ἀνούσιος, ἄζωος, ἄνους· ταῦτα γὰρ ἔννοιαν ἔχοντα μὴ ὄντος, ὅμως ἐν τῷ Θεῷ τῷ ὑπερουσίως ὄντι κατὰ τὴν ἀφαίρεσιν ἁπάντων (οὐδὲν γάρ ἐστι τῶν ὄντων) ὑπεροχικῶς νοοῦνται. Καὶ εἰ θεμιτὸν φάναι, καὶ αὐτὸ τὸ μὴ ὂν, τοῦ ὑπὲρ πάντα ἀγαθοῦ ἐφίεται (εἰ γὰρ μή ἐστιν αὐτὸ, πῶς ἐφίεται;) ἢ δῆλον, ὅτι τὸ μὴ ὂν, κακὸν ἐνόησεν εἶναι, μὴ ὂν ὡσανεὶ ἀγαθὸν, ὡς προϊὼν ἀποδείκνυσι, ὅτι καὶ αὐτὸ τὸ λεγόμενον κακὸν, τοῦ ἀγαθοῦ ἕνεκα πολλάκις γίνεται.

Ἀλλ' ὅπερ ἡμᾶς διαπέφευγεν, αἴτιον τῶν οὐρανίων καὶ κοσμικῶν (οὐρανὸν γὰρ τὸν κόσμον φασὶν) ἀρχῶν καὶ ἀποπερατώσεων ἡ τοῦ Θεοῦ

ἀγα-

PARAPHRASIS PACHYMERÆ.

ἀγαθότης ἐστί· καὶ ταῦτα γὰρ δι᾽ ἀγαθότητος ὑπερβολὴν παρήγαγεν ὁ Θεός. Ἀρχὰς δὲ οὐρανίας καὶ ἀποπερατώσεις νοητέον, τὴν ὡς ἐκ σημείου ἤτοι κέντρου τοῦ θελήματος τοῦ Θεοῦ, κυκλικῶς ὑποστᾶσαν τῶν οὐρανῶν σφαιροειδῆ δημιουργίαν· τὸ γὰρ κυκλικὸν σχῆμα ἀρχόμενον ἐξ ἑαυτοῦ, εἰς ἑαυτὸ περατοῦται. Τὴν δὲ οὐρανίαν οὐσίαν ἀναυξῆ καὶ ἀμείωτόν φησιν, ὡς τελείως ἔχουσαν, καὶ αὐταρκῶς πρὸς ὃ γέγονε· διὸ καὶ ἀναλλοίωτον αὐτὴν λέγει, ἐξ οὗ γέγονεν οὐ παρατραπεῖσαν· τέλειον δέ ἐστιν, ὃ μήτε αὔξει μήτε μειοῦται. Σημειωτέον δὲ, ὅτι καὶ κινεῖσθαι ἀψόφως φησὶ καὶ ἀνεπαισθήτως τὸν οὐρανόν. Τὸ δὲ ἐνίων ἀστέρων μεταβατικῆς πολυκινησίας, περὶ τῶν Πλανητῶν φησιν· αὐτοὺς γὰρ μόνους ἐδέξατο κινεῖσθαι. Τί ἄν τις εἴποι περὶ τῆς ἡλιακῆς ἀκτῖνος ἰδίᾳ τῶν ἄλλων καθ᾽ αὑτήν; ὅτι καὶ ταύτῃ τὸ φῶς ἐκ τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἧς καὶ εἰκὼν, τοῦτο δὴ τὸ φῶς, διὸ καὶ φωτωνυμικῶς ὑμνεῖται τὸ θεῖον ἀρχέτυπον, οἷον ὂν πρὸς εἰκόνα τὸ φῶς. Ὡς γὰρ ἡ τοῦ Θεοῦ ἀγαθότης ἀπὸ τῶν ἀνωτάτων ἄχρι τῶν ἐσχάτων διήκει, καὶ ὑπὲρ πάντα ἐστίν· (ἐν τοῖς πᾶσι γὰρ, καὶ οὐδὲν τῶν ἁπάντων τὸ Θεῖόν ἐστι, μήτε τῶν ἄνω τὴν ὑπεροχὴν φθανουσῶν, ἄναρχος γὰρ καὶ οὐκ ἔχει τι ὑψηλότερον· μήτε τῶν κάτω τὴν περιοχὴν διαβαινουσῶν, ἤγουν ἔξω οὐσῶν τῆς περιοχῆς, ἀτελεύτητος γὰρ, καὶ οὐκ ἔχει ἔξω ταύτης κατώτερον· ἀλλὰ καὶ φωτίζει τὰ χωροῦντα πρὸς τὸ μέτρον ὃ χωροῦσι, διὸ καὶ μέτρον εἶναι λέγεται τῶν ὄντων τὸ Θεῖον, ἢ ὡς περιοχικὸν, καὶ τὴν ἀρχὴν καὶ τὸ πέρας τῶν ἁπάντων ἐπιστάμενον, καὶ αἰὼν, καὶ ἀριθμὸς, καὶ τάξις, ὡς περιοχικὸν τῶν ὄντων καὶ τακτικὸν, πάντα γὰρ μετ᾽ εὐταξίας ἐδημιούργησεν·) οὕτω δὴ καὶ ἡ τῆς θείας ἀγαθότητος ἐμφανὴς εἰκὼν ὁ ἥλιος. Καλῶς δὲ τὸ ἀπεμφαῖνον τῶν ἐπὶ τοῦ ἡλίου λεγομένων εὐθὺς ἐθεράπευσε, πολλοστὸν καὶ τελευταῖον ἀπήχημα τοῦτον εἰπὼν τἀγαθοῦ. Ὥσπερ γὰρ εἴ τις βοήσας καὶ ἀποκράξας εἴποι τι, καὶ οἱ μὲν παρεστῶτες ἂν ἐρρωμένοι τὰς ἀκοὰς ὦσι, τῆς φωνῆς καὶ τοῦ λεχθέντος ἀκούουσιν· οἱ δὲ ἀφεστῶτες, ὅσον ἀπέχουσι, τοσοῦτον ἀδρανέστερον τοῦ φθέγματος ἀκροῶνται· οἱ δὲ ἐπὶ μεῖζον διάστημα κεχωρισμένοι, ἀμυδρότατον τοῦ ἀπηχήματος λαμβάνου-

bonitas; nam Deus hæc omnia bonitatis abundantiâ creauit. Principia verò cælestia & terminationes intelligenda, tamquam ex puncto seu centro voluntatis Dei rotunda cælorum fabricatio subsistens: circularis enim figura ex seipsâ incipiens, in seipsâ terminatur. Cælestem verò substantiam neque augeri neque minui ait, vt perfectè & sufficienter finem suum assecutam: ideoque immutabilem ipsam dixit, ex quo facta est, non peruersam; perfectum autem est, quod neque augetur neque minuitur. Nota verò, eum dicere, cælos sine strepitu & absque sensu moueri. Illud autem, quarumdam stellarum multiplex motus quo transferuntur, de Planetis dicit: censet enim illos solos moueri. Quid porrò dicat quis de solari radio, qui seorsum ab aliis per se mouetur? quoniam & huic suum lumen est ex hac Dei bonitate, cuius lux hæc imago quædam est; quamobrem quoque nomine lucis diuinum illud primum exemplar laudatur, vt ad cuius imaginem lux hæc existat. Quemadmodum enim hæc Dei bonitas à supremis vsque ad extrema peruadit, & super omnia existit (Deus enim in omnibus est, & nihil omnium, vt neque suprema ad ipsius excellentiam pertingant, expers enim principij est, & nihil se habet sublimius; neque inferiora ipsius ambitum pertranseant, id est, extra eius complexum sint, siquidem infinitus est, & extra ipsum nihil est inferius; quin etiam illa quæ lucis sunt capacia secundùm mensuram capacitatis illuminat, vnde etiam Deus dicitur esse mensura rerum, quòd contineat & sciat principium & finem omnium, & æuum, & numerus, & ordo, vt qui res continet atque disponit, omnia enim cum bono ordine creauit:) sic vtique etiam sol ille manifesta diuinæ bonitatis imago existit. Pulchrè autem statim corrigit quæ minùs consentaneè de sole dicta videbantur, dum eum tenuissimum quemdam & vltimum boni illius sonũ nominat. Quemadmodum enim si quis vociferans & clamans aliquid dixerit, præsentes quidem valentibus auribus præditi vocem & sermonem audiunt; qui autem distant, quantò absunt, tantò debiliùs vocem audiunt; qui porrò longiori spatio remoti sunt, obscurissimum quemdam sonum capiunt,

Deus est in omnibus, & nihil omniũ.

Similitudo à vociferante.

PARAPHRASIS PACHYMERÆ.

piunt, vt vocem quidem aliquam obscuram audiant, sed quod pronuntiatum est non intelligant. Vnde colligere licet, tantum esse solare lumen, si cum vero illo ac diuino comparetur, vt intercapedo & infinita sit & incomparabilis. Deinde dicit quomodo sol Deum referat: quia Deus omnia quæcumque ipsius participationis capacia sunt, per bonas institutiones atque actiones aliásve aliquas dispositiones illuminat, & lumen desuper expansum habens, omni mundo visibili se suosque radios explicat, cùm propter ea quæ animâ sensuque carent, tum propter ea quæ ratione & intellectu prædita sunt. *Similitudo à Sole.* Quemadmodum igitur sol sensibilis omnia quæ cernuntur illuminat, & quæcumque lucem eius non participant, propter propriam suam opacitatem eius expertia existunt; sic etiam in Deo, cùm eius illuminatio & sanctificatio desuper expansa sit, omnes quicumque volunt illuminantur & sanctificantur. Rursus, sicut Deus creat, sic etiam sol ad sensibilium corporũ generationem conducit, & ad vitam mouet, aliaque facit, non tamen tamquam eorum causa libera: verùm Deus sciens frigus esse valdè sterile, moderatum autem calorem ad generationem facere, atque stirpes & semina caloris indigere, sicut etiam corpora omnia quæ vitâ fruuntur, eius rei gratiâ solem se ita habere fecit. *Solis vtilitas & efficacia.* Hoc lumen solis, secundùm imaginem Dei, qui tamquam creator & conseruator vniuersi æuum ac numerus exsistit, etiam mensura est, & numerus tempestatum, ac dierum, & omnis nostri temporis: quod etiam primorum dierum triduum, tametsi tunc non erat figuratum, contractione & interiectione definiuit, vti diuinus quoque Moyses declarat, *Gen. 1.* ille enim ait, Et facta est dies vna, & iterùm secunda, ac deinde tertia. Et sicut bonitas, *Bonitate cuncta consistunt.* tamquam principium & causa, cuncta quæ dispersa sunt ad se colligit, omniaque ipsam appetunt; & vt principium, ex eâ enim omnia, vt ait Scriptura; & vt continentem, in quo nimirum omnia veluti in omnitenenti fundo ac fundamento custodiuntur; & vt finem, ad quem omnia, quasi ad terminum suum non naturalem, sed effectiuum, spectant; & cuius desiderio omnia tenentur, quodlibet nimirum secundùm

σιν, ὡς φωνῆς μὲν ἀσήμου τινὸς ἀκούειν, μὴ νοεῖν δὲ τὸ ἐκφωνηθέν. Τοσοῦτον ἐστὶν ὑπολαβεῖν τὸ ἡλιακὸν φῶς πρὸς τὸ ἀληθὲς ἐκεῖνο καὶ θεῖον, ὥστε καὶ ἄπειρον καὶ ἀσύμβλητον εἶναι τὸ μέσον. Ἐφεξῆς λέγει πῶς εἰκονίζει τὸ θεῖον ὁ ἥλιος· ὅτι τὸ θεῖον, πάντα ὅσα μετέχειν δύναται τούτου, δι' ἀγαθῆς πολιτείας καὶ πράξεως καὶ ἄλλης τινὸς ἐπιτηδειότητος φωτίζει, ἔχων τὸ φῶς ὑπερηπλωμένον, ἐξαπλοῖ πρὸς πάντα τὸν ὁρατὸν κόσμον καὶ τὰς αὐγὰς τῶν ἀκτίνων αὐτοῦ, ἐκεῖνο διὰ τὰ ἄψυχα καὶ ἀναίσθητα, τοῦτο διὰ τὰ λογικά τε καὶ νοερά. Ὡς γοῦν ὁ αἰσθητὸς ἥλιος πάντα τὰ ὁρατὰ φωτίζει, καὶ τὰ μὴ μετέχοντα τοῦ φωτὸς αὐτοῦ, δι' οἰκείαν ἀφάνειαν οὐ μετέχει· οὕτως καὶ ἐπὶ τοῦ Θεοῦ, ὑπερηπλωμένου τοῦ φωτισμοῦ καὶ ἁγιασμοῦ ὄντος, πάντες οἱ βουλόμενοι, φωτίζονται καὶ ἁγιάζονται. Ἀλλὰ καὶ πάλιν, ὥσπερ ὁ Θεὸς δημιουργεῖ, οὕτω καὶ ὁ ἥλιος πρὸς γένεσιν τῶν αἰσθητῶν σωμάτων συμβάλλεται, καὶ πρὸς ζωὴν κινεῖ, καὶ τἄλλα ποιεῖ, πλὴν οὐχ ὡς αἴτιος τούτων κατά τινα προαίρεσιν· ἀλλ' εἰδὼς ὁ Θεὸς ὅτι τὸ μὲν ψυχρὸν ἄγαν ἄγονον, τὸ δὲ συμμέτρως θερμὸν γενεσιουργεῖ, καὶ ὅτι τὰ φυτὰ καὶ τὰ σπέρματα θερμότητος δεῖται, ὡς καὶ τὰ σώματα ἅπαντα τὰ ζωὴν ἔχοντα, τούτου χάριν τὸν ἥλιον οὕτως ἔχειν φύσεως ἐποίησε. Τοῦτο τὸ ἡλιακὸν φῶς κατ' εἰκόνα τοῦ Θείου, τοῦ ὄντος αἰῶνος καὶ ἀριθμοῦ τοῦ παντὸς, ὡς δημιουργοῦ καὶ περιεκτικοῦ πάντων, καὶ μέτρον ἐστὶ καὶ ἀριθμὸς ὡρῶν, καὶ ἡμερῶν, καὶ παντὸς τοῦ καθ' ἡμᾶς χρόνου· ὃ καὶ κατὰ τὴν τριάδα τῶν πρώτων ἡμερῶν, ἀσχημάτιστον ὄν, οὕτως ἐκείνας τὰς ἡμέρας διώριζε τῇ συστολῇ τε καὶ παρεκτάσει, καθὼς δηλοῖ καὶ ὁ θεῖος Μωϋσῆς, ἐκεῖνος γάρ ἐστιν ὁ λέγων, ὅτι καὶ ἐγένετο ἡμέρα μία, καὶ πάλιν δευτέρα, καὶ ἐφεξῆς τρίτη. Καὶ ὥσπερ πρὸς ἑαυτὴν ἡ ἀγαθότης ἐπιστρέφει πάντα τὰ ἐσκεδασμένα, ὡς ἀρχὴ καὶ αἰτία, καὶ πάντα ταύτης ἐφίεται, καὶ ὡς ἀρχῆς, ἐξ οὗ γὰρ τὰ πάντα, φησὶν ἡ Γραφή· καὶ ὡς συνοχέως, ἐν ᾧ γὰρ τὰ πάντα, δηλονότι παντοκρατορικῷ πυθμένι καὶ θεμελίῳ περιφρουρούμενοι· καὶ ὡς τέλους, εἰς ὃ γὰρ τὰ πάντα, οἱονεὶ πέρας οἰκεῖον, οὐ φυσικὸν, ἀλλὰ δημιουργικόν· καὶ οὗ ἐφίεται πάντα, ἕκαστον δὲ

κατὰ τὴν ἰδίαν τῆς φύσεως τάξιν, ὡς Ἄγγελοι καὶ ἄνθρωποι γνωστικῶς, ἄλογα ζῶα αἰσθητικῶς, φυτὰ τῇ ἐμφύτῳ κινήσει τῆς ἑαυτῶν ζωῆς, τὰ δὲ ἄζωα καὶ ὄντα κατὰ τὸ εἶναι, οὐχ ἵνα γνῶσιν, ἀλλ' ἵνα μένωσι τῇ φυσικῇ καὶ μόνῃ συνεχόμενα φύσει. Οὕτω καὶ ὁ ἥλιος τὰ ὑπὸ τῆς αὐτοῦ μαρμαρυγῆς συνεχόμενα ἐπιστρέφει πρὸς ἑαυτόν, διὸ καὶ ἥλιος λέγεται, ὅτι πάντα ἀολλῆ καὶ συνηθροισμένα ποιεῖ, καὶ συνάγει τὰ διεσκεδασμένα, καὶ πάντα τούτου ἐφίενται, τὰ μὲν ζῶα, ὡς τοῦ ὁρᾷν· τὰ δὲ φυτὰ, ὡς τοῦ κινεῖσθαι· τὰ ἄλλα, ὡς τοῦ ὅλως συνέχεσθαι παρ' αὐτοῦ τοῦ φωτὸς ἐφιέμενα. Καὶ οὐ δήπου φημὶ, κατὰ τὸν παλαιὸν καὶ λαμπρὸν ὀδωδότα λόγον τὸν Ἑλληνικὸν ὕθλον (ἦσαν γάρ ποτε καὶ ἀμφότεροι Ἕλληνες, ὡς ἐν ταῖς Πράξεσι τῶν ἁγίων Ἀποστόλων δηλοῦται) ἢ μὴν τὸν μωρόν· τὸ γὰρ μωρὸν, ἀρχαῖον οἱ Ἕλληνες ἔλεγον. Οὔκουν κατὰ τοῦτον τὸν μωρὸν, ὕθλον φημὶ, ὅτι ὁ ἥλιος Θεὸς ὢν, ἐπιστρέφει τὸν κόσμον· ἀλλὰ τὰ ἀόρατα τοῦ Θεοῦ, κατὰ τὸν Ἀπόστολον, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, καὶ ἡ θειότης αὐτοῦ καὶ ἀΐδιος δύναμις ἀπὸ τοῦ ἡλίου ἐμφαίνεται.

Ἀλλὰ ταῦτα μὲν ἐν ἰδίᾳ πραγματείᾳ τε θεολόγηται, νῦν δὲ ῥητέον περὶ τοῦ νοητοῦ φωτός. Λέγεται τοίνυν ὁ Θεὸς φῶς, ἀλλὰ νοητὸν, διὰ τὸ πάντα Ἀγγελικὸν νοῦν φωτίζειν, πᾶσαν δὲ ἄγνοιαν ἀπελαύνειν ἐκ τῶν ψυχῶν αἷς ἂν ἐγγένηται. Ὅρα δὲ, ὅτι ἐπὶ μὲν τῶν Ἀγγέλων, εὐθυβόλως εἶπε φωτίζειν τὸ φῶς, ἐπὶ δὲ τῶν ψυχῶν πρότερον ἀπελαύνειν τὸ τῆς πλάνης σκότος, καὶ οὕτω φωτίζειν· οἱ γὰρ Ἄγγελοι ἁπλοῖ καὶ μονοειδεῖς, καὶ ἐξ ἀρχῆς τὸ φῶς ἐσχηκότες, τῇ ἀκλινεῖ ἀναδόσει φωτίζονται πάντες· οἱ δ' ἄνθρωποι διπλοῖ ὄντες, καὶ σάρκα περιφέροντες, συνηθισμένοι εἰσὶ ταῖς κοσμικαῖς ἀγνοίαις καὶ πλάναις· καὶ οὐκ ἂν φωτισθεῖεν ἄλλως, εἰ μὴ τὸ σκότος ἀπελαθῇ. Ὅθεν καὶ ἐπεὶ οὐκ ἔχει φύσιν τὸ φῶς τῷ σκότει συνεῖναι, διὰ τοῦτο τοῦ φωτὸς ὑπεισερχομένου, τὸ σκότος διώκεται· καὶ ὅσον τὸ φῶς ἐπεισέρχεται, τούτῳ αἱ ψυχαὶ ἀπογευόμεναι, μᾶλλον ἐφίενται· καὶ μᾶλλον αὐτῶν ἐφιεμένων, μᾶλλον ἐπιλάμπει τὸ φῶς, ὅτι ἠγάπησαν πολὺ, κατὰ τὰ ἱερὰ Εὐαγγέλια. Οὐ γὰρ ἐξαίφνης ἐπιλάμπει τὸ φῶς, ἵνα μή πως σκοτισθῶσιν,

PARAPHRASIS PACHYMERÆ.

proprium naturæ ordinem, vt Angeli & homines scienter, bruta animãtia sensiliter, stirpes insito ipsis naturæ motu, vitæ verò sensusque expertia secundùm esse, non vt cognoscant, sed vt persistant naturali permansione contenta: sic etiam sol ea quæ sub splendoribus eius continentur, ad se conuertit, propter quod etiam ἥλιος appellatur, quòd omnia ἀολλῆ seu congregare faciat, & dispersa congreget, omniaq; ipsum appetat, viuentia quidem vt videant, stirpes vt moueantur, cetera vt ab ipso conseruentur dum lumen eius appetunt. Non hoc dico secundùm antiquam & splendidam fabulam ac nugacem Gentilium sermonẽ (erant enim aliquando etiam vtrique Gentiles, vt in sanctorum Apostolorum Actis declaratur) vel certè fatuum; nam fatuum Gentiles idem quod antiquum dicebant. Itaque secundùm hanc fatuam, fabulam inquam, quoniam sol Deus est, mundum conuertit; verùm *inuisibilia Dei*, secundùm Apostolũ, Rom. 1,20 *à creaturâ mundi, per ea quæ facta sunt, intellecta, conspiciuntur*, & diuinitas ipsius virtusque sempiterna à sole manifestatur.

Sol vnde Græcè ἥλιος dictus sit.

§. 5. Verùm hæc in proprio tractatu Theologicè descripsimus, modò dicendum de luce intellectili. Dicitur itaque Deus lux, sed intellectilis, quòd omnem Angelicum intellectum illuminet, omnem autem ignorantiam ex animis, quibus inest, exterminet. Obserua verò, quòd in Angelis quidem rectâ coniecturâ dixerit lucem illuminare, in animabus verò priùs erroris tenebras eiicere, & tum illuminare: nam Angeli cùm simplices ac vniformes sint, & ab initio lucis participes extiterint, continuâ intentione omnes illuminantur; homines verò, cùm duplices sint, & carnem circumferant, sæcularibus ignorantiis erroribusque sunt assueti, & non possunt aliter illuminari, nisi tenebræ depulsæ sint. Vnde cùm lux naturâ suâ simul cũ tenebris esse nequeat, idcircò luce subintrante, tenebræ fugantur: & quantum lux ingreditur, tantum animæ ipsam degustantes magis appetunt; & quantò illæ maiori desiderio aguntur, tantò magis lux affulget, quoniam dilexerunt multùm, iuxta Luc. 7,47 sancta Euangelia. Non enim repentè lux affulget, ne quando caligine offundantur, sic-

Quomodo Angeli & homines illuminentur.

PARAPHRASIS PACHYMERÆ.

ut contingit iis qui è profundis tenebris solem directis oculis intueri volunt; sed sensim, iuxta modulum eorum qui lumen excipiunt, vt neque luce nimiâ infirmiores obruat, neque rursum, propter luminis inopiam, meritis non respondeat, sed iuxta suscipientium sursum contuendi capacitatem temperetur. hoc enim est quod etiam superius dixit, Deum esse ordinem & mensuram nostram.

§.6. *Quæ sint mentes supramundanæ, circummundanæ & mundanæ.* Illud quod supra omne lumen, bonum lumen dicitur; quia etiam omnem mentem supramundanam, scilicet virtutum superiorum, circummundanam illam Angelicam, id est eorum qui, iuxta Apostolum, in ministerium missi, & ad ædificationem & obsequium ordinati sunt (id enim etiam in libro de Cælesti Hierarchiâ tradit) & mundialem, scilicet humanam ex suâ plenitudine illuminat, iuxta diuinum Apostolum & Euangelistam Ioannem, dicentem, *Et ex plenitudine eius omnes accepimus.* Vel supramundanam ait, spiritalem; circummundanam, animalem; & mundialem, carnalem. Vel etiam aliter, supramundialem, eam quæ Theologiam docet; circummundialem, quæ naturalem contemplationem; mundialem, quæ practicam virtutem tradit. *Lumen omnia renouat.* Deus iterùm lux est, quia omnes intellectu præditas virtutes, cùm cælestes tum nostras renouat. Quomodo autem renouat lumen? quoniam videlicet ex proportione rerum corporearum intelliguntur ea quæ ad animum & intellectum spectant. Quemadmodum igitur iuuentus est, in quâ corpus optimè functiones suas obire valet, senium verò, in quo non valet; sic etiam & animæ & mentis senium quidem est, in quo non potest exequi munus suum, iuuentus verò, in quâ potest. Dum itaque mens in erroris & ignorantiæ tenebris versatur, quodammodò consenescit, & vires eius obtorpescunt; verùm vbi lux intelligibilis affulget, renouatur, & quæ sui muneris sunt exequi valet. Porrò radius ille lucis intelligibilis mentes omnes continet, cùm supra omnes est, & à nullo continetur, atque omnem simpliciter illuminandi facultatis dominatum ac potestatem comprehendit, & superhabet, quoniam supra omnia lumina existit; & præhabet, quoniam harum creator est, & omnia congregat, & in vnum copulat. Quomodo au-

Ephes. 4,12

ὥσπερ συμβαίνῃ τοῖς ἐξαίφνης ἀπὸ βαθέος σκότους τῷ ἡλίῳ ἐπενβανίζειν ἐθέλουσιν· ἀλλὰ κατ᾽ ὀλίγον, καὶ πρὸς τὸ μέτρον τῶν ὑποδεχομένων, ὥστε τῷ πληθυσμῷ τοὺς ἀσθενεστέρους καταβαπτίζων, ὥστε πάλιν ἐπ᾽ ἔλαττον παρὰ τὴν ἀξίαν χωρούμενον, ἀλλὰ κατὰ τὴν τῶν ὑποδεχομένων εἰς ἀνάβασιν ἀναλογίαν· τοῦτο γάρ ἐστιν, ὃ καὶ ἀνωτέρω λέγει, ὅτι τάξις καὶ μέτρον ἡμῶν ἐστιν ὁ Θεός.

Τοῦτο τὸ ὑπὲρ πᾶν φῶς, ἀγαθὸν φῶς λέγεται, καὶ ὅτι πάντα νοῦν ὑπερκόσμιον, δηλονότι τὸν τῶν ἀνωτέρω δυνάμεων· περικόσμιον τὸν Ἀγγελικόν, τουτέστι τῶν ἐπὶ λειτουργίᾳ ἀποστελλομένων, καὶ εἰς διοίκησιν, καὶ διακονίαν τεταγμένων κατὰ τὸν Ἀπόστολον (οὕτω γὰρ καὶ ἐν τῷ περὶ τῆς οὐρανίας Ἱεραρχίας φησί) καὶ ἐγκόσμιον, τὸν ἀνθρώπινον, ἐκ τοῦ οἰκείου πληρώματος καταλάμπει, κατὰ τὸν θεῖον Ἀπόστολον καὶ Εὐαγγελιστὴν Ἰωάννην λέγοντα, Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν. Ἢ ὑπερκόσμιόν φησι, τὸν πνευματικόν· περικόσμιον, τὸν ψυχικόν· ἐγκόσμιον, τὸν σαρκικόν. Ἢ καὶ ἄλλως, ὑπερκόσμιον, τὸν τὴν Θεολογίαν κατορθοῦντα· περικόσμιον, τὸν τὴν φυσικὴν θεωρίαν· ἐγκόσμιον, τὸν τὴν πρακτικὴν ἀρετήν. Φῶς πάλιν ὁ Θεός, διότι τὰς ὅλας νοερὰς δυνάμεις, τάς τε ἐν οὐρανῷ καὶ τὰς ἡμετέρας ἀνανεάζει. Πῶς δὲ ἀνανεάζει τὸ φῶς; ἢ δηλονότι ἐξ ἀναλογίας τῶν σωματικῶν, καὶ τὰ ψυχικά τε καὶ νοερὰ ἐκλαμβάνονται. Ὡς γοῦν νεότης ἐστί, καθ᾽ ἣν τὸ σῶμα τὰ οἰκεῖα δύναται ἐνεργεῖν, γῆρας δέ, καθ᾽ ὃ οὐ δύναται· οὕτω δὴ καὶ ψυχῆς καὶ νοῦ, γῆρας μέν, καθ᾽ ὃ οὐ δύναται ἐνεργεῖν τὰ οἰκεῖα, νεότης δέ, καθ᾽ ἣν δύναται. Ἐν γοῦν τῷ τῆς πλάνης καὶ τῆς ἀγνοίας σκότει ὁ νοῦς ὤν, γηρᾷ οἷον καὶ ἀπρακτεῖ κατὰ τὰς οἰκείας δυνάμεις· τοῦ νοητοῦ δὲ φωτὸς ἐπιλάμψαντος, ἀνανεοῦται, καὶ τὰ οἰκεῖα πράττειν δύναται. Αὕτη τοῦ νοητοῦ φωτὸς ἡ ἀκτὶς πάντας περιέχει ἐν τῷ ὑπερεῖναι πάντων καὶ μὴ παρ᾽ οὐδενὸς περιέχεσθαι, καὶ ἁπλῶς πᾶσαν τῆς φωτιστικῆς δυνάμεως κυριότητα καὶ ἐξουσίαν συλλαβοῦσα, καὶ ὑπερέχει, ὅτι ὑπὲρ πάντα τὰ φωτά ἐστι καὶ προέχει, ὅτι δημιουργὸς τούτων ἐστί, καὶ πάντα συνάγει καὶ ἀολλῆ ποιεῖ. Πῶς δὲ ἀολλῆ καὶ συνηθροισμένα

ποιεῖ τὸ φῶς, συνίστησιν ἐκ τοῦ ἐναντίου. Ὡς γὰρ ἡ ἄγνοια, διαιρετική ἐστι τῶν πεπλανημένων (ὁ γὰρ ἀγνοῶν, εἰς πολλὰ μερίζεται) οὕτως ἡ παρουσία τοῦ φωτὸς καὶ τῆς γνώσεως, συναγωγός ἐστι τῶν φωτιζομένων· ἔτι δὲ καὶ ἐπιστρεπτική, ἐπιστρέφουσα ἀπὸ τῆς πολυθεΐας πρὸς τὸ ὄντως ὂν (ὥσπερ ἡλίου ἐπιλάμψαντος, πρώτως ὁ βλέπων εἰς αὐτὸν ἐπιστρέφεται, καὶ τούτου ἀντιλαμβάνεται) καὶ εἰς μίαν καθαρὰν γνῶσιν συνάγουσα, τὴν θεογνωσίαν δηλαδή, τὰς ποικίλας ὄψεις τὰς εἰς πολλὰ μεμερισμένας δηλονότι. Εἶτα ἐπεὶ ἡ ὄψις αὐθυπάρκτου πράγματος ἀντιλαμβάνεται, τὰ δὲ εἴδολα οὐκ εἰσὶν εἰκόνες τινῶν, ἀλλὰ πλάττονται (διὰ τοῦτο γὰρ καὶ εἴδωλα ὠνομάσθησαν) φησὶν ὅτι κυριώτερον δὲ εἰπεῖν φαντασίας οἱονεὶ πλασματώδεις ἐννοίας περὶ τὰ αἰσθητά· εἴωθε γὰρ ἡ φαντασία, καὶ τὰ μὴ ὄντα καὶ ὧν εἰς γνῶσιν ἢ θέαν οὐκ ἐλθομεν, ἀναπλάττειν.

Τοῦτο τὸ ἀγαθὸν ὑμνεῖται, καὶ ὡς καλόν, καὶ ὡς κάλλος, καὶ ὡς ἀγάπη, καὶ ὡς ἀγαπητόν. Εἶτα, ἐπεὶ καλὸν μέν ἐστι τὸ τοῦ κάλλους μετέχον, κάλλος δὲ αὐτὸ τὸ μετεχόμενον, καὶ ἀγαπητὸν μὲν τὸ τῆς ἀγάπης μετέχον, ἀγάπη δὲ αὐτὸ τὸ μετεχόμενον, καὶ ἐφ' ἡμῖν κατὰ διαίρεσιν ταῦτα φαίνονται, ὅτι τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ ἑκτά, φησίν, ὅτι οὐχ οὕτως ἔχει καὶ ἐπὶ τῆς ἐν ἑνὶ τὰ ὅλα συνειληφυίας αἰτίας. Ἐν ἑνὶ γὰρ καὶ τῷ αὐτῷ καὶ τὰς ἕξεις καὶ τὰ ἑκτὰ συλλαμβάνουσα οὔτε ὡς ἑκτόν, οὔτε ὡς ἕξις, ἀλλ' ὑπὲρ ταῦτα οὖσα, αἰτία τοῖς ἄλλοις τῶν τοιούτων ἀγαθῶν γίνεται. Ὅθεν καὶ κάλλος μὲν λέγεται, διὰ τὴν ἐξ αὐτοῦ διαδιδομένην πᾶσι καλλονήν, καὶ διὰ τὸ εἶναι αἴτιος πάσης εὐαρμοστίας καὶ ἀγλαΐας (κάλλος γάρ ἐστι, συμμετρία μελῶν καὶ μερῶν μετὰ τῆς ἐπανθούσης εὐχροίας) ἢ καὶ διὰ τὸ πάντα πρὸς ἑαυτὸ καλεῖν, καὶ ὡς ἀεὶ ὂν καὶ μηδέποτε μειούμενον ἢ αὖξον· τὰς γὰρ ὑπερβολὰς καὶ ἐλλείψεις κακίας οἴδαμεν λέγειν. Οὐδὲ κατά τι καὶ ἀνὰ μέρος καλόν, οὐδὲ κατά τινα χρόνον καλόν, κατά τινα δὲ οὔ. οὐδὲ πρός τι καλόν, οὐδὲ πῃ, οὐδέ τισιν (ἃ δὴ πάντα τὸ κάλλος περιπέφευγε πάντως, τοῦ καθ' ἡμᾶς κα-

tem lux omnia congreget & in vnum copulet, probat à contrario. Sicut enim ignorantia errantes diuidit (qui enim ignorat, in multa distrahitur) sic luminis cognitionisq́; præsentia colligit ea quæ illuminantur: insuper verò etiam conuertendi vim habet, dum à multâ visione ad id quod verè est conuertit (quemadmodum lucente sole is qui videt, ad ipsum primùm conuertitur, ipsúmque excipit) & ad vnam purã cognitionem, videlicet ad Dei notitiam, adducit varia illa visa, quæ nimirum ad multa sunt distracta. Ceterùm cùm visus rem per se subsistentem postulet, figmenta autem non sint imagines rerum aliquarum, sed fingantur (nam idcircò figmenta nominantur) magis propriè phantasias seu imaginationes vocari posse dicit, vtpote fabulosas cogitationes circa sensilia: solet enim imaginatio etiam ea quæ non sunt, & in quorum cognitionem vel aspectum non venimus, effingere.

PARAPHRASIS PACHYMERÆ.

§. 7. *Deus qualiter sit pulcher & pulchritudo.*

Hoc item bonum laudatur etiam vt pulchrum, & vt pulchritudo, & vt dilectio, & vt dilectum. Ceterùm cùm pulchrum quidem sit id quod particeps est pulchritudinis, pulchritudo autem id ipsum quod participatur; & dilectum quidem sit id quod particeps est dilectionis, dilectio verò id ipsum quod communicatur, & in nobis hæc secundùm distinctionem apparent, quoniam hæc sunt habitus, illa verò habituata, dicit, quoniam non eodem modo se habent, etiam in causâ, quæ in vno complectitur vniuersa. Nam in vno & eodem & habitus & quæ habituata sunt complectitur, neque vt habituatum quid, nec vt habitus, sed vt supra hæc existens, aliis etiam causa est istiusmodi bonorum. Vnde etiam pulchritudo dicitur, propter eam pulchritudinem quam omnibus elargitur, & quòd auctor sit omnis concinnitatis ac splendoris (pulchritudo enim est proportio membrorum ac partium cum colore florido) vel etiam quòd omnia ad se vocet, & quòd semper sit & numquam minuatur vel augeatur: nam excessus & defectus malitias dici non ignoramus. Neque secundùm quid & ex parte pulchrum, neque aliquando pulchrum, aliquando non, neque ad aliquid pulchrum, aut alibi, aut quibusdam (quæ vtique omnia ab istâ pulchritudine omnino aliena sunt, vbi nostra

PARAPHRASIS PACHYMERÆ.

pulchritudo ex necessitate istiusmodi definitionibus subiecta sit) sed vt ipsum secundùm se vniforme semper existens pulchrum, quoniam neque diuiditur in habitus ac pulchrificas differentias. Nostra enim pulchritudo distinguitur: nam alia v.g. est pulchritudo oculi, & alia pulchritudo nasi, & alia totius faciei, & alia manuum. Nec vt aliis formosum, aliis verò non, sed vbique apparet pulchrum, & in omnibus, quod non habet nostra pulchritudo: etsi enim in omnibus esse amet, quoniam etiam omnia pulchra valdè, sed non vniformiter. Alia est enim pulchritudo solis, & alia pulchritudo terræ, & alia aquæ, quæ variæ sunt pulchritudines, nec ad vnum conducunt. Id quod autem verè pulchritudo vniformis existit, in subiectis variegatur, idcircò in se pulchritudinem præhabere dicitur, quippe quod ante creaturas existat, & quidquid pulchrum est, habeat eminenter, tamquam fons & principium pulchrorum omnium. Etsi enim multa pulchra sint, tamen ex ipso pulchra sunt: in ipsâ enim supernaturali & quæ causâ caret pulchritudine, omnis pulchritudo omneque pulchrum secundùm causam præexstitit. Pulchrum autem vniforme Deus est; quoniam non per participationem pulchritudinis pulcher existit, vt in subiectum aliquod & qualitatem diuidatur, sed ipsemet & pulchrum est & pulchritudo, iisque superior: quæ autem ab hoc per participatioẽ pulchra existunt, in qualitate aliquâ suam habent pulchritudinem. Huius pulchri causâ, elementorum connexiones, quas coaptationes vocant, fiunt, rerumque benè ordinatę colligationes perdurant, quæ dicuntur amicitiæ & communiones; ratione quidem præditorum ad Deum aspirationes, quemadmodum Ecclesia primogenitorum in cælo, atque etiam in terrâ; in brutis autem gregales societates, in inanimis verò mutuæ quædam quibus colligantur sympathiæ: hæc igitur cum pulchro vniuntur, per participationem ad auctorem conuersa. Hocce pulchrum est omnium principium vt causa efficiens, & vt causa finalis ad quam tendit omne studium & appetitus. Finis omnium; Deus enim finis dicitur tamquam omnia continens, & veluti cuncta in securitate cõplectens, & in quantũ eius causâ producta sunt vniuersa,

Quomodo Deus sit rerum principium, & medium, & finis.

λου ὑποκειμένου ἐξ ἀνάγκης τοῖς τοιούτοις προσδιορισμοῖς) ἀλλ' ὡς τὸ καθ' ἑαυτὸ μονοειδὲς ἀεὶ ὂν καλὸν, ἐπεὶ οὔτε σκεδάννυται εἰς ἕξεις τε καὶ διαφορὰς καλλοποιούς. Τὸ καθ' ἡμᾶς γὰρ κάλλος σκεδάννυται, ἄλλο γὰρ κάλλος ὀφθαλμοῦ τυχὸν, καὶ ἄλλο κάλλος ῥινὸς, καὶ ἄλλο προσώπου παντὸς, καὶ ἄλλο χειρῶν. Οὔτε πρὸς ἐνίους τὸ καλόν ἐστι, πρὸς ἐνίους δὲ οὐ, ἀλλὰ πανταχοῦ πέφυκε φαίνεσθαι καὶ ἐν πᾶσιν, ὅπερ οὐκ ἔχει τὸ καθ' ἡμᾶς κάλλος· εἰ γὰρ τοῖς πᾶσι πέφυκεν εἶναι, ὅτι καὶ πάντα καλὰ λίαν, ἀλλ' οὐ μονοειδῶς. Ἄλλο γὰρ κάλλος ἡλίου, καὶ ἄλλο κάλλος γῆς, καὶ ἄλλο ὕδατος, ποικίλα τινὰ κάλλη, καὶ οὐκ εἰς ἓν συναγόμενα· τὸ δὲ ὄντως κάλλος μονοειδὲς ὂν, ποικίλλεται πρὸς τὰ ὑποκείμενα, καὶ διὰ τοῦτο προέχειν ἐν ἑαυτῷ λέγεται καὶ καλλονὴν, ὡς καὶ πρὸ τῶν δημιουργημάτων ὂν, καὶ ὑπεροχικῶς ἔχειν τὸ καλὸν, ὡς πηγὴ καὶ ἀρχὴ τῶν καλῶν ἁπάντων. Κἂν γὰρ πολλὰ καλὰ, ἀλλ' ἐξ αὐτοῦ εἰσι καλά· αὐτῇ γὰρ τῇ ὑπερφυεῖ καλλονῇ καὶ ἀναιτίῳ πᾶσα καλλονὴ καὶ πᾶν καλὸν αἰτιατῶς προϋφέστηκεν. Ἑνοειδὲς δὲ καλὸν ὁ Θεὸς, ἐπεὶ οὐ κατὰ μετοχὴν τοῦ κάλλους καλός ἐστιν, ὡς διαιρεῖσθαι εἰς ὑποκείμενόν τι καὶ ποιότητα, ἀλλ' αὐτός ἐστι καὶ καλὸν καὶ κάλλος, καὶ ὑπὲρ ταῦτα· τὰ δὲ ἀπὸ τούτου κατὰ μετοχὴν καλὰ, ἐν ποιότητι τὸ καλὸν κέκτηνται. Διὰ τοῦτο τὸ καλὸν, αἱ τῶν στοιχείων γεγόνασιν ἀλληλουχίαι, ἃς ἐφαρμογάς φησι, καὶ αἱ τῶν ὄντων εὔτακτοι συνδέσεις, αἱ λεγόμεναι φιλίαι καὶ κοινωνίαι· λογικῶν μὲν, αἱ πρὸς Θεὸν ἀναβάσεις, ὡς ἡ τῶν πρωτοτόκων Ἐκκλησία ἐν οὐρανῷ, καὶ πάλιν αὕτη ἡ ἐπὶ γῆς· ἐπὶ δὲ τῶν ἀλόγων, αἱ ἀγελαῖαι συνδιαγωγαί· ἐπὶ δὲ τῶν ἀψύχων, αἱ πρὸς ἄλληλα συνδετικαὶ συμπάθειαι· ταῦτα οὖν ἥνωνται τῷ καλῷ, τὰ μεθέξει πρὸς τὸ αἴτιον ἐπεστραμμένα. Τοῦτο τὸ καλὸν καὶ ὡς ποιητικὸν, ἀρχὴ πάντων, καὶ ὡς τελικὸν αἴτιον, ἐφ' ὃ τείνει πᾶσα σπουδὴ καὶ ἔφεσις. Πέρας πάντων· πέρας γὰρ ὁ Θεὸς λέγοιτο ἂν, ὡς συνέχων τὰ πάντα, καὶ πάντων εἰς ἀσφάλειαν περιδεδραγμένος, καὶ ὡς αὐτοῦ γε ἕνεκα πάντων εἰς τὸ εἶναι παραχθέντων,

καὶ

PARAPHRASIS PACHYMERÆ.

καὶ ἑτέρου τινὸς εἰς τὸ τελειωθῆναι οὐ δεόμενα. Οὕτω καὶ μέσον, ὡς τὴν εἰς τὸ συνεστάναι παράτασιν διδούς· καὶ τελευτὴ, ὡς ἐν τῷ θελήματι αὐτοῦ περατουμένων τῶν ὄντων, ἐφ' ὃν καὶ ἐπέστραπται. Τοῦτον λέγει καὶ παραδειγματικὸν αἴτιον, ὡς πάντων τῶν ἐσομένων τοὺς προορισμοὺς, καὶ ἐν ἑαυτῷ προειληφότα, καὶ πρὶν ἢ παραγαγεῖν, ὡς φησὶν ὁ Ἀπόστολος· Οὓς δὲ προώρισε, καὶ τὰ ἑξῆς. Οὕτως γὰρ εἶπεν ὁ ἅγιος, ἐν τῷ προωρίσθαι ἐν αὐτῷ προγνωστικῶς τὰ ἐσόμενα διὰ τῆς περιεχούσης τὰ πάντα ἑνιαίας προγνώσεως. Ὡς γοῦν τοῦ ἀγαθοῦ, οὕτω καὶ τοῦ καλοῦ πάντα ἐφίεται· καὶ οὐκ ἔστι τι τῶν ὄντων, ὅπερ οὐ μετέχει τοῦ καλοῦ, ἐν τῇ μεθέξει τοῦ ὄντος καλοῦ. Τολμήσει δέ τις εἰπεῖν, ὅτι καὶ τὸ μὴ ὂν, τοῦ καλοῦ μετέχει. Πῶς δὲ τὸ μὴ ὂν μετέχειν φησίν; ὅτι ἐν τῷ Θεῷ καὶ τὸ μὴ ὂν αὐτὸ κατὰ τὴν πάντων ἀφαίρεσιν ὑμνεῖται, ὅτε λέγει τις ὅτι τοῦτο, Οὐκ ἐκεῖνό ἐστι τὸ Θεῖον, ἀλλ' ὑπὲρ ταῦτα. Τοῦτο γοῦν τὸ μὴ ὂν ἡ πάντων ἀφαίρεσις, μετέχει τοῦ θείου καλοῦ καὶ ἀγαθοῦ, καθὸ μὴ ὂν τὸ Θεῖον ὀνομάζεται. Ἔχεις εἰπεῖν καὶ τὴν ὕλην μὴ ὂν, ὡς μὴ μετέχουσαν τοῦ καλοῦ εἴδους. Ἔχεις εἰπεῖν καὶ τὸ κακὸν, μὴ ὂν ἀγαθὸν, ὡς μετέχει καὶ τοῦτο τοῦ καλοῦ, ὅτι διά τι φαινόμενον καλὸν ἢ ἀγαθὸν πράττεται· ἀλλ' ἡ ἐπιφερομένη ἐπεξεργασία, τὸ πρότερον δίδωσιν ἡμᾶς ἐννοεῖν. Ἐπεὶ συνέμιξε τῷ ἀγαθῷ τὸ καλὸν (ὡς γὰρ ἐκείνου, οὕτως καὶ τούτου πάντα ἐφίεται) τοῦτό φησι, πάντων τῶν τοιούτων ἐστὶν αἴτιον, ἑνικῶς δηλονότι, εἰ καὶ ποικίλλεται κατὰ τὰ καθ' ἕκαστον, ἀλλ' οὖν ἓν καὶ ἁπλοῦν μένει. Ὡς ὁ αὐτὸς ἥλιος θερμαίνων καὶ πέτραν, καὶ ἱμάτιον, καὶ γῆν βεβρεγμένην, καὶ ὕδωρ, πλὴν ποικίλως πρὸς τὰ δεχόμενα· ἐκ τούτου πᾶσαι τῶν κτιστῶν αἱ οὐσιώδεις ὑπάρξεις. Καλῶς δὲ τὸ Οὐσιώδεις· αἱ γὰρ ὑπάρξεις, καθ' ἑαυτὰς ἀνώτεραι τῶν οὐσιῶν εἰσιν· ὕπαρξις γάρ ἐστιν, αὐτὸ τὸ εἶναί τι· οὐσία δέ ἐστι, τὸ τί ἐστι τοῦ ὄντος. Ἐπειδὴ οὖν περὶ τῶν κτιστῶν φησιν, εἰκότως τῷ Ὑπάρξεις προσέθηκε τὸ Οὐσιώδεις. Ἑνώσεις δὲ λέγονται, οὐχ ὅτι σωρηδὸν σὺν ἐκείνῳ ἕν τι ἀποτελοῦνται, ἀλλ' ὅτι πηγὴ αὐτῶν καὶ ἀρχὴ ὁ Θεὸς, καὶ ἐξ αὐτοῦ παρήχθησαν ὑποστάντα καθ' ὑπόστασιν,

& nullius alterius indiguerunt vt perficerentur. Sic etiam medium dicitur, veluti perdurationem in consistendo concedens; & finis, quatenus omnia in eius voluntate terminantur, ad quem etiam conuertũtur. Hunc etiam vocat causam exemplarem, quâ omnium futurorum prædefinitiones in seipso præconcepit, & etiam ante productionem, vt inquit Apostolus: *Quos autem prædestinauit*, & quæ sequuntur. Sic enim vir sanctus futura in ipso præscienter prædefinita dixit per vnicam illam prænotionem, quâ cuncta complectitur. Quemadmodum igitur bonum, sic & pulchrum omnia appetunt; & nihil est in rebus quod non pulchri sit particeps in veri pulchri participatione. Audebit etiam nonnemo dicere, id quod non est etiam pulchrum participare. Quomodo autem dicit participare id quod non est? quia etiam in Deo id quod non est per omnium ablationem prædicatur; vt quando quis dicit v.g. Deus non est hoc vel illud, sed supra ista. Id itaq; quod non est, siue omnium ablatio, particeps est diuini pulchri ac boni in quantum diuinum numen vocatur non esse *. Possis etiam materiam non ens appellare, quatenus expers est pulchræ formæ. Possis etiam malum dicere non esse bonum, in quantum etiam huius pulchri particeps existit; quia per aliquod apparens pulchrum vel bonum fingitur: expressa verò similitudo dat nobis cogitandum id quod prius est. Cùm commiscuerit bono pulchrum, (sicut enim illud, sic & hoc cuncta appetunt) hoc, inquit, talium omnium est causa, nimirum vnicè, tametsi in singulis varietur, tamen vna simplexque permanet. Sicut idem sol calefaciens & lapidem, & vestem, & terram complutam, & aquam, licet diuersimodè pro materiâ subiectâ. ex hoc creaturarum omnium substantiales existentiæ. Pulchrè autem substantiales: nam existentiæ secundùm seipsas superiores sunt substantiis; existentia enim est, ipsummet esse aliquid, substantia verò est id quod quid est. Quoniam itaque de creaturis loquitur, meritò dictioni ὑπάρξεις, seu existẽtię, apposuit οὐσιώδεις, seu substantiales. Vniones autem dicuntur, non quòd simul cum illo aceruatim aliquid vnum efficiant, sed quòd Deus erat fons illorum & principium, & ex ipso producta sint ea quæ subsistunt secundùm subsisten-

Rom. 8,30

Quomodo id quod non est Deum participet.

* Scilicet hoc vel illud.

Quid sint existentiæ, vniones, & similia.

PARAPHRASIS PACHYMERÆ.

subsistentiam, ita vt etiam ad distinctiones suppositorum appareant. Idemtitates autem sunt virtutes adductrices & vnitrices rerum intelligibilium ad Deum, vti & similitudines, quandoquidem & ex ipso sint, eique inhæreant. Diuersitates autem sunt quasi partita quædam multiplicatio diuinæ voluntatis ad inferiora procedentis. Dissimilitudines verò, quoniam id quod creatur diuersum est à creatore. Fœdera sunt contrariorum elementorum temperationes: cohærentiæ sunt totius mundi connexio & consensus. Rerum vnitarum impermixtiones sunt sicut in humani generis communitate, & cuiusque hominis proprietate: communi enim essentiæ ratione omnes vniti sumus, vniuscuiusque verò proprietate minimè commiscemur. Immobiles omnium mansiones, quidlibet enim per se subsistit & est. Et rursus, omnium in quolibet communiones. Hinc corriguntur etiam opiniones duorum veterum Philosophorum, Empedoclis & Anaxagoræ. Siquidem Empedocles sphæram ab omnium amicitiâ & commixtione nominauit, ita vt quidlibet per se ab alio discerni nequeat, antequam pugna fiat & diuisio, secundùm quam mundus subsistit; Anaxagoras verò ita res omnes simul appellauit. Ait itaque, per se quidlibet subsistere, & omnia omnibus communicare, neque à propriâ mansione desciscere, & sic sphæram existere: non tamen realem inter se communionem habent, ita vt v.g. etiam in pane aurum, & lignum, & ferrum sint atomi quidam, qui propter paruitatem minimè videantur, vti Anaxagoræ placuit, qui generationem diuisionem nuncupauit; verumtamen communicant virtute secũdùm qualitatem, vt quodammodò dici possit, id ipsum quod est aquæ fieri aërem & ignem, & à terrâ aquam, & à cibis carnes, & cetera; ita vt amicitia sit inconfusa, & complexus indissolubilis. Indeficientes autem ait esse
Ioan. 5, 17. successiones eorum quæ fiunt: *vsque enim modò operatur.* Et Aristoteles illud dubium aliter soluit, dum ait, omnia ab inuicem oriri, & huius corruptionem alterius esse generationem, & alterius corruptionem huius esse generationem, & sic subiungit rationem, ne scilicet deficiat generatio. Cùm autem status sit & motus omnium Deus, supra stationem & motionem existit, tam-

ὡς καὶ εἰς διακεκριμένας ὑποστάσεων φαίνεσθαι. Ταυτότητες δὲ, αἱ ἀναγωγαὶ καὶ ἑνωτικαὶ πρὸς Θεὸν δυνάμεις τῶν νοητῶν, ὡς καὶ ὁμοιότητες, ἐπειδὴ καὶ ἐξ αὐτοῦ εἰσι καὶ προσεχεῖς αὐτῷ. Ἑτερότητες δὲ, οἱονεὶ ὁ μεριστικὸς πληθυσμὸς ἐν ταῖς ὑποβεβηκυίαις προόδοις τοῦ θείου θελήματος. Ἀνομοιότητες δὲ, ἐπειδὴ τὸ γινόμενον, ἕτερον τοῦ δημιουργήσαντος. Κοινωνίαι τῶν ἐναντίων, αἱ τῶν στοιχείων κράσεις· ἀλληλουχίαι, ἡ τοῦ κόσμου παντὸς συνάφεια καὶ συμπάθεια. Ἀσυμμιξίαι τῶν ἡνωμένων, ὡς ἐπὶ τῆς τοῦ ἀνθρωπείου γένους κοινότητος, καὶ τῆς καθ᾽ ἕκαστον ἄνθρωπον ἰδιότητος· τῷ μὲν γὰρ κοινῷ τῆς οὐσίας λόγῳ, πάντες ἡνώμεθα· τῇ δὲ καθ᾽ ἕκαστον ἰδιότητι τὸ ἀσύμμικτον ἔχομεν. Αἱ πάντων ἀμετακίνητοι μοναί· ἕκαστον γὰρ καθ᾽ ἑαυτὸ συνίσταται καὶ ἐστί. Καὶ αὖθις, αἱ πάντων ἐν ἑκάστῳ κοινωνίαι. Ἐντεῦθεν διορθοῦται καὶ δόξας δυοῖν παλαιῶν Φιλοσόφων, Ἐμπεδοκλέους καὶ Ἀναξαγόρου. Ὁ μὲν γὰρ Ἐμπεδοκλῆς σφαῖραν ἀπὸ τῆς ἁπάντων φιλίας καὶ συγκράσεως ἔλεγεν, ὥστε μὴ εἶναι διακρίνεσθαι καθ᾽ ἑαυτὸ ἕκαστον ἀπὸ ἄλλου, πρὶν τὸ νεῖκος γενέσθαι καὶ τὴν διάκρισιν καθ᾽ ἣν ὑπέστη ὁ κόσμος. Ὁ δ᾽ Ἀναξαγόρας, Ἦν ὁμοῦ χρήματα πάντα, ἔλεγε. Λέγει γοῦν, ὅτι καὶ καθ᾽ αὑτὰ τὸ πᾶν συνίστανται, καὶ πᾶσι πάντα κοινωνοῦνται, οὔτε τῆς οἰκείας μονῆς ἐξίστανται, ὡς σφαῖραν γίνεσθαι· οὔτε μὴν πραγματικὴν τὴν κοινωνίαν ἔχουσιν, ὡς εἶναι ἐν τῷ ἄρτῳ τυχὸν καὶ χρυσὸν, καὶ ξύλον, καὶ σίδηρον, ἄτομά τινα καὶ διὰ σμικρότητα οὐ βλεπόμενα, ὡς ὁ Ἀναξαγόρας ἐδόξασεν, ὃς καὶ τὴν γένεσιν, διάκρισιν ἔλεγεν· ἀλλ᾽ εἰσὶ μὲν ἐν κοινωνίᾳ, δυνάμει δὲ τῇ κατὰ ποιότητα, ὡς δύνασθαι φέρε εἰπεῖν, καὶ αὐτὸ ὕδατος γενέσθαι ἀέρα καὶ πῦρ, καὶ ἀπὸ γῆς ὕδωρ, καὶ ἀπὸ τῶν τροφῶν σάρκας, καὶ τἄλλα· ὥστε καὶ τὴν φιλίαν ἀσύγχυτον εἶναι, καὶ τὴν συνοχὴν ἀδιάλυτον. Ἀνεκλείπτους δὲ τὰς διαδοχὰς τῶν γινομένων φησίν· ἕως γὰρ ἄρτι ἐργάζεται. Εἰ καὶ ὁ Ἀριστοτέλης ἐπαπορῶν ἑτέρως λύει, διότι λέγων ἐξ ἀλλήλων γίνονται, καὶ ἡ φθορὰ τούτου, ἄλλου γένεσίς ἐστι καὶ ἄλλου φθορὰ, τούτου γένεσις, καὶ ἐφεξῆς οὕτως, ὥστε μὴ ἐπιλείπειν τὴν γένεσιν. Ἐπειδὴ δὲ στάσις ἐστὶ καὶ κίνησις ἁπάντων, τὸ Θεῖον ὑπὲρ στάσιν καὶ κίνησιν, ὧν ἕκαστον

ἱστᾶν

PARAPHRASIS PACHYMERÆ.

ἱστῶν ἐν τῷ οἰκείῳ λόγῳ, καὶ κινοῦν ἐπὶ τὴν οἰκείαν κίνησιν, διὰ τοῦτο λέγει, αἱ στάσεις πᾶσαι καὶ αἱ κινήσεις, εἴτε Ἀγγέλων εἴποις, εἴτε ψυχῶν, εἴτε σωμάτων, ἐκ τούτου εἰσί. Νόων γοῦν στάσις ἐστὶ, τὸ ἱδρῦσθαι τῇ πρὸς Θεὸν ἀνατάσει, κἂν ἀποστέλλοιντο καὶ καταβαίνοιεν ἐπὶ τὰ ὑποβεβηκότα προνοίας χάριν τῶν ὠφεληθησομένων.

quam rem quamlibet in propriâ ratione firmans, & mouens ad propriam motionẽ; idcircò dicit, omnes ſtationes ac motiones, ſiue Angelorum dicas, ſiue animarum, ſiue corporum, ex ipſo ſunt. Mentium igitur ſtatio eſt, firmari in contentione ad Deum, etſi delegentur & deſcendant ad inferiora, vt ope indigentibus prouideant.

Ἐπεὶ δὲ τριχῶς ἡ κίνησις γίνεται, ἔστι τούτοις καὶ τὸ τριττὸν τῆς κινήσεως. Κυκλικῶς μὲν, ὅτε περὶ ἑαυτοὺς ἐπιστρέφονται· εὐθέως δὲ, ὅταν εἰς τὴν τῶν καταδεεστέρων προΐασι κηδεμονίαν. Ἐπεὶ γὰρ ἑκάστη κηδεμονία τέλος ἔχει (πάντως τῆς ἐπ' εὐθείας κινήσεως τέλος ἐχούσης) κατὰ ταύτην κινοῖντο, καὶ τὰ τῆς προνοίας περαίνοιεν. ἐπεὶ δὲ πάλιν εἰς ἑαυτοὺς ἀνακυκλοῦσι, καὶ ἰδοὺ καὶ ἡ ἑλικοειδὴς συνίσταται κίνησις.

§.8. *Mentium motus triplex.*

Cùm autem tripliciter motus fiat, ipſis etiam triplex hic motus eſt. Circularis quidem, dum circum ſemetipſi conuertuntur; rectus verò, quando ad inferioribus prouidendum procedunt. Cùm enim quælibet cura finem habeat (eò quòd recto motu cientur omnino finem habente) ſecundùm hunc mouentur, & prouidendi partes explent; cùm verò in ſemetipſos iterùm reuoluantur, ecce ibi obliquus motus ſubſiſtit.

Πάλιν ψυχῆς στάσις, τὸ ἀμετακίνητον καὶ ἑδραῖον τῆς ἰδίας οὐσίας. Κίνησις δὲ, κυκλικὴ μὲν, ὅταν τῇ κατὰ νοῦν θεωρίᾳ κινῆται, καὶ εἰς ἑαυτὴν γινομένη, ἐκ τῆς ἔξω τῶν αἰσθήσεων πλάνης συνελίσσηται, καὶ πρῶτον εἰς ἑαυτὴν συνάγηται, κἀντεῦθεν ἀνάγηται πρὸς Θεὸν χειραγωγουμένη. Καὶ τοῦτό ἐστιν ἡ κατὰ νοῦν ἐργασία. ἑλικοειδὴς δὲ, ὅτε πρόεισι μὲν εἰς τὰ κατὰ μέρος, λαμβάνει δὲ τὰς γνώσεις, οὐχὶ νοερῶς καὶ ἑνιαίως· τοῦτο γὰρ τῶν Ἀγγέλων, οἵτινες κατὰ ἀθρόαν μεταβολὴν τὰς ὑπερκειμένας θέας καὶ ἐλλάμψεις νοοῦσι κατὰ τὸ αὐτὸ μέτρον ἀποκαλυπτομένας. Ἡ δὲ ψυχὴ λογικῶς καὶ διεξοδικῶς, τουτέστιν εἰς μερικὴν, μεριζομένην καὶ ἐκ μετοχῆς διδασκομένην. ὁ γὰρ νοῦς εἰς λογισμοὺς κατιὼν οἱονεὶ μερίζεται καὶ δέεται τοῦ διὰ πλειόνων παραδειγμάτων διεξοδεύοντος λόγου πρὸς παράστασιν τοῦ νοουμένου. Συμμίκτως οὖν ἐνεργεῖ ψυχὴ καὶ μεταβατικῶς, ὅτε καὶ νοερῶς νοεῖ. τὸ γὰρ νοερὸν, ἴδιον τῆς ψυχῆς· διότι μόνον αὐτὰ νοεῖ τὰ ὑπερβεβηκότα. Οὐ νοεῖται δὲ παρ' οὐδενὸς ὥστε εἶναι καὶ νοητὸν, πάντων γὰρ τῶν νοητῶν ἐσχάτη ἐστὶν, ὥστε τοιούτως κληθείη ἂν αὕτη νοητὴ, ὡς τὸ ὑπὸ βυθὸν ἀπλήστου θαλάσσης κείμενον ὄστρακον, αἰσθητὸν, ἢ μᾶλλον τὸ ὑπεράνω τῶν οὐρανῶν ὕδωρ. Κατ' εὐθεῖαν δὲ κίνησιν κινεῖται ψυχὴ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα (τοῦτο γάρ ἐστι τὸ κατὰ κύκλον) ἀλλὰ προϊοῦσα τὰ περὶ αὐτὴν

§.9. *Motus animi qualis.*

Iterùm, animæ ſtatus eſt immobilitas & ſtabilitas propriæ ſubſtantiæ. Motus autem circularis quidem eſt, quando mentis contemplatione cietur, & in ſeipſo factus, ex extrinſeco errore ſenſuum conglomeratur, & primùm in ſeipſum cogitur, & exinde ad Deum manu ducitur. Et hæc eſt obliqua mentis operatio, quando procedit quidem ad ea quæ ſecundùm partem exiſtunt, capit autem notiones nequaquam intellectualiter & vnitè; hoc enim Angelorum eſt, qui ſecundùm crebram mutationem ſupernas viſiones ac illuſtrationes intelligunt, dum pro eorũ captu reuelantur. Anima verò ratiocinatione & euagatione, id eſt in particularia diuiſa, atque ex communicatione addiſcẽs, intelligit: mens enim ad ratiocinationes deſcendens aliquo modo diuiditur, & pluribus exemplaribus ſeu ſpeciebus indiget, dum ratio modum inquirit, vt exprimat quod intellexit. Igitur anima commixtim & tranſcurſim operatur, etiam quando intellectualiter intelligit, ſiquidẽ hoc animæ proprium eſt; quapropter ſolùm intelligit ea quæ tranſſcendunt. Non intelligitur autem ab aliquo, ac ſi eſſet etiam intelligibilis, cùm ſit omnium intelligibilium poſtrema, vt vel hinc etiam intelligibilis appelletur; non ſecùs ac teſta in inexplebilis maris fundo conſtituta ſenſibilis eſt, vel potiùs ipſamet aqua quæ ſupra cælos exiſtit. Recto autem motu anima cietur, quando in ſemetipſam non ingreditur (hoc enim eſt circulariter moueri) ſed progrediendo ea quæ circum

&

PARAPHRASIS PACHYMERÆ.

& extra ipſam ſunt conſiderat, in quæ tamquam in ſymbola quædam directa, ex his iterùm motu recto ad ſimplices contemplationes adducitur, non ratiocinando, neque ſcientificam rationẽ inquirendo, quaſi ſcientificè adduceretur: nam ſic etiam res diuinæ ſcientificæ cognitioni ſubiacerent, & motus ille haud rectus, ſed obliquus eſſet. Verùm à cratura mundi inuiſibilia Dei ſimplicibus & rectis apprehenſionibus, & non operosè, intellecta ſunt ſupra omnem intellectus operationem ac demonſtrationem.

§. 10. *Qualis ſit motus ſenſilium.*

Harum igitur trium motionum, ſcilicet mentium & animarum, & ipſarummet trium motionum quæ in ſenſilibus reperiuntur, & multò priùs, cuiuſque Angeli & animæ, reique ſenſilis, manſionum, & ſtationum, & firmitatum viciſſim etiam cauſa eſt Deus. Quomodo autem multò priùs manſionum quàm motionum? quia videlicet id quod manet præſtantius eſt eo quod mouetur: vnde etiam quæ diuina ſunt, ſunt immobilia, noſtratia autem mobilia ſunt & nominantur: quoniã quoque omne id quod mouetur ab immobili mouetur; & quod immobile eſt, non opus habet eo quod mouetur. Quomodo autem res ſenſibilis tres haſce motiones habet, niſi quia videlicet elementa quidem rectum, vt ignis ſurſum, terra deorſum, vniuerſum autem hoc circularem, Planetæ verò obliquum motum habent, quandoquidem ab Auſtro verſus Boream, & viciſſim à Boreâ verſus Auſtrum mouentur, & ad idem punctum denuò reuoluuntur? Siquidem ex Deo & per Deum ſunt omnia, quantumuis natura ſit parua, vel magna, vel æqualis aliis; & modo certo definita, corporearum quoque partium proportiones & congruentiæ, humorum temperationes, tota, partes, omne vnum & multitudo. Eſt autem quid vnum ſecundùm colligationem partium, vt homo, bos; & eſt vnum ſecundùm multitudinis vnionem, vt populus, congregatio, grex. Cuiuſque item qualitas ac quantitas: hoc enim eſt quale, elementorum communiones ac diſtinctiones. Quemadmodum enim aliquid alteri vnitur, ſic ab altero ſeparatur: ſic ignis ſecundùm calorem & aëri vnitur, & ab aquâ ſegregatur. Infinitas in magnitudinibus ſecundùm diuiſionem, in numeris ſecũdùm

σκοπεῖ, καὶ τὰ ἔξωθεν, εἰς ἅπερ ἀρθεῖσα ὡς εἰς σύμβολά τινα, ἐκ τούτων αὖθις κατ' εὐθεῖαν, ἐπὶ τὰς ἁπλᾶς θεωρίας ἀνάγεται, οὐ συλλογιζομένη, οὐδ' ἐπιστημονικὸν ζητοῦσα λόγον, ὡς ἂν ἐπιστημόνως ἀναχθείη· οὕτως γὰρ ἂν καὶ τὰ θεῖα ἐπιστημονικῇ γνώσει ὑπέκειντο, καὶ ἡ κίνησις οὐ κατ' εὐθεῖαν, ἀλλ' ἑλικοειδὴς ἐγίνετο. Ἀλλ' ἀπὸ κτίσεως κόσμου τὰ ἀόρατα τοῦ Θεοῦ, ἁπλαῖς καὶ εὐθείαις ἐπιβολαῖς καὶ ἀπολυπραγμονήτως νοοῦσα, ὑπὲρ πᾶσαν διανοητικὴν ἐνέργειαν καὶ ἀπόδειξιν.

Τούτων οὖν τῶν τριῶν δηλαδὴ κινήσεων, τῶν νόων δηλονότι καὶ τῶν ψυχῶν, καὶ αὐτῶν δὴ τῶν ἐν τοῖς αἰσθητοῖς τριῶν κινήσεων, καὶ πολλῷ πρότερον τῶν ἑκάστου, Ἀγγέλου δηλονότι καὶ ψυχῆς καὶ αἰσθητοῦ, μονῶν καὶ στάσεων καὶ ἱδρύσεων, ἐκ παραλλήλου καὶ αὐτὰ, αἴτιόν ἐστιν ὁ Θεός. Πῶς δὲ πολλῷ πρότερον τῶν μονῶν, ἢ τῶν κινήσεων; ἢ δηλονότι τὸ μένον τοῦ ἐν κινήσει προτιμότερον, ὅθεν καὶ τὰ θεῖα ἀκίνητα, τὰ δὲ καθ' ἡμᾶς κινούμενά εἰσί τε καὶ λέγονται· καὶ ὅτι πᾶν τὸ κινούμενον, ὑπὸ ἀκινήτου κινεῖται, τὸ δὲ ἀκίνητον οὐ χρείαν ἔχει τοῦ κινουμένου. Πῶς δὲ ἔχει καὶ τὸ αἰσθητὸν τὰς τρεῖς κινήσεις, ἢ δηλονότι, τὰ μὲν στοιχεῖα τὴν κατ' εὐθεῖαν· τὸ μὲν πῦρ, ἄνω· ἡ δὲ γῆ, κάτω· τὸ δὲ πᾶν, τὴν κύκλῳ· οἱ δὲ πλανῆται, τὴν ἑλικοειδῆ, καθὸ ἀπὸ τῶν νοτίων ἐπὶ τὰ βόρεια, καὶ ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια τὴν κίνησιν ἔχουσι, καὶ εἰς τὸ αὐτὸ σημεῖον πάλιν ἐπανακυκλοῦσι; Καὶ γὰρ ἐκ τοῦ Θεοῦ τὰ πάντα καὶ δι' αὐτοῦ, κἂν σμικρά τις φύσις ᾖ, κἂν μεγάλη, κἂν ἴση τοῖς ἄλλοις, κἂν ἐν μέτρῳ τινὶ ὡρισμένῳ, αἱ τῶν σωματικῶν ἀναλογίαι μερῶν, αἱ ἁρμονίαι, αἱ τῶν χυμῶν κράσεις, τὰ ὅλα, τὰ μέρη, πᾶν ἓν καὶ πλῆθος. Ἔστι γὰρ καὶ ἓν κατὰ τὴν σύνδεσιν τῶν μερῶν, ὡς ἄνθρωπος, βοῦς· ἔστιν ἓν καὶ κατὰ τὴν τοῦ πλήθους ἕνωσιν, ὡς δῆμος, Ἐκκλησία, ποίμνη. Τὸ ποῖον ἑκάστου, τὸ ποσόν· τοῦτο γάρ ἐστι τὸ πηλίκον, αἱ τῶν στοιχείων κοινωνίαι καὶ διακρίσεις. Καθὸ γὰρ ἑτέρῳ ἑνοῦταί τι, ἀποδιΐσταται ἄλλου· κατὰ γὰρ τὸ θερμὸν τὸ πῦρ τῷ ἀέρι ἑνούμενον, τοῦ ὕδατος χωρίζεται. Ἡ ἐν τοῖς μεγέθεσιν ἀπειρία, κατὰ τὴν διαίρεσιν· ἡ ἐν τοῖς ἀ-

ριθμοῖς

PARAPHRASIS PACHYMERÆ.

ἀριθμοῖς ἀπειρία καὶ τὴν πρόσθεσιν πᾶν πέρας, οἱ ἑρμηνευτικοὶ λόγοι πάντων, αἱ τάξεις, αἱ πρὸς ἄλληλα ὑπεροχαί, πᾶσα οὐσία, καὶ ἡ ἐν αὐτῇ ἕξις, καὶ πᾶσα δύναμις καὶ ἐνέργεια, καὶ πᾶσα αἴσθησις, καὶ λόγος, καὶ ἐπαφή, ἤγουν γνῶσις, καὶ ἐπιστήμη, καὶ πᾶσα ἕνωσις δι' ἀγνωσίας προσβάλλουσα τοῖς κρείττοσι, καὶ πᾶν ὄν, ἐξ αὐτοῦ, καὶ ἐν αὐτῷ, καὶ εἰς αὐτὸ, καὶ πρὸς αὐτὸ ὁρᾷ, καὶ ὑπ' αὐτοῦ συνέχεται, καὶ ἐν αὐτῷ πᾶσα ἀρχὴ, ἡ παραδειγματικὴ, πρὸς ἣν γίνεται τὸ γινόμενον· τοῦτο δέ ἐστιν ἡ ἰδέα, ἥ τις ἐστὶ νόησις αὐτοτελὴς, ἀΐδιος τοῦ ἀϊδίου Θεοῦ· ἡ τελικὴ, καὶ ἧς ἕνεκα τὸ γινόμενον τελειοῦται· ἡ ποιητικὴ, ἡ κεχωρισμένη τοῦ ἀποτελέσματος· ἡ εἰδικὴ, ὃ γίνεται τὸ γινόμενον· ἡ στοιχειώδης, οἱονεὶ ὑλικὴ, ἐξ οὗ ἐνυπάρχοντος γίνεται τὸ γινόμενον. Καὶ πάντα τὰ ὄντα ἐκ τοῦ καλοῦ ἐστι, καὶ πάντα τὰ οὐκ ὄντα ἐκ τοῦ καλοῦ μὲν οὐ λέγονται, οὐδὲ γὰρ ἔχουσι σύστασιν, ἀλλ' ἐν τῷ καλῷ εἰσι· λέγεται γὰρ τὸ καλὸν τοῦτο ἀφαιρετικῶς ἀπὸ πάντων.

Ἐντεῦθεν εἰσβάλλει περὶ ἔρωτος, καί φησι· Πᾶσιν οὖν ἐστι τὸ καλὸν, καὶ ἐφετὸν, καὶ ἐραστὸν, δι' αὐτὸ, καὶ αὐτοῦ ἕνεκα, καὶ οὐ δι' ἄλλο τι, καὶ μὴ μόνον δι' αὐτοῦ πάντα πρὸς ἄλληλα τὸν ἔρωτα ἔχουσι. Τὰ μὲν ἥττω τῶν κρειττόνων ἐπιστρεπτικῶς, τὰ δὲ ὁμόστοιχα τῶν ὁμοταγῶν κοινωνικῶς, καὶ τὰ κρείττω τῶν ἡττόνων προνοητικῶς, ἀλλὰ καὶ αὐτὰ ἑαυτῶν συνεκτικῶς, καὶ πάντα πρὸς τὸ καλὸν καὶ ἀγαθὸν ἀπευθυνόμενα, ποιοῦσι καὶ βούλονται ὅσα ποιοῦσι καὶ βούλονται· καὶ ἁπλῶς, πάντα ἀλλήλων καὶ ἑαυτῶν ἐρᾷ, καὶ ὁ Θεὸς πάντων ἐρᾷ, ἵνα τὰ πάντα ἀγαθὰ ποιήσῃ. Διὰ τοῦτό ἐστι καὶ ὁ θεῖος ἔρως, καὶ ἀγαθὸς, καὶ ἀγαθοῦ πράγματος ἐπιτηδείου εἰς ὃ ἀγαθὸν, καὶ διὰ τὸ ἀγαθόν· ἵνα γὰρ τελειώσῃ καὶ συνέξῃ, καὶ ἁγιάσῃ, γίνεται. Οὗτος γὰρ ὁ ἔρως καὶ τὸν Θεὸν ἐκίνησεν εἰς παραγωγὴν ἡμῶν καὶ πρόνοιαν, ἵνα καὶ πρακτικὸν ἔσηται καὶ κινούμενον, καὶ μὴ μένῃ ἄγονον. Ἀλλὰ σημειωτέον, ὅτι οὐ δεῖ προσέχειν ταῖς λέξεσιν, ἀλλὰ τῇ δυνάμει τοῦ σκοποῦ. Θείως γὰρ αὐτὰ ὁ λόγος διέξεισιν· οὐδὲ γὰρ πρεσβεύομεν τὴν ἐπωνυμίαν τοῦ ἔρωτος, ὡς οἱ Ἕλληνες· οὐδὲ γάρ ἐστι τοῦτο ἴδιον τῶν τὰ θεῖα νοεῖν ἐθελόντων, ἀλλ' ἐκείνων τῶν τοὺς ἤχους δεχομένων μέχρι τῶν ὤτων, καὶ ἀδιαβάτους ἔξω-

additionem, omnis finis, interpretantes sermones omnium, ordines, mutuæ excellentiæ, omnis substantia, & omnis habitus qui in eâ est, & omnis vis & efficacitas, & omnis sensus, & ratio, & tactus siue notio, & scientia, & omnis vnio quæ per ignorationem rebus optimis coniungit, & omne quod est, ex ipso, & in ipso, & ad ipsum est, & spectat, & ab ipso continetur,) & in ipso existit omne principium siue exemplare, secundùm quod fit id quod fit, hoc autem est idea, quæ est intellectio per se perfecta, sempiterna, sempiterni Dei; siue finale, & cuius gratiâ id quod fit perficitur; siue efficiens, quod ab effectu separatum est; siue formale, quod fit id quod producitur; siue elementare seu materiale, ex cuius subiecto fit id quod fit. Et omnia quæcumque sunt ex bono sunt, & quæcumque non sunt à pulchro quidem non denominantur, siquidem non habent statum, sed in pulchro sunt; dicitur autem hoc pulchrum de omnibus per ablationem.

Omnia ex Deo.

Hîc de amore sermonem introducit, ac ait: Omnibus igitur pulchrum & desiderabile & amabile est propter se & sui causâ, & non propter aliquid aliud, & non solùm per se omnia ad inuicem amorem habent. Et inferiora quidē amant superiora, cōuertendo se ad ea; & quæ sunt eiusdem ordinis, amāt sui similia, cum iis communicando; & superiora inferiora, prouidendo illis; & singula se ipsa, conseruando se, & omnia ad pulchrum & bonum directa, faciunt ac volunt quæcumque faciunt ac volunt; & simpliciter, omnia se mutuò & seipsa amant, & Deus amat omnia, vt omnia bona reddat. Quocircà etiam diuinus amor & bonus est, & rei bonæ ad bonum conducentis, & propter bonum: fit enim vt perficiat, & contineat, & sanctificet. Siquidem hic amor etiam Deum mouit ad nostri productionem ac prouidentiam, vt etiam ageret ac moueretur, nec sterilis remaneret. Notandum autem, non ipsas dictiones, sed vim scopi attendendam esse. Diuinè enim hæc ipse sermo explicat, non enim inuocamus ipsum nomen amoris, vt Gentiles: neque hoc proprium est eorum qui res diuinas intelligere cupiunt, sed sonos exiles aure tenus admittunt, nec eos extrinsecus admissos

§. II. De amore.

Quid potissimum spectandum sit in dictionibus.

PARAPHRASIS PACHYMERÆ.

ipſam animam penetrare ſinunt, neque ſcire volunt, æquipollentibus etiam dictionibus, quæ multum terreni ſapiunt, res diuinas expromi minimè prohiberi; ſed ſtolidè elementis ac dictionibus & ſyllabis animam non penetrantibus, ſed extrinſecus aures ferientibus tenaciùs adhærent: ac ſi non liceat quatuor per bis duo ſignificare, aut ſimplices lineas per lineas rectas. Similis enim, imò eadem ſunt, ſiue quis ſecundùm Cretenſes matriam dicat, ſiue ſecundùm nos patriam, & ſic de ceteris. Ne ſingula recenſeamus, ſciendum cur verbis & ſenſibus vtamur. Quando enim ſermonem qui pronuntiatur, mouemus de ſenſili aliquo, tum dictionibus & ſcripturis & verbis opus habemus ad eius quod dicitur declarationem. Si autem anima à ſeipsâ ad intelligibilia mouetur, in rectis operationibus ſuperflui ſunt cum ſenſilibus ſenſus, ſublimia enim imaginatur. Quando autem deiformis effecta fuerit eleuationibus paulatim proficiens, atque per ignotam vnionem intellectiones ſuas in inacceſſo lumine habuerit, tum etiam intelligibiles operationes ſunt ſuperfluæ, ſicut & ſenſus, quoniam his ſublimiora cogitat anima iam Deo vnita. Quando autem mens humi repentia ſeu terreſtria imaginatur, & in ſenſili aliquo moueri ſtudet, tunc clariores ſermones, & quæ in rebus viſibilibus maximè perſpicua ſunt, ſeligere oportet; quippe quādo illa quæ ſenſibus obiecta ſunt minimè liquent, & obſcura exiſtunt, tum vtique ſenſus ea quæ occurrunt, menti porrigere non rectè poterunt.

§. 12. *Nomen Amoris diuinius eſſe nomine dilectionis.*

Sed ne hæc dicere videamur ad diuinas Scripturas immutandas, agedum ex ipſis Scripturis amoris nomen adſtruamus. Adducit igitur in teſtem ipſum Salomonem & Magnum Ignatium, & denuò Salomonem, cuius etiam verba diuinorum introductiones oraculorum & vmbras gratię eſſe tradit: ne quid igitur nos in hoc terreat vel perturbet, ſiquidem Theologi commune cenſent eſſe nomen amoris & dilectionis; quin etiam nonnulli diuinius eſſe putant nomen amoris, tamquam occultius, ſicut etiam magis abſonum. Quantum enim videtur indecens & diuinis non conueniens, tantum eſt & occultum, dum quærimus

ἔξωθεν τῆς ψυχῆς συνεχόντων αὐτοὺς, καὶ μὴ θελόντων εἰδέναι, ὅτι καὶ διὰ ἰσοδυνάμων λέξεων πολὺ τὸ χαμηλὸν ἐχουσῶν οὐ κωλυόμεθα ἐκφωνεῖν τὰς θείας λέξεις· προσαπαχόντων δὲ ἀνοήτως στοιχείοις καὶ λέξεσι, καὶ συλλαβαῖς, μὴ διαβαινούσαις εἰς ψυχὴν, ἀλλ' ἔξω που περὶ τὰ ὦτα περιηχούσαις, ὥσπερ εἰ μὴ ἦν ἐξὸν τὰ τέσσαρα εἰπεῖν διὰ τοῦ δὶς δύο, ἢ τὰ εὐθύγραμμα ὀρθόγραμμα. Ὅμοια γὰρ καὶ τὰ αὐτὰ, ἢ τὴν μητρίδα κατὰ τοὺς Κρῆτας, πατρίδα εἰπεῖν καθ' ἡμᾶς, καὶ τἆλλα. Ἵνα μὴ καθ' ἕκαστον διατρίβωμεν, δέον εἰδέναι, ὅτι τοῖς λόγοις διὰ τὰς αἰσθήσεις χρώμεθα. Ἡνίκα γὰρ τὸν προφορικὸν τοῦτον λόγον κινοῦμεν περί τινος τῶν αἰσθητῶν, τότε λέξεων καὶ γραφῶν καὶ λόγων δεόμεθα πρὸς δήλωσιν τοῦ καλουμένου. Εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς τὰ νοητὰ κινεῖται διὰ τῶν ὀρθῶν ἐνεργειῶν, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὑψηλὰ γὰρ φαντάζεται. Ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀναβάσεσι καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχοι, τότε καὶ αἱ νοεραὶ ἐνέργειαι περιτταί εἰσιν, ὡς καὶ αἱ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψυχὴ διανοεῖται, λοιπὸν ἡνωμένη Θεῷ. Ὅταν δὲ ὁ νοῦς χαμαίζηλα φαντασθῇ, καὶ περί τινος ἀπὸ τῶν αἰσθητῶν σπουδῇ κινηθῆναι, τότε τοὺς σαφεστέρους λόγους καὶ τὰ φανότερα τῶν ὁρατῶν χρὴ ἐπιλέγεσθαι· διότι ἀφανώτων καὶ ἀδήλων τῶν παρακειμένων ταῖς αἰσθήσεσιν ὄντων, οὐδ' αὐταὶ αἱ αἰσθήσεις δυνήσονται καλῶς παραστῆσαι τῷ νῷ τὰ ὑποκείμενα.

Πλὴν ἵνα μὴ δοκῶμεν παρακινοῦντες τὰ θεῖα Λόγια, ἄγε ἀπὸ τῶν Γραφῶν παραστήσωμεν τὸ τοῦ ἔρωτος ὄνομα. Φέρει γοῦν τὸν Σολομῶντα μάρτυρα, καὶ τὸν μέγαν Ἰγνάτιον· καὶ πάλιν τὸν Σολομῶντα, οὗ καὶ τὰ ῥήματα προεισαγωγὰς τῶν θείων Λογίων φησὶν, ὡς σκιὰς τῆς χάριτος· ὥστε μή τις ἡμᾶς δεδιττόμενος καὶ ἐκφοβῶν θορυβείτω περὶ τούτου· οἱ γὰρ Θεολόγοι κοινὸν ὄνομα τίθενται τὸ τῆς ἀγάπης καὶ τὸ τοῦ ἔρωτος, τινὲς δὲ τούτων καὶ θειότερον ὄνομα τίθενται, τὸ τοῦ ἔρωτος, ὡς κρυφιωδέστερον, καθὸ καὶ ἀτοπώτερον. Ὅσον γὰρ ἀπρεπὲς φαίνεται καὶ τοῖς θείοις ἀπᾷδον, τοσοῦτόν ἐστι καὶ κρύφιον, ζητούντων ἡμῶν ὅπως καὶ δι' ἣν

τὴν

PARAPHRASIS PACHYMERÆ.

τὴν αἰτίαν οὕτω λέγεται. Τούτου γοῦν θεοπρεπῶς παρ' ἡμῶν λεγομένου, τὰ πλήθη μὴ χωρήσαντα τὸ ἑνοειδὲς τῆς ἐρωτικῆς θεωνυμίας, ἢ καθ' ἣν ὁ Θεὸς ἐρᾷ τῶν ἁπάντων, ὁ ἑνιαῖος, καὶ ἁπλοῦς, καὶ ὑπὲρ πᾶν ἔρως καὶ μὴ ἐσκεδασμένος εἰς τέλη πολλὰ, ἀλλ' εἰς ἓν τὸ τὰ πάντα ἀγαθοποιῆσαι, ἢ καθ' ἣν ἐρώμεν αὐτοῦ· καὶ οὗτος γὰρ ὁ ἔρως αὐτοῦ ἑνοειδὴς ὀφείλεται εἶναι κατὰ τὸ, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, μὴ ἔχοντος χώραν ἑτέρου ἔρωτος ἐν τῇ τοῦ Θεοῦ ἐρώσῃ ψυχῇ. Ταύτην οὖν τὴν τοῦ ἔρωτος θεωνυμίαν τὰ πλήθη οὐ χωρήσαντα, ἐξώλισθον ἐπὶ τὸν σωματοπρεπῆ καὶ διῃρημένον καὶ μεριστόν· ἄλλος γὰρ ἄλλου ἐρᾷ, καὶ ἄλλος ἄλλου ἐφίεται κατὰ τὸν τοιοῦτον ἔρωτα, ὃς οὐκ ἔστιν ἀληθὴς ἔρως, ἀλλὰ μᾶλλον εἴδωλον, ἢ ἔκπτωσις τοῦ θείου ἔρωτος. Ὡς γὰρ ἡ κομμωτικὴ τῆς γυμναστικῆς εἴδωλόν ἐστι, τὸ φαινόμενον ἐπιχρωννύουσα κάλλος, ὅπερ κατ' ἀλήθειαν ἡ γυμναστικὴ ποιεῖ, καὶ ἡ ὀψαρτυτικὴ τῆς ἰατρικῆς· οὕτω καὶ ὁ σωματικὸς ἔρως τοῦ θείου εἴδωλόν ἐστιν, ἐκκαίων καὶ οὗτος τὴν ψυχὴν, ἀλλ' εἰς οὐδὲν ἀγαπητὸν καὶ μόνιμον, ἢ μᾶλλον ἔκπτωσις· ἐκεῖνος γὰρ ὁ θεῖος ἔρως οἰκεῖός ἐστι τῇ ψυχῇ, οὗτος δὲ ἀλλότριος καὶ ἀνοίκειος. Ὅθεν καὶ τῆς ψυχῆς φυσικῶς καὶ κατὰ χάριν ἐχούσης ἐφίεσθαι τοῦ ὄντως καλοῦ, καὶ πρὸς τὸν ζῆλον αὐτοῦ διαθερμαίνεσθαι, ἐγγίνεται μὲν ἡ τοιαύτη θέρμη καὶ κίνησις· πλὴν ἐκπίπτει ὁ νοῦς τῆς ἀληθινῆς κρίσεως, καὶ δι' ὀρέξεως συλαγωγεῖται, καὶ τὸ μισητὸν κατὰ φύσιν, ποθεινὸν ἡγεῖται, καὶ ὡς μένον τὸ παρερχόμενον στέργει, καθὼς εἴρηται. Ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. Καὶ τοῦτό ἐστιν ἡ τοῦ θείου ἔρωτος ἔκπτωσις, ἐκ τοῦ ἀπαθοῦς εἰς τὸ ἐμπαθῆ, ἐκ τοῦ θείου εἰς τὸν σωματικὸν, ἐκ τοῦ ἀΰλου εἰς τὸν ἔνυλον· ἀχώρητον γάρ ἐστι τοῖς τῶν πολλῶν πλήθεσι τὸ ἑνιαῖον τοῦ θείου ἔρωτος, καὶ διὰ τοῦτο, ὡς δυσχερέστερον καὶ διαβεβλημένον ἐπὶ τοῦ Θεοῦ, τάττεται πρὸς τὸ ἀνάξαι τούτους εἰς τὴν τοῦ ὄντως ἔρωτος γνῶσιν, καὶ ὥστε συντόμως ἀπολυθῆναι τῆς τοιαύτης διεψευσμένης δόξης ἐκ τοῦ γινώσκειν διαβεβλημένην τὴν λέξιν τοῦ ἔρωτος, καὶ ἥκιστα τῷ Θεῷ πρέπουσαν. Οὕτω γὰρ καὶ ἐν τῇ οὐρανίῳ Ἱεραρχίᾳ φησὶν, ὅτι

quomodo & quam ob causam sic vocetur. Cùm hoc itaque, vt Deum decet, à nobis dictum sit, vulgus hominum, cùm non capiat vniformitatẽ amatorij nominis diuini, vel secundùm quam Deus amat omnia, qui est vnicus & simplex, & supra omnia amor, neque est diuisus in fines multos, sed in vnum, dum omnibus benè facit; vel secundùm quam nos ipsum amamus: nam etiam hic amor illius vniformis esse debet, iuxta illud, *Diliges Dominum Deum tuum ex totâ mente tuâ, & ex totâ animâ tuâ, & ex totis viribus tuis*, ita vt in animâ nulli alteri amori locus sit quàm amori diuino. Hoc igitur diuini amoris nomen vulgus non intelligẽs, ad amorem corporeum & distractum ac diuisum dilapsum est: alius enim aliud amat, & alius aliud appetit secundùm istiusmodi amorem, qui non est verus amor, sed magis simulacrum vel prolapsio ab amore diuino. Sicut enim ars fucãdi simulacrum est artis gymnasticæ, dum fuco coloris pulchritudinem mentitur, quam reuerà ars exercitandi & culinaria medicina conferunt; sic etiã amor corporeus simulacrũ est amoris diuini, cùm hic etiã animam accendat, sed ad nihil diligibile ac stabile, quin potiùs amoris lapsus est: siquidẽ diuinus ille amor proprius est animæ, hic autem alienus & extraneus. Vnde etiam animę naturaliter & secundùm gratiam insitum est, vt verum bonum appetat, & ad feruorem eius incalescat, quoniam istiusmodi calorem ac motum inserit: verùm mens à vero iudicio aberrat, & per concupiscentiam auertitur, & id quod secundùm naturam odio habendum est, existimat desiderandum esse, & tamquam quid permanens id quod transitorium est amplectitur, sicut dictum est; quia tamquam stabilem amabat, & non tamquam fugacem. Et hic est diuini amoris lapsus, ex impassibili in passibilem, ex diuino in corporeum, ex immateriali in materialem: vulgi enim turba non capit vnicum illud diuini amoris, & idcircò, tamquam id quod durius sit & magis exosum, de Deo ponitur, vt vulgus hisce in veri amoris cognitionem adducatur, vtque compendio ab istiusmodi falsâ opinione liberetur, dum intelligit, etiam exosum aliàs amoris nomen & infima quæque ipsi Deo competere. Sic enim etiam in Cælesti Hierarchiâ ait: id quod

Deut. 6, 5. Matth. 22, 37.

Amor corporeus non est verus amor.

PARAPHRASIS PACHYMERÆ.

magis abſonum eſt opportunè de Deo dici, eoq; magis quò vilius exiſtit: quoniam hinc facilè mens abducitur, vt cogitet, Deum nõ eſſe iſtiuſmodi, ſed ſecundùm ſublimem aliquem ſenſum ſic appellari. Quis enim opinabitur Deum pantheram eſſe vel leonem? Lux autem vel ignis vel ſpiritus cùm de Deo dicuntur, faciliùs mentem aberrare faciunt, ne fortè quid horum ſit. Eodem modo etiam de amore ac dilectione: in Deo quidem exoſum illud nomen amoris ponitur, in nobis autem, vbi ſæpenumerò aliquid abſurdum homines terræ affixi ſuſpicari poſſent, dilectio dicitur, quod nomen honeſtius videtur, iuxta illud quod in primo Regum à Dauide ad Ionatham dicitur. Cùm autem in ſacris de Deo ſermonibus à rectè ſentientibus duo hæc nomina, ceu æquipollentia diuinis explanationibus, adhibeantur, & vnificam quamdam virtutem ſeu copulandi vim ſignificent, quæ in Deo præexiſtit, propter pulchrum & bonum, vt nimirum quæ ordinis ſunt eiuſdem, velut viciſſim amantia & amata, ſe mutuò complectantur: prima verò inferiora moueant & ament, iis prouidendo, vt illa ſui ſimilia efficiant; inferiora verò ad ſuperiora amabiliter affecta conuertantur, vt & illa, quoad fieri poteſt, ſuperiorem ſtatum conſequantur.

§.13. Eſt præterea diuinus amor ecſtaticus: à ſe ipſis enim excedere facit amantes, dum viuunt & mouentur non ipſi, ſed in ipſis ij qui amantur. Et hæc declarant illa quæ prædicta ſunt, magis autẽ magnus ille Paulus,

Gal.1,20. diuino hoc amore correptus, aiens, *Viuo ego iam non ego, viuit verò in me Chriſtus,* tamquam verus amator, & qui exceſſit, vt ipſe teſtatur, à ſe Deo; & rurſum, veluti viciſſim à ſupremo Deo prouidè amatus, non

2.Cor.6,9. ſuam ſed amati vitam ducens, ait: *Tamquam morientes, & ecce viuimus.* Nam audendum eſt hoc etiam tamquam verum dicere, quòd ipſemet omnium Deus, propter exceſſum bonitatis, extra ſe per rerum prouidentias exiſtat, & in iſtiuſmodi bonitate

Luc.12,41 ſibi quaſi complaceat; ait enim: *Et quid volo niſi vt accendatur?* Et cùm ſit ex omnibus exemptus, ad omnia deducitur, vnde et-

τὸ μᾶλλον ἀπεμφαῖνον, δυσχερές ἐστιν ἐπὶ Θεοῦ λέγεσθαι, καὶ πλέον τοῦ ἧττον τοιούτου, ὡς ἀπαγομένης ἐντεῦθεν τῆς διανοίας εὐκόλως, ὅτι οὐ τοῦτό ἐστιν ὁ Θεὸς, ἀλλὰ κατά τινα λόγον ὑψηλὸν οὕτως λέγεται. Τίς γὰρ ὑπονοήσει τὸν Θεὸν πάνθηρα, ἢ λέοντα; Φῶς δὲ, ἢ πῦρ, ἢ πνεῦμα ἐπὶ Θεοῦ λεγόμενον μᾶλλον ἀπατᾷ τὴν διάνοιαν, μή ποτέ τι τούτων ἐστι. Τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ ἔρωτος καὶ τῆς ἀγάπης· ἐπὶ μὲν Θεοῦ τὸ δυσχερὲς ὄνομα τοῦ ἔρωτος τάττεται, ἐφ' ἡμῶν δὲ, ἔνθα καὶ ἄτοπόν τι πολλάκις ἐστὶν οἰηθῆναί τινας τῶν χαμαιζήλων καὶ μοχθηρῶν, ἡ ἀγάπησις λέγεται εὐφημότερον, κατὰ τὸ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν παρὰ τοῦ Δαβὶδ πρὸς Ἰωνάθαμ λεγόμενον. Ἐπεὶ τοῖς ὀρθῶς ἀκούουσι, πρὸς τῶν ἱερῶν Θεολόγων ταυτοδύναμα τάττονται τὰ δύο ταῦτα ὀνόματα εἰς τὰς θείας ἐκφαντορίας, καὶ δηλοῖ τὴν ἑνοποιὸν καὶ συγκρατικὴν δύναμιν ἐν τῷ Θεῷ προϋφεστῶσαν, διὰ τὸ καλὸν καὶ ἀγαθὸν, ἵνα συγκιρνῶνται δηλαδὴ τὰ πάντα ὡς ἐρῶντα, τούτῳ δὴ τῷ Θεῷ ὡς ἐρωμένῳ καλῷ καὶ ἀγαθῷ, καὶ ἐκ τοῦ Θεοῦ ἐνδιδομένην διὰ τὸ καλὸν πάλιν καὶ ἀγαθὸν, ἵνα δηλονότι πρὸς ἄλληλα, τὰ μὲν ὁμοταγῆ συνέχωνται ὡς ἀνὰ μέρος ἐρῶντά τε καὶ ἐρώμενα· τὰ δὲ πρῶτα, πρὸς τὰ ὑφειμένα κινοῖντο καὶ ἐρῷεν τούτων προνοούμενα, ἵνα ὡς ἑαυτὰ κἀκεῖνα ποιήσωσι· τὰ δὲ καταδεέστερα, πρὸς τὰ ὑπέρτερα ἀγαπητικῶς ἔχοιεν ἐπιστρεφόμενα, ἵνα κἀκεῖνα ὡς δυνατὸν τῆς ὑπερτέρας ἕξεως ἀπολαύωσιν.

Ἔστιν ὁ θεῖος ἔρως καὶ ἐκστατικός· ἐξίστησι γὰρ ἑαυτῶν τοὺς ἐρῶντας, ὡς ζῆν καὶ κινεῖσθαι οὐκ ἐκείνους, ἀλλ' ἐν αὐτοῖς τοὺς ἐρωμένους. Καὶ δηλοῦσι τὰ προλεχθέντα, μᾶλλον δὲ ὁ μέγας Παῦλος τῷ θείῳ τούτῳ κατεχόμενος ἔρωτι, καὶ λέγων, Ζῶ ἐγὼ οὐκέτι, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς, ὡς ἀληθὴς ἐραστὴς καὶ ἐξεστηκὼς κατ' αὐτὸν λέγοντα, Καὶ ἐξεστηκότες Θεῷ. καὶ πάλιν ὡς ἀνὰ μέρος ἐρώμενος παρὰ τοῦ ὑπερτέρου Θεοῦ προνοητικῶς, οὐ ζῶν τὴν ἑαυτοῦ ζωὴν, ἀλλὰ τὴν τοῦ ἐραστοῦ, ὅτε λέγει, Ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν. Τολμητέον γὰρ καὶ τοῦτο ὡς ἀληθινὸν εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ τῶν ὅλων Θεὸς, δι' ὑπερβολὴν ἀγαθότητος ἔξω ἑαυτοῦ γίνεται ταῖς εἰς τὰ ὄντα προνοίαις, καὶ οἷον θέλγεται ἐν τῇ τοιαύτῃ ἀγαθότητι· λέγει γάρ· Καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; Καὶ ἐκ τοῦ ὑπὲρ πάντα ἐξῃρημένος, ἀνεκφοιτήτως ἐπὶ πάντα κατάγεται,

PARAPHRASIS PACHYMERÆ.

διὸ καὶ ζηλωτὴν αὐτὸν καλοῦσιν, ὡς πολὺν ἀποδεικνῦντα τὸν εἰς τὰ θεῖα ἔρωτα, καὶ ὡς διεγερτικὸν τῆς ἐφέσεως αὐτοῦ, καὶ ὅτι τὰ ἐφιέμενα καὶ προνοούμενα παρ' αὐτοῦ, ζηλωτὰ καὶ μακάριά εἰσιν. Εἰ γὰρ μὴ ἦσαν τοιαῦτα, οὐκ ἂν ἐζηλοτύπει πρὸς ταῦτα, ὅτι ἐκκλίνουσιν αὐτοῦ, καὶ ἄλλοις προστίθενται. Καὶ ὅλως, ὁ ἔρως τοῦ καλοῦ ἐστι· καλὸς γὰρ ὤν, ἐρᾷ τοῦ τοιούτου καλοῦ, καὶ ἐν τῷ καλῷ μένει καὶ διαχέεται δαπανώμενος. Οἱ γὰρ σωμάτων ἔρωτες, ἐπειδὴ ῥεόντων εἰσίν, ἴσα καὶ ἠρινοῖς διαρρέουσιν ἄνθεσιν· οἱ δὲ θεῖοι καὶ τῶν θείων, ὡς μενόντων τούτων, οὕτω κἀκεῖναι μένουσιν ἐν τῷ ἔχοντι, καὶ διὰ τὸ καλὸν γίνονται· ἵνα γὰρ καλλοποιηθῶσι τὰ ἐρώμενα, καὶ μὴ ἐμπελιφθῶσι τῷ τῆς ὕλης αἴσχει, ὁ ἔρως γίνεται.

Ἐντεῦθεν ἀπορεῖ, καὶ τί δή ποτε οἱ Θεολόγοι, ποτὲ μὲν ἔρωτα καὶ ἀγάπην αὐτὸν λέγουσι, ποτὲ δὲ ἐραστὸν καὶ ἀγαπητόν. Καὶ λύων λέγει, ὅτι, ὡς μὲν αἴτιος καὶ γεννήτωρ τοῦ θείου ἔρωτος, ἔρως λέγεται· ὡς δὲ αὐτὸς ὢν τὸ ἐραστὸν, ἐραστὸν λέγεται, καὶ κατ' ἐκεῖνο μὲν κινεῖται εἰς τὸ τῶν ἄλλων ἐρᾶν, κατὰ τοῦτο δὲ κινεῖ τὰ ἄλλα εἰς τὸ ἐρᾶν αὐτοῦ. Ἢ ἐραστὸν λέγεται, διότι προαγωγικὸν, καὶ κινητικὸν ἑαυτοῦ ἐστι πρὸς ἐρωτικὴν συνάφειαν τὴν ἐν πνεύματι, τουτέστι μεσίτης ταύτης, καὶ πρὸς ἑαυτὸν συναρμοστής ἐστι τοῦ ἐρᾶσθαι αὐτὸν ὑπὸ τῶν ἰδίων ποιημάτων. Κινητικὸν δέ φησιν, ὡς κινοῦντα ἕκαστα κατὰ τὸν οἰκεῖον λόγον πρὸς αὐτὸν ἐπιστρέφεσθαι. Τὸ δὲ τῆς προαγωγείας ὄνομα, εἰ καὶ παρὰ τοῖς ἔξωθεν πρᾶγμα σημαίνει οὐκ εὐαγὲς, ἀλλ' ἐνταῦθα τὴν πρόξενον τῆς ἐν Θεῷ ἑνώσεως μεσιτείαν φησὶ, καὶ οὕτως μὲν ἐραστὸν λέγεται· ἔρως δὲ πάλιν καὶ ἀγάπη, ὡς κινητική τις δύναμις ἐφ' ἑαυτὴν ἀνάγουσα τὸ μόνον καὶ δι' ἑαυτὸ ἀγαθὸν, καὶ ὅτι ἔκφανσίς ἐστιν αὐτὸς ἑαυτοῦ δι' ἑαυτοῦ, οὐκ ἄλλου μεσιτεύοντος, οὐδὲ ἄλλοθεν ἐπερχομένου τοῦ ἔρωτος, ἀλλ' ἀπ' αὐτοῦ εἰς αὐτόν· πιστὸν γὰρ τὸ δι' ἑαυτὸ καλόν. Ὥσπερ γὰρ ἐρῶμεν τῆς τοῦ μέλιτος γλυκύτητος, οὐκ ἄλλοθεν κινούμενοι εἰ μὴ παρ' αὐτοῦ, καὶ οὐ δι' ἄλλο εἰ μὴ καθ' αὐτὴν τὴν γλυκύτητα· καὶ διὰ τοῦτο ἀνεξάγγελτός ἐστιν ἡ γλυκύτης τοῖς ἀγνοοῦσιν. εἰ γὰρ παρ' ἄλλων τινῶν ἐκινέ-

iam Zelotem ipsum appellant, vt qui multum in diuinis rebus amorem ostendat, & quasi ad sui desiderium excitet; quodque illa quæ ab ipso desiderantur ac procurantur, æmulatione digna sint & beata. Nisi enim talia essent, nequaquam indignaretur quòd ab ipso declinét,& aliis se adiungant. Et vniuersim,amor pulchri est: cùm enim pulcher sit,amat istiusmodi pulchrum, & in pulchro manet,& diffunditur consumendo. Siquidem amores corporum cùm rerum sint fluxarum,non secùs ac verni flores defluunt; amores verò diuini rerumque diuinarum, tamquam permanentium, ipsi quoque permanent in possessore suo, & pulchri causâ existunt: quoniam amor ille est ad amata condecoranda, néve materiæ colluuie conspurcentur.

§. 14. *Quomodo Deus amabilis & dilectus.*

Quærit hic etiam,vt quid Theologi aliquando quidem amorem ac dilectionem, quandoque verò amabilem ac diligibilem dicant. Et resoluens quæstionem, ait, quòd quidem, tamquam auctor ac genitor amoris diuini, amor appelletur; in quantum verò ipse est id quod amatur, amabilis dicatur:& secundùm illud quidem mouetur ad alia amanda, secundùm hoc verò mouet alia ad amorem suum. Vel amabilis dicitur, quia vim habet adducendi ac mouendi ad amatoriam in spiritu coniunctionem, id est, quòd huius mediator & ipsemet conciliator sit amoris, quo à suis creaturis adamatur. Dicit autem habere vim mouendi, vt qui singula moueat secundùm propriam rationem,vt ad ipsum conuertantur. Porrò nomen illud productionis seu prostitutionis, etsi apud profanos rem impuram significet, verumtamen hîc dicit intercessionem conciliatricem vnionis cum Deo,& hoc modo quidem amabilis dicitur; amor verò rursus & dilectio, tamquam vis motrix,& sursum ad se trahens illud quod solum & per se bonum est,& quòd ipse sit manifestatio sui ipsius per seipsum, nullo alio mediante, nec aliunde amore aliquo adueniente, nisi à se ipso in seipsum; tale enim est id quod per se pulchrum est. Quemadmodum enim mellis dulcedinem amamus, non aliunde moti quàm ab ipsâ,nec propter aliud,quàm illam ipsammet dulcedinem,quapropter etiam inexplicabilis est dulcedo illam ignorantibus. si enim ab aliis quibusdam ad hoc

PARAPHRASIS PACHYMERÆ.

mouerenaur, vtique ex his aliquid dicere possemus, vnde etiam ignorantes cognoscerent. Sic cogita etiam in diuinâ veraque dulcedine amorem ex ipsâ existere, & ipsam esse amabilem cùm propter se, tum per se, & non propter aliud; nam istiusmodi vnio ab omnibus exempta est, & simplex, & ab ipsomet amabili mota. *Amor circularis.* Porrò dicit, amorem hunc diuinum principio fineque carere, vtpote ex bono prodeuntem, & ad bonum se conuertentem, secundùm figuram circularem (quemadmodum neque linea circuli cognosci potest vnde inceperit, vel vbi desierit) etenim ex ipso boni desiderium, & ad ipsum iterùm tendit: in ipso verò est & manet amor agnatæ bonitatis, omniumque ad bonum hoc aspirantium. Deinde apponit etiam testimonium eorum quæ dicta sunt ex diuo Hierotheo.

HIEROTHEI.

§. 15. Obserua quàm præclarè Magnus Hierotheus de laudabili amore disserat, primùm quidem diuinum ipsum asserens, *Amor est vnificus & collectiuus.* quoniam Deus ipse primus auctor est amoris, idque per excellentiam & sine causâ. Si enim amor ipse charitas est, vti prædictum, 1. Ioan. 4, 8 scriptum sit autem, *quoniam Deus charitas est*, id est amor omnium vnificus, vtique charitas Deus est. Isthinc igitur per transgressionem progreditur ad Angelos, vnde ipsum quoque Angelicum dicit, vbi maximè quis reperiat diuinum illum amorem vnitatis: nihil enim apud ipsos dissonum aut seditiosum. Deinde post Angelos, intelligentem quoque amorem commemorat, id Phil. 2, 2. est, qui insit viris diuinis Ecclesiæ, ad quos Paulus ait, Vt idem dicant; Et Dominus, Ioan. 17, 21. *Vt sint vnum.* Posteà etiam de aliis hominibus qui amicitiæ rationem habent: nam amorem, qui est secundùm animas rationales, intelligentem nominauit, animalem verò vocauit amorem brutorum. Ex amatoriâ hac virtute & volucres gregatim volant, & terrestria natatiliaque coniunguntur. Porrò amorem naturalem vocat illum rerum animatarum & sensu carentium, cùm sensu carentia etiam propriè habitudinali aptitudine creatorem ament, propterea quòd ab ipso producta sint; nam secundùm naturalem suum motum etiam ipsamet ad Deum conuertuntur.

μεθα εἰς τοῦτο, τάχα ἂν ἐκ τούτων εἴχομεν λέγειν τι, καὶ οἱ ἀγνοοῦντες ἐκ τούτων συνίεσαν. Οὕτω νόει καὶ ἐπὶ τοῦ θείου καὶ ὄντως γλυκασμοῦ, ὅτι ἐξ αὐτοῦ ὁ ἔρως· καὶ αὐτό ἐστι τὸ ἐραστὸν, καὶ δι' αὐτοῦ, καὶ καθ' αὑτὸ, καὶ οὐ δι' ἄλλου· ἐξῃρημένη γάρ ἐστι πάντων ἡ τοιαύτη ἕνωσις, καὶ ἁπλῆ, καὶ ἀπ' αὐτοῦ τοῦ ἐραστοῦ κινουμένη. Ἄναρχον δὲ καὶ ἀτελεύτητον τὸν θεῖον ἔρωτα λέγει, ὡς ἐκ τοῦ ἀγαθοῦ προϊόντα, καὶ πρὸς τὸ ἀγαθὸν ἐπαναστρέφοντα, κατὰ σχῆμα κυκλικόν (ἐπεὶ καὶ ἡ τοῦ κύκλου γραμμὴ οὐ γνώριμον ὄψει ὅθεν ἤρξατο, καὶ οὗ κατέληξε) καὶ γὰρ ἐξ αὐτοῦ ἡ τἀγαθοῦ ἔφεσις, καὶ εἰς αὐτὸ πάλιν ὁρᾷ, ἐν αὐτῷ δέ ἐστι καὶ μένει τὸ ἐρᾶν τῆς συμφυοῦς ἀγαθότητος, καὶ τῶν πρὸς τὸ ἀγαθὸν ἀνατεινομένων. Ἐφεξῆς τίθησι καὶ μαρτυρίαν τῶν λεγομένων ἐκ τοῦ θείου Ἱεροθέου.

ΙΕΡΟΘΕΟΥ.

Ἐπίστησον ὅπως ὁ μέγας Ἱερόθεος τὰ περὶ τοῦ ἐπαινετοῦ ἔρωτος ἄριστα φιλοσοφεῖ, πρῶτον μὲν θεῖον αὐτὸν λέγων, ἐπειδὴ καὶ πρῶτον αἴτιον ἔρωτος ὁ Θεός ἐστιν ἐξῃρημένως καὶ ἀναιτίως. Εἰ γὰρ ὁ ἔρως αὐτός ἐστιν ἡ ἀγάπη, ὡς προείρηται, γέγραπται δὲ ὅτι ὁ Θεὸς ἀγάπη ἐστὶ, δηλονότι πάντων ἑνοποιὸς ἔρως, ἤτοι ἀγάπη ὁ Θεός ἐστιν. Ἐκεῖθεν οὖν μεταβατικῶς πρόεισιν ἐπ' Ἀγγέλους, ὅθεν καὶ ἀγγελικὸν αὐτόν φησιν, ἔνθα μάλιστα καὶ τὸν τῆς ἑνότητος εὕροι τὶς ἂν ἔρωτα θεῖον· οὐδὲν γὰρ ἀσύμφωνον ἢ στασιάζον ἐστὶ παρ' αὐτοῖς. Εἶτα μετ' Ἀγγέλους καὶ νοερόν φησιν ἔρωτα, τουτέστι παρὰ θείοις ἀνδράσι τοῖς τῆς Ἐκκλησίας δηλαδὴ, πρὸς οὓς ὁ Παῦλός φησιν, Ἵνα τὸ αὐτὸ λέγητε· καὶ ὁ Κύριος, Ἵνα ὦσιν ἕν. Εἶτα καὶ παρὰ τοῖς ἄλλοις ἀνθρώποις, ἐν οἷς ὁ περὶ φιλίας λόγος ἐστί· τὸν γὰρ κατὰ τὰς λογικὰς ψυχὰς ἔρωτα, νοερὸν εἶπε, ψυχικὸν δὲ ἐκάλεσεν ἔρωτα τὸν τῶν ἀλόγων. Ἐκ γὰρ τῆς ἐρωτικῆς ταύτης δυνάμεως καὶ πτηνὰ ἀγεληδὸν ἵπτανται, καὶ πεζὰ, καὶ νηκτὰ συννέμονται. Φυσικὸν δὲ ἔρωτά φησι, τὸν τῶν ἐμψύχων καὶ ἀναισθήτων, καὶ ἰδίως τῶν ἀναισθήτων κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα ἐρώντων τοῦ δημιουργοῦ διὰ τὸ ὑπ' αὐτοῦ συνεστάναι· κατὰ γὰρ τὴν φυσικὴν αὐτῶν κίνησιν, καὶ αὐτὰ πρὸς τὸν Θεὸν ἐπέστραπται.

PARAPHRASIS PACHYMERÆ. §. 16.

Distributio amoris.

ΤΟΥ ΑΥΤΟΥ.

Ἐπειδὴ ἐκ τοῦ ἑνιαίου καὶ ὄντως ἔρωτος τοῦ Θεοῦ πολλοὺς ἔρωτας συνετάξαμεν, τοὺς ἀγγελικούς, τοὺς νοερούς, τοὺς ψυχικούς, τοὺς φυσικούς (οὗτοι γάρ εἰσιν, οἱ μὲν ἐγκόσμιοι, οἱ δὲ ὑπερκόσμιοι ἔρωτες, ὧν ὑπερέχουσιν αἱ τῶν νοερῶν τε καὶ νοητῶν) φέρε συνελίξωμεν ἅπαντας ἐπὶ τὸν Πατέρα αὐτῶν. Σημείωσαι δέ, ὅτι νοερά εἰσι τὰ νοοῦντα, νοητὰ δὲ τὰ νοούμενα· καὶ ὑπερβαίνονται τὰ νοερὰ παρὰ τῶν νοητῶν, ὅθεν καὶ τροφή ἐστι τῶν νοούντων τὰ νοούμενα. Τὰ γοῦν νοερὰ ἐρᾷ τῶν νοητῶν ἐπιστρεπτικῶς πάντως, ἐρᾷ δὲ καὶ τὰ νοητὰ τῶν νοερῶν, ἀλλὰ προνοητικῶς τῷ μεταδιδόναι τῆς ὠφελείας. Ὁμολογούμενον οὖν ἐστιν, ὅτι οἱ τῶν τοιούτων ἔρωτες ὑπερεστᾶσι τῶν αἰσθητῶν. Ἀλλὰ ταῦτα μὲν τὰ νοητά τε καὶ νοερά, ἐκ μετοχῆς τοῦ ὄντως ἀγαθοῦ τοιαῦτα γεγένηνται, οἱ δὲ αὐτονόητοι ἔρωτες, οἱ θεῖοί εἰσιν. Ὥσπερ γὰρ ἄλλο ἐστὶ τὸ κατὰ μετοχὴν ἀγαθόν, καὶ ἄλλο τὸ ἁπλῶς ἀγαθόν· οὕτως ἐστὶ καὶ ἄλλο τό τινι νοητόν, ἅτε νοούμενον ὑπ' αὐτοῦ· καὶ ἄλλο τὸ ἁπλῶς νοητόν, οὐχ ὡς ὁ χρόνος, ἢ ὁ τόπος (νοητὰ γὰρ καὶ ταῦτα, ἐπεὶ μὴ αἰσθητά) ἀλλὰ νοῦς τῶν νοητῶν, καὶ ζῶν, καὶ ζωή, καὶ ἐνέργεια. Ἀπὸ γοῦν τῶν πολλῶν ἐρώτων εἰς δύο συναιρεῖν ἐρωτικὰς καθόλου δυνάμεις βούλεται, τάς τε νοητὰς καὶ τὰς νοεράς, ὧν προκατάρχει πάντως ἡ παντὸς ἐπέκεινα ἄσχετος αἰτία. Ἄσχετον δὲ αἰτίαν, τὴν δημιουργικὴν φησιν· αὐτὴ γὰρ καὶ μόνη κεχωρισμένη ἐστὶ τοῦ ἀποτελέσματος, τῆς ὑλικῆς, καὶ τῆς εἰδικῆς, καὶ τῆς τελικῆς, ἐν τῷ ἀποτελέσματι φαινομένων. Πρὸς ταύτην οὖν τὴν ἄσχετον καὶ ποιητικὴν αἰτίαν, προσφόρως ἑκάστῳ, ὁ ἐκ τῶν ἁπάντων ὁλικὸς ἔρως ἀνατείνεται, ὁλικὸν ἔρωτα λέγων, τὸν ἐκ πάντων τῶν μερικῶν συναγόμενον. Ἔστι καὶ ὁ Θεὸς ὁλικὸς καὶ μερικὸς ἔρως, ὡς αἴτιος καὶ πᾶσι χορηγῶν κατὰ τὴν ἑκάστου δύναμιν ἐρωτικήν, οἷον ἀπόρροιαν. Πῶς οὖν ὁ Θεὸς καὶ τὸ ὅλον καὶ τὸ μέρος ἀνεκφοιτήτως ἑαυτῷ συνὼν εἶναι δύναται, ἐκ τοῦ σπερματικοῦ λόγου σαφὲς γίνεται· ὅταν μὲν γὰρ τὸ σπέρμα ἀδιακόπως ὁμοῦ εἰς τὴν μήτραν καταβληθῇ, ἓν ἀποτελεῖται ἔμβρυον· ἐὰν δὲ μερισθῇ τὸ σπέρμα εἰς διαφόρους κυστίδας τῆς μήτρας, ἕκαστον μέρος, ὁλόκληρον ἔμβρυον

EIVSDEM.

Quoniam ex vno ac vero amore Dei multos amores coordinauimus, Angelicos, intelligentes, animales, naturales (siquidem horum aliqui mundiales sunt, alij verò amores supramundiales, inter quos intelligentium & intelligibilium excellunt) agedum omnes ad eorumdem Patrem collectim reducamus. Nota autem, intelligentia esse ea quæ intelligunt, intelligibilia verò ea quæ intelliguntur, & intelligentia ab intelligibilibus superari, vnde etiam illa quæ intelliguntur, cibus sunt intelligentium. Itaque intelligentia amant intelligibilia prorsus conuersiuè; intelligibilia verò etiam amant intelligentia, sed prouisiuè, illis vtilia communicando. In confesso igitur est, amores istiusmodi superare sensitiuos. Ceterùm hæc intelligibilia & intelligentia ex participatione veri boni talia facta sunt, ipsi autem amores per se intelligibiles, diuini sunt. Sicut enim aliud est bonum per participationem, & aliud bonum simpliciter; sic etiam aliud est intelligibile alicui, vt quod ab illo intelligitur; & aliud quod simpliciter est intelligibile, non vt tempus aut locus (hæc enim etiam intelligibilia, cùm non sint sensibilia) sed quòd sit intellectus intelligibilium, & viuens, & vita, & operatio. Vires itaque amatorias à multis amoribus ad duos omnino contrahi cupit, tam intelligibiles quàm intelligentes, quibus omnibus præstat & antecellit incomprehensibilis illa omnis amoris causa. Incomprehensibilem verò causam vocat vim creandi: siquidē hæc sola valet id, quod effectus materialis & formalis & finalis, dum efficit quæ illi videntur. Ad hanc igitur incomprehensibilem & efficientem causam, in commodum vniuscuiusque, omnium totalis amor extenditur, totalem amorem vocans illum, qui ex omnibus particularibus amoribus collectus est: Deus autem totalis & particularis amor existit, in quantum causa est & omnibus præbet amatorium quodammodò humorem. Quomodo igitur Deus totum & pars, sine egressu sibi præsens esse possit, ex seminandi ratione patet: quando enim semen absq; interruptione simul in matricē deciderit, vnus quidam embryo formatur; si verò semen in varias matricis cellulas diuidatur, quælibet pars integrum format embryo-

Quomodo Deus totalis & partialis amor sit.

PARAPHRASIS PACHYMERÆ.

nem. erit autem ſeminis pars vna naſus, altera oculus, & ſic deinceps, omniaque perfecta. Simile quidpiam conſiderandum etiam per proportionem de mente perfectâ, nam tota efficacia complectitur etiam partes: ſic etiam Deus tam totalis quàm partialis amor eſt.

EIVSDEM.

§. 17. Duas igitur virtutes amatorias ſuprà dictas agedum in vnum colligentes, dicamus, vnam eſſe ſimplicem virtutem, quæ ex ſemetipsâ, & per ſemetipſam, & non per aliam aliquam virtutem, & in ſemetipsâ mouetur: inegreſſibiliter enim ex ſemetipsâ in ſemetipſam reuoluitur vſque ad extremitatem rerum, & ex hac in ſemetipſam. Et poſt hæc exponit ſanctus hic quorumdam quæſtionem, eſt autem ferè tota Gentilium & Manichæorum.

§. 18. *Quomodo id quod non est bonum appetat.* Ait itaque, nonneminem obiicere poſſe, Si bonum omnibus eſt amabile (nam id ipſum quod non eſt illud expetit, non ens vocans informem materiam; idem enim eſt bonum, atque formificum. Quemadmodum igitur materia formam, ſic id quod non eſt Deum expetit. Quin imò quod non eſt, in Deo ſupra eſſentiam dicitur, ſiquidem & quantitate & formâ & figurâ caret; & Deus eſt non terra, non aqua, non ignis, ſed ſupra hæc omnia ſupereſſētialiter,) ſi inquam omnia bonum appetunt, quomodo turba dæmonum non illud expetit? Primùm autem obſeruandum circa non ens, veteres illud non ens non ſolùm informem materiam, verùm etiam extremam turpitudinem appellaſſe. Materia autem dicitur non ens, non quòd omnino nihil ſit, ſed quòd non ſit aliquid rerum exiſtentium; ſiquidem ex non entibus etiam ipſa materia à Deo producta fuit, ſed non, vt aliqui opinabantur, ſine formâ & figurâ: ideoque materia non eſt principium ſenſilium, ſed potiùs eorum complementum, & extremum quid ac fundamentum entium. Et quod ſenſibile eſt, non ſine materiâ eſt, ſed cùm ſit præſtantius quid materiâ, formam quoquo modo participat; numquã igitur oſtendetur materia ſine formâ & qualitatibus. quando enim fuit ignis ſiue calore aut lumine, vel aqua ſine frigore & humiditate & cæruleo colore? Idcircò etiam dixi, materiam ratione cõcipi, & non ſenſu apprehendi, nec non impropriâ ſeu illegitimâ ratione concipi per-

ἀποτελεῖται· ἔσαι οὖν τοῦ σπέρματος τὸ μὲν ῥίς, τὸ δὲ ὀφθαλμὸς, καὶ τὰ ἑξῆς, καὶ πάντα τέλεια. Ὅμοιόν τι θεωρητέον κατὰ ἀναλογίαν καὶ περὶ τὸν παντέλειον νοῦν, ὅλη γὰρ ἡ ἐνέργεια περιέχει καὶ τὰ μέρη· καὶ οὕτως ὁ Θεὸς καὶ ὁλικὸς καὶ μερικὸς ἔρως ἐστί.

ΤΟΥ ΑΥΤΟΥ.

Τὰς γοῦν ἄνωθεν ῥηθείσας ἐρωτικὰς δύο δυνάμεις, ἄγε εἰς ἓν συνάγοντες εἴπωμεν, ὅτι μία ἐστὶν ἡ ἁπλῆ δύναμις, ἡ ἐξ αὑτῆς κινητικὴ, καὶ δι' ἑαυτῆς, καὶ οὐ δι' ἄλλης τινὸς δυνάμεως, καὶ ἐφ' ἑαυτῆς· ἀνεκφοιτήτως γὰρ εἰς ἑαυτὴν ἀνακυκλοῦσα ἐξ ἑαυτῆς, μέχρι τοῦ τῶν ὄντων ἐσχάτου, καὶ ἐκ τούτου εἰς ἑαυτήν. Καὶ μετὰ ταῦτα ἐκτίθεται ὁ ἅγιος ὡς ἀπό τινων ἀπορίαν τινά· ἔστι δὲ τὸ πᾶν κατὰ Ἑλλήνων καὶ Μανιχαίων.

Φησὶ γοῦν, ὅτι φαίη τις ἄν, Εἰ πᾶσίν ἐστιν ἐραστὸν τὸ ἀγαθὸν (καὶ αὐτὸ γὰρ τὸ μὴ ὂν ἐφίεται τούτου, μὴ ὂν λέγων τὴν ἀνείδεον ὕλην· αὐτὸ γάρ ἐστι τὸ ἀγαθὸν, τὸ εἰδοποιόν. Ὡς γοῦν ἡ ὕλη τοῦ εἴδους, οὕτως τὸ μὴ ὂν τοῦ Θεοῦ ἐφίεται. Καὶ ἔτι ὑπερουσίως λέγεται τὸ μὴ ὂν ἐπὶ Θεοῦ, ἄποσος γὰρ καὶ ἀνείδεος καὶ ἀσχημάτιστος, καὶ οὐ γῆ, οὐχ ὕδωρ, οὐ πῦρ ὁ Θεός ἐστιν, ὑπερουσίως δὲ ὑπὲρ ταῦτα πάντα) εἰ οὖν πάντα τοῦ ἀγαθοῦ ἐφίεται, πῶς ἡ δαιμονία πληθὺς οὐκ ἐφίεται; Πρότερον δὲ σημειωτέον περὶ τοῦ μὴ ὄντος, ὅτι τοῦτο τὸ μὴ ὂν οἱ παλαιοὶ μὴ μόνον ἀνείδεον ὕλην ἐκάλεσαν, ἀλλὰ καὶ ἔσχατον αἶσχος. Λέγεται δὲ μὴ ὂν ἡ ὕλη, οὐχ ὅτι παντελῶς οὐδέν ἐστιν, ἀλλ' ὅτι μή ἐστί τι τῶν ὄντων· παρῆκται μὲν γὰρ ἐκ μὴ ὄντων ὑπὸ τοῦ Θεοῦ καὶ ἡ ὕλη· ἀλλ' οὐχ, ὥς τινες ὑπέλαβον, ἀνείδεος καὶ ἀσχημάτιστος· ὅθεν οὐδὲ ἀρχὴ τῶν αἰσθητῶν ἡ ὕλη, ἀλλὰ μᾶλλον συμπληρωτικὴ τούτων καὶ ἔσχατόν τι καὶ ὑπόσταθμη τῶν ὄντων. Καὶ τὸ αἰσθητὸν οὐκ ἄνευ μὲν ὕλης ἐστὶ, κρεῖττον δὲ τῆς ὕλης, εἴδους ὁπωσοῦν μετέχον· οὐδέποτε οὖν δειχθήσεται ἡ ὕλη δίχα τοῦ εἴδους καὶ τῶν ποιοτήτων· πότε γὰρ γέγονε τὸ πῦρ ἄνευ θερμότητος ἢ φωτὸς, ἢ τὸ ὕδωρ ἄνευ ψυχρότητος καὶ ὑγρότητος καὶ τοῦ κυανίζοντος χρώματος; Διὰ τοῦτο καὶ λόγῳ θεωρητή ἐστιν ἡ ὕλη, καὶ οὐκ αἰσθήσει ληπτὴ, καὶ νόθῳ λογισμῷ καταλαμβάνεσθαι λέγεται·

οὕτω

PARAPHRASIS PACHYMERÆ.

τόδε ἐστὶ λέγεται, ἀλλ' ὅτι τόδε οὐκ ἔστι, χεῖρον δὲ πάντων. Οὕτω γὰρ καὶ ἐπὶ τοῦ Θεοῦ λέγομεν· ἀλλ' ἐκεῖσε κρεῖττον πάντων φαμὲν, καὶ ὑπερουσίως. Εἰ γοῦν οὕτω ταῦτα, πῶς ἡ δαιμονία πληθὺς τοῦ ἀγαθοῦ οὐκ ἐφίεται. ἀποπεπτωκυῖα δὲ, κακῶν ἁπάντων καὶ ἑαυτῇ καὶ τοῖς κακυνομένοις αἰτία γίνεται; Πῶς δὲ, παραχθεῖσα ἐκ τοῦ ἀγαθοῦ, οὐκ ἔστιν ἀγαθοειδὴς, μετέχουσα τοῦ οὐσιωδῶς καὶ οὐ κατὰ μετοχὴν ἀγαθοῦ; τὰ γὰρ ἔξωθεν ἀγαθυνόμενα τῇ περὶ αὐτὸ ἐφέσει, ἀγαθοειδῆ λέγονται, καὶ οὐκ αὐτόχρημα ἀγαθά. ἢ πῶς ἀγαθὸν γεγονὸς, ἠλλοιώθη, μὴ τοῦ ἀγαθοῦ ἐκνικήσαντος; Καὶ τί ἐστι τὸ κινῆσαν αὐτὴν εἰς κακίαν, ἢ μᾶλλον, τίς ἡ ἀρχὴ τούτου; οὐδὲ γὰρ εὐαγὲς, δύο ἀρχὰς εἰπεῖν, κατὰ τοὺς Μανιχαίους. Εἰ δὲ ὁ ἀγαθὸς παρῆξεν αὐτὴν, πῶς ἠθελήθη τοῦτο ποιῆσαι; ἢ βουληθεὶς, πῶς ἠδυνήθη; Ὥς γὰρ τὸ πῦρ φυσικὴν ἀδυναμίαν ἔχει πρὸς τὸ ψύχειν, καὶ οὐ ψύξει κἂν εἴ τι καὶ γίνηται· οὕτω καὶ τὸ αὐτοαγαθὸν φυσικὴν ἀδυναμίαν ἔχει πρὸς τὸ κακὸν παράξαι. Πῶς δὲ καὶ προνοίας οὔσης καὶ κυβερνώσης, ἐφ' ᾧ πάντα ἐν τῷ ἀγαθῷ μένειν, ἔστι τὸ κακὸν, ἢ γινόμενον; ἢ εἴπου καὶ ἐγένηθη, μὴ ἀναιρέμενον; καὶ πῶς ἐστιν, ἀφέμενόν τι τοῦ ἀγαθοῦ, τοῦ κακοῦ ἐφίεται.

Ἐν τούτῳ γυμνάζων τὸν λόγον περὶ τοῦ κακοῦ ἁπλῶς, καὶ οὐ περὶ τῶν δαιμόνων, καὶ ἀναλύων τὰς ἀπορίας φησὶ, Τὸ κακὸν οὔτε ἐκ τοῦ ἀγαθοῦ μέλλομεν εἰπεῖν παραχθῆναι, οὔτε ἐκ τοῦ κακοῦ· ἐκ μὲν τοῦ ἀγαθοῦ οὐκ ἔστιν, ὅτι καὶ αὐτὸ ἔμελλεν εἶναι οὐ κακόν. ὡς γὰρ οὐ πυρὸς τὸ ψύχειν, οὕτως οὐδὲ ἀγαθοῦ τὸ παράγειν κακόν. Πάλιν δὲ ἐκ τοῦ κακοῦ οὐκ ἔστιν, ὅτι ὥσπερ τῷ ἀγαθῷ φύσις ἐστὶ, παράγειν καὶ σώζειν· οὕτω τῷ κακῷ, φθείρειν καὶ ἀπολλύειν. Τί οὖν; εἴποι τις. Ἢ τοίνυν οὐκ ἔστι λοιπὸν τὸ κακὸν, ἢ ὂν ἔχει τινὰ μοῖραν τοῦ ἀγαθοῦ, καθ' ἣν ὅλως ἐστί. Πάλιν οὖν ἀμφοτέρωθεν ἀπορία. Εἰ μὲν οὐκ ἔστιν ὅλως τὸ κακὸν, μέλλει εἶναι ἡ ἀρετὴ καὶ ἡ κακία ταὐτὸν, ὅπερ παρακατιὼν τίθησιν· εἰ δὲ ἐστι, τὰ δὲ ὄντα πάντα τοῦ καλοῦ ἐφίενται, καὶ εἴ τι γίνεται, ἢ διὰ τὸ ἀγαθὸν, ἢ διὰ τὸ δοκοῦν γίνεται (καὶ αὐτὸς γὰρ ὁ φθόνος διά τι δοκοῦν ἀγαθὸν γίνεται,

hibetur: sic etiam quod hoc sit dicitur, sed quod illud non sit, quippe quid peius omnibus. Etenim sic etiam de Deo dicimus, verùm tunc asserimus, ipsum quid omnibus esse melius, idque superessentialiter. Si itaq; hæc ita se habeant, quomodo turba dæmonum bonum non expetit, sed à suo statu prolapsa, tam sibi ipsi quàm aliis peruersis malorum omnium causa existit? Quomodo autem, cùm producta sit ex bono, boni formâ caret, particeps existens eius qui essentialiter & non participatione bonus est? nam quæ extrinsecus eius desiderio bona facta sunt, boniformia dicuntur, & non reapse bona. aut quomodo bona facta, mutata est bono minimè superante? Ecquid est quod illam mouit ad malitiam, vel potiùs, quodnam eius principium? neque enim religiosum sit duo principia statuere, secundùm Manichæos. Si autem bonus ipsam produxit, quomodo voluit hoc facere? vel si voluit, quomodo potuit? Quemadmodum enim ignis naturalem impotentiam habet ad frigefaciendum, & quidquid fiat non refrigerabit; sic etiam ipsum per se bonum naturalem impotentiam habet ad faciendum malum. Quomodo verò, etiam extante atque omnia gubernante prouidentiâ, quâ cuncta in bono perseuerant, malum est, vel fit? vel si vmquam factum sit, non è medio sublatum est? & quomodo quidpiam relicto bono, malum expetit?

Quomodo producta sint mala.

§.19. Stylum hîc circa malum simpliciter, & non circa dæmones, exercens, & resoluens quæstionem, ait, Malum neque ex bono dicemus productum esse, neque ex malo: siquidem non est ex bono, quia aliàs ipsum quoque non esset malum. quemadmodum enim ignis non est refrigerare, sic neque boni, malum producere. Rursum verò non est ex malo, quoniam sicut boni natura est producere ac seruare, sic etiam mali est corrumpere ac perdere. Quid igitur? dicet aliquis. Vel igitur non est malum reliquum, vel existens habet partem aliquam boni, secundùm quam omnino est. Rursum oritur vtrimque quæstio. Si namque non est omnino malũ, virtus & malitia quid vnum erunt, vti in progressu tradit: si autem est, & ea quæ sunt, omnia bonum appetunt; & si quid fit, vel propter bonum fit, vel propter id quod videtur bonum (nam & ipsamet inuidia oritur propter id quod apparet bonum,

Obiectiones variæ circa malum vnde existat.

PARAPHRASIS PACHYMERÆ.

num, & omnis rerum ſcopus principium ac finem habet bonum) etiam malum, in quãtum eſt, habebit appetitum ad bonum. quomodo enim omnino exiſtat eiuſcemodi boni affectu deſtitutum? Si igitur res omnes etiam ex Deo & in Deo ſint, etiam illud ipſum quod non eſt vt materia, & quæ ex ablatione de Deo ſupereſſentialiter prædicantur, malum id quod in rebus ponitur, in Deo erit, & id quod non eſt in rebus, iterùm in Deo erit. Si autem non ſit in Deo, quid tandem erit quod extra res & non res eſt? cùm in confeſſo ſit, Deum eſſe extra ea quæ ſunt, & extra ea quæ non ſunt; & id quod non eſt in bono ſupra ſubſtantiam dici, non quòd hoc ſit vel illud, ſed ſupra hæc ſupraſubſtantialiter. Bonum ergo locatum eſt ſupra id quod eſt, & ſupra id quod non eſt; malum autem non ſolùm alienum eſt à rebus (nam ſi eſſet, boni particeps exiſteret) verùm etiam à non entibus remotum eſt, & iis ipſis minus ens eſt, cùm id quod non eſt etiam in Deo deſuper collocetur. Concluditur itaque, haudquaquam quidquam eſſe malum, & ſi hoc ſit, indifferentia erunt omnia & laudabilia; & non ſolùm, virtus cum malitiâ erit idem, tota toti, & partialis proportionali, v.g. fortitudo puſillanimitati, verùm etiam id quod virtuti repugnat virtus erit. Ceterùm formans ſyllogiſmum hypotheticum, elidit ſequelam, dicens, Contraria eſt temperantię diſſolutio. Neque verò dico illa ſibi repugnare & contrariari, in quantum ab hominibus ipſis participantur, ſic enim propter alias aliquas cauſas aduerſari viderentur; verùm etiam antequam exteriùs ſe prodant & appareant, multò priùs in ipſamet animâ cum parte rationali animæ diſſident ipſæ paſſiones, ira inquam & concupiſcentia: atque illa quidem auriga dicitur, hæc verò ſubiugalia, ſemper quidem præuertentia, nonnumquam verò etiam obſequentia, quando videlicet ratio tenet principatum. Ex hoc itaque fit neceſſarium, dari aliquid bono contrarium: neque enim bonum ſibi ipſi aduerſatur; omnia enim bona, ab vno principio vnaque causâ profecta, vnitate gaudent, & ſibi mutuò nequaquam aduerſantur. Ne quis itaque dixerit, maius bonum minori bono repugnare; quantitati enim nihil eſt contrarium, neque magis ca-

καὶ πᾶς ὁ τῶν ὄντων σκοπὸς ἀρχὴν ἔχει καὶ τέλος τὸ ἀγαθὸν) ἕξει καὶ τὸ κακὸν, καθότι ἐστὶ, τὴν πρὸς τὸ ἀγαθὸν ἔφεσιν. πῶς γὰρ ὅλως ὄν, τῆς τοιαύτης ἀγαθῆς παραιρεθήσεται ἕξεως; Εἰ γοῦν τὰ ὄντα πάντα καὶ ἐκ τοῦ Θεοῦ, καὶ ἐν τῷ Θεῷ εἰσι, καὶ αὐτὸ δὴ τὸ μὴ ὂν ὡς ἡ ὕλη, καὶ τὰ ἐξ ἀφαιρέσεως λεγόμενα ἐπὶ τοῦ Θεοῦ ὑπερουσίως, τὸ κακὸν ἐν τοῖς οὖσι ταττόμενον, ἐν τῷ Θεῷ ἔσται, καὶ ἐν τοῖς μὴ οὖσι, πάλιν ἐν τῷ Θεῷ ἔσται. Εἰ δὲ οὐκ ἔστιν ἐν τῷ Θεῷ, τί ἂν εἴη ὅπερ ἔξω τῶν ὄντων καὶ τῶν μὴ ὄντων ἐστί; προωμολογημένου, ὅτι τὸ Θεῖον καὶ τῶν ὄντων καὶ τῶν μὴ ὄντων ἔξω ἐστὶ, καὶ τὸ μὴ ὂν ἐν τῷ ἀγαθῷ κατὰ τὸ ὑπερούσιον λέγεται, οὐ τόδε γὰρ, οὐ τόδε, ἀλλ' ὑπὲρ ταῦτα ὑπερουσίως. Λοιπὸν τὸ ἀγαθὸν, ὑπεριδρυμένον ἐστὶ καὶ ἐν τῷ ὄντι καὶ ἐν τῷ μὴ ὄντι· τὸ δὲ κακὸν, μὴ μόνον τῶν ὄντων ἀλλότριον (ἂν γὰρ ἦν, μετεῖχεν ἂν τοῦ ἀγαθοῦ) ἀλλὰ καὶ τῶν μὴ ὄντων ἀλλότριον, καὶ ἀνουσιώτερον, ἐπεὶ καὶ τὸ μὴ ὂν ἐν τῷ Θεῷ ὑπερίδρυται. Συνάγεται τοίνυν, ὅτι οὐδαμῇ οὐδαμῶς τὸ κακόν ἐστι· καὶ εἰ τοῦτο, ἀδιάκριτα ἔσται πάντα καὶ ἐπαινούμενα, καὶ μὴ μόνον ἡ ἀρετὴ τῇ κακίᾳ ταὐτὸν, ἡ καθόλου τῇ καθόλου, καὶ ἡ μερικὴ τῇ ἀναλόγῳ, δηλονότι ἡ ἀνδρεία τῇ δειλίᾳ, ἀλλὰ καὶ τὸ ἀντικείμενον τῇ ἀρετῇ, ἀρετὴ ἔσται. Λοιπὸν συνάξας τὸν ὑποθετικὸν συλλογισμὸν, ἀναιρεῖ τὸ ἑπόμενον, καίτοι λέγων, Ἐναντία τῇ σωφροσύνῃ ἡ ἀκολασία. Καὶ οὐ λέγω κατ' αὐτοὺς τοὺς ἀνθρώπους τοὺς μετέχοντας τούτων ὅτι μάχονται καὶ ἀντίκεινται, δόξειαν γὰρ δι' ἄλλας τινὰς αἰτίας αὐτοὺς ἀντικεῖσθαι· ἀλλὰ καὶ πρὸ τῶν ἐξωτερικῶν τούτων καὶ φαινομένων, ἐν αὐτῇ πολλῷ πρότερον τῇ ψυχῇ στασιάζει πρὸς τὸ λογικὸν τῆς ψυχῆς τὰ πάθη, ὁ θυμὸς λέγω καὶ ἡ ἐπιθυμία, κἀκεῖνος μὲν ἡνίοχος λέγεται, ταῦτα δὲ ὑποζύγια, ἀεὶ μὲν ἀντιβαίνοντα, ποτὲ δὲ καὶ ὑπείκοντα, ὅτε δηλαδὴ ὁ λόγος κατακρατήσει. Ἀνάγκη γοῦν ἐκ τούτου, δεῖναι τῷ ἀγαθῷ ἐναντίον· οὐδὲ γὰρ τὸ ἀγαθὸν ἐναντίον ἑαυτῷ· πάντα γὰρ τὰ ἀγαθὰ, ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ ἑνὸς αἰτίου ἔκγονα, τῇ ἑνότητι χαίρει, καὶ οὐκ ἀντίκειται πρὸς ἄλληλα. Μὴ οὖν εἴποι τις, ὅτι μαχόμενόν ἐστι τὸ μεῖζον ἀγαθὸν πρὸς τὸ ἔλαττον ἀγαθόν· τῷ γὰρ ποσῷ οὐδέν ἐστιν ἐναντίον, καὶ τὸ μᾶλλον

θερμὸν

θερμὸν τῷ ἧττον θερμῷ οὐκ ἀντίκειται. Συνάγεται τοίνυν, τοῦ ἑπομένου ἀναιρεθέντος, ὅτι ἐστὶ τὸ κακὸν, καὶ ἀντίκειται τῷ ἀγαθῷ· οὐδὲ γὰρ ὅτι τὸ κακὸν φθορά ἐστι τῶν ὄντων, ἐκβάλλει καὶ αὐτὸ τὸ κακὸν τοῦ εἶναι· ἀλλ' ἡ φθορὰ αὕτη ἔσθ' ὅτε εἰς γένεσιν ἄγει. Οἷον τὸ ᾠὸν φθείρεται μὲν, μεταστοιχειοῦται δὲ εἰς πτηνόν· καὶ ὁ τοῦ ἐγκεφάλου τοῦ βοὸς μυελὸς εἰς μελίσσας, καὶ ὁ τοῦ ἵππου εἰς σφῆκας, φθειρόμενοι μεταβάλλονται. Ἔσται γοῦν καὶ αὐτὸ μὴ μόνον ὄν, ἀλλὰ καὶ γενεσιουργὸν, καὶ εἰς συμπλήρωσιν συντελοῦν, καὶ δι' ἑαυτὸ παρέχον τῷ ἀποτελέσματι, τὸ μὴ ἀτελὲς εἶναι.

Εἰπὼν ὅτι συνάγεται ἐκ τῶν τοιούτων λόγων καὶ εἶναι τὸ κακὸν, καὶ γενεσιουργὸν εἶναι τινῶν, ἀντιτίθησιν ἕτερον λογισμὸν ἀληθέστερον, καί φησιν, ὅτι τὸ κακὸν ᾗ κακὸν, οὐδεμίαν γένεσιν ποιεῖ, μόνον δὲ φθείρει ὅσον τὸ ἐπ' αὐτῷ τὴν τῶν ὄντων ὑπόστασιν. Εἰ δὲ λέγοι τις αὐτὸ γενεσιουργὸν, διότι ἡ ἑτέρου φθορὰ θατέρου γένεσίς ἐστιν, ἀποκριτέον, ὡς οὐχ ᾗ φθείρει δίδωσι τὴν γένεσιν· ἀλλ' ἡ μὲν φθορὰ φθείρει, εἰ δέ γε καὶ γίνεταί τι, ἐκ τοῦ ἀγαθοῦ γίνεται, καὶ ἔσται τὸ κακόν. Σημείωσαι γὰρ ὅτι ἔτι γυμνάζει τὸν λόγον, καὶ διὰ τοῦτο λέγει, Ἔστι καὶ οὐκ ἔστιν. Ἔσται τοίνυν τὸ κακὸν φθορὰ μὲν δι' ἑαυτό· διὰ τὸ ἀγαθὸν δὲ, γενεσιουργόν. Καὶ δι' ἑαυτὸ μὲν, οὔτε ὄν, οὔτε ὄντων ποιητικόν ἐστι· κακὸν γὰρ ὄν, πῶς ἂν συσταίη ποτὲ, καὶ πόθεν σχοίη τὴν ὕπαρξιν, στέρησις ὄν; Διὰ δὲ τὸ ἀγαθὸν, καὶ ὂν καὶ ἀγαθῶν ποιητικόν ἐστιν. Ὂν μὲν, ὅτι τούτου ὑποχωροῦντος, ἐκεῖνο ἐμφαίνεται· ἀγαθῶν δὲ ποιητικὸν, ὅτι ἐν τῷ φθείρειν τοῦτο τὴν εἰδοπεποιημένην οὐσίαν, ἀντεισάγεται εἶδος ἕτερον τῆς ὕλης ἐνυπαρχούσης, καὶ διὰ τὸ ἀγαθὸν δεχομένης τὴν εἰδοποίησιν· μᾶλλον δὲ ἐπεὶ ἀκώλυτός ἐστιν ἐν τοῖς θείοις Λογίοις ἡ ἐξ ἐπιλογισμοῦ τῶν ἀκριβεστέρων παράδοσις. Τὸ πᾶν, λέγει, τοῦ ἀγαθοῦ ἐστι, καθὼς καὶ προκατιὼν ἀποδείξει. Πῶς γὰρ ἔσται τὸ αὐτὸ καὶ ἀγαθὸν ὡς ἐκ τοῦ φθείρειν προξενοῦν γένεσιν, καὶ κακὸν ὡς φθεῖρον; οὐδὲ γὰρ τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος μία κατὰ τὸ αὐτὸ δύναμις, καὶ φθορά ἐστι καὶ γένεσις. ὅπερ συμβαίνει, εἴπερ δεξαίμεθα ὅτι δύναμίς ἐστι τὸ κακὸν καθ' ἑαυτὴν μὴ φθείρουσα, κατὰ συμβεβηκὸς δὲ τὴν

PARAPHRASIS PACHYMERÆ.

lidum minùs calido contrariatur. Sequelâ itaque elisâ concluditur, malum existere, & opponi bono: neque enim quòd malum corruptio sit rerum, ipsum hoc malum ab essendi statu eliminat, quin ipsamet corruptio quandoque ad generationem facit. Sic ouum quidem corrumpitur, sed in auem transformatur; & medulla cerebri bouis in apes, & equi in vespas per corruptionem transmutatur. Erit itaque & ipsum non solùm ens, verùm etiam cùm ad generationem tum ad consummationem conducet, & per se præbebit effectui vt non sit imperfectus.

§. 20. Postquam dixit, ex istiusmodi rationibus colligi & esse malum, & ad quorumdam generationem facere, aliam opponit rationem veriorem, & ait, malum quà malum ad nullam generationem facere, sed tantùm corrumpere, quantum ex se est, rerum subsistentiam. Si quis autem dixerit, hoc ipso generationi subseruire, quòd alterius corruptio alterius generatio existat; respondendum, non in quantum corrumpit dare generationem; sed corruptio quidem corrumpit, si quid autem gignitur, ex bono gignitur, & erit malũ. Obserua enim quòd adhuc examinet rationem, & idcircò dicat, Est & non est. Atq; adeò malum ex se quidem erit corruptio, subseruit autem generationi per id quod bonum est. Et per se quidem neque res est, neque res producit: cùm enim sit malum, quomodo consistat vmquam, & vnde habeat existentiam, cùm sit priuatio? Per bonum autem & res est, & bona producit. Res, inquam, quoniam hoc recedente illud apparet: bona verò producit, quia dum hoc corrumpit substantiam formatam, subintroducitur alia forma materiæ inexistentis, & per bonum formationem suscipientis; præsertim cùm obuia sit in diuinis Oraculis ex rerum præcipuarum enumeratione traditio. Hoc vniuersum, inquit, boni est, sicut in progressu demonstrabit. Quomodo enim id ipsum erit & bonum, in quantum corrumpendo promouet generationem, & malum, in quantum corrumpit? neque enim eiusdem & vnius rei virtus vnica secundùm idem & corruptio est & generatio: quod vtique contingit, si concedamus, malum esse virtutem quæ secundùm se non corrumpat, per accidens

Malum quà malum ad nihil vtile est.

PARAPHRASIS PACHYMERÆ.

autem generationem exhibeat. Quomodo enim motus contrariorum vna eademque vis erit? nam si etiam medicus dicatur habere vim sanandi, & habere vim morbum conferendi, illud quidem per se, hoc autem per accidens, propter absentiam vel inaduertentiam; & gubernatori non solùm præsenti salutem nauis adscribimus, verùm etiam absenti perditionem. Quod enim præsens huius causam dicimus, inquit Aristoteles, id etiam absens contrarij causam asserimus. Sed præsupponitur in his vis aliqua, in illo quidem curandi, in hoc autem seruandi, cuius absentia contraria præstet; ac per se quidem illa fiunt secundùm habitum, hæc verò secundùm priuationem per accidens: ibi autem priuatio se habet per se, habitus verò per accidens. Quænam itaque hæc vis sit, quæ secundùm priuationem subsistat, quæ in eodem sit & corruptio & generatio? Neque enim corruptionis priuatio generatio est, sed generationis & existentiæ priuatio corruptio est: neque priuationis absentia forma est, sed formæ absentia corruptio est & priuatio. Quapropter cùm etiam malum per se corruptio sit, bonum autem per se valeat ad generationẽ, quomodo per se corruptio sit per se virtus, vt possit aliquid facere? Sed sciendùm, quòd cùm per se malum, per se immensum, per se informe, & se ipso essentialiter malũ sit, non autem per alterum malũ: hoc enim forma est, & quasi accidens malitiæ. Sicut iterùm Deus per se mensura, per se formam tribuens, & per se bonum essentiale est, non autem in altero bonum; hoc enim accidens. Istud itaque per se malum neque est, neque efficax est, nec apparet in aliquâ existentiâ, sed in irreptione, in boni priuatione. Et hoc est, quod magnus ille Theologus Gregorius ait esse in boni fugâ. Quomodo igitur malum irrepat, cùm non sit, fusiùs exponit, & totum bono attribuit. Bonum itaque quibuscumque quidem perfectè inest, eadem impermixta & integra bona reddit; quibus verò minùs inest, permixta sunt malo. Malum tamen non est per se, sed per boni defectum, quandoquidem illa perfecta bonitás, quæ per omnia se diffundit, non solùm vsque ad cælestes ac diuinas virtutes pertingit, sed ad extremas vsque etiam terrenasque protenditur;

Quomodo malum rebus admisceatur.

γένεσιν παρέχουσα. Πῶς γὰρ τῆς τῶν ἐναντίων κινήσεως μία καὶ ἡ αὐτὴ ἔσται δύναμις; Εἰ γὰρ καὶ ὁ ἰατρὸς λέγεται δύναμιν ἔχειν ὑγιάσαι, καὶ δύναμιν ἔχειν νόσον παραχεῖν, τὸ μὲν καθ' αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκὸς τῇ ἀπουσίᾳ καὶ τῷ μὴ ἐπισκέψασθαι, καὶ τὸν κυβερνήτην, μὴ μόνον παρόντα, τῆς σωτηρίας τῆς νεὼς αἰτιώμεθα, ἀλλὰ καὶ ἀπόντα τῆς ἀπωλείας. Ὃ γὰρ παρὸν αἰτιώμεθα τοῦδε, φησὶν ὁ Ἀριστοτέλης, τοῦτο καὶ ἀπὸν αἰτιώμεθα τοῦ ἐναντίου. Ἀλλὰ προϋπόκειται, ὅτι δύναμίς τίς ἐστιν ἐν τούτοις, ἐν ἐκείνῳ μὲν τοῦ ὑγιάσαι, ἐν τούτῳ δὲ τοῦ σῶσαι, ἧς τινος ἡ ἀπουσία τἀναντία παρέχει· καὶ καθ' αὑτὸ μὲν τὰ καθ' ἕξιν γίνονται, τὰ δὲ κατὰ στέρησιν κατὰ συμβεβηκός. ἐκεῖσε δὲ ἡ μὲν στέρησις τὸ καθ' αὑτὸ ἔχει, ἡ δὲ ἕξις τὸ κατὰ συμβεβηκός. Τίς οὖν ἡ δύναμις αὕτη, ἡ κατὰ στέρησιν συνισταμένη, ἢ τίς ἐστιν ἐν τῷ αὐτῷ καὶ φθορὰ καὶ γένεσις; Οὐδὲ γὰρ τῆς φθορᾶς ἡ στέρησις γένεσίς ἐστιν, ἀλλ' ἡ τῆς γενέσεως καὶ τοῦ εἶναι στέρησις, φθορά· οὐδὲ ἡ τῆς στερήσεως ἀπουσία, εἶδος, ἀλλ' ἡ τοῦ εἴδους ἀπουσία, φθορὰ καὶ στέρησις. Διὰ τοῦτο ἐπεὶ καὶ τὸ κακὸν αὐτοφθορά ἐστι, τὸ δὲ ἀγαθὸν αὐτοδύναμις εἰς γένεσιν, πῶς ἂν εἴη ἡ αὐτοφθορὰ αὐτοδύναμις, ὡς δύνασθαι αὐτὴν ποιεῖν τι; Ἀλλ' εἰδέναι χρὴ, ὅτι ἐπεὶ τὸ αὐτοκακὸν, αὐτοάμετρον, καὶ αὐτοανείδεον, καὶ ἑαυτῷ κακὸν οὐσιῶδές ἐστιν, οὐ μὴν ἑτέρῳ κακόν· τοῦτο γὰρ εἶδός ἐστιν οἷον καὶ συμβεβηκὸς κακίας. Ὥσπερ πάλιν ὁ Θεὸς αὐτόμετρον, καὶ αὐτοειδοποιὸν, καὶ αὐτοάγαθον οὐσιῶδες, οὐ μὴν τὸ ἐν ἑτέρῳ ἀγαθὸν, συμβεβηκὸς γὰρ τοῦτο. Τοῦτο τοίνυν τὸ αὐτοκακὸν, οὔτε ὂν, οὔτε ποιητικόν ἐστιν, οὐκ ἐν ὑπάρξει τινὶ φαίνεται, ἀλλ' ἐν παρεισδύσει ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ μέγας Θεολόγος Γρηγόριος, τῇ τοῦ καλοῦ φυγῇ. Πῶς τοίνυν τὸ κακὸν μὴ ὂν παρεισδύεται, ἐκτίθησι πλατυκώτερον, καὶ τὸ πᾶν ἐπινέμει τῷ ἀγαθῷ. Τὸ γοῦν ἀγαθὸν, ἐν οἷς μὲν τελέως ἐγγίνεται, ἀμιγῆ ποιεῖ καὶ ὁλόκληρα ἀγαθά· οἷς δὲ ἧττον, μεμιγμένα πρὸς τὸ κακόν. Οὐ μὴν δέ ἐστι τὸ κακὸν καθ' αὑτὸ, ἀλλὰ διὰ τὴν τοῦ ἀγαθοῦ ἔλλειψιν· ἐπείπερ ἡ διὰ πάντων φοιτῶσα παντελὴς ἀγαθότης, οὐ μέχρι μόνων χωρεῖ τῶν οὐρανίων καὶ θείων δυνάμεων, ἀλλ' ἐκτείνεται ἄχρι καὶ τῶν ἐσχάτων καὶ τῶν γηΐ-

νων·

νων· διὰ τοῦτο γὰρ καὶ ἡ γῆ τοῦ Θεοῦ λέγεται ὑποπόδιον. Καὶ τοῖς μὲν ἄλλως καὶ ἄλλως κατ' ἐπίτασίν τε καὶ ὕφεσιν, τοῖς δὲ ἐσχάτοις κατ' ἔσχατον ἀπήχημα πάρεστι τἀγαθόν. Ὡς γὰρ ἔφημεν, ὑπόθου τινὰ βοῆσαι μέγα, καὶ τὸν μὲν ἐγγὺς ἱστάμενον καὶ ἐρρωμένον τὸ ἀκουστικὸν, ὅλην δέξασθαι τὴν βοὴν, τοὺς δὲ ἀφεστηκότας ἀναλόγως τῇ διαστάσει, τὸν δὲ πάνυ πόρρω, ἀμυδρότατα ὡς ἀπηχήματος ὑστάτου πως αἰσθάνεσθαι· εἰ γὰρ μὴ οὕτως ἡ τοῦ ἀγαθοῦ μετουσία ἦν, ἦσαν ἂν τὰ θειότατα τὴν τῶν ἐσχάτων τάξιν ἔχοντα. Πῶς δὲ ἔδει πάντα ἐπίσης δέχεσθαι τὸ ἀγαθὸν, μὴ ὄντα ἐπίσης πρὸς τοῦτο ἐπιτήδεια; Νῦν δὲ τοῦτό ἐστι τὸ ὑπερβάλλον τῆς τοῦ ἀγαθοῦ δυνάμεως, ὅτι καὶ τὰ ἐστερημένα οὐκ ἄλλων οὐδὲ κατ' ἄλλο τι, ἀλλὰ κατὰ τὴν αὐτοῦ στέρησιν ἐνδυναμοῖ κατὰ τοῦτο, κατὰ τὸ ὅλως αὐτοῦ μετέχειν. Καὶ τοῦτό ἐστι, τὸ τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ παρὰ τῷ Θεῷ. Εἰ χρὴ δὲ εἰπεῖν παρρησιασάμενον, ὅτι καὶ τὰ μαχόμενα αὐτῷ, τῇ αὐτοῦ δυνάμει καὶ ἔστι καὶ μάχονται· ἀνέχεται γὰρ καὶ ἁμαρτωλῶν ὁ Θεὸς, ἀλλὰ καὶ πολλῶν μαχομένων τοῖς θείοις αὐτοῦ θελήμασι· καὶ τοῦτό ἐστι τὸ τοῖς αὐτοῦ παραπεμπόμενον κρίμασι, λεγόντων ἡμῶν, Οἷς κρίμασιν οἶδε Θεὸς, τοῦτο γίνεται, καὶ τοῦτο οὐ γίνεται. Μᾶλλον δὲ, ἵνα συλλαβὼν εἴπω, τὰ ὄντα πάντα καθ' ὅσον ἀγαθά ἐστι, καὶ ἔστι, καὶ ἀγαθὰ ἐκ τοῦ ἀγαθοῦ ἐστι· καθ' ὅσον δὲ ἐστέρηνται τοῦ ἀγαθοῦ, μὴ μόνον οὐκ ἀγαθὰ, ἀλλ' οὐδὲ ὄντα ἐστίν. Ἔνθεν νοήσεις καὶ τὸ παρὰ Ἀβδιοῦ τῷ Προφήτῃ εἰρημένον περὶ τῶν ἁμαρτωλῶν, Καὶ ἔσονται ὡς μὴ ὄντες. Ὅπου γε καὶ παρὰ τοῖς ἔξωθεν τοῦτο λέγεται, ὡς παρὰ τῷ Ὁμήρῳ ἐν οἷς λέγει τις περὶ τῶν ὧν ἐν μετουσίᾳ πάλαι καλῶν ἐγεγόνει, καὶ νῦν τούτων ἐστέρηται, εἴ ποτε ἦν γε. Ἐντεῦθεν συλλογίζεται ὅτι τὸ παντελῶς κακὸν, ὡς ἐστερημένον παντελῶς τοῦ ἀγαθοῦ, οὔτε ἦν, οὔτε ἐστὶν, οὔτε εἶναι δύναται. Καί φησιν, ὅτι ὑπόθου ἕξιν τὸ ἀγαθόν· κἂν γὰρ ὑπερουσίως καὶ αὐτοαγαθόν ἐστι τὸ Θεῖον καὶ οὐσιῶδες ἀγαθὸν, ἀλλὰ καὶ ἐπὶ τοῖς μετέχουσι, τὸ ἀγαθὸν καθ' ἕξιν τινά ἐστι. Τίθησι τοίνυν, τινὰ μὲν μένοντα ἐν τῇ ἕξει, καὶ ἀπολειπούσης τῆς ἕξεως, ὡς τῆς τοῦ πυρὸς θερμότητος, τὰ θερμανθέντα θερμὰ, καὶ τῆς ψυχρότητος τῆς χιό-

PARAPHRASIS PACHYMERÆ.

quoniam idcircò etiam terra dicitur scabellum Dei. (Isa. 66, 1.) Atque aliis quidem aliter atque aliter secundùm intensionem & remissionem, extremis verò secundùm extremum quasi sibilum adest bonum. Sicut enim diximus, suppone aliquem altè vociferari, ac vicinum quidem audituque valentem totam vocem excipere, remotos autem pro ratâ distantiæ portione, remotissimum verò obscurissimè tamquam sibilum quemdam vltimum vocis quodammodò percipere: nisi enim hoc modo bonum participaretur, vtique diuinissima existerent, quæ nouissimorum modo ordinem tenent. Quonam autem pacto oportebat æqualiter omnia bonum participare, cùm quælibet ad æqualem boni participationem non sint accommodata? Nunc autem hæc est potentiæ boni præstans magnitudo, quòd etiam sui expertia non aliis, neque aliter quàm per sui priuationem corroboret ad ipsum omnino participandum. Et hoc est, quòd quæ impossibilia sunt hominibus, possibilia sint Deo. Quòd si confidentiùs dicere liceat, illa etiam quæ ipsi repugnant, ipsiusmet vi & sunt & pugnant: sustinet enim peccatores Deus, imò plurimos diuinis suis voluntatibus repugnantes; & hoc est quod ipsius iudiciis reseruatum est, dum dicimus, quibus iudiciis nouit Deus, hoc fit, & hoc non fit. Quin imò, vt summatim dicam, ea quę sunt omnia, in quantum bona sunt, & sunt, & bona ex bono sunt; in quantum autem bono priuata sunt, non modò non bona sunt, sed ne existunt quidem. Hinc intelliges etiam illud Abdiæ Prophetæ dictum de peccatoribus, *Et erunt quasi non sint.* (Abd. 16.) Quod etiam in profanis locum habet, vt in Homero v.g. cùm quis loquitur de bonis quorum olim particeps extitit, quibus modò priuatus est, si quando fuerint. Vnde colligitur, omnino malũ esse quod omnino priuatum est bono, vt quod nec erat, nec est, nec esse potest. Suppone, inquit, bonum esse habitũ: nam licet Deus sit supersubstantialiter & per se bonum, & essentiale bonum, tamen in participibus etiam bonum est secundùm quemdam habitum. Ponit itaque aliquem quidem manere in habitu, etiam deficiente habitu, sicut deficiente calore ignis [manent] calida quæ calefacta sunt, & frigore niuis

PARAPHRASIS PACHYMERÆ.

uis frigida, quæ frigefacta sunt. Et rursum alia sunt, quæ dum aliquos habitus non participant, tamen seruantur & existunt. Quot enim res sunt vitæ mentisque expertes, attamen sunt, lapides, & stirpes, & similia? Veni etiam ad ipsum Deum; à substantiâ exemptus est, & est supersubstantialis. Et simpliciter in aliis quidem, vel absente etiam habitu vel non insito, esse aliquid & subsistere potest; quod verò omni modo bono priuatum est, tamquam per se malũ, nequaquã existere potest. Ponit igitur exempli gratiâ intemperantẽ, qui quatenus mali particeps est, neque est, neq; omnino quidquam concupiscit (qualis enim amor est, talia & illa quæ amantur) simul tamen secundùm quamdam vnionis & amicitię speciem boni particeps existit, si non existentis, saltem apparentis; hoc enim est obscurum quoddam eorum quæ sunt amicitiæ vestigium. Et qui iracundiâ abutitur, particeps esse boni dicitur, in quantum mouetur ad corrigenda illa quæ videntur mala. Sic & is qui deterrimam vitam expetit, boni particeps existit, in quantum cupit vitam optimam ipsi visam. Et qui malum aggreditur, in quantum videtur bonum agere, bonum participat. Ita vt si omnino bonum sustuleris, omnia sustuleris. Et quòd ex corruptione fiat generatio, vti superiùs dixit, non est mali vis, sed minoris boni victoria. Sicut etiam sanitas ordo est & commensuratio temperiei, morbus verò defectus istiusmodi ordinis, verumtamen non vniuersi, sed alicuius: nam si defectus esset vniuersi ordinis, animal interiret, & morbus non subsisteret. Est itaque morbus absentia sanitatis, pro statu habens minimam constitutionem: nisi enim sanitas aufugeret, morbus non subsisteret, qui consistit in defectu constitutionis: neq; sanitas à morbo superata abesset; nam sic etiam morbus primum ordinem haberet. Verùm morbus est priuatio sanitatis, idcircò etiam dixit παρυφισαμένη (id est quid minus quàm subsistens;) siquidem non habet subsistentiam, sed quasi subsistentiam in hoc quòd absit sanitas; sicut tenebræ lucis subtractione quodammodò subsistunt.

Malum specie boni appetitur.

νος, τὰ ψυχρανθέντα ψυχρά. Καὶ πάλιν ἄλλα, ἅπερ οὐκ ἐν μεθέξει ὄντα τινῶν ἕξεων, ὅμως σώζονται καὶ εἰσί. Πόσα γὰρ ἄμοιρα ζωῆς, πόσα νοῦ, ἀλλ' ὅμως εἰσὶ, λίθοι καὶ φυτὰ, καὶ τὰ παραπλήσια; Ἐλθὲ καὶ ἐπ' αὐτὸν τὸν Θεόν· οὐσίας ἐξῃρημένος ἐστι, καί ἐστιν ὑπερούσιος. Καὶ ἁπλῶς, ἐπὶ μὲν τῶν ἄλλων, ἢ ἀπελθούσης τῆς ἕξεως, ἢ μηδὲ ἐγγινομένης, εἶναί τι καὶ ὑφίστασθαι δύναται· τὸ δὲ κατὰ πάντα τοῦ ἀγαθοῦ ἐστερημένον, ὡς εἶναι αὐτοκακὸν, οὐκ εἶναι πῶς δύναται. Τίθησι γοῦν παράδειγμα τὸν ἀκόλαστον, ὃς ἐν τῷ κακοῦ μετέχειν, οὔτε ἐστὶν, οὔτε ὄντως ἐπιθυμεῖ (οἷος γὰρ ὁ ἔρως, τοιαῦτα καὶ τὰ ἐραστά) κατ' αὐτὸ δὲ ὅμως τὸ τῆς ἑνώσεως καὶ φιλίας σχῆμα μετέχει τοῦ ἀγαθοῦ, εἰ καὶ μὴ ὄντος, ἀλλὰ τοῦ δοκοῦντος· τοῦτο γάρ ἐστι τὸ ἀμυδρὸν τῶν ὄντων φιλίας ἀπήχημα. Καὶ ὁ τῷ θυμῷ ἀποχρώμενος, μετέχειν λέγεται τοῦ ἀγαθοῦ, ἐν τῷ πρὸς διόρθωσιν κινεῖσθαι τῶν δοκούντων κακῶν. Οὕτω καὶ ὁ τῆς κακίστης ζωῆς ἐφιέμενος, μετέχει τοῦ ἀγαθοῦ, ἐν τῷ τῆς δοκούσης αὐτῷ ἀρίστης ζωῆς ἐφίεσθαι. Καὶ ὁ τὸ κακὸν δὲ μετιὼν, ἐν τῷ δοκεῖν καλὸν ποιεῖν, μετέχει τοῦ ἀγαθοῦ. Ὥστε ἂν πάντη τὸ ἀγαθὸν ἀνέλῃς, ἀνεῖλες καὶ πάντα. Ὥστε καὶ τὸ ἐκ φθορᾶς γίνεσθαι γένεσιν ὃ ἀνωτέρω ἔλεγεν, οὐκ ἔστι κακοῦ δύναμις, ἀλλ' ἀγαθοῦ ἥττονος ἐπικράτησις. Ὥσπερ καὶ ἡ ὑγεία τάξις ἐστὶ καὶ συμμετρία τῶν κράσεων, ἡ δὲ νόσος, ἔλλειψις τῆς τοιαύτης τάξεως, πλὴν δὲ οὐ πάσης, ἀλλά τινος· εἰ γὰρ πάσης, φθαρήσεται ἂν τὸ ζῶον, καὶ ἡ νόσος οὐχ ὑποστήσεται. Ἔστι τοίνυν ἡ νόσος ἀπουσία ὑγείας, σύστασιν ἔχουσα τὴν ἐλαχίστην τάξιν· ἂν μὴ γὰρ ἀποφύγῃ ὑγεία, οὐκ ἂν συσταίη ἡ νόσος, παρυφισταμένη ἐν τῷ τὴν ἕξιν ἀποδιΐστασθαι, οὐδὲ νικωμένη ὑπὸ τῆς νόσου ἡ ὑγεία ἄπεισιν· οὕτως γὰρ ἂν εἶχεν ἡ νόσος καὶ τὴν πρωτίστην τάξιν. Ἀλλ' ἡ τῆς ὑγείας στέρησις, νόσος ἐστί· διὰ τοῦτο γὰρ εἶπε καὶ Παρυφισταμένη· οὐδὲ γὰρ ἔχει ὑπόστασιν, ἀλλ' οἷον παρυπόστασιν ἐν τῷ τὴν ὑγείαν ἀπεῖναι, ὥσπερ τὸ σκότος τῇ τοῦ φωτὸς ὑποχωρήσει παρυφίσταται. Τὸ γοῦν πάντη τοῦ ἀγαθοῦ ἄμοιρον, οὐκ ἔστι· τὸ δὲ μετέχον καὶ ἀγαθοῦ, κατὰ τὸ ἀγαθὸν, καὶ καθ' ὅσον μετέχει τοῦ ἀγαθοῦ, ἢ μᾶλλον ἢ ἧττόν ἐστι, καὶ

Quod itaque omnino boni expers est, non existit; quod autem boni particeps est, secundùm bonum, & in quantum boni particeps est, vel maius vel minus quid existit, &

ἐν

ἐν τοῖς οὖσίν ἐστίν. Ὁμοίως πάλιν καὶ ἐπὶ τοῦ αὐτὸ εἶναι κατὰ ἀπόφασιν· τὸ γὰρ μηδαμῇ μηδαμῶς ὄν, ὅπερ ἂν καὶ λέγοιτο καὶ αὐτὸ εἶναι κατὰ ἀπόφασιν, οὐκ ἔσται. Τὸ δὲ πῇ μὲν ὄν, πῇ δὲ μὴ ὄν, καθ' ὅσον τοῦ ὄντως ὄντος ἀποπέπτωκεν, οὐκ ἔστι καὶ ἐν τῷ πως εἶναι, καὶ τὸ μὴ ὂν αὐτοῦ διακρατεῖται καὶ διασώζεται· τοῦτο γὰρ ἔλεγε καὶ πρότερον, ὅτι καὶ τὰ ἐστερημένα δυναμοῖ, κατὰ τὸ ὅλως εἶναι. Τὸ γοῦν πάντη κακόν, οὐκ ἔστι· τὸ δὲ πῇ μὲν ἀγαθόν, πῇ δὲ οὐκ ἀγαθόν, τοῦτό ἐστι τό τινι μαχόμενον ἀγαθῷ, κρατεῖται δὲ καὶ αὐτὸ καὶ συνέχεται παρὰ τοῦ ἀγαθοῦ, τῇ πως μετουσίᾳ αὐτοῦ. Κἂν γὰρ τὴν δειλίαν εἴποις, κἂν τὸ θράσος, ἔχουσι καὶ ταῦτα ἐξ ἀγαθοῦ μοῖραν· ἡ μὲν τὸ προνοητικὸν καὶ φιλόζωον, τὸ δὲ τὸ τολμηρὸν καὶ πρὸς τοὺς κινδύνους ἕτοιμον. Πάντη γὰρ ἀπελθόντος τοῦ ἀγαθοῦ, τὸ ἐναπομεῖναν, οὔτε καθόλου ἀγαθὸν ἔσται, οὔτε μικτόν, οὔτε μὴν αὐτοκακόν. Τὰ γοῦν δύο παρέδραμε. Πῶς γὰρ καθόλου ἔσται ἀγαθόν, ἐξ οὗπερ ἀπῆλθε τὸ παντελὲς ἀγαθόν; πῶς δὲ πάλιν αὐτοκακὸν ἔσται, ἐπειδὴ πάντα τὰ ὄντα τοῦ ἀγαθοῦ μετέχοντά εἰσι; τοῦτο δὲ παντελῶς ἀπέχει τοῦ ἀγαθοῦ. Τὸ δέ, ὅτι οὐ μικτὸν ἐναπολειφθήσεται ἐν τῇ παντελεῖ ἀπουσίᾳ τοῦ ἀγαθοῦ, ἀποδείκνυσι λέγων οὕτως. Εἰ δώσομεν, ὅτι ἐν τῇ παντελεῖ ἀπουσίᾳ τοῦ ἀγαθοῦ, τὸ ἐναπομεῖναν κακὸν ἀτελές ἐστιν ἀγαθόν, μένει λοιπὸν ἐν αὐτῷ τι ἀγαθόν· ἀλλ' οὖν ἐν τῇ παντελεῖ ἀπουσίᾳ τοῦ ἀγαθοῦ, καὶ τὸ τέλειον, καὶ τὸ ἀτελὲς ἀπέσται, καί πως ἔσται τοῦτο ἀτελὲς ἀγαθόν; τότε γὰρ μόνον ὀφθήσεται τὸ κακὸν ἀτελὲς ἀγαθόν, ὅτε οὐ γίνεται παντελὴς ἀπουσία τοῦ ἀγαθοῦ. Ἀλλὰ τὸ τοιοῦτον, τοῖς μὲν τῶν ἀγαθῶν ὡς κακὸν ἐναντιοῦται, τῶν δὲ ὡς ἀγαθὸν ἐξήρτηται· μάχεσθαι γὰρ ἐν πᾶσι τὰ αὐτὰ κατὰ τὰ αὐτά, ἀδύνατον. Οὐκ ἄρα ὂν τὸ αὐτοκακόν.

Ἀλλ' οὐδὲ ἐν τοῖς οὖσίν ἐστι, καθὼς ἀποδείξει δι' ὑποθετικοῦ συλλογισμοῦ κατὰ τὸν διαζευκτικὸν σύνδεσμον. Εἰ γὰρ ἐν πᾶσι τοῖς οὖσι τὸ ἀγαθόν, τὸ κακὸν ἢ ἐν τοῖς οὖσιν οὐκ ἔσται, ἢ ὂν ἐν τῷ ἀγαθῷ ἐστιν· ἀλλὰ μὴν τοῦτο ἀδύνατον, ὅτι ἐστὶν ἐν τῷ ἀγαθῷ. τὸ πρότερον ἄρα, ὅτι οὐκ ἔστι τὸ κακὸν ἐν τοῖς οὖσι.

PARAPHRASIS PACHYMERÆ.

in rebus eſt. Simili modo etiam in eo quod dicitur ipſum eſſe per affirmationem: nam quod nequaquam vſquam eſt, tametſi etiam diceretur ipſum eſſe per affirmationẽ, nequaquam erit. Quod autem partim quidem eſt, partim verò non eſt, id quatenus ab eo quod verè eſt decidit, non eſt etiam vel aliquali modo, & non ens ipſius ſuperatur atque ſeruatur: nam hoc etiam prius dixit, quòd etiam priuationes roboret ſecundùm quod omnino ſunt. Quod itaque prorſus malum eſt, nec eſt quidem: quod autem partim quidem bonum, partim verò non bonum eſt, hoc alicui bono aduerſatur, verumtamen ſuperatur & continetur à bono aliquali eius participatione. Etſi enim puſillanimitatem aut audaciam dixeris, habent etiam hæc portionem aliquam boni, illa quidem prouidentiam & amorem vitæ, hæc verò ſtrenuitatem & ad pericula promptitudinem. Bono enim prorſus decedente, id quod remanet nec omnino bonum erit, neque mixtum, neque etiam per ſe malum. Duo igitur percurre. Quomodo enim omnino erit bonum, à quo deceſſit omnimodum bonum? quomodo verò iterùm per ſe malum erit, cùm omnia quæ ſunt bonum participent? hoc autem omnimodè abeſt à bono. Quòd verò neque mixtum quid reſiduum erit in omnimodâ boni abſentiâ, oſtendit ſic dicens. Si demus in omnimodâ boni abſentiâ, malum quod remànet imperfectum eſſe bonum, manebit in ipſo reſiduum aliquod bonum: atqui in omnimodâ boni abſentiâ, tam quod perfectum quàm quod imperfectum eſt aberit, quomodo ergo erit hoc imperfectum bonum? tunc enim tantùm apparebit malum imperfectum bonum, quando non eſt omnimoda boni abſentia. Sed id quod eſt eiuſmodi, quibuſdam quidem bonis tamquam malum aduerſabitur, ab aliis autem tamquam bonum eximitur: nequeunt enim eadem ſecundùm eadem inter ſe in omnibus pugnare. Non ergo exiſtit per ſe malum.

Quin ne quidem eſt in rebus, vti demonſtrabit per ſyllogiſmum hypotheticum, coniunctione disiunctiuâ. Si enim in rebus omnibus ſit bonum, malum vel in rebus non erit, vel ſi ſit, in bono eſt: ſed hoc impoſſibile eſt vt ſit in bono, ergo ſequitur illud prius, quòd non ſit malum in rebus. §. 21.

Aſſum-

PARAPHRASIS PACHYMERÆ.

Assumptum itaque confirmat ab exemplo, dicens: Neque enim in igne frigus est, nec deprauatio in eo quod etiam malum bonum reddit. Quòd si erit, quomodo erit in hoc? si quidem ex ipso quodammodò subsistat, absurdum id est, *non* enim *potest arbor bona malos fructus facere*, secundùm sancta Euangelia. Neque etiam econtrà bonū ex malo est, quoniam id absonum & impossibile est. Sin autem non ex ipso, ex aliâ profectò causâ subsistet, & ecce duo principia & causæ. Nulla autem dualitas principiat, sed vnitas quoque erit principium dualitatis. Hæc autem omnia dicuntur contra Manichæos, quia dualitas non principiat, vnitas autem omnis dualitatis principium existit. Rursus absurdum, ex vno & eodem duo contraria, bonum & malum, proficisci, & principium non esse simplex, sed duplex; sibique vel contrariari, in quantum contraria producit; vel immutari, vt aliàs quidem producat bonum, aliàs verò immutatum producat malum. Quòd si vel vnum absurdum hinc sequatur, quid vtique erunt ipsa principia? an rursus duo contraria? sed id absurdum est: neque enim sibi mutuò inesse possunt, neque sibi inuicem repugnare, nam sic ne Deus quidem ipse incolumis erit, & ab insultu molestiaque liber. Deinde cuncta erunt inordinata pugnantiaque, cùm alia quidem sub hoc alia verò sub isto existant: sed hoc fieri nequit, quoniam bonum amicitiam conciliat, & Deus pax ipsa celebratur; idcircò etiam omnia bona consona sunt (sicut mala pariunt diuisionem; nam κακὸν, id est vitium, à χάζω, id est vito, siue recedo, nomen habet) & ex vnâ vitâ diuinâ propagata sunt, & ad vnum bonum tendunt. Non igitur in Deo, nec quid diuinum, nec ex Deo malum est: vel enim non bonus, & sic ex ipso malum est; vel bona facit, & sic ex ipso non est. Neque etiam aliquando quidem bonum producet, aliquando verò malum: sic enim mutationem pateretur etiam circa id quod omnium est diuinissimum, scilicet causam. Si verò quid aliud sit Deus, & aliud in ipso boni substantia, vtique per accidens in Deo bonum erit; & sic aliquando quidem Deus erit habens in se notam diuinitatis, scilicet bonum, aliquando verò non erit, bonum abiiciens. Quòd si participet bonum,

Mat. 7, 18.

Nulla dualitas potest esse principium.

Τὴν γοῦν πρόσληψιν κατασκευάζει ἐκ παραδείγματος, λέγων, Ὅτι καὶ γὰρ οὐδὲ ἐν τῷ πυρὶ τὸ ψυχρὸν, οὐδὲ τὸ κακύνεσθαι ἐν τῷ καὶ τὸ κακὸν ἀγαθύνοντι. Εἰ γὰρ ἔσται, πῶς ἔσται ἐν τούτῳ; εἰ μὲν ὡς ἐξ αὐτοῦ ὑποσὰν, ἄτοπον, οὐ δύναται γὰρ ἀγαθὸν δένδρον καρποὺς πονηροὺς ποιεῖν, κατὰ τὰ ἱερὰ Εὐαγγέλια. Οὐδὲ μὴν τὸ ἀνάπαλιν, ὅτι τὸ ἀγαθὸν ἐκ τοῦ κακοῦ, καὶ τοῦτο γὰρ ἄτοπον καὶ ἀδύνατον. Εἰ δὲ οὐκ ἐξ αὐτοῦ, ἐξ ἄλλης δηλονότι αἰτίας ὑφίσταται, καὶ ἰδοὺ δύο ἀρχαὶ καὶ αἰτίαι. Πᾶσα δὲ δυὰς, οὐκ ἔστιν ἀρχὴ, ἡ μονὰς γὰρ ἔσται καὶ τῆς δυάδος ἀρχή. Ταῦτα δὲ πάντα κατὰ Μανιχαίων λέγονται, ἐπεὶ ἡ δυὰς οὐκ ἀρχὴ, μονὰς δὲ πάσης δυάδος ἀρχή. Πάλιν ἄτοπον, ἐξ ἑνὸς, καὶ τοῦ αὐτοῦ δύο ἐναντία, τὸ ἀγαθὸν καὶ τὸ κακὸν, προϊέναι, ὡς ἐντεῦθεν καὶ τὴν ἀρχὴν εἶναι μὴ ἁπλῆν, ἀλλὰ διπλῆν· καὶ ἢ ἐναντία ἑαυτῇ, καθὸ τὰ ἐναντία προΐεται· ἢ ἀλλοιουμένην, ὡς ἄλλοτε μὲν παράγειν τὸ ἀγαθὸν, ἄλλοτε δὲ ἀλλοιωθεῖσαν παράγειν τὸ κακόν. Εἰ οὖν τὸ ἓν ἄτοπον διὰ ταῦτα, τί δὴ εἶεν ἂν αἱ ἀρχαί; καὶ πάλιν δύο ἐναντία, ἀλλ' ἄτοπον· οὔτε γὰρ ἐν ἀλλήλαις εἶναι ταύτας εἰκὸς, οὔτε μὴν μαχομένας ἀλλήλαις, καὶ γὰρ ἔσται καὶ ὁ Θεὸς οὐκ ἀπήμων, καὶ οὐκ ἐκτὸς ἐπηρείας καὶ ἐνοχλήσεως. Ἔπειτα ἔσται πάντα ἄτακτα καὶ μαχόμενα, τὰ μὲν ὑπὸ τοῦτο, τὰ δ' ὑπὸ τοῦτο ὄντα· ἀλλὰ τοῦτο ἀδύνατον, φιλίας γὰρ τὸ ἀγαθὸν μεταδίδωσι, καὶ αὐτοειρήνη ὁ Θεὸς ὑμνεῖται· διὸ καὶ πάντα τὰ ἀγαθὰ ἐναρμόνια (ὡς τὰ κακὰ σκεδαστικά· κακὸν γὰρ ἀπὸ τοῦ χάζω τὸ ὑποχωρῶ λέγεται·) καὶ μιᾶς ζωῆς τῆς θείας ἔκγονά ἐστι, καὶ πρὸς ἓν τείνουσι τὸ ἀγαθόν. Ὥστε οὔτε ἐν Θεῷ, οὔτε ἔνθεον, οὔτε ἐκ Θεοῦ τὸ κακόν· ἢ γὰρ οὐκ ἀγαθὸς, καὶ οὕτως ἐξ ἐκείνου ἐστὶ τὸ κακόν· ἢ ἀγαθοποιεῖ, καὶ οὐκ ἐκ τούτου ἐστίν. Οὐδὲ γάρ ποτε μὲν ἀγαθὸν παράξει, ποτὲ δὲ κακόν· ἀλλοίωσιν γὰρ πείσεται καὶ ταῦτα περὶ αὐτὸ τὸ θειότατον, τὴν αἰτίαν. Εἰ δὲ ἕτερόν ἐστι Θεὸς, καὶ ἕτερον ἐν αὐτῷ ἡ τοῦ ἀγαθοῦ ὕπαρξις, κατὰ συμβεβηκὸς ἂν εἴη τὸ ἀγαθὸν τῷ Θεῷ· ὥστε καί ποτε μὲν ἔσται Θεὸς ἔχων τὸ γνώρισμα τῆς θεότητος τἀγαθὸν, ποτὲ δὲ οὐκ ἔσται, ἀποβαλὼν αὐτό. Καὶ εἰ μεθέξει τοῦ

ἀγαθοῦ,

ἀγαθοῦ, ἐξ ἑτέρου μεθέξει καί ποτε, ποτὲ δὲ οὐ μεθέξει, ἀλλὰ τοῦ κακοῦ μεθέξει· ὥστε καὶ μετέχων τοῦ ἀγαθοῦ, τὸ ἀγαθὸν παρέξει, μὴ μετέχων δὲ τούτου, τὸ κακόν, ὅπερ ἄτοπον. Οὐκ ἄρα ἐκ Θεοῦ ἢ ἐν Θεῷ τὸ κακόν, οὔτε ἁπλῶς, οὔτε κατά τινα χρόνον.

Ἔτι δὲ οὐδ' ἐν Ἀγγέλοις ἐστὶ τὸ κακόν· ὁ γὰρ Ἄγγελος εἰκών ἐστι τοῦ Θεοῦ, ἐκεῖνο ὢν δευτέρως κατὰ μέθεξιν, ὅπερ πρώτως κατ' αἰτίαν τὸ ἀγγελλόμενον· φανέρωσις τοῦ ἀφανοῦς φωτός, καὶ ἔσοπτρον διειδέστατον, εἰσδεχόμενον τὰς τῆς ὡραιότητος ἐμφάσεις· καὶ ἀμιγῶς πρὸς τὸ κακόν, ἤγουν ἀγαθοειδῶς ἀναλάμπον ἐν ἑαυτῷ τὸ ἀγαθὸν τῆς κρυφίας σιγῆς· οὐκ ἄρα οὐδὲ ἐν Ἀγγέλοις ἐστὶ τὸ κακόν. Ἐν ἀδύτοις δὲ σιγὴν, τὴν θείαν φησὶ κρυφιότητα· σιγῶνται γὰρ καὶ τὰ ἄτιμα δι' αἰσχρότητα· σιγῶνται δὲ καὶ τὰ ἔντιμα καὶ τὰ θεῖα διὰ τιμιότητα, καὶ τοῦ μὴ ἔχειν ἐξαγγεῖλαι ταῦτα ἐν ἀδύτοις κείμενα. ὅπου νοῦς οὐ διεισδύνει, κἂν λίαν καθαρὸς ᾖ, καὶ δι' ἁγιότητα διαβατικώτατος. Ἀλλ' εἴποι τις, ὅτι κακοὶ οἱ Ἄγγελοι, ὡς κολαστικοί. Λύει γοῦν τὴν ἀντίθεσιν φιλοσοφώτατα· πρῶτον μὲν ἀπὸ τῶν ἱερέων τῶν ἀπειργόντων τοὺς ἀναξίους τῶν θείων μυστηρίων· ἔπειτα λέγει, ὅτι οὔτε αὐτὸ τὸ κολάζεσθαί τινα, κακόν· παίδευσις γάρ ἐστι, καὶ ἡ παίδευσις ἀγαθὸν, οὔτε οἱ κολάζοντες, κακοί· εἴρηται γάρ, Οὐ γὰρ εἰκῆ τὴν μάχαιραν φορεῖ, διάκονος γάρ ἐστι Θεοῦ εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Λοιπὸν εἰσβάλλει εἰς τὴν λύσιν τῆς προκειμένης ἀπορίας, καί φησιν, ὅτι οὐδὲ οἱ δαίμονες φύσει κακοί. Τοῦτο γοῦν ἐκ πλειόνων κατασκευάζει· πρῶτον μὲν, πῶς ἔμελλον παραχθῆναι ἐξ ἀγαθοῦ ποιητοῦ, καὶ ἄλλο, ὅτι καὶ ἐξ ἀγαθῶν μετέβαλον; αἱ γοῦν κατ' ἀλλοίωσιν μεταβολαὶ, οὐ κατ' οὐσίαν εἰσὶν, ἀλλὰ κατὰ τὸ ποιὸν, ὥσπερ αἱ κατὰ αὔξησιν καὶ μείωσιν, κατὰ τὸ ποσόν· ἡ δὲ κατ' οὐσίαν μεταβολὴ, ἡ γένησίς ἐστιν, ἢ φθορά. Ἐπεὶ οὖν ὄντες μετέβαλον, ἔδει, εἰ κατ' οὐσίαν μετέβαλον, φθαρῆναι, καὶ εἰς τὸ μὴ ὂν ἐλθεῖν· ἀλλ' ἰδοὺ εἰσὶν οὐσίαι ἄϋλοι, εἰ καὶ κατ' ἄλλον τρόπον οὐκ εἶναι λέγονται καθὸ κακοί. Σὺ δὲ σημείωσαι, ὅτι ἄλλο ἐστὶ, τὸ εἰς τὸ μὴ ὂν ἐλθεῖν καὶ φθαρῆναι, καὶ ἄλλο,

ex alio participabit & aliquando, quandoque verò non participabit, ſed mali particeps erit; & ſic bonum quidem participans bonum, non participans autem producet malum, quod eſt abſurdum. Non itaque ex Deo, vel in Deo malum, neque omnino, neque certo tempore.

§. 22. *Neque etiam in Angelis esse malum.*

Quin ne in Angelis quidem eſt malum. ſiquidem Angelus imago Dei eſt, id ipſum exiſtens ſecundùm participationem ſecundo ordine, quod ſecundùm cauſam eſt id quod enuntiatur primò, arcani luminis declaratio & ſpeculum puriſſimum, venuſtatis ſpecies excipiens, & à malo impollutè ſiue boniformiter in ſemetipſo reſplendere faciens arcani illius ſilentij bonitatem; ergo etiam in Angelis non eſt malum. Silentium autem quod in adytis eſt, vocat diuinum illud arcanum: ſiquidem id ſilent res viles propter ſuam deformitatem, res verò pretioſæ ac diuinæ illud ſilent propter eius venerationem, quodque non valeant enuntiare illa quæ in adytis latent, quò mens nulla penetrat, quantumuis pura ſit, & propter ſanctitatem perſpicaciſſima. Atqui dicet aliquis, malos eſſe Angelos quòd puniant. Hanc obiectionem ſapientiſſimè diſſoluit, primùm à Sacerdotibus, qui indignos à diuininis myſteriis arcent: deinde dicit, ne id ipſum quidem malum eſſe, punire aliquem, quoniam correctio eſt, correctio autem bona, neque qui puniunt mali ſunt, dictum eſt enim, *Non enim ſine cauſa gladium portat, Dei enim miniſter eſt, vindex in iram ei qui malè agit.* Rom. 13, 4 Ceterùm ſolutionem propoſitæ quæſtionis proſequitur, & ait, nec ipſos dæmones naturâ malos eſſe. Hoc ex pluribus probat: primùm quidē, quomodo alioquin à bono creatore conditi, & aliud ſint, quoniam ex bonis mutati? mutationes enim quę ſunt ſecundùm alterationem, non ſunt ſecundùm ſubſtantiam, ſed ſecundùm qualitatem, ſicut illæ quæ ſunt ſecundùm augmentum aut decrementum, ſecundùm quantitatem; mutatio autem ſecundùm ſubſtantiam, generatio eſt, vel corruptio. Cùm itaque mutati ſint, oportebat eos, ſi ſecundùm ſubſtantiam mutati eſſent, interire, & in nihilum abire: ſed ecce ſunt ſubſtantiæ immateriales, tametſi ſecundùm alium modum dicantur non eſſe, in quantum mali ſunt. Tu autem conſidera, quòd aliud ſit, in nihilum abire ac interire, & aliud,

PARAPHRASIS PACHYMERÆ.

non esse quidpiam. Sicut enim generatio alia quidem simplex est, vt secundùm substantiam; alia verò secundùm quid est, vt secundùm alterationem: ita etiam corruptio, alia est simpliciter, quæ secundùm substantiam; alia verò secundùm quid, quæ secundùm alterationem. Quòd itaque corruptionem alteratiuam subierint, dicuntur non esse; cùm autem illam secundùm substantiam ignorarint (quoniam immortales sunt) non dicuntur interire & in nihilum abire.

§.23. *Vtrùm, & quid in dæmonibus malum sit.*

Deinde diuidens hic Sanctus, quærit: Si mali sunt, sibíne mali sunt, an aliis? Si sibi, sequitur, illos se ipsos interimere (nam malũ interimendi vim habet: verùm non ita se res habet.) Sin aliis (rursum distinguit) Quid interimunt? substantiámne? an potentiam? an actionem? (talis differentia est inter potentiam & actionem, qualis est inter habitum & operationem ex habitu: v.g. potentia ignis est calefactiua, actio autem est calefactio alicuius.) Si itaque substantiam interimunt, primùm quidem, quandoquidem illa quæ naturâ suâ incorruptibilia sunt, minimè interimunt, sed ea quæ naturâ suâ corruptibilia existunt, quæ etiam sine illis debebant interire, nil faciunt contra naturam, sed secundùm naturam rerum. Deinde verò neque hoc omnino malum est, sed eatenus solùm est malum, quatenus interitus, vt putatur, fit ante tempus: neque omnibus id malum est, quibusdam enim id bonum est, vt in feris & serpentibus, & herbis noxiis. Cùm igitur hoc soluisset per oppositionem, modò soluit etiam per instantiam, quòd nihil eorum quæ sunt intereat in quantum substantia est, ita nimirum vt penitus aboleatur & annihiletur, sed defectu naturalis ordinis debilitatur, vt ita se habeat. Imbecillitas autem hæc non est perfecta corruptio: nam si perfecta foret, illis circa quæ corruptio versatur intereuntibus, etiam ipsamet corruptio deficeret. Itaque defectio ordinis non est tale malum, siue omnino malum, quod in rebus non existit, sed deficiens bonum. Eadem quoque ratio est de potentiâ & actione: si enim interiret omnino subiectum potentiæ & actionis, non solùm non ipsa potentia & actio forent, sed nec ipsa corruptio. Sin subiectum quidem seruaretur, sed potentia actioque deficerent, corruptio hæc non esset omnino mala, vt quæ non penitus interimeret, sed solam po-

μὴ εἶναί τι. Ὡς γὰρ ἡ γένεσις, ἡ μὲν ἁπλῶς ἐστιν, ὡς ἡ κατ' οὐσίαν· ἡ δὲ κατά τι, ὡς ἡ κατ' ἀλλοίωσιν· οὕτως καὶ ἡ φθορά, ἡ μὲν ἁπλῶς, ἡ κατ' οὐσίαν· ἡ δὲ κατά τι, ἡ κατ' ἀλλοίωσιν. Τὴν γοῦν ἀλλοιωτικὴν φθορὰν πεπονθότες, οὐκ εἶναι λέγονται· τὴν δὲ κατ' οὐσίαν μὴ γνόντες (ἀθάνατοι γάρ) οὐ λέγονται φθαρῆναι καὶ εἰς τὸ μὴ ὂν ἐλθεῖν.

Ἔπειτα διαιρῶν ὁ ἅγιος ἐρωτᾷ· Κακοὶ ὄντες, ἑαυτοῖς εἰσι κακοί, ἢ ἑτέροις; Εἰ μὲν ἑαυτοῖς, ἕπεται τὸ φθείρειν ἑαυτοὺς (φθοροποιὸν γὰρ τὸ κακόν· ἀλλ' οὐδ' ἐστὶ τοῦτο.) Εἰ δ' ἑτέροις, (πάλιν διαιρεῖ,) Τί φθείροντες; οὐσίαν; δύναμιν; ἢ ἐνέργειαν; Δυνάμεως δὲ πρὸς τὴν ἐνέργειαν (τοιαύτη ἐστὶ διαφορά, ὡς τῆς ἕξεως πρὸς τὴν καθ' ἕξιν ἐνέργειαν· οἷον πυρὸς δύναμις ἡ θερμαντική, ἐνέργεια δέ, ὅτε θερμαίνει τι.) Εἰ οὖν οὐσίαν φθείρουσι, πρῶτον μέν, ἐπεὶ τὰ φύσει ἄφθαρτα οὐ φθείρουσιν, ἀλλὰ τὰ φύσει φθαρτά, ἃ καὶ χωρὶς τούτων ἔδει φθαρῆναι, οὐ ποιοῦσι τὸ παρὰ φύσιν, ἀλλὰ τὸ κατὰ φύσιν τοῖς πράγμασιν. Ἔπειτα δὲ τοῦτο οὐ πάντη κακόν ἐνι, κατὰ τοῦτο μόνον κακόν, ὅτι πρὸ τῆς νομιζομένης ὥρας γίνεται ἡ φθορά· οὐδὲ παντί, ἔστι γὰρ καί τισι καλόν, ὡς ἐπὶ θηρίων, καὶ ἑρπετῶν, καὶ βοτανῶν ὀλεθρίων. Λύσας οὖν κατὰ ἀντιπαράστασιν, ἤδη λύει καὶ κατ' ἔνστασιν, ὅτι οὐδέ τι τῶν ὄντων φθείρεται καθὸ οὐσία, ἤγουν εἰς τὸ μηδαμῆ μηδαμῶς προχωρεῖν· ἀλλὰ τῇ ἐλλείψει τῆς κατὰ φύσιν τάξεως ἐξασθενεῖ εἰς τὸ ὡσαύτως ἔχειν. Ἡ δὲ ἀσθένεια οὐκ ἔστι παντελὴς φθορά· εἰ γὰρ παντελής, ἀπολομένων ἐκείνων περὶ ἃ ἡ φθορά, καὶ ἡ φθορὰ ἂν ἐπιλελοίπει. Ὥστε ἡ ἔλλειψις τῆς τάξεως οὐ τοιοῦτον κακόν, ἤγουν παντελῶς κακόν, ὅπερ ἐν τοῖς οὖσιν οὐκ ἔστιν, ἀλλ' ἐλλιπὲς ἀγαθόν. Οὗτος ὁ λόγος ἔσται καὶ περὶ τῆς δυνάμεως καὶ περὶ τῆς ἐνεργείας· εἰ γὰρ ἐφθείρετο παντελῶς τὸ ὑποκείμενον ἐν ᾧ ἡ δύναμις καὶ ἡ ἐνέργεια, μὴ μόνον οὐδὲ ἡ δύναμις οὐδὲ ἡ ἐνέργεια ἦν, ἀλλ' οὐδὲ αὐτὴ ἡ φθορά. Εἰ δὲ ἐσώζετο μὲν τὸ ὑποκείμενον, ἀπόλετο δὲ ἡ δύναμις καὶ ἡ ἐνέργεια, οὐκ ἦν παντελῶς κακὸν ἡ φθορά, ὡς μὴ παντελῶς φθείρουσα, ἀλλὰ μόνην τὴν

δύναμιν

δύναμιν καὶ τὴν ἐνέργειαν. Πολλάκις δὲ ἔμελλεν ἡ φθορὰ εἶναι καὶ ἀγαθόν· εἰ γὰρ ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν ἀγαθῶν ἦσαν, ἦν ἂν φθορὰ τῶν κακῶν· εἰ δὲ ἐκεῖνα τῶν κακῶν ἦσαν, ἦν ἂν ἡ φθορὰ ἀγαθὸν, ὡς ἐῶσα μὲν τὸ ὑποκείμενον, φθείρουσα δὲ τὴν κακὴν ἕξιν καὶ τὴν ἐνέργειαν. Εἶτα οἱ δαίμονες, ὡς ἐκ Θεοῦ τοῦ ἀγαθοῦ γεγονότες, οὐ κακοί· ἀλλὰ μὴν ἤτοι τις ὅτι κακοὶ, φημὶ κἀγώ· ἀλλ' οὐ καθό εἰσι τόδε, ἀλλὰ καθὸ οὐκ εἰσὶ τόδε, δηλονότι ὡς ἐπλάσθησαν. Διότι παρήχθησαν καὶ αὐτοὶ εἰς πᾶν ἔργον ἀγαθόν· ἀλλ' ἠσθένησαν εἰς τὸ τηρῆσαι τὴν ἑαυτῶν ἀρχὴν, καὶ τὴν εἰς τὸ εἶναι παραγωγήν· ἐν οὐδενὶ γὰρ ἄλλῳ κακοί εἰσιν, εἰ μὴ ἐν τῇ παύσει τῆς ἕξεως τῶν ἀγαθῶν, καὶ ἐν τῷ μὴ ἐνεργεῖν τὸ ἀγαθόν· ὥστε κατὰ προαίρεσίν εἰσι κακοὶ, ἀλλ' οὐ κατὰ φύσιν· ἦσαν γὰρ ἂν ἀεὶ κακοί. Καὶ πάλιν, εἰ ἀεὶ κακοὶ, οὐ κακοί. καὶ συνάγεται, ὅτι εἰ κατὰ φύσιν κακοὶ, οὐ κακοί· ἄτακτον γάρ· τὸ κακὸν δὲ τὸ ἀεὶ ὡσαύτως ἔχον, οὐ κακὸν, τὸ γὰρ ἀεὶ ταὐτὸν, τοῦ ἀγαθοῦ ἴδιον· τὸ γὰρ ἀγαθὸν, συντηρητικόν ἐστι τοῦ ταὐτοῦ, ὥσπερ τὸ κακὸν, διαλυτικόν. Εἰ δὲ οὐκ ἀεὶ κακοὶ (εὕρηνται γὰρ ἀγαθοὶ παραχθέντες) οὐ φύσει κακοὶ, ἀλλὰ καθό εἰσι καὶ ζῶσι καὶ νοοῦσι, τοῦ ἀγαθοῦ μετέχουσιν, ἧς δὴ ζωῆς καὶ ἐφίενται· κακοὶ δὲ λέγονται, διὰ τὸ ἀσθενεῖν περὶ τὴν κατὰ φύσιν ἐνέργειαν, καὶ ἐκβῆναι τῶν προσηκόντων. Ἄλλως τε, Τί τὸ ἐν δαίμοσι κακόν; εἴποι τις ἄν· Θυμὸς ἄλογος (εὕρηται γὰρ ἐν ἡμῖν καὶ ἔλλογος ὁ κατὰ τοῦ ἐχθροῦ καὶ τῆς ἁμαρτίας) καὶ ἀνόητος ἐπιθυμία (εὕρηται γὰρ καὶ ἐπ' ἄλλοις ἐπιθυμία ἔννους· Ἐπιθυμίᾳ ἐπεθύμησα, καὶ ἀνὴρ ἐπιθυμιῶν τῶν κρειττόνων ὁ Δανιὴλ) καὶ φαντασία προπετὴς, ἐκεῖνα φανταζομένους ὧν ποτε εἰς ἕξιν οὐκ ἐλεύσονται· ἔστι γὰρ καὶ φαντασία οὐ προπετὴς, καθ' ἣν ἐφαπτόμεθα τῶν ὄντων καὶ δυνατῶν. Ἐπεὶ οὖν τὰ τοιαῦτα, εἴτε τις εἴποι τὰ κρείττω καὶ παρὰ τοῖς ἀγαθοῖς ἀνδράσιν, εἴτε τὰ χείρω καὶ παρὰ τοῖς δαίμοσιν, ἐφ' ἑτέρων ζώων συστατικαὶ δυνάμεις εἰσὶ, καὶ οὐχ ἡ ἕξις τούτων· ἀλλ' ἡ ἀναίρεσις φθορὰ, ἀναιρεθέντος γὰρ τοῦ θυμοῦ, τῆς φαντασίας καὶ τῆς ἐπιθυμίας, οὐδὲ ζῶον ἔσται· διὰ ταῦτα οὐ κακὰ

PARAPHRASIS PACHYMERÆ.

tentiam & actionem. Quin etiam sæpenumerò corruptio bonum foret: nam si potentia & actio bonarum rerum erant, corruptio earum inter mala est; sin illa erant malarum rerum, tum corruptio erat bonum, quippe sinens quidem subiectum, interimens verò malum habitum & actum. Præterea dæmones, quatenus ex bono Deo oriundi, nequaquam mali: verumtamen si quis dixerit eos malos, dicam & ego; sed non in quantum hoc sunt, sed quatenus hoc non sunt, nempe sicut erant creati. Quoniam procreati sunt & ipsi ad omne opus bonum, sed infirmati sunt, quòd non custodierint principatum suum ac statum in quo creati erant: in nullo enim alio mali sunt quàm in cessatione habitus bonorum, & quòd non operentur bonum, ita vt secundùm propositum mali sint, & non secundùm naturam; alioquin enim fuissent semper mali. Atqui contrà si semper mali, non mali. vnde concluditur, quòd si secundùm naturam mali sunt, non sint mali. hoc enim absonum: malum autem quod semper eodem modo se habet, non est malum, siquidem eodem modo se habere, proprium est boni; quoniam bonū est conseruatiuū idemtitatis, sicut malum destructiuum. Quòd si non semper mali fuerint, cùm reperiantur boni esse creati, non sunt naturâ mali, sed quatenus sunt & viuunt & intelligunt participes sunt boni, quam vtique vitam etiam appetunt; sed dicuntur mali, quatenus in naturali suâ actione infirmantur, & à rebus sibi conuenientibus deficiunt. Quid verò, dicet aliquis, præterea malum in dæmonibus? Furor irrationalis (inuenitur enim etiam in nobis ira rationalis, vt cōtra hostem & peccatum) & concupiscentia demens (siquidem etiam in aliis prudens concupiscentia reperitur: *Desiderio desideraui*, & *vir desideriorum* bonorum Daniel) & imaginatio præceps, dum illa imaginantur quæ numquam habebunt effectum: est enim etiam imaginatio minimè præceps, quâ ea quæ sunt & fieri possunt attingimus. Cùm itaque hæc ita se habeant, siue quis bona dicat de viris probis, siue mala de dæmonibus, in aliis tamen animalibus sunt virtutes constitutiuæ, & nequaquam horum habitus: sed ablatio est interitus, ablatâ enim iracundiâ, imaginatione & concupiscentiâ, nec ipsum animal erit; quapropter

Iudæ 6.

Luc. 22,15

Dan. 9,23.

PARAPHRASIS PACHYMERÆ.

hæc non ſunt mala, atque adeò etiam in dæmonibus non omnino mala ſunt, quippe illos non interimentia. non itaque mali ſunt ſecundùm naturam, ſed in quantum non ſunt boni. Neque bonum, quod illis conceſſum eſt, penitus peruerſum eſt, quaſi fortè pœniteat Deum quòd ita illos honorarit, abſit; ſed ipſimet à toto bono deſciuerunt, potentias ſuas boni viſiuas odio habentes, iuxta id quod de populo Iſraelitico dictum eſt: *Oculos ſuos clauſerunt, & auribus grauiter audierunt, ne quando conuertantur, & ſanem eos.* (Matth. 13, 15.) Idcircò etiamnum ſatanas lucifer nominatur, & in Euangeliis dicitur: *Videbam ſatanam ſicut fulgur de cælo cadentem.* (Luc. 10, 18) In ordinem enim ſuum Angelicum ac luciformem inordinationem & interitum ex propoſito inuexerunt, ſicut reperitur apud Ezechielem: Corrupta eſt ſcientia tua cum pulchritudine tuâ, id eſt luciformis habitus & Angelicus decor. Quomodo autem, dum id quod non eſt appetunt, malum appetunt, niſi quia Deus veritas eſt & ens? quod autem veritati repugnat mendacium, neque ens eſt, ſiquidem omnino eſt extra Deum, nec imago veritatis. Cùm autem perſuadeat quibuſdam prorſus eſſe aliquid, obſcurum erit ac tenue rerum quoquo modo exiſtentium ſimulacrũ; quocircà etiam effectu ſimulacrum eſt, & effectu falſum, id eſt verè ac realiter falſum, atque adeò etiam effectu non ens. Quemadmodum igitur in falſis entibus, ſi falſitas auferatur, omnem rei ſubſtantiam aufert; ita quoque falſitatis amans, vt dæmones, amat id quod non eſt, & in eo quod eſt, id eſt in veritate, non ſtat. Dæmones igitur, ſicut ait Dominus, cùm mendaces ſint & mendacij patres, appetunt id quod non eſt, malumque deſiderant.

§. 24. *Malum non eſſe in animis.* Tranſit ad dictas prauas animas, ſermonem in iis exercens, an poſſint in iis etiam ſecundùm ſubſtantiam aliqua eſſe mala, & ait: Sed quis dicat animas eſſe malas? Etenim vel ex eo, quòd cum aliis rebus malis verſetur, malum anima habebit, vel quòd à ſemetipsâ deprauetur: ſiquidem ex conuerſatione, vel vt mala ſimili ſe coniungit ei accurrens, vel vt bona, quò fortè illi proſit, iuxta dictum Apoſtoli, (1. Cor. 9, 21) *Factus ſum iis qui ſine lege erant, tamquam ſine lege.*

ταῦτα, ὥς γε οὐδὲ ἐν τοῖς δαίμοσι παντελῶς κακὰ ὡς μὴ φθαρτικά· οὐκ ἄρα κακοὶ κατὰ φύσιν, ἀλλ' ᾗ οὐκ εἰσὶν ἀγαθοί. Καὶ οὐκ ἠλλοιώθη τούτοις τὸ δοθὲν ἀγαθὸν χάρισμα, ὥσπερ τάχα εἰς μεταμέλειαν ἐλθόντος τοῦ Θεοῦ, ὅτι οὕτως αὐτοὺς ἐτίμησε, μὴ γένοιτο, ἀλλ' αὐτοὶ τοῦ ὅλου ἀποπεπτώκασιν ἀγαθοῦ, μύσαντες αὐτῶν τὰς ἀγαθοποιητικὰς δυνάμεις, καθὼς ἔχει καὶ τὸ περὶ τοῦ Ἰσραὴλ εἰρημένον· Τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, μήποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Διὰ τοῦτο καὶ ἔτι λέγεται ὁ σατὰν ἑωσφόρος· καὶ ἐν Εὐαγγελίοις, Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Περὶ γὰρ τὴν τάξιν αὐτῶν τὴν Ἀγγελικὴν καὶ φωτοειδῆ, τὴν ἀταξίαν καὶ τὴν φθορὰν ἔχουσιν ἐκ προαιρέσεως, καθὼς καὶ παρὰ τῷ Ἰεζεκιὴλ εὕρηται. Ἐφθάρη ἡ ἐπιστήμη σου σὺν τῷ κάλλει σου, δηλονότι ἡ φωτοειδὴς ἕξις καὶ ἡ ἀγγελοπρέπεια. Πῶς δὲ τοῦ μὴ ὄντος ἐφιέμενοι, τοῦ κακοῦ ἐφίενται, ἢ δηλονότι ἀλήθειά ἐστιν ὁ Θεὸς καὶ ὄν; τὸ δὲ τῇ ἀληθείᾳ ἀντικείμενον ψεῦδος, οὔτε ὄν ἐστιν, ἔξω γὰρ τοῦ Θεοῦ παντελῶς, οὔτε εἰκὼν ἀληθείας. Ἐπειδὴ δὲ πείθει τινὰς εἶναί τι, ἔσται σκοτεινὸν καὶ ἀμυδρὸν τῶν ὁπωσοῦν ὄντων εἴδωλον· διὸ καὶ ἐνεργείᾳ ἐστὶν εἴδωλον, καὶ ἐνεργείᾳ ψεῦδος, τουτέστιν ἀληθινῶς καὶ ὄντως ψεῦδος, ὅθεν καὶ ἐνεργείᾳ μὴ ὄν. Ὥσπερ οὖν ἐπὶ τῶν ψευδῶς ὄντων τὸ ψεῦδος ἀναιρεθὲν, πᾶσαν τὴν οὐσίαν τοῦ πράγματος ἀναιρεῖ· οὕτω καὶ ὁ τοῦ ψεύδους ἐρῶν, ὡς οἱ δαίμονες, τοῦ μὴ ὄντος ἐρᾷ, καὶ ἐν τῷ ὄντι, τουτέστιν ἐν τῇ ἀληθείᾳ, οὐχ ἕστηκεν. Οἱ οὖν δαίμονες, καθά φησιν ὁ Κύριος, ψεῦσται ὄντες, καὶ πατέρες τοῦ ψεύδους, τοῦ μὴ ὄντος ἐφίενται, καὶ κακοῦ ἐφίενται.

Μεταβαίνει ἐπὶ τὰς λεγομένας κακὰς ψυχὰς, γυμνάζων τὸν λόγον καὶ ἐπὶ τούτων, εἰ δύναται ἐπὶ ταύτης εἶναί τινα οὐσίαν καὶ καθ' αὑτὸ τοῦ κακοῦ, καί φησιν· Ἀλλά τις εἴποι ψυχὰς κακάς; Καὶ μὴν ἢ ἐν τῷ συγγίνεσθαι ἑτέροις κακοῖς τὸ κακὸν ἡ ψυχὴ ἕξει, ἢ ἀφ' ἑαυτῆς κακύνεται· εἰ μὲν ἐν τῷ συγγίνεσθαι ἢ ὡς κακὴ συγγίνεται, τῷ ὁμοίῳ προστρέχουσα, ἢ ὡς ἀγαθὴ, ἵνα τυχὸν ὠφελήσῃ, κατὰ τὸ ἐν τῷ Ἀποστόλῳ λεγόμενον, Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος. καὶ &

ταῦτα

PARAPHRASIS PACHYMERÆ.

ταῦτα οὐκ ἔστι κακὰ, ἐπεί τοί γε καὶ ἀμφότερα προνοητικῶς τε καὶ σωστικῶς γίνονται, προνοουμένης τῆς ψυχῆς οἷον ἢ φυλάξαι τὸ κακὸν, ἢ μεταβαλεῖν εἰς τὸ ἀγαθόν. Ἔχει γοῦν καὶ τὸ πρότερον, ὅτι συγγίνεται ὡς κακὴ τοῖς κακοῖς, ἔννοιαν προνοίας καὶ σωτηρίας, φαινομένης δὲ, καὶ μὴ ἀληθινῆς πάντως, ὅτι προνοουμένη ἡ κακὴ ψυχὴ, ἵνα σώζηται τὸ κακὸν οἷς συγγίνεται. Διὰ τοῦτο συγγίνεται ὁ ἐν τοῖς ἁγίοις ἀρχῆθεν λαβὼν, ὅτι ὡς ἀγαθὴ συγγίνεται, ἵν' ὠφελήσῃ δηλαδὴ καὶ διὰ τοῦτο βλάπτηται. Παριδὼν τὸ ἕτερον, τὸ ὡς κακὴ πολλάκις συγγίνεται τοῖς κακοῖς, ἐπεξεργαζόμενος, ὅτι καλόν ἐστι τοῦτο καθὸ προνοεῖται καὶ σώζειν θέλει τὰ ἀπολλύμενα, εἰ καὶ οὐ δύναται, ἀλλὰ μᾶλλον παραπολαύει τοῦ κακοῦ. Πρὸς τὸ δεύτερον τοῦτο μόνον ἀπαντᾷ, ὅτι Εἰ ὡς ἀγαθὴ συγγίνεται, ἵν' ὠφελήσῃ, καὶ διὰ τοῦτο βλάπτεται, οὐ κακὸν τοῦτο, ἀλλ' ἀγαθὸν, καὶ ἐκ τἀγαθοῦ τοῦ καὶ τὸ κακὸν ἀγαθύνοντος. Εἰ δὲ μὴ οὕτως, ἀλλὰ τὸ ἕτερον δώσομεν, ὅτι ἀφ' ἑαυτῆς κακύνεται ἡ ψυχὴ, ἐν τίνι ἄλλῳ κακύνεται πάντως, εἰ μὴ ἐν τῇ ἐλλείψει τῶν ἀγαθῶν; Οὐ μὴν δὲ ἔν τινι ὑποστάσει τῷ κακῷ κακύνεται, καθὼς καὶ τὸ περὶ τὸν ἀέρα ἔχει παράδειγμα· οὔτε γὰρ οὐσία τίς ἐστι τὸ κακὸν, οὔτε δύναμις, οὔτε ἐνέργεια, ἀλλ' ἔλλειψις καὶ ἐρημία τῆς τελειώσεως· καὶ ἐφ' ἡμῖν τὰ πάθη ἅτε λογικοῖς οὖσι καὶ νῷ κυβερνωμένοις, κατ' ἔλλειψιν τῶν ἀγαθῶν ἐπεισέρχονται· καὶ διὰ τοῦτο, οὐ κακὰ καθ' αὑτὰ, ὅτι εἰσί τι, κακὰ δὲ, ὅτι οὐκ εἰσὶν ἐν τῷ ἀγαθῷ, ἀλλ' ἐκείνου ἐλλείπονται.

Ἐπὶ δὲ τοῖς ἀλόγοις ζώοις τὰ πάθη τοσοῦτον οὐκ εἰσὶ κακὰ ἁπλῶς καὶ ὁλοτελῶς, ὥστε καὶ ἐὰν ἀνέλῃς ταῦτα ἀπὸ τῶν ἐχόντων αὐτὰ ζώων, οὐδὲ ζῶα τοιαῦτά εἰσιν οἷα λέγονται· ὥστε ἐπεὶ μᾶλλον φυλάσσουσι καὶ οὐ φθείρουσι τὴν φύσιν, οὐ κακά· τῆς φύσεως γὰρ φθορὰ, ἔλλειψις τῶν φυσικῶν ἕξεων καὶ ἐνεργειῶν καὶ δυνάμεών ἐστι. Καὶ ἐπεί ἐστιν ἡ γένεσις, κίνησις· πᾶσα δὲ κίνησις ἐν χρόνῳ ἐστὶ, καὶ ἐξ οὐ τελείου εἰς τὸ τελειωθῆναι, οὐδὲ τὸ ἀτελὲς ἄρα παρὰ φύσιν, ἀλλ' ἐντὸς τῆς φύσεώς ἐστι τῆς πεφυκυίας δέξασθαι τὴν τελειότητα· ὅθεν καὶ τὸ ἀτελὲς οὐκ ἔστι παντελῶς μὴ ὂν, ἐπεὶ οὐ πάντη παρὰ φύσιν ἐστί.

hæc non ſunt mala, quoniam vtraque & prouidè & ſalutariter fiunt, dum nimirum anima ſtudet vel malum euitare, vel in bonum commutare. Illud primum itaque, quòd tamquam mala cum malis coëat, prouidentiæ quoque ac ſalutis rationem habet, ſcilicet apparentis & non omnino veræ; quoniam praua anima curat, vt ſeruetur malum in iis quibuſcum congreditur: hoc modo aggreditur qui ſanctos ab initio cepit; quia ſub boni ſpecie congreditur, vt nimirum proſit, & ſic noceat. Præterit hîc alterum, quòd tamquam mala ſæpenumerò cùm malis congrediatur, inferens hoc eſſe bonum, in quantum iis quæ perdita ſunt conſulere ac ſalutem adferre cupit, tametſi non poſſit, ſed potiùs ipſamet mali particeps reddatur. Ad ſecundùm hoc tantùm opponit: Quòd ſi tamquam bona congreditur vt proſit, & per hoc noceat, non iam hoc malum, ſed bonum, & ex bono quod etiam malum bonum facit. Quòd ſi non hoc, ſed alterum concedamus, quòd nimirum anima deprauetur à ſemetipſâ, quanam aliâ re deprauetur, quàm defectione bonorum? Nequaquam ſanè in ſuppoſito aliquo malo deprauatur, ſicut exemplum illud de aëre habet: neque enim malum eſt aliqua ſubſtantia, neque potentia, neque actio, ſed defectus & carentia perfectionis: ita nos qui mente ac ratione regimur, inuadunt paſſiones per defectum bonorum; & idcircò non ſunt ipſæ per ſe malæ, in quantum ſunt aliquid; ſed malæ ſunt, quòd non ſint in bono, ſed ab illo deficiant.

§.25. Malum non eſſe in brutis.

In animalibus autem brutis paſſiones iſtæ non tantùm non ſunt malæ ſimpliciter & abſolutè, quin etiam, ſi illas abſtuleris ab animalibus quibus inſunt, ne iſtiuſmodi quidem animalia futura ſint qualia dicuntur; ita vt, cùm naturam magis conſeruent quàm interimant, nequaquam mala ſint: ſiquidem naturæ interitus, defectio eſt habituum naturalium & actionum atque virtutum. Et cùm generatio quidam motus exſiſtat, omnis autem motus ſit in tempore, & imperfecti ad perfectionem, vtique nec imperfectio contra naturam eſt, ſed in naturâ quæ exigit ſuſcipere perfectionem; vnde quoq; ipſamet imperfectio non eſt omnino nihil, cùm non ſit omnino contra naturam.

PARAPHRASIS PACHYMERÆ.

Hoc autem dicit, vt suprà dictis sensum adaptet: dixerat enim ibi, quòd si anima deprauetur, perturbatione deprauetur; perturbatio autem non est malum aliquod subsistens, sed defectus & vacuitas bonorum perfectionis: hæc autem imperfectio est: quod itaque imperfectum est, non est contra naturam, quandoquidem etiam ex hoc nondum existente perfectum quid gignatur. Si igitur id quod imperfectum est non sit contra naturam, hoc ipso res est, quo secundùm naturam est. Totius itaque orationis sensus concludit, animam, si deprauetur, bonorum defectu deprauari, atque malum non esse quid subsistens; per oppositionem dicens, quòd si omnibus, passiones essent malæ. Deinde dat instantiam, quòd non omnibus sint malæ: nam in brutis quorumdam natura hisce constat, & idcircò potiùs non malæ sunt. Ceterùm hinc manet dubium, quomodo in ratione vtentibus priuatio boni, vel saltem imperfectio, malum sit, quando nimirum bonum non promouetur, sed anima manet imperfecta; in brutis autem, cùm incapacia sint rationis, quomodo dicemus per boni absentiam passiones existere? Cogemur itaque hîc dicere, quòd sint etiam quædam mala per se, quæ non oriantur ex absentiâ boni. Vel respondemus, etiam in brutis istiusmodi passiones, vt sunt iræ & concupiscentiæ, nullo modo esse malas, sed potiùs eorum naturas constituere. Si negetur itaque in brutis passiones esse malas, dubium quoque tollitur: si enim non sint malæ, superfluum erit quærere, num per se malæ sint, & non secundùm boni absentiam; est enim entis simpliciter. Quærimus etiam, an sic an aliter se habeat: de eo autem quod simpliciter non est, istiusmodi quæstio superflua est & insipiens.

§. 26. *Neque in totâ naturâ malum esse.*

Vbi malum ab Angelis, quin & omnino malum etiam à mentibus & animis atque insuper à dæmonibus remouit, nunc illud à rebus quoque aliis excludit, & primùm à naturâ rerum vniuersali. Omnes ergo, inquit, naturarum rationes ac causæ, secundùm quas factæ sunt & existunt, à diuinâ naturâ existunt: quam vniuersalem vocat, quia ex ipsâ vniuersa procedunt. Vniuersam autem naturam, vocat omnia quæ à

Τοῦτο δὲ λέγει, πρὸς τὸ ἄνω συναρμόζων τὴν ἔννοιαν· ἔλεγε γὰρ ἐκεῖσε, ὅτι εἰ κακύνεται ἡ ψυχὴ, ἐν τῷ πάθει κακύνεται· τὸ δὲ πάθος οὐκ ἐνυπόστατον κακόν ἐστιν, ἀλλ' ἔλλειψίς ἐστι καὶ ἐρημία τῆς τῶν ἀγαθῶν τελειότητος· αὕτη δὲ, ἀτέλειά ἐστι· τὸ γοῦν ἀτελὲς οὐ παρὰ φύσιν ἐστὶν, ἐπεὶ ἐκ τούτου οὐκ ἐνυπάρχοντος τὸ τέλειον γίνεται. Εἰ γοῦν οὐ παρὰ φύσιν τὸ ἀτελὲς, ὄν ἐστι κατὰ τοῦτο, διότι κατὰ φύσιν ἐστίν. Ἡ γοῦν πᾶσα τῆς περικοπῆς ἔννοια τοιαύτη ἐστὶν, ὅτι εἰ κακύνεται ἡ ψυχὴ, ἐν τῇ ἐλλείψει τῶν ἀγαθῶν κακύνεται, καὶ οὐκ ἔστι κακὸν ἐνυπόστατον· κατ' ἀντιπαράστασιν λέγων, ὅτε εἰ ἦσαν ἐπὶ πᾶσι, καὶ τὰ πάθη κακά. Ἔπειτα κατὰ ἔνστασιν, ὅτι οὐ κακὰ ἐπὶ πᾶσιν· ἐπὶ γὰρ τοῖς ἀλόγοις τινὰ τούτων καὶ συστατικὰ τῆς φύσεώς ἐστι, καὶ μᾶλλον διὰ τοῦτο οὐ κακά εἰσι. Λοιπὸν ἐκ τούτων ἐστὶν ἀπορῆσαι, ὅτι ἐπὶ μὲν τῶν λογικῶν, ἰδοὺ ἡ στέρησις τοῦ ἀγαθοῦ, τὸ κακόν ἐστιν, ἢ μὴν ἡ ἀτέλεια· ὅτε δηλαδὴ τὸ ἀγαθὸν οὐ προηγήσεται, ἀλλὰ μένει ἡ ψυχὴ ἔτι ἀτελής· ἐπὶ δὲ τῶν ἀλόγων ζώων, ἐπεὶ οὐκ εἰσὶ δεκτικὰ λόγου, πῶς εἴποιμεν, ὅτι κατὰ ἀπουσίαν τοῦ ἀγαθοῦ τὰ πάθη γίνονται; Ἀναγκασθησόμεθα τοίνυν ἐντεῦθεν εἰπεῖν, ὅτι εἰσὶ καὶ κακὰ καθ' ἑαυτὰ, καὶ οὐχὶ τῇ τοῦ ἀγαθοῦ ἀπουσίᾳ παρυφιστάμενα. Ἢ λέγομεν, ὅτι καὶ πάντως οὐκ ἐπὶ τοῖς ἀλόγοις τὰ πάθη, τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν, κακὰ ὁπωσοῦν τίθησιν, ἀλλ' οὐ κακὰ, καὶ μᾶλλον συστατικὰ τῶν φύσεων· Ἀναιρεθέντος οὖν τοῦ ἐκλαμβάνεσθαι τὰ πάθη κακὰ ἐπὶ τῶν ἀλόγων, ἀναιρεῖται καὶ ἡ ἀπορία· εἰ γὰρ οὐκ εἰσὶ κακὰ, περιττὸν ζητεῖν εἰ καθ' αὑτὰ κακά εἰσι, καὶ οὐ κατὰ τὴν τοῦ ἀγαθοῦ ἀπουσίαν· ἔστι γὰρ τοῦ ἁπλῶς ὄντος. Ζητοῦμεν καὶ τὸ, εἰ οὕτως ἢ οὕτως ἐστίν· ἁπλῶς δὲ μὴ ὄντος τοιούτου, περιττὴ καὶ ἀνόητος ἡ ζήτησις.

Ἐκβαλὼν τὸ κακὸν ἀπὸ τῶν Ἀγγέλων, ἔτι δὲ τὸ παντελῶς κακὸν καὶ ἀπὸ τῶν νόων, καὶ ἀπὸ τῶν ψυχῶν, καὶ ἔτι ἀπὸ τῶν δαιμόνων, νῦν ἐκβάλλει αὐτὸ καὶ ἀπὸ τῶν ἄλλων, καὶ πρῶτον ἀπὸ τῆς καθολικῆς τῶν ὄντων φύσεως. Πάντες γοῦν, φησὶν, οἱ τῶν φύσεων λόγοι καὶ αἰτίαι, καθ' οὓς γεγόνασι καί εἰσι, παρὰ τῆς θείας φύσεως ὑπάρχουσιν· ἣν τινα καθόλου καλεῖ, ἐπειδὴ ἐξ αὐτῆς ἔφυ τὰ ὅλα. Ὅλην δὲ φύσιν, πάντα τὰ ὑπὸ

Θεοῦ

PARAPHRASIS PACHYMERÆ.

Θεοῦ πλασθέντα ἐκάλεσεν. Οὐδὲν οὖν ἐστι, φησίν, ἐν τῇ φύσει ὅπερ ὅλον ὅλοις ἀντίκειται· τὸ γάρ τινι τῶν ὄντων παρὰ τὴν αὐτοῦ φύσιν, ἑτέρῳ ἐστὶ φύσις· τοῦτο δὲ ἀγαθόν, ἡ γὰρ φύσις ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας· τὸ δὲ κινοῦν ἐστιν ὁ ἀκίνητος λόγος, ἡ θεία τέχνη. Ὡς γοῦν ἐν τοῖς τεχνικοῖς ἀποτελέσμασι τοὺς τῆς τέχνης λόγους ἐν αὐτοῖς μένειν λέγομεν, καὶ πολλάκις βλέποντες ταῦτα, Ὢ οἵα τέχνη; φαμέν, ἐκθειάζοντες τὸ ὁρώμενον· οὕτω καὶ ἐν τοῖς φυσικοῖς πᾶσιν οἱ λόγοι τῆς δημιουργίας μένουσι. Πῶς γοῦν ἔσται ἐν τῇ καθόλου φύσει τὶ ἐναντίον; Καὶ οἱ ἐν τοῖς δημιουργήμασι λόγοι, τίνι ἐναντιωθήσονται; Τῷ ποιητῇ; ἀλλ' οὐκ εὐαγές. Ἀλλ' ἑαυτοῖς; καὶ οὐδέν τι ὑποστήσεται πώποτε. Ἀλλ' ἄλλῳ τινί; καὶ ἔστιν ἕτερον παρὰ τὸ καθόλου πρὸς ὃ ἡ μάχη γενήσεται. Οὐκοῦν οὐκ ἔστι τὸ κακὸν οὐδὲ ἐν τῷ καθόλου. Τοῖς δὲ κατ' εἶδος τῆς δημιουργίας εἴ τι ἂν καὶ πρόσεισιν ἐναντίον, τοῦτο παρὰ φύσιν λέγεται, καὶ οὐ κατὰ φύσιν· ὡς τὸ φέρεσθαι ἄνω τὸ ὕδωρ, καὶ κάτω τὸ πῦρ. Τοῦτο δὲ στερήσει φύσεως γίνεται· ὥστε οὐκ ἔστιν ἡ φύσις κακόν, ἀλλὰ μᾶλλον ἐπήρειά τις φύσεως τὸ κακόν, ὃ δὴ καὶ παρὰ φύσιν λέγεται.

Εἰπὼν δὲ ὅτι οὐκ ἔστι τὸ κακὸν ἐν τῇ φύσει, φησὶν ὅτι οὐδὲ ἐν τοῖς φυσικοῖς σώμασιν: Ὥσπερ γὰρ κάλλος, συμμετρία ἐστὶ μελῶν μετ' εὐχροίας, οὕτως αἶσχος ἀσυμμετρία τῶν αὐτῶν ἐστι. Τὸ δὲ αἶσχος οὐ πάντη κακόν· εἰ γὰρ ἐστι παντελὴς λύσις τοῦ εἴδους καὶ τῆς τάξεως, καὶ αὐτὸ τὸ σῶμα οἰχήσεται. Ὅτι δὲ οὐδὲ κακίας αἴτιον τὸ σῶμα ψυχῇ, καθὼς τινες κακῶς οἰόμενοι αἰτιῶνται τὸν δημιουργόν, δῆλον ἐκ τῶν δαιμόνων, οἵτινες ἀσώματοι ὄντες, τὴν κακίαν προσεκτήσαντο· ἐπὶ πᾶσι γὰρ τοῦτό ἐστι κακία, ἡ ἀπόπτωσις τῶν οἰκείων ἀγαθῶν.

Οὐδὲ ὕλη τὸ κακόν, ὥς φασί τινες. Πρῶτον μέν, ὅτι οὐκ εὑρεθήσεται πώποτε γυμνὴ τοῦ εἴδους ἀνείδεος· μετὰ εἴδους δέ, ὡς γοῦν μετέχουσα εἴδους, κόσμου μετέχει καὶ καλλονῆς. Εἰ δὲ καθ' ἑαυτὴν νοήσομεν ταύτην ἀνείδεον, μηδὲν παθοῦσαν ἢ πάσχουσαν, πῶς δυνατή ἐστιν ἡ ὕλη ποιεῖν κακόν τι, ἡ μηδὲ τὸ πάσχειν ἔχουσα; Εἰ δὲ καὶ τὸ Θεῖον, μηδὲν πάσχειν ἔχον, πάντα ποιεῖ,

Deo creata sunt. Nihil igitur, inquit, est in rerum naturâ quod vniuersim vniuersis contrarietur: quod enim alicui rei contra naturam est, alteri est natura, hoc autem bonum, siquidem naturâ principium est motus & quietis; ille motus autem est ratio immobilis & ars diuina. Sicut igitur in effectis artificialibus rationes artis remanere dicimus, & sæpenumerò cùm hos cernimus, O miram artem! exclamamus, id quod videmus admirantes; sic etiam in rebus omnibus naturalibus creationis rationes permanent. Quomodo igitur quidquam vniuersæ naturæ possit esse contrarium? Et rationes creaturarum cui contrariari possint? Creatoríne? sed hoc impium. An sibi ipsis? & sic nihil vmquam subsistet. An alteri cuipiam? & erit diuersum ab vniuerso cum quo pugnabit. Itaque non est malum etiam in vniuerso. Si quid autem alicui secundùm speciem creationis suæ accidat contrarium, id dicitur contra naturam, & non secundùm naturam accidere; sicut v.g. aquam ferri sursum, ignem deorsum. Hoc autem fit naturę priuatione, vnde non est natura malum, sed potiùs offensio naturæ quid malum est, quod etiam contra naturam dicitur.

Vbi autem dixit, non esse malum in naturâ, negat etiam, in corporibus naturalibus esse malum. Sicut enim pulchritudo est membrorum cum bono colore symmetria seu proportio, sic deformitas est eorumdẽ disproportio. Deformitas autem non omnino malum est: nam si omnimoda formæ ordinisque resolutio existat, ipsum quoque corpus interibit. Quòd autem corpus animæ non sit causa malitiæ, sicut nonnulli deprauatæ opinionis creatorem criminantur, manifestum est ex dæmonibus, qui cùm incorporei sint, malitiâ abundant: malitia enim omnibus lapsus quidam est à propriis bonis. §.27. *Neque etiam in corporibus malum esse.*

Neque materia malum est, vt quidam fabulantur. Primùm quidem, quia numquam reperietur informis, seu omni formâ spoliata; cum formâ autem, vt particeps formæ, pulchritudinem participat ac venustatem. Sin verò ipsam per se informem consideremus, nihil patientem aut sustinentem, quomodo materia mali quidquam agat, cùm ne id pati quidem possit? Quòd si etiam Deus, cùm nihil pati possit, omnia faciat, §. 28. *Neque etiam materia malum est.*

PARAPHRASIS PACHYMERÆ.

ciat, per id excedit effectus naturales, etsi causa sit, sed efficiens. Causa autem materialis, quæ effectibus connaturalis est, nihil vnquam agit in effectis, nisi priùs passa sit informationem. Hæc autem omnia Sanctus hic dicit, quia quidam Philosophi dicebant, ex irrationalibi animæ parte materiæ corporique commixtâ, cùm ad eam anima adreperet, mala proficisci. Rursum de materiâ decertat, & argumentum format ex diuisione. Vel itaque neutiquam nusquámve est, & neutrum habebit; aut vspiam erit: at verò quæ sunt, ex Deo sunt, & id ipsū, quippe ex Deo, bonum est. Aliàs autem cùm duo sint, Deus & materia, si alterum supponatur bonum, alterum verò malum, continget vt vel bonum malum faciat, vel certè malum, quatenus ex bono est, bonum; vel è diuerso, vt malum bonum efficiat, vel bonum, quatenus ex malo est, malum. Si non fiat alterum ex altero, sequitur etiam duo esse principia, quod dictu nefas. Hæc verò necessariò iterùm ad vnū quid erunt reducenda, quia principiū est vnitas, nō dualitas. Et hoc qualecumq; tandem sit, eadem iterùm dicenda erunt: Vel enim bonum erit, & bona omnia quę ex ipso; vel partim quidē malum, partim verò bonum; & iam compositum erit & non simplex, atque adeò neq; principium, sed illa principiū sunt ex quibus componitur, & hoc in infinitum. Quoniam verò quidam Gentilium dixerunt; propterea cælum & astra non corrumpi, quia ex puriori materiâ producta sunt, ea verò quæ apud nos sunt ex subiectâ crassiorique materiâ, ait hic Sanctus, idcircò etiam hæc corrumpi, quòd non possint stabiliri, & firmiter hærere. Quòd si materiam ad vniuersi consummationem necessariam fuisse dicant, quomodo materia malum quid? Nota autem, Aristotelem ex hypothesi dixisse materiam esse necessariam, id est formâ existente necessariò etiam existere materiam: licet etiam tum forma necessaria sit. Sed quâ de causâ, quídve hoc sibi vult? materia videlicet ex suppositione necessaria est; sicut supposito quòd sit serra, necesse est esse ferrum, aliter enim constare nequit: non autem necessariò ferrum existit, siue serra futura sit, siue non. Cùm autem creator ex malo materiam producat, & non ex bono; vel cùm, iuxta illos,

ἀλλ' ἐκεῖνο ἐξῃρημένον ἐστὶ τῶν φυσικῶν ἀποτελεσμάτων· καὶ εἰ αἴτιον, ἀλλὰ ποιητικόν. Τὸ δὲ ὑλικὸν αἴτιον ἐν τοῖς ἀποτελέσμασι πεφυκὸς εἶναι, οὐ δρᾶσαι ποτὲ τὸ τυχὸν ἐν τοῖς ἀποτελέσμασιν, εἰ μὴ πάθοι πρότερον τὴν εἰδοποίησιν. Ταῦτα δὲ πάντα λέγει ὁ ἅγιος, ἐπειδή τινες τῶν Φιλοσόφων ἔλεγον, ἐκ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους ὕλῃ καὶ σώματι μεμιγμένου ῥεπούσης εἰς τοῦτο τῆς ψυχῆς, τὰ κακὰ γίνεσθαι. Πάλιν περὶ τῆς ὕλης μάχεται καὶ ποιεῖται τὸν λόγον ἐκ διαιρέσεως. Ἢ γοῦν οὐδαμῆ οὐδαμῶς ἐστι, καὶ οὐδέτερον ἕξει, ἢ πῆ ὄν· τὰ δὲ ὄντα ἐκ τοῦ Θεοῦ, καὶ αὐτὸ ὡς ἐκ Θεοῦ, ἀγαθόν. Ἄλλως δὲ δύο ὄντων, τοῦ τε Θεοῦ καὶ τῆς ὕλης, ἐὰν θάτερον ὑποτεθῇ ἀγαθὸν, θάτερον δὲ κακὸν, συμβήσεται εἶναι ἢ τὸ ἀγαθὸν τοῦ κακοῦ ποιητικὸν, ἢ αὐτὸ τὸ κακὸν, ὡς ἐκ τοῦ ἀγαθοῦ ὂν, ἀγαθόν· ἢ ἀνάπαλιν τὸ κακὸν τοῦ ἀγαθοῦ ποιητικὸν, ἢ τὸ ἀγαθὸν ὡς ἐκ τοῦ κακοῦ, κακόν. Ἢ οὐ γέγονε θάτερον ἐξ ἑτέρου· καὶ ἕπεται δύο εἶναι ἀρχὰς, ὅπερ οὐκ ἐνδέχεται λέγειν. Αὗται δὲ πάλιν ἀναγκαίως ἐπὶ μίαν ἀναχθήσονται, ἐπειδὴ ἀρχὴ ἡ μονὰς, οὐχ ἡ δυάς· κἀκείνη, ὁποία ποτ' ἂν εἴη, τὰ αὐτὰ πάλιν λεχθήσονται. Ἢ γὰρ ἀγαθὴ, καὶ ἀγαθὰ πάντως τὰ ἐξ αὐτῆς· ἢ πῆ μὲν κακὴ, πῆ δὲ ἀγαθή· καὶ ἤδη σύνθετος, καὶ οὐχ ἁπλῆ, οὐδ' ἀρχή· ἀλλ' ἐκεῖνα ἀρχὴ ἐξ ὧν συνετέθη, καὶ τοῦτο ἐπ' ἄπειρον. Ἐπειδὴ δὲ ἔνιοι τῶν Ἑλλήνων ἔλεγον, διὰ τοῦτο τὸν οὐρανὸν καὶ τὰ ἄστρα μὴ φθείρεσθαι, διὰ τὸ ἐκ τῆς καθαρωτάτης τῆς ὕλης γενέσθαι· τὰ δὲ καθ' ἡμᾶς ἐκ τῆς ὑποστάθμης καὶ παχυτέρας, καὶ διὰ τοῦτο φθείρεσθαι ταῦτα, μὴ δυνάμενα ἱδρύσθαι καὶ βεβαίως ἔχειν, φησὶν ὁ ἅγιος. Εἰ δὲ ἀναγκαῖόν φασι τὴν ὕλην πρὸς συμπλήρωσιν κόσμου, πῶς ἡ ὕλη κακόν; Σημείωσαι δὲ, ὅτι τὴν ὕλην ἐξ ὑποθέσεως ἀναγκαῖόν φησιν ὁ Ἀριστοτέλης, ὡς εἴδους ὄντος, ἀναγκαῖον εἶναι καὶ ὕλην· ἔνι γὰρ καὶ τὸ εἶδος ἀναγκαῖον. Ἀλλὰ οὗ ἕνεκα; καὶ τὸ τί ἦν εἶναι; ἡ δὲ ὕλη ὑποθετικὸν ἀναγκαῖον, ὡς πρίονος ὑποτεθέντος εἶναι, ἀνάγκη εἶναι σίδηρον, ἄλλως γὰρ οὐ δύναται συστῆναι· οὐ μὴν ἐξ ἀνάγκης ἐστὶ σίδηρος, κἂν μέλλῃ γενέσθαι πρίων, κἂν μή. Ἐπεὶ δὲ ὁ δημιουργὸς παράγει ἐκ κακοῦ τῆς ὕλης, καὶ οὐκ ἐξ ἀγαθοῦ· ἢ ἐπεὶ ἡ ὕλη τοῦ εἴδους

ἐφίεται,

PARAPHRASIS PACHYMERÆ.

ἐφίεται, κατ' αὐτοὺς, πῶς κακὸν τὸ τοῦ καλοῦ ἐφιέμενον; φεύγει γὰρ καὶ μάχεται τὸ κακὸν τῷ ἀγαθῷ. Πῶς δὲ τὸ κακὸν γεννητικὸν καὶ ποιητικόν ἐστιν, ἐπεὶ λέγουσιν, ὅτι ἡ ὕλη τρέφει τὴν φύσιν, ὥσπερ καὶ ἡ εἰς καῦσιν ἐπιτηδεία ὕλη τὸ πῦρ; Εἰ δὲ εἴποιεν ὅτι αὐτὴ μὲν ἡ ὕλη κακὸν οὐ ποιεῖ, ἀγαθὴ δὲ οὖσα, δύναμιν ἐφελκυστικὴν εἰς τὸ κακὸν, πῶς τοῦτο ἀληθὲς, ἐπεὶ πολλαὶ ψυχαὶ σώματι καὶ ὕλῃ συνδεδεμέναι πρὸς τὸ ἀγαθὸν βλέπουσιν; Οὐκ ἔδει δὲ, εἴπερ ἐξ ἀνάγκης ἦν τὸ παρὰ τῆς ὕλης ἐφέλκεσθαι, ὥστε τὸ πᾶν ἐκ προαιρέσεώς ἐστιν. Εἰ δὲ λέγει τις, ὅτι τῶν ψυχῶν ἐκείνας κατάγει ἡ ὕλη ὅσαι εὐεικτοί εἰσι πρὸς αὐτὴν, ὅσαι δὲ οὔ, οὐ δύναται, ἐπεὶ κἀκεῖνα τῶν πλησιαζόντων καίει τὸ πῦρ, ὅσα ὑπείκουσιν ὑπείξει φυσικῇ πρὸς τὸ πῦρ, τὴν δὲ σαλαμάνδραν οὐδόλως καίει, ὥστε ἀναγκαία ἡ ὕλη ἐστὶν εἰς τὸ ἕλκειν εἰς κακίαν τῶν μὴ ἐφ' ἑαυτῆς ἱδρυμένων, πῶς ἢ τὸ κακὸν ἀναγκαῖον, ἢ τὸ ἀναγκαῖον κακόν; Τὸ γὰρ ἐξ ἀνάγκης ὡς κατὰ φύσιν ὂν, οὐ κακόν. Ἄλλως τε καὶ οὐδὲν ἧττον ἐντεῦθεν μᾶλλον συνίσταται ἡ προαίρεσις· παρ' ἡμῖν γάρ ἐστι καὶ τὸ ἱδρύεσθαι ἐφ' ἑαυτῆς, καὶ τὸ μὴ, ἀλλὰ πρὸς τὰ πάθη χαυνοῦσθαι καὶ ὑποκλίνειν.

Ἐπεὶ δὲ ὁ Ἀριστοτέλης μετὰ τῆς ὕλης καὶ τοῦ εἴδους ἀρχὴν τίθησι καὶ τὴν στέρησιν, ἣ δὴ ἐναντία ἐστὶ τῷ εἴδει, καὶ τῇ ὕλῃ ἔνεστι, φησὶν ὅτι καὶ αὐτὴ δὴ ἡ στέρησις οὐ μάχεται τῷ ἀγαθῷ κατὰ τὴν οἰκείαν δύναμιν· ἡ στέρησις γὰρ οὐκ ἔστιν ὑπόστασις· τὸ δὲ μὴ ὑφιστάμενον, ποίαν ἕξει τὴν δύναμιν; Εἰ δέ ἐστι μερικὴ, ὡς τόδε μὲν εἶναί τι, τόδε δὲ μὴ εἶναι, ἡ τοιαύτη στέρησις οὐ παντελῶς κακόν· στερήσεως γὰρ μερικῆς οὔσης τοῦ ἀγαθοῦ, οὐχ ὁλοτελῶς τὸ πρᾶγμα κακόν· καὶ γινομένης, ἐπὶ τοσοῦτον λέγομεν γίνεσθαι ταύτην, καθόσον τὸ ἀγαθὸν ἐπέρχεται. Τὸ γοῦν Οὔσης τέθεικεν ἐπὶ τῶν πάλαι ποτὲ στερηθέντων, τὸ δὲ Γενομένης ἐπὶ τῶν ἤδη καὶ προσεχῶς παθόντων τὴν στέρησιν, δηλῶν καὶ ἐξ ἀμφοτέρων, ὅτι τότε ἡ στέρησις παρυφίσταται, ὅτε τὸ ἀγαθὸν ἀπέρχεται.

Ἔτι συλλογίζεται κατὰ Μανιχαίων, δι' ὧν ἀποδείκνυσιν, ὅτι οὐκ ἔστιν ὂν τὸ κακόν· εἰ γὰρ καὶ μήπω τις αἵρεσις, ἀλλὰ προφυ-

materia formam expetat, quomodo malum est quod bonum appetit? refugit enim & repugnat malum bono. Quomodo verò etiam malum generandi & efficiendi vim habet, quandoquidem dicant, materiam nutrire naturam, non secùs ac materia combustioni apta ignem? Si autem dicant, materiam quidem ipsam malum non facere, sed, cùm sit bona, habere vim attractiuam ad malum, quomodo hoc verum, cùm multæ animæ corpori materiæque colligatæ bonum spectent? Hoc autem non possent, siquidem ex necessitate à materiâ attraherentur, quoniam id omne ex animi destinatione existit. Quòd si quis dicat, materiam illas animas pellicere quæ illi facilè cedunt, alias autem non posse pellicere; sicut etiam ignis illa corpora vicina vrit, quæ naturali flexibilitate igni cedunt, salamandram verò nequaquam comburit, atq; ita materia necessaria sit ad pertrahendum ad malum illa quæ in se non sunt firmata, quomodo malum est necessarium, vel id quod necessarium est, sit malum? Quod enim quasi ex naturâ necessarium est, non est malum. Aliàs etiam non minùs hinc magis confirmatur libertas; quoniam in nostrâ potestate situm est, in nobis ipsis stabiliri, vel non, sed passionibus resolui ac subiugari.

§. 29. *Neque priuatio mala.*

Cùm autem Aristoteles vnà cum materiâ & formâ principium ponat ac priuationem, quæ vtique contraria est formæ, & inest materiæ, ait, ne ipsam quidem priuationem bono repugnare vi suâ; nam priuatio non subsistit: quod autem non subsistit, qualem vim habebit? Quòd si partialis sit, vt hoc quidem sit, aliud verò non sit, istiusmodi priuatio non omnino mala: partiali enim boni priuatione existente, res nondum perfectè mala est; & dum fit, eatenus dicimus eam fieri, quatenus bonum subsequitur. Dixit οὔσης de iis quæ olim aliquando priuata fuerunt, γινομένης verò de iis quæ modò & in præsentiarum priuationem patiuntur, ex vtroque declarans, tum quasi subsistere priuationem, quando bonum recedit.

§. 30.

Argumentatur hîc contra Manichæos, dum ostendit, malum non esse ens; etsi enim nondum illa hæresis existeret, tamen ad præ-

PARAPHRASIS PACHYMERÆ.

præcautionem inſpiratione accepit quæ errorem illum euerterent. Fortaſſis etiam contra quaſdam ethnicas opiniones valent iſtiuſmodi argumenta. Ceterùm, inquit, bonum eſt ex vnâ vniuerſorum cauſâ (hanc enim integram cauſam vocat) malum autem non eſt ſecundùm naturam, ſed ex multis ac particularibus boni defectibus. Ex particularibus autem dixit, vt tollat vniuerſalem; nam totalis defectus tollit ſimpliciter omnem exiſtentiam. Non eſt itaque definitum quid ſit malum, ſed indefinitum, vt quod ex multis exiſtit. Quomodo verò malum ex multis defectibus? niſi videlicet, quòd in quantum deficit bonum, in tantum quodammodò exiſtat malum, ſecundùm modicum & in tempore defectus, ſecundùm modicum & in tempore mali exſiſtentia. Primum ergo argumentum virtute duo concludit, quòd bonum id quod eſt, & malum id quod non eſt, terminent. Concluduntur etiam duo ex ſolâ minori propoſitione, bonum videlicet ex ſolo vniuerſorum principio rem eſſe quæ ſic ſe habet; bonum ergo res eſt: & rurſus, malum ex multis & indefinitis defectibus non eſſe rem, quod ſic ſe habet, malum ergo non eſt res. Deus, inquit, etiam ea quæ mala dicuntur nouit ſicut bona, mala dicens bella, morbos, qui mores corrigant, mortes, & ſimilia; reputantur enim à nobis mala, ſunt autem vires cauſæ quæ bonum efficit: nam per prædicta pœnitentia & Dei cognitio acquiritur, pluribuſque pietatis occaſio fuit, atque in Prophetis malitia vocatur. Vel etiam aliter. Cauſa mali in laſciuiendo eſt cõcupiſcentia; ipſa tamen concupiſcentia eſt facultas boni effectrix ratione quidem vtentibus, vt per ipſam ſurſum ad verum bonum tendant; ratione verò priuatis, vt ea, quæ ad propriam ſuam conſeruationem faciunt, appetant. Nouit itaque Deus, ſiue etiam cognoſcit, ac facit etiam malum, non quà malum, ſed quà bonum: nihil ergo etiam per ſe eſt malum, quippe quod nihil habeat etiam boni, vnde etiam malorum cauſæ virtutes ſunt beneficæ. Quòd ſi malum æternum eſt, & poteſt, & agit. Vnde ei hæc? num ex bono? an è diuerſo, cùm & bonum hæc habeat, erunt hæc bona ex malo? verùm haudquaquam decet, vt bonum ex malo perficiatur, ergo erit primum.

λακτικῶς ἐνεπνεύσθη τὰ τὴν πλάνην ἀνατρέποντα. Ἴσως δὲ καὶ πρός τινας τῶν ἔξωθεν δόξας οἱ τοιοῦτοι συλλογισμοί. Λοιπόν φησιν, ὅτι τὸ ἀγαθὸν ἐκ μιᾶς τῆς τῶν ὅλων αἰτίας (ταύτην γὰρ λέγει ὅλην αἰτίαν) τὸ δὲ κακὸν οὐ κατὰ φύσιν, ἀλλ' ἐκ πολλῶν καὶ μερικῶν ἐλλείψεων τοῦ ἀγαθοῦ. Μερικῶν δὲ εἴρηκεν, ἵνα τὸ καθόλου ἀνέλῃ· ἡ γὰρ παντελὴς ἔλλειψις, τὸ μὴ εἶναι ἁπλῶς συνίστησιν. Οὐκ ἔστιν ἄρα ὡρισμένον τι τὸ κακὸν, ἀλλ' ἀόριστον, ὡς ἐκ πολλῶν γινόμενον. Πῶς δὲ τὸ κακὸν ἐκ πολλῶν ἐλλείψεων; ἢ δηλονότι, ἐν ὅσῳ ἐλλείπει τὸ ἀγαθὸν, ἐν τοσούτῳ τὸ κακὸν παρυφίσταται, κατ' ὀλίγον καὶ ἐν χρόνῳ αἱ ἐλλείψεις, κατ' ὀλίγον καὶ ἐν χρόνῳ καὶ ἡ τοῦ κακοῦ παρυπόστασις. Ὁ οὖν πρῶτος συλλογισμὸς, δυνάμει δύο εἰσὶν, ὅτι τε τὸ ἀγαθὸν ὂν, καὶ ὅτι τὸ κακὸν μὴ ὂν συμπεραίνοντες. Εἰσὶ δὲ καὶ οἱ δύο ἐκ μόνης τῆς ἐλάττονος προτάσεως, τὸ ἀγαθὸν ἐκ μιᾶς τῆς τῶν ὅλων ἀρχῆς, τὸ οὕτως ἔχον, ὄν, τὸ ἀγαθὸν ἄρα ὄν· καὶ πάλιν, τὸ κακὸν ἐκ πολλῶν καὶ ἀορίστων ἐλλείψεων, τὸ οὕτως ἔχον οὐκ ὂν, τὸ κακὸν ἄρα οὐκ ὄν. Καὶ τὰ λεγόμενα, φησὶ, κακὰ οἶδεν ὁ Θεὸς ὡς ἀγαθὰ, κακὰ λέγων πολέμους, νόσους, παιδευτικὰς, θανάτους, καὶ τὰ τοιαῦτα· νομίζονται γὰρ ἡμῖν κακά· εἰσὶ δὲ δυνάμεις ἀγαθοποιοῦ αἰτίας· καὶ γὰρ δι' αὐτῶν μετάνοια καὶ ἐπίγνωσις Θεοῦ καὶ εὐσεβείας τοῖς πλείοσιν ἐγίνοντο· καὶ ἐν τοῖς Προφήταις ἡ κακία λέγεται. Ἢ καὶ ἄλλως. Αἰτία τοῦ ἐν τῷ ἀσελγαίνειν κακοῦ, ἡ ἐπιθυμία ἐστίν· ἀλλ' αὕτη ἡ ἐπιθυμία, δύναμις ἀγαθοποιός ἐστι, λογικοῖς μὲν, πρὸς τὸ δι' αὐτῆς ἀνατείνεσθαι πρὸς τὸ ὄντως ἀγαθόν· ἀλόγοις δὲ, πρὸς ὄρεξιν τῶν ἐπιτηδείων τῆς οἰκείας διαμονῆς. Οἶδε γοῦν ὁ Θεὸς, ἤγουν καὶ γινώσκει καὶ οἰκειοῦται τὸ κακὸν, οὐχ ᾗ κακὸν, ἀλλ' ᾗ ἀγαθόν· οὐδὲν ἄρα καθ' ἑαυτὸ καὶ ὂν, τὸ κακὸν, ὡς μηδὲν ἔχειν καὶ ἀγαθὸν, ὅπου καὶ αἱ αἰτίαι τῶν κακῶν, ἀγαθοποιοὶ δυνάμεις εἰσίν. Εἰ τὸ κακὸν ἀΐδιον, καὶ δύναται καὶ πράττει. Πόθεν ταῦτα τούτῳ; ἢ γοῦν ἐκ τοῦ ἀγαθοῦ; ἢ ἀντιστρόφως, ἐπεὶ καὶ τὸ ἀγαθὸν ταῦτα ἔχει, ἔσται ταῦτα τῷ ἀγαθῷ ἐκ τοῦ κακοῦ; ἀλλὰ μὴν τοῦτο οὐκ εὐαγὲς τὸ τελειοῦσθαι τὸ ἀγαθὸν ἐκ τοῦ κακοῦ, ἄρα γοῦν ἔσται τὸ πρῶτον.

Ἀλλὰ μὴν τὰ ἐκ τοῦ ἀγαθοῦ διδόμενα ἀγαθά, ἔμελλον ἀγαθοποιῆσαι τὸ κακόν· πῶς γοῦν μένει καὶ πάλιν κακόν; Ἢ γοῦν οὐχ οὕτως, ἀλλ' ἀμφοῖν τούτοιν καὶ τῷ ἀγαθῷ καὶ τῷ κακῷ ταῦτα ἐξ ἄλλης αἰτίας; Καὶ τίς ποτ' ἂν εἴη αὕτη; καὶ εἰ ἔστι, ποταπή ἐστι; Καὶ πάλιν ἐκεῖσε ταῦτα ἅπερ καὶ ἐνταῦθα ῥηθήσονται. Οὐκ ἄρα τὸ κακὸν αὐθύπαρκτον. Ἔτι, ἐπεὶ τῷ κατὰ φύσιν τὸ ὡρισμένον· ὅρος γάρ ἐστι καὶ ὁ ἑρμηνευτικὸς λόγος τῆς οὐσίας τῶν πραγμάτων καὶ τὸ τί ἦν εἶναι δηλῶν. Πᾶν οὖν κατὰ φύσιν, ἐξ αἰτίας ἐστὶν ὡρισμένης, δι' ἣν αἰτίαν γίνεται τὸ γινόμενον. Εἰ οὖν τὸ κακὸν ἀναίτιόν ἐστιν (οὐ γὰρ διά τι γέγονεν) εἰκότως καὶ ἐν ἀοριστίᾳ, οὐ γάρ ἐστιν αὐτοῦ λόγος τὸ τί ἦν εἶναι ἑρμηνεύων· ἐξ ἀνάγκης ἄρα οὐδὲ κατὰ φύσιν τὸ κακόν. Εἰ οὖν παρὰ φύσιν, οὐχ ἕξει ἐν τῇ φύσει λόγον, ὥσπερ οὐδὲ ἐν τῇ τέχνῃ ἡ ἀτεχνία· πᾶν δὲ τὸ μὴ ἔχον λόγον ἐν τῇ φύσει, οὔτε ἐστὶν, οὔτε συνίσταται, ἀλλὰ τῇ ἐλλείψει τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν γίνεται.

Ἔτι, ἡ ψυχὴ ἢ φύσει κακὴ, ὡς τὸ πῦρ θερμὸν, ἢ αἱ ἐνέργειαι αὐτῆς πάντη καὶ ὁλοτελῶς κακαί. Ἀλλ' οὔτε τὸ πρῶτον, τὸ γὰρ ἀγαθὸν οὐκ ἔμελλε παράξαι φύσει κακόν· οὔτε τὸ δεύτερον, πόθεν γὰρ αἱ ἀρεταί; Λείπεται ἄρα, ὅτι τὸ κακὸν οὐκ ἔστιν αὐθύπαρκτον, ἀλλὰ τοῦ ἀγαθοῦ ἔλλειψις. Οὗτος ὅλος ὁ νοῦς τοῦ ῥητοῦ. Ὁ δὲ ἅγιος κατ' ἐρώτησιν τὸν λόγον προαγαγών, Ἆρα ἡ ψυχὴ τῶν κακῶν αἰτία; οὐ κατὰ διαίρεσιν τὴν ἐρώτησιν ἐποιήσατο, ἵνα ἦν τὸ Ἢ διαζευκτικὸν εἰς τὸ, Ἢ ἀγαθὴ μὲν ἡ ψυχή· ἀλλ' εὐθὺς ἐνέστη πρὸς τὴν ἐρώτησιν, καὶ τέθεικε τὸ Ἢ διασαφητικὸν, λέγων, Ἢ δηλονότι ἀγαθὴ μὲν ἡ φύσις τῆς ψυχῆς, ταῖς δ' ἐνεργείαις ποτὲ μὲν καλῶς ἔχει, ποτὲ δὲ οὐ καλῶς· ὅπερ ἐστὶ τὸ μεταβλητὴν αὐτὴν εἶναι. Θεὶς γοῦν τοῦτο ὡς ἀληθὲς, καὶ διασαφήσας, πρὸς τὸ πρῶτον μάχεται, ὅτι οὐ φύσει κακὴ, ἢ αἰτία κακῶν ἡ ψυχή.

Ἔτι, τῷ ἀγαθῷ τὸ κακὸν ἐναντίον· τοῦ γοῦν ἀγαθοῦ αἴτιον ἓν, τοῦ δὲ κακοῦ πολλά. Σημείωσαι δὲ ὅτι ἐπὶ τοῦ ἀγαθοῦ τὸ αἴτιον μὴ μόνον ἐστὶ λέγειν τὸ ποιητικὸν, ἀλλὰ καὶ τὸ εἰδικὸν, καὶ τὸ τί ἦν εἶναι, καθὼς καὶ ἀνωτέρω ἔλεγε, καθὸ λέγεται καὶ ὡρισ-

Verùm ex bono bona data, malum bonum redderent, quomodo ergo manet adhuc malum? Vel certè, non sic se res habet, sed vtrique horum, tam bono quàm malo, hæc ex aliâ causâ obtingunt? Et quæ tandem hæc sit? & si sit, qualis est? Et iterùm, ibidem hæc eadem quæ hîc dicentur. Non itaque malum per se existit. Ceterùm id quod ex naturâ sequitur, definitum est. definitio enim est ratio essentias rerum explicans, & quod quid sit declarans. Omne igitur quod est secundùm naturam, ex definitâ causâ est, per quam fit id quod fit. Si itaque malum causâ caret (à nullo enim productum est) meritò nec definitum est, cùm nulla sit eius ratio quæ essentiam declaret: necessariò itaque malum non est etiam secundùm naturam. Si autem est contra naturam, non habebit etiam in naturâ rationem, sicut nec inscitia in arte: omne autem quod non habet rationem in naturâ, neque est, neque subsistit, sed defectu eius quod secundùm naturam est, fit contra naturam. Prætereà, anima vel naturâ mala est, sicut ignis calidus, vel operationes eius prorsus & omnimodè malæ sunt. Sed non primum, nam id quod bonum est non faceret id quod naturâ malum est: neque secundum, vnde enim virtutes? sequitur ergo, malum non esse quid per se subsistens, sed boni defectionem. Hic totus sensus est orationis. Hic Sanctus autem dum interrogãdo proponit orationem, Num ergo anima malorum causa sit? non per diuisionem interrogauit, ita vt particula *an* disiunctiua fuerit, cùm dixit, An anima quidem bona; sed illicò institit interrogationi, & posuit illud *an* declaratoriè, ac si diceret, An ilicet bona quidem natura animæ, sed in operationibus suis aliquando quidem benè, aliquando verò secùs se habet, quod est, ipsam esse variabilem. Ponens itaque hoc tamquam verum, explicansque, primùm oppugnat, quòd anima non sit naturâ suâ mala, vel causa malorum.

Adhæc, bono malum est contrarium; boni itaque causa vna est, mali verò multæ. Nota verò, non solùm in bono causam efficientem prædicari, verùm etiam formalem, & quod quid est dici, sicut etiam superiùs dixit, in quantum etiam definitum

PARAPHRASIS PACHYMERÆ.

§. 31. *Boni vna, mali causa multa.*

 dici-

PARAPHRASIS PACHYMERÆ.

dicitur. Cùm autem mali causas formales assignare nequeamus (quia nihil naturâ suâ malũ est, vnde definiri possit & proprietate insigniri, & quod quid est habeat) idcircò nõ vult dicere causas formales, sed efficientes: hæ verò sunt, quas superiùs defectus particulares nominauit. Deinde, ne quis suspicetur, efficientes hasce malorum causas exsistere virtutes quasdam ac rationes & formas, secundùm quas mala ista insigniantur, asserit, non esse virtutes, sed impotentiam & incongruam mixtionem rerum dissimiliũ. Cùm enim subiecto defectus aliquis accidit secundùm virtutem, ecce aliqua exoritur malitia, & adhuc maior, & adhuc maior, idq; in infinitũ, nec vmquam malitia habebit perfectionẽ. Rectè verò dicitur immensa: nam proportionata quædam dissimilium commixtio, est quid proprietatibus insignitum ac definitum, atque adeò non malum, sed bonum; quemadmodum videre est in sanitate, quæ consistit in contrariorum humorum proportione; ac in congruentiâ, quę dicitur vnio multarum rerum mixtarum, & ad diuersa spectantium, quæ videlicet secundùm naturam semper eodem modo se habent sicut definitæ sunt, pro naturæ suæ ratione. Non enim vmquam ex acino oliua, sed vitis pullulabit; nec ex ossiculo oliuæ vitis, sed oliua. Mala indefinita sunt, atque in aliis & aliis infinitis. Quin etiam malorum principium ac finis est bonum: nam dum malum facimus, bonum facere arbitramur: si quid enim facimus, bonum appetentes facimus; si enim videretur omnino malum, nullus in nobis ad illud esset motus & appetitus. quocircà malum non habet subsistentiam, ad quam quis fortè spectans operetur, sed quasi quodammodò subsistentiam, dum boni & non ipsius causâ quid fit.

§. 32. *Malum est per accidens.* Malo status est per accidens, & non per se: neque enim appetendo malum facimus id quod facimus, sed appetimus quidem bonum, facimus autem malum; adeò vt propter bonum malum fiat. Mirabiliter itaque ostendit malum non subsistere, dum vocat illud priuationem rerum ordinatarum ac naturalium: priuatio autem per se minimè subsistit, sed cùm deberet & exigeret adesse, non adest; vnde etiam priuationem vocat *ἁμαρτίαν*, id est aberrationem & lapsum à

μένον. Αἴτια δὲ τοῦ κακοῦ ἐπεὶ οὐκ ἔχομεν εἰπεῖν εἰδικὰ (οὐδὲ γάρ ἐστί τι κατὰ φύσιν τὸ κακόν, ὡς ἂν καὶ ὁρισθείη καὶ εἰδοποιηθείη καὶ τὸ τί ἦν εἶναι ἕξει) διὰ τοῦτο οὐ τὰ εἰδικά, ἀλλὰ τὰ ποιητικὰ βούλεται λέγειν· ταῦτα δὲ εἰσὶν ἅπερ ἀνωτέρω ἐλλείψεις μερικὰς ἔφη. Εἶτα ἵνα μή τις ὑπολάβῃ, ὅτι τὰ ποιητικὰ ταῦτα τῶν κακῶν δυνάμεις εἰσὶ καὶ λόγοι καὶ εἴδη, καθ' οὓς εἰδοποιηθείη, φησίν, ὅτι οὐ δυνάμεις εἰσίν, ἀλλ' ἀδυναμία καὶ μίξις τῶν ἀνομοίων ἀσύμμετρος. Ἐλλείμματος γὰρ ἐπισυμβάντος τῷ ὑποκειμένῳ κατὰ τὴν ἀρετήν, ἰδοὺ παρυφίσταταί τις κακία, καὶ ἔτι πλείων, καὶ ἔτι πλείων, καὶ τοῦτο ἐπ' ἄπειρον, καὶ τὸ παντελὲς ἡ κακία οὐχ ἕξει ποτέ. Καλῶς δὲ τέθειται τὸ Ἀσύμμετρος· ἡ γὰρ σύμμετρος μίξις τῶν ἀνομοίων, εἰδοπεποιημένον τί ἐστι καὶ ὡρισμένον, καὶ διὰ τοῦτο αὕτη οὐ κακόν, ἀλλ' ἀγαθόν, καθὼς ἔστιν ἰδεῖν ἐπὶ τῆς ὑγείας, συμμετρίας οὔσης τῶν ἐναντίων χυμῶν· καὶ ἐπὶ τῆς συμφωνίας, ἥ τις πολυμιγέων καὶ δίχα φρονεόντων ἕνωσις λέγεται, τῶν γοῦν κατὰ φύσιν ἀεὶ ὡσαύτως ἐχόντων, ὡς ὡρισμένων κατὰ τὸν τῆς φύσεως αὐτῶν λόγον. Οὐ γὰρ ἐκ γιγάρτου ποτὲ ἐλαία ἀναφυήσεται, ἀλλ' ἄμπελος· οὐδ' ἐκ τοῦ πυρῆνος ἄμπελος, ἀλλ' ἐλαία. Τὰ κακὰ ἀόριστά εἰσι, καὶ ἐν ἄλλοις καὶ ἄλλοις ἀπείροις. Καὶ τῶν κακῶν ἐστιν ἀρχὴ καὶ τέλος τὸ ἀγαθόν· καὶ κακὸν γὰρ ποιοῦντες, ἀγαθὸν ποιεῖν νομίζομεν· εἴ τι γὰρ πράττομεν, τὸ ἀγαθὸν ποθοῦντες πράττομεν· εἰ γὰρ ἐδόκει πάντη κακόν, οὐκ ἂν ἦν ὁρμὴ καὶ ἔφεσις ἡμῶν πρὸς ἐκεῖνο· διὰ τοῦτο γοῦν οὐχ ὑπόστασιν ἔχει τὸ κακὸν πρὸς ὃ βλέπων τις ἴσως ἐποίει· ἀλλ' εἰ ἄρα παρυπόστασιν, τοῦ ἀγαθοῦ ἕνεκα, καὶ οὐχ ἑαυτοῦ γινόμενον.

Τῷ κακῷ τὸ εἶναι κατὰ συμβεβηκός ἐστι, καὶ οὐ κατ' αὐτό· οὐδὲ γὰρ ἐφιέμενοι τοῦ κακοῦ, ποιοῦμεν ὃ ποιοῦμεν, ἀλλ' ἐφιέμεθα μὲν τοῦ ἀγαθοῦ, γίνεται δὲ τὸ κακόν· ὥστε διὰ τὸ ἀγαθόν, τὸ κακὸν γίνεται. Θαυμασίως τοίνυν δείκνυσι τὸ κακὸν ἀνυπόστατον, καὶ στέρησιν αὐτὸ τῶν ἐν τάξει καὶ φύσει λέγων· ἡ δὲ στέρησις οὐκ αὐτοϋπόστασις, ἀλλὰ τὸ πεφυκὸς καὶ ἐπιβάλλον παρεῖναι μὴ παρόν· ὅθεν καὶ ἁμαρτίαν, τουτέστιν ἀτοξίαν καὶ ἀπόπτωσιν τοῦ προσή-

κοντος,

κοντος, αὐτὸ τὸ τῆς στερήσεως καλεῖ καὶ ἄσκοπον, ἀντὶ τοῦ παρὰ τὸν σκοπὸν βάλλον, ἐκ μεταφορᾶς τῶν τοξευόντων. Ὥσπερ γὰρ οἱ ἔξω τοῦ σκοποῦ τοξεύοντες, ἁμαρτάνουσι τοῦ προσήκοντος· οὕτω καὶ ἡμεῖς τοῦ σκοποῦ καὶ τῆς τάξεως ἀποτυγχάνοντες φερόμεθα εἰς τὴν παρὰ φύσιν ἄλογον καὶ ἀτελῆ καὶ ἀνόητον ἀνυπαρξίαν· ὅθεν καὶ μηδαμῆ μηδὲν ὂν λέγει τὸ κακόν. Ἔτι, πρὸς τοὺς λέγοντας, ὅτι δύναταί τι τὸ κακὸν κατ᾽ αὐτὸ ποιεῖν· φησὶ τοίνυν, ὅτι τὸ κακὸν ἄλλως οὐ παρυφίσταται, εἰ μὴ ἐν τῇ τοῦ ἀγαθοῦ μίξει, τόσον ἐπισυμβαῖνον, καθόσον τὸ ἀγαθὸν ἐλλείπει· τὸ δὲ πάντη ἄμοιρον τοῦ ἀγαθοῦ, οὔτε ὄν ἐστιν, οὔτε δύναταί τι. Ἐκ τοῦ ἐναντίου γοῦν ἐπιχειρεῖ λέγων, Ὅτι εἰ τὸ ἀγαθὸν ὄν ἐστι, καὶ βουλή ἐστι, καὶ δύναται, καὶ ποιεῖ, τὸ κακὸν, τοῦ ὄντος ἐστερημένον, ταῦτα οὐχ ἕξει. Ἔτι, ὅτι οὐκ ἔστι τὸ κακὸν κατ᾽ αὐτὸ, δῆλον ἐκ τοῦ μὴ εἶναι παρὰ πᾶσι ταὐτὸν, ἀλλὰ καὶ ἄλλο ἐν ἄλλοις, καθὼς ἐν ἑκάστῳ ἡ τοῦ ἀγαθοῦ ἀπόπτωσις γίνεται. Θείως δὲ τὰς ὑποβάσεις τὰς ἐν τῇ δημιουργίᾳ διέσωσεν· ὁ μὲν γὰρ νοῦς, καθ᾽ ὃν οὐσίωνται οἱ θεῖοι νόες καὶ πάντη ἄϋλοι, ἀνώτερος ψυχῆς ἐστιν, ἐκ τῆς ἀγαθοειδείας νῦν κινηθεὶς, δαίμων ἀπέβη· ἡ δὲ ψυχὴ, καθὸ νοερὰ καὶ λογικὴ, κατὰ λόγον ἐνεργοῦσα μένει ἐν τῷ οἰκείῳ· παρὰ λόγον δὲ κινηθεῖσα, κακὴ γίνεται· τὰ δὲ σώματα παρὰ φύσιν κινηθέντα, οὐκ ἔρρωνται.

Ἔτι, εἰ πρόνοια ἐπὶ πᾶσι τοῖς ἄλλοις ἐστὶ, κακὸν κατ᾽ αὐτὸ οὐκ ἔστιν, ἦν γὰρ ἂν καὶ πρόνοια ἐπὶ τῷ κακῷ ὡς ὄντι· ἀλλὰ μὴν πρόνοιά ἐστιν ἐπὶ πᾶσι, κακὸν ἄρα κατ᾽ αὐτὸ οὐκ ἔστι. Καί ἐστι πρῶτος τρόπος τῶν ὑποθετικῶν συλλογισμῶν, τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζων τὸ ἑπόμενον· ἐν πᾶσι γὰρ τοῖς οὖσιν ἡ πρόνοιά ἐστι, καὶ οὐδὲν τῶν ὄντων ὁλοτελῶς ἀπρονόητον, τοῦτο γάρ ἐστι, τὸ καθόλου τοῦ ἀγαθοῦ ἐστέρηται. Καὶ τί λέγω ἐπὶ τοῖς γινομένοις ἢ οὖσιν ἀγαθοῖς; ἀλλὰ καὶ αὐτοῖς τοῖς γινομένοις κακοῖς, ἀγαθοπρεπῶς ἡ πρόνοια κέκτηται πρὸς σωφρονισμὸν, ἢ ἐκείνων αὐτῶν, ἢ ἄλλων. διὸ κακῶς λέγουσιν οἱ λέγοντες, Διὰ τί οὐκ ἐποίησεν ἡμᾶς ὁ Θεὸς οὕτως, ἵνα κἂν θέλωμεν, μὴ ἁμαρτάνωμεν; τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ λέγειν, Διὰ τί μὴ ἀνοήτους καὶ ἀλόγους ἡμᾶς ἐποίησε; Τὸ γὰρ ἐξ ἀνάγκης ἡ-

PARAPHRASIS PACHYMERÆ.

decoro, & scopi frustrationem, pro iactu à scopo deflectente, à iaculantibus metaphorâ desumptâ. Sicut enim illi extra scopum iaculantes aberrant à decoro; sic & nos à scopo & ordine aberrantes, vergimus præter naturam ad irrationalem & imperfectam & amentem abolitionem. vnde dicit etiam malum nihil omnino existere. Ceterùm aduersus eos qui dicunt, malum per se aliquid posse, ait, malum aliter non existere, quàm in permixtione boni, in tantum accidens, in quantum deficit bonum: quod enim boni prorsus expers est, neque est quidquam neque quidquam potest. A contrario itaq; argumentatur dicens: Si bonum est id quod est, & appetendum, & validum, & efficax; malum, vtpote entitate priuatum, hæc minimè habebit. Deinde malum non per se existere, patet ex eo quòd non sit idem in omnibus, verùm etiam aliud in aliis, prout in vnoquoque boni lapsus existit. Diuinè autem subordinationes seruauit in creatione: siquidem mens, secundùm quam diuini & prorsus immateriales spiritus substantiam suam sortiuntur, cùm animâ sublimior sit, à boniformitate deficiens, in dæmonem euasit; anima verò, in quantum intelligens ac rationalis, secundùm rationem agendo manet in suâ proprietate, sed dum mouetur contra rationem, mala fit: corpora denique dum contra naturam mouentur, minimè valent.

§. 33. *In omnibus elucere prouidentiam.*

Præterea si in ceteris rebus omnibus est prouidentia, malum secundùm se non est; aliàs enim etiam esset prouidentia mali tamquam entis: sed prouidentia est in omnibus; malum igitur secundùm se non est. Est autem primus modus syllogismorum hypotheticorum, probabili propositione probare sequelam: in omnibus siquidem rebus existit prouidentia, & nihil eorum quæ sunt omnino expers est prouidentiæ, id est omnimodo bono priuatum est. Ecquid dico in bonis quæ fiunt vel existunt? quin & malis quæ fiunt prouidentia benignè vtitur ad correctionem siue eorum qui illa agunt, siue aliorum; quocircà malè dicunt, qui aiunt, Quare non fecit nos Deus sic, vt vel inuiti non peccemus? hoc enim nihil aliud est quàm dicere, Quare non amentes nos & irrationales fecit? Si enim necessariò

PARAPHRASIS PACHYMERÆ.

ad virtutem duceremur; nequaquam nos nostri rerumq; nostrarum compotes ac potentes declarasset, neque naturam nostram intelligentem esse siuisset. Aufer enim libertatem nostram, & neque Dei imago erimus, nec habebimus animas rationales & intelligentes, & natura nostra penitus interibit. Per se verò mobilium dixit, pro liberi arbitrij, suique iuris ac potestatis existentium non autem pro se mouentium, ad distinctionem immobilium, vt domorum; vel ab aliis motorum, vt lapidum: differens enim de virtute, αὐτοκινήτους, seu per se mobiles, tamquam liberos accepit. Hinc itaque concludit, malum non esse ens, ipsumque gigni non secundùm virtutem, sed secundùm imbecillitatem.

§. 34. Et immutatio dæmonum, ab initio ex bono existentium, sed non quà malorum, sed quà bonorum & Angeliformium, aut idemtitatis Angelicæ formæ est defectio & imbecillitas. Dico autem etiam hos bonum desiderare, in quantum & esse & viuere & intelligere desiderant: & ex assertione concludit, Si non desiderant bonum, desiderant id quod non est; & hoc non est desiderium, nullum enim quibuspiam desiderium est non essendi, sed corrumpi: at hoc est error veri desiderij.

§. 35. Cùm dixerit, malum in vnoquoque esse imbecillitatem & defectionem boni, bonorum autem malorumque sit vna cognitio, & hinc sequatur, omne peccatum actionis fieri defectu istiusmodi cognitionis; quomodo subsistet illud, Væ peccantibus cum
Luc. 12, 47 cognitione! & illud, *Sciens voluntatem Domini sui, & non faciens eam, vapulabit multis?* non sine boni seu cognitionis defectu peccatum fieri possit. Mirabili sanè modo resoluit quæstionem, quòd nimirum hîc etiam interueniat defectio quædam atque imbecillitas: quoniam illi quoque infirmantur vel circa fidem, ita vt audiant, sed iis quæ dicuntur firmam fidem non adhibeant; vel circa operationem, secundùm desiderij peruersitatem, quòd velit quis non bonum, sed malum (vniuersim enim qui facit malum, propter defectum id facit;) vel cognitionis scilicet doctrinalis, quam vel obliuio sæpenumerò obliterare potest, quã etiam superiùs dixit ex auditu ingenerari; vel liquidæ cognitionis, quæ nimirum ex

μᾶς ἄγεσθαι ἐπ' ἀρετὴν, οὔτε αὐτοκράτορας ἡμᾶς ἐδείκνυ τῷ καθ' ἑαυτοὺς, οὔτε τὴν νοερὰν ἡμῶν φύσιν εἶναι συνεχώρει. Ἄνελε γοῦν ἡμῶν τὸ αὐτεξούσιον, καὶ οὔτε εἰκὼν Θεοῦ ἐσόμεθα, οὔτε ἕξομεν ψυχὰς λογικὰς καὶ νοερὰς, καὶ τῷ ὄντι φθαρήσεται ἡ φύσις ἡμῶν. Αὐτοκινήτων δὲ, ἀντὶ τοῦ αὐτεξουσίων καὶ αὐτοκρατόρων φησὶν, οὐ γὰρ τῶν ἑαυτοὺς κινούντων πρὸς ἀντιδιαστολὴν τῶν ἀκινήτων ὡς οἴκων, ἢ ἑτεροκινήτων, ὡς λίθων· περὶ γὰρ ἀρετῆς διαλεγόμενος, τοὺς αὐτοκινήτους ὡς αὐτεξουσίους παρέλαβε. Συνάγει ἄρα ἐντεῦθεν, ὅτι οὐκ ὂν τὸ κακὸν, καὶ ἡ γένεσις αὐτοῦ οὐ κατὰ δύναμιν, ἀλλὰ κατὰ ἀσθένειαν.

Καὶ ἡ ἀλλοίωσις τῶν δαιμόνων ἐκ τοῦ ἀγαθοῦ ὄντων ἀρχῆθεν, ἀλλ' οὐχ ᾗ κακῶν, ἀλλ' ᾗ ἀγαθῶν καὶ ἀγγελοειδῶν, ἢ περὶ τὴν τῆς ἀγγελοειδείας ταὐτότητα ἔλλειψις καὶ ἀσθένειά ἐστι. Λέγω δὲ ὅτι καὶ οὗτοι τοῦ ἀγαθοῦ ἐφίενται, καθὸ τοῦ εἶναι, καὶ τοῦ ζῆν, καὶ τοῦ νοεῖν ἐφίενται· καὶ ἐξ ἀποφάσεως ἐπιχειρεῖ, Εἰ οὐκ ἐφίενται τοῦ ἀγαθοῦ, ἐφίενται τοῦ μὴ ὄντος· καὶ τοῦτο ἔφεσις οὐκ ἔστιν, οὐδεμία γὰρ ἔφεσίς τισι τοῦ μὴ εἶναι, ἀλλὰ φθαρῆναι· ἀλλ' ἁμαρτία τοῦτο τῆς ὄντως ἐφέσεως.

Ἐπειδὴ εἶπεν, ὅτι τὸ κακὸν ἀσθένειά ἐστι καὶ ἔλλειψις τοῦ ἐν ἑκάστῳ ἀγαθοῦ, ἔστι δὲ ἓν τῶν ἀγαθῶν καὶ ἡ τῶν καλῶν γνῶσις, καὶ ἀκολουθεῖ ἐντεῦθεν, πᾶσαν τὴν διὰ πράξεως ἁμαρτίαν γίνεσθαι ἐν τῇ ἐλλείψει τῆς τοιαύτης γνώσεως, πῶς ἔχει τὸ, Οὐαὶ τοῖς ἐν γνώσει ἁμαρτάνουσι; καὶ τὸ, Ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν αὐτὸ, δαρήσεται πολλάς; ὥστε μὴ γινομένης τῆς τοῦ καλοῦ ἐλλείψεως, δηλονότι τῆς γνώσεως, ἡ ἁμαρτία πέφυκε γίνεσθαι. Θαυμασίως γοῦν λύει τὸ ἄπορον, ὅτι κἀκεῖσε ἔλλειψίς τις ἀκολουθεῖ, καὶ ἀσθένεια· ἀσθενοῦσι γὰρ κἀκεῖνοι ἢ περὶ τὴν πίστιν, ὡς ἀκούοντες μὲν, μὴ ἔχοντες δὲ τελείαν πίστιν τῶν λεγομένων· ἢ περὶ τὴν ἐνέργειαν κατὰ τὴν παρατροπὴν τῆς ὀρέξεως καθ' ἣν οὐ βούλεταί τις τὸ ἀγαθὸν, ἀλλὰ τὸ κακόν (καθόλου γὰρ ὁ ποιῶν τὸ κακὸν, δι' ἔλλειψιν ποιεῖ τοῦτο) ἢ τῆς γνώσεως τῆς διδακτῆς δηλονότι, ἣν καὶ λήθη πολλάκις δύναται ἀμαυρῶσαι, ἣν καὶ ἀνωτέρω ἔφη ἐξ ἀκοῆς ἐγγίνεσθαι· ἢ τῆς ἀληθοῦς γνώσεως, δηλονότι

ET SVPRA VIVENTIA.] Sciendum eſt, quando de Angelis & hominibus loquitur, ipſum Angelos vocare intellectiles, noſtras verò animas intelligentes, vti frequenter ſuperiùs declarauimus, dum interpretationem vocis *νοητοῦ* & *νοερῦ* exponebamus. Nunc autem cùm primariò de Deo agit, meritò etiam tam Angelos quàm nos intelligentes nuncupat; quòd etiã ipſi Deum intelligendo, quoad fieri poteſt, intellectione alantur, dum ad diuinam ſapientiam conuerſi ſunt, non ſecùs ac animæ humanæ atque ſenſilia, id eſt irrationalia: animata verò pariter omnia diuinam etiam participant ſapientiam in ſuis naturalibus propenſionibus, vti D. Baſilius in Hexaëmero oſtendit: & in ſapientiâ omnia quoque facta

παρίστησι, τίς ἡ οὐσία τοῦ Θεοῦ· κυρίως γὰρ οὐσία ἐπὶ Θεοῦ οὐκ ἂν λέγοιτο, ἔστι γὰρ ὑπερούσιος.

Θεαρχικῆς οὐσιαρχίας.] Οὐσιαρχίαν φησὶ, τὴν πάσης ἀρχὴν οὐσίας καὶ αἰτίαν· αὐτὴ γὰρ ἡ θεότης ὑπὲρ πᾶσαν οὐσίαν. Πρόοδον δὲ, τὴν θείαν ἐνέργειαν λέγει, ἥτις πᾶσαν οὐσίαν παρήγαγε.

Καὶ γὰρ ἡ τἀγαθοῦ θεωνυμία.] Πῶς ἀγαθὸς λέγεται ὁ Θεός. Ὅρα δὲ πῶς φησι, τὸ ἀγαθὸν, ἤτοι τὴν αὐτοῦ θεωνυμίαν, ἐκτείνεσθαι εἰς τὰ ὄντα πάντα, καὶ εἰς τὰ οὐκ ὄντα, καὶ ὑπὲρ τὰ οὐκ ὄντα εἶναι· τὸ δὲ ἓν ὑπὲρ τὰ ὄντα εἶναι, καὶ ὑπερεκτείνεσθαι αὐτό· τὴν δὲ ζωὴν ὑπὲρ τὰ ζῶντα εἶναι, καὶ τὴν σοφίαν ὑπὲρ τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικὰ ἐκτείνεσθαι· ὡς εἶναι δῆλον, ὅτι τὸ ἀγαθὸν, τουτέστιν ὁ Θεὸς, καὶ τοῦ ὄντος, καὶ ζωῆς, καὶ σοφίας αἴτιον. Τὸ δὲ, ὂν ζωῆς καὶ σοφίας αἴτιον, τοῖς οὖσι νόει ἀκολούθως.

Καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται.] Καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται τὸ ἀγαθὸν, ὡς εἰς τὸ εἶναι καλοῦν αὐτά· ἢ καὶ κατὰ τὸ εἰρημένον αὐτῷ τῷ Πατρὶ, ὅτι καὶ αὐτὸ τὸ μὴ ὂν καλὸν, ὅταν ἐν Θεῷ διὰ τὸ ὑπερούσιον θεωρῆται. Ὄντα δὲ τὰ οὐκ ὄντα ὑλικά φησιν, ὡς πολλάκις ἐδηλώσαμεν ἄνω. Ἢ οὕτως, ἐπειδὴ οὐ περιγράφεται τόπῳ ὁ Θεὸς, εἰκότως φησὶ καὶ ὑπὲρ τὰ οὐκ ὄντα αὐτὸν εἶναι, ἵνα δείξῃ τὸ ἀπερίγραπτον αὐτοῦ.

Καὶ ὑπὲρ τὰ ζῶντα.] Ἐπισημήνασθαι χρὴ, πῶς, ὅταν μὲν περὶ Ἀγγέλων φησὶ καὶ ἀνθρώπων, τοὺς Ἀγγέλους, νοητά φησι, τὰς δὲ ἡμετέρας ψυχὰς, νοερὰς, ὡς πολλάκις ἀνωτέρω παρεστήσαμεν, καὶ τὰς ἑρμηνείας ἐκθέμενοι τοῦ νοητοῦ καὶ νοεροῦ. Νῦν δ' ἐπειδὴ περὶ Θεοῦ πρωτόν φησιν, εἰκότως καὶ τοὺς Ἀγγέλους μεθ' ἡμῶν νοερούς φησιν, ἅτε καὶ αὐτοὺς διὰ τοῦ νοεῖν τὸν Θεὸν, ὅσον οἷόν τε, τρεφομένους τῇ νοήσει, τῷ ἐπεστράφθαι ἐπὶ τὴν θείαν σοφίαν, ὡς καὶ αἱ ἀνθρώπιναι ψυχαὶ, καὶ τὰ αἰσθητικὰ δὲ, τουτέστι τὰ ἄλογα· ἔμψυχα δὲ ὅμως πάντα σοφίας μετέχουσι θείας, καὶ ἐν ταῖς φυσικαῖς αὐτῶν ὁρμαῖς, ὡς καὶ ὁ θεῖος Βασίλειος ἐν τῇ Ἑξαημέρῳ δείκνυσι· καὶ αὐτὸ δὲ τὸ, ἐν σοφίᾳ γενέσθαι

πάντα,

πάντα, κατὰ τὸ εἰρημένον, Πάντα ἐν σοφίᾳ ἐποίησας. Ἡ δὲ σοφία ἐστὶν ὁ Υἱὸς, ὁ ὤν. Πάντα οὖν ἐν τῷ Υἱῷ τῷ ὄντι ἐγένοντο, φησίν.

Ἐκφαντορικάς.] Ἐκφαντορικάς φησι τὰς ἐμφαινούσας, ἤτοι παριστάσας.

Τῆς ὑπὲρ πᾶσαν ἀγαθότητα.] Σημείωσαι, ὅτι καλῶς λέγομεν, ὅτι τὴν ὑπὲρ πᾶσαν ἀγαθότητα, καὶ θεότητα. Ὑπερβεβηκυίας οὖν θεότητας νόησον, Ἀγγέλων καὶ ἀνθρώπων δικαίων.

Ἐν ἀποκρύφοις.] Ὡς τὸ, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· καὶ πάλιν, Ἐν ἀποκρύφῳ καταιγίδος.

Καὶ αἰσθήσεως μετειληφότων.] Ἐπειδὴ πρὸ μικροῦ ἔδοξέ πως ὑπόβασιν λέγειν τὸ ἀγαθὸν, εἰπὼν τοῦ ὄντος αἴτιον, καὶ οὕτω καθεξῆς, ἵνα μὴ οἱ ἀσυνέτως ἀναγινώσκοντες εὕρωσι μέμψεως ἀφορμὴν, φησὶν, οὐκ ἄλλο δὲ εἶναι τὸ ἀγαθὸν, καὶ ἄλλο τὸ ὂν, καὶ αὖ πάλιν ἄλλο τὴν ζωὴν, ἢ τὴν σοφίαν· ἓν γὰρ εἶναι τῶν ἁπάντων αἴτιον, καὶ οὐ πολλὰ, καὶ μίαν εἰκότως θεότητα πάντα παράγουσαν, τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καὶ μὴ πολλὰς θεότητας δημιουργούς. Τοῦτο δὲ οὐ περιττῶς εἶπεν, ἀλλὰ καθαπτόμενος τῶν παρ' Ἕλλησι σοφῶν, καὶ τῶν ἀπὸ Σίμωνος αἱρετικῶν, οἱ κοσμοποιοὺς φασι θεοὺς, καθόσον ὑποβεβήκασι, τοσοῦτον καὶ τὰ ἀσθενέστερα τῶν κτισμάτων παράγοντας, ἕως καὶ τῆς τῶν ἁπάντων ὑποστάθμης, ὥς φασι, τουτέστι τῆς ὕλης.

Καὶ τὴν μὲν, εἶναι.] Τὴν τοῦ ἀγαθοῦ ἐπωνυμίαν παντελοῦς προνοίας δεκτικὴν εἶναί φησι· τὰς δὲ λοιπὰς, μερικὰς, οἷον ζωὴν, καὶ σοφίαν, καὶ λόγον· καὶ πάντα μὲν γὰρ τὰ ὄντα δι' ἀγαθότητα Θεοῦ παρήχθη πρὸς ὕπαρξιν, καί εἰσιν ἀγαθὰ, ἤτοι καλὰ λίαν· οὐ πάντα δὲ, ζωῆς, ἢ λόγου, ἢ σοφίας μετέχουσι· διὸ τὰς τοιαύτας ἐπωνυμίας κατ' ἀντιδιαστολὴν τῆς παντελοῦς τέθεικεν. Ὁλικωτέρας δέ φησι τὰς ἐπὶ πλειόνων θεωρουμένας, οἷον ζωήν· φθάνει γὰρ ἐπὶ φυτῶν καὶ ζώων, λογικῶν τε καὶ ἀλόγων· σοφία δὲ καὶ λόγος μερικώτεραι· ἐπὶ μόνων γὰρ λογικῶν ὁρῶνται ταῦτα.

Καὶ τῆς ζωῆς τὴν σοφίαν.] Ἀσαφέστερόν πως ἐγκειμένης τῆς ῥήσεως, οἶμαι τὸ λε-

eſſe,iuxta quod dictum eſt,*Omnia in ſapientiâ feciſti*. Sapientia autem eſt Filius qui eſt. Omnia igitur, inquit,facta ſunt in Filio qui eſt. SCHOLIA S. MAXIMI. Pſ. 103,24

MANIFESTATORIAS.] Manifeſtatorias vocat declaratorias ſiue repræſentantes. §. 2.

QVÆ SVPRA OMNEM BONITATEM.] Nota, rectè hîc dici bonitatem ſupra omnem bonitatem ac diuinitatem. Inferiores itaque diuinitates intellige diuinitates Angelorum hominumq; iuſtorum.

IN ABSCONDITIS.] Iuxta illud, *Poſuit tenebras latibulum ſuum*; & rurſus, *In abſcondito tempeſtatis*. Pſal. 17,12 Pſal. 80,8.

ET SENSVS PARTICIPANT.] Quia paulò antè viſus fuerat quodámodò baſim dicere bonũ,dicens eſſe eius quod eſt cauſam,& ſimiliter in aliis: ne,qui imprudenter legunt, occaſionẽ reprehendendi reperirent,ait non eſſe aliud bonum & aliud exiſtentiam, & rurſus aliud vitam vel ſapientiam: vnam enim eſſe omnium cauſam, & non multas, & conſentaneè vnam diuinitatem omnia producentem, ſanctam & beatam Trinitatem, & non multas diuinitates creatrices. Hoc autem non ſuperuacaneè dixit, ſed vt ſapientes Gentilium & hæreticos Simonis diſcipulos perſtringeret, qui Deos ponebant effectores mundi,& quò inferiores eſſent, eò inferiores creaturas producere, vſque ad omnium fæcem, vt aiunt, id eſt vſque ad materiam.

ATQVE HANC QVIDEM ESSE.] Boni appellationem ait complecti omnem prouidentiam,reliqua verò nomina partes prouidentiæ, vt vitam, ſapientiam, rationem. Omnia enim quæ ſunt propter bonitatem Dei producta ſunt, vt exiſtant; & ſunt bona,id eſt,valdè pulchra, non tamen omnia participant vitam,vel ſapientiam, vel rationem: quapropter poſuit iſtiuſmodi appellationes per oppoſitionem ad omnimodè perfectam. Generaliores verò prouidentias vocat,quas in pluribus contemplamur, vt vitam; peruadit enim in ſtirpes & animantes tum rationis participes, tum non participes; ſapientia verò & ratio pauciorum ſunt, hæc enim ſolùm in ratione vtentibus cernuntur. *Bonum eſſe nomen ceteris generalius.*

ET VITA SAPIENTIAM.] Cùm ſententia hæc obſcurior ſit, exiſtimo eam talem §.3.

aliquem

SCHOLIA S. MAXIMI.

Quæ res sint ceteris præstantiores.

aliquem sensum insinuare, ac si aliquis dubitaret, ac diceret, Cur, cùm nomen ipsius entis præstãtius sit appellatione vitę, & rursum nomen vitæ præstãtius sit appellatione sapientiæ (quippe cùm id ordo ipse postulet, quemadmodum ipsemet paulò antè declarauit, cùm dixit, Et ens, & vitam, & sapientiã substantificam, & viuificam, & sapientiæ largitricem causam esse eorum quæ substantiæ, & vitæ, & mentis, & rationis, & sensus participatione gaudent) non ampliùs hunc ordinem in rebus cernimus? Oportet enim, iuxta gradus à se assignatos, entia præ viuentibus, & sentientibus, & intelligentibus, ac rationalibus, id est mentis ac rationis participibus, Deo magis appropinquare: iam ampliùs non sic, sed contrario modo se res habet; quoniam cælo, & astris, & terrâ, & aquâ, & aëre, & ex iis quæ ex ipsis oriuntur, diuinæ prouidentiæ propinquiora sunt ea quæ viuunt, tametsi vitam trahant vegetantem, vt stirpes, & similia, viuentibusque propinquiora sunt sensitiua, id est irrationalia. Bruta namque hoc plantis præstantiorem vitam sortita sunt, quòd sentiant, cùm plantæ nullo sensu afficiantur. Sensitiuis verò propinquiora Deo sunt rationalia, rationalibus verò mentes, id est virtutes supramundiales, vtpote nobis ratione præditis hoc sublimiores, quò immaterialitate & intelligendi facultate magis Deo appropinquant. Atqui econtrà oportebat res istas, quæ maioribus Dei muneribus fruuntur, præ ceteris eminere, veluti cælum, astra, & similia. atque hæc erat dubitatio. Ceterùm respondet D. Dionysius, ex mente ac ratione & sensu secundùm subordinationem etiam prærogatiuas coordinado, vti post vnam paginam reperies.

ATQVI DECEBAT EA QVÆ MAIORA.] Maiora verò munera vocat ea quæ à pluribus cernuntur, vt ens & vitam. Atqui illa quæ tantùm hæcparticipant, non sunt inter prima & præstantiora, sed inter viliora recensentur; quoniam illa quæ excellunt, inferiorum quoque cùm existendi tum viuendi proprietates continent; & in hoc excellunt, quòd licet illa, magis particularibus, hæc verò generalioribus nominibus significentur, prestantiorum tamen proprietatem minimè participent, scilicet sapientiam, & rationem, & intellectum, atque

γενόμενον τοιοῦτόν τινα νοῦν ὑποφαίνεσθαι, ὡς τινὸς ἐπαποροῦντος καὶ λέγοντος, Διὰ τί, τοῦ ὀνόματος αὐτοῦ τοῦ ὄντως ὑπερέχοντος τῆς ζωῆς τὴν προσηγορίαν, καὶ πάλιν τοῦ ὀνόματος τῆς ζωῆς ὑπεραίροντος τὴν σοφίαν (ἅτε καὶ τῆς τάξεως τοῦτο ἀπαιτούσης, ὡς καὶ αὐτὸς πρὸ βραχέος ἐδήλωσεν εἰπὼν, Καὶ ὂν, καὶ ζωὴν, καὶ σοφίαν τὴν οὐσιοποιὸν, καὶ ζωοποιὸν, καὶ σοφοδότιν αἰτίαν τῶν οὐσίας, καὶ ζωῆς, καὶ νοῦ, καὶ λόγου μετειληφότων, καὶ αἰσθήσεως) οὐκ ἔτι τὴν τάξιν ταύτην ὁρῶμεν ἐν τοῖς οὖσι; Δέον γὰρ κατὰ τοὺς εἰρημένους ὑπό σου βαθμοὺς, τὰ ὄντα πλέον τῶν ζώντων, καὶ τῶν αἰσθανομένων, καὶ τῶν νοερῶν, καὶ λογικῶν, τουτέστι τῶν νοῦ καὶ λόγου μετειληφότων, πλησιάζειν Θεῷ· οὐκέτι μὲν οὕτως, ἐξ ἐναντίας δέ ἐστιν, οἷον οὐρανοῦ καὶ ἄστρων, καὶ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ τῶν ἐξ αὐτῶν πλησιαίτερα περὶ τὴν πρόνοιαν τοῦ Θεοῦ τὰ ζῶντα, εἰ καὶ τὴν φυτικὴν ζῶσι ζωὴν, οἷα τὰ φυτὰ καὶ τὰ τοιαῦτα, καὶ τῶν ζώντων πλησιαίτερα τὰ αἰσθητικὰ, τουτέστι τὰ ἄλογα. Τῶν γὰρ φυτῶν καὶ βοτανῶν τιμιώτερα ἐν ζωῇ τὰ ἄλογα, καθ' ὃ κἂν μόνον αἰσθάνονται, τῶν φυτῶν μὴ αἰσθανομένων. Τῶν δὲ αἰσθητικῶν ἐγγύτερα τῷ Θεῷ τὰ λογικά· τῶν δὲ λογικῶν οἱ νόες, τουτέστιν αἱ ὑπερκόσμιοι δυνάμεις, ὡς ἡμῶν τῶν λογικῶν ἀνώτεραι, κατὰ τὸ ἄϋλον καὶ νοερὸν ἐγγίζουσαι μᾶλλον ἡμῶν τῷ Θεῷ. Καίτοι ἔδει τὸ ἐναντίον τὰ ὄντα καὶ μειζόνων δωρεῶν ἀπολαύοντα τοῦ Θεοῦ, ὑπὲρ τὰ ἄλλα εἶναι, οἷον τὸν οὐρανὸν, τὰ ἄστρα, καὶ τὰ τοιαῦτα. καὶ αὕτη μὲν ἡ ἐπαπόρησις. Λοιπὸν οὖν ἀποκρίνεται ὁ θεῖος Διονύσιος ἐκ τοῦ νοῦ, καὶ τοῦ λόγου, καὶ τῆς αἰσθήσεως καθ' ὑπόβασιν καὶ τὰς προτιμήσεις τάττων· οὕτως εὑρήσεις μετὰ μίαν σελίδα.

Καίτοι ἔδει τὰ τῶν μειζόνων.] Μείζονας δωρεάς φησι, τὰς ἐπὶ πλεόνων θεωρουμένας, οἷον τὸ ὂν καὶ τὴν ζωήν. Ἀλλὰ τὰ τούτων μόνον μετέχοντα, οὐκ ἐν πρώτοις καὶ κρείττοσιν, ἀλλ' ἐν τοῖς ἥττοσιν ὁρῶνται, ἐπειδὴ τὰ μὲν ὑπερέχοντα, καὶ τὰς τῶν ὑφειμένων ἔχουσιν ἰδιότητας τοῦ εἶναι, τοῦ ζῆν· καὶ κατὰ τοῦτο κρείττονα, εἰ καὶ διὰ μερικωτέρων ἐπωνυμιῶν σημαίνονται. τὰ δὲ, τῶν ὁλικωτέρων, οὐ μετέχουσι τῆς τῶν κρειττόνων ἰδιότητος, τουτέστι σοφίας, καὶ λόγου, καὶ νοερότητος,

καὶ

καὶ κατὰ τοῦτο ἥττονα, ὡς ἡττόνων, ἤγουν ὀλιγωτέρων δωρεῶν μετέχοντα· ὥσπερ οὖν τὰ ἕτερα, ὡς πλειόνων καὶ κρείττονα, καὶ Θεῷ πλησιαίτερα.

Καὶ ζῶσιν ὑπὲρ τὰ ἄλλα.] Ὅτι τὰ ὑπερκείμενα καὶ μᾶλλον Θεῷ πλησιάζοντα, λέγεται πλέον ζῆν τῶν ὑποβεβηκότων· οἷον οἱ θεῖοι νόες ὑπὲρ ἡμᾶς ζῶσιν, ὡς μᾶλλον Θεῷ πλησιάζοντες· πάλιν ἡμεῖς, ὡς λογικοί, τῶν ἀλόγων πλέον λεγόμεθα ζῆν· πάλιν τὰ ἄλογα, ὡς αἴσθησιν ἔχοντα, πλέον ζῇ τῶν φυτῶν, ὡς αἴσθησιν μὴ ἐχόντων, ἀλλὰ μόνον τὴν φυτικὴν ζωήν.

Ὁ ὤν, ὅλου τοῦ εἶναι.] Τὸ ὂν ἐπὶ τοῦ Θεοῦ λεγόμενον, ὅλου συλλήβδην τοῦ εἶναι ὑπέρεστι· τοῦτο γάρ φησιν ὑπερούσιον, ἀντὶ τοῦ ὑπὲρ τὸ ἐν γενέσει ὄν· τὸ γὰρ ὄν, οὐσία· ἀπὸ γὰρ τοῦ εἶναι, τὸ ὄνομα παρῆκται τῆς οὐσίας. Ὁ οὖν Θεός, ὡς καὶ τοῦ εἶναι ὑπερκείμενος (τὸ γὰρ Εἶναι ἐξ αἰτίας τινὸς δηλοῖ εἰς τὸ εἶναι ἀχθῆναι) ὢν ὑπερουσίως νοεῖται. Διὸ καὶ αἰὼν λέγεται εἶναι τῶν παρηγμένων ὑπ' αὐτοῦ αἰώνων· ὅπερ γάρ, μήτε ἦν, μήτε ἔσται, ἀλλ' ἔστι μόνον, τοῦτο ἑστὼς ἔχον τὸ εἶναι, τὸ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μήτ' αὖ μεταβεβηκέναι ἀπὸ τοῦ ἐστι, τοῦτό ἐστιν αἰών. Οὐ γὰρ μόνον τὰ ὄντα πάντα δεῖ παρεῖναι τῷ παντὶ καὶ ὅλῳ, ἀλλὰ καὶ τὸ μηδὲν τοῦ ποτε μὴ ὄντος· οὐδὲ γάρ τι προσγέγονεν αὐτῷ, μὴ ὂν πρότερον. Αὕτη οὖν ἡ διάθεσις καὶ φύσις, καλοῖτο ἂν καὶ εἴη αἰών· αἰὼν γὰρ ἀπὸ τοῦ ἀεὶ ὄντος εἴρηται. Εἴ τις οὖν οὕτω τὸν αἰῶνα λέγοι ζωὴν ἄπειρον, τῷ πᾶσαν ἤδη εἶναι, καὶ μηδὲν ἀναλίσκειν αὐτῆς τῷ παρεληλυθέναι, μηδ' αὖ μέλλειν, οὐκ ἂν εἴη πᾶσα· ἐγγὺς δὲ ἂν εἴη τοῦ ὁρίζεσθαι τί αἰών. Ἐκεῖνο γοῦν ἐστιν ἄπειρον, τὸ μὴ ἐπιλεῖπον· καὶ τοῦτο κυρίως, ὅτι μηδὲν ἑαυτοῦ ἀναλίσκει. Οὕτως οὖν ὁ Θεὸς καὶ αἰών, καὶ αἰῶνας ποιῶν. Αἰὼν τοίνυν ἐστὶν οὐ τὸ ὑποκείμενον, ἀλλὰ τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ἐκλάμπον. Τὰ οὖν νοητά, καὶ τὰ μὴ ὁρώμενα, κατὰ τὸν Ἀπόστολον αἰώνια· αἰώνιον δὲ οὐκ αὐτός ἐστιν ὁ αἰών, ἀλλὰ τὸ αἰῶνος μετέχον, τουτέστι τῆς ἀδιαστάτου καὶ ἀπείρου ζωῆς. Ὡς οὖν καὶ τοῦ αἰῶνος, τουτέστι τοῦ ἀεὶ ὄντος μετεχόντων, καθ' ὁμοιότητα αἰώνων λεγομένων ποιητὴς ὁ Θεός,

idcircò hoc inferiora sunt, quò minora paucioraque dona participant, sicut nempe alia etiam, quò plura participant, hoc magis præstant Deoque appropinquant.

EXCELLENTIVSQVE VIVANT ALIIS.] Quoniam ea quæ superiora Deoque magis vicina sunt, dicuntur abundantiori vitâ frui quàm inferiora: v. g. diuinæ mentes luculentiùs viuunt quàm nos, quia Deo magis appropinquant; rursùm nos, vt rationales dicimur, copiosiùs viuere quàm bruta; rursus bruta, vt sensu prędita, plus viuunt plantis, quippe sensu destitutis, & solâ vitâ vegetante viuentibus.

§. 4. *Deus est supra ipsum esse.*

QVI EST TOTIVS ESSE.] Cùm ens de Deo dicitur, est supra totum id quod est collectiuè sumptum: hoc enim vocat supra essentiale, pro supra ens creatum: ens enim est essentia; quoniam ab esse nomen essentiæ deducitur. Deus itaque, tamquam qui sit supra ipsum esse (quoniam *esse* declarat, ab aliquâ causâ in rerum naturam productum esse) superessentialiter existere intelligitur. Quocircà etiam dicitur æuum sæculorum ab ipso productorum: quod enim neque erat, neque erit, sed solùm est, habens hoc esse consistens, non mutari in erit, neque transiuisse ex erat in est, hoc est æternitas. Non solùm enim entia vniuersa oportet adesse omni & toti, sed etiam nihil eius quod alibi non est: neque enim illi aliquid accessit quod anteà non erat. Hæc igitur complexio & natura rectè vocari possit & sit æternitas; nam æternitas ab eo quod semper sit nuncupatur. Si quis igitur istâ ratione dixerit æternitatem esse vitam infinitam, quòd tota iam sit, nihilque eius consumatur præterito, neque accedat futuro, non erit hæc adæquata definitio æternitatis, sed ad eam dumtaxat aliquantulum accedet: illa igitur est infinita, nequaquam deficiens, idque propriè, quia nihil sui consumit. Sic itaque Deus & æternitas, & sæculorum conditor est. Æternitas ergo non est subiectum, sed quod ex ipsomet subiecto elucet. Itaque intellectilia & inuisibilia, secundùm Apostolũ, æterna sunt: ceterùm id quod æternum est, non est ipsamet æternitas, sed participat æternitatem, id est indistantis seu præsentis infinitæq; vitæ particeps existit. Quemadmodnm ergo æternitatis, id est eius quod semper est, participum, & per similitudinem sæculorũ nomine appellatorũ conditor Deus

Æternitas & sæculum quid.

 sæcu-

sæcula, id est intellectilia creasse dicitur, cùm ipsemet sæculũ & conseruator eorum exsistat; ita etiam temporis expers tempus dicitur, in quantum est auctor temporum: quod enim in intellectilibus est æuum, id in sensilibus est tempus. Sicut igitur ea quæ videntur, imagines sunt eorum quæ non videntur & intelliguntur, & æternitatem dicimus immutabilem illam vitam, quæ & simul tota existit, neque terminum admittit, nec omnino deficit, & in vno & propter vnum consistit; sic etiam tempus tum quidem in eo quod semper est requiescere dicimus, apparere verò in subiecto, quando etiam visibilem naturam prodire in lucem oportebat. Itaque progressum diuinæ bonitatis ad sensilia producenda vocamus tempus: non enim motus interstitiorum ad partes & tempestiuitates, & noctes, & dies, est tempus, sed eiusdem nominis cum tempore. Quemadmodum enim id quod mensurat, & quod mensuratur, solemus eodem nomine appellare; ita etiam hîc vsu venit: veluti cùm id quod cubito mensurauimus, siue pauimentum sit, siue paries, siue aliquid aliud, ipsum cubitum dicimus. Motus itaque astrorum,
Gen. 1,14 secundùm illud Scripturæ, *Sint in signa, & in tempora, & in annos*, facti sunt à Deo ad definitionem & manifestationem nobis euidentem. Is ergo qui hæc disposuit, vtique hæc fuerit supraſæculariter ac sine tempore, vt causa.

Et neque erat,] Quoniam neque Erat, neque Est, neque Erit, propriè de Deo dicitur, supra hæc enim Deus est. Ceterùm hæc etiam esse dicitur; quoniam ipse secundùm omnem cogitationem superessentialiter existit.

Quomodo Deus erat & non erat. Neque erat.] Rectè dixit, *neque erat*; nam *erat* declaratiuum est temporis: Deus autem supra illud Erat, id est supra tempus existit. Vtique dices, Quomodo etiam habetur de Dei verbo, *In principio erat Verbum?* ecce enim hîc habetur *erat*. Sæpè dicimus quòd Pater sit principium & auctor omnium: idcircò igitur ait, *In principio erat Verbum*, quoniam Filius est in Patre. Ergò benè dixit, *In principio erat Verbum*. Porrò de *erit* clarum est; hoc enim significat, quòd nunc non sit, sed erit aliquando: quod de Deo dicere, impium & ineptum.

Ioan. 1,1.

πεποιηκέναι τοὺς αἰῶνας λέγεται, ἀντὶ τοῦ τὰ νοητὰ, αἰὼν αὐτῶν ὢν καὶ συνοχεύς· οὕτω καὶ χρόνος ὁ ἄχρονος λέγεται, ἅτε καὶ χρόνων αἴτιος· ὅπερ γὰρ ἐν τοῖς νοητοῖς αἰὼν, τοῦτό ἐστιν ἐν τοῖς αἰσθητοῖς χρόνος. Ὥσπερ οὖν τὰ ὁρώμενα, εἰκόνες εἰσὶ τῶν ἀοράτων καὶ νοητῶν· καὶ αἰῶνα λέγομεν τὴν ἀτρεμῆ ἐκείνην καὶ ὁμοῦ πᾶσαν ζωὴν, καὶ ἄπειρον ἤδη, καὶ ἀκλινῆ πάντη, καὶ ἐν ἑνὶ, καὶ πρὸς ἓν ἑστῶσαν· οὕτω καὶ τὸν χρόνον τότε μὲν ἐν τῷ ἀεὶ ὄντι ἀναπαύεσθαι, ἐκφανῆναι δὲ καθ' ὑπόβασιν, ὅτε καὶ ὕστερον φύσιν ὁρατὴν ἔχρην προελθεῖν. Τὴν οὖν εἰς τὰ αἰσθητὰ πρόοδον τῆς εἰς τὸ ταῦτα δημιουργεῖν ἀγαθότητος τοῦ Θεοῦ, καλοῦμεν χρόνον· οὐ γὰρ ἡ κίνησις τῶν εἰς μοίρας καὶ ὥρας καὶ νύκτας καὶ ἡμέρας διαστάσεων, τοῦτο χρόνος, ἀλλ' ὁμώνυμον τῷ χρόνῳ. Ὥσπερ γὰρ τὸ μετροῦν καὶ μετρούμενον εἰώθαμεν ὁμωνύμως καλεῖν, οὕτω καὶ ἐνταῦθα, οἷον ἐὰν τὸ ὑπὸ πήχεως μετρούμενον, εἴτε ἔδαφος, εἴτε τεῖχος, ἢ ἕτερον πῆχυν λέγομεν. Αἱ γοῦν τῶν ἀστέρων φοραὶ, κατὰ τὸ εἰρημένον, Ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἐνιαυτοὺς, πρὸς διορισμὸν καὶ δήλωσιν ἡμῖν ἐναργῆ παρὰ Θεοῦ ἐγένοντο. Ὁ οὖν καὶ ταῦτα διατάξας, αὐτὸς ἂν εἴη ὑπεραιωνίως καὶ ἀχρόνως ταῦτα ὡς αἴτιος.

Καὶ οὔτε ἦν.] Ὅτι οὔτε τὸ Ἦν, οὔτε τὸ Ἔστιν, οὔτε τὸ Ἔσται κυρίως λέγεται ἐπὶ Θεοῦ, ὑπὲρ γὰρ ταῦτα ὁ Θεός. Λέγεται δὲ καὶ ταῦτα, διὰ τὸ κατὰ πᾶσαν ἐπίνοιαν ὑπερουσίως αὐτὸν εἶναι.

Οὔτε ἦν.] Καλῶς εἶπεν, Οὔτε ἦν· τὸ γὰρ Ἦν δηλωτικόν ἐστι χρόνου· ἔστι δὲ ὁ Θεὸς καὶ ὑπὲρ τὸ ἦν, τουτέστιν ὑπὲρ χρόνον. Ἐρεῖς οὖν, Καὶ πῶς κεῖται περὶ τοῦ Θεοῦ Λόγου, Ἐν ἀρχῇ ἦν ὁ Λόγος; ἰδοὺ γὰρ ἐνταῦθα κεῖται τὸ Ἦν. Πολλάκις λέγομεν, ὅτι ἀρχὴ καὶ αἰτία πάντων ὁ Πατήρ· διὰ τοῦτο οὖν, Ἐν ἀρχῇ ἦν, φησὶν, ὁ Λόγος, ἐπειδὴ ὁ Υἱὸς ἐν τῷ Πατρί ἐστι. Καλῶς οὖν εἶπεν, Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Τὸ δὲ Ἔσται, σαφές ἐστι· τοῦτο γὰρ δηλοῖ, ὅτι νῦν οὐκ ἔστιν, ἀλλ' ἔσται ποτέ· ὅπερ ἐπὶ Θεοῦ λέγειν, ἀνόσιον καὶ ἀπρόσφορον.

Μᾶλλον δὲ, οὔτε ἐστί.] Προσυπακουστέον καὶ ταῦτα οἷς ἐπιλέγεται κυρίως τὸ Ἐγένετο, καὶ τὰ σὺν αὐτῷ κείμενα· ἢ καὶ ἑτέρως νοητέον, ὡς ὑπὲρ πᾶσαν τοῦ εἶναι ἔννοιάν τε καὶ φαντασίαν ὑπάρχων. Διὰ δὲ τοῦ εἰπεῖν τὰ ὄντα, τὸ ὅλως αὐτὰ πρὸς ὕπαρξιν ἀχθῆναι δηλοῖ. Τὸ δὲ, Καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων, προσθεὶς, τὴν διαμονὴν αὐτῶν ἐσήμανε.

Καί ἐστιν αὐτὸ καθ' αὑτό.] Ταῦτα οὐ δεῖ νομίζειν περὶ τοῦ τῶν ἁπάντων αἰτίου λέγεσθαι, ἀλλὰ περὶ τῶν ἐξ αὐτοῦ δημιουργικῶς ὑποστάντων, νοητῶν τε, καὶ νοερῶν, καὶ αἰσθητῶν, καὶ λοιπῶν· καθὰ γὰρ προειρήκαμεν, ὁ Θεὸς πρὸ τοῦ εἶναι, καὶ γάρ ἐστι προών· τὸ δὲ Εἶναι οἷον ἔμφασιν ἔχει τινὰ προϋπόντος αἰτίου. Προὼν μὲν οὖν λέγεται ὁ Θεὸς, καὶ λοιπὸν λέγεται καὶ ὢν, ὡς ἁπάντων αἴτιος· εἶτα τὸ, εἶναι τὰ πάντα ἐξ αὐτοῦ. Τὸ οὖν εἶναι κατ' ἐπίνοιαν, ἐκ μετοχῆς ὑπέστη τοῦ προεῖναι αὐτοῦ, οὐχ ὡς μερισθέντος τοῦ Θεοῦ εἰς τὸ εἶναι καὶ προεῖναι, ἀλλὰ τὸ θέλημα αὐτοῦ τὸ παραγαγὸν εἰς τὸ εἶναι τὰ ὄντα, τοῦτο λέγεται εἶναι προϋποστὰν ἐν τῷ Θεῷ· καὶ τούτου τοῦ θείου θελήματος, εἰς τὸ εἶναι κτίσιν προορισθέντος, εἰκότως πρὸ τῶν ἄλλων, ὧν μετέχει τὰ ὄντα τοῦ Θεοῦ, πρεσβυτέρα τις ἀρχὴ ἡ τοῦ εἶναι ἐπινοεῖται αὐτὸς ὁ Θεός· πρῶτον γάρ ἐστί τι, καὶ τότε ἐστὶ καὶ ζωὴ καὶ σοφία. Οἱ γοῦν ἀόρατοι καὶ ἀνώτατοι νόες πρῶτον τοῦ εἶναι μετέχον, καὶ οὕτω ζωῆς καὶ σοφίας. Ὥσπερ γὰρ ἐφ' ἡμῶν πρώτη τις ὑπέστη ὕλη, ἀφ' ἧς ἐσμεν, οὕτω καὶ ἐπὶ τῶν ἀσωμάτων νόων, οἱονεὶ ὕλη νοεῖται αὐτὸ τὸ ὂν ἑκάστου διὰ ζωῆς εἶδος, καὶ καθ' ὃ οὐσιοῦται εἰς ζωὴν, καὶ σοφίαν, καὶ ὁμοιότητα. Ὁμοιότητα δὲ καὶ ἄνω διεξήλθομεν καὶ ταυτότητα, τὰς ἀναγωγοὺς ἐπὶ Θεὸν δυνάμεις, καθ' ἃς ὁμοιοῦνται αὐτῷ προσεχεῖς αὐτῷ οὖσαι, καὶ τούτων καθ' ὑπόβασιν μετέχουσι τὰ μετὰ ταῦτα πρώτου καὶ αὐτὰ τοῦ εἶναι μετέχοντα. Ἀρχὰς δὲ τῶν ὄντων, τὰς πρώτως ὑποστάσας ἐν τῇ κτίσει οὐσίας νόησον, ἀρχὰς λεγομένας, οὐχ ὅτι ἐξ αὐτῶν τὰ ὄντα ὡς ἀπὸ στοιχείων, ἀλλ' ὅτι, καθὰ εἴρηται, πρὸ τῶν μετ' αὐτὰς ἐδημιουργήθησαν· οἷον ἐπὶ μὲν τῶν νοητῶν, ἀρχὴ κτίσεως Θρόνοι, καὶ οὐ-

IMO NEC EST.] Subaudienda quoque hæc de quibus propriè dicitur, quòd Facta sint,& quæ illis adiunguntur: vel etiam aliter intelligendum, vt quod existat supra omnem entis cogitationem & imaginationem. Dicendo autem res,declarat eas omnino ad existentiam adductas. Illud verò quòd addat, *Et ipsum esse rerum*, ipsarum permanentiam significauit. SCHOLIA S. MAXIMI.

ET EST IPSVM PER SE.] Hæc non oportet arbitrari de omnium causâ dici, sed de rebus intellectilibus, & intelligentibus ac sensilibus, ceterisque quæ ab ipsâ per creationem producta sunt: quemadmodum enim prædiximus, Deus est ante ipsum esse, quoniam est præexistens; *esse* autem habet veluti quamdam demonstrationem causæ quæ antè subsit. Itaque Deus dicitur præexistens; ac deinde etiam dicitur existens,tamquam omnium auctor; demum, omnia ex ipso esse. Ergo *esse* secundùm conceptum nostrum subsistit per participationem eius quod præextitit, non quòd Deus diuisus sit in esse atque ante esse, sed ipsius voluntas, quæ res in esse produxit, dicitur in Deo antè substitisse; atque diuinæ huius voluntatis, quæ creaturam vt esset prędefiniuit, meritò ante alia, quæ res participât, ex Deo, antiquius aliquod essendi principium excogitatur ipse Deus: primum enim aliquid est, ac tum est & vita & sapientia. Inuisibiles itaq; & supremæ mentes primò participarunt esse, atque ita vitam ac sapientiam. Sicut enim in nobis prima quędam subsistit materia ex quâ sumus, ita etiam in mentibus incorporeis, instar materiæ, concipitur ipsummet cuiuslibet esse per vitæ speciem, secundùm quam etiam ad vitam & sapientiam & ad similitudinem essentiatnr. Porrò similitudinem & idemtitatem etiam suprà explicuimus, esse virtutes illas quæ ad Deum sursum ducunt, quibus etiam Deo assimilantur quæ ipsi adhærent, & quarum etiam, secundùm subordinationem, participatione gaudent ea quæ sequuntur, cùm etiam ipsa primum esse participent. Rerum autem principia, intellige essentias illas quæ primo loco productę sunt in rerum creatione, quę dicuntur principia, non quòd res ex ipsis tamquam elementis extiterint, sed quia, prout dictũ est, createę sint ante illa quę sequũtur: v.g. in intellectilibus principiũ creationis sunt Throni,

§. 5. Quomodo Deus existat, & praexistat.

Quæ sint rerum principia.

SCHOLIA S. MAXIMI.

& ita deinceps; in sensilibus autem principium creationis sunt cælum & terra, *In principio* enim *fecit Deus cælum & terram*, quoniam hæc in sensilium creatione prima sunt. Deinde etiam aliàs ideæ & exemplaria, quæ sunt per se perfectæ intellectiones æternæ æterni Dei, quemadmodum diximus superiùs, concipiuntur quasi quædam elementa principiaque, & per modum materię immaterialis & incorporeę eorum quę de iis ipsis ideis participant, v.g. ordinum incorporeorum secundùm ipsas productorum: siquidem ipsa per se vita, per se sapientia, & per se ordo, ceteraq; sunt in Deo exemplaria quibus communicant creaturę, non secùs ac centro lineæ rectæ quæ ad circulum ducuntur.

Exod.3,14 Quomodo Deus sit ens.

Omnibus igitur merito.] Hoc nomen imposuit sibi Deus cùm dixit, *Ego sum qui sum*: à quo idcircò consentaneè laudatur ante alia quæ de ipso dicuntur, qualia sunt, nomen vitæ, sapientiæ, & alia eiusmodi. Dicendo autem priùs esse & supra esse, declarauit esse Dei carere principio, & penitus comprehendi intelligentiâ non posse; vt qui prædestinatione cognitionis suæ ineffabilis præproduxerit omnino esse omnia: hoc enim esse statim primâ notione mens cogitat, posteà hoc aut illo aut alio modo illa esse contemplatur. Esse igitur simpliciter, non declarauit modum essendi, cùm dixit, *Per se esse*; sicut cùm deinceps dixit per se vitam, per se similitudinem, & alia eiusmodi, esse prorsus vitam, & simpliciter viuere, non verò hanc vel talem vitam significauit: & similiter in aliis, quod appellant primum esse.

Et si vis viventium.] Sicut, exempli gratiâ, in qualitatibus priùs per se qualitates insunt, posteà accidentes operantur (ita hæc intellige, vt nempe ipsa per se corporalis albedo adueniens corpori album faciat corpus) ad hunc modum, proportione in iis quæ diximus, intelligendum est, quòd nimirum Deus præexistens vt vita viuificet omnia quæ ipsum participant.

τω τὰ ἑξῆς· ἐπὶ δὲ τῶν αἰσθητῶν, ἀρχὴ κτίσεως οὐρανὸς καὶ γῆ. Ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τῶν γὰρ αἰσθητῶν, πρωτόκτιστα ταῦτα. Εἶτα καὶ ἄλλως αἱ ἰδέαι, καὶ τὰ παραδείγματα, ἅπερ εἰσὶ νοήσεις αὐτοτελεῖς ἀΐδιοι τοῦ ἀϊδίου Θεοῦ, καθὰ προέφημεν, ἐπινοοῦνται οἱονεὶ στοιχεῖα, καὶ ἀρχαὶ, καὶ ὕλη ἄϋλος καὶ ἀσώματος τῶν μετεχόντων καὶ αὐτῶν τῶν ἰδεῶν, οἷον τῶν παραχθεισῶν ἀσωμάτων τάξεων· ἡ γὰρ αὐτοζωὴ, καὶ αὐτοσοφία, καὶ αὐτοτάξις, καὶ τἄλλα τὰ ἐν Θεῷ παραδείγματά εἰσιν, ὧν μετέχουσιν αἱ δημιουργίαι, ὡς σημείου, ἤτοι κέντρου αἱ κατ' εὐθεῖαν γραμμαὶ ἐπὶ τὸν κύκλον φερόμεναι.

Πάντων οὖν εἰκότως.] Ἑαυτῷ ταύτην τὴν προσηγορίαν ἔθετο ὁ Θεὸς, εἰπὼν, Ἐγώ εἰμι ὁ ὤν· διὸ πρὸ τῶν ἄλλων, ὅσα περὶ αὐτοῦ λέγεται, οἷον ζωῆς, καὶ σοφίας, καὶ τῶν τοιούτων, εἰκότως ἀναγορεύεται. Τῷ δὲ εἰπεῖν προεῖναι, καὶ ὑπερεῖναι, τὸ ἄναρχον καὶ πάντη ἀκατάληπτον τοῦ εἶναι τοῦ Θεοῦ ὑφηγήσατο, ὃς καὶ τῷ προορισμῷ τῆς οἰκείας ἀῤῥήτου γνώσεως προϋπεστήσατο τὸ ὅλως εἶναι τὰ πάντα· τοῦτο γὰρ ἀθρόῳ καὶ πρώτην προσβολὴν ἐπιβάλλει ὁ νοῦς τῷ εἶναι, εἶθ' οὕτω τὸ ὁπωσοῦν ἔστι αὐτὰ θεωρεῖ. Τὸ οὖν ἁπλῶς ἔστι, οὐ τὸ πῶς εἶναι ἐδήλωσεν, εἰπὼν Κατ' αὐτὸ τὸ εἶναι· ὥσπερ ἑξῆς τὴν αὐτοζωὴν, τὴν αὐτομοιότητα, καὶ τὰ σὺν αὐτοῖς εἰπὼν, τὸ ὅλως εἶναι ζωὴν, καὶ ἁπλῶς τὸ ζῆν, οὐχὶ δὲ τὴν τοιάνδε ζωὴν εἰσηγήσατο· καὶ τὰ ἄλλα δὲ ὁμοίως, τοῦτο πρῶτον κατηγορεῖται τὸ ἔστι.

Καὶ εἰ βούλει, τῶν ζώντων.] Ὥσπερ λόγῳ τινὶ ἐπὶ τῶν ποιοτήτων οἱονεὶ προϋπῆρξαν αἱ αὐτοποιότητες, εἶτα συμβαίνουσαι ποιοῦσιν οὕτως (καὶ ταῦτα νόει, οἷον ἡ αὐτοσώματος λευκότης, ἐπιγινομένη σώματι, λευκαίνει τοῦτο) οὕτω καὶ τὰ εἰρημένα ὧδε νόησον ἀναλόγως, ὅτι προϋπὼν ὁ Θεὸς, ἤτοι ἡ ζωὴ, ζωοῖ πάντα τὰ αὐτοῦ μετέχοντα.

Τὰς αὐτομετοχάς.] Μετοχάς φησιν, ὧν τὰ ὄντα μετέχουσιν, οἷον αὐτὸ τὸ ἔστι, ἡ ζωὴ, ἡ σοφία, ἡ τάξις, καὶ τὰ λοιπὰ, αἵ τινες μετοχαὶ, θεῖαι τυγχάνουσι δωρεαὶ, ἃς καὶ ἀρχὰς τῶν ὄντων ἐκάλεσε.

Per se participationes.] Participationes dicit, quas ea quæ sunt participant, quale est ipsum per se esse, ipsa per se vita, ipsa sapientia, ipse ordo, & reliqua: quæ quidem participationes diuina dona sunt, quæ principia eorum quæ sunt vocauit.

Καί

SCHOLIA S. MAXIMI.

§. 6. *Quid, & quomodo mens intelligat.*

Καί ἐστιν ἐξ αὐτῆς, καὶ ἐν αὐτῇ.] Οὕτω νοητέον· Ἡ αὐτοϋπεραγαθότης, νοῦς οὖσα, καὶ ὅλη ἐνέργεια, εἰς ἑαυτὴν ἐστραμμένη, ἐνεργείᾳ ἐστὶν, οὐ δυνάμει, πρότερον οὖσα ἀφροσύνη, εἶτα νοῦς ἐνεργείᾳ γινομένη· ὅθεν καί ἐστι νοῦς μόνον καθαρὸς, οὐκ ἐπείσακτον ἔχων τὸ φρονεῖν, ἀλλὰ παρ' ἑαυτοῦ πάντως νοεῖ. Εἰ γὰρ ἡ μὲν οὐσία αὐτοῦ ἄλλη ἐστὶν, ἃ δὲ νοεῖ, ἕτερα αὐτοῦ, αὐτὸς ἀνόητος ἔσται, ἤγουν ἡ οὐσία αὐτοῦ. Εἰ τι δὲ ἔχει, παρ' ἑαυτοῦ ἔχει, οὐ παρ' ἄλλου· εἰ δὲ παρ' ἑαυτοῦ, καὶ ἐξ αὐτοῦ νοεῖ, αὐτός ἐστιν ἃ νοεῖ· οὐκοῦν νοῦς ὢν, ὄντως νοεῖ τὰ ὄντα ὡς ὤν. Εἰ οὖν νοῶν ἑαυτὸν τὰ ὄντα νοεῖ, αὐτός ἐστι τὰ ὄντα· ἢ γὰρ ἑτέρωθι ὄντα αὐτὰ νοήσει, ἢ ἐν ἑαυτῷ, ὡς αὐτοῦ ὄντα. Ἀλλαχοῦ μὲν ὄντα οὐκ δυνατὸν νοῆσαι· ποῦ γὰρ ὄντα; ἐν αἰσθητοῖς; τὰ γὰρ αἰσθητὰ οὐκ εἰσὶν ὄντα, ἅτε τρεπτὰ ὄντα, καὶ γινόμενα καὶ ἀπολλύμενα· ἑαυτὸν οὖν ἄρα καὶ ἐν ἑαυτῷ νοεῖ. Ἐπειδὴ δὲ καὶ ποιητὴς τῶν ὄντων ἐστὶν ὁ Θεὸς, ἐν τῷ μήπω ὄντι νοήσει αὐτά· ἀλλ' αὐτὸς ἀρχέτυπόν ἐστι τούτου τοῦ παντὸς· καὶ ἃ νοεῖ, οὐ τύπους λαμβάνων ἀφ' ἑτέρων, αὐτὸς ὢν τῶν ὄντων παράδειγμα· ὥστε οὔτε αὐτὸς ἐν τόπῳ, οὔτε τὰ ἐν αὐτῷ ὡς ἐν τόπῳ· ἀλλ' ἔχει αὐτὰ ὡς ἑαυτὸν ἔχων, καὶ ἐνὼν αὐτοῖς, πάντων μὲν ὁμοῦ ὄντων, καὶ ἐν ἀμερεῖ ὄντων ἐν αὐτῷ, διακεκριμένων δὲ ἐν τῷ ἀμερεῖ ἀμερῶς. Αἱ τοίνυν νοήσεις αὐτοῦ, εἰσὶ τὰ ὄντα· τὰ δὲ ὄντα, εἰσὶ τὰ εἴδη. Νοήσεις δὲ οὐχ οὕτως ἀκουστέον, ὅτι ἐπειδὴ τόδε ἐνόησεν, ἐγένετο τόδε, ἢ ἐστι τόδε· ταύτης γὰρ τῆς νοήσεως προηγεῖσθαι δεῖ νοούμενόν τι, ἵνα αὐτὸ νοῆσαι ποιήσῃ· ἀλλὰ νοεῖ τὰ ὄντα, ἅτε ἑαυτὸν νοῶν, καὶ τοῖς ἐνοῦσι συναπτόμενος· αὐτὴ γὰρ αὐτοῦ ἡ νόησις γένεσίς ἐστι τοῖς οὖσι. Τὸ οὖν ἐνὸν ἐν αὐτοῖς, τοῦτό ἐστι τὸ εἶδος, καὶ τοῦτό ἐστιν ἡ ἰδέα· αὐτὸς δὲ νοῦς ὢν ὅλως, ὅλος ἐστὶν ἐπιστήμη· τὰ δὲ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ, νόες ἐοικότες θεωρήμασι τῆς ἐπιστήμης. Εἰσὶ δὲ ὁμοῦ καὶ διακεκριμένα ἐν αὐτῷ, ὡς καὶ ἐν ψυχῇ ὁμοῦ πολλαὶ ἐπιστῆμαι οὖσαι, ἀσύγχυτοι μένουσι, καὶ ἐνεργοῦσιν ἔξω κατὰ μίαν, ὅταν δέῃ· καὶ πάσας ὁμοῦ τὰς δυνάμεις ἡ ψυχὴ ἐν ἑαυτῇ ἔχει, καθ'

ET EST EX IPSA, ET IN IPSA.] Hoc sic intelligendum est: Ipsa per se supraquam bonitas, quæ est mens & tota actus, ad seipsam conuersa in actu est, non potestate prius sine mente, posteà mens actu: vnde est etiam solùm mens pura, quæ non intelligit intelligentiâ extrinsecus introductâ, sed ex seipsâ penitus intelligit. Si enim substantia eius alia est, quæ autem intelligit alia ab ipsâ, non intelligetur ipsa, id est substantia eius. Si quid verò habet, à se habet, non ab alio: si autem à se & ex se intelligit, ipsa est ea quæ intelligit; igitur qui est intellectus, eius quod est, intelligit quæ sunt, tamquam qui est. Quare si cùm intelligit seipsum, intelligit quæ sunt, ipse est ea quæ sunt: aut enim intelliget ea quæ alibi sunt, aut quæ in seipso tamquam sua. Quæ alibi sunt, nō potest fieri vt intelligat: vbi enim sunt? an in iis quæ sub sensum cadunt? at quæ sub sensum cadunt, non sunt, vtpote mutabilia, & ortum atque interitum capientia. Se igitur & in se intelligit. Quia verò Deus auctor est eorum quæ sunt [si in se ea non intelligit] intelliget in eo quod nondum est: at ipse archetypum est, [id est primum exemplar vniuersi;] & quæ intelligit, non accipit eorum species siue formas, ab aliis, sed potiùs ipse est exemplar rerum: quare nec ipse est in loco, neque quæ in ipso sunt, tamquam in loco sunt, sed habet ea vt seipsum habens, & in eis existens; omnibus quidem simul existentibus, & in impartibili in ipso existentibus, distinctis verò in impartibili impartibiliter. Igitur notiones eius sunt res, res autem formæ sunt. Notiones verò non sic accipiendæ sunt, vt quia hòc intellexit fuerit hoc, huiusmodi enim notionem oportet vt antegressum sit aliquid quod intelligitur, quod fecit vt ipse intelligeret; sed potiùs intelligit quæ sunt, nempe intelligens seipsum, & cum iis quæ in ipso sunt copulatus; ipsa enim notio eius rebus quædam est generatio. Quod igitur ipsis inest, id est quædam species, & hoc est idea; ipse verò, cùm totus sit intellectus, totus est scientia: quæ autem ex ipso & in ipso sunt, mentes quædam existunt, quæ scientiæ ipsius contemplationes repræsentant. Sunt autem simul etiam distinctæ in ipso, vt multæ scientiæ simul in animâ existentes manent inconfusæ, &, vbi necesse fuerit, sigillatim foris operantur; & anima facultates simul omnes in seipsâ continet,

quibus

SCHOLIA S. MAXIMI.

quibus corpori prospicit, verumtamen ipsas sine confusione, dum tempus est, exerit, naturalem quidem facultatem circa corpus exercens, quâ ipsum nutrit, auget, atque aptum reddit ad generationem; potentiam verò sensitiuam exercet circa venas, arterias, carnem ac neruos, quâ res sensiles percipimus; opinatiuam verò quâ sensilia discernit, & imaginatiuam quâ sensilia imaginatur, repręsentatiuam quâ effingit, memoratiuam quâ meminit, appetitiuam quâ appetit, & animal loco mouet, assimilatiuam, & irascibilem, & concupiscibilem. has enim potentias habet, quando secundùm partem irrationalem corpus exercet; post mortem verò sola mens operabitur, hisce cessantibus.

Deus nihil habet commune cum creatis.

Et qvæ qvomodocvmqve existendo.] Ex illâ, inquit, Dei supra quam bonitate, quæ eius est essentia, rerum ipsarum substantia & perseuerantia existit. Ait autem *vnitè*, siue secundùm simplicem aliquam & comprehensiuam atque incomprehensam causam vniuersorum: nullâ enim ratione, aut notione, aut actione diuinum Numen cum rebus coniunctionem & communionem habet, sed est omnia, & omnibus supereminet, his solâ conseruatione ac prouidentiâ, vt aliquis dixerit, adhærens. Cetera autem exempla fidem adstruũt sermoni qui asserit, Omnia esse ex Deo, tamquam auctore existentiæ eorum quid aliud ab his existente, & in eo ipso quid aliud ab his existente consistere.

Habet omnem nvmervm.] Numerus enim ex multis vnitatibus compositus crescit in multitudinem. Vnitas igitur, tamquam causa numerorum, vnimodè omnes numeros in se complectitur, non secùs ac centrum siue punctum omnes rectas circuli lineas in se continet.

Et in centro.] Hæc exempla rationem confirmant. Obserua, quomodo etiam ex lineis declaret ea quæ ad Deum spectant, ipsum centro assimilans.

Vniformiter copvlatas.] Illud *vniformiter* hîc posuit pro simpliciter, & similiter, non verò aliter.

§.7. Imo et in tota natvra vniversi.] Manifestum est, partes esse in toto. Quamobrem, inquit, rationes siue potentiarum,

ἃς περινοεῖ τοῦ σώματος, καὶ ὅμως ἀσυγχύτως αὐτὰς κατὰ καιρὸν προβάλλει, τὴν μὲν φυτικὴν ἐνεργοῦσα περὶ τὸ σῶμα δύναμιν, καθ' ἣν τρέφει τοῦτο, καὶ αὔξει, καὶ πρὸς γενεὰν ἐπιτήδειον ποιεῖ· τὴν δὲ αἰσθητικὴν ἐνεργεῖ δύναμιν περὶ φλέβας καὶ ἀρτηρίας, καὶ τὴν σάρκα, καὶ τὰ νεῦρα, καθ' ἣν δύναμιν τῶν αἰσθητῶν ἀντιλαμβανόμεθα· τὴν δὲ δοξαστικὴν καθ' ἣν κρίνει τὰ αἰσθητά, καὶ τὴν φανταστικὴν καθ' ἣν φαντάζεται τὰ αἰσθητά, ἀναζωγραφικὴν δὲ καθ' ἣν ἀναπλάττει, καὶ μνημονευτικὴν καθ' ἣν μέμνηται, ὀρεκτικὴν δὲ καθ' ἣν ὀρέγεται, καὶ κινεῖ τὸ ζῶον κατὰ τόπον, καὶ εἰκαστικήν, καὶ θυμοειδῆ, καὶ ἐπιθυμητικήν· ταύτας γὰρ ἔχει δυνάμεις, σώματι χρωμένη ἐν τῷ ἀλόγῳ αὐτῆς μέρει· μετὰ δὲ θάνατον ὁ νοῦς μόνος ἔσται ἐνεργῶν, τούτων ἀργουσῶν.

Καὶ τὰ ὁπωσοῦν τῷ εἶναι.] Ἐκ τῆς τοῦ Θεοῦ ὑπεραγαθότητος, φησίν, ἥ τις ἐστὶν αὐτὸ τὸ εἶναι αὐτοῦ τοῦ Θεοῦ, ἡ ὕπαρξις τῶν ὄντων, καὶ ἡ τούτων διαμονή. Ἑνιαίως φησίν, ἤγουν κατὰ ἁπλῆν τινα καὶ περιεκτικὴν τῶν ὅλων αἰτίαν, καὶ ἄσχετον· οὐδενὶ γὰρ λόγῳ, ἢ νοήματι, ἢ πράγματι ἔχει τὸ Θεῖον τὴν πρὸς τὰ ὄντα σχέσιν τε καὶ κοινωνίαν, ἀλλ' ἔστι πάντα, καὶ κατὰ πάντα ὑπερῃρημένον, μόνῳ τῷ συνέχειν καὶ προνοεῖσθαι τούτων ἐφαπτόμενον, ὡς ἄν τις εἴποι. Τὰ δὲ ἑξῆς ὑποδείγματα πιστωτικὰ τοῦ λόγου τοῦ εἶναι πάντα ἐκ Θεοῦ, ὡς αἰτίου τῆς τούτων ὑπάρξεως, ἄλλο παρὰ ταῦτα ὑπάρχοντος, καὶ ἐν ἑαυτῷ συνεστάναι ἄλλῳ παρὰ ταῦτα ὑπάρχοντι.

Καὶ ἔχει πάντα ἀριθμόν.] Ὁ γὰρ ἀριθμὸς ἐκ πολλῶν μονάδων συντιθεμένων εἰς μέγεθος παραύξει. Ἡ οὖν μονάς, ὡς αἰτία ἀριθμῶν, ἑνοειδῶς τοὺς πάντας περιείληφεν ἀριθμούς· οὕτω καὶ τὸ κέντρον, ἤτοι σημεῖον, τὰς ἐπὶ τοῦ κύκλου εὐθείας περιέχει.

Καὶ ἐν κέντρῳ.] Ταῦτα βεβαιωτικὰ τοῦ λόγου ὑποδείγματα. Σημείωσαι, ὡς καὶ ἀπὸ τῶν γραμμικῶν τὰ περὶ Θεοῦ σαφηνίζει, κέντρῳ αὐτὸν παρεικάζων.

Ἑνοειδῶς ἡνωμένας.] Τὸ Ἑνοειδῶς ἐνταῦθα τέθεικεν, ἀντὶ τοῦ ἁπλῶς, καὶ ὁμοίως· οὐ γὰρ ἑτεροίως.

Ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων.] Πρόδηλον, ὅτι ἐν τῷ ὅλῳ τὰ μέρη. Οὐκοῦν οἱ ἐν τοῖς καθ' ἕκαστον τῶν ὄντων φυσικῶς θεω-

ρούμενοι,

ρεμένοι, τῶν ἐνυπαρχουσῶν αὐτοῖς δυνάμεων, ἢ κινήσεων λόγοι, ἐν τῇ καθόλου λαμβανομένῃ φύσει θεωροῦνται, φησίν· οἷον οἱ τῆς ἔξω φιλοσοφίας, πάντα τὰ καθ' ἑαυτῆς ὑπάρχοντα, καὶ ἐν ἄλλοις θεωρούμενα ἃ ἔμψυχά τε καὶ ἄψυχά φαμεν, ταῦτα πάντα ὑπὸ μίαν κατηγορίαν ἤγαγον, εἰπόντες οὐσίαν ἐν τῇ τοιαύτῃ φωνῇ περιελαμβάνοντο, καὶ τὰ τῶν καθ' ἕκαστον οὐσίας ἰδιώματα, καὶ οἱ λόγοι ἀσύγχυτοι μένοντες. Ἕτερος γὰρ τῶν ἐμψύχων, καὶ ἄλλος τῶν ἀψύχων ὁ λόγος· ὡσαύτως καὶ τῶν αἰσθητικῶν, τουτέστι λογικῶν τε καὶ ἀλόγων, καίτοι κατὰ τὸν τῆς οὐσίας, ἤτοι τοῦ ἁπλῶς εἶναι συνηνωμένοι λόγον. Τὸ δὲ ἐν ψυχῇ Μονοειδῶς εἴρηκε, σημαίνων, μίαν εἶναι τὴν ἐκ ψυχῆς ἐνδιδομένην ὅλῳ τῷ σώματι ζωτικὴν δύναμιν, ποικίλως ἐνεργοῦσαν ἐν τοῖς μέλεσιν.

Ἀρχὴ γάρ ἐστι τῶν ὄντων.] Εἰ αἴτιόν ἐστι τὸ δι' ὃ γίνεται τὸ γινόμενον, εἰκότως ἐν τῷ πάντων αἰτίῳ πάντα προϋφέστηκεν, ὡς ἐν ἰδέᾳ καὶ παραδείγματι, καθὰ προείρημεν, ὁμοῦ καὶ ἑνοειδῶς, καὶ τὰ ἐναντία, ὡς ἐν τῷ Θεῷ, ὡς εἴρηται ἐπιθεωρούμενα. Πῶς δὲ καὶ ἡνωμένως καὶ ἐναντία, οὕτω νοήσεις. Τὸ κοσμηθὲν ἔχει τὸ εἶδος μεμερισμένον, ὡς ἐν τῷ κόσμῳ ἀλλαχοῦ τὰ ἄστρα, καὶ ἀλλαχοῦ τὸν ἄνθρωπον· καὶ αὖθις ἄλλῃ τὸ πῦρ, καὶ ἄλλῃ τὸ ὕδωρ, ἐναντία γὰρ ὄντα, ἐὰν ὁμοῦ γένωνται, συμφθείρονται. Ἐν δὲ ταῖς νοήσεσι τοῦ Θεοῦ, καὶ πάντα ὁμοῦ ἦσαν ὄντα, καὶ ἀσυγχύτως, καὶ οὐκ ἐν τόπῳ· οὐ γὰρ σώματά εἰσιν, οὔτε ἐν σώματι, ἀλλ' ἐν ἀϊδίοις νοήσεσιν, αἵ τινές εἰσι παραδείγματα. Ὅθεν καὶ πάντων ἀρχὴ ὁ Θεός· ἀρχὴ γάρ ἐστι πᾶν τὸ προϋφεστὸς τοῦ γινομένου· καὶ πρὸς τοῖς ἄλλοις. Καὶ τάξις ἐστὶ τῶν ὡς τεταγμένων· τάξις δέ ἐστιν ἐργασία ὁμοιότητος πρὸς ἄλληλα πάντων τῶν ὄντων, καὶ συμμετρία γινομένη αἰτία κοινωνίας τῶν πρὸς ἄλληλα παντὸς τοῦ ὄντος. Ἀλλὰ καὶ πᾶσα στάσις, καὶ πᾶσα κίνησίς ἐστι τῶν ὄντων ὁ Θεός. Διαφόρως δὲ ταύτας νοητέον· καὶ ἐπὶ μὲν τῶν νοητῶν καὶ τῶν νοερῶν, ἡ φύσις ἀρχὴ οὖσα κινήσεως καὶ στάσεως, ἤτοι ἠρεμίας· ταὐτὸν γάρ ἐστιν, ἐνέργειαν δηλοῖ· ἥτε γὰρ κίνησις, ἡ εἰς διακονίας θείας καὶ διδασκαλίας τῶν ὑποβεβηκότων ἐνέργειά ἐστι ζωτική, ἥτε ἠρεμία καὶ στάσις, αἰώνιος οὖσα καὶ ἄτρεπτος, τὰ αἰ-

siue motuum insitorum, quæ in rebus singulis naturaliter considerantur, in earum naturâ vniuersaliter sumptâ considerantur; ita Philosophi profani proprietates cuiusq; substantiæ, siue viuentis siue vitâ carentis, ad prædicamentum substantiæ reuocarunt, & hoc vocabulo substantiæ eas comprehendunt, alioquin non confusis rationibus propriis substantiarum & proprietatũ. Alia est enim animatorum & alia inanimatorum ratio; similiter etiam sensu, id est ratione præditorum, & ratione carentium, etsi secundùm substantiæ seu simpliciter exsistendi rationem vniantur. Porrò vocabulum *vnimodè* in animâ vsurpauit, significans, vnicam esse vitalem facultatem ab animâ toti corpori insertam, quæ diuersimodè in membris operetur.

Proprietates rerum quales.

SIQVIDEM PRINCIPIVM EST RERVM.] Si principium sit id, quo fit id quod producitur, meritò in omnium principio omnia præextiterunt, tamquam in ideâ & exemplari, sicut antè diximus, simul & vnimodè etiam contraria, quatenus in Deo, vti dictum est, considerantur: quomodo verò etiã vnitè & contraria existant sic intelliges. Id quod ornatum est diuisam formã obtinet, vt in mũdo alibi astra sunt, & alibi homo; & rursum alibi ignis, & alibi aqua. cùm enim sint contraria, si simul forent, corrumperentur. Verùm in Dei notionibus omnia simul & inconfusè & absque loco erant: neque enim corpora sunt, neque in corpore, sed in notionibus æternis, quæ sunt exemplaria. Vnde etiam Deus omnium est principium: nam principium est, quidquid ante suum effectum extitit. Atque ordo est eorum quæ quasi ordinata sunt: ordo autem est id quod omnium rerum inter se similitudinem conciliat, vti & proportionem illam, quę causa est communionis rerũ huius vniuersi inter se. Quin etiam Deus rerum status ac motus omnis existit. Hæc autem diuersimodè intelligenda sunt, cùm in intellectilibus quidem & intelligentibus natura ipsa principium sit motus ac status, & quietis: nam hoc ipso quod est, declarat operationem; quoniam motus qui in diuinis ministeriis & inferiorum institutionibus vitalis quædam actio existit; quies autem atque status cùm quid æternum sint & immutabile, declarant, mentes illa

Principium rerũ Deus, & quomodo.

quæ

SCHOLIA S. MAXIMI.

quæ sui muneris sunt operari, ac diuinis donis adimpleri. In sensilibus verò, cùm natura etiam sit principium motus & status, seu quietis, motum quidem manifestat in productione, statum verò seu quietem per substantiæ interitum seu cessationem siue conuersionem. Deus autem hæc esse perhibetur, quippe qui superessentialiter principium sit: motus autem in Deo est, benignus prouidentiæ processus in ea quæ ex ipso & per ipsum existunt; status autem est, quòd eodem semper modo se habeat, & sine egressu ignotam suam quietem & intrepidam turbæ vacationem possideat. Obseruandum autem, vt intellectiles virtutes æternas appellarit, vtpote æternitatis participes. quæ verò hoc affirmat Scriptura, hæc
2.Cor.4,18 est: *Quæ enim videntur temporalia sunt; quæ autem non videntur æterna sunt.* Quæ verò in aliis existunt, sunt veluti sanctitas, vitæ beatitudo: hæc enim in intellectilibus & intelligentibus substantiis sunt istiusmodi; secundùm intelligentiam autem in intellectilibus à nobis tum Angeli tum homines, quasi per participationem, Dij ac Domini & potentes virtute appellantur.

OMNIS DEFINITIO, ET CETERA QVÆCVMQVE.] Ea quæ existendo res sunt, hæc ait in aliis considerata existere, & non secundùm se: nam substantiæ (has enim res appellauit) sunt eorum quæ per se existunt, quas designant immortalitas, sapientia, ordo, conuenientia, & iis adiuncta, quæ in aliis esse dicuntur: veluti etiam quæ sensu circa corpora spectantur, vt color, figura, quantitas, & similia, quæ sine corporibus consistere non possunt, verùm Pater hæc distinxit ab iis quæ sunt secundùm cogitationẽ. Hæc verò dicimus esse illa quæ notione percipiuntur, vt notitia, ratio, sensus, & similia, quæ solâ cogitatione, quasi reflexo intellectionis actu, cognoscimus; vel etiam secundùm cogitationem ait esse intellectilia, & quæ nullo modo sensibus subiecta sunt.

§.8. INTELTECTILES AC INTELLIGENTES.] Nota verò, *intellectiles* respectu nostri, *intelligentes* respectu Dei intelligi.

ET ESSE.] Et Deiformiter esse.

CETERAQVE OMNIA.] Quoniam ipse auctor est vt sint omnia, etiam antequam existerent, in quantum est idea seu exemplar ipsius existentiæ, prout hinc demonstratur. Nam illud ipsum esse, non ipsum

κεῖα ἐνεργεῖν δηλοῖ τοὺς νόας, καὶ τῶν θείων ἐμφορεῖσθαι. Ἐπεὶ δὲ τῶν αἰσθητῶν ἡ φύσις ἀρχὴ οὖσα κινήσεως καὶ στάσεως, ἤτοι ἠρεμίας, τὴν μὲν κίνησιν δηλοῖ εἰς τὸ εἶναι παραγωγήν, τὴν δὲ στάσιν, ἤτοι ἠρεμίαν, τὴν διὰ τῆς φθορᾶς τοῦ εἶναι, ἢ παῦσιν, ἢ μεταβολήν. Λέγεται δὲ ταῦτα εἶναι ὁ Θεὸς, ὡς αἴτιος αὐτὸς ὑπάρχων ὑπερουσίως· κίνησις δὲ ἐπὶ Θεοῦ, ἡ εἰς τὰ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ ἐν ἀγαθότητι προνοητικὴ πρόοδος· στάσις δὲ τὸ ἀεὶ ὡσαύτως ἔχειν, καὶ ἀνεκφοιτήτως, ἑαυτοῦ τὴν ἀνεπίγνωστον ἠρεμίαν καὶ ἀτρεμῆ ἀοχλησίαν κεκτῆσθαι. Σημειωτέον δὲ, ὅτι τὰς νοητὰς δυνάμεις αἰωνίας ἐκάλεσεν, ὡς αἰῶνος μετεχούσας. ἡ δὲ τοῦτο λέγουσα Γραφή ἐστι, Τὰ γὰρ βλεπόμενα πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. Τὰ δὲ ἐν ἑτέροις ὑπάρχοντα, εἰσὶν οἷον ἁγιασμὸς, ἀθανασία, διαζωΐα· ταῦτα γὰρ ἐν νοηταῖς καὶ νοεραῖς οὐσίαις τοιαῦτά εἰσι, κατ' ἐπίνοιαν δὲ λέγονται ἐν τοῖς νοητοῖς καὶ ἡμῖν, ὡς θεοὶ καὶ κύριοι καὶ δυνατοὶ ἰσχύϊ Ἄγγελοι κατὰ μέθεξιν καὶ ἄνθρωποι.

Πᾶς ὅρος, καὶ τὰ ἄλλα.] Ὅσα τῷ εἶναι ὄντα εἰσὶ, ταῦτά φησιν ἐν ἑτέροις θεωρούμενα ὑπάρχειν, καὶ οὐ καθ' ἑαυτά· αἱ γὰρ οὐσίαι (ταῦτα γὰρ ἐκάλεσεν ὄντα) τῶν καθ' ἑαυτά εἰσιν, ἅς τινας χαρακτηρίζουσιν ἀθανασία, σοφία, τάξις, ἁρμονία, καὶ τὰ σὺν αὐτοῖς, ἅπερ ἐν ἑτέροις ὑπάρχειν λέγονται· ὥσπερ καὶ τὰ κατ' αἴσθησιν περὶ τὰ σώματα ὁρώμενα, οἷον χρῶμα, σχῆμα, πηλικότης, καὶ τὰ ὅμοια, ἅπερ σωμάτων ἐκτὸς συνίστασθαι ἀδύνατον, διεῖλε δὲ αὐτὰ ὁ Πατὴρ τῶν κατ' ἐπίνοιαν. Ταῦτα δὲ εἶναί φαμεν τὰ τῇ νοήσει καταλαμβανόμενα, οἷον νόημα, λόγον, αἴσθησιν, καὶ τὰ τοιαῦτα, ἅ τινα τῇ ἐπινοίᾳ μόνῃ, οἱονεὶ τῇ ἐπενθυμήσει γνωρίζομεν· ἢ καὶ κατ' ἐπίνοιαν λέγει, τὰ νοητὰ, καὶ αἰσθήσει ὑποπίπτοντα μηδαμῶς.

Αἱ νοηταὶ καὶ νοεραί.] Σημείωσαι δὲ, ὅτι τὸ Νοηταὶ ὡς πρὸς ἡμᾶς, τὸ δὲ Νοεραὶ ὡς πρὸς τὸν Θεὸν νοεῖται.

Καὶ τὸ εἶναι.] Καὶ τὸ θεοειδῶς εἶναι.

Καὶ τὰ ἄλλα πάντα.] Ὅτι αὐτὸς αἴτιος τοῦ εἶναι τὰ πάντα, καὶ πρὸ τοῦ εἶναι, ἅτε καὶ ἰδέα ἤτοι παράδειγμα ὢν τοῦ εἶναι, ὡς ἐντεῦθεν δηλοῦται. Τὸ γὰρ αὐτὸ εἶναι, οὐκ αὐτὸ

ἐστιν ὁ

ἐστιν ὁ Θεὸς διὰ τὸ εἶναι τὸν Θεόν, ἀλλὰ διὰ τὸν Θεὸν καὶ τὸ εἶναί ἐστι καὶ λέγεται, διὸ ἐν τῷ Θεῷ ἐστι τὸ εἶναι ὡς ἰδέα. Οὐ μὴν ὁ Θεὸς ἐν τῷ εἶναί ἐστι, πρὸ γὰρ τοῦ εἶναι ἦν· ὅμως διὰ τὸ πάντων αἴτιος εἶναι, καὶ παραγωγεὺς δείκνυται, καὶ ἔξω πάντων ἐστίν, ὡς αἴτιος πάντων, καὶ τοῖς τῶν πάντων γνωρίσμασι προσαγορεύεται, ὡς τὰ πάντα παραγαγών.

Καὶ αὐτοῦ ἐστι τὸ εἶναι.] Αὐτοῦ μὲν, ὡς ἐξ αὐτοῦ ἐστι τὸ εἶναι· ἐν αὐτῷ δὲ, τῷ συντηρεῖσθαι παρ' αὐτοῦ. Οὐκ αὐτὸς δὲ τοῦ εἶναι, οὐδὲ ἐν τῷ εἶναι συνεχόμενος, ὑπὲρ γὰρ τὸ εἶναι, ὁ ὑπερούσιος.

Καὶ οὐκ αὐτὸς ἐν τῷ εἶναι.] Προσυπακουστέον ἐν ἀμφοτέροις τὸ Αἴτιον, τουτέστι, τὸ εἶναι αὐτὸν ἔχει αἰτίαν, καὶ οὐκ αὐτὸς, ὡς ἐκ προηγουμένης αἰτίας, ἔχει τὸ εἶναι.

Κατὰ πᾶσαν τὴν ὄντων ἐπίνοιαν.] Ἡ τῶν ὄντων θεωρία, ἣν ἐνταῦθα ἐπίνοιαν ἐκάλεσε, πολλή τις οὖσα καὶ ποικίλη, πάσῃ ἐπιβολῇ τοῦ νοῦ, περιπαντῶσαν εὑρίσκει τοῦ αἰτίου τὴν ἔννοιαν, ἤγουν τοῦ δημιουργοῦ. Τὸ οὖν πολλαπλασιάζεσθαι δηλοῖ, τὸ ἐν τοῖς πολλοῖς τὸν αὐτὸν αἴτιον θεωρεῖσθαι.

Καὶ τὸ ἔστι, καὶ τὸ ἔσται.] Ἅπερ ἐν τῷ περὶ αὐτοῦ ἀπέφησε, νῦν, εἰσφέρων τῷ Θεῷ, ἀναγκαίως ἑαυτὸν ἑρμηνεύων, ἐπὶ τὴν τοῦ αἰτίου ἔννοιαν ταῦτα νοεῖν ὑποβάλλει. Τὸ μὲν οὖν Ἐγένετο, καὶ Γίνεται, καὶ Γενήσεται, ἐπὶ μὲν τῶν κτισμάτων κυρίως κατηγορεῖται· τὰ μὲν γὰρ ἅπαξ ἐγένετο, οἷον οὐρανὸς, Ἄγγελοι, ἥλιος, καὶ τὰ τοιαῦτα, ἐφ' ὧν χώραν οὐκ ἔχει τὸ Γίνεται καὶ Γενήσεται. Τὸ δὲ παρὰ τοῦ Δαβὶδ λεχθὲν, Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, ἢ κατὰ τὸ συντηρεῖσθαι ληπτέον, καθὰ εἴρηται, Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται· ἢ κατὰ τὴν συνήθειαν τῆς Γραφῆς, ἐνηλλαγμένως τὴν σημασίαν τὴν χρονικὴν πολλάκις προαγούσης, καὶ ἀντὶ παρῳχηκότος μέλλοντι κεχρημένης, καὶ τὸ ἔμπαλιν. Ἐπὶ τούτων μὲν οὖν κυρίως τὸ Ἐγένετο, Γίνεται δὲ καὶ τὰ ἐν γενέσει καὶ φθορᾷ πάντα, καὶ ὅσα κατὰ ἀντιπεριχώρησιν, οἷον ἡ νὺξ, ἡ ἡμέρα, θέρος καὶ ἔαρ, καὶ τὰ τοιαῦτα· Γενήσεται δὲ μόνως, ἅ τινα οὔπω γεγόνασιν ὅλως, προσδοκᾶται δὲ, οἷον ἡ τοῦ παντὸς μεταστοιχείωσις, καὶ τὰ σὺν αὐτῇ. Ὡς τούτων οὖν ἁπάντων αἴτιος ὁ Θεὸς ὑμνεῖται· οὐ γὰρ εἶπε, Ταῦτα ἐπ' αὐτοῦ κατηγο-

est Deus vt Deus sit, sed per Deum & esse est, & dicitur, quoniam illud est in Deo per modum ideæ. Neque certè Deus est in illo esse, nam ante illud esse existebat: quin imò, quia omnium auctor est, eorumdem quoque productor declaratur, & ipse est extra omnia tamquam auctor omnium, & nominibus omnium appellatur, vt qui omnia produxit.

ET EIVS EST EXISTENTIA.] Ipsius quidem, quia ex ipso est existentia; in ipso verò, quòd ab ipso conseruetur. Ipse autem non est existentiæ, neque in existentiâ continetur; est enim supra existentiam, qui suprasubstantialis existit.

ET NON IPSE IN EXISTENTIA.] Subaudiendum est in vtrisque principium, id est, existentia habet ipsum auctorem, neq; ipse, velut ex principali causâ, existentiã habet.

SECVNDVM OMNIVM EORVM QVÆ SVNT COGITATIONEM.] Rerum contemplatio, quam hîc cogitationem appellauit, cùm multiplex sit & varia, reperit notionem causæ seu conditoris omni mentis conatui obuiantem. Hoc itaque *multiplicari* significat, eamdem causam in multis considerari.

ET EST, ET ERIT.] Quæ priùs negauerat, nunc, de Deo loquens, necessariò seipsum explicans, subiungit se hæc intelligere secundùm notionem causæ. Ergo Erat, & Est, & Erit, propriè quidem de creaturis prædicatur: aliqua enim semel facta sunt, vt cælum, Angeli, sol, & similia, in quibus locum non habet verbum Fit & Fiet. Quod autem à Dauide dicitur, *Qui facit Angelos suos spiritus*, vel accipiendum secundùm conseruationem, sicut dictum est, *Pater meus vsque modò operatur*; vel iuxta consuetudinem Scripturæ, quæ frequenter inuerso temporis ordine quidpiam enuntiat, & pro præterito vtitur futuro, & contrà. In his autem propriè dicitur *factum est*, *fit* verò dicitur de omnibus quæ in generatione & corruptione versantur, & quæ alternantur, vt nox, dies, æstas, & ver, & similia: *fient* verò tantùm illa quæ necdum omnino facta sunt, sed exspectantur, vt transelementatio vniuersi, & quæ illam comitabuntur. Deus itaque tamquam horum omnium causa celebratur: non enim dixit, Hæc de ipso

Quomodo dicatur de Deo erat, est, erit.

Psal. 103, 4

Ioan. 5, 17.

 enun-

SCHOLIA S. MAXIMI.

enuntiantur, sed, Propriè laudantur. Verbum autem *erat*, & quæ illi adiuncta sunt, secundùm omnem notionem nulli nisi Deo congruet, quoniam illud *erat* in ipso supra omne principium consideratur; *est* verò & *erit*, tamquam de omnis vicissitudinis ac mutationis experte, propter quod etiam supraessentialis nuncupatur. Item. Quomodo, cùm dixisset superiùs, *In ipso nec est erat, nec est, nec erit, neque factum est, neque fit, neque fiet*, hîc dicit, *In ipso est & erit, & illud fit & fiet propriè laudatur?* an sibi contradicit Dionysius? Apage: suprà enim ipsum dixit esse effectorem existentiæ, hypostasis, substantiæ, naturæ & temporis. Consentaneè igitur in ipso collocauit illud *erat*, & alia, vt intelligas, nec à tempore, nec in tempore, neque post tempus Deum cœpisse, quin potiùs superiorem esse quàm ipsum esse: siquidem in ipso dixit esse existentiam, & non esse ipsum existentiæ; hîc autem, quia dixit multiplicari eum secundùm omnem cogitationem, meritò dixit in ipso illud *est*, & *erit*, & quæ sequuntur: quia vbi tempus aut tempestiuitates cogitabis, illic Deum reperies, & supra omnia & ante omnia esse, & eorum quæ sunt causam & effectorem esse, & nihil ipsorum esse; sicut dicebamus, nihil est eorum quæ sunt, & ipse est in omnibus.

Quomodo Deus sit nihil omnium, & omnia.

Et nihil est omnium.] Contra illud, esse omnis figuræ, opposuit, esse sine formâ; quia supra incorporeum & supra vacationem materiæ, non formatus ad quidquam eorum quæ sunt. Contra illud verò, esse omnis speciei, opposuit, esse sine pulchritudine. Sine pulchritudine dicit, quia ab ipso facta est pulchritudo; ipse verò est supra pulchritudinem: auctoritates verò Scripturæ sunt, *Vidimus eum, & non habebat speciem, neque pulchritudinem*, & quæ sequuntur. *Isa. 53.*

Si enim sol ille noster.] Infrà in fine sequentis sermonis seu sexti capitis, vbi signum habetur, ostendit, solem nihil à seipso facere, sed ex omnium causâ & principio, quod est Deus. Pulchrè autem exemplo solis declarauit, quid de Deo cogitandum. Quemadmodum enim sol, cùm sit vnicus, omnia sensitiua fecundat, & alit, & auget, & immutat, id est ex paruis magna reddit, quin etiam ex semine, id quod ex eo nascitur germen aut arborem, & est in omnibus

ῥεῖται, ἀλλὰ Κυρίως ὑμνεῖται. Τὸ δὲ Ἦν, καὶ τὰ σὺν αὐτῷ κατὰ πᾶσαν ἐπίνοιαν οὐκ ἄλλῳ τινὶ ἢ τῷ Θεῷ ἁρμόσει, διὰ τὸ πάσης ἀρχῆς ἀνώτερον ἐπ' αὐτοῦ θεωρεῖσθαι τὸ Ἦν. τὸ δὲ Ἔστι καὶ τὸ Ἔσται ὡς πάντη τὸ ἀναλλοίωτον, καὶ κατὰ πάντα ἀμετάβλητον ἔχοντος, διὸ καὶ ὑπερούσιος λέγεται. Εἰς τὸ αὐτό. Πῶς, ἀνωτέρω εἰπὼν, Οὔτε ἦν, οὔτε ἐστὶν, οὔτε ἐγένετο, οὔτε γίνεται, οὔτε γενήσεται, ἐνταῦθά φησιν, Ἐπ' αὐτοῦ καὶ τὸ ἔστι, καὶ τὸ ἔσται, καὶ τὸ ἐγένετο, καὶ τὸ γίνεται, καὶ γενήσεται κυρίως ὑμνεῖται; ἆρα ἐναντίως ἑαυτῷ λέγει ὁ ἅγιος Διονύσιος; Μὴ γένοιτο· ἄνω μὲν γὰρ αὐτὸν δημιουργὸν εἶπε πάσης ὑπάρξεως, ὑποστάσεως, οὐσίας, φύσεως, καὶ τοῦ χρόνου. Εἰκότως οὖν ἐπὶ αὐτοῦ τὸ Ἦν ἔταξε, καὶ τὰ ἕτερα, ἵνα νοήσῃς, ὅτι οὔτε ἀπὸ χρόνου, οὔτε ἐν χρόνῳ, οὔτε μετὰ χρόνον ἤρξατο ὁ Θεὸς, ἀλλ' ὅτι καὶ αὐτοῦ τοῦ εἶναι ἀνώτερός ἐστιν· ἐν αὐτῷ γὰρ εἶπε τὸ εἶναι, ἐνταῦθα δὲ, ἐπειδὴ κατὰ πᾶσαν ἐπίνοιαν εἶπεν αὐτὸν πολλαπλασιάζεσθαι, δικαίως εἶπεν ἐπ' αὐτοῦ καὶ τὸ Ἦν, καὶ τὸ Ἔσται, καὶ τὰ ἑξῆς, ἵνα οἷον καιρὸν ἢ χρόνον ἐπινοήσῃς, ἐκεῖ τὸν Θεὸν εὑρήσεις καὶ ὑπὲρ τὰ ὄντα, καὶ προόντα, καὶ αὐτὸν τῶν ὄντων αἴτιον καὶ δημιουργὸν, καὶ οὐδὲν ἐξ αὐτῶν ὄντα, ὥσπερ λέγομεν, ὅτι οὐδὲν τῶν ὄντων ἐστὶ, καὶ ἐν τοῖς πᾶσίν ἐστι.

Καὶ οὐδέν ἐστι τῶν πάντων.] Πρὸς τὸ πανσχήμων, τὸ ἄμορφος, διὰ τὸ ὑπὲρ ἀσωματίαν, καὶ ὑπὲρ αὐλίαν, οὐ μεμορφωμένος πρός τι τῶν ὄντων. Πρὸς δὲ τὸ πανειδὲς, τὸ ἀκαλλής. Ἀκαλλῆ δὲ λέγει, ὡς καὶ τοῦ κάλλους ἐξ αὐτοῦ γεγονότος, αὐτοῦ δὲ καὶ ὑπὲρ κάλλος ὄντος· αἱ δὲ Χρήσεις, Καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, καὶ τὰ ἑξῆς.

Εἰ γὰρ ὁ καθ' ἡμᾶς ἥλιος.] Κάτω ἐν τῷ τέλει τοῦ ἑξῆς λόγου, ἤτοι τοῦ ἕκτου κεφαλαίου, ὅπου τὸ σημεῖον, δείκνυσιν ὅτι οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ ὁ ἥλιος, ἀλλ' ἐκ τῆς πάντων αἰτίας καὶ ἀρχῆς, ἥτις ἐστὶν ὁ Θεός. Καλῶς δὲ ἀπέδειξεν ἐκ τοῦ ἡλίου τὸ περὶ Θεοῦ νοούμενον. Ὥσπερ γὰρ αὐτὸς εἷς ὢν ὁ ἥλιος, πάντα τὰ αἰσθητὰ ζωογονεῖ καὶ τρέφει, καὶ αὔξει, καὶ ἐναλλάττει, τουτέστιν ἀπὸ μικρῶν μεγάλα ποιεῖ, ἢ καὶ ἀπὸ σπόρου τὸ ἐξ αὐτοῦ φυόμενον βλαστὸν ἢ δένδρον· καὶ ἐν πᾶσι

τοῖς

τοῖς ὁρωμένοις ἐστὶ, μηδὲν ἐξ αὐτῶν ὑπάρχων· οὕτω καὶ ὁ Θεὸς καὶ αὐτοῦ τοῦ ἡλίου, καὶ πάντων τῶν αἰσθητῶν, καὶ τῶν νοητῶν, καὶ τῶν νοερῶν, ὧν αἴτιος, οὐδὲν ἐκ τῶν ὄντων ἐστὶ, καὶ ἐν τοῖς πᾶσίν ἐστιν· αὐτοῦ γὰρ τὰ πάντα μετέχει, διὸ καὶ ἡ Γραφὴ δικαιοσύνης ἥλιον αὐτὸν ὀνομάζει.

Παραδείγματα.] Τὰ παραδείγματα, ἅτινα καὶ ἰδέας καλοῦσιν, ἤδη μὲν καὶ ἀνωτέρω ἐδηλώσαμεν, ὅπως ὁρίζονται, ὅτι ποίησιν αὐτοτελῆ ἀΐδιον τοῦ ἀϊδίου Θεοῦ τὴν ἰδέαν, ἤτοι τὸ παράδειγμά φησι. Καὶ ἐνταῦθα μέντοι σαφηνίζει ὁ μέγας Διονύσιος τὴν Γραφὴν, προορισμοὺς καλῶν τὰς ἰδέας, αἰνιττόμενος τὸν θεῖον Παῦλον, ὃς ἐν τῇ πρὸς Ῥωμαίους φησὶν, Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ ἑτέρωθι, Προορίσας ἡμᾶς ἐν τῷ θελήματι αὐτοῦ. Θέλημα γὰρ καὶ προορισμὸν τὰ παραδείγματα καὶ τὰς ἰδέας λέγει. Παράγει μέντοι καὶ τὸν μακάριον Κλήμεντα (οὗ μέμνηται ὁ Ἀπόστολος) εἰπόντα, ἐν τοῖς οὖσιν εἶναι παραδείγματα ἀρχηγικώτερα, οἷον τῶν πρός τι. Σαφέστερον δὲ οὕτως ἔσται τὸ λεγόμενον. Ἔστι τὶς δόξα γραμμῇ ἀπεικάζουσα τὰ πάντα· καὶ τῆς γραμμῆς τὸ μὲν ἄνω μέρος τοῖς νοητοῖς ἀποδιδοῦσα, τὸ δὲ κάτω τοῖς αἰσθητοῖς· καὶ τούτων τοῖς μὲν ἀρχηγικωτέροις, ἅπερ εἰσὶ τὰ ἰδίως νοητὰ, τὸ πρῶτον καὶ ἀνώτερον μέρος· τοῖς δὲ ἐκ τῶν νοητῶν, τὸ μετ᾽ ἐκεῖνο· εἶθ᾽ οὕτω καθ᾽ ὑπόβασιν τῆς γραμμῆς, τὰ ἄλλα. δεῖξαι γὰρ θέλει ἡ τοιαύτη δόξα, μὴ τῆς ἀξίας τῆς αὐτῆς εἶναι τὰ πάντα, ἀλλ᾽ ἐξ ἀλλήλων ἔνια γενόμενα, οἷον τὰ ὑφειμένα εἴδη, τῶν καθολικῶν ἐν δημιουργίᾳ καὶ ἀρχῶν, ἃς καθολικὰς ἀρχὰς ἀρχηγικώτερά φησι. Τὸν οὖν ἱερὸν Κλήμεντά φησι λέγειν, εἶναι καὶ ἐν τοῖς ποιήμασι παραδείγματα γενικώτερα, ἤτοι ἰδέας τῶν πρός τι, ἀντὶ τοῦ τῶν ὑποβεβηκότων εἰδῶν τῶν πρός τι τῶν ὑπερβεβηκότων ὑπόδειγμα ὑποστάντων, οἷον τὸ ἔνυλον πῦρ πρὸς τὸ αἰθέριον. Ἀλλ᾽ οὐ ταῦτα κυρίως ἰδέας φησὶν ὁ μέγας Διονύσιος, ἀλλὰ τὰς νοήσεις τοῦ Θεοῦ. Κἂν γὰρ λέγηται παραδείγματα ἐν κτίσει, ἀλλ᾽ οὐ προσκυνητὰ, ὥς φησι Μωϋσῆς. Ποῦ δὲ ταῦτα εἶπεν ὁ ἅγιος Κλήμης, οὐκ ἐδήλωσε.

Παραδείγματα δέ φαμεν εἶναι.] Πλάτων μὲν τὰς ἰδέας καὶ τὰ παραδείγματα ταπει-

quæ cernuntur, cùm nihil ſit ex ipſis; ſic etiam Deus & ipſius ſolis & omnium ſenſilium & intellectilium atque intelligentium auctor, nihil eſt ex rebus, & in omnibus exſiſtit: omnia enim ipſum participant, propter quod etiam ipſum Scriptura Solem iuſtitiæ appellat.

Exemplaria.] Exemplaria, quæ etiam ideas vocant, iam quidem ſuperiùs declarauimus, quomodo definiantur, ſcilicet quòd notionem per ſe perfectam, æternam, æterni Dei vocent ideam, id eſt exemplar. Hîc tamen explanat Dionyſius Scripturam, cùm ideas vocat prædefinitiones, ſignificans obſcurè Paulum, qui in Epiſtolâ ad Romanos ait, *Quos autem prædeſtinauit, hos & vocauit*; & alibi, *Qui prædeſtinauit nos in voluntate ſuâ*; voluntatem enim & prædeſtinationem ſiue prædefinitionem, ideas & exemplaria dicit: quin etiam S. Clementem citat (cuius mentionem facit Apoſtolus) dicentem, eſſe in rebus exemplaria principaliora, tamquam eorum quæ ad aliquid referuntur. Verùm ita clariùs erit quod dicitur. Eſt opinio quædam, quæ omnia lineæ aſſimilat, & ſuperiorem lineæ partem intellectilibus attribuit, inferiorem verò ſenſilibus: atque iis quidem quæ inter hæc primatum tenent, quæ ſunt propriè intelligibilia, primam ac ſupremam partem; intelligentibus autem inferioribus, inferiorem, & ita ceteris, ſecundùm lineæ deſcenſum. Siquidem talis opinio vult docere, omnia non eſſe eiuſdem dignitatis, ſed quædam ex ſe mutuò dependere, veluti in creatione, ſubiectas ſpecies ab vniuerſalibus atque principiis, quæ principia vniuerſalia dicit eſſe nobiliora. Ait itaque S. Clementem dicere, in creaturis eſſe quædam exemplaria generaliora ſeu ideas eorum quæ ad aliquid, id eſt ſubiectarum ſpecierum, quæ ad aliquod ſuperiorum exemplar referuntur, veluti ignis materialis ad æthereum; verùm hæc Magnus Dionyſius cenſet non eſſe propriè ideas, ſed Dei cogitationes. Etſi enim dicantur exemplaria in creaturâ, non tamen adorari debent, vti Moyſes teſtatur. Vbi autem S. Clemens hæc dixerit, minimè declarauit.

Rom. 8,30

Ephes. 1,5.

Exod. 25.

Exemplaria vero dicimvs esse.] Plato quidem ideas & exemplaria viliter & in-

SCHOLIA S. MAXIMI.

Quales ideæ sint in Deo, & quales non.

indignè Deo accepit; sed hic Pater dictione quidem vsus est, sed eius sensum piè exposuit. ait verò, esse diuinas volitiones rerum definitrices atque effectrices; cùm quia solâ volitione cuncta producit & efficit, tum quia res diuersæ formæ ac differentes producuntur. Nota igitur, quòd exemplaria vocet in Deo rationes rerum substantificas, & vnitè præexistentes siue prædefinitiones.

§. 9. PROGREDITVR QVIDEM NON PER PROPRIA.] B. Clemens potiùs secutus est opinionem quamdam quæ asserebat, etiam in generatione rerum sensilium esse causas quasdam principales, v. g. intellectilium siue incorporeorum Angelorum operationes, siue ad essentiam productiones habere causas principales ideas seu Dei notiones; penes quas ideas, vtpote causas exemplares, ipsæ res intellectiles, veluti primariæ præcipuæque quædam operationes, existant. In sensilibus autem, principalem ac beantem creantemque causam esse formam, vti in materiâ, dicta tradit opinio: in naturæ enim generatione præcipuam ait formam esse, secundùm quam sensilia informata sunt. Fortassis igitur B. Clemens hoc dixisse videtur: sed hæc propriè non possunt vocari exemplaria seu principes ideæ causæve primariæ, non enim ex illis hæ proueniunt, sed ex Dei notionibus, qui solus adorandus est.

PROMANATIONIS AC BONITATIS.] Promanationem vocat contemplationem, quæ non tantùm circa se occupatur, sed diffunditur, & progreditur, atque facit vt res subsistant.

OMNIA QVIDEM IN SE.] Quoniam ait, Deum in omnibus rebus exultare, secundùm illud Psalmi, *Lætabitur Dominus in omnibus operibus suis.* & in Prouerbiis, *Ego eram quâ delectabatur.* Illud autem *præhabet* hîc ponit pro prædestinauit, & præconcepit. (Ps. 103, 31)

OMNEM DVPLICITATEM.] Quoniam aliqui dicebant, ideas & exemplaria per se subsistere, hos modò, cùm Gentiles essent, refutat, & ait, nisi ideæ simplices fuerint & vnitæ, cùm sint notiones supraquam simplices supraquam simplicis & vniti Dei, Deum ipsum fore compositum ex exemplari & seipso, quod quid duplex appellauit. Illud

νῶς καὶ ἀναξίως Θεοῦ ἐξείληφεν· ὁ δὲ Πατὴρ τῇ μὲν λέξει ἐχρήσατο, τὴν δὲ ἔννοιαν εὐσεβῶς ἐξηγήσατο. Ἀφοριστικὰ δὲ ἔφη τὰ θεῖα θελήματα καὶ ποιητικά, τὸ μέν, ὅτι μόνῳ τῷ βούλεσθαι τὰ πάντα ὑφίστησι καὶ ποιεῖ, τὸ δέ, καὶ διὰ τὸ ἑτεροειδῆ καὶ διάφορα τὰ ὄντα γίνεσθαι. Σημείωσαι οὖν, ὅτι παραδείγματα καλεῖ, τοὺς ἐν τῷ Θεῷ τῶν ὄντων οὐσιοποιοὺς καὶ ἑνιαίως προϋφεστῶτας λόγους, ἤτοι προορισμούς.

Προάγει μέν, οὐ διὰ κυρίων.] Μᾶλλον ὁ μακάριος Κλήμης δόξῃ τινὶ κατηκολούθησε λεγούσῃ, καὶ ἐν τῇ γενέσει τῶν ὄντων αἰσθητῶν εἶναι ἀρχικάς τινας αἰτίας, οἷον τὰς τῶν νοητῶν, ἤτοι ἀσωμάτων Ἀγγέλων ἐνεργείας, ἤτοι εἰς οὐσίαν παραγωγάς, αἰτίας ἀρχικὰς ἔχειν τὰς ἰδέας, ἤτοι νοήσεις τοῦ Θεοῦ· περὶ ἃς ἰδέας παραδειγματικὰς οὔσας, τὰ νοητὰ εἶναι ὡς ἐνεργείας ἀρχικὰς καὶ ἡγεμονικάς. Ἐπὶ δὲ τῶν αἰσθητῶν, αἴτιον ἀρχικόν, καὶ εὐδαιμονικόν, καὶ δημιουργικὸν τὸ εἶδος, τὸ ἐπὶ τῇ ὕλῃ εἰρημένη φησὶ δόξα· τὸν γὰρ λόγον τῆς ἐν γενέσει φύσεως, καθ' ἣν εἰδοποιήθη τὰ αἰσθητά, τοιοῦτον εἶδός φησιν ἀρκτέον. Ἔοικεν οὖν τάχα τοῦτο εἰρηκέναι ὁ μακάριος Κλήμης· οὐκ ἔστι δὲ κυρίως ταῦτα εἰπεῖν παραδείγματα, ἤτοι ἰδέας ἀρκτικάς, ἤγουν ἀρχικὰ αἴτια· οὐ γὰρ ἐξ αὐτῶν ταῦτα, ἀλλ' ἐκ τῶν Θεοῦ νοήσεων, ὃς μόνος προσκυνητός.

Προόδου καὶ ἀγαθότητος.] Πρόοδόν φησι, τὸ μὴ μόνον αὐτὴν περὶ τὴν αὐτῆς ἀσχολεῖσθαι θεωρίαν, ἀλλὰ χεθῆναι, καὶ ὁδεῦσαι, καὶ τὰ ὄντα ὑποστήσασθαι.

Πάντα μὲν ἐν ἑαυτῇ.] Ὅτι ἐπὶ πᾶσι τοῖς οὖσιν ἀγάλλεσθαί φησι τὸν Θεόν, κατὰ τὸ ψαλμικόν, Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. καὶ ἐν Παροιμίαις, Ἐγὼ ἤμην ᾗ προσέχαιρε. Τὸ δὲ Προέχει, ἐνταῦθα ἀντὶ τοῦ προώρισε καὶ προείληφε, κεῖται.

Πᾶσαν διπλόην.] Ἐπειδή τινες τὰς ἰδέας καὶ τὰ παραδείγματα, ἐνυπόστατα ἔφησαν, τούτους ἐπιρραπίζει νῦν, Ἕλληνας ὄντας, καί φησιν, εἰ γὰρ μὴ ἁπλῶς καὶ ἑνιαίως εἶεν αἱ ἰδέαι, νοήσεις ὑπερηπλωμέναι οὖσαι τοῦ ὑπερηπλωμένου καὶ ὑπερηνωμένου Θεοῦ, σύνθετος ἂν εἴη ὁ Θεὸς ἐκ παραδείγματος καὶ ἑαυτοῦ, ὅπερ διπλόην ὠνόμασε. Τὸ δὲ

Ἀγαλ-

Ἀγαλλομένη συμφωνεῖ τῷ Δαβὶδ, Εὐφρανθήσεται Κύριος, καὶ τὰ ἑξῆς.

Καθάπερ καὶ φωνὴ μία.] Σημείωσαι τὸ τῆς φωνῆς, ὅτι ἀσώματος καὶ μία οὖσα ὑπὸ πολλῶν ὁμοίως ἀκούεται, καὶ οὔτε δαπανᾶται ἐκ τοῦ πλήθους. Οὕτω καὶ ὁ Θεὸς ὑπὸ πάντων ἐπίσης μετέχεται· τοῦτο γάρ ἐστι τὸ Ἑνικῶς. κατὰ ἀναλογίαν δὲ τῆς πίστεως, καὶ οὔτε μεριζόμενος δαπανᾶται.

Ὡς τοῦ ἕνεκα.] Ἄνω ἐν τῷ περὶ τούτου κεφαλαίῳ εἴπομεν, τελείως ὁρίσαντες, τελικὸν αἴτιον εἶναι, τὸ τοῦ ἕνεκα τὸ γινόμενον.

Καὶ πέρας πάντων.] Τῷ πέρατι πάντως ἡ ἀπειρία ἀντεπινοεῖται. Ὁ δὲ Θεὸς καὶ πέρας πάντων, οὐδὲν γὰρ ἐκβαίνει τὴν αὐτοῦ πρόνοιαν καὶ δυναστείαν. Καὶ ἀπειρία δὲ, ἐπεὶ κατὰ τὴν θείαν Γραφὴν, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· καὶ πάλιν, Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται πέρας. Ὡς οὖν ἀπερίληπτος καὶ ἄπειρος, ταῦτα γὰρ ὑπερεξόχως ἔχει ὁ Θεὸς, καὶ πάντα ὑπερβεβηκὼς καὶ πέρας παντὸς πέρατος ὤν· εἰς αὐτὸν γὰρ τὰ πάντα περατοῦνται, καὶ ἀπειρία ἐστὶ πάσης ἀπειρίας. Κἂν οὖν ἀπειρία λέγηται καὶ ἡ ὕλη, ὡς ἀεὶ μετασχηματιζομένη, καὶ ἄλλοτε εἰς ἄλλα εἴδη μεταβάλλουσα, ἀλλ' οὖν πεπέρασται ἐν τῷ Θεῷ, εἰ καὶ ἄστατός ἐστι καὶ ἀόριστος ὑπὸ Θεοῦ μεταγομένη εἰς εἰδοποιΐας. Καὶ εἰκότως ὁ Θεὸς πέρας ἐστὶ τῆς τοιαύτης ἀπειρίας, καὶ ἄπειρος τοῖς πέρασι τῶν ὄντων, ὡς καὶ τὴν ὕλην ἐξ οὐκ ὄντων παραγαγών· φησὶ γὰρ ἡ Γραφὴ, Ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.

Ἐν ἑνὶ γὰρ, ὡς πολλάκις.] Ἀντίκειται τὸ πέρας τῇ ἀπειρίᾳ κατὰ ἀπόφασιν καὶ κατάφασιν, ὡς τὸ θνητὸν καὶ τὸ ἀθάνατον. Καλῶς δὲ τὸ, Ὡς ἀντικειμένων· οὐ γὰρ κυρίως ταῦτα ἀλλήλοις ἀντίκειται, οἱονεὶ κατὰ τὴν ἕξιν ἢ στέρησιν, ἀλλ' ὡς εἴρηται, κατὰ ἀπόφασιν καὶ κατάφασιν.

Παρὸν τοῖς πᾶσι.] Πανταχοῦ γάρ φησι παρὸν, καὶ τοῖς καθ' ἓν ἕκαστον, καὶ τοῖς πᾶσιν ὁμοῦ πάρεστι καὶ ὁμοίως. Καὶ ἑστὼς δὲ λέγεται ὁ Θεὸς, τῷ κατὰ μηδὲν ὅλως ἐν αὐτῷ μεταβολὴν θεωρεῖσθαι· κινούμενος δὲ, τῷ συνέχειν τὰ ὄντα καὶ συντηρεῖν· καὶ ταῦτα δὲ ὑπὲρ πᾶσαν ἐπίνοιαν, διὸ καὶ ἐπήγαγε τὸ, Οὔτε ἑστὼς, οὔτε κινούμενος.

autem *delectatur* consonat Dauidico isti, *Lætabitur Dominus*, &c. Psal.103, 31.

QVEMADMODVM ETIAM VNA VOX.] Nota vocis proprietatem, quòd cùm incorporea sit & vna, à pluribus similiter audiatur, neque à multitudine consumatur. Sic etiam Deus æqualiter ab omnibus participatur, illud enim designat istud *vnicè:* neq; verò etiam pro fidei ratione diuisus consumitur.

VT CVIVS CAVSA.] Suprà capite præcedenti, perfectè finalem causam definientes, dicebamus, eam esse cuius gratiâ aliquid fit. §.10.

ET OMNIVM TERMINVS.] Ex opposito termini infinitas consideratur; Deus autem est terminus omnium: nihil enim eius effugit prouidentiam ac potestatem. Est etiam infinitas, quoniam, iuxta Scripturam diuinam, *& sapientiæ eius non est numerus*; & Psal.146,5
iterùm, *Et regni eius non erit finis.* Itaque Luc.1,33.
tamquam incomprehensibilis & infinitus, hæc enim Deus habet supereminenter, cùm omnia transscendat, & omnis termini terminus existat; in ipso enim omnia terminantur, atque infinitas est omnis infinitatis. Etsi igitur materia etiã infinitas dicatur, vt perpetuò transfigurata, atque in alias atq; alias formas mutata, nihilominùs in Deo terminatur, etsi instabilis & indefinita in formæ susceptionẽ traducatur. Et meritò Deus istiusmodi infinitatis terminus rerumque terminis infinitus existit, quippe qui etiam materiam ex nihilo producat; dixit enim Scriptura: *Ex ipso, & per ipsum,* Rom.11,36
& in ipsum omnia.

IN VNO ENIM VT SÆPENVMERO.] Finis opponitur infinitati secundùm negationem & affirmationem, sicut mortale & immortale. Pulchrè autem dixit, *vt oppositorum:* non enim hæc propriè sibi opponuntur quasi secundùm habitum & priuationem, sed, vti dictum est, secundùm negationem & affirmationem.

PRÆSENS OMNIBVS.] Vbique enim præsens, cùm singulis tum omnibus simul pariter adest. Quin & stans Deus dicitur, quia in eo nulla prorsus mutatio cernitur; & se mouens, quia res continet atque conseruat: & hæc quidem supra omnem notionem, quocirca etiam addidit, *neque stans, neque mouens.*

SCHOLIA S. MAXIMI.

ET STANS ET SE MOVENS.] Videtur quodammodò contrarium id quod dicitur, stans & se mouens, & neque stans neque mouens: quomodo enim eadem res & stat & mouetur, aut neque stat nec mouetur? Primùm quidem, diuina non sunt ex sensilibus intelligenda, neque inde species seu imagines sumendæ sunt. Ne autem solutione carere videamur, diximus superiùs, statum esse generationem, motum verò alterationem seu mutationem. Est itaq; Deus omnium generatio, quoniam hæc semper producit vt sint, atque ita Deus stat. Rursum verò mouetur, quoniam vniuersa transformat & immutat in melius: per ipsum enim euadimus pulchriores, vnde etiam paulò antè de illo D. Dionysius ait, quod sit rerum omnium principium & finis. illud enim *neque stans neque mouens* exponit id quod præcedit, *in se manens & ad omnia means:* communicat enim rebus omnibus integritatem suam, cùm nec ipse mutetur neque alteretur, iuxta quod di-
Ps. 101, 28 ctum est, *Tu autem idem ipse es.* Ergo Deus & progreditur, & in semetipso manet.

NEC EST IN QVOPIAM EORVM QVÆ SVNT.] Non dixit in aliquo; nam in omnibus etiam incomprehensibilis existit. Res autem æternas vocat substantias supramundiales, quia naturâ temporis priores sunt; quoniam tempus à cæli terræque creatione computatur.

ET AB IIS QVÆ SVNT IN TEMPORE.] Dictum est superiùs æternum propriè dici non ipsam æternitatem, sed quod æternitatis est particeps. Quòd autem *ipsi nihil conueniat*, intellige secundùm substantiam. Nota verò, res quasdam esse æuiternas, vt Angelos; neque omne quod æternum est, principio carere. In sequenti autem capite, statim sub initium, vocabulo æterni etiam vsus est in Deo.

ET MENSVRÆ RERVM.] Sæcula intelligibilium, tempus verò sensilium mensuræ sunt: siquidem intellectilia, quatenus mensuræ subiecta sunt, sæculo mensurantur, etsi æquiuocè res mensuratæ cum mensuris sæcula vocentur; Angeli enim etiam sæcula appellantur. Ita fit etiam in sensilibus: nam quæ tempore mensurantur, æquiuocè tempora vocantur, vt motus astrorum, & solis, & ætates vitæ; tempore enim mensuratæ tempora dicuntur.

Καὶ ἑστὼς καὶ κινούμενος.] Δοκεῖ πως ἐναντίον εἶναι τὸ εἰρημένον, τὸ Ἑστὼς καὶ κινούμενος, καὶ Οὔτε ἑστὼς οὔτε κινούμενος· πῶς γὰρ τὸ αὐτὸ πρᾶγμα καὶ ἵσταται καὶ κινεῖται, ἢ οὔτε ἵσταται οὔτε κινεῖται; Πρῶτον μὲν, οὐ δεῖ ἐκ τῶν αἰσθητῶν κατανοεῖν τὰ θεῖα, ἢ τὰς εἰκόνας ἐντεῦθεν λαμβάνειν. Ἵνα δὲ μὴ δόξαιμεν λύσεως ἀπορεῖν, στάσιν εἴπομεν ἐν τοῖς ἔμπροσθεν τὴν γένεσιν, κίνησιν δὲ τὴν ἀλλοίωσιν, ἤτοι μεταβολήν. Ἔστιν οὖν ὁ Θεὸς πάντων γένεσις, ἀεὶ γὰρ ταῦτα εἰς τὸ εἶναι παράγει, ὥστε ἕστηκεν ὁ Θεός. Κινεῖται δὲ πάλιν, διότι πάντα μετασχηματίζει καὶ ἀλλοιοῖ πρὸς τὸ κρεῖττον· δι' αὐτοῦ γὰρ καλλίονες γινόμεθα, ὅθεν καὶ περὶ αὐτοῦ πρὸ μικροῦ φησιν ὁ θεῖος Διονύσιος, Πάντων ἀρχὴ καὶ τελευτὴ τῶν ὄντων· τὸ γὰρ, Οὔτε ἑστὼς οὔτε κινούμενος, τὸ περὶ αὐτοῦ ἐξηγεῖται τὸ Μένων ἐφ' ἑαυτοῦ, καὶ ἐπὶ πάντα προϊών· μεταδίδωσι γὰρ πᾶσι τοῖς οὖσι τῆς οἰκείας ὁλότητος, καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος αὐτός ἐστι, κατὰ τὸ εἰρημένον, Σὺ δὲ ὁ αὐτὸς εἶ. Οὐκοῦν καὶ πρόεισι καὶ ἐφ' ἑαυτοῦ μένει ὁ Θεός.

Οὔτε ἔν τινι τῶν ὄντων.] Οὐκ ἔν τινι εἶπεν· ἐν πᾶσι γὰρ καὶ διὰ τὸ ἐν πᾶσιν ἄσχετον. Αἰωνίως γὰρ ὄντα, τὰς ὑπερκοσμίους φησὶν οὐσίας, διὰ τὸ πρὸ τῆς τοῦ χρόνου φύσεως γενέσθαι αὐτάς· χρόνος γὰρ ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ γῆς ποιήσεως ἀριθμεῖται.

Ἢ τῶν χρονικῶς.] Εἴρηται καὶ ἀνωτέρω, αἰώνιον λέγεσθαι κυρίως οὐκ αὐτὸν τὸν αἰῶνα, ἀλλὰ τὸ αἰῶνος μετέχον. Τὸ δὲ Προσήκει, νόησον κατ' οὐσίαν. Σημείωσαι δὲ, ὅτι εἰσί τινα τῶν ὄντων αἰώνια, οἷον Ἄγγελοι· καὶ ὅτι οὐ τὸ αἰώνιον, ἤδη καὶ ἄναρχον. Ἐν δὲ τῷ ἐφεξῆς κεφαλαίῳ εὐθὺς ἐν ἀρχῇ, τῇ τοῦ αἰωνίου φωνῇ καὶ ἐπὶ τοῦ Θεοῦ κέχρηται.

Καὶ τὰ μέτρα τῶν ὄντων.] Μέτρα τῶν ὄντων εἰσὶν οἱ αἰῶνες τῶν νοητῶν, καὶ ὁ χρόνος τῶν αἰσθητῶν· τὰ γὰρ νοητὰ, ὡς ὑπὸ μέτρου μετρεῖται, τοῦ αἰῶνος, εἰ καὶ ὁμωνύμως τῷ μετροῦντι αἰῶνι, καὶ τὰ μετρούμενα λέγονται αἰῶνες· γὰρ λέγονται καὶ οἱ Ἄγγελοι. Οὕτω καὶ ἐπὶ τῶν αἰσθητῶν· τὰ γὰρ μετρούμενα τῷ χρόνῳ, ὁμωνύμως χρόνοι λέγονται, ὡς καὶ ἡ κίνησις τῶν ἄστρων, καὶ τοῦ ἡλίου, καὶ οἱ βίοι· μετρούμενοι γὰρ ὑπὸ χρόνου, χρόνοι λέγονται.

PARA-

PARAPHRASIS PACHYMERÆ.

§. 1.

Μετενεκτέον τὸν λόγον ἐπὶ τὴν ὄντως οὖσαν οὐσιωνυμίαν. Ὡς γὰρ ἀγαθωνυμίαν λέγει τὴν τοῦ ἀγαθοῦ ὀνομασίαν, οὕτω καὶ οὐσιωνυμίαν, τὴν τοῦ ὄντος ὀνομασίαν, οἱονεὶ ὀντωνυμίαν· τὸ δὲ ὂν, καὶ ἡ οὐσία ταὐτόν. Ὑπομνήσωμεν δὲ τοσοῦτον, ὅτι οὐκ ἔστι τῷ λόγῳ σκοπὸς, αὐτὴν τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος, ἐκφαίνειν· ἀλλ' ἐκφαίνειν μὲν τὴν πάσης οὐσίας ἀρχὴν, αἰτίαν, οὐσίαν, οὐ καθὸ δὲ ὑπερούσιον (τὸ γὰρ ὑπὲρ οὐσίαν ὂν, πῶς ἐκφανθήσεται κατ' αὐτό;) ἀλλὰ καθὸ ἀπὸ τῶν ἑτέρως ὄντων καὶ παρ' αὐτῆς παραχθέντων εἰς αὐτὴν ἀναγόμεθα. Ἐκείνη γὰρ καθ' αὑτὴν ἀνέκφαντός ἐστι, καὶ αὐτὴν τὴν ἕνωσιν ὑπεραίρουσα, ἕνωσιν λέγων τὸ τοῦ ὄντος ἑνιαῖον καὶ ὡρισμένον καθὸ ὄν ἐστιν. Ὡς γὰρ τὸ μὴ ὂν οὐχ ἕν, ἀλλ' ἐκ πολλῶν καὶ ἀπείρων ἐλλείψεων παραγόμενον· οὕτως τὸ ὂν ἕν, καθὸ ὂν καὶ ὡρισμένον, ὑπὲρ ὅ ἐστιν ἡ ὑπερούσιος οὐσία, ἥ τις ὀνομάζεται ἕν, οὐχ ὡς ἀριθμῶν ἀρχὴ, ἀλλὰ διὰ τὸ πάντων ἐξῃρῆσθαι, καὶ οὐδὲν συναριθμούμενον ἔχειν τῶν μετ' αὐτὴν, ἄλλως δὲ καὶ διὰ τὸ ἀσύνθετον καὶ ἁπλοῦν. Τέως δὲ, κἂν ἓν ἂν εἴπῃς τὸ Θεῖον, οὐ τοῦτο παρίστησι τὴν οὐσίαν τοῦ Θεοῦ· κυρίως γὰρ οὐσία ἐπὶ Θεοῦ οὐκ ἂν λέγοιτο, ἔστι γὰρ ὑπερούσιος· διὰ τοῦτο ὑπεραίρει καὶ αὐτὴν τὴν ἕνωσιν. Ὡς γοῦν ἐπὶ τοῦ ἀγαθοῦ ἐλέγομεν, ὅτι ἡ θεία ἀγαθότης καὶ εἰς τὰ ὄντα, καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται (οὐκ ὄντα δὲ ῥητέον τὰ ὑλικὰ καὶ τὴν ὕλην) ἢ τὰ πῇ μὲν ὄντα, πῇ δὲ οὐκ ὄντα, καὶ οὐχ ἁπλῶς τὰ μηδαμῇ μηδαμῶς ὄντα· ἢ τρίτον, κατὰ τὸ εἰρημένον αὐτῷ τῷ Πατρὶ, ὅτι καὶ αὐτὸ τὸ μὴ ὂν, καλὸν, ὅταν ἐν Θεῷ διὰ τὸ ὑπερούσιον θεωρῆται. Ὡς γοῦν ἐπὶ πᾶσιν ἡ ἀγαθότης τοῦ Θεοῦ διήκει, καὶ πάλιν ὑπὲρ ταῦτά ἐστιν, ὑπὲρ τὸ ὂν μὲν, ὅτι οὐκ ἔστι τι τῶν ὄντων· ὑπὲρ τὸ οὐκ ὂν δὲ, ὅτι καὶ ἅπαν τοιοῦτον εἰδοποιεῖ· οὕτως καὶ ἡ τοῦ ὄντος οὐσιωνυμία εἰς πάντα τὰ ὄντα ἐκτείνεται, πᾶσι τὸ εἶναι διδοῦσα, καὶ ὑπὲρ ταῦτά ἐστιν, ὅτι οὔ τι τῶν ὄντων

Modo transeundum est ad essentiale nomen entis verè existentis. Quemadmodum enim *ἀγαθωνυμίαν* vocat nomen boni, sic & *οὐσιωνυμίαν*, nomen entis, sicut *ὀντωνυμίαν*: ens autem & essentia sunt idem. Ceterùm tantùm admonebimus sermonis huius scopum non esse, ipsam supraessentialem essentiam, quatenus superessentialis est, explicare, sed exponere quidem omnis substantiæ principium, causam, essentiam, non in quantum essentiam superat (quod enim supra essentiam existit, quomodo secundùm se explicari posset?) sed in quantum ab aliis entibus ab ipsâ productis ad ipsam adducimur: ipsa enim secundùm se ineffabilis existit, & ipsam vnionem excedit; per vnionem intelligens entis vnitatem ac definitionem, secundùm quam ens est. Quemadmodum enim id quod non est non est vnum, sed ex multis atque infinitis defectibus productũ; sic etiam id quod est, vnum est, in quantum ens est ac definitum, supra quod existit essentia illa supraessentialis, quæ vnum nominatur, non vt principium numerorum, sed quòd omnibus emineat, nullisque rebus quæ post ipsum sunt connumerari possit, quin etiam propter compositionis vacuitatem atque simplicitatem. Itaque, si Deum quoque vnum dixeris, non hoc essentiam Dei explicabit: nam essentia propriè de Deo non dicitur, quoniam superessentialis est, quocircà hanc ipsam vnionem extollit. Quemadmodum igitur de bono diximus, diuinam bonitatem se extendere & ad ea quæ sunt, & ad ea quæ non sunt (per ea scilicet quæ non sunt materialia materiamque intelligendo) vel ea quæ partim quidem sunt, partim verò non sunt, nôn autem ea quæ nullibi vsquam sunt; vel tertiò, vt dictum est à S. Patre, quòd id ipsum quod non est pulchrum sit, quandoquidem in Deo per id quod superessentiale est consideretur. Quemadmodum igitur in omnibus bonitas Dei relucet, & rursum his eminet, supra ens quidem, quia non est quidquam eorum quæ sunt; supra non ens verò, quia quidquid tale est informat: sic etiam essentiale entis nomen ad omnia porrigitur, cùm omnibus esse donet, & supra ipsa sit, quia nihil est eorum quæ sunt.

Quo sensu Deus dicatur vnum bonũ, &c.

PARAPHRASIS PACHYMERÆ.

sunt. At enim hîc quispiam quæsiuerit, Quomodo in bono quidem dicit bonitatem pertingere ad ea quæ sunt & ea quæ non sunt, in ente autem hoc non dicit, sed tantùm pertingere ad ea quæ existunt? Vtique dicendum, ens quidem bonum factum manere sæpenumerò non ens: cùm enim materia quoque non ens dicatur, vtique materia quoque bonum videbitur impropriâ ratione accepta & sine formis intellecta, tametsi non per se sit, vtpote à Deo producta, maneatque rursum non ens. Quomodo autem ens non enti coëxtendi possit, & maneat rursum non ens, hoc vtique impossibile est. Securè igitur proponit hæc Sanctus. Similiter etiam nomen vitæ boni Dei ad omnia viuentia extenditur, & supra hæc est, vti & sapientiæ ad omnia rationalia & intelligentia, Angelos inquam & sensilia, id est ad animas corporeas extenditur, & supra hæc eminet. Sciendum verò, quando de Angelis & hominibus solis loquitur, ipsum Angelos vocare intelligibiles, nostras verò animas intelligentes; nunc autem cùm de Deo sermo est, meritò etiam tam Angelos quàm nos intelligentes appellare, quòd etiam ipsi Deum intelligendo intellectione alantur, non secùs ac animæ humanæ. Sensilia verò intelliges etiam irrationalia, vt quę etiam diuinam sapientiam participent in suis naturalibus propensionibus, vt in araneâ & formicâ ceterisque omnibus patet.

§. 2. *Dei nomina sumi à prouidentiis.*

Has igitur Dei nominationes, quæ prouidentias Dei aperiunt & proponunt ac manifestant, propositum est prædicare, non verò illam quæ supra omnem bonitatem ac deitatem (nam & Angeli hominesque iusti Dij appellantur) in absconditis sedem

Psal. 80, 8. posuit, iuxta illud, *In abscondito tempestatis*; atque illud, *Posuit tenebras latibulum*

Psal. 17, 12. *suum*: sed bonitatem illam quæ bonorum omnium rerumque causa existit, & vitam quæ viuentium causa est, sapientiamque sapientiæ largitricem; quòd hinc manifestum fit, dum vnà cum effectu causam coniungit, vt nimirum ex effectu clarè causa demonstretur; vel etiam demonstratio dicitur non particulæ διότι, sed ὅτι, vt quando demonstramus lunæ oppositionem per eclipsim. Quoniam igitur Deus bonum est, & ens, &

ἐστίν. Ἀλλ' εἴποι τις ἂν ἀπορῶν ἐνταῦθα, Πῶς ἐπὶ μὲν τοῦ ἀγαθοῦ λέγει ὅτι διήκει ἡ ἀγαθότης καὶ εἰς τὰ ὄντα καὶ εἰς τὰ μὴ ὄντα, ἐπὶ δὲ τοῦ ὄντος οὐ λέγει τοῦτο, ἀλλὰ μόνον, διήκει εἰς τὰ ὄντα; Καὶ ῥητέον, ὅτι τὸ μὲν ὂν ἀγαθυνόμενον μένει πολλάκις μὴ ὄν· ἐπεὶ γὰρ μὴ ὂν λέγεται καὶ ἡ ὕλη, ἀγαθὸν δόξειεν ἂν καὶ ἡ ὕλη ἡ νόθῳ λογισμῷ καταλαμβανομένη, καὶ δίχα τῶν εἰδῶν νοουμένη, εἰ καὶ μὴ καθ' αὑτήν ἐστιν, ὡς ἐκ Θεοῦ παραχθεῖσα, καὶ μένει πάλιν μὴ ὄν. Τῷ δὲ μὴ ὄντι, πῶς ἐκταθείη τὸ ὄν, καὶ μένει μὴ ὂν πάλιν, τοῦτο πάντη τῶν ἀδυνάτων. Ἀσφαλῶς γοῦν τίθησι ταῦτα ὁ Ἅγιος. Ὁμοίως καὶ ἡ τῆς ζωῆς ὀνομασία τοῦ ἀγαθοῦ Θεοῦ εἰς πάντα τὰ ζῶντα ἐκτείνεται, καὶ ὑπὲρ ταῦτά ἐστι, καὶ ἡ τῆς σοφίας εἰς πάντα τὰ λογικὰ καὶ νοερά, τοὺς Ἀγγέλους φημὶ, καὶ αἰσθητικά, δηλονότι τὰς μετὰ σωμάτων ψυχὰς ἐκτείνεται, καὶ ὑπὲρ ταῦτά ἐστι. Χρὴ δὲ εἰδέναι, ὅτι ὅταν περὶ Ἀγγέλων καὶ ἀνθρώπων μόνων φησὶ, τοὺς Ἀγγέλους νοητοὺς φησι, τὰς δὲ ἡμετέρας ψυχὰς, νοεράς· νῦν δὲ ἐπειδὴ περὶ Θεοῦ φησιν, εἰκότως καὶ τοὺς Ἀγγέλους μεθ' ἡμῶν νοερούς φησιν, ἅτε καὶ αὐτοὺς διὰ τοῦ νοεῖν τὸν Θεὸν τρεφομένους τῇ νοήσει, καθὼς καὶ αἱ ἀνθρώπιναι ψυχαί. Αἰσθητικὰ δὲ νοήσεις καὶ τὰ ἄλογα, ὡς καὶ αὐτὰ θείας σοφίας μετέχοντα, ἐν ταῖς φυσικαῖς αὐτῶν ὁρμαῖς, ὡς ἐπὶ τῆς ἀράχνης, καὶ τοῦ μύρμηκος, καὶ τῶν ἄλλων ἐφεξῆς ἁπάντων.

Ταύτας βούλεται ὁ λόγος ὑμνῆσαι τὰς τῆς προνοίας ἐκφαντορικὰς καὶ παραστατικὰς, καὶ δηλωτικὰς θεωνυμίας, οὐδὲ γὰρ αὐτὴν τὴν ὑπὲρ πᾶσαν ἀγαθότητα καὶ θεότητα (θεοὶ γὰρ καὶ οἱ Ἄγγελοι καὶ οἱ δίκαιοι ἄνθρωποι) τὴν ἱδρυμένην ἐν ἀποκρύφοις, κατὰ τὸ, Ἐν ἀποκρύφῳ καταιγίδος· καὶ τὸ, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· ἀλλὰ τὴν τῶν ἀγαθῶν ἁπάντων αἰτίαν ἀγαθότητα, καὶ τὸ τῶν ὄντων αἴτιον ὄν, καὶ τὴν τῶν ζώντων αἰτίαν ζωὴν, καὶ τὴν σοφοδότιν σοφίαν· τί τούτου δηλοῦντος ἐντεῦθεν, ἐν τῷ συνάγεσθαι ἅμα τῷ αἰτιατῷ τὸ αἴτιον, ἓν δῆλον, ἵν' ἀποδειχθείη ἐκ τοῦ αἰτιατοῦ τὸ αἴτιον· ἢ καὶ ἀπόδειξις λέγεται, ἀλλ' οὐ τοῦ διότι, ἀλλὰ τοῦ ὅτι, ὡς ὅταν δεικνύωμεν τὴν τῆς σελήνης ἀντίφραξιν διὰ τῆς ἐκλείψεως. Ὅτι γοῦν ἐστι τὸ Θεῖον ἀγαθὸν, καὶ ὄν, καὶ ζωὴ, καὶ

σοφία,

PARAPHRASIS PACHYMERÆ.

σοφία, μανθάνομεν διὰ τῶν αἰτιατῶν· δι' ὃ δὲ ταῦτά ἐστιν, οὐ γινώσκομεν, ἐπειδὴ πρὸ μικροῦ ἔδοξέ πως ὑπόβασιν λέγειν, τὸ ἀγαθὸν εἰπὼν τοῦ ὄντος αἴτιον. Καὶ οὕτως καθεξῆς, ἵνα μὴ δράξονταί τινες ἀφορμῆς ἀσυνέτως, οὐκ ἄλλο φησὶν εἶναι τὸ ὂν, καὶ ἄλλο τὸ ἀγαθὸν, καὶ καθεξῆς τἄλλα· ἓν γὰρ τῶν ἁπάντων αἴτιον, καὶ οὐ πολλά· καὶ μία θεότης ἡ τὰ πάντα παράγουσα. Καθάπτεται δὲ ἐντεῦθεν τῶν τε ἐν Ἕλλησι σοφῶν καὶ τῶν ἀπὸ Σίμωνος αἱρετικῶν οἳ κοσμοποιοὺς φασὶ θεοὺς, καθόσον ὑποβεβήκασι, τοσοῦτον καὶ τὰ ἀσθενέστερα τῶν κτισμάτων παράγοντας, ἕως καὶ τῆς τῶν πάντων ὑποστάθμης, τῆς ὕλης· καὶ ταύτης γὰρ ἴδιον δημιουργὸν ἀποδεδώκασι. Τούτων τοίνυν τῶν τοῦ ἑνὸς Θεοῦ θεωνυμιῶν, ἡ μὲν τοῦ ἀγαθοῦ ἐκφαντική ἐστι τῆς παντελοῦς τοῦ Θεοῦ προνοίας, αἱ δὲ λοιπαὶ μερικῶν προνοιῶν εἰσι δηλωτικαὶ, αἱ μὲν ὁλικωτέρων, αἱ δὲ μερικωτέρων· ἡ γὰρ τοῦ ἀγαθοῦ τῆς παντελοῦς προνοίας, ὅτι πάντα δι' ἀγαθότητα παρήχθη καὶ εἰσιν· ἡ δὲ τῆς ζωῆς, μερικῆς, ἀλλ' ὁλικωτέρας, οὐ γὰρ πάντα ζῶσιν· ἡ δὲ τῆς σοφίας, ἔτι μερικωτέρας, οὐδὲ γὰρ πάντα τὰ ζῶντα σοφά. Ὁλικωτέρας γοῦν φησι τὰς ἐπὶ πλειόνων θεωρουμένας· ἡ ζωὴ γὰρ φθάνει καὶ ἐπὶ φυτῶν, καὶ ζώων λογικῶν, καὶ ἀλόγων· σοφία δὲ καὶ λόγος, μερικώτεραί εἰσιν.

Ἐντεῦθεν ἐπανακύπτουσαν ἀπορίαν λύει, διὰ τί, τοῦ ὀνόματος αὐτοῦ τοῦ ὄντος ὑπεραίροντος τὴν ζωὴν, καὶ τῆς ζωῆς ὑπεραιρούσης τὴν σοφίαν (τὸ γὰρ ὂν, πλατύτερον καὶ ἐπὶ πᾶσιν, ἡ δὲ ζωὴ, μερικωτέρα καὶ ἐπί τισι, καὶ ἔτι ἡ σοφία μερικωτέρα) οὐ μᾶλλον ὑπερέχουσι, καὶ περὶ Θεόν εἰσι τὰ ἁπλῶς ὄντα, καὶ ἧττον τούτων τὰ ζῶντα, καὶ αὐτῶν πάλιν ἧττον τὰ νοερά· ἀλλ' ἀντέστραπται ἡ τάξις, καὶ μᾶλλον τὰ μερικώτερα, νοερὰ, περὶ Θεόν εἰσι, καὶ καθεξῆς ὅσον ὑπερεκτείνονται, τὸ πορρώτερον ἐκ Θεοῦ ἔχουσι. Μείζονας δὲ δωρεάς φησι τὰς ἐπὶ πλειόνων θεωρουμένας, οἷον τὸ ὂν καὶ τὴν ζωήν. Ἀποκρίνεται τοίνυν καὶ λύει τὴν ἀπορίαν, λέγων, ὅτι εἰ μὲν ἀνούσια ἦσαν τὰ νοερὰ καὶ ἄζωα, καὶ πάλιν τὰ ζῶντα ἀνούσια, καλῶς ἂν εἶχεν ἡ ἀπορία·

& vita, & sapientia, discimus ex effectis; per quod autem hæc sit, non cognoscimus, quippe qui paulò antè visus est dicere, bonum esse subiectum, cùm dixit esse eius quod est causa. Et ita deinceps, ne qui hac occasione imprudentes deciperentur, non ait, aliud esse ens, & aliud bonum, & sic de ceteris: vna siquidem omnium causa, & non multæ; & vna deitas quæ vniuersa produxit. Perstringit autem hîc Græcorum Sapientes, & hæreticos Simonis sectatores, qui asserunt, Deos mundi fabricatores quantò inferiores sunt, tantò quoque infirmiores producere creaturas, etiam vsque ad omnium fundamentum [id est] materiam; nam & huic peculiarem conditorem assignarunt. Inter hæc itaque vnius Dei nomina, nomen boni vniuersales Dei prouidentias declarat, reliqua verò particulares prouidentias manifestant, alia quidem magis vniuersales, alia verò magis particulares: siquidem boni nomen designat vniuersalem omnino prouidentiam, quoniam vniuersa per bonitatem producta sunt, & existunt; nomen verò vitæ particularem prouidentiam declarat, sed generaliorem, non enim omnia viuunt; sapientiæ verò adhuc magis particularem, non enim omnia quæ viuunt sapiunt. Generaliores autem vocat eas, quæ in pluribus cernuntur: vita enim peruenit vsque ad plantas, & animalia rationalia rationisque expertia; sapientia autem & ratio sunt magis particulares.

§.3. *Cur nomina latius patentia non significent substantias præstantiores.*

Dubium hinc resultans soluit, cur, cùm nomen ipsius entis quàm vitæ, & vitæ quàm sapientiæ latiùs pateat (siquidem ens vt vniuersalius in omnibus reperitur, vita verò vt magis particularis in quibusdam, & sapientia adhuc in paucioribus) non magis excellant Deoque viciniora sint quæ simpliciter existunt, & his minùs quæ viuunt, & his iterùm minùs ea quæ intelligunt; sed ordine inuerso, magis particularia, vt intelligentia, circa Deum sunt, & deinceps quantum superexpanduntur, tantò remotiùs à Deo existunt. Maiora verò munera vocat ea quæ à pluribus cernuntur, vt ens & vitam. Respondet itaque & soluit quæstionem dicens, quòd si quidem ea quæ intelligunt entitate ac vitâ carerent, & ea quæ viuunt similiter substantiam non haberent, rectè se haberet dubitatio:

PARAPHRASIS PACHYMERÆ.

verùm cùm ea quæ intelligunt etiã existant, & viuant vitâ potiori, & intelligant supra sensum ac rationem, & præ cunctis entibus participent entitatem, hoc vtique bono Deo viciniores existunt, quò luculentiùs ipsum participantes, plures etiam ab ipso dotes acceperunt, scilicet & entitatem & vitam, & cognitionem & intellectum: nec non etiam dotes ampliores, quòd hæc omnia præ ceteris præstantiori modo habeant: estque hoc verum, illa quæ Deum magis participant ipsi quoque existere viciniores. Quoniam autem de his disserüimus, agedum ad propositum scopum veniamus, & de ente verè existente & entitatum effectrice verba faciamus.

§.4. *Ab eo qui est sunt omnia.* Qui est, id est, Deus, secundùm oraculum Moysaicum, est supra ipsummet esse (hoc enim est supra substantiam) causa efficiens substantiam; quippe subsistentiam & existentiam perficiens totius esse collectiuè sumpti: nihil enim est in rebus, quod non inde suum esse sortiatur.* Secundùm virtutem autem dixit, quoniam alia quidẽ producta sunt, alia verò producuntur. Cùm itaque Deus vniuersum esse in se ipso collectum habeat, tam eorum quæ existunt quàm quæ futura sunt, ponit illud *secundùm virtutem* comprehendens etiam entitatem futurorum, quia in eo qui verè est existunt, vel potiùs etiam præexistunt. Etsi enim quæ extitura sunt futurum habeant, tamen apud creatorem præexistunt, secundùm id quod à Ieremiâ dictum est; ita vt illud *secundùm virtutem* non ad creatorem referendum sit, sed ad creaturas. Quòd si aliam significationem virtutis accipias, quemadmodum dicis, ignem habere vim calefaciendi, hoc sensu de creatore intelligi commodè non potest. Est igitur creator entitatis, & quid dico entitatis rei? quin imò ipsiusmet exsistentiæ entitatis, subsistẽtiæ, essentiæ, naturæ, principium sæculorum, tamquam conditor eorum, per eum
Heb. 1, 2. enim etiam *sæcula fecit*, vt inquit Apostolus. Entitas temporum, siquidem statuta
Gen. 1, 14. sunt *in signa, & in annos*, vt ait Scriptura:
Quomodo Deus dicatur æuum & tempus. quoniam tempus solis cursu mensuratur; & quod nobis tempus est, quod prius & posterius habet, hoc rebus sempiternis est æternitas. Quod itaque neque erat, neque erit, sed solùm est, habens hoc esse consi-

ἐπειδὴ δὲ τὰ νοερὰ, καὶ ὄντα εἰσὶ, καὶ ζῶσι, καὶ ζωὴν κρείττονα, καὶ γινώσκουσιν ὑπὲρ αἴσθησιν καὶ λόγον, καὶ παρὰ πάντα τὰ ὄντα τοῦ ὄντος μετέχουσιν, αὐτοὶ μᾶλλον ἂν πλησιάζοιεν τῷ ἀγαθῷ Θεῷ, οἱ ὑπερβαλλόντως αὐτοῦ μετέχοντες, καὶ πλείους δωρεὰς ἔχοντες, δηλονότι καὶ τὸ εἶναι, καὶ τὸ ζῆν, καὶ τὸ γινώσκειν, ἀλλὰ καὶ τὸ νοεῖν· πάλιν δὲ μείζους δωρεὰς, ὅτι ταῦτα πάντα κρειττόνως ἔχουσιν ἤτοι παρὰ τὰ ἄλλα· καί ἐστιν ἀληθὲς, ὅτι τὰ μᾶλλον μετέχοντα τοῦ Θεοῦ, μᾶλλον αὐτῷ πλησιάζουσι. Ἐπειδὴ δὲ περὶ τούτων εἴπομεν, φέρε ἐπὶ τὸν προκείμενον σκοπὸν ἔλθωμεν, καὶ περὶ τοῦ ὄντως ὄντος, καὶ τῶν ὄντων οὐσιοποιοῦ διαλάβωμεν.

Ὁ ὢν, ὁ Θεὸς, κατὰ τὸν πρὸς Μωσῆν χρηματισμὸν, ὑπὲρ τὸ εἶναι ὂν (τοῦτο γάρ ἐστι τὸ ὑπερούσιος) αἰτία ὑποστάτης ἐστί· τὸ γοῦν εἰς ὑπόστασιν καὶ ὕπαρξιν συντελοῦσα ὅλου τοῦ εἶναι συλλήβδην· οὐδὲν γὰρ τῶν ὄντων, ὃ μὴ ἐκεῖθεν ἔχει τὸ εἶναι. Κατὰ δύναμιν δὲ εἶπεν, ὅτι τὰ μὲν παρήχθησαν, τὰ δὲ παράγονται. Ἐπεὶ γοῦν τὸ Θεῖον ἅπαν τὸ εἶναι ἐν ἑαυτῷ συλλαβὸν ἔχει, καὶ τῶν ὄντων καὶ τῶν ἐσομένων τίθησι τὸ Κατὰ δύναμιν, περιλαμβάνων καὶ τὸ εἶναι τῶν ἐσομένων, ὅτι ἐν τῷ ὄντως ὄντι ἐστὶν, ἢ μᾶλλον καὶ πρόεστιν. Ἂν γὰρ καὶ τὰ ἐσόμενα τὸ μέλλον ἔχωσιν, ἀλλὰ παρὰ τῷ δημιουργῷ προϋφίστανται, καθὼς ἔχει καὶ τὸ περὶ τοῦ Ἱερεμίου λεγόμενον· ὥστε τὸ Κατὰ δύναμιν οὐ πρὸς τὸν δημιουργὸν χρήσεις, ἀλλὰ πρὸς τὰ δημιουργούμενα. Εἰ δέ γε τὸ ἕτερον σημαινόμενον τῆς δυνάμεως λαμβάνεις, ὥσπερ λέγεις, Δύναται τὸ πῦρ θερμαίνειν, τοῦτο ἐπὶ τοῦ δημιουργοῦ νοῆσαι οὐκ ἐπισφαλές. Ἔστι γοῦν δημιουργὸς τοῦ ὄντος, καὶ τί λέγω ὄντος πράγματος; αὐτῆς τῆς ὑπάρξεως τοῦ ὄντος, τῆς ὑποστάσεως, τῆς οὐσίας, τῆς φύσεως, ἀρχὴ τῶν αἰώνων, ὡς δημιουργὸς αὐτῶν· δι' οὗ γὰρ καὶ τοὺς αἰῶνας ἐποίησε, φησὶν ὁ Ἀπόστολος. Ὀντότης τῶν χρόνων· ἔστωσαν γὰρ εἰς σημεῖα, καὶ εἰς ἐνιαυτοὺς, φησὶν ἡ Γραφή· ὁ γὰρ χρόνος ἡλίου φορᾷ μετρεῖται, καὶ ὅπερ ἡμῖν ὁ χρόνος τὸ πρότερον καὶ τὸ ὕστερον ἔχων, τοῦτο τοῖς ἀϊδίοις αἰών. Ὃ γοῦν μήτε ἦν, μήτε ἔσται, ἀλλ' ἔστι μόνον, τοῦτο ἔσω ἔχει

PARAPHRASIS PACHYMERÆ.

τὸ εἶναι, τῷ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μηδ' αὖ μεταβεβληκέναι ἐκ τοῦ ἦν εἰς τὸ ἐστι, τοῦτό ἐστιν αἰών. Διὰ τοῦτο γὰρ καὶ αἰὼν λέγεται τῶν ὄντων ὁ Θεός, ὡς μήτε ἀρχὴν ἔχων, μήτε τέλος, μήτε τὸ ἦν, μήτε τὸ ἔσται, ἀλλὰ μόνον τὸ ἀΐδιον καὶ ἀπεριόριστον· χρόνος δὲ τῶν γινομένων, ὅτι τὰ ὁρώμενα, εἰκόνες εἰσὶ τῶν ἀοράτων καὶ νοητῶν. Καὶ ὥσπερ αἰῶνα λέγομεν τὴν ἄτρεπτον ἐκείνην καὶ ὁμοῦ πᾶσαν ζωήν, καὶ ἄπορον ἤδη καὶ ἀκλινῆ πάντη, καὶ ἐν ἑνὶ καὶ περὶ ἓν ἑστῶσαν· οὕτω καὶ τὸν χρόνον ποτὲ μὲν ἐν τῷ ἀεὶ ὄντι ἀναπαύεσθαι λέγομεν, ἐκφανῆναι δέ, ὅτε ἐχρῆν καὶ ἥλιον ὑποστῆναι, καὶ ὁρατὴν φύσιν προελθεῖν. Τὴν οὖν εἰς τὰ αἰσθητὰ πρόοδον τῆς εἰς τὸ ταῦτα δημιουργεῖν ἀγαθότητος τοῦ Θεοῦ, καλεῖ χρόνον τῶν γινομένων, ἀλλὰ καὶ εἶναι τοῖς οὖσι, καὶ γένεσιν τῶν γινομένων, ὅτι ἐξ αὐτοῦ ἐκινήθησαν καὶ ὑπέστησαν ἅπαντα τὰ ὑπὸ γένεσιν ὄντα, καὶ τὰ ὑπὸ χρόνον γινόμενα. Ἐκ τούτου τοῦ ὑπερουσίου ὄντος, καὶ ὁ αἰὼν ὑπέστη, τὸ τοῖς οὖσι δηλαδὴ συμπαρεκτεινόμενον· καὶ ἡ οὐσία τῶν ὄντων, καὶ τὸ ὂν αὐτὸ τὸ κατὰ τὴν οὐσίαν λεγόμενον. Ταῦτα τῶν ὑπὲρ ἡμᾶς καὶ θειοτέρων δυνάμεων. Καὶ αὖθις τὰ καθ' ἡμᾶς, καὶ ὁ χρόνος, τοῖς ὑπὸ γένεσιν τῷ προτέρῳ καὶ τῷ ὑστέρῳ μετρούμενος, καὶ ἡ γένεσις τῶν ὑπὸ γένεσιν ὄντων, καὶ τὸ γινόμενον αὐτὸ τὸ κατὰ τὴν γένεσιν λεγόμενον, καὶ τἆλλα πάντα, τά τε ἐν τοῖς οὖσιν ὄντα τοῖς θειοτέροις, καὶ τὰ ὁπωσοῦν ὑφεστῶτα, τὰ καθ' ἡμᾶς δηλαδή. Πάντα δὲ ταῦτα ποσῶς ἐστιν ὄντα· οὐδὲ γὰρ τὸ ὂν τῶν Ἀγγέλων περιλαμβάνει καὶ τὸ τῶν ἀνθρώπων, οὐδὲ τὸ τούτων καὶ τὸ τῶν Ἀγγέλων, ἀλλ' ἕκαστόν ἐστιν ἰδιοϋπόστατον, καὶ περιγραπτόν, καὶ ὅτι ἃ μὲν ἀρχὴν ἔχοντα, τέλος οὐκ ἔχουσιν, ἃ δὲ καὶ ἀρχὴν καὶ τέλος ἔχουσιν. Ἔστι δὲ ἃ καὶ ἀρχὴν μὲν οὐκ ἔχουσι, τέλος δὲ ἔχουσι, καθὼς καὶ ὁ μέγας διαλαμβάνει Βασίλειος, λέγων περὶ τῶν θείων τῆς προνοίας τοῦ κόσμου βουλήσεων, αἳ δὴ καὶ ἀρχὴν μὲν οὐκ ἔχον, τέλος δὲ ἔχον τούτων τινές, καί τινες ἕξουσι. Ταῦτα γοῦν πάντα ποσῶς ὄντα, μόνον δὲ τὸ Θεῖον οὐ ποσῶς ἐστιν ὄν, ἀλλ' ἁπλῶς καὶ ἀπεριορίστως· ὅλον γὰρ ἐν

ſtens, non mutari in erit, neque tranſiuiſſe ex erat in eſt, hoc eſt æternitas. Idcircò enim etiam æternitas dicitur rerum Deus, quippe non habens principium, neque finem, neque erat, neque erit, ſed ſolùm eſſe perpetuum & incircumſcriptum: tempus autem eſt eorum quæ fiunt, quoniam ea quæ videntur imagines ſunt eorum quæ non videntur & intelliguntur. Et ſicut æternitatem dicimus immutabilem illam vitam quæ & ſimul tota exiſtit, & nullius vmquam eget, nec omnino deficit, & in vno ac propter vnum conſiſtit; ſic etiam tempus tum quidem in eo quod ſemper eſt requieſcere dicimus, apparere verò, quando oportebat quoque ſolem ſubſiſtere, & viſibilem naturam prodire. Itaque progreſſum diuinæ bonitatis ad ſenſilia producenda, vocat tempus eorum quæ fiunt, quin etiam eſſe rerum & generationum quæ fiunt; quoniam ex ipſo mota ſunt, & ſubſtiterunt omnia quæ generationi ſubiecta ſunt, & quæ ſub tempore fiunt. Ex hoc ſupereſſentiali ente etiam æuum exiſtit, quod nimirum rebus coëxtenditur, & eſſentia rerum, & ipſummet ens, quod ſecundùm eſſentiam dicitur. Hæc quoad ſuperiores nobis diuinioresque virtutes. Et rurſum quoad noſtratia quoque, tempus eſt per prius & poſterius in rebus genitis menſuratum, & generatio eorum quæ generantur, & id ipſum quod gignitur ſecundùm generationem dictum, ceteraque omnia quæ in rebus diuinioribus exiſtunt, & quæ quocumque modo exiſtunt, ſcilicet ſecundùm nos. Hæc autem omnia ſunt aliquo modo entia: non enim eſſe Angelorum & hominum comprehendunt, neque horum & Angelorum, ſed quodlibet habet propriam ſubſiſtentiam, eamque limitatam; quoniam alia quidem principium habent, finem non habent, alia verò & principium & finem habent. Sunt verò etiam quæ principium quidem non habent, ſed finem habent, vti etiam Magnus Baſilius tradit, loquens de diuinis circa mundi prouidentiam volitionibus, quæ principium quidem non habuerunt, finem verò aliquæ illarum iam acceperunt, aliquæ etiam habebunt. Hæc igitur omnia ſunt aliquo modo entia, ſolus autem Deus non eſt aliquo modo ens, ſed ſimpliciter & illimitatè: totum

enim

PARAPHRASIS PACHYMERÆ.

enim esse in se complexus est, nec incipiens neque desinens; quare etiam dicitur Rex sæculorum, quippe qui omnia sæcula & ens omne complectitur, & temporum decisiones, erat, erit, factum esse ac fieri subterfugit; siquidem hæc rebus nostratibus naturæque fluxæ conueniunt. Quin ne quidem habet ipsum est, quoniã supra ipsum est, & ipsemet est esse rebus: nec enim entia solùm à Deo sunt, sed entium quoque ipsa entitas;
Psal. 73, 12 ipse enim est existens *ante sæcula*, secundùm Dauidem, sæculum sæculorum, quippe continens sempiternam coëxtensionem, terminus vitæ sempiternæ, qui est supra id quod non deficit.

§. 5. *Quomodo Deus sit ipsum per se esse, & origo omnis esse, &c.*

Altiùs itaque repetentes dicamus, rebus omnibus, & æuis ipsis rerum, ipsum esse ab eo qui præexistit existere, qui horum omnium est principium ac causa præexistens, omniaque in ipso consistunt, cùm sit ante alia quæ esse participando sortita sunt. Suppone enim hominem: hic primùm habet vt sit, deinde habet vt viuat, & sentiat, & ratiocinetur; & mentes inuisibiles primùm esse participarunt, & sic vitam & sapientiã. Hæc verò etiam secundùm conceptum distinguuntur. Sicut igitur in nobis prima materia concipitur ex quâ constamus, sic etiam in mentibus incorporeis, instar materiæ, concipitur ipsummet cuiuslibet rei esse per vitæ speciem, & quatenus ad vitam & sapientiam & ad diuinam similitudinem substantiatum est. Idcircò dicit, quòd ipsum per se esse sit antiquius quàm esse per se vitam & per se sapientiam, non quòd in Deo sit istiusmodi diuisio, siue simpliciter, siue per conceptum, absit; sed ab hoc intelliguntur hæc in iis omnibus quæ per creationem existunt. Meritò igitur præ ceteris quæ existendo Deum participant, Deus ipsemet antiquissimum ipsius entis principium intelligitur. Quare quæ in effectis sunt adscribit causæ, ideoque cum hac dictione ponit ea quæ ponit tamquam de Deo dicta: sicut etiam ipsam per se similitudinem quâ Deo assimulantur mentes ipsi vicinæ, quin potiùs etiam ea quæ participant ea quæ sunt, vt esse, moueri, ratiocinari, & similia. Atque hæc, in quantum sunt & apparent in rebus, ipsum esse participant, ita vt ex eo etiam ipsa sint: & nul-

ἑαυτῷ συλλαβὸν ἔχει τὸ εἶναι, οὔτε ἀρξάμενον οὔτε παυσόμενον· διὸ καὶ βασιλεὺς λέγεται τῶν αἰώνων, ὡς πάντα αἰῶνα καὶ πᾶν ὂν περιέχον, καὶ τὰ τοῦ χρόνου τμήματα, τὸ ἦν, τὸ ἔσται, τὸ γενέσθαι, τὸ γίνεσθαι διαπεφευγώς· ταῦτα γὰρ τῶν καθ' ἡμᾶς καὶ τῆς ῥευστῆς φύσεως. Ἔτι δὲ, οὐδὲ τὸ ἔστιν ἔχει, ὑπὲρ αὐτὸ γάρ ἐστι, καὶ αὐτό ἐστι τὸ τοῖς οὖσιν εἶναι· οὐδὲ γὰρ τὰ ὄντα μόνον ἐκ τοῦ Θεοῦ, ἀλλὰ καὶ τὸ εἶναι τῶν ὄντων· αὐτὸς γάρ ἐστιν ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, κατὰ τὸν Δαβίδ, ὁ αἰὼν τῶν αἰώνων, δηλονότι ὁ συνοχεὺς τῆς ἀϊδίου παρεκτάσεως, ὁ ὅρος τῆς αἰωνίου ζωῆς, ὁ ἐπέκεινα τοῦ μὴ ἐπιλείποντος.

Ἀναλαβόντες οὖν εἴπωμεν, ὅτι πᾶσι τοῖς οὖσι, καὶ τοῖς αἰῶσιν αὐτοῖς καθ' οὓς τὰ ὄντα, τὸ εἶναί ἐστι παρὰ τοῦ προόντος, καὶ πάντων τούτων ὁ προὼν ἀρχὴ καὶ αἰτία, καὶ πάντα ἐν αὐτῷ συνέστηκε, πρὸ τῶν ἄλλων αὐτὸς μετοχῶν τὸ εἶναι κεκληρωμένα. Ὑπόθου γὰρ ἄνθρωπον· οὗτος τὸ εἶναι πρῶτον ἔχων, ἤδη ἔχει καὶ τὸ ζῆν, καὶ τὸ αἰσθάνεσθαι, καὶ τὸ λογίζεσθαι· καὶ οἱ ἀόρατοι νόες, πρῶτοι τοῦ εἶναι μετέσχον, καὶ οὕτω ζωῆς καὶ σοφίας. Ταῦτα δὲ καὶ κατ' ἐπίνοιαν μερίζονται. Ὥσπερ γοῦν ἐφ' ἡμῶν πρώτη ἡ ὕλη ἐπινοεῖται ἀφ' ἧς ἐσμεν, οὕτως ἐπὶ τῶν ἀσωμάτων νόων, οἱονεὶ ὕλη νοεῖται αὐτὸ τὸ ὂν ἑκάστου διὰ ζωῆς εἶδος, καὶ καθὸ οὐσίωται εἰς ζωὴν καὶ σοφίαν, καὶ τὴν πρὸς τὸ Θεῖον ὁμοιότητα. Διὰ τοῦτο λέγει, ὅτι καὶ κατ' αὐτὸ τὸ εἶναι πρεσβύτερόν ἐστι τοῦ αὐτοζωὴν εἶναι καὶ αὐτοσοφίαν, οὐχ ὅτι ἐπὶ Θεοῦ ὁ τοιοῦτός ἐστι μερισμὸς, ἢ ἁπλῶς, ἢ κατ' ἐπίνοιαν, ἄπαγε· ἀλλ' ἀπὸ τούτου, ἐπὶ τῶν ἐξ αὐτοῦ δημιουργικῶς ὑποστάντων ἁπάντων, ταῦτα νοοῦνται. Εἰκότως οὖν πρὸ τῶν ἄλλων ὧν μετέχει τὰ ὄντα τοῦ Θεοῦ, πρεσβυτέρα τις ἀρχὴ ἡ τοῦ εἶναι ἐπινοεῖται αὐτὸς ὁ Θεός. Τὰ γοῦν τοῖς αἰτιατοῖς ἐπινοούμενα, τῷ αἰτίῳ προσάπτει, διὰ τοῦτο καὶ μετὰ τῆς αὐτῆς λέξεως τίθησιν ὅσα τίθησιν ὡς ἐπὶ Θεοῦ λεγόμενα· ὥσπερ καὶ τὴν αὐτοομοιότητα, καθ' ἣν τῷ Θεῷ ὁμοιοῦνται οἱ προσεχεῖς αὐτῷ νόες, μᾶλλον δὲ καὶ ταῦτα, ὧν τὰ ὄντα μετέχει, τὸ εἶναι δηλαδὴ, τὸ κινεῖσθαι, τὸ λογίζεσθαι, καὶ τὰ τοιαῦτα. Καὶ ταῦτα, καθό εἰσι καὶ φαίνονται ἐν τοῖς οὖσι, τὸ αὐτὸ εἶναι μετέχει, ὡς ἐξ ἐκείνου καὶ αὐτὰ εἶναι· καὶ οὐδέν ἐστιν

ὄν,

ὄν, κἂν ἐνυπόστατον, κἂν ἐν ἄλλῳ θεωρούμενον (ὄντα γὰρ καὶ τὰ συμβεβηκότα ἅπερ ἐν ἄλλῳ θεωροῦνται) οὗ μή ἐστιν ὀντωσὶς αὐτὸ δὴ τὸ τοῦ Θεοῦ αὐτοεῖναι. Πάντων τῶν ἄλλων, τῆς ζωῆς φημι, τῆς σοφίας, τῆς ἀγαθότητος, ἀρχηγικωτέραν ἔχων ὁ Θεὸς τὴν τοῦ εἶναι ὀνομασίαν, ἣν ἑαυτῷ ἔθετο εἰπών, Ἐγώ εἰμι ὁ ὤν, πρώτως ὑμνεῖται ἐκ τοῦ εἶναι τὰ ὄντα, ὅπερ ἐστὶ καὶ πρεσβύτερον τῶν αὐτοῦ δωρεῶν. Εἴπομεν γάρ, ὅτι τὸ μὲν εἶναι τοῦ Θεοῦ, ὃ ἀρχηγικώτερον ἔνι πρὸς τὴν ζωήν, πρὸς τὴν σοφίαν, πρὸς τὴν ἀγαθότητα, ἀκατανόητόν ἐστιν. Ἐκ δὲ τοῦ εἶναι τὰ πάντα, συνάγομεν, ὡς ἐξ αἰτιατῶν, τὸ αἴτιον ὅτι ἐστὶ Θεός, ἀλλὰ καὶ προεῖναι καὶ ὑπερεῖναι. Εἰ μὴ γὰρ προῆν, οὐκ ἂν ὑφίστατο τὰ ὄντα· εἰ δὲ οὐχ ὑπερῆν, οὐκ ἂν τοιαύτῃ δυνάμει ἐχρήσατο. Οὗτος ὁ Θεὸς ἐν αὐτῷ τῷ εἶναι τῷ προορισμῷ τῆς οἰκείας γνώσεως προϋπεστήσατο τὸ ὅλως εἶναι τὰ πάντα· αὐτῷ γὰρ τῷ εἶναι, κατὰ πρώτην προσβολὴν ἐπιβάλλει ὁ νοῦς, εἶθ' οὕτως τὸ ὁπωσοῦν αὐτὰ εἶναι θεωρεῖ. Τὸ οὖν ἁπλῶς εἶναι, οὐ τὸ πῶς εἶναι ἐδήλωσεν, εἰπὼν καθ' αὐτὸ εἶναι· ὥσπερ καὶ ἑξῆς τὴν αὐτοζωήν, τὴν αὐτοομοιότητα, καὶ τὰ σὺν αὐτοῖς εἰπών, τὸ ὅλως εἶναι ζωὴν καὶ ἁπλῶς τὸ ζῆν, οὐχὶ δὴ τὴν τοιάνδε ζωὴν εἰσηγήσατο. Ὥσπερ τοίνυν λόγῳ τινὶ ἐπὶ τῶν καθ' ἡμᾶς ποιοτήτων, ἤγουν τῆς λευκότητος, τῆς μελανίας, οἱονεὶ πρῶτόν τινα αὐτοποιότητα νοοῦμεν, ἤγουν λευκότητα, ἣν δὴ συμβαίνουσαν τοῖς ὑποκειμένοις, καὶ φαίνεσθαι καὶ δρᾶν· οἷον ἡ αὐτοασώματος λευκότης ἐπιγινομένη σώματι λευκαίνει τοῦτο, οὕτω μοι νόει, πλὴν ἀναλόγως, καὶ ἐπὶ τῶν δωρεῶν τῶν θείων, τῆς ζωῆς, τῆς σοφίας, ἃς ἐκάλεσεν ἀρχὰς τῶν ὄντων. Τῆς ἡμετέρας γὰρ ζωῆς ἀρχὴ καὶ δημιουργὸς ἡ αὐτοζωή, καὶ τῆς σοφίας ἡ αὐτοσοφία. Αὗται οὖν πρότερον ἐπινοοῦνται οὖσαι, εἶθ' οὕτως εἰσὶ καὶ ἀρχαὶ τῶν ζώντων, ἡ αὐτοζωὴ ἡ θεία φημί, καὶ ἐν τῷ Θεῷ ζωή. Τίθησι δὲ τὸ Ὡς ζώντων, ὅτι πάλιν ὡς ὄντων τὸ αὐτὸ ὄν· καὶ ὡς σοφῶν ὄντων, ἡ αὐτοσοφία ἀρχή ἐστι καὶ τῶν ὁμοίων. Εἴπομεν γὰρ καὶ πρώην, ὅτι ὁμοιότητας λέγει καθ' ἃς μετέχουσιν οἱ θεῖοι νόες τοῦ Θεοῦ. Τούτων οὖν τῶν ὁμοίων, ἀρχὴ ἡ αὐτοομοιότης, ἣν καθ'

PARAPHRASIS PACHYMERÆ.

lum est ens, quantumuis subsistens, vel in altero consideratum (siquidem etiam entia per accidens sunt quæ in altero considerantur) cuius essentia non sit ipsummet per se esse Dei. Ceteris omnibus, vitâ inquam, sapientiâ, bonitate, antiquiorem habens Deus ab ipso esse denominationem quam sibi ipsi dedit, dicens, *Ego sum qui sum,* Exod.3,14 primùm laudatur ab eo quòd sint res, quòd hoc sit antiquissimum eius donum. Diximus enim, esse quidem Dei, quod antiquius est vitâ, sapientiâ, bonitate, incomprehensibile existere. Ex eo autem quòd sint omnia, concludimus, tamquam ex effectis, causam esse Deum, quin imò præexistere, & superexistere. Nisi enim præexisteret, minimè subsisterent illa quæ sunt; si verò non superexisteret, haudquaquam tali virtute vsus fuisset. Hic Deus in præfinitione ipsius esse propriæ cognitionis vniuersim omnia subsistere fecit: secundùm primum enim conceptum mens apprehendit ipsum esse, & sic aliquo modo res esse concipit. Itaque simpliciter esse, non aliquo modo esse significauit cùm dixit, per se esse; vti & deinceps, cùm ipsam per se vitam, ipsam per se similitudinem, & cetera dixit, omnino vitam esse, & simpliciter viuere, nequaquam verò istiusmodi vitam explicauit. Sicut igitur aliquâ ratione in qualitatibus nostratibus, v.g. albedine, nigredine, primùm quasi per se qualitatem aliquam concipimus, ipsammet scilicet albedinem per accidens subiectis adueniente, & apparere & operari; vt cùm albedo per se * incorporea corpori adueniens illud dealbat, ita concipe hæc, sed proportione munerum diuinorum, vitæ, sapientiæ, quæ rerum principia appellauit. Nostræ enim vitæ principium & auctor est ipsa per se vita, & sapientiæ ipsa per se sapientia. Hæc itaque primùm concipiuntur existere, ac deinde sic existere principia viuentium, ipsa inquam diuina per se vita, & quæ in Deo est vita. Apponit autem *quatenus viuunt,* sicut etiam ens per se, quatenus sunt, & quatenus sapiunt, ipsa per se sapientia principium existit, & sic de similibus. Priùs enim dicebamus, ipsum similitudines vocare, secundùm quas diuinæ mentes Deum participant. Harum itaque similitudinum principium est ipsa per se similitudo,

*Max. corporea

PARAPHRASIS PACHYMERÆ.

tudo, de quâ ipſe per ſe Deus gloriatur; vti & rerum vnitarum, id eſt naturâ ſuâ definitarum, & non diſperſarum: quælibet enim res, ſecundùm vnam aliquam definitionem, ſibi quoque vnita conſtat. Horum igitur iterùm principium ipſa quæ in Deo eſt per ſe vnitas; tum & ceterorum quæcumque vel vitam, vel notitiam, vel vtrumque participando viuunt, vel ſapiunt, vel vtraque aut plura habent, quinimò vel entia ſunt, vel immortalia, vel intelligentia, vt in diuinis Angelis accidit; horum, inquam, omnium per ſe participationes reperies, ſcilicet ipſam per ſe vitam, per ſe ſapientiam, & cetera, ipſummet eſſe participare & in eſſe permanere: in quantum enim eſſe participant, & ſunt, in tantum etiam ab aliis participantur.

§. 6. Si autem illa maiora, quæ habent quoque ſingula per ſe, entitatem participent, quantò magis hæc quæ illorum participia ſunt, facit ipſum eſſe, viuentia v.g. vel ſapientia, per ſui participationem; & non (vt quiſpiam imperitè ſuſpicari poſſet) per ſe & ſine alterius participatione hæc habent? Eſt autem hoc argumentum efficaciſſimum à maiori. Cùm itaque Deus primum hoc donum rebus largiatur, ex ipſo quoque primùm laudatur, & exiſtit ex ipſo, ipſummet eſt eſſe omniũ, & in ipſo collecta continentur omnia ſecundùm ſimplicem aliquam & comprehenſiuam & incomprehenſam vniuerſorum cauſam: nullâ enim ratione, vel conceptu, vel re communionem vel proportionem habet Deus cum rebus exſiſtentibus. Exempla autem quæ ſequuntur fidem faciunt, ea quæ ſunt omnia ex Deo exiſtere, tamquam causâ eorum exiſtentiæ, cùm diuerſus ſit ab illis, & in ipſo conſiſtant diuerſo ab illis exiſtente: ſiquidem vnitas, tamquam cauſa numerorum, vniformiter, haudquaquam variegata, vel aliter atque aliter intellecta, vniuerſos numeros complectitur; & medium circuli centrum omnes à circumferentiâ lineas rectas vniformiter & ſimplici ſimiliq; modo continet; punctum enim caret partibus, quomodo ergo aliter atq; aliter lineas rectas poſſit comprehendere? Mirabili autem modo poſuit exemplum hoc de circulo, vt oſtendat, quomodo vniformiter in Deo vniuerſa vniantur, & quomodo quæ diſtant diſtin-

Deum ab exiſtentiâ tamquam primo dono laudari.

ἑαυτὸ τὸ Θεῖον αὐχεῖ· καὶ τῶν ἡνωμένων, δηλονότι τῶν περιωρισμένων τῇ οἰκείᾳ φύσει, καὶ μὴ ἐσκεδασμένων· ἕκαστον γὰρ τῶν ὄντων κατά τινα ἑνιαῖον περιορισμὸν καὶ ἑαυτῷ ἡνωμένον συνίσταται. Τούτων οὖν πάλιν ἀρχὴ, ἡ ἐν τῷ Θεῷ αὐτοενότης· καὶ τῶν ἄλλων ὅσα ἢ τῆς ζωῆς μετέχοντα, ἢ τῆς γνώσεως, ἢ καὶ ἀμφοτέρων, ζῶντά εἰσιν, ἢ σοφὰ, ἢ καὶ ἀμφότερα, ἢ καὶ πλείονα, ἢ γοῦν καὶ ὄντα, καὶ ἀθάνατα, καὶ νοερὰ, ὡς ἐπὶ τῶν θείων Ἀγγέλων· τούτων οὖν ἁπάντων τὰς αὐτομετοχὰς εὑρήσεις, δηλονότι τὴν αὐτοζωὴν, τὴν αὐτοσοφίαν, καὶ τὰ λοιπὰ, τοῦ εἶναι μετεχούσας, καὶ ἐν τῷ εἶναι μενούσας· καθὸ γὰρ αὗται τοῦ εἶναι μετέχουσι καί εἰσι, κατὰ τοῦτο καὶ παρὰ τῶν ἄλλων μετέχονται.

Εἰ δὲ ἐκεῖνα τὰ μείζονα, ἅπερ ἔχουσι καθ᾽ ἕκαστον καὶ τὸ αὐτὸ, ἐν τῇ μετοχῇ τοῦ ὄντος εἰσὶ, πόσῳ γε μᾶλλον ταῦτα δὴ τὰ ἐκείνων μετέχοντα, ποιεῖ τὸ εἶναι, ζῶντα τυχὸν, ἢ σοφὰ, ἐν τῇ ἐκείνων μετοχῇ. καὶ οὐ (καθὸς ὑπολήψαιτό τις ἀσυνέτως) ὅτι ἀφ᾽ ἑαυτῶν, καὶ οὐ κατὰ μετοχὴν ἑτέρου, ταῦτα ἔχουσιν; Ἔστι δὲ τὸ ἐπιχείρημα δραστικώτατον ἐκ τοῦ μείζονος. Πρώτην τοίνυν τὴν τοῦ εἶναι δωρεὰν τοῖς οὖσι παρεχόμενος ὁ Θεὸς, ἐκ ταύτης καὶ πρώτως ὑμνεῖται, καί ἐστιν ἐξ αὐτῆς καὶ αὐτὸ τὸ εἶναι πάντων, καὶ ἐν αὐτῇ συνειλημμένα διακρατοῦνται κατὰ ἁπλῆν τινα καὶ περιεκτικὴν τῶν ὅλων αἰτίαν καὶ ἄσχετον· οὐδενὶ γὰρ λόγῳ ἢ νοήματι, ἢ πράγματι ἔχει τὸ Θεῖον τὴν πρὸς τὰ ὄντα σχέσιν τε καὶ κοινωνίαν. Τὰ δὲ ἑξῆς παραδείγματα πιστευτικά εἰσι τοῦ εἶναι πάντα ἐκ τοῦ Θεοῦ, ὡς αἰτίου τῆς τούτων ὑπάρξεως, ἄλλου παρὰ ταῦτα ὑπάρχοντος, καὶ ἐν αὐτῷ συνεστάναι ἄλλῳ παρὰ ταῦτα ὑπάρχοντι· ἡ γὰρ μονὰς ὡς αἰτία ἀριθμῶν, ἑνοειδῶς οὐ ποικιλλομένη, ἢ ἄλλως καὶ ἄλλως νοουμένη, τοὺς πάντας περιείληφεν ἀριθμούς· καὶ τὸ μέσον τοῦ κύκλου κέντρον ἁπάσας τὰς ἀπὸ τῆς περιφερείας εὐθείας περιέχει ἑνοειδῶς, καὶ ἁπλῶς, καὶ ὁμοίως· ἀμερὲς γάρ ἐστι τὸ σημεῖον, ὥστε, πῶς ἄλλως καὶ ἄλλως τὰς εὐθείας περιείληφε. Θαυμασίως δὲ τέθεικε τὸ περὶ τοῦ κύκλου παράδειγμα, πῶς ἑνοῦνται ἐν τῷ Θεῷ ἑνιαίως τὰ πάντα, καὶ πῶς διακρίνονται ἀφιστάμενα, καὶ καθόσον ἀφίστανται,

καὶ

καὶ τὸν σκεδασμὸν λαμβάνοντα. Ἔτι καὶ ἐν τῷ δημιουργικῷ τῶν ὅλων φύσει, πάντες οἱ τῆς καθ' ἕκαστον φύσεως λόγοι συνειλημμένοι εἰσὶν ἀσυγχύτως, ὥσπερ καὶ ἐν τῇ ψυχῇ μονοειδῶς αἱ προνοητικαὶ δυνάμεις αὐτῆς, ἡ θρεπτικὴ δηλονότι καθ' ἣν τρέφει, ἡ αὐξητικὴ καθ' ἣν αὔξει τὸ πρὸς τὸ γεννᾷν ἐπιτήδειον, ἡ αἰσθητικὴ καθ' ἣν ἐπιστατεῖ τῶν αἰσθήσεων, ἡ δοξαστικὴ καθ' ἣν κρίνει τὰ αἰσθητά, ἡ φανταστικὴ καθ' ἣν τὰ αἰσθητὰ φαντάζεται, ἡ ὀρεκτικὴ καθ' ἣν ὀρέγεται, καὶ καθεξῆς αἱ λοιπαί· οὕτω καὶ οἱ δημιουργικοὶ λόγοι ἐν τῷ δημιουργῷ, καὶ τὰ εἴδη πάντων, καὶ πάντες εἰσὶ καὶ ἀσύγχυτοι μένουσι πλὴν ἐν αὐτῷ εἰσιν, οὐχ ὡς ἐν τόπῳ (οὔτε γὰρ αὐτὸς ἐν τόπῳ, οὔτε τὰ ἐν αὐτῷ) ἀλλ' ἔχει αὐτὰ ὡς ἑαυτὸν ἔχει, πάντων μὲν ὁμοῦ ὄντων, διακεκριμένων δὲ ἐν τῷ μέρει ἀμερῶς. Λαβὼν ἀπὸ τοῦ ἀριθμοῦ καὶ τοῦ κέντρου τὰ παραδείγματα, φησίν, ὅτι οὐκ ἔστιν ἄτοπον ἐκ τοιούτων εἰκόνων ἐπὶ τὸ ὕψος τῶν λεγομένων ἀναβαίνειν, μόνον εἰ ὀφθαλμοῖς ὑπερκοσμίοις χρώμεθα. Εἴπομεν γάρ, ὅτι πάντα ἐν τῷ αἰτίῳ μονοειδῶς, ὡς ἐν τῇ μονάδι οἱ ἀριθμοὶ ἅπαντες, καὶ ἡνωμένως, ὡς ἐν τῷ κέντρῳ αἱ ἀπὸ τῆς περιφερείας εὐθεῖαι.

Πάντα οὖν ὅσα ἐν τῷ εἶναι ὄντα, χαρακτηρίζει τὰ ὄντα· εἰ γὰρ μὴ ἦν ζωή, οὐκ ἂν ἐζῶμεν· εἰ μὴ ἦν φρουρά, οὐκ ἂν ἐφρουρούμεθα· εἰ μὴ ἦν κίνησις, οὐκ ἂν ἐκινούμεθα. Πάντα γοῦν πάντα ὅσα ἐν τῷ εἶναι ὄντα, τὰ ὄντα χαρακτηρίζουσι. Ὄντα δὲ λέγει, οὐ τὰς οὐσίας, ἀλλὰ τὰ ἐν ταῖς οὐσίαις θεωρούμενα, ἐκ τοῦ Θεοῦ εἰσι· ταῦτα δὲ ἐκτὸς σωμάτων οὐ δύναται συνίστασθαι, διεῖλε δὲ ὅμως αὐτὰ ὁ Πατὴρ κατ' ἐπίνοιαν.

Καὶ ἐκ τῆς αἰτίας τῶν πάντων, αἱ νοηταὶ ὡς πρὸς ἡμᾶς, καὶ νοεραὶ ὡς πρὸς τὸν Θεὸν δυνάμεις ὑπέστησαν, καὶ αἱ ψυχαί, καὶ τὰ σώματα, καὶ τὰ ὁπουοῦν ἢ ἐν ἑτέροις ὑπάρχοντα, ὡς χρῶμα, σχῆμα, πηλικότης, καὶ τἄλλα τὰ περὶ τὸ σῶμα ὁρώμενα, ἢ κατ' ἐπίνοιαν εἶναι λεγόμενα, οἷον νόημα, αἴσθησις, λόγος, καὶ τὰ τοιαῦτα. Χωρίζει γοῦν ἐκεῖνα ἀπὸ τούτων, ὅτι ἐκεῖνα εἰ καὶ ἐν ἑτέροις ὑφίστανται, ἀλλ' οὖν αἰσθήσει ὑπόκεινται· ταῦτα δὲ οὐχ ὑπόκεινται αἰσθήσει, ἀλλὰ κατ' ἐπίνοιαν μόνην γινώσκονται. Καὶ γοῦν αἱ μα-

PARAPHRASIS PACHYMERÆ.

guantur, & in quantum distant, in tantum etiam dissipentur. Adhæc, etiam in naturâ, creatrice vniuersorum, omnes cuiuscumq; naturæ rationes absque confusione collectæ sunt, sicut in animâ vniformiter copulatæ sunt prouidæ virtutes eius, videlicet nutritiua quâ nutrit, auctrix quâ auget id quod aptum est generationi, sensitiua quâ præest sensibus, opinatiua quâ discernit ea quæ sentiuntur, imaginatiua quâ sensibilia imaginatur, appetitiua quâ appetit, & sic de ceteris: sic etiam creandi rationes omnes speciesque omnium in creatore sunt, manentque inconfusæ, verumtamen in ipso sunt, non tamquam in loco (neque enim ipse in loco est, nec quæ in ipso) sed habet illa sicut seipsum habet, omnibus quidem simul existentibus, distinctis autem * in parte indiuisibiliter. Acceptis exemplis à numero & centro, ait, minimè absurdum esse, ex similibus imaginibus ad eorum quæ dicta sunt culmen ascendere, modò supermũdanos oculos adhibeamus. Dicimus enim, omnia in causâ vnitè tamquam in vnitate numeros omnes, & collectim, tamquam in centro lineas rectas, quæ à circumferentiâ ducuntur, contineri.

* Max. in indiuisibili.

§.7. Omnia igitur quæcumque essendi gradum sortiuntur, insigniunt illa quæ sunt: nisi enim esset vita, nequaquam viueremus; nisi esset custodia, nequaquam custodiremur; nisi esset motus, nequaquam moueremur. Omnia itaque, omnia quæcumque essendi gradum obtinent, insigniunt illa quæ sunt. Dicit autem illa quæ sunt, non substantias, sed [accidentia] quæ in substantiis cernuntur, atq; etiam ex Deo sunt: hæc autem extra corpus consistere nequeunt, eaque etiam per cogitationem sanctus Pater diuisit.

§.8. Qualiter res qualibet existāt ex Deo.

Atque ex hac omnium causâ etiam intellectiles, quoad nos, & intelligentes, quoad Deum, virtutes subsistunt, vti & animæ & corpora, & quæ quoquomodò in aliis existunt, vt color, forma, qualitas, aliaque quæ circa corpus cernuntur, vel per cogitationem esse dicuntur, vt intellectio, sensus, ratio, & similia. Illa vtique ab his secernit, quoniam illa, tametsi in aliis subsistant, tamen sensui subiiciuntur; hæc autem nequaquam sensui subiacent, sed per solam cogitationem cognoscuntur. Itaque

Vir-

PARAPHRASIS PACHYMERÆ.

Virtutes illæ beatæ, tam primæ quàm sequentes & vltimæ quoad illas, non quoad nos: nam quoad nos omnes supermundiales sunt, etiam postremæ; & Principatus & omnia ex Deo & in Deo sunt: & non tantùm ab eo vt sint, sed etiam vt benè sint, habent. Atque munera quidem antiquiora, v.g. sublimius esse, seu immortale esse, intellectilibus Virtutibus cócessa sunt, quas & æternas appellauit, vt quæ participant
2.Cor.4.18 æternitatem, cùm & Scriptura dicat: *Nam quæ videntur temporanea sunt; quæ verò non videntur, æterna.* Ipsum porrò esse rerum numquam deficit; quando enim deficit ipsum esse, iam non est ens. Verumtamen illud ipsum esse est ex eo qui prius est, quocircà etiam ceterarum formarum diuinarum & intelligentiarum, vitæ, sapientiæ, & similium esse in Deo quid vnum & idem est. Nequaquã tamen Deus est in ipsâ existentiâ: nam existit ante ipsam existentiam (quoniam ipsius est existentia, vti etiam vita & lumen) & non ipse est existentiæ. Quid autem sibi vult, quòd ipsum habeat existentia, & non ipsę existentiam? nisi cùm, præter alias istius verbi *habere* significationes, dicitur aliquid habere id quod ei secundùm habitum adest; sicut dicimur habere entitatem & vitam, sine quibus nec essemus quidem, nec quidquam haberemus: hoc autem hîc significatur. Ipsa itaque existentia Deum habet, vt subsistat & appareat, non ipse illam habet vt existat: nam ipsemet æuum est existentiæ, & principium, & mensura, & rerum omnium principium, & medium, & finis. Quidquid enim cogitetur, & ad quamcumque rem quis mentem intendat, inueniet in eâ notionem causæ, id est, auctoris Dei. Hoc igitur est *multiplicari*, cerni eum in multis causam, & in quamlibet earum quotiescumque quis intendat, & rem ipsam speculetur, semper ea reperiet notionem auctoris Dei: iuxta hoc enim secundùm omnem cogitationem multiplicatur, estque principium, & medium, & finis. Deus neque erat neque erit habet, secundùm Gregorium eximium Theologum. Sed neque est de ipso propriè dicitur, secundùm hunc D. Dionysium: quoniam verbũ *est* sensum ingerit, ac si participet existentiã; Deus autem non participat existentiã, sed ipsamet existentia Dei particeps est,

κάριαι Δυνάμεις, καὶ αἱ πρῶται καὶ αἱ μετ' αὐτὰς, καὶ αἱ ἔσχαται πρὸς ἐκείνας, οὐ πρὸς ἡμᾶς· πρὸς γὰρ ἡμᾶς ὑπερκόσμιοί εἰσι, καὶ αἱ ἔσχαται· καὶ αἱ Ἀρχαὶ, καὶ πάντα ἐκ τοῦ Θεοῦ καὶ ἐν τῷ Θεῷ εἰσι· καὶ μὴ μόνον τὸ εἶναι, ἀλλὰ καὶ τὸ εὖ εἶναι ἔχουσι. Καὶ τὰ μὲν πρεσβεῖα τοῦ εἶναι, δηλονότι τὸ ὑψηλότερον, ὅ ἐστι τὸ ἀθανάτως εἶναι, ταῖς νοηταῖς ἐδωρήθη Δυνάμεσιν, ἃς καὶ αἰωνίας ἐκάλεσεν, ὡς αἰῶνος μετεχούσας· ἡ δὲ τοῦτο λέγουσα Γραφή ἐστι· Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. Αὐτὸ δὲ τὸ εἶναι οὐδέποτε ἀπολείπεται τῶν ὄντων· ὅτε γὰρ ἀπολείψει τὸ εἶναι, οὐκ ἔστι τὸ ὄν. Καὶ αὐτὸ γοῦν τὸ εἶναι ἐκ τοῦ προόντος, διὸ καὶ ἐν τῷ Θεῷ ἐστι τὸ εἶναι, ὡς ἓν καὶ αὐτὸ τῶν ἑτέρων θείων εἰδῶν, καὶ νοήσεων, τῆς ζωῆς, τῆς σοφίας, καὶ τῶν τοιούτων. Οὐ μὴν δὲ ὁ Θεὸς ἐν τῷ εἶναι· πρὸ γὰρ τοῦ εἶναί ἐστιν (αὐτοῦ γάρ ἐστι τὸ εἶναι, ὡς καὶ ἡ ζωὴ, καὶ τὸ φῶς) καὶ οὐκ αὐτὸς τοῦ εἶναι. Τί δέ ἐστι, καὶ αὐτὸν ἔχει τὸ εἶναι, καὶ οὐκ αὐτὸς ἐκεῖνο; ἢ ἐπεὶ μετὰ τῶν ἄλλων σημαινομένων τοῦ Ἔχειν, λέγεται ἔχειν καὶ τὸ καθ' ἕξιν προσὸν, ὡς ἔχειν λεγόμεθα ὄντωσιν, καὶ ζωὴν, ὧν ἄνευ οὔτε ἦμεν ἂν, οὔτε εἴχομεν. Τοῦτο τὸ σημαινόμενόν ἐστιν ἐνταῦθα. Αὐτὸν γοῦν τὸν Θεὸν ἔχει τὸ εἶναι, ἵνα συστῇ, ἵνα δειχθῇ, οὐκ αὐτὸς ἐκεῖνο εἰς οἰκείαν ὕπαρξιν· αὐτὸς γάρ ἐστι καὶ τοῦ εἶναι αἰὼν, καὶ ἀρχὴ, καὶ μέτρον, καὶ πάντων ἀρχὴ, καὶ μεσότης, καὶ τελευτή· πάσῃ γὰρ ἐπιβολῇ τοῦ νοῦ, προϋπαντῶσαν εὑρήσει τις ἐφ' ᾧ ἂν καὶ σκέψαιτο, τοῦ αἰτίου τὴν ἔννοιαν, ἤγουν τοῦ δημιουργοῦ. Τὸ οὖν πολλαπλασιάζεσθαι δηλοῖ, τὸ ἐν τοῖς πολλοῖς αἴτιον τὸν αὐτὸν θεωρεῖσθαι, καὶ ἐφ' ἑνὶ πάντων ἑκάστῳ ὁσάκις τις ἐπιβάλλοι, καὶ ὁσάκις ἴδοι τὸ πρᾶγμα σκοπούμενος, τὸν Θεὸν ἀεὶ ἀναλογίζεσθαι αἴτιον· κατὰ τοῦτο γὰρ κατὰ πᾶσαν ἐπίνοιαν πολλαπλασιάζεται, καὶ ἀρχὴ καὶ μεσότης καὶ τελευτή ἐστι. Τὸ Θεῖον οὔτε τὸ ἦν, οὔτε τὸ ἔσται ἔχει κατὰ τὸν πολὺν ἐν Θεολογίᾳ Γρηγόριον. Ἀλλ' οὐδὲ τὸ ἔστιν ἐπ' αὐτοῦ κυριολεκτεῖται, κατὰ τοῦτον δὴ τὸν θεῖον Διονύσιον· τὸ γὰρ ἔστιν ἔννοιαν παρεισάγει, ὅτι μετέχει τοῦ εἶναι· ὁ δὲ Θεὸς οὐ μετέχει τοῦ εἶναι, ἀλλ' αὐτὸ τὸ εἶναι μετέχει τοῦ Θεοῦ,

καὶ

καὶ ἐν τῷ Θεῷ ἐστι, καθὼς καὶ ἀνωτέρω ἐλέγομεν. Πῶς οὖν ἐνταῦθα τίθησιν ὁ Ἅγιος, ὅτι καὶ τὸ ἦν, καὶ τὸ ἔσαι, καὶ τἄλλα ἃ δὴ εἰσὶν ἀνοίκεια τοῦ Θεοῦ, ἐπὶ Θεοῦ κυρίως ὑμνεῖται; Αὐτὸς ὁ Ἅγιος λύων τὴν ἀπορίαν φησὶν, ὅτι θεοπρεπῶς νοοῦνται ταῦτα ἐπὶ Θεοῦ· ταῦτα γὰρ πάντα καὶ ἀλλότριά εἰσι τοῦ Θεοῦ, καὶ πάλιν ἐν τῷ Θεῷ εἰσι, καθὸ τοῦ εἶναι μετειλήφασι. Κατὰ γὰρ τὴν τῆς αἰτίας ἔννοιαν, πάντα τοῦ Θεοῦ λέγονται, καὶ ἐπ' αὐτοῦ νοοῦνται ὑπερουσίως· τὸ γὰρ κατηγορεῖσθαι κατὰ Φιλοσόφους τοῦτο δηλοῖ. Ὡς γοῦν πάντων αἴτιος, καὶ τοῦ ἐστι, καὶ τοῦ ἦν, καὶ τοῦ γίνεσθαι, καὶ τοῦ ἔσαι, ἐν ἑαυτῷ πάντα συνέχει· πλὴν ἅμα πάντα καὶ τὸ ἦν, καὶ τὸ ἔσαι, καὶ τὸ ἔστιν, ὅπερ ἐν τινὶ ἄλλῳ λεχθήσεται πώποτε. Καὶ μὴ μόνον τὰ καταφατικὰ, ἀλλὰ καὶ τὰ ἀποφατικὰ, μᾶλλον δὲ καὶ αἱ στερήσεις ἐπ' αὐτοῦ λέγονται, καὶ ταῦτα ἅμα, ὡς εἶναι τὸν αὐτὸν καὶ πάνσχημον καὶ ἄμορφον, καὶ πανείδεον καὶ ἀκαλλῆ· ἐκεῖνα, διὰ τὸ αἴτιον εἶναι τῶν σχημάτων, καὶ τῶν εἰδῶν ἁπάντων· ταῦτα, διὰ τὸ ὑπὲρ πάντα ταῦτα εἶναι, κατὰ τὸ ὑπὲρ ἀσωματίαν, καὶ ὑπὲρ ἀϋλίαν ἄμορφον καὶ ἀνείδεον, τὰς ἀρχὰς, καὶ τὰ τέλη, καὶ τὰ μέσα τῶν ὄντων περιλαμβάνοντα· οὐδεμία γὰρ ἀρχή ἐστιν, ὑπὲρ ἣν οὐκ ἔστι Θεὸς ἀσχέτως καὶ ἐξῃρημένως· καὶ οὐδὲν τέλος, μεθ' ὃ οὐκ ἔστι Θεός· καὶ οὐδὲν μέσον, ἐν ᾧ οὐκ ἔστι Θεὸς, κατὰ τὸ, Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι· τοῦτο γάρ ἐστιν ἡ ἀρχὴ, τὸ τέλος, καὶ τὸ μέσον, κατὰ γοῦν μίαν καὶ ὑπερηνωμένην αἰτίαν. Εἰ γὰρ πολλὰ τὰ αἰτιατὰ, καὶ αἱ δωρεαὶ ἄπειροι, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν ἕνωσιν ἔχει τὸ ἑνιαῖον τὸ αἴτιον, ἀχράντως τοῖς πᾶσιν ἐπιλάμπει, δίκην τοῦ αἰσθητοῦ τούτου ἡλίου· εἰ γὰρ οὗτος ὁ ἐκ τοῦ Θεοῦ ὑποστὰς, πολλὰς οὐσίας καὶ διαφόρους ποιότητας εἷς ὢν μονοειδῶς ἐπιλάμπει, καὶ μενούσης μιᾶς καὶ ἑνιαίας τῆς λάμψεως, διάφοροι γίνονται αἱ ἐνέργειαι· πολλῷ γε μᾶλλον ἐπὶ Θεοῦ τὸ τοιοῦτον νοήσειέ τις τοῦ ποιητοῦ καὶ αὐτοῦ καὶ τῶν ἄλλων ἁπάντων; Καὶ εἰ ὁ ἥλιος τὰς αἰτίας τῶν τοσούτων ἐνεργειῶν καὶ κινήσεων μονοειδῶς περιείληφεν, ἑνιαίως ὅλος ἅπασιν ἐπιλάμπων, καὶ ἑκάστῳ συνεισκόμενος προσφόρως, πολλῷ γε μᾶλλον συγχωρήσομεν εἶναι παρὰ τῷ δημιουργῷ τὰ τῶν ὄντων πάντων παραδείγματα. Καὶ ὁ μὲν Πλάτων τὰς ἰδέας καὶ τὰ παρα-

PARAPHRASIS PACHYMERÆ.

& in Deo exiſtit, ſicut etiam ſuperiùs diximus. Quomodo ergo hîc Sanctus ait, quoniam erat, & erit, & cetera quæ minimè propria ſunt Dei, de Deo propriè prædicari? Ipſemet Sanctus hanc quæſtionem ſoluens ait, iſta de Deo dici quatenus Deum decet. Hæc enim omnia etiam aliena ſunt à Deo, & iterùm in Deo ſunt, quatenus participant eſſe. Omnia enim ſecundùm cauſam dicuntur de Deo, & in eo intelliguntur ſupraſubſtantialiter: hoc enim ita prędicari ſecundùm Philoſophos, declarat. Vt ergo omnium cauſa eſt, etiam eſt, & erat, & fieri, & erit, in ſe omnia continet; verùm ſimul omnia & erat, & erit, & eſt, quod de nullo alio dicetur vmquam. Et non ſolùm affirmationes, verùm etiam negationes, magis autem priuationes de ipſo dicuntur, atque hæc ſimul, velut ipſum eſſe omnis formæ & abſque formâ, & omnis figuræ & ſine figurâ ſeu pulchritudine: illa quidem, quia cauſa eſt formarum & figurarum omnium; hæc verò, quia ſupra ea omnia eſt, & ſupra incorporeum, & ſupra immaterialitatem formâ ſpecieque carens, principia & fines & media rerum circumplectens: nullum enim principium eſt, ſupra quod non ſit Deus incóprehenſè & exemptè; & nullus finis, poſt quem non ſit Deus; & nullum medium, in quo non ſit Deus, iuxta illud, Ego Deus primus, & ego poſt hæc, & præter me non eſt alius. hoc enim eſt principium, & finis, & medium, vtique ſecundùm vnam & ſupraquam vnitam cauſam. Licet enim multi ſint effectus & munera infinita, tamen ſupra omnem vnionem habet vnum illud cauſa, quæ liquidò omnibus illucet more ſolis huius ſenſibilis: ſi enim hic, cùm ex Deo ſubſiſtat, multas ſubſtantias ac diuerſas qualitates vnus exſiſtens vniformiter illuminet, &, illuminatione vnâ & vnitâ permanente, diuerſæ fiant operationes; quantò magis in Deo quis illud intelligat, qui tam illius quàm ceterarum rerum conditor exiſtit? Et ſi ſol tantorum operum ac motionum cauſas vniformiter præacceperit, vnitè totus omnibus affulgens, vnicuique commodus inuentus, quantò magis apud creatorem exemplaria rerum omnium exiſtere concedamus? Ac Plato quidem ideas & exemplaria

Quomodo de Deo dicatur erat, eſt, erit, & quomodo non.

Apoc. 22, 13.

Quid ſint ideæ.

PARAPHRASIS PACHYMERÆ.

plaria nimis vili & indignâ Deo ratione accepit; hic Pater verò hac quidem voce vsus est, sed sensum eius piè explicauit, dicens, exemplaria esse rationes præexistentes, ac diuinas volũtates quæ definiunt ac faciunt vniuersa (solâ enim [Dei] voluntate omnia consistunt) quas & prædefinitiones seu prædestinationes diuus Paulus appellat, dicens,
Rom. 8,30 *Quos autem prædestinauit, hos & vocauit*;
Ephes. 1,5. & alibi, *Qui prædestinauit nos in voluntate suâ.* Quòd autem etiam substantias adducat secundùm egressionem à substantiâ, istiusmodi rationem habet. Dixerat in Deo esse omnium rerum exemplaria; deinde ac si quis aliarum quidem rerum rationes in Deo esse dicat, vtputa prouidentiarum ac munerum motuumque, sicut Apostolica dicta tradunt, ita vt hinc quidem probabiliter colligatur, prædestinationes ministerij & Apostolatus rationesque horum esse in Deo, ipsarum autem personarum exemplaria non esse. Ac si quis itaque istiusmodi opinionis foret, & à personis actiones separaret, asserit, creatorẽ ipsarummet personarum quoque rationes penes se habere, cùm etiam substantias producat. Siquidem id obseruare licet in rebus nostratibus arte factis, quoniam nos quidem cùm substantias non producamus, substantiarum quoque rationes apud nos minimè habemus, habitudinum autem & artis rationes habere nos nihil vetat, secundùm quas res arte facta absoluatur. Deus verò, cùm tam hæc quàm illa producat, meritò habet vtrorumque rationes, tam substantiarum quàm habituum.

§. 9. *Quanam sint causæ principales.* Clemens autem Philosophus vrbis Romanæ Episcopus, vt quidam interpretes aiunt, opinionem quamdam secutus est, quæ tradit, etiam in generatione rerum sensilium quasdam esse causas principales. Quemadmodum itaque in intellectilibus licet dicere, diuinas notiones rationes esse principales & exemplaria, sic in sensilibus dixit esse quædam principaliora exemplaria, v. g. ignis materialis qualitas ætheria, & fontalium aquarum supercælestes aquæ, quæ quodammodò magis immateriales sunt inferioribus, in quantum æther quidem ipse in se ipso ardens subsistit, aquæ verò supercælestes sine circumscriptione conueniente constringuntur ac continen-

δείγματα ταπεινῶς καὶ ἀναξίως Θεοῦ ἐξείληφε· ὁ δὲ Πατὴρ τῇ μὲν λέξει ἐχρήσατο, τὴν δὲ ἔννοιαν εὐσεβῶς ἐξηγήσατο, παραδείγματα λέγων, τοὺς προϋφεστῶτας λόγους, καὶ τὰ ἀφοριστικὰ ποιητικὰ θεῖα θελήματα (μόνῳ γὰρ τῷ βούλεσθαι τὰ πάντα ὑπέστησεν) οὓς καὶ προορισμοὺς ὁ θεῖος Παῦλός φησιν, Οὓς δὲ προώρισε, λέγων, τούτους καὶ ἐκάλεσε· καὶ ἑτέρωθι, Προορίσας ἡμᾶς ἐν τῷ θελήματι αὐτοῦ. Τὸ δὲ, ἐπεὶ καὶ οὐσίας παράγει κατὰ τὴν ἀπὸ οὐσίας ἔκβασιν, τοιοῦτόν τινα ἔχει λόγον. Εἶπεν, ὅτι πάντων τῶν ὄντων τὰ παραδείγματα ἐν τῷ Θεῷ ἐστιν· εἶτα ὡσπερεί τινος τῶν ἄλλων μὲν τοὺς λόγους διδόντος εἶναι ἐν τῷ Θεῷ, δηλονότι τῶν προνοιῶν, τῶν δωρεῶν, τῶν κινήσεων, καθὼς καὶ τὰ Ἀποστολικὰ ῥητὰ ἔχουσιν· ὡς συνάγεσθαι ἴσως ἐντεῦθεν, τοὺς μὲν προορισμοὺς τῆς διακονίας καὶ τῆς ἀποστολῆς, καὶ τοὺς λόγους τούτων εἶναι ἐν τῷ Θεῷ, αὐτῶν δὲ τῶν προσώπων τὰ παραδείγματα μὴ εἶναι. Ὡσπερεί τινος γοῦν οἰομένου ταῦτα καὶ χωρίζοντος τῶν προσώπων τὰς ἐνεργείας, φησὶ συνιστῶν, ὅτι καὶ αὐτῶν καθ' αὑτὸ τῶν προσώπων τοὺς λόγους ἔχει παρ' ἑαυτῷ ὁ δημιουργὸς, ἐπεὶ καὶ οὐσίας παράγει. Σκέψαι γὰρ ἀπὸ τῶν καθ' ἡμᾶς τεχνητῶν, ὅτι ἡμεῖς μὲν, ἐπεὶ οὐκ οὐσίας παράγομεν, οὐδὲ τοὺς λόγους τῶν οὐσιῶν παρ' ἑαυτοῖς ἔχομεν· ἕξεων δὲ καὶ τέχνης λόγους οὐδὲν κωλύει ἔχειν ἡμᾶς, καθ' οὓς ἀποτελεσθείη τὸ τεχνητόν. Ὁ δὲ Θεὸς, ἐπεὶ καὶ τούτων κἀκείνων παραγωγός ἐστιν, εἰκότως ἔχει καὶ ἀμφοτέρων τοὺς λόγους, καὶ τῶν οὐσιῶν καὶ τῶν ἕξεων.

Ὁ μέντοι Φιλόσοφος Κλήμης ὁ Ῥώμης Ἐπίσκοπος, ὥς φασί τινες ἐξηγούμενοι, δόξῃ τινὶ κατηκολούθησε λεγούσῃ, καὶ ἐν τῇ γενέσει τῶν αἰσθητῶν εἶναί τινας ἀρχικὰς αἰτίας. Ὥς γοῦν ἐν τοῖς νοητοῖς ἔστι λέγειν τὰς νοήσεις τὰς θείας, λόγους ἀρχικοὺς καὶ παραδείγματα, οὕτως ἐν τοῖς αἰσθητοῖς ἔλεγεν εἶναί τινα ἀρχηγικώτερα παραδείγματα, τοῦ μὲν ἐνύλου τυχὸν πυρὸς, τὸ αἰθέριον, τῶν δὲ πηγαίων ὑδάτων, τὰ ὑπερουράνια ὕδατα, ἅ τινα ἀϋλότερά πως εἰσὶ τῶν ὑφειμένων, παρ' ὅσον ὁ μὲν αἰθὴρ αὐτὸς ἐν ἑαυτῷ καίων ὑφίσταται, τὰ δὲ ὑπεράνω τῶν οὐρανῶν ὕδατα, δίχα τοῦ προσήκοντος περιορισμοῦ συσφίγγεται καὶ συνέχεται·

καὶ

καὶ μᾶλλον ἐπὶ σφαιροειδοῦς ἢ ὀλισθηρᾶς ὄντα φύσεως, ἄμφω δὲ συγκρατεῖται τῷ δημιουργικῷ καὶ θείῳ θελήματι. Διὰ τοῦτο δὲ καὶ πρός τι παραδείγματά φησι· πρὸς γὰρ ταῦτα ἐκεῖνα παραδείγματα, καὶ οὐχ ἁπλῶς ἀρκτικὰ αἴτια, ὡς οὗτός φησι, τὰ θεαρχικὰ θελήματα. Ἄλλοι δὲ τὰ νοητὰ τῶν αἰσθητῶν, καὶ τούτων πάλιν τὰ ὑψηλότερα τῶν κατωτάτω, παραδείγματα λέγειν τὸν ἱερὸν ἐκλαβόμενοι Κλήμεντα, εἰς σαφήνειαν τῆς τοιαύτης δόξης καὶ τοιοῦτόν τι παράγουσιν· Ὑπόθου γὰρ γραμμὴν, ἧς τὸ μὲν ἄνω μέρος ἀποδιδόσθω τοῖς νοητοῖς, τὸ δὲ κάτω τοῖς αἰσθητοῖς· καὶ τούτων, τὸ μὲν ἀρχηγικωτέροις, ἅπερ εἰσὶ τὰ ἰδίως νοητὰ, τὸ πρῶτον καὶ ἀνώτατον μέρος, τοῖς δὲ ἐκ τῶν νοητῶν τὸ μετ᾽ ἐκεῖνο, εἶθ᾽ οὕτως, καθ᾽ ὑπόβασιν τῆς γραμμῆς τὰ ἄλλα. Δεῖξαι γὰρ θέλει ἡ τοιαύτη δόξα, μὴ τῆς ἀξίας τῆς αὐτῆς εἶναι τὰ πάντα, ἀλλ᾽ ἐξ ἀλλήλων ἔνια γινόμενα, οἷον τὰ ὑφειμένα εἴδη τῶν καθολικῶν. Καὶ ταῦτα μέν τινες· τὸ δὲ ὅλον, οἶμαι, ὡς ἂν τῶν λόγων καταστοχάσωμαι, τοῦτό ἐστιν, Ὅτι ἐπειδὴ τῶν νοητῶν τὰ παρόντα λέγουσιν, ὡς ὁ μέγας Ἀπόστολος εἶπε τοῦ νόμου σκιάν, οὗτος ἐξ ἀντιστρόφου ἐκεῖνα τούτων, ἐκάλεσε παραδείγματα. Διὰ τοῦτο γὰρ εἶπε καὶ πρός τι ἡ εἰκὼν πρὸς τὸ παράδειγμα, καὶ τὸ παράδειγμα πρὸς τὴν εἰκόνα. Φησὶ τοίνυν ὁ Πατὴρ, ὅτι εἰ κἀκεῖνος τὰ νοητὰ τῶν αἰσθητῶν ἐκάλεσε παραδείγματα (ὅρα γὰρ, φησὶ, ποιήσῃς κατὰ τὸν τύπον τὸν δειχθέντα σοι) ἀλλ᾽ οὖν οὐκ εἰσὶ τοιαῦτα παραδείγματα τὰ νοητὰ ἐκεῖνα, ὥστε καὶ προσκυνητὰ εἶναι, ὡς τὰ θεῖα θελήματα, ἀλλὰ κἀκεῖνα ποιήματά εἰσι, καὶ ἔχομεν ἀκούειν καὶ περὶ αὐτῶν, καθὼς ὁ Μωϋσῆς περὶ τῶν αἰσθητῶν εἶπεν ὡς ἀπὸ τοῦ Θεοῦ, Οὐ παρέδειξά σοι αὐτὰ τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν, ἀλλ᾽ ἵνα διὰ τούτων πρὸς τὸ ὄντως ὂν καὶ τὸν κτίστην ἀναγώμεθα. Ἐπειδή τινες τῶν Ἑλλήνων τὰς ἰδέας καὶ τὰ παραδείγματα ἐνυπόστατα ἔφησαν, τούτους ἀπορραπίζων φησίν· Εἰ γὰρ μὴ ἁπλῶς καὶ ἑνιαίως εἶεν αἱ ἰδέαι νοήσεις ὑφηπλωμέναι οὖσαι τοῦ ὑφηπλωμένου καὶ ὑπερηνωμένου Θεοῦ, σύνθετος ἂν εἴη ὁ Θεὸς ἐκ παραδείγματος καὶ ἑαυτοῦ, ὅπερ διπλόην ὠνόμασε· πάντα οὖν ἀναθετέον τῇ πρώτῃ αἰτίᾳ. Ἀλλ᾽ οὐ, διότι με-

tur; quin potiùs cùm orbicularis ac fluxæ naturæ sint, vtraque conditoris ac diuinâ voluntate continentur. Quocircà etiam ad aliquid exemplaria esse dicit: ad hæc ipsa enim exemplaria, & non simpliciter causas principales, vt hîc ait, diuinæ sunt voluntates. Alij verò intellectilia sensilium, & horum iterùm sublimiora inferiorum exemplaria Clementem dicere existimantes, ad istiusmodi opinionis explicationem quid simile adducunt: Suppone enim lineam, cuius superior quidem pars data sit rebus intellectilibus, inferior verò sensilibus; atque iis quidem quę inter hęc primatum tenent, quæ sunt propriè intelligibilia, primam ac superiorem partem obtigisse, intellectilibus autem inferioribus inferiorem, & ita ceteris, secundùm lineæ descensum. Siquidem talis opinio vult docere, omnia non esse eiusdem dignitatis, sed quædam ex se mutuò dependere, velut subiectas species ab vniuersalibus. Et hæc quidem aliquorum est sententia: totus verò, quantum ex verbis ipsis coniicio, sensus hic est: Quòd cùm præsentia dicant esse rerum spiritalium, sicut Magnus Apostolus ea quæ sunt legis vmbram appellauit, ita hic illa his opponens exemplaria vocauit. Idcircò enim dixit etiam ad aliquid, imago videlicet ad exemplar, & exemplar ad imaginem. Ait itaque hic Pater, quòd si etiam ille intellectilia sensilium exemplaria vocauit (vide enim, inquit, facias secundùm exemplar quod tibi monstratum est) vtique non sunt istiusmodi exemplaria intellectilia illa, quæ etiam adoranda sint vt diuinæ voluntates, verùm illa quoque creata sunt, deque iis audimus id quod Moyses de sensilibus Dei nomine dixit, Non ostendi tibi hęc vt ambules post ea, sed vt per hæc ad id quod verè est & creatorem adducamur. Cùm aliqui Gentiles dixerint, ideas esse exemplaria quæ per se subsistũt, hos refutans ait: Nisi enim ideæ hæ notiones essent simpliciter & vnitè superexpansæ, supereminentes & supraquam vniti Dei, vtique Deus compositus esset ex exemplari & seipso, quod duplicitatem appellauit; omnia igitur primæ causæ adscribenda sunt. Sed neque, quòd partiales

PARAPHRASIS PACHYMERÆ.

Exod. 25.

PARAPHRASIS PACHYMERÆ.

tiates & diuersi temporis sint effectus, statim suspicandum est, esse diuisiones quasdam per se subsistentes, vel certè propriè intellectas in Deo; sed vnica est eademque eminens vniuersæ vnitatis vnio: nam secundùm vnam & eamdem non simpliciter simplicitatem, sed eminentiam simplicitatis, omnia in seipsâ non solùm continet, verùm etiam præhabet prædefinitè inchoans progressum suum substantificum, & creaturarum productionem à sui ipsius esse, sicut etiam ipsam viuificationem à sui ipsius vitâ, & consummationem à suâ perfectione. Dixit autem hoc, quoniam omnia ex Deo facta sunt, atque omnia se ipsis propriè, & in quantum naturam habent, Deum participant: si quidem tantùm existant, participant diuinum esse; si cognoscant, diuinam cognitionem; si verò etiam intelligant, diuinam intellectionem quæ omnem excedit intelligentiam. Inchoat autem à substantifico progressu, quoniam primùm intelligimus esse alicuius, & deinde sic vel taliter illud esse. Quapropter istiusmodi progressum inchoauit à sui ipsius esse: non enim satis est bonitati, si circa semetipsam propriæ vacet contemplationi, sed debebat per plura beneficia diffundi ac propagari.

§.10. *Per omnia dimanat Dei prouidentia.* Per omnia autem dimanat prouidentiâ, cunctaque replet essentiâ, & in rebus omnibus delectatur. Hoc verò dicit, non quòd Deus affectionem habeat gaudij & exultationis, sed à nobis ipsis gaudentibus de operum nostrorum perfectionibus, si quidem secundùm rationem procedant, & nullam incurrant reprehensionem: hoc enim sibi quoque vult illa quæ in diuinâ sacraque Scripturâ additur approbatio,
Gen. 1,31. *Ecce bona valde.* Quibus congruit & illud
Psal. 103,31 diuini Dauidis dicentis, *Lætabitur Dominus in operibus suis*; illudque Salomonis, *Ego eram cui congaudebat.* Etenim vt vox, cùm vna sit, à multis quoque auribus, in se vna rursum perseuerás, non priùs neq; posteriùs, neq; diuisim neque partialiter, sed integrè, sed totaliter & ex toto, & simul & eodẽ modo, vt vna percipitur; sic etiam Deus vnicè & integrè ab omnibus participatur, omniũque principium est, tamquam causa, & finis vt cuius causa: nam omnia propter Deum sunt, verùm non propter necessitatem, sed propter bonitatem; & finis omnium est, vt

ρικὰ καὶ ἑτερόχρονα τὰ αἰτιατὰ, ἤδη ὑπονοητέον καὶ μερισμούς τινας ἰδιοϋποστάτους, ἢ μὴν ἰδίως ἐπινοουμένους ἐπὶ Θεοῦ· ἀλλὰ μία ἐστὶ καὶ αὕτη ἐξῃρημένη παντὸς ἑνιαίου ἡ ἕνωσις· κατὰ μίαν γὰρ καὶ τὴν αὐτὴν οὐχ ἁπλῶς ἁπλότητα, ἀλλ' ὑπερβολὴν ἁπλότητος, πάντα ἐν ἑαυτῇ μὴ μόνον περιέχει, ἀλλὰ καὶ προέχει προωρισμένως, ἀρξαμένη τῆς οὐσιοποιοῦ προόδου, καὶ παραγωγῆς τῶν κτισμάτων, ἀπὸ τοῦ εἶναι ἑαυτῆς· ὥσπερ καὶ αὐτῆς ζωοποιοῦ ἀπὸ τῆς ζωῆς ἑαυτῆς, καὶ τῆς τελειοποιοῦ ἀπὸ τῆς τελειώσεως ἑαυτῆς. Εἶπε δὲ τοῦτο, ἐπεὶ τὰ πάντα ἐκ τοῦ Θεοῦ ἐγένοντο, καὶ τὰ πάντα τοῦ Θεοῦ μετέχουσιν οἰκείως ἑαυτοῖς καὶ καθὸς ἔχουσι φύσεως· εἰ μὲν εἰσὶ μόνον, ἀπὸ τοῦ εἶναι τοῦ Θείου· εἰ δὲ γνωστικά εἰσιν, ἀπὸ τῆς θείας γνώσεως· εἰ δὲ καὶ νοερὰ, ἀπὸ τῆς θείας καὶ ὑπὲρ πᾶσαν νόησιν νοήσεως. Ἄρχεται δὲ τῆς οὐσιοποιοῦ προόδου, ὅτι πρώτως ἐπινοοῦμεν τὸ εἶναί τινος, καὶ εἶθ' οὕτως τὸ τοιῶσδε εἶναι τοῦτο. Τοίνυν ἤρξατο τῆς τοιαύτης προόδου ἀπὸ τοῦ εἶναι ἑαυτῆς· οὐκ ἤρκει γὰρ τῇ ἀγαθότητι, μόνῃ τῇ περὶ ἑαυτῆς ἐνασχολεῖσθαι θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι καὶ ὁδεῦσαι τὸ ἀγαθὸν εἰς πλείονα τὰ εὐεργετούμενα.

Διὰ πάντων δὲ φοιτᾷ τῇ προνοίᾳ, καὶ πάντα πληροῖ τῷ εἶναι, καὶ ἐπὶ πᾶσι τοῖς οὖσιν ἀγάλλεται. Τοῦτο δὲ λέγει, οὐχ ὅτι ὁ Θεὸς πάθος ἔχει χαρᾶς καὶ ἀγαλλιάσεως, ἀλλ' ἀφ' ἡμῶν χαιρόντων τοῖς τῶν ἡμετέρων ἔργων ἀποτελέσμασιν, εἴπερ κατὰ λόγον προβαῖεν, καὶ μηδεμίαν μορφὴν ἔχοιεν· τοῦτο γάρ ἐστι καὶ ἡ παρὰ τῇ θείᾳ καὶ ἱερᾷ Γραφῇ μετ' ἐπιτάσεως ἐπίκρισις, τὸ, Ἰδοὺ καλὰ λίαν. Σύμφωνον τούτοις καὶ τὸ παρὰ τοῦ θείου Δαβὶδ, Εὐφρανθήσεται Κύριος, λέγων, ἐπὶ τοῖς ἔργοις αὐτοῦ· καὶ τὸ τοῦ Σολομῶντος, Ἐγὼ ἤμην ᾗ προσέχαιρε. Καὶ γοῦν ὥσπερ φωνὴ μία οὖσα παρὰ πολλῶν ἀκοῶν μένουσα καὶ πάλιν μία, μετέχεται, οὐ προτέρως καὶ ὑστέρως, οὐ μεμερισμένως, οὐκ ἀνὰ μέρος μὲν, ὁλοτελῶς δὲ, ἀλλὰ καὶ ὁλοτελῶς, καὶ καθόλου, καὶ ἅμα, καὶ ὡσαύτως ὡς μία· οὕτω παρὰ πάντων καὶ τὸ Θεῖον μετέχεται ἑνικῶς τε καὶ ὁλοτελῶς, καὶ ἀρχή ἐστι πάντων, ὡς αἴτιον, καὶ τέλος ὡς οὗ ἕνεκα· πάντα γὰρ ἕνεκα Θεοῦ, ἀλλ' οὐ διὰ χρείαν, ἀλλ' ἀγαθότητα· καὶ πέρας πάντων, οἱονεὶ

περι-

περιεκτικὸν καὶ ὅρος. Οὐδὲν γὰρ ἐκβαίνει τὴν αὐτοῦ δυναστείαν καὶ πρόνοιαν, ἀλλ' εἰς αὐτὸ τὰ πάντα περατοῦνται, καὶ ἀπειρία πάσης ἀπειρίας καὶ πέρατος· ἐξ ἴσου γὰρ ἀπολείπονται καὶ ἡ ἀπειρία καὶ τὸ πέρας τῆς θείας ἀπειρίας, καθάπερ ἡλίου καὶ οὐρανοῦ οἱ πρὸς αὐτὰ βλέποντες, ἢ μᾶλλον καὶ πλέον, καὶ ὑπερέκεινα, καὶ ἀπείρως ἀπολείπονται. Ἀλλὰ τίς ἡ ἐν τοῖς καθ' ἡμᾶς ἀπειρία; Εἴποι τις ἄν, Ἡ ὕλη ἡ ἀεὶ μετασχηματιζομένη, καὶ ἄλλοτε εἰς ἄλλα εἴδη μεταβάλλουσα. Ἀλλ' οὖν καὶ αὕτη ἐν τῷ Θεῷ πεπέρασται, εἰ καὶ ἄστατός ἐστι καὶ ἀόριστος. Ἔστι γοῦν τὸ Θεῖον ἀπειρία, καὶ τῆς ἀπειρίας, οὐχ ὡς μετασχηματιζόμενον κατ' αὐτῆς, ἀλλ' ὡς καὶ ταύτην ἐξ οὐκ ὄντων παραγαγόν. Εἰπὼν δὲ ἀπειρίας καὶ πέρατος, φησὶ τῶν ὡς ἀντικειμένων· οὐ γὰρ κυρίως ταῦτα ὡς ἕξις καὶ στέρησις ἀντίκεινται (ἔδει γὰρ φανῆναί ποτε τὴν ἕξιν, εἴπερ ἦν τοῦτο, καὶ οὕτω γενέσθαι τὴν στέρησιν) ἀλλὰ μᾶλλον ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκεινται· λέγεται γὰρ καθ' ἕξιν καὶ στέρησιν, νοεῖται δὲ κατὰ κατάφασιν καὶ ἀπόφασιν. Ἄπειρον γὰρ λέγεται, τὸ μὴ ἔχον πέρας, οὐ τὸ στερηθὲν πέρατος, ἐν ἑνὶ μέντοι, δηλονότι ἑνιαίως, ὡς πολλάκις εἴρηται, τὰ πάντα ὁ Θεὸς, καὶ προέχει ὡς αἴτιος, καὶ ὑπέστησεν ὡς ποιητὴς, καὶ παρὼν ὁμοίως τοῖς πᾶσι καὶ πανταχοῦ· καὶ ἐπὶ πάντα πρόεισι τῇ συστατικῇ προνοίᾳ, καὶ ἐφ' ἑαυτοῦ μένει ὡς ὑπὲρ πάντα ὢν καὶ μηδενὸς δεόμενος. Καὶ ἑστὼς ἐστὶ τῷ κατὰ μηδὲν ὅλως ἐν αὐτῷ ἴχνος μεταβολῆς θεωρεῖσθαι, καὶ κινούμενος πάλιν ἐν τῷ συνέχειν τὰ ὄντα καὶ συγκρατεῖν. Καὶ αὖθις οὐ ταῦτά ἐστιν, ὅτι ὑπὲρ ταῦτα· κίνησις γὰρ, ἀτελὴς ἐνέργειά ἐστι· στάσις δὲ, ἡ παντάπασιν ἀκινησία· ἥτις εἰ μετὰ τὴν κίνησιν γένοιτο, ἠρεμία ἂν κληθείη. Τὸ κακοῦ εἶναι τὸ Θεῖον ὑπὲρ τὴν ἀτελῆ ἐνέργειαν, εὔδηλον· ὅτι δὲ καὶ ὑπὲρ πᾶσαν ἀκινησίαν, δῆλον ἐκ τοῦ τὰ πάντα ἔχειν ὑπεροχικῶς, καὶ οὐ καθώς εἰσι καὶ νοοῦνται. Εἰ γὰρ καὶ λίαν συνᾴδει ἐπὶ Θεοῦ τὸ παντάπασιν ἀκίνητον, ἀλλὰ καὶ τοῦτο ὑπεροχικῶς ἐστί τε καὶ νοεῖται ἐν τῷ Θεῷ. Οὐκ ἔν τινι τῶν ὄντων πάλιν ἐστὶ, διὰ τὸ ἐν πᾶσιν ἄσχετον· οὐδὲν προσήκει τούτῳ τῶν αἰωνίων, ὅτι καὶ τῶν αἰώνων

qui continet & terminat vniuerſa. Nihil enim poteſtatem ac prouidentiam eius effugit, ſed in ipſo cuncta terminantur, & infinitas omnis infinitatis ac terminationis exiſtit: æqualiter enim deficiunt tam infinitas quàm terminatio à diuinâ infinitate, ſicut à ſole ac cælo qui illa intuentur, vel potiùs etiam magis & exceſſiuè atque infinitè deficiunt. Verùm quænam eſt in rebus noſtratibus infinitas? Si dicat quis materiam, quæ ſemper transfiguratur atque in alias atque alias formas tranſmutatur; atqui hæc ipſa quoque in Deo terminatur, quantumuis inſtabilis ſit & indefinita. Eſt itaque Deus infinitas etiam infinitatis, non quaſi ſecundùm ſe transformetur, ſed quòd hanc ex nihilo producat. Dicens autem infinitatis & terminationis, ait ſicut oppoſitorum: non enim hæc propriè ſicut habitus & priuatio opponuntur (oportebat enim apparere aliquando habitum, ſiquidem is erat, & ſic fieri priuationem) quin potiùs opponuntur ſicut affirmatio & negatio. dicitur enim ſecundùm habitum & priuationem, intelligitur autem per affirmationem & negationem. Infinitum namque dicitur id quod non habet finem, non quod priuatum eſt fine: Deus ſiquidem in vno, id eſt vnitè, vt ſæpè dictum eſt, omnia & præhabet vt cauſa, & ſubſiſtere facit vt conditor, atque ſimiliter omnibus & vbique præſens eſt, & ad omnia ſe extendit conſeruatrice prouidentiâ, & in ſe ipſo manet tamquam ſupra omnia exiſtens, & nullius egens. Et *ſtans* dicitur, quia in eo nullum veſtigium mutationis cernitur; & rurſum ſe *mouens*, quia res continet atque conſeruat. Et rurſum non hæc eſt, ſed ſupra hæc: motio enim, eſt actio imperfecta; ſtatio verò eſt omnimoda immobilitas; quæ ſi poſt motum fiat, quies appellabitur. Deum autem mali pluſquam imperfectam actionem eſſe, clarum eſt; quòd verò etiam ſit ſupra immobilitatem, clarum eſt ex eo quòd omnia habeat eminenter, & non ſicut res ſunt & intelliguntur. Etſi enim Deo valdè conſona ſit omnimoda immobilitas, attamen ea ipſa eminenter eſt & intelligitur in Deo. Rurſum non eſt in vllo eorum quæ ſunt, quia in omnibus incomprehenſibilis exiſtit; nihil rerum æuiternarum illi conuenit, quia æuorum quoque con-

PARAPHRASIS PACHYMERÆ.

Quomodo de Deo dicantur oppoſita.

PARAPHRASIS PACHYMERÆ.

conditor existit; nihil rerum temporalium, quia temporum quoq; creator est. Æuiternas autem vocat virtutes intellectu prææditas, quoniam æui participes existunt, & quia naturâ temporis priores sunt; quoniam tempus à cæli terræque creatione computatur. Quòd autem ipsi nihil conueniat, intellige secundùm substantiam, & non secundùm aliam quampiam intelligentiam, v. g. gubernationis ac constitutionis, atque similium. Nota verò hinc, id quod principio caret, quoque æternum esse, non tamen omne quod æternum est, principio carere. Deus autem est ipsamet æternitas, quoniam eius esse non solùm tempore non mensuratur, sed neque æternitate, sed est ipsamet æternitas. Ait autem sæcula intelligibilium, tempora verò sensilium mensuras esse: siquidem intellectilia, tamquam mensuræ subiecta, sæculo mensurantur, etsi eodem nomine, quæ mensurantur, & quod mensurat, afficiantur. Angeli enim etiam sæcula appellantur. Ita etiam in sensilibus: quæ enim tempore mensurantur, eodem cum tempore nomine appellantur, vt motus astrorum & solis, & ætates vitæ: tempore enim mensuratæ tempora dicuntur; siquidem tempus vnum, mensuralia verò tempora sunt, quæ vnius huius temporis extensione mensurantur. Hæc itaque omnia per ipsum, & ab ipso, & in ipso sunt.

ποιητής ἐστιν· οὐδὲν τῶν ὑπὸ χρόνον, ὅτι καὶ χρόνων ποιητής. Αἰώνια δὲ λέγει τὰς νοερὰς δυνάμεις ὡς αἰῶνος μετεχούσας, καὶ διὰ τὸ τὸ πρὸ τοῦ χρόνου, φύσεως γεγενῆσθαι αὐτάς· χρόνος γὰρ ἀπὸ τῆς οὐρανοῦ καὶ γῆς ποιήσεως ἀριθμεῖται. Τὸ δὲ, Οὐδὲν προσήκει τούτῳ, κατ' οὐσίαν νόησον, καὶ οὐ κατ' ἄλλην τινὰ ἔννοιαν, οἷον κυβερνήσεως, καὶ συστάσεως, καὶ τῶν τοιούτων. Σημείωσαι δὲ ἐντεῦθεν, ὅτι τὸ ἄναρχον καὶ αἰώνιον, οὐ μὴν δὲ πᾶν τὸ αἰώνιον καὶ ἄναρχον. Αὐταιὼν δὲ τὸ Θεῖον, ὅτι τὸ εἶναι τούτου μὴ μόνον χρόνῳ οὐ μετρεῖται, ἀλλ' οὐδ' αἰῶνι, ἀλλ' αὐτό ἐστιν ἑαυτοῦ αἰών. Μέτρα δὲ τῶν ὄντων τοὺς αἰῶνας τῶν νοητῶν, καὶ τοὺς χρόνους τῶν αἰσθητῶν φησι· τὰ γὰρ νοητὰ, ὡς ὑπὸ μέτρου τοῦ αἰῶνος μετρεῖται, εἰ καὶ ὁμωνύμως τῷ μετροῦντι αἰῶνι καὶ τὰ μετρούμενα λέγονται. Αἰῶνες γὰρ λέγονται καὶ οἱ Ἄγγελοι. Οὕτω καὶ ἐπὶ τῶν αἰσθητῶν· τὰ γὰρ μετρούμενα τῷ χρόνῳ, ὁμωνύμως χρόνοι λέγονται, ὡς ἡ κίνησις τῶν ἀστέρων καὶ τοῦ ἡλίου, καὶ οἱ βίοι· μετρούμενοι γὰρ ὑπὸ χρόνου, χρόνοι λέγονται· ὁ γὰρ χρόνος, εἷς· τὰ δὲ, μετρικοὶ χρόνοι, ὡς ὑπὸ τῆς μιᾶς παρατάσεως τοῦ ἑνὸς χρόνου μετρούμενα. Πάντα οὖν ταῦτα, δι' αὐτοῦ, καὶ ἀπ' αὐτοῦ, καὶ ἐν αὐτῷ ἐστιν.

CAPVT VI.

De Vitâ.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ ζωῆς.

SYNOPSIS CAPITIS.

1. Docet Deum esse vitam ex quâ omnis vita proficiscitur. 2. Eum cuilibet viuenti naturæ congruam vitam impertiri. 3. A diuinâ vitâ, quæ supra vitam est, viuificari ac foueri vniuersa, atque adeò ipsam vt omnigenam vitam prædicari.

§. 1. Deum esse vitam, ex quâ omnis vita proficiscitur.

NVNC laudanda nobis est vita æterna, ex quâ per se vita, & omnis vita manat; & à quâ viuere in omnia quoquo modo vitam participantia, conuenienter vnicuique, disseminatur. Itaq; vi-

ΝΥΝ δὲ ὑμνητέον ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἐξ ἧς ἡ αὐτοζωὴ, καὶ πᾶσα ζωή· καὶ ὑφ' ἧς εἰς πάντα τὰ ὁπωσοῦν ζωῆς μετέχοντα, τὸ ζῆν οἰκείως ἑκάστῳ διασπείρεται. Καὶ γοῦν ἡ τῶν ἀθα-

TEXTVS S. DIONYSII.

ἀθανάτων Ἀγγέλων ζωὴ καὶ ἡ ἀθανασία, καὶ τὸ ἀνώλεθρον αὐτὸ τῆς ἀγγελικῆς ἀεικινησίας, ἐξ αὐτῆς καὶ δι' αὐτήν, καί ἐστι καὶ ὑφέστηκε, διὸ καὶ ζῶντες ἀεὶ καὶ ἀθάνατοι λέγονται· καὶ οὐκ ἀθάνατοι πάλιν, ὅτι μὴ παρ' ἑαυτῶν ἔχουσι τὸ ἀθάνατοι εἶναι καὶ αἰωνίως ζῆν, ἀλλ' ἐκ τῆς ζωοποιοῦ καὶ πάσης ζωῆς ποιητικῆς καὶ συνοχικῆς αἰτίας. Καὶ ὥσπερ ἐπὶ τοῦ ὄντος ἐλέγομεν, ὅτι καὶ τοῦ αὐτοεῖναί ἐστιν αἰών, οὕτω καὶ ἐνθάδε πάλιν, ὅτι καὶ τῆς αὐτοζωῆς ἐστιν ἡ ὑπὲρ ζωὴν ἡ θεία ζωή, ζωτικὴ καὶ ὑποστατική, καὶ πᾶσα ζωή, καὶ ζωτικὴ κίνησις ἐκ τῆς ζωῆς τῆς ὑπὲρ πᾶσαν ζωὴν καὶ πᾶσαν ἀρχὴν πάσης ζωῆς. Ἐξ αὐτῆς καὶ αἱ ψυχαὶ τὸ ἀνώλεθρον ἔχουσι, καὶ ζῶα πάντα, καὶ φυτὰ κατ' ἔσχατον ἀπήχημα τῆς ζωῆς ἔχουσι τὸ ζῆν. Ἧς ἀνταναιρουμένης κατὰ τὸ Λόγιον, ἐκλείπει πᾶσα ζωή, καὶ πρὸς ἣν καὶ τὰ ἐκλελοιπότα τῷ πρὸς τὸ μετέχειν αὐτῆς ἀσθενείᾳ, πάλιν ἐπιστρεφόμενα, πάλιν ζῶα γίγνεται.

Καὶ δωρεῖται μὲν πρώτως τῇ αὐτοζωῇ τὸ εἶναι ζωήν, καὶ πάσῃ ζωῇ, καὶ τῇ καθ' ἕκαστα τὸ εἶναι οἰκείως ἑκάστην, ὃ εἶναι πέφυκε· καὶ ταῖς μὲν ὑπερουρανίαις ζωαῖς τὴν ἄϋλον, καὶ θεοειδῆ, καὶ ἀναλλοίωτον ἀθανασίαν, καὶ τὴν ἀρρεπῆ καὶ ἀπαρέγκλιτον ἀεικινησίαν, ὑπερεκτεινομένη διὰ περιουσίαν ἀγαθότητος, καὶ εἰς τὴν δαιμονίαν ζωήν· οὐδὲ γὰρ ἐκείνη τὸ εἶναι παρ' ἄλλης αἰτίας, ἀλλ' ἐξ αὐτῆς καὶ τὸ εἶναι ζωὴ καὶ τὴν διαμονὴν ἔχει. Δω-

ta atque immortalitas immortalium Angelorum, & illa perpetuitas Angelicæ vitæ, quæ omnem effugit interitum, ex ipsâ & propter ipsam est & subsistit, quãobrem semper viuentes & immortales dicuntur; & rursus non immortales, quia non ex se habẽt vt immortales sint, & perpetuò viuant, sed ex viuificâ & omnis vitæ effectrice & conseruatrice causâ. Et sicut dicebamus de eo qui est, esse æuum ipsius per se esse, sic etiam hîc vita diuina est per se vitæ viuificatrix & effectrix; & omnis vita, vitalisq; motio est ex vitâ quæ est supra omnẽ vitam, & omne principium omnis vitæ. Ex ipsâ etiam animæ habent, quòd non intereant, & animantia germinaque quòd vltimo vitę gradu gaudeant. Hac subtractâ, iuxta Scripturam, deficit omnis vita; & ad ipsam denuò conuersa, rursum viuificantur quotquot ab eius consortio præ imbecillitate desciuerant.

§. 2. *Hac cuilibet viuenti congruam vitam impertitur.*

Et largitur primùm quidem per se vitæ esse vitam, & omni vitæ, & cuique vitæ esse vnamquamque aptè ad naturam suam: cælestibus etiam vitis immaterialem ac deiformem & immutabilem immortalitatem; & motum sempiternum ab omni errore inflexioneque liberum, ad ipsam quoque vitam dæmoniacam abundantiâ bonitatis se extendens: neque enim illa quòd sit, & vita sit ac maneat, ab aliâ causâ nisi ab hac habet. Dat insuper homi-

TEXTVS S. DIONYSII.

hominibus, licet compositis, vitam quæ Angelicam proximè attingit, & nos auersos etiam exuberantiâ benignitatis ad se conuertit reuocatque, & (quod diuinius est) nos totos, animas dico & coniuncta corpora, ad perfectam & immortalem vitam translaturam se promisit: id quod antiquitati quidem contra naturam esse videtur, mihi verò & tibi & veritati diuina res, & supra naturam. Supra naturam nostram dico quæ videtur, non autem illam omnipotentem vitæ diuinę: huic enim, vt quæ sit omnium vitarum, & earum pręsertim quæ diuiniores sunt naturâ, nulla vita est contra naturam aut supra naturam. Quamobrem vesaniæ Simonis contradictorij sermones procul à diuino cœtu tuaq; spiritali animâ repellantur: latebat enim ipsum, vti puto, tametsi sibi sapiens videbatur, eum qui sanę mentis sit, euidenti sensus ratione adiutrice vti contra abstrusam omnium causam non oportere. Atque hoc ei dicendum est, id esse contra naturam dicere; ei enim nihil est contrarium.

§. 3. *A diuinâ vitâ viuificantur & fouentur vniuersa.*

Ab ipsâ viuificantur & fouentur vniuersa, tam animalia quàm plantæ. Et siue spiritalem dixeris, siue rationalem, siue sensitiuam, siue nutritiuam & auctricem, siue qualemcumque tandem vitam, vel vitæ principium, vel vitæ essentiam, ex ipsâ & viuit & viget supra omnem vitam, & in ipsâ secundùm causam vni-

ἐσομένην δὲ καὶ ἀνδράσι τὴν, ὡς συμμίκτοις, ἐνδεχομένην ἀγγελοειδῆ ζωήν, καὶ ὑπερβλύσει φιλανθρωπίας, καὶ ἀποφοιτῶντας ἡμᾶς εἰς ἑαυτὴν ἐπιστρέφουσα καὶ ἀνακαλουμένη, καὶ (τὸ δὴ θειότερον) ὅτι καὶ ὅλους ἡμᾶς, ψυχάς φημι καὶ τὰ συζυγῆ σώματα, πρὸς παντελῆ ζωὴν καὶ ἀθανασίαν ἐπήγγελται μεταθήσειν· πρᾶγμα, τῇ παλαιότητι μὲν ἴσως παρὰ φύσιν δοκοῦν, ἐμοὶ δὲ καί σοι καὶ τῇ ἀληθείᾳ, καὶ θεῖον καὶ ὑπὲρ φύσιν. Ὑπὲρ φύσιν δέ, τὴν καθ' ἡμᾶς φημι τὴν ὁρωμένην, οὐ τὴν πανσθενῆ τῆς θείας ζωῆς· αὐτῇ γὰρ ὡς πασῶν οὔσῃ τῶν ζωῶν φύσει, καὶ μάλιστα τῶν θειοτέρων, οὐδεμία ζωὴ παρὰ φύσιν, ἢ ὑπὲρ φύσιν. Ὥστε οἱ περὶ τούτου τῆς παρανοίας Σίμωνος ἀντιρρητικοὶ λόγοι, πόρρω θείου χοροῦ, καὶ τῆς σῆς ἱερᾶς ψυχῆς ἀπεληλάσθωσαν· ἔλαθε γὰρ αὐτόν, ὡς οἶμαι, καὶ ταῦτα σοφὸν οἰόμενον εἶναι, τὸ μὴ δεῖν τὸν εὖ φρονοῦντα τῷ προφανεῖ τῆς αἰσθήσεως λόγῳ συμμάχῳ χρῆσθαι κατὰ τῆς πάντων ἀφανοῦς αἰτίας. Καὶ τοῦτό ἐστι ῥητέον αὐτῷ, τὸ παρὰ φύσιν εἰπεῖν· αὐτῇ γὰρ οὐδὲν ἐναντίον.

Ἐξ αὐτῆς ζωοῦται, καὶ περιθάλπεται, καὶ ζῷα πάντα, καὶ φυτά. Καὶ εἴτε νοερὰν εἴποις, εἴτε λογικήν, εἴτε αἰσθητικήν, εἴτε θρεπτικὴν καὶ αὐξητικήν, εἴτε ὁποίαν ποτὲ ζωήν, ἢ ζωῆς ἀρχήν, ἢ ζωῆς οὐσίαν, ἐξ αὐτῆς καὶ ζῇ καὶ ζωοῖ τῆς ὑπὲρ πᾶσαν ζωήν, καὶ ἐν αὐτῇ κατ' αἰτίαν ἑνοει-

δῶς

ὅλως προϋφέστηκεν. Ἡ γὰρ ὑπέρζωος καὶ ζωαρχικὴ ζωὴ, καὶ πάσης ζωῆς ἐστιν αἰτία, καὶ ζωογόνος, καὶ ἀποπληρωτικὴ, καὶ διαιρετικὴ ζωῆς, καὶ ἐκ πάσης ζωῆς ὑμνητέα, κατὰ τὴν πολυγονίαν τῶν πασῶν ζωῶν, ὡς παντοδαπὴ, καὶ πάσῃ ζωῇ θεωρουμένη καὶ ὑμνουμένη, καὶ ὡς ἀνενδεὴς, μᾶλλον δὲ ὑπερπλήρης ζωῆς, ἡ αὐτόζωος, καὶ ὡς ὑπὲρ πᾶσαν ζωὴν ζωοποιὸς, καὶ ὑπέρζωος, ἢ ὅπως ἄν τις τὴν ζωὴν τὴν ἄφθεγκτον ἀνθρωπικῶς ἀνυμνήσοι.

ANNOTATIONES CORDERII.

formiter præexistit. Nam supraquam vitalis & vitæ principalis vita, & omnis vitæ causa est, adeoque viuificat & complet atque distinguit vitam, & ex omni vitâ prædicanda, iuxta fecundam vitarum omnium propagationem; vnde tamquam omnigena omnisque vita concipitur ac celebratur, & vt nullius indiga, imò verò vitæ superplena, se ipsâ viuens, & quasi omnem vitam viuificans, & superuiuens, siue quomodocumque ineffabilem illam vitam humano more laudare quis possit.

ANNOTATIONES CORDERII.

Quid sit per se vita, cuius Deus effector dicitur.

§. I. NVNC *laudanda nobis est vita æterna, ex quâ per se vita, & omnis vita manat.*] Quid sit *per se vita*, collige ex Notis ad §. 4. Capitis præcedentis. Quibus hæc adde ex sancto Maximo: Quemadmodum oportet dicere, quandoque quidem accipiendum esse Deum, cùm dicimus per se vitam, & alia eiusmodi; quandoque verò horum effectorem esse, id est hęc creasse: quoniam tamquam causa ille quidem horum & principium & supraquam principium vocatur his nominibus, ea verò quæ hæc participant, inde, id est ex participatis, dicuntur esse, & viuere, & diuina esse. Vitæ igitur creationem, & substantiæ creationem, ipsas inquam res fecit Deus. Primùm igitur cogitemus rem ipsam, deinde ipsius rei generalem notionem informemus; v. g. vitam aut substantiam vniuersè consideratam, & posteà in parte. Hæc autem dicit, non quasi dicat, alteram quidem vitam esse ipsum Deum, alteram verò productam substantialem esse, & veluti per se existentem præter Deum, quam participant quæ vitam participant; sed potiùs, sicut ipse suus est interpres cap. 11. per se quidem vita, inquit, & per se potestas, & per se similitudo, & alia huiusmodi dicitur Deus, quòd hæc sit Deus tamquam principialiter & diuinè & efficienter: hæc enim est ipse eorum verus fons; auctor verò est per se vitæ & similium, tamquam largiens participatè iis quæ primùm inter ea quæ sunt hoc donum participant. Cuncta namque, vt cuiusque naturæ conuenit, huiusmodi dona participant: primæ quidem & supremæ inter cælestes mentes creaturæ participāt præcipuè, quæ verò deinceps participant infra illas. Cùm autem Dionysius horum contemplationem dilatat, Nec aliam, inquit, diuinitatem quæ vitam pariat dicimus, præter causam supraquam diuinam omnium quæcumque viuunt, & per se vitæ causam. Quòd si non est alia causa viuentium, nec alia diuinitas quæ vitam pariat viuentibus, nisi vita supraquam diuina, & substantia supraquam substantia, & ipsum singularissimum & splendidissimum vnum, & hoc est sola causa omniū; euidens est, quòd hæc quæ primò & principaliter sunt, & effecta tantùm, nihil eorum quæ posteà sunt, tamquam causa, efficiunt. Idcircò bonus Deus, eorum ipsorum quæ prima sunt, effector dicitur, deinde eorum quæ vniuersè participant, vt vita omnium viuentium; in parte, vt vita hominum, Angelorum, &c. Sic demonstrat solum Deum esse causam omnium, siue prima dicuntur, siue vniuersè siue in parte, & siue sic participata dicuntur siue participantia.

Nota autem, vt in §. 4. ad cap. 5. indicauimus, per se vitam esse participationem simpliciter, quæ non distinguitur à

 viuen-

ANNOTATIONES CORDERII.

viuentibus, à quibus participatur secundùm rem: re enim vita & viuens idem sunt; sicut humanitas simpliciter & homo ratione tantùm differunt. Quia sicut humanitas sola illa comprehendit quæ hominem definiunt, & non quæ materiam faciunt indiuiduam, neque humanitas actu aut potentiâ continet principia quæ indiuiduum reddunt, homo verò continet potentiâ; sic per se vita illa continet quæ viuentem definiunt, quatenus viuit. Itaque vt homo formaliter est humanitate homo, sic viuens per se vitâ viuens. Participatio autem, secundùm exsistentiam, est vita illa simpliciter iam recepta in subiecto viuẽte, sicut humanitas, secundùm existentiam, est in hoc homine qui existit: sola enim singularia exsistunt in rerum naturâ, vniuersalia verò & abstracta solùm in mente.

§. 2. *Id quod antiquitati quidem contra naturam esse videtur.*] Antiquitatem hîc vocat stultam & fatuam opinionem Gentilium, vt sanctus Maximus notatum reliquit. Itaque non antiquis simpliciter, sed fatuis antiquis, visum esse hoc dicit.

§. 3. *Ab ipsâ viuificantur & fouentur vniuersa,* &c.] Deus enim (inquit Lessius lib. 6. de Perfectionibus diuinis c. 5.) non solùm vita, sed prima vita & æterna vita, & ipsa vitæ plenitudo ac vniuersitas, omnis vitæ origo & consummatio, principium & finis; in quo etiam omnia quæ non viuunt vita sunt. Ipse enim est superuitalis essentia & superessentialis vita, omnem vitalem substantiam intra se eminentissimè & simplicissimè præhabẽs, & causaliter cõplectens, & extra se quamlibet, iuxta suam speciem, formans, conseruans, & perficiens. Ipse est sua vitalis operatio (vt sic loquar) nimirùm sua intellectio, suus amor, suum gaudium, sua beatitas. Ex illo superuitali fonte omnia quæ aliquo modo viuunt vitam hauriunt, & vitales facultates motusque arcessunt, alia præstantiores, alia minùs præstantes, iuxta gradum cuiusque & ordinem: inde vita omnis & plantarum & animalium, & hominum & dæmonum & Angelorum, omnis vita naturalis & supernaturalis, huius sæculi & futuri, temporalis & æterna. Denique sicut ipse est omnium existentium esse superessentiale, ita omnium viuentium vita superuitalis, vti Dionysius ait. Plura vide apud D. Thomam Parte 1. quæstione 18. artic. 1. & seqq. vbi disputat de Vitâ.

Deus vita prima & superuitalis.

SCHOLIA S. MAXIMI.

§. 1. *Qualiter ex Deo sint omnes vitæ.*



ET CONSERVATRICE CAVSA.] Continentem causam vocauit, vtpote quæ non solùm vitam in rerum naturâ creauerit, sed quæ vitam contineat & conseruet, vt duret & permaneat.

EX IPSA ETIAM ANIMÆ.] Post Angelorum vitam ordine ponit animarum nostrarum, vtpote ratione præditarum, immortalitatem: at post rationales animas adducit deinceps vitam animæ sensitiuæ & nutritiuæ seu vegetatiuæ, siue irrationalium & plantarum, quas vltimo vitæ gradu gaudere dixit, prout superiùs sæpè exposuimus. Porrò vitæ brutorum ac plantarum non sunt diuinæ, sed ignis materialis ac spiritus: de his igitur extremis, vti dictum est, vitis ait illud Dauidis dictum esse, *Auferes spiritum tuum, & deficient, & in puluerem suum reuertentur. Emittes spiritum tuum & creabuntur, & renouabis faciẽ terræ.* Magnus enim Dionysius de solâ animâ sensitiuâ & vitâ vegetatiuâ hæc diuina Oracula accepit:

Psal. 103, 29.



ΚΑΙ συνοχικῆς αἰτίας.] Συνοχικὴν ὠνόμασεν, ὡς τὴν ζωὴν τῶν ἐν τοῖς οὖσιν, οὐ μόνον δημιουργήσασαν, ἀλλὰ καὶ εἰς τὸ διαμένειν συνέχουσαν.

Ἐξ αὐτῆς καὶ αἱ ψυχαί.] Μετὰ τὴν τῶν Ἀγγέλων ζωὴν ἀκολούθως τάττει τὴν τῶν ἡμετέρων ψυχῶν, ἅτε καὶ λογικῶν οὐσῶν, ἀθανασίαν. μετὰ δὲ τὰς λογικὰς ψυχάς, ἐπάγει λοιπὸν τὴν ζωὴν τῆς αἰσθητικῆς ψυχῆς, καὶ τῆς θρεπτικῆς, ἤτοι φυτικῆς, ἤτοι τῶν ἀλόγων καὶ τῶν φυτῶν, ἃς καὶ κατ' ἔσχατον ἀπήχημά φησιν, ὅπερ ἄνω πολλάκις ἡρμηνεύσαμεν. Αἱ δὲ ζωαὶ τῶν ἀλόγων καὶ τῶν φυτῶν οὐκ εἰσὶ θεῖαι, ἀλλὰ τοῦ ἐνύλου πυρός τε καὶ πνεύματος. περὶ τούτων οὖν μόνων τῶν ἐσχάτων, ὡς εἴρηται, ζωῶν φησι τὸ τοῦ Δαβὶδ εἰρῆσθαι, Ἀντανελεῖς τὸ πνεῦμά σου, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἐπὶ γὰρ τῆς αἰσθητικῆς μόνης ψυχῆς, καὶ τῆς φυτικῆς ζωῆς, ταῦτα δέχεται τὰ θεῖα Λόγια ὁ μέγας Διονύσιος.

σιος· περὶ γὰρ τῆς τῶν νοητῶν ζωῆς, ἢ τῆς καθ' ἡμᾶς, οὐ νοεῖ ταῦτα (τὴν γὰρ ζωὴν ταύτην οὐσιωδῶς δημιουργήσας εἰς ἀθανασίαν ὁ Θεὸς, τοῖς νοητοῖς καὶ ταῖς ψυχαῖς ἡμῶν οὐκ ἂν ἀφέλοι αὐτῶν τὸ ζῆν, ἐπεὶ οὐδὲ οὐσίαι ἔσονται) ἀλλὰ καὶ περὶ ζώων ἀπὸ γῆς ἀνανεουμένων φησὶν ὁ Δαβὶδ, οὐ μὴν περὶ τούτων. Καὶ περὶ τῆς ζωῆς δὲ τῶν ἑκουσίως ἀποβάντων δαιμόνων ἐπάγει, ὅτι καὶ αὐτὴ διαμένει ἀνώλεθρος, τοῦ κτίσαντος αὐτοὺς Θεοῦ τοῦτο βουλομένου, κἂν αὐτοὶ ἀπέστησαν τοῦ Θεοῦ· Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ, τοῦ ἐξ ἀρχῆς ποιήσαντος αὐτοὺς ἀθανάτους. Ἔσχατον δὲ ἀπήχημα λέγει, τὴν ἀμυδροτέραν μετοχὴν τῆς ζωῆς, καὶ οἷον εἰπεῖν ὀλίγως μετέχουσαν ζωτικῆς δυνάμεως.

Ἧς ἀνταναιρουμένης.] Τὸ μὲν ψαλμικὸν ῥητὸν περὶ ἀνθρώπων καὶ τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως λέγει, ἣν μικρῷ πρόσθεν τρανότερον τίθησιν ὁ Πατήρ· ἐνταῦθα δὲ τὸ ῥητὸν παρήγαγε, τὸν λόγον ποιούμενος περὶ πάντων τῶν ὁπωσοῦν ζῆν ἐχόντων, δεικνὺς μὴ ἄλλως ταῦτα ἢ ἐκ Θεοῦ τὸ ζῆν θεωρεῖσθαι ἐν αὐτοῖς. Τὸ δὲ Ἀνταναιρεῖσθαι ἀντὶ τοῦ κεχωρίσθαι τέθεικεν, ὥσπερ καὶ τὸ Ἐπιστρεφόμενα, ἀντὶ τοῦ μετέχοντα. Ἀσθενεῖν δὲ ταῦτα πρὸς τὸ μετέχειν φησὶ, διὰ τὸ μὴ οἴκοθεν καὶ παρ' ἑαυτῶν ἔχειν τὴν ζωὴν, ἀλλ' ἐπακτὴν ἐκ Θεοῦ· τὰ γὰρ ὅσον ἐφ' ἑαυτῶν, οὐκ ἐν τῷ ζῆν θεωρούμενα, τῇ δὲ πρὸς τὸν Θεὸν ἀναθέσει τοῦτο ἔχοντα τρόπον τινὰ ἀναζῇ, καὶ ὥς αὐτός φησι, πάλιν ζῷα γίνεται.

Τὴν ὡς συμμίκτοις.] Θαυμασίως πάντα τὰ δόγματα μετὰ ὀρθότητος διδάσκει. Τὸν γὰρ περὶ τῆς ἀναστάσεως τρόπον νῦν παραδιδοὺς, θνητοὺς μὲν ἡμᾶς ἀποφαίνει, ἅτε ἐξ ἀθανάτου ψυχῆς καὶ σώματος ὄντας θνητούς· τὴν δὲ ζωὴν οὐσιώδη τῆς ψυχῆς ἐλάττονά φησι τῶν Ἀγγελικῶν οὐσιῶν, παρ' ὅσον αὐτὴν καὶ ἀγγελοειδῆ ζωὴν, οὐ μὴν ἀγγελικὴν ὀνομάζει, οὐχ ὡς αὐτοαγγελικὴν, ἀλλὰ παρεμφερῆ. Καὶ ἡμᾶς μὲν μερικῶς φησιν εἶναι τὰς λογικὰς ψυχὰς, ὅλους δὲ ἡμᾶς τοὺς ἐκ ψυχῆς καὶ σώματος ὄντας. Ἀπαθανατίζεσθαι δέ φησι τὰ σώματα ἡμῶν ἐν τῇ ἀναστάσει, φάσκων τὸ περὶ ἀναστάσεως δόγμα ἄπιστον δοκεῖν τῇ παλαιότητι, ἀντὶ τοῦ τῇ ἀνοήτῳ δόξῃ τῶν Ἑλλήνων, διὰ τὸ παρὰ φύσιν εἶναι τῆς ὕλης τὸ ἀπαθανατίζεσθαι. παλαιότης δὲ λέγεται ἡ ἀνοησία. Εἰ δὲ ὡς ὑπὲρ φύσιν

Ibidem. *Itaque mens diuina comprehendit omnia cognitione quadam eminenti, quâ, secundùm ipsammet omnium causam, in se omnium cognitionem anticipat*, &c.] Comprehendendo enim, inquit Lessius, essentiam suam, hoc ipso, ex vi illius comprehensionis, cognoscit distinctissimè & clarissimè omnia possibilia (sub quibus etiam continentur omnium possibilium complexiones) quæ nimirum ipsa per se facere potest: & illa comprehendendo, cognoscit vlteriùs omnia in particulari, quæ singula illorum facere vel pati possunt, & in quibus deficere; neque hoc solùm, sed etiam quid singula in quauis occasione essent factura, si talis vel talis occasio daretur. Neque in his sistit, sed etiam clarè intuetur, quid reipsâ in omnem æternitatem sit euenturum, quibus momentis, quibus locis, quibus occasionibus, & aliis circumstantiis. Ratio est, quia in Deo cognitio abstractiua possibilium, cùm sit infinitæ perfectionis & efficaciæ in attingendo obiecto, hoc ipso quo obiecta illa reipsâ sunt futura; fit intuitio exsistentium; nec opus est aliâ vi aut conatu. Vnde patet, omnem intuitum futurorum esse ex vi comprehensionis essentiæ, nec aliud requiri quàm positionem obiectorum: tunc enim cognitio, quæ priùs, seu in

Quomodo Deus se & omnia cognoscat.

priori signo rationis, erat abstractiua, transit in intuitiuam ex ui suæ perfectionis. Ita Lessius lib. 6. de Perfectionibus diuinis cap. 1. qui hæc ex præsenti loco Dionysij confirmat.

§. 3. *Præterea quærendum est, quomodo nos Deum cognoscamus*. & respondet: *Ex ordine omnium rerum, tamquam ab ipso proposito, & imagines quasdam ac similitudines exemplarium eius diuinorum in se habente*. Quæcumque enim species (inquit S. Maximus) & singulæ creaturæ, vt ordines Angelorum & omnia sensilia, imagines sunt & similitudines diuinarum idearum, id est, exemplarium quæ sunt in Deo. Quæ quidem exemplaria æternæ Dei intelligentiæ sunt, per quas, & secundùm quas omnia in ipso erant, quæ non erant alia ab ipso, & per eas & secundùm eas omnia quæ produxit facta sunt, sicut B. Ioannes in Apocalypsi c.4. ait dixisse illos viginti quatuor Seniores: *Omnia in ipso erant, & creata sunt.* De ideis dictum est quòd erant; de imaginibus autem & similitudinibus idearum, id est exemplarium, quòd creata sunt.

Quomodo nos Deum cognoscamus.

Ibidem addit, quòd *ad cognoscendum illud summum bonum pro viribus ascendimus in ablatione, & in superlatione omnium, & in omnium causâ*. Tribus enim modis ascendimus ad cognoscendum Deum ex creaturis. Vno modo, auferendo ei neganter, tamquam non decentia, quæcumque creata cernuntur; quia nihil eorum Deum esse dicimus, sed omnia negamus, aientes: Non est Deus Angelus, neque anima, neque vllum animal, aut istud, aut illud, quodcumque sit. Alio modo perfectiones creaturarũ, vt vitam, sapientiam & alia huiusmodi remouendo à Deo; quia sapientia Dei omnem sapientiam creatam excedit; & vita Dei omnem vitam, & perfectiones reliquæ reliquas omnes perfectiones creaturarum superãt. Tertio modo, quatenus omnia sunt à Deo creata, quæcumque in naturâ rerum & vniuersitate mundi sunt. Vide dicta in Obseruationibus generalibus VIII. & IX. item Annotationes ad Cap. I. huius libri.

Ibidem infrà per verba illa, *Semperq; fines præcedentium cum principiis sequentium connectit*, significat, nihil esse inter creaturas medium vacuum & inane, sed omne esse plenum creaturâ; hæc enim est definitio eorum quæ se tangunt, quorum termini sunt simul: significat etiam esse conspirationem quamdam omnium partium in vniuerso, secundùm ordinem &

& proportionem conuenientem, extremum ignis conſpirare & coniungi cum principio aëris, extremum aëris cum humore aquæ, extremum aquæ cum ſicco terræ; & ſimiliter, aſcendendo ab elemento terræ ad ignem, reperitur ſimilis coniunctio in extremis priorum cum principiis ſecundorum. Ad eumdem modum in tempeſtatibus anni, extremum hiemis cum principio veris, extremum veris cum principio æſtatis, extremum æſtatis cum principio autumni. huiuſmodi coniunctiones ac conſpirationes dicuntur à Dionyſio ἀλληλουχίαι, quod vno verbo Latinè exprimi non poteſt.

§. 4. *Deus etiam ratio prædicatur à Scripturis.*] Hunc locum ediſſerens ſanctus Maximus, Nominatur, inquit, Verbum Dei Λόγος; id eſt ratio, quia habet omnium cauſas in ſe: rationes enim omnis naturæ in ipſo ſunt tamquam in cauſâ omnis creationis; per ipſum enim omnia. (Ioan. 1.) Ideæ namque & exemplaria in ipſo non alia in alio, ſed æternæ notiones ſunt, & rationes facientes omnia.

Ibidem. *Ratio hæc ſimplex eſt ac verè exiſtens veritas, &c.*] (*Quomodo veritas ad nos deſcendat ex Deo.*) Quomodo autem ab hac veritate in nos omnis veritas deriuetur, pulchrè tradit Leſſius lib. 6. de Perfectionibus diuinis c. 4. dicens: A veritate diuinæ ſapientiæ deſcendit omnis veritas in creaturas, idque dupliciter. (ANNOTATIONES CORDERII.) Primò per creationem; quia per ſapientiam conditæ ſunt & formatæ, & in conformatione cum illâ ſapientiâ & arte diuinâ conſiſtit earum veritas. A rebus tranſit vlteriùs veritas in noſtram cognitionem; quia veritas rerum eſt veritatis noſtræ cognitionis menſura & origo. A noſtrâ cognitione tranſit in noſtros affectus & mores, quatenus hi iudicio prudentiæ & notitiæ diuinæ legis conformantur; denique in noſtros ſermones & ſcripta, quatenus ſermones ſunt ſigna conceptuum animi, & ſcripta ſermonum. In his ergo cernitur ſolùm veluti extremum veritatis ἀπήχημα, & reſultans quoddam vmbratile veſtigium. Secundò, deſcendit veritas à Deo in creaturas per reuelationem & illuſtrationem diuinam: hæc enim veritas non eſt hauſta ex obiectis, ſed directè per infuſionem luminis communicata. hoc modo veritas fidei & viſionis beatæ ad nos deriuatur.

Vide plura de hac veritate apud Leſſium loco citato; item diuum Thomam 2. 2. quæſtione 1. articulo 1. qui ex hoc loco Dionyſij probat, obiectum formale fidei eſſe ipſam primam Veritatem.

SCHOLIA S. MAXIMI.



ΠΕΡ πᾶσαν σοφίαν.] Εἰσί τινες τῶν ἀκαίρων Φιλοσόφων, λέγοντες, ὅτι ἐὰν βούλησθε τὸν Θεὸν λέγειν ὑπὲρ πᾶσαν σοφίαν καὶ σύνεσιν, ποιεῖτε αὐτὸν ἄσοφον καὶ ἀσύνετον. Πρὸς οὓς λεκτέον, ὁ Θεὸς ἡμῶν ὑπὲρ πάντα τὰ νοούμενα καὶ ὄντα ἐστίν. Εἴτε οὖν σοφία, εἴτε σύνεσις, εἴτε ζωή, εἴτε ὑπόστασις, εἴτε ὕπαρξις, εἴτε οὐσία νοεῖται παρ᾽ ἡμῶν, ὑπὲρ ταῦτα πάντα ἐστίν, οὐχ ὡς μὴ μετέχων αὐτῶν (τοῦτο γὰρ ἀνόητον· ὁ γὰρ αἴτιος τῶν γινομένων, πῶς οὐ μετέχει τῶν ἐξ αὐτοῦ;) ἀλλ᾽ ὡς τῶν πάντων ἐξ αὐτοῦ προελθόντων, καὶ τῆς αὐτοῦ μετεχόντων ὁλότητος. Πᾶν γὰρ τὸ μετεχόμενον, ἀρχαιότερόν ἐστι τῶν ἐξ αὐτοῦ. Διὸ καὶ ὤν, καὶ αἰὼν κυρίως, καὶ χρόνος ὀνομάζεται, ὡς καὶ τοὺς αἰῶνας καὶ τοὺς χρόνους ποιήσας. Οὕτως οὖν καὶ ἐπὶ τῆς σοφίας καὶ τῆς ζωῆς λεκτέον, ὅτι καὶ αὐτῶν ἐστι δημιουργός· Εἰ γὰρ ταῦτα ἄλλως ἔχειν εἴποιμεν, εὑρίσκεται ὁ Θεὸς ὕστερον σοφισθεὶς ἢ



VPRA OMNEM SAPIENTIAM.] (§. 1. *Quomodo in Deo intelligenda ſit ſapientia.*) Sunt abſurdi quidam Philoſophi, qui dicunt, quòd ſi velitis Deum dicere ſupra omnem ſapientiam & intelligentiam, facitis ipſum inſipientem & ignarum: quibus reſpondendum, Deum noſtrum eſſe ſupra omnia quæ ſub intellectum & exiſtentiam cadunt. Siue igitur ſapientia ſiue intelligentia, ſiue vita ſiue ſubſiſtentia, ſiue exiſtentia ſiue ſubſtantia à nobis concipiatur, ſupra hæc omnia eſt, non tamquam horum expers (hoc enim ſtultum ſit; nam qui rerum auctor eſt, quomodo ipſarum expers exiſtat?) ſed quòd omnia ab eo emanent, & de ipſius integritate participent. Omne enim participatum antiquius eſt iis quæ ſunt ex ipſo. Quare Deus & æuum & tempus propriè nominatur, vt qui ſæcula & tempora fecit: ſic igitur & in vitâ & in ſapientiâ dicendum eſt, quia earum eſt auctor. Si enim hæc aliter ſe habere dixerimus, inuenitur, Deus poſteà ſapiens & intelligens

euasisse, quòd eorum temeritatis est, non nostrum, absit.

Nostriqve præceptoris sol.] Obserua hîc, ipsum S. Paulum Apostolum, suum sanctique Hierothei solem appellasse. Quin etiam aduerte, quomodo hic Pater Apostoli sententiam intellexerit: nam Chrysostomus ceterique Patres id de cruce acceperunt.

Etiam solemne est Theologis.] Quòd dictum est, Theologis solemne esse, priuationes contrario sensu de Deo enuntiare, sic intelligamus: quòd nimirum illi, dum repræsentare volebant, quantum poterant, diuinum illud lumen inaccessum & inaspectabile existere, vt cui nihil, siue immateriale siue sensibile, poterat intendere, illud tenebras appellarunt, iuxta illud,
Psal.17,12 *Posuit tenebras latibulum suum*; quod diui-
1.Tim.6,16. nus Apostolus dicit, *Lucem inhabitat inaccessibilem*. Illud enim ad quod nihil acceditur simile est, vt per excessum loquar, cali-
Pf.138,6. gini non videnti. Iterùm dictum est: *Mirabilis facta est scientia tua ex me: confortata est, & non potero ad eam*. Quemadmodum igitur incomprehensibilis & intelligibilis Dei cognitio merè ignorantiæ assimilatur, quæ omnem creaturarum cognitionem excedit (nam diuina sapientium circa Deum ignoratio non est inscitia, sed cognitio quæ in silentio agnoscit, quoniam Deus sit incognoscibilis) sic etiam exinanitionem vocant Dei Verbi incarnationem; tametsi plena fuerit, imò supraquam plena tam sapientiâ quàm virtute ac salute. Quin etiam Dei infirmitatem vocant Crucis trophæum, quoniam malæ & inaspectabiles diaboli potestates eneruatæ sunt, & pro morte mortuorum resurrectio regnumque cælorum est introductum. Hac vtique ratione stultitia Dei, quæ omnem hominum sapientiam scientiamque transscendit, Dei intelligentia existit. Ceterùm id quod dictum est quis intelliget, si cogitet hæreticos & Gentiles, qui imaginantur se sensilibus argumentis demonstrare, fieri non potuisse vt Dei incarnatio ad mortem vsque dispensaretur; aduersus quos diuus
Rom.11,33. Paulus commentans, quasi vertiginem passus, exclamauit: *O altitudo diuitiarum & sapientiæ Dei, quàm inuestigabilia iudicia eius!* Quod ergo omnis sapientiæ creatæ rationē

συνεπιθεὶς, ὅπερ τῆς αὐτῶν ἐστὶ τόλμης, οὐχ ἡμέτερον· μὴ γένοιτο.

Καὶ τοῦ καθηγεμόνος ἥλιος.] Σημείωσαι, ὅτι ἥλιον ἑαυτοῦ καὶ τοῦ ἁγίου Ἱεροθέου τὸν Ἀπόστολον Παῦλόν φησι. Σημείωσαι δὲ, πῶς ἔλαβεν ὁ Πατὴρ τὸ ῥητὸν τοῦ Ἀποστόλου· ὁ γὰρ Χρυσόστομος καὶ οἱ λοιποὶ τῶν Πατέρων, περὶ τοῦ σταυροῦ αὐτὸ ἔλαβον.

Καὶ σύνηθές ἐστι τοῖς Θεολόγοις.] Τὸ εἰρημένον, ἔθος εἶναι τοῖς Θεολόγοις ἀντιπαθῶς ἐπὶ Θεοῦ τὰς στερήσεις ἐκφέρειν, οὕτως ἂν νοήσαιμεν· βουλόμενοι γὰρ ἐκεῖνοι τὸ φῶς τὸ θεῖον, ὅσον οἷόν τε παριστᾶν ὅτι ἀπροσπέλαστον καὶ ἀκατόπτευτον, ᾧ μὴ δύναται προσβαλεῖν μηδὲν, μήτε ἄϋλον, μήτε αἰσθητὸν, σκότος ὠνόμασαν, ὡς τὸ, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, ὅπερ ὁ θεῖος Ἀπόστολός φησι, Φῶς οἰκῶν ἀπρόσιτον. Ὧι γὰρ μηδὲν πρόσεισιν, ὅμοιόν ἐστι τῷ μὴ ὁρῶντι, ὑπεροχικῶς εἰπεῖν, σκότῳ. Πάλιν εἴρηται, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· λίαν ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· Ὥσπερ οὖν ἡ ἀκατάληπτος καὶ ἀπερινόητος ἀκεράτως τοῦ Θεοῦ γνῶσις ἀγνωσίᾳ παρεικάζεται τῇ ὑπεραιρέτῃ πᾶσαν ἐν κτιστοῖς γνῶσιν· (ἡ γὰρ περὶ Θεὸν ἀγνωσία τῶν περὶ τὰ θεῖα σοφῶν, οὐκ ἔστιν ἀμαθία, ἀλλὰ γνῶσις σιγῇ γινώσκουσα, ὅτι ἐστὶν ἄγνωστος ὁ Θεός) οὕτως οὖν καὶ κένωσιν καλοῦσι τοῦ Θεοῦ Λόγου τὴν ἐνανθρώπησιν, καίτοι πλήρη τυγχάνουσαν, μᾶλλον δὲ ὑπερπλήρη σοφίας, καὶ δυνάμεως, καὶ σωτηρίας. Ἀλλὰ καὶ ἀσθένειαν Θεοῦ τὸ διὰ Σταυροῦ τρόπαιον ὀνομάζουσιν, οἷον ἐπειδὴ θανάτῳ αἱ πονηραὶ καὶ ἀόρατοι δυνάμεις τοῦ διαβόλου κατηργήθησαν, καὶ ἀντὶ θανάτου ἀνάστασις νεκρῶν καὶ βασιλεία οὐρανῶν ἀντεισήχθη. Τοῦτον οὖν τὸν τρόπον καὶ μωρία Θεοῦ, ἡ πᾶσαν σοφίαν καὶ ἐπιστήμην ὑπεραίρουσα τῶν ἀνθρώπων, σύνεσις τοῦ Θεοῦ. Νοήσειε δὲ ἄν τις τὸ λεγόμενον, ἐννοῶν τοὺς ἀπὸ τῶν αἱρέσεων, μεθ' ὧν καὶ τοὺς Ἕλληνας, οἳ συλλογισμοῖς αἰσθητοῖς ἀποδεικνῦναι φαντάζονται Θεοῦ σάρκωσιν, ἀδύνατον εἶναι μέχρι θανάτου οἰκονομηθεῖσαν· πρὸς οὓς ἐννοῶν ὁ θειότατος Παῦλος ἰλιγγιάσας ἂν ἐκέκραγεν· Ὦ βάθος πλούτου καὶ σοφίας Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ; Τὸ οὖν ὑπεραῖρον πάσης κτιστῆς σοφίας, μέθοδον

ἴσον

ἴσον ἂν εἴη τοῖς οὐ θεοδιδάκτοις μωρίας λόγοις; λόγοις γὰρ οὐκ ἂν ἐξομαλισθείη ἢ δι' αἰσθητῶν ἀποδείξεων τὸ μυστήριον, πίστεως οὐ προηγουμένης.

Ἀντιπεπονθότως ἐπὶ Θεοῦ.] Ἀντιπεπονθότως ἐστὶ, τουτέστιν ἀντιπαρεξοπλὼ τοῦ λόγου πάσχοντος· διὰ γὰρ τῶν τὰς στερήσεις δηλουσῶν ἀποφάσεων, ἡ περὶ Θεοῦ ὑπεροχὴ δηλοῦται, ὅπερ ἐν ἑτέρῳ δύναμιν ὑπεροχικῆς ἀποφάσεως εἴρηκε.

Τὸ φαινόμενον ἐν αὐτῇ παράλογον.] Καὶ γὰρ τὸ κατὰ τὸν σταυρὸν πάθος, καὶ τὸ λέγειν Θεὸν παθόντα σαρκὶ, καὶ παράλογον δοκεῖ καὶ ἄτοπον, ὅπερ τὴν ὄντως ἐδήλου ἀλήθειαν.

Ἐνειλούμενοι.] Ἐν ἄλλοις, Ἐνιλλόμενοι, τουτέστιν ἐπιστρεφόμενοι, ἐγκαλινδούμενοι. Δείκνυσι δὲ διὰ τούτων, ὅτι οὐ δεῖ τὰ θεῖα τοῖς ἀνθρωπίνοις παραβάλλειν.

Τὴν μὲν ἔχειν δύναμιν.] Καὶ ἀνωτέρω εἴπομεν, ὅτι ὁ νοῦς νοεῖν βουλόμενος, κάτεισιν ἑαυτοῦ εἰς τὰς νοήσεις καταβαίνων· αἱ γὰρ νοήσεις κατώτεραί εἰσι τοῦ νοοῦντος, ὡς νοούμεναι καὶ καταλαμβανόμεναι, καὶ σκεδασμὸς εἰκότως καὶ μερισμὸς τῆς ἑνότητος τοῦ νοῦ αὐτοῦ. Ὁ μὲν γὰρ νοῦς ἁπλοῦς καὶ ἀμερὴς, αἱ δὲ νοήσεις, παμπληθεῖς καὶ σκεδασταὶ, καὶ οἷον εἴδη τοῦ νοῦ· διὰ τοῦτο τὰ νοερὰ, τουτέστι τὰ νοοῦντα, ἐλάττονά εἰσι τῶν νοητῶν, ἀντὶ τοῦ τῶν νοουμένων. Ἕνωσιν δέ φησι τοῦ νοῦ, καθὼς ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, δι' ἧς πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ ἀνατείνεται, ἤγουν τῇ περὶ Θεοῦ προσβάλλει θεωρίᾳ, τῶν πάντων ἐκστῆναι τῶν αἰσθητῶν καὶ τῶν νοητῶν, ἔτι δὲ καὶ τῆς οἰκείας κινήσεως· εἶθ' οὕτω τῆς θείας γνώσεως δέξασθαι τὴν ἀκτῖνα.

Ταύτην οὖν τὴν ἄλογον.] Ἐνταῦθα μάλιστα σαφηνοῖ, πῶς μωρία τοῦ Θεοῦ, τὸ ὑπέρσοφον τῆς περὶ Θεοῦ ἀκαταληψίας μέγεθος· φησὶ γὰρ, ὅτι τῷ αἰσθητῷ περικεκλεισμένοι, τὸ περὶ αὐλίας καὶ ὑπερουσιότητος φέρε εἰπεῖν τοῦ Θεοῦ κατεξετάζοντες δόγμα, πλανώμεθα, ἐκ τῶν αἰσθητῶν ἐκεῖνα σταθμώμενοι· οἷον τὸ περὶ Τριάδος τῆς μόνης προσκυνητῆς διεξιόντες κήρυγμα, καὶ τρισυπόστατον ἀμέριστον καὶ ἀδιαίρετον ἀκούοντές τινες θεολογίαν, εὐθὺς ἰλιγγιῶσιν, εἰς τὰ σώματα

superat, quomodo æquale stultitiæ verbis à Deo minimè traditis? mysterium enim hoc sensilium demonstrationum rationibus non explanabitur, nisi fides præcedat.

SCHOLIA S. MAXIMI.

CONTRARIO SENSV IN DEO.] *Contrario sensu*, id est, sermone contrariam significationem habente: per negationes enim, quæ priuationes significant, Dei excellentia declaratur; quod alibi vocauit virtutem excellentis negationis.

ID QVOD VIDETVR IN EA RATIONI CONTRARIVM.] Etenim passionem crucis, & secundùm carnem Deum passum prædicare, rationi contrarium & absurdum videbatur, quòd reuerà tamen ipsam declarabat veritatem.

INHÆRENTES.] In aliis exemplaribus est *implexi*, id est inuersi, inuoluti. Per hæc autem demonstrat, diuina cum humanis minimè comparanda esse.

VIM QVIDEM HABERE.] Etiam superiùs diximus, mentem, dum vult intelligere, semetipsam subire ad intellectiones descendendo; quoniam intellectiones inferiores sunt intelligente, quippe quæ intelligantur ac comprehendantur, atque ita etiam probabiliter diuisio quædam vnionis ipsius mentis existant. Intellectus enim simplex est & partium expers; intellectiones autem sunt plurimæ ac diuisæ, & quasi quædam species intellectus: quocircà intellectu prædita, id est intelligentia, minora sunt intellectilibus, id est iis quæ intelliguntur. Porrò mentis vnionem, vti deinceps clariùs dicit, vocat eam, quâ se sublimioribus intendit, nempe sensilia intellectiliaque, atque insuper motum proprium excedens, diuinæ se applicat contemplationi; atque ita demum accipit radium quemdam diuinæ cognitionis.

Quomodo mens intelligat.

HANC IGITVR RATIONIS EXPERTEM.] Quàm perspicacissimè hîc ostendit, quomodo stultitia Dei sit supraquam sapiens in Deo incomprehensibilitatis magnitudo: ait enim nos sensili corpore circumseptos, de Dei immaterialitate v.g. & supraessentialitate doctrinam examinantes, errare, dum illa ex sensilibus ponderamus; veluti cùm doctrinam de solâ venerandâ Trinitate nonnulli disserunt, & audiunt Theologiam, vt illa in tribus suppositis indiuisa indistinctaque subsistat, illicò vertiginem

Quomodo Dei sapientia dicta sit stultitia.

 patiun-

SCHOLIA S. MAXIMI.

patiuntur corporibus attendentes, quæ & loco indigent & interuallis, dicentes: Quomodo fieri poteſt, vt tres perſonæ ſibi ipſis inſint, & indiſtinctæ ſint? neſciunt enim ſtulteſcere in ſenſilibus, vt in diuinis & talibus mille aliis euadant ſapientes. ad quos
Ioan.3,12. Dominus: *Si terrena dixi vobis, & non creditis, quomodo, ſi dixero vobis cæleſtia,*
1.Cor.2,14 *credetis?* Et D. Paulus ait: *Animalis homo non percipit ea quæ ſunt ſpiritus*, ſunt enim illi ſtultitia. Sic vtique apud homines ſtultitia Dei ſunt ſpiritalia illa quæ conſectari oportet: ſapientiam enim ſtultam appellauit, eò quòd nulla ſapientia ad ipſam pertingere valeat; quemadmodum etiam irrationalem & amentem dixit, quòd nulla ratio aut mens exiſtat, quæ ipſam exponat aut comprehendat.

§. 2. *Qui ſint intellectiles, & qui intelligentes.*

Ex ea intellectiles.] Nota etiam in aliis intellectiles & intelligẽtes eſſe facultates; & meritò ſunt in ſe intelligibiles & intelligẽtes, ſicut ordines ſuperiores. Intelligibiles quidẽ, quatenus ab inferioribus intelliguntur; intelligẽtes verò, quatenus & ſupremi ſunt, & Deũ, qui ſupra omnia eſt, intelligere, quantum valent, contendunt, supernè quidem intellectione nutriti, eos autem qui demiſsè intelligũt nutrientes. Noſtræ enim animæ ſunt tantùm intelligentes: nam cùm ſcienter, quantum poſſunt, ſuperiora intelligant, non habent poſt ſe aliquid quod intelligat, vt etiam intelligantur. Poſt nos enim anima rationis ac mentis expers exſiſtit, verùm intellectiones mentium diuinarum minimè cadunt in cogitationes noſtras in quas mens noſtra ex rebus diuiduis deſcendit, id eſt ex ſenſilibus ac fuſis rationibus, ſeu ſpeciebus multiplicibus, dum, materialium notiones colligendo, in eo qui ſimplex omnia immaterialiter contemplatur.

Intellectiles.] Illud *intellectiles* intellige quoad nos, *intelligentes* autem quoad Deum.

Avt a dividvis.] Nos in diuiduis ſenſuum inſtrumentis (aliud enim eſt auditus, & aliud viſus, & ſic de aliis) & ab his diuiſilibus ſenſilibus rerum cognitionem recipimus: aut in diuiduis quidem ex parte cogitationibus, ſed à diuiſilibus diſciplinis ſeu intellectus obiectis, aliquando verò etiam perfuſas & prolixas rationes, nempe quę claram

προσέχοντες, καὶ τόπου δεόμενα, καὶ διαστημάτων, λέγοντες, Πῶς οἷόν τε τρεῖς ὑποστάσεις ἐφ' ἑαυτῶν εἶναι, καὶ ἀδιαιρέτους εἶναι; καὶ γὰρ ἀγνοοῦσι μωραίνειν ἐν τοῖς αἰσθητοῖς, ἵνα τὰ θεῖα σοφισθῶσι, καὶ τοιαῦτα ἕτερα μυρία, πρὸς οὓς ὁ Κύριος ἀποτείνεται· Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; καὶ ὁ θεῖος Παῦλος λέγει, Ὅτι ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν. Ὥστε οὖν ἡ παρὰ ἀνθρώποις μωρία τοῦ Θεοῦ, τὰ πνευματικά εἰσιν, ἅ τινα μεταδιωκτέον· μωρὰν γὰρ σοφίαν εἶπε, τῷ μηδεμίαν αὐτῇ δύνασθαι προσβάλλειν σοφίαν· ὥσπερ οὖν καὶ ἄλογον καὶ ἄνουν, ὡς μὴ ἔχουσαν λόγον ἢ νοῦν ἑρμηνευτικὸν, ἤγουν καταληπτικὸν αὐτῆς.

Ἐξ αὐτῆς αἱ νοηταί.] Σημείωσαι, ὡς καὶ ἐν ἄλλοις νοηταί εἰσι καὶ νοεραὶ δυνάμεις· καὶ εἰκότως ἐν αὐτοῖς εἰσιν οἱ αὐτοὶ καὶ νοητοὶ καὶ νοεροὶ, ὥσπερ αἱ ἄνω τάξεις. Νοηταὶ μὲν, καθ' ὃ ἐκ τῶν ὑποβεβηκότων νοοῦνται· νοεραὶ δὲ, καθ' ὃ καὶ ἀνώταταί εἰσι, καὶ τὸν ὑπὲρ πάντα Θεὸν νοεῖν, ὅσον ἐφικτὸν, ἀνατείνονται, ἄνωθεν μὲν τρεφόμεναι τῇ νοήσει, τρέφουσαι δὲ τοὺς ὑφειμένως νοοῦντας. Αἱ γὰρ ἡμέτεραι ψυχαὶ, νοεραὶ μόνον· νοοῦσαι γὰρ ἐπιστητῶς, ὅσον οἷόν τε, τὰ ὑπερβεβηκότα, οὐκέτι ἔχουσι νοερόν τι μετὰ ταύτας, ἵνα καὶ νοηθῶσιν· ἡ ἄλογος γὰρ καὶ ἄνους ψυχὴ μεθ' ἡμᾶς, αἱ δὲ νοήσεις τῶν θείων νόων οὐκ ἐν διανοήσεσι ταῖς καθ' ἡμᾶς, εἰς ἃς διανοήσεις κάτεισιν ἡμῶν ὁ νοῦς ἐκ τῶν μεριστῶν, τουτέστι τῶν αἰσθητῶν καὶ διεξοδικῶν λόγων, ἀντὶ τοῦ τῶν εἰδῶν καὶ τοῦ πλήθους, ὅπερ ἐστὶ τῶν ὑλικῶν συλλέγουσαι τὰς νοήσεις ἀΰλως πάντα ἐν τῷ ἁπλῷ θεωροῦσαι.

Νοηταί.] Τὸ Νοηταὶ νόησον, ὡς πρὸς ἡμᾶς· τὸ δὲ Νοεραὶ, ὡς πρὸς τὸν Θεόν.

Ἢ ἀπὸ μεριστῶν.] Ἡμεῖς ἐν μεριστοῖς τοῖς αἰσθητηρίοις (ἄλλο γὰρ ἀκοὴ, καὶ ἕτερον ὄψις, καὶ τὰ ἄλλα ὁμοίως) καὶ ἀπὸ μεριστῶν τῶν κατὰ ταῦτα αἰσθητῶν, τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβανόμενοι· ἢ ἐν μεριστοῖς μὲν τοῖς κατὰ μέρος νοήμασι, ἀπὸ μεριστῶν δὲ τῶν μαθήσεων, ἤτοι τῶν νοουμένων· ἔσθ' ὅτε δὲ καὶ διὰ λόγων τῶν διεξοδικῶν, τουτέστι σαφῆ

καὶ

καὶ διηπλωμένην τὴν ἐξήγησιν ποιουμένων. Αἱ δὲ νοεραὶ φύσεις, ἀκοινωνήτως εἰς τὰ τοιαῦτα πάντα ἔχουσαι, ἑνιαίᾳ καὶ ἁπλῇ νοήσει τῆς ἀληθείας τὴν γνῶσιν ἐλλάμπονται.

Καί ἐστιν αὐταῖς.] Τοῖς Ἀγγέλοις νοερὰν εἶναί φησι δύναμιν καὶ ἐνέργειαν, ἐκ τῆς ὑπερφυοῦς σοφίας τοῦ Θεοῦ γινομένην· ἐξ αὐτοῦ γὰρ οἱ θεῖοι Ἄγγελοι κατὰ μετοχὴν τὴν δύναμιν τῆς νοερᾶς ἐνεργείας ἔχουσι, καθ' ἣν νοοῦσιν ἑαυτοὺς καὶ τὰ ὄντα, καὶ τὰς ἰδέας ἐποπτικῶς νοοῦντες, ἃς νοήσεις ὠνόμασε τοῦ Θεοῦ εἶναι. Ἐπείσακτον οὖν ἔχουσιν ἐξ αἰτίου τοῦ Θεοῦ τὴν νοερὰν ταύτην ἐνέργειαν, καὶ νοοῦσι τὰ ὄντα λίαν ὑπερναβεβηκότως τῶν ψυχῶν· εἴ γε αἱ μὲν ψυχαὶ ἐκ τῶν ὄντων αὐτῶν νοοῦσι τὰ ὄντα, καὶ τοῖς εἴδεσιν ἐπιβάλλουσιν, ὅπερ διεξοδικώτερόν ἐστι νοεῖν, καὶ κύκλῳ περιϊέναι τὰ πάντα· οἵ γε μὴν Ἄγγελοι κατὰ τὴν ἐνοῦσαν αὐτοῖς θεοειδείαν, ἑνιαίως τὰ πλήθη τῆς κτίσεως νοοῦσι, καὶ οὐ μερίζονται εἰς τὸν σκεδασμὸν τῆς ποικιλίας τῶν ὄντων, ἤτοι εἰς τὰ αἰσθητά, ὡς λογικαὶ ψυχαί. Ἐκείνου δὲ ποσῶς ἀξιοῦνται αἱ ψυχαί, εἰς μίμησιν Ἀγγέλων, ὅτε τὴν νόησιν τῶν πολλῶν εἰς ἓν συνελίττουσαι, ἔχουσιν ὁμοῦ πάντα ἐν αὐταῖς ἀσυγχύτως διακεκριμένα, καὶ ἔξωθεν μέντοι αἱ ψυχαὶ ἐπείσακτον ἔχουσι τὸ νοεῖν, τῶν Ἀγγέλων ἐξ ἑαυτῶν καὶ ἐν ἑαυτοῖς νοούντων, ἅτε καὶ θεοειδῶν ὄντων. Καὶ ταῦτα μὲν περὶ τῶν νοητῶν. Περὶ δὲ Θεοῦ ὅπως νοεῖ, ἔχεις καὶ ὧδε, καὶ ἄνω ἐν πέμπτῳ κεφαλαίῳ ἐγγὺς τοῦ τέλους. Ὃ δὲ εἴπομεν περὶ ψυχῶν, ὅτι ἀγγελοειδῶς εἰς ἓν τὰ πολλὰ συνελίξασαι νοοῦσι, μάλιστα ἐν τῇ ἀναστάσει τελείως ἕξουσιν, ὅτε αὖθις ἐν τοῖς ἑαυτῶν σώμασι γενόμεναι, τὴν τῶν ὄντων γνῶσιν τελείαν ἀπολήψονται. Ταῦτα δὲ ἡ τῶν δικαίων ἀνάστασις τελείως ἕξει, κατὰ τὸ εἰρημένον, Καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. καὶ πάλιν, Νῦν ὡς ἐν κατόπτρῳ καὶ αἰνίγματι βλέπομεν, τότε δὲ πρόσωπον πρὸς πρόσωπον, τὴν τῶν ὄντων γνῶσιν δηλονότι παιδευθησόμεθα.

Διεξοδικῶς δὲ καὶ κύκλῳ.] Εἴρηται τί τὸ Διεξοδικῶς νοεῖται. Διεξοδικῶς τοίνυν καὶ κύκλῳ, τουτέστιν οὐκ ἀθρόᾳ τῇ τοῦ νοῦ ἐπιβολῇ ἡ ἀνθρωπίνη ψυχὴ τὴν θείαν καταλαμβάνεται γνῶσιν, ἀλλὰ τὴν ἀληθῆ τῶν ὄντων κα-

& explicitam faciunt enarrationem. Intelligentes autem naturæ, nullam in his omnibus communicationem habentes, vnâ simplicique intellectione veritatis notitiâ illustrantur.

ESTQVE ILLIS.] Dicit, Angelis inesse vim & efficaciam intelligendi à supernaturali Dei sapientiâ ortam: siquidem ex ipso Angeli diuini per participationem intelligentis operationis facultatem obtinent, secundùm quam seipsos & res intelligunt, nec non ideas intuitiuè percipiunt, quas Dei notiones appellauit. Hanc itaque intelligendi efficaciam habent ab auctore Deo sibi insitam, idque modo quodam supra animas transscendentali: siquidem animæ ex rebus seu obiectis ipsis, res intelligunt, & speciebus intendunt, quod est diffusiùs intelligere, & in orbem omnia circuire; Angeli verò secundùm insitam ipsis Dei similitudinem, creaturæ multitudinem collectim intelligunt, neque pro diuersitatis rerum distinctione, siue ad sensilia, distrahuntur, quemadmodum animæ rationales. Quamquam etiam animæ rationales pro modulo suo istiusmodi intelligendi ratione gaudent, dum, ad imitationem Angelorum, multorum obiectorum intellectionem in vnum conuoluentes, inconfusè simul in se omnia distincta repræsentant; attamen animæ deforis inductam habent intellectionem, sed Angeli ex semetipsis & in seipsis intelligunt, vtpote deiformes. Et hæc quidem de intellectilibus. De Deo autem, quomodo intelligat, hîc quoque habes, & superius sub finem quinti capitis. Quod autem diximus de animabus, eas, Angelorum more, multa in vnum conuoluendo intelligere, potissimùm in resurrectione perfectè obtinebunt, quando, denuò suis corporibus resumptis, perfectam rerum notitiam consequentur. Resurrectio autem iustorum hæc perfectè obtinebit, iuxta quod dictum est, *Et sic semper cum Domino erimus.* & rursus: *Videmus nunc per speculum in ænigmate, tunc autem facie ad faciem,* nimirum rerum cognitionem edocebimur.

Quomodo Angeli & animæ participent intelligentiam.

1. Thess. 4, 16.

1. Cor. 13, 12.

DIFFVSE AVTEM ET PER CIRCVITVM.] Dictum est quid per *diffuse* intelligatur. Diffusè igitur & per circuitum designat, animam humanam haud ita collectâ mentis intentione diuinam suscipere cognitionem, sed veram rerum no-

SCHOLIA S. MAXIMI.

notitiam sigillatim percipere, in quo etiam deficit ab illâ ratione quâ Angeli Deum vident, dum circa vnam causam eorum quæ diuersimodè considerantur, cogitationem colligit, & intellectionibus Angelorum æqualibus digna habetur.

Dæmones quo sensu ignorantes sint.

Assequi quod appetit.] Dæmoniaca mens ex irrationalitate quidem ambit & affectat æqualitatem Dei, sed nescit quomodo illam assequi possit; non quòd naturâ ignorans sit, sed voluntariè id, quod contra naturam est, eligat. Nota autem, dæmones, in quantum mentem habent, hanc ex bono comparasse; dum verò à ratione auersi sunt, neque id quod erant remanere voluerunt, à sapientiâ excidisse.

Per excessum.] Quòd nimirũ quæ per priuationẽ de Deo enunciantur, & quę contraria sunt, per excellentiam intelligantur.

Quomodo res Deus nouerit.

Et omnia alia in se.] Nemo ex his ad tam absurdas sententias adducatur, vt dicat, etiam malorum in seipso causam habere Deum, siue ipsum esse causam cur hæc producantur. Non enim de his Patri sermo est: iam pridem enim ostendit, malum ipsum neque rem esse, neque in rebus existere, sed versari circa illa quæ existunt, v.g. Angelos, ceterasque creaturas: sicut etiam anteà dixit, non acquirere cognitionem horum, discendo qualia sint: hoc enim declarauit cùm dixit, non cognoscere Deum quæ sunt, ex iis ipsis quæ sunt; item, non intendere ad vnumquodq; percipiendum secundùm formam eius: quoniam, tamquam horum auctor, cognitionem suorum operum anticipatam habet, sciens quomodo ipsa & in quibus ad ortum ac generationem adduceret; quorum deprauatio & defectio [id est frustratio & infirmitas] malum introducit, dum, deficiente quod est secundùm naturam, efficitur quod est præter naturam. Superiùs enim adhibuit exemplum luminis: huius enim priuatione subexistunt tenebræ, & causam habent absentiam naturę luminis; sicuti habitus priores sunt priuationibus, &, vt dici potest, causæ sunt priuationum. Hoc igitur loco Pater Dionysius de iis quæ Deus produxit, & de cuiusque eorum naturâ loquitur; quæ quidem dixit priùs extitisse in Deo secundùm præcognitionem & prædefinitionem.

Et essentiam præhabet.] Quoniam cognitio essentiã præhabet, & præconcepit.

συνόησιν ἐκ τοῦ κατὰ μέρος δεχομένη, καθ' ὃ καὶ τῆς ἀγγελικῆς ἀπολείπεται θεοπτίας, περὶ τὸ ἓν αἴτιον τῶν τε ποικίλως θεωρουμένων συνάγει ἔννοιαν, καὶ τῶν ἰσαγγέλων ἀξιοῦται νοήσεων.

Τυχεῖν οὐκ ἐφίεται.] Ἐφίεται μὲν ἐξ ἀλογίας τὸ ἰσόθεον ὁ δαιμόνιος νοῦς, οὐκ οἶδε δ' ὅπως τούτου τυχεῖν ἔνεστιν· οὐ φύσει παθὼν τὴν ἄγνοιαν, ἀλλ' ἑκουσίως τὸ παρὰ φύσιν αἱρούμενος. Σημείωσαι δὲ, ὅτι οἱ δαίμονες, καθ' ὃ νοῦν ἔχουσιν, ἐκ τοῦ ἀγαθοῦ τοῦτον κέκτηνται· ἀλογήσαντες δὲ, καὶ μὴ βουληθέντες μεῖναι ὅπερ ἦσαν, ἐκπτῶσιν σοφίας ὑπέμειναν.

Καθ' ὑπεροχήν.] Περὶ τοῦ, ὅτι τὰ κατὰ στέρησιν λεγόμενα ἐπὶ τοῦ Θεοῦ, καὶ τὰ ἐναντία, ὑπεροχικῶς νοοῦνται.

Καὶ πάντα τἆλλα ἔνδοθεν.] Μηδεὶς ἐκ τούτων πρὸς ἀτόπους ἀπαγέσθω ἐννοίας, ὥστε λέγειν καὶ τῶν κακῶν ἐν ἑαυτῷ κατ' αἰτίαν προέχειν τὸν Θεὸν, ἤγουν αἴτιον αὐτῶν ἐκ τούτου εἶναι συνάγεσθαι. Οὐ γὰρ περὶ τούτων ἐστὶν ὁ λόγος τῷ Πατρί· ἤδη γὰρ ἔδειξε, μήτε ὂν, μήτε ἐν τοῖς οὖσι τὸ κακὸν, ἀλλὰ περὶ τῶν ἐν οὐσίᾳ ὄντων, οἷον Ἀγγέλων καὶ τῶν λοιπῶν κτισμάτων· καθὼς καὶ προεῖπεν, ὧν τὴν γνῶσιν οὐκ ἐκ τοῦ μανθάνειν αὐτὰ, ὁποῖά τινά εἰσιν, ἔχει· τοῦτο γὰρ ἐδήλωσεν, εἰπὼν, οὐκ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων, καὶ τὸ, οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων, ἀλλ' ὡς ποιητὴς τούτων τὴν εἴδησιν τῶν οἰκείων ἔργων προέχει, εἰδὼς ὅπως αὐτὰ, καὶ ἐφ' οἷς παράξει πρὸς γένεσιν, ὧν ἡ παρατροπὴ καὶ ἔλλειψις, ἤγουν ἡ ἀποτυχία καὶ ἀδυναμία τὸ κακὸν εἰσάγει, τῇ στερήσει τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν ποιοῦσα. Πρὸς τοῦτο γὰρ τὸ τοῦ φωτὸς παρήγαγεν ὑπόδειγμα· τῇ γὰρ τούτου στερήσει τὸ σκότος παρυφίσταται, καὶ αἰτίαν ἔχει τὴν ἀπουσίαν τῆς τοῦ φωτὸς φύσεως, ὥσπερ καὶ τῶν στερήσεων αἱ ἕξεις ἀρχηγικώτεραι τυγχάνουσι, καὶ ὡς ἄν τις εἴποι, αἰτίαι. Ἐνταῦθα οὖν ὁ Πατὴρ περὶ τῶν ὑπὸ Θεοῦ εἰς γένεσιν ἀχθέντων, καὶ τῆς ἑκάστου τούτων φύσεως τὸν λόγον ποιεῖται, ἃ καὶ προϋφεστάναι ἐν τῷ Θεῷ κατὰ πρόγνωσιν καὶ τὸν προορισμὸν εἴρηκε.

Καὶ οὐσίαν προέχει.] Ὅτι ἡ γνῶσις τὴν οὐσίαν προέχει καὶ προσυνείληφεν.

Ὥσπερ

SCHOLIA S. MAXIMI.

Ὥσπερ καὶ τὸ φῶς.] Ἄπλωτον τὸ τῆς παραβολῆς. Ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸ φῶς τοῦτο τὸ ὁρατὸν ἔννουν εἶναι καὶ λογικόν· εἶτα πυθοίμεθα αὐτοῦ, εἰ γινώσκει τὸ σκότος· τὸ δὲ εἴποι γινώσκειν, καὶ πρὶν γένηται ἂν τὸ σκότος· γινώσκειν δὲ οὐ κατά τινα πεῖραν (πῶς γὰρ ἴδοι σκότος τὸ φῶς; εἰ γὰρ φῶς, οὐκ ἔσται σκότος) ἀλλὰ γινώσκειν εἴποι τὸ φῶς καθ' ὃ φῶς ἐστι, διὸ καὶ οἶδεν, ὅτι ἐὰν συστείλῃ τὸ οἰκεῖον φῶς, οὐδεὶς ὄψεται. Οὕτω καὶ ὁ Θεὸς κατ' αἰτίαν ἐν ἑαυτῷ τὴν πάντων εἴδησιν ἔχει, οὐ τῇ πείρᾳ ταύτην ἐπικτησάμενος, ἐπεὶ οὕτως εὑρίσκεται μεταγενέστερος ὁ Θεὸς τῆς γνώσεως, ἢ κατά τινα χρόνον μὴ γινώσκων. Σημείωσαι δὲ, τὸ σκότος εἶναι τὸ αἰτιατὸν, ἐξ ἐλλείψεως τοῦ φωτὸς παρυφιστάμενον, ὅπερ ἐστὶ κατὰ Μανιχαίων.

Τοῦ σκότους.] Ὅτι τὸ σκότος οὐκ ἑτέρωθεν, ἀλλὰ ἀπὸ τοῦ φωτὸς γνωρίζεται.

Καὶ οὐκ ἐκ τῶν ὄντων.] Ὅρα πῶς φησι τὸν Θεὸν εἰδέναι τὰ ὄντα οὐκ ἐκ τῆς πάντων γνώσεως, ἀλλ' ἐκ τῆς ἰδίας, ὥσπερ τὸ φῶς οἶδε τὰ τοῦ σκότους, οὐδὲν τοῦ σκότους ἔχων ἐν ἑαυτῷ. Ταῦτα δὲ πολλαχῶς ἐν τῷ πέμπτῳ κεφαλαίῳ εἴρηται, πῶς ὁ Θεὸς ἑαυτὸν γινώσκων, ἤτοι νοῶν, νοεῖ καὶ γινώσκει τὰ ὄντα παραδειγματικῶς.

Οὐκ ἄρα ὁ Θεός.] Ἐν οὐδεμιᾷ γὰρ διπλόῃ τὸ Θεῖον πάντη ἁπλοῦν ὂν, καὶ ὑπὲρ πᾶν ἁπλοῦν.

Καὶ γὰρ καὶ τοὺς Ἀγγέλους.] Τὸ τοὺς Ἀγγέλους εἰδέναι τὰ ἐπὶ γῆς, οὐ δι' αἰσθήσεως προσβάλλοντας τοῖς αἰσθητοῖς, ὡς ἡμεῖς, ἀλλὰ διὰ δυνάμεως ἐπαναβεβηκυίας ἐπιβάλλω νοεῖσθαι, ἐκ διαφόρων Λογίων, οἷον ὡς ἐν τῷ Τωβίᾳ, ὅπου εἴρηται, ὅτι ὁ θεῖος Ῥαφαὴλ ὁ Ἄγγελος εἶπε τῷ υἱῷ τοῦ Τωβίου, λαβεῖν τὴν χολὴν τοῦ ἀνελθόντος ἰχθύος, ὡς ἀφαιροῦσαν λευκώματα ὀφθαλμῶν γινόμενα ἀπὸ ἀφοδευμάτων στρουθίων· οὐ γὰρ ἄν τις ὑπονοήσειεν, ὅτι παθὼν ἔμαθε τὴν ἰατρείαν. Ἀλλὰ καὶ ὁ ἐν τοῖς Κριταῖς Ἄγγελος ἐπὶ τοῦ Γεδεὼν εἰς τὴν θυσίαν ἐκβαλὼν ἐκ τῆς πέτρας πῦρ, οὐκ αἰσθήσει οἶδεν, ὅτι τὸ πῦρ καυστικὸν, ὡς ἡμεῖς, ἀλλ' ἀνωτέρῳ τρόπῳ προσφόρῳ· οὕτω καὶ τὰ λοιπά. Εἰ δέ τις εἴποι, Καὶ πῶς τοῦ αἰωνίου πυρὸς αἰσθήσεται ὁ διάβολος, καὶ οἱ ἄγγελοι αὐτοῦ; ἐν τῷ προσφόρῳ τόπῳ λεχθή-

Sicvt et lvx.] Hoc clarum fit per exemplum. Sicut enim si quis lucem hanc visibilem mentis ac rationis compotem esse supponat; deinde rogemus ipsam, an tenebras cognoscat; ipsa autem se nosse dicat, etiam antequam tenebræ essent. nosse inquam, non per aliquam experientiam (quomodo enim ita lux tenebras sciret? nam si lux sit, non erunt tenebræ) sed nosse dicat tenebras in quantum lux est, ideoq; nouit, quod si proprium lumen subtraxerit, nemo videbit. Ita etiam Deus per causam omnium in se cognitionem habet, non quòd experientiâ eam comparauerit; tum enim Deus cognitione posterior reperiretur, aut aliquo tempore non cognoscens. Nota autem, tenebras esse effectum qui ex defectu lucis subexistit, quod est contra Manichæos.

Tenebrarvm.] Quoniam tenebræ non aliunde quàm ex luce cognoscuntur.

Et non ex rebvs.] Vide quomodo dicat Deum res cognoscere, non ex omnium, sed ex propriâ cognitione; quemadmodum lux tenebras nouit, cùm nihil tamen tenebrarum in se habeat. Hæc sæpè dicta sunt capite quinto, quomodo nempe Deus seipsum cognoscens seu intelligens, res exemplariter intelligat atq; cognoscat.

Non itaqve Devs.] In nullâ enim duplicitate Deus est, cùm sit omninò simplex, & supra omnem simplicitatem.

Quomodo Angeli res sensiles nouerint.

Etenim Angelos qvoqve.] Angelos etiam nosse ea quæ in terrâ fiunt, non, vti nos, per sensum rebus sensilibus attendendo, sed per virtutem quamdam transscendentalem intelligendo, ex variis Scripturæ locis coniicio: nempe velut in Tobiâ, vbi dicitur diuinus Raphaël Angelus dixisse filio Tobiæ, vt acciperet fel capti piscis, quo tolleretur albugo oculorum quæ nata erat ex stercore passerum. nemo enim suspicetur eum experientiâ didicisse medicinã. Quin etiam in libro Iudicum, Angelus ignem ad sacrificandum è petrâ eliciens, haudquaquam, vti nos, sensu perceperat ignem comburere, sed sublimiori quodam modo ipsi congruo, atque ita de ceteris. Si verò aliquis obiecerit, quomodo ergo diabolus & Angeli eius ignem æternum percipient? respondebitur ad hoc suo loco

Tob. 11, 4.

Iudæ, 6, 21

SCHOLIA S. MAXIMI.

Dan. 5, 5. opportuno. Quin etiam in Daniele, in capite de Baltassar, is qui ſcribebat litteras nouerat, quas non didicerat. Nota autem, in Angelis non eſſe cognitionem ſenſilium per ſenſus (neq; enim noſtris ſenſuum organis vtuntur) ſed virtute mentis ac naturâ.

§. 3. *Quomodo nos Deum cognoſcamus.* PRÆTEREA QVÆRENDVM EST.] Quærit, quomodo Deum cognoſcamus, & rectè dicit, Dei quidem naturam, quidquid tandem ipſa ſit, nulli vmquam creaturæ cognitam fuiſſe, neque ex ſcientiâ, neque ex intuitu (ſiquidem hiſce res incorporeas apprehendimus) verùm Deus ex creaturarum diſpoſitione agnoſcitur. Nam ſi, ſecundùm diuinum Apoſtolum, pulchritudo creaturarum generationis auctorem, id eſt eorum quæ producta ſunt conditorem, oſtendit; meritò ſanè rerum diſpoſitio eſt, cognitio eius qui illas ordinauit. Quæcumque enim ſunt, id eſt ſpecies, & ſingulæ creaturæ, vt ordines Angelorum, & omnia ſenſilia, imagines ſunt & ſimilitudines diuinarum idearum, id eſt exemplaria eorum quæ ſunt in Deo: quæ quidem exemplaria æternæ Dei intelligentiæ ſunt, per quas, & ſecundùm quas, omnia in ipſo erant, quæ non erant alia ab ipſo; & per eas, & ſecundùm eas, omnia quæ produxit facta ſunt,

Apoc. 4. ſicut in Apocalypſi diuiniſſimus Ioannes ait, quemdam ex antiquiſſimis iſtis Angelis dixiſſe, Quòd omnia in ipſo erant, & creata ſunt: de ideis dicens, quòd erant; de imaginibus autem & ſimilitudinibus idearum, id eſt, exemplarium, quòd creata ſunt. Intellectilium enim ea quæ intelligunt, & ſuperiorum ea quæ inferiora ſunt, imagines exiſtunt: ſecundùm ablationem itaque horum omnium (Deus enim à rebus exemptus eſt, cùm nihil ſit ex rebus creatis, ſed iis omnibus ineffabiliter antecellat) per excellentiam Deus cognoſcitur.

EX NATVRA EIVS.] Nota, methodum neceſſariam eſſe ad religionis defenſionem.

ET IMAGINES QVASDAM.] Hoc loco per diuina exemplaria intelligẽdæ ſunt prædefinitiones, quarũ imagines ſunt effectus creaturæ. Apoſtolus verò eas imagines vocauit

Ephes. 3, 11. prædefinitiones, vt in Epiſtolâ ad Epheſios, dicens, *ſecundùm prædefinitionem ſæculorum.* Porrò in omnibus, ſcilicet creaturis, cognoſcitur, non ſecùs atque artifex in re-

σεται. Ἀλλὰ καὶ ἐν τῷ Δανιὴλ ἐν τῷ κεφαλαίῳ τοῦ Βαλτάσαρ, οἶδεν ὁ γράφων, γράμματα μὴ μαθών. Σημείωσαι δὲ, ὅτι οὐ κατ' αἴσθησιν τοῖς Ἀγγέλοις ἡ γνῶσις τῶν αἰσθητῶν (οὐδὲ γὰρ τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις κέχρηνται) ἀλλὰ νοῦ δυνάμει καὶ φύσει.

Ἐπὶ δὲ τούτοις ζητῆσαι χρή.] Συζητεῖ πῶς Θεὸν γινώσκομεν· καί φησιν ὀρθῶς, ὅτι Θεοῦ μὲν φύσιν, ὅ,τι ποτέ ἐστιν, οὔτε τινὶ πώποτε τῶν ἐν δημιουργίᾳ ἐγνώσθη, οὔτε ἐπιστητῶς, οὔτε ἐποπτικῶς (τούτοις γὰρ ἐπιβαλλόμεθα τοῖς ἀσωμάτοις) ἀλλὰ γινώσκεται ὁ Θεὸς ἐκ τῆς τῶν κτισμάτων διατάξεως. Εἰ γὰρ κατὰ τὸν θεῖον Ἀπόστολον ἡ τῶν δημιουργημάτων καλλονὴ, γενεσιουργὸν, τουτέστι τὸν τῶν ἐν γενέσει ποιητὴν μηνύει, εἰκότως ἡ τῶν ὄντων διάταξις γνῶσίς ἐστι τοῦ διατάξαντος. Τὰ γὰρ ὄντα, τουτέστι τὰ εἴδη, καὶ αἱ καθ' ἕκαστον κτίσεις, οἷον αἱ ἀγγελικαὶ τάξεις, καὶ τὰ αἰσθητὰ πάντα, εἰκόνες εἰσὶ καὶ ὁμοιώματα τῶν θείων ἰδεῶν, ἤτοι παραδείγματα τῶν ἐν τῷ Θεῷ· ἅτινα παραδείγματα, αἱ ἀΐδιοι νοήσεις εἰσὶ τοῦ Θεοῦ, δι' ἃς καὶ καθ' ἃς ἅπαντα ἦν ἐν αὐτῷ, οὐχ ἕτερα ὄντα αὐτοῦ, καὶ παραχθέντα γέγονεν, ὡς καὶ ἐν τῇ Ἀποκαλύψει ὁ θειότατος Ἰωάννης φησὶ, τινὰ τῶν πρεσβυτάτων Ἀγγέλων εἰπεῖν αὐτῷ, ὅτι τὰ πάντα ἦσαν καὶ γεγόνασι· τὰς ἰδέας λέγων, ὅτι ἦσαν· καὶ τὰς εἰκόνας καὶ τὰ ὁμοιώματα τῶν ἰδεῶν, ἤτοι παραδειγμάτων, τὰ γεγονότα πάντα. Τῶν γὰρ νοητῶν τὰ νοερὰ εἰκόνες, καὶ τῶν ὑπερβεβηκότων τὰ ὑποβεβηκότα· κατὰ ἀφαίρεσιν οὖν τούτων πάντων (ἀφῄρηται γὰρ τῶν ὄντων ὁ Θεὸς, οὐδὲν ὢν τῶν ὑπ' αὐτοῦ κτισθέντων· ἀλλ' ἀφάτως ὑπερέχων πάντων) ὑπεροχικῶς γινώσκεται ὁ Θεός.

Ἐκ τῆς αὐτοῦ φύσεως.] Σημείωσαι, ἀναγκαῖον προέχειν εἰς εὐσεβείας ἀπολογίαν.

Καὶ εἰκόνας τινάς.] Ἐνταῦθα θεῖα παραδείγματα τοὺς προορισμοὺς ἐκληπτέον, ὧν εἰκόνες, τὰ τῆς κτίσεως ἀποτελέσματα. Τοὺς δὲ προορισμοὺς, προθέσεις ἐκάλεσεν ὁ Ἀπόστολος, ὡς ἐν τῇ πρὸς Ἐφεσίους εἰπὼν, Κατὰ πρόθεσιν τῶν αἰώνων. Ἐν πᾶσι δὲ, τοῖς κτίσμασι δηλαδὴ, γινώσκεται, ὡς ὁ τεχνίτης ἐν τοῖς τε-

χνη-

SCHOLIA S. MAXIMI.

χνήτοις· πάντη δὲ κεχώρισται τὸ κατ' οὐσίαν τῶν πάντων, κἀντεῦθεν ἄγνωστος ὢν τοῖς τεχνητοῖς, ἐκ τῆς ἀγνωσίας γινώσκεται, ὥσπερ οὖν καὶ διὰ τῆς τῶν κτισμάτων ἐπιστημονικῆς κατανοήσεώς τε καὶ γνώσεως. Ταῦτα οὖν ἐπαναλαμβάνων συνῆψε τὰ ἑπόμενα. Εἰς τὸ ταυτό. Ἐπειδὴ γὰρ αἱ ἰδέαι τῶν ζώων ἐν τῷ Θεῷ, καὶ πάντων τῶν κατὰ φύσιν εἰσὶ καθ' ὅλου, ἀλλ' οὐχ ὡς τῶν καθ' ἕκαστα εἴδωλα καὶ ὁμοιώματά εἰσι τῶν ἐκεῖ τὰ ἐνταῦθα· πάντα γὰρ τὰ ὧδε, εἴδωλα τῶν ἐκεῖ· ἡ γὰρ ψυχὴ ἡμῶν αὕτη εἰκὼν καὶ ὁμοίωμα τῆς ἰδέας.

Καὶ διὰ γνώσεως ὁ Θεός.] Πῶς διὰ τῶν ἐναντίων γινώσκεται ὁ Θεὸς, καὶ διὰ τῶν θέσεων, καὶ τῶν ἀφαιρέσεων, δηλοῖ ἐπεξιὼν αὐτά· εἰ γὰρ καὶ ἄνω ἐν τῷ πρώτῳ κεφαλαίῳ εἶπε, μηδὲν εἶναι τῆς οὐσίας τοῦ Θεοῦ παραστατικὸν, μὴ νόησιν, μὴ ἐπαφὴν, μὴ φαντασίαν, μὴ δόξαν, μηδ' ὅσα ἔφη ἐκεῖ ἢ ἐνταῦθα, ἅτινα καὶ ἡρμηνεύσαμεν ἐν ἐκείνοις. Νῦν λέγει καὶ διὰ τῶν ἐκεῖ ἀπηγορευμένων γινώσκεσθαι τὸν Θεὸν, οὐ μὴν τὴν οὐσίαν αὐτοῦ· καὶ πάλιν, μηδὲν αὐτὸν ἔχειν τούτων εἰς κατάληψιν. Ὡς μὲν οὖν αἴτιος ἁπάντων, γινώσκεται ἐκ τῶν ἐξ αὐτοῦ· ὡς δὲ μηδὲν ὢν τῶν ἐξ αὐτοῦ, μένει ἀγνοούμενος ὑπὸ πάντων. Πῶς δὲ καὶ διὰ τῆς ἀγνωσίας γινώσκεται, καὶ ἐνταῦθά φησι, καὶ ἀνωτέρω εἴρηται ἐν κεφαλαίῳ δευτέρῳ.

Καὶ οὔτε νοεῖται.] Διὰ γὰρ τῶν δεδημιουργημένων νοοῦμεν, ἐφαπτόμεθα τῆς ἐπιστήμης, ἔχομεν ὅτι Θεός ἐστι. Τίς δὲ, ἢ ποταπὸς, ἢ πηλίκος αὐτὸς ὁ Θεὸς, οὔτε νοοῦμεν, οὔτε ὀνομάζομεν, οὔτε νῷ ἢ αἰσθήσει καταλαμβάνομεν. Ὅμοιον γὰρ τούτῳ ἐστὶ καὶ τὸ, Ἐν πᾶσιν ἐστὶν ὁ Θεὸς, καὶ ἐν οὐδενὶ τῶν πάντων ἐστί.

Κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν.] Σημείωσαι, ὅτι καὶ τὰ προπαρατεθειμένα τὴν ἕνωσιν ἔλαβε τῆς ὑπὲρ νοῦν τοῦ Θεοῦ θεωρίας.

Αὕτη γάρ ἐστι κατὰ τὸ Λόγιον.] Τοῦτο καὶ ἐκ τῆς Σοφίας Σολομῶντός ἐστιν, ἔνθα λέγεται τεχνῖτις ἡ σοφία τῶν πάντων· καὶ ἐκ τῶν Παροιμιῶν, ἔνθα εἴρηται ἐκ τῆς σοφίας, Ἐγὼ ἤμην ἁρμόζουσα παρ' αὐτῷ· καὶ ὁ Δαβὶδ, Πάντα ἐν σοφίᾳ ἐποίησας.

Λόγος δὲ ὁ Θεός.] Περὶ τοῦ Θεοῦ Λόγου, καὶ διὰ τί λέγεται Λόγος, τί δήλωσις τῆς

bus arte factis: quoad essentiam autem, ab omnibus omnino segregatus est; & hinc, cùm sit omnibus rebus factis ignotus, ex ignorantiâ cognoscitur, quemadmodum etiam ex creaturarum scientificâ notitiâ & cognitione. Hæc itaque resumens, ea quæ sequuntur adiunxit. Item. Quoniam in Deo animalium & omnium omnino rerum naturalium ideæ sunt, non tamen veluti singulorum species & simulacra eorum quæ illic sunt; siquidem omnia quæ sunt hîc, simulacra sunt eorum quæ illic existunt. nam etiam anima nostra est imago quædam ac simulacrum ideæ.

ET PER COGNITIONEM DEVS.] Quomodo per contraria Deus cognoscatur, & per positiones, & per ablationes, deinceps declarat: quamquam etiam superiùs capite primo dixerit, nihil esse quod Dei essentiam valeat repræsentare, neque notionem, neq; tactum, neque imaginationem, neque opinionem, neque quidquam aliud quod vel hîc vel illic memorauerit, vbi etiam ista exposuimus. Modò dicit, etiam Deum per illa quæ ibi negata sunt cognosci, non tamen eius essentiam: & rursum ait, eum nihil horum habere quo comprehendatur. Itaque, vt auctor omnium, cognoscitur quidem ex effectis; verùm, vt nihil horum exsistit, manet omnibus ignotus. Quomodo autem per ignorationem cognoscatur, & hîc tradit, & superiùs etiam c. 2. dictum est.

ET NEQVE INTELLIGITVR.] Per creaturas enim intelligimus, ad scientias pertingimus, habemus Deum esse. Quis autem, aut qualis, aut quantus sit ipse Deus, neque intelligimus, neque nominamus, neque mente aut sensu comprehendimus. Huic enim simile est & illud: Deus est in omnibus, & in nullo omnium est.

SECVNDVM ILLAM QVÆ SVPRA INTELLECTVM EST VNIONEM.] Nota, eum vnionem visionis Dei mentem superantis intellexisse, iuxta illa quæ anteà posita fuerunt.

QVONIAM IPSA SECVNDVM SCRIPTVRAM.] Hoc etiam est ex Sapientiâ Salomo- Sap. 7, 21.
nis, vbi sapientia dicitur *omnium artifex*; & ex Prouerbiis, vbi à sapientiâ dicitur, Prouerb. 8, 30.
Cum eo eram cuncta componens; & Dauid, *Omnia in sapientiâ fecisti.* Ps. 103, 24

VERBVM ETIAM DEVS.] De Dei Verbo, & cur Verbum appelletur, quid istius- §. 4.

SCHOLIA S. MAXIMI. modi sibi velit appellatio: atque vnam hîc assignat causam, propter quam nuncupetur;

Cur Deus vocetur Verbum. quia nimirum omnium rerum causas in seipso habet. Rationes enim omnis naturæ in ipso sunt, tamquam in causâ omnis creationis; per ipsum enim omnia existunt: ideæ namque & exemplaria in ipso, non alia in alio, sed sunt æternæ intellectiones ac rationes rerum omnium effectrices, id est natura; siquidem natura ratio est, quæ causam habet & naturam, quoniam naturæ rerum neque temerè sunt, neque frustrà. Dicit autem ipsum Verbum, quòd etiam per omnia sine impedimento permeet, omniaque, etiam vsque ad extrema, peruadat,

Heb. 4, 12. iuxta illud ad Hebræos, *Viuus est enim sermo & efficax*, &c.

HOC VERBVM EST.] Quoniam Deus Verbum cùm sit ipsa & quæ reapse veritas est, meritò etiam est simplex rerum cognitio. Quid autem sit cognitio, mox docens adiungit.

SI ENIM COGNITIO VIM HABET VNIENDI.] Ea quæ ad veram cognitionem spectant, ipse Deus Verbum Christus Iesus, de quo sermo est, explicans, & quòd ipse verè sit cognitio res cognitas cum cogno-

Ioan. 10, 14. scentibus vniens, dicit: *Et ego cognosco oues*

Ibid. 15. *meas, & cognoscunt me meæ. Sicut nouit me Pater, & ego agnosco Patrem.* Quemadmodum enim cognitio, cognoscens id quod nosse voluit, rei cognitæ vnitur, non amplius de ipsâ dubitans, neque propter dubium in varias distrahitur cogitationes, neq; vacillat, neque degenerat in ignorantiam, eò quòd non persuasum habeat id quod nouit: ita fideles, dum per notitiâ Christo cognito (qui Deus Verbum est) vniti sunt, & fidem in ipso firmant, solidissimâ & inconcussam cognitorũ fidem obtinent; quoniam Deum cognouerunt, & à Deo cogniti sunt, ignorantiam quidem illam euaserunt, quam diximus distrahere, scindere, atque concutere ab aliâ in alias dubitationes, vt quæ nesciat id quod sciri debet. Nituntur autem firmitate, quòd per fidem certiores facti sint se nosse, atque adeò rei cognitæ vnitos esse. At qui, secundùm Apostolum, in ignorantię tenebris existit, errore ipso fluctuans, cir-

Ephes. 4. 14. cumfertur omni vento nequitiæ hominum, sicut qui in mari tempestate agitantur.

τοιαύτης ὀνομασίας· καὶ μίαν αἰτίαν ἐνταῦθά φησι, καθ' ἣν ὀνομάζεται λόγος, διὰ τὸ τὰς τῶν ὄντων πάντων αἰτίας ἐν ἑαυτῷ ἔχειν. Οἱ γὰρ λόγοι φύσεως ἁπάσης ἐν αὐτῷ εἰσιν, ὡς αἰτίῳ πάσης δημιουργίας· δι' αὐτοῦ γὰρ τὰ πάντα· αἵ τε γὰρ ἰδέαι καὶ τὰ παραδείγματα ἐν αὐτῷ, οὐχ ἕτερα ἐν ἑτέρῳ, ἀλλὰ νοήσεις ἀΐδιοι οὖσαι, καὶ λόγοι ποιοῦντες τὰ πάντα, τουτέστι φύσις· καὶ ἡ φύσις γὰρ λόγος, αἰτίαν ἔχων καὶ φύσιν, ὡς οὐκ εἰκῆ καὶ μάτην αἱ φύσεις τῶν ὄντων εἰσί. Λέγει δὲ αὐτὸν Λόγον, καὶ ὡς διὰ πάντων χωροῦντα ἀκωλύτως, καὶ πάντα περιϊόντα καὶ μέχρι τῶν ἐσχάτων, ὡς ἐν τῇ πρὸς Ἑβραίους· Ζῶν γὰρ ὁ λόγος καὶ ἐνεργὴς, καὶ τὰ ἑξῆς.

Οὗτος ὁ λόγος ἐστίν.] Ὅτι ὁ Θεὸς Λόγος ἡ αὐτὸ καὶ τῷ ὄντι οὖσα ἀλήθεια, εἰκότως ἐστὶ καὶ ἁπλῆ τῶν ὄντων γνῶσις. Τί δέ ἐστι γνῶσις, εὐθὺς ἐπισυνάπτει διδάσκων.

Εἰ γὰρ ἡ γνῶσις ἑνωτική.] Τὰ περὶ τῆς ἀληθοῦς γνώσεως σαφηνίζων, αὐτὸς ὁ Θεὸς Λόγος Χριστὸς Ἰησοῦς, περὶ οὗ ὁ λόγος, καὶ ὅτι ἡ γνῶσις ἀληθῶς ἑνωτική ἐστι τῶν ἐγνωκότων καὶ τῶν ἠγνωσμένων, φησὶ, Κἀγὼ γινώσκω τὰ ἐμὰ πρόβατα, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα. Ὥσπερ γὰρ ἡ γνῶσις γνοῦσα ἐκεῖνο ὃ γνῶναι ἠθέλησεν, ἑνοῦται τῷ γνωσθέντι, οὐκ ἔτι ἀμφιβολίαν ἔχουσα περὶ αὐτοῦ, οὐδὲ διὰ τὴν ἀμφιβολίαν σχιζομένη εἰς ἑτέρας ἐννοίας καὶ ἀστατοῦσα, καὶ ἄγνοια διὰ τοῦτο γινομένη, διὰ τὸ μὴ πεισθῆναι ὅτι ἔγνω· οὕτως οἱ πιστοὶ, τῇ γνώσει ἑνωθέντες τῷ γνωσθέντι Χριστῷ (ὅς ἐστιν ὁ Θεὸς Λόγος) καὶ τὴν πίστιν εἰς αὐτὸν ἐρείσαντες, μονιμωτάτην καὶ ἀσάλευτον τῶν ἐγνωσμένων τὴν πίστιν ἔχοντες, ὅτι Θεὸν ἔγνωσαν, καὶ ὑπὸ Θεοῦ ἐγνώσθησαν, ἐξεστήκασι μὲν τῆς ἀγνοίας, ἣν εἴπομεν διαιρεῖν, καὶ σχίζειν, καὶ διασαλεύειν εἰς ἄλλοτε ἄλλας ἀμφιβολίας, ὡς μὴ γνοῦσαν ὃ δεῖ γνῶναι. Ἐφεστήκασι δὲ τῇ βεβαιότητι τῇ πίστει πληροφορηθέντες, ὅτι ἔγνωσαν, καὶ ἡνώθησαν διὰ τούτου τῷ γνωσθέντι. Ὁ μὲν οὖν ἐν τῷ σκότῳ τῆς ἀγνοίας, κατὰ τὸν Ἀπόστολον, ὢν, ὑπὸ τῆς πλάνης αὐτῆς σαλευόμενος, περιφέρεται παντὶ ἀνέμῳ τῆς κυβείας τῶν ἀνθρώπων, ὥσπερ οἱ ἐν πελάγει κλυδωνιζόμενοι.

Καὶ

SCHOLIA S. MAXIMI.

Καὶ ταῦτα γάρ φησιν ὁ Ἀπόστολος, καὶ νομίζει τοὺς Γνωστικοὺς μαίνεσθαι, ὡς καὶ ὁ Φῆστος ἔφη τῷ Παύλῳ κηρύττοντι τὴν θείαν γνῶσιν, Μαίνῃ Παῦλε. Ὁ δὲ γνωστικὸς καὶ τῷ ὄντι Χριστιανὸς, ἅτε τῇ ἀληθείᾳ γνοὺς Χριστὸν, καὶ δι' αὐτοῦ τὴν θεογνωσίαν κτησάμενος, τὴν ἑνιαίαν λέγω τῆς ἀληθείας γνῶσιν. Ἑνιαία δέ ἐστιν ἡ ἁπλῆ καὶ ἀσύνθετος γνῶσις, ἐξέστηκε μὲν τοῦ κόσμου, μὴ ὢν ἐν τῇ κοσμικῇ τῶν ἀπίστων γνώμῃ καὶ πλάνῃ· ἑαυτὸν δὲ γινώσκει νήφοντα, καὶ ἀπηλλαγμένον τῆς πολυπλανοῦς ἀπιστίας, διὸ καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκουσιν ὑπὲρ τῆς ἀληθείας, οὐ μόνον μέχρι θανάτου κινδυνεύοντες ἑκάστοτε διὰ τὴν ἀλήθειαν, ἀλλὰ καὶ τῇ ἀγνωσίᾳ τελευτῶντες πάντοτε, τῇ δὲ γνώσει ζῶντες, καὶ Χριστιανοὶ μαρτυρούμενοι.

Διαιρέσεως αἰτία.] Διαίρεσιν ἐνταῦθα τὸ τῆς γνώμης ἀνίδρυτον καὶ εἰς πολλὰ μεριζόμενον ἔφη.

Ἑστίας.] Μονῆς, οἰκήσεως.

Τῇ ἑνιαίᾳ τῶν Χριστιανῶν.] Ἑνιαίαν τὴν καθ' ἡμᾶς πίστιν ὠνόμασεν, ὡς ἁπλῆν τε καὶ ἀπλανῆ, τὴν τοῦ ὄντος ἀληθῶς ἔχουσαν γνῶσιν.

Et hæc quidem ait Apoſtolus, exiſtimatque Gnoſticos delirare, quemadmodum & Feſtus Paulo diuinam cognitionem prædicanti dicebat, *Inſanis Paule*. Chriſtianus autem reuerà eſt Gnoſticus, vtpote verè Chriſtum cognoſcens, & per ipſum Dei notitiam, vnam inquam Dei cognitionem poſſidens. Porrò vna eſt illa ſimplex & incompoſita cognitio, eſtque extra mundum poſita, cùm minimè verſetur in mundanâ infidelium ſcientiâ & errore: ſeipſum autem cognoſcit ſobrium, & à multiuagâ infidelitate liberatum, ideoque quotidie pro veritate moriuntur, non tantùm vſque ad mortem in dies pro veritate periculum ſubeundo, verùm etiam ſemper ignorantiæ morientes, cognitioni verò viuentes, & Chriſtiani comprobati. Act. 26,24

DIVISIONIS CAVSA.] Diuiſionem hîc vocat mentis inſtabilitatem, & in multa diſtractionem.

DOMICILIO.] Manſione, habitaculo.

SINGVLAREM CHRISTIANORVM.] Noſtram fidem dixit ſingularem, quippe ſimplicem & erroris expertem, eius qui verè eſt notitiam habentem.

PARAPHRASIS PACHYMERÆ.

ΕΙΠΟΝΤΕΣ περὶ ἀγαθοῦ, περὶ ὄντος, περὶ ζωῆς, φέρε αὐτὴν τὴν ἀγαθὴν καὶ αἰωνίαν ζωὴν τὸν Θεὸν ὑμνῶμεν καὶ ὡς σοφήν. Ἔφθασε γὰρ εἰπεῖν, ὅτι ἀπὸ τῶν καθ' ἡμᾶς συνάγομεν τὰ ὑπὲρ ἡμᾶς· διὰ τοῦτο δὲ ἐπιδιορθούμενος ὡσανεί φησι, Μᾶλλον δὲ ὡς πάσης σοφίας, τῆς ἐν Ἀγγέλοις δηλαδὴ, τῆς ἐν ἀνθρώποις, αἰτίαν καὶ ὑπὲρ πᾶσαν σοφίαν καὶ σύνθεσιν ὑπεροῦσαν· ἀσυλλόγιστον γὰρ καὶ ἀπρεπὲς, τὸ ποιητικόν τινος εἶναι τοιοῦτον, οἷον τὸ ποίημα. Ἐκ γοῦν τῆς καθ' ἡμᾶς σοφίας, ὑπεροχικῶς τὴν θείαν σοφίαν κατανοοῦμεν, ὡς ἐκ τῶν αἰτιατῶν τὴν αἰτίαν, καὶ οὐχ ἁπλῶς αἰτίαν, ἀλλὰ καὶ ποιητικὴν αἰτίαν. Οὐ γὰρ ὑπερπλήρης μόνον ἐστὶ τῆς σοφίας κατὰ τὴν Γραφὴν, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμὸς, ἀλλὰ καὶ ἐπέκεινα πάσης σοφίας ἐστί. Τοῦτο νοήσας καὶ ὁ μέγας Παῦλος, ὁ κοινὸς ἐμοῦ τε καὶ τοῦ καθηγεμόνος Ἱεροθέου ἥλιος,

§. I. *Deus eſt origo omnis ſapientiæ.*

QVONIAM diximus de bono, de ente, de vitâ, age, ipſammet bonam & æternam vitam Deum celebremus etiam vt ſapientem. Anteà enim dixerat, nos à rebus noſtris ea quæ ſupra nos ſunt colligere; idcircò, quaſi ſe corrigens, ait, Quin potiùs, tamquam omnis ſapientiæ, quæ ſcilicet in Angelis & hominibus eſt, cauſam & ſupra omnem ſapientiam & compoſitionem eminentem: nulla enim ratione congruentiáve concluditur, cauſam effectiuam alicuius ſimilem eſſe effectui. Ex noſtrâ itaque ſapientiâ diuinam ſapientiam per exceſſum intelligimus, ſicut ex effectis cauſam, & non ſimpliciter cauſam, ſed cauſam efficientem. Non enim dumtaxat ſupraquam plenus eſt ſapientiæ, iuxta Scripturam, & intelligentiæ eius non eſt numerus, verùm etiam ſupra omnem ſapientiam exiſtit. Hoc intelligens etiam magnus Paulus, communis ille meus meiq; præceptoris Hierothei ſol, *quod ſtultum eſt* 1. Cor. 1, 25

 Dei,

PARAPHRASIS PACHYMERÆ.

Dei, sapientius esse dixit *hominibus*, non solùm quòd nostra scientia, cum diuinâ illâ quæ errare non potest comparata, error reputetur, verùm etiam quia solemne est Theologis, per quamdam rerum nostrarum auersionem ex priuatione res diuinas per negationes efferre, cùm res nostræ potiùs ex habitibus nominentur; sic enim diuina excellentia manifestatur. Hoc etiam alio loco vocauit vim quamdam superexcellentis negationis: nam cùm omnis habitus per excessum imminuatur respectu eorum quæ ibi sunt, idcircò ad oppositionem nostratium illa ex negatione dicuntur. Sic etiam exinanitionem vocant Dei incarnationem, tametsi plena fuerit, imò supraquam plena, tam sapientiâ quàm virtute ac salute: quin etiam Dei infirmitatem, crucis trophæum vocant. Hoc igitur modo etiam stultitiam Dei, omnem sapientiam & scientiam excedentem Apostolus appellauit, id quod nobis rationi contrarium & absonum videbatur; scilicet quomodo Deus in carne, vel quomodo corporaliter in cruce passus sit, adducens ad veritatem, quæ omnem superat rationẽ: mysterium enim hoc sensilium demonstrationum rationibus non explanabitur, nisi fides præcedat. Sed, quod etiam alibi dixit, si velimus more nostro ea quæ supra nos sunt accipere, familiaribus sensibus inuoluti, decipimur; cùm scire oporteat, nostrum intellectum habere quidem vim intelligendi res intellectiles (siquidem simplicibus quibusdam conceptibus & indemonstrabilibus intelligit) verùm illas res intellectiles quæ sub intelligendi eius facultatem cadunt, res autem superiores numquam apprehendet, nisi per eminentem quamdam vnionem sensilia intellectiliaque cuncta atque insuper motum proprium excedat, atque ita radium quemdam diuinæ cognitionis accipiat. Vnionem autem non, vt ita quis dicat, mixtionem & contactum vocat, quod vtique etiam dicitur, vt cùm in progressu hic Sanctus ait, quando mens supernaturalibus radiis vnita fuerit, sed quoniam intellectiones inferiores sunt intelligente, & quando aliquid intelligitur, verosimiliter etiam diuisio quædam vnionis ipsius mentis existit; dum verò in se ipso manet, indiuisus apparet: idcircò vnionem vocat statum illum quem secundùm

Quo sensu Dei sapientia dicatur stulta.

Nostra cognitio in quo erret.

Τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἔφησεν εἶναι, οὐ μόνον ὅτι συγκρινομένη ἡ ἡμετέρα γνῶσις πρὸς τὴν θείαν καὶ ἀπλανῆ, πλάνη λογίζεται, ἀλλ' ὅτι καὶ ἔθος τοῖς Θεολόγοις, κατά τινα ἀντιπάθειαν τῶν ἡμετέρων, ἐκ τῆς στερήσεως ἀποφάσκειν τὰ θεῖα, τῶν ἡμετέρων μᾶλλον ἐκ τῶν ἕξεων ὀνομαζομένων· οὕτω γὰρ δηλοῦται ἡ θεία ὑπεροχή. Τοῦτο καὶ δύναμιν ὑπεροχικῆς ἀποφάσεως ἐν ἑτέρῳ εἴρηκεν· ἐπειδὴ γὰρ πᾶσα ἕξις ὑπεροχικῶς ἐλαττοῦται πρὸς τὰ ἐκεῖσε, διὰ τοῦτο ἀντιστρόφως πρὸς τὰ ἡμέτερα ἐξ ἀποφάσεως ἐκεῖνα λέγονται. Οὕτω καὶ κένωσιν λέγουσι τὴν τοῦ Θεοῦ ἐνανθρώπησιν, καίτοι πλήρη τυγχάνουσαν, μᾶλλον δὲ ὑπερπλήρη καὶ σοφίας, καὶ δυνάμεως, καὶ σωτηρίας· ἀλλὰ καὶ ἀσθένειαν Θεοῦ τὸ διὰ σταυροῦ τρόπαιον. Τοῦτον οὖν τὸν τρόπον, καὶ μωρίαν Θεοῦ, τὴν πᾶσαν σοφίαν καὶ ἐπιστήμην ὑπεραίρουσαν, ἐκάλεσεν ὁ Ἀπόστολος, τὸ φαινόμενον παράλογον καὶ ἄτοπον ἡμῖν, δηλονότι πῶς Θεὸς ἐν σαρκί, ἢ πῶς σωματικῶς ἐν τῷ σταυρῷ πέπονθεν, ἀναγαγὼν εἰς τὴν ὑπὲρ πάντα λόγον ἀλήθειαν· λόγοις γὰρ οὐκ ἂν ἐξομαλισθείη δι' αἰσθητῶν ἀποδείξεων τὸ μυστήριον, οὐ προηγουμένης τῆς πίστεως. Ἀλλά, ὅπερ καὶ ἐν ἄλλοις ἔφην, θέλοντες οἰκείως ἡμῖν τὰ ὑπὲρ ἡμᾶς ἐκλαμβάνειν ἐγκαλινδούμενοι ταῖς συντρόφοις αἰσθήσεσιν, ἀπατώμεθα· δέον εἰδέναι, ὅτι ὁ καθ' ἡμᾶς νοῦς ἔχει μὲν καὶ δύναμιν εἰς τὸ νοεῖν τὰ νοητά, (νοερὸς γάρ ἐστιν ἁπλαῖς τισιν ἐπιβολαῖς καὶ ἀναποδείκτοις) ἀλλ' ἐκεῖνα τὰ νοητά, τὰ τῇ δυνάμει τῆς νοήσεως αὐτοῦ ἐπικείμενα· τοῖς δὲ ἐπέκεινα οὐκ ἂν ἐπιβαλεῖται ποσῶς, εἰ μὴ κατά τινα ἕνωσιν ὑπεραίρουσαν, ἐν τῷ πάντων ἐκστῆναι τῶν αἰσθητῶν τε καὶ νοητῶν, ἔτι δὲ καὶ τῆς οἰκείας κινήσεως, εἶθ' οὕτως τῆς θείας γνώσεως ἀκτῖνά τινα δέξασθαι. Ἕνωσιν δέ φησιν, οὐ τὴν ὡς ἄν τις εἴποι μῖξιν καὶ συναφήν, ὃ δὴ καὶ αὐτὸ λέγεται, καθὼς καὶ προϊὼν λέγει ὁ ἅγιος, Ὅταν ὁ νοῦς ἑνωθῇ ταῖς ὑπὲρ φύσιν ἀκτῖσιν, ἀλλ' ἐπειδὴ αἱ νοήσεις κατώτεραί εἰσι τοῦ νοοῦντος· καὶ σκεδασμὸς εἰκότως καὶ μερισμὸς τῆς ἑνότητος τοῦ νοῦ γίνεται ὅτε νοεῖ τι· ὅτε δὲ ἐφ' ἑαυτοῦ μένει, ἀμερὴς φαίνεται· διὰ τοῦτο ἕνωσιν λέγει τὴν κατὰ

τὸ

τὸ ἑνιαῖον ἑαυτοῦ ἵδρυσιν, προσβαλεῖ γὰρ ἴσως τῇ περὶ Θεοῦ θεωρίᾳ, οὐ μερισθεὶς, οὐ κινηθεὶς, οὐ νοήσας, ἀλλ᾽ ὅλως κατά τινα ἀτρεμῆ ἀκινησίαν ἐν τῷ ὅλους γίνεσθαι ἡμᾶς τοῦ Θεοῦ καὶ μὴ ἑαυτῶν· οὕτω γὰρ τὴν θείαν ἀκτῖνά τις δέξεται).

Ταύτην γοῦν τὴν σοφίαν, τὴν μὴ πεφυκυῖαν δέξασθαι λόγον ἑρμηνευτικὸν, ἢ νοῦν καταληπτικὸν, ἢ σοφίαν ἐξαγγελτικήν (οὕτω γὰρ λέγει τὸ ἄλογον, καὶ ἄνουν, καὶ μωρὸν, οὐ κατὰ διάθεσιν, ἀλλὰ κατὰ ἀπόφασιν καὶ καθ᾽ ὑπεροχὴν, οὐ κατὰ ἔλλειψιν) ὑπεροχικῶς οὖν ταύτην ὑμνοῦντες, λέγομεν, ὅτι παντός ἐστι καὶ λόγου καὶ νοῦ καὶ πάσης σοφίας αἰτία, καὶ αὐτῆς ἐστι πᾶσα βουλὴ καὶ σύνεσις, κατὰ τὸ, Ἐμὴ σύνεσις, ἐμὴ δὲ βουλὴ καὶ ἀσφάλεια· καὶ ἐν αὐτῇ πάντες οἱ θησαυροὶ τῆς σοφίας εἰσὶ καὶ τῆς γνώσεως ἀπόκρυφοι, κατὰ τὸν μέγαν Ἀπόστολον. Καὶ γὰρ ὥσπερ ἡ αἰωνία καὶ θεία ζωὴ ὑποστάτις ἐλέγετο καὶ αὐτῆς τῆς αὐτοζωῆς καὶ τῶν ἑτέρων ἁπασῶν ζωῶν, οὕτω δὴ καὶ ἡ πάνσοφος σοφία, αἰτία ἐστὶ καὶ τῆς αὐτοσοφίας, δηλονότι δι᾽ ἑαυτοῦ, ἤγουν τοῦ ἐν αὐτῷ δημιουργικοῦ λόγου τῆς σοφίας, καὶ ἁπάσης σοφίας ὑποστάτις, ἐξ ἧς ἔχουσι τὰς νοήσεις αἱ νοηταί τε καὶ νοεραὶ τῶν Ἀγγέλων δυνάμεις. Νοεραὶ, αἱ ὑφειμέναι τῶν ὑπὲρ αὐτάς, καὶ πᾶσαι Θεοῦ· νοηταὶ, αἱ ὑπεράνω πρὸς τὰς ὑφειμένας, καὶ πᾶσαι πρὸς ἡμᾶς· ἡμεῖς γὰρ νοεροὶ μόνον ἐσμὲν, οὐδὲ γὰρ ἔχομεν ἑτέραν ἡμῶν κατωτέραν νόησιν, δι᾽ ἧς ἂν νοηθείημεν, ἡ ἄλογος γὰρ καὶ ἡ ἄνοος ψυχὴ καθ᾽ ἡμᾶς. Ἔχουσι γοῦν αἱ οὐράνιαι δυνάμεις τὰς νοήσεις, οὐκ ἐν μεριστοῖς, ἡμεῖς γὰρ ἐν μεριστοῖς τοῖς αἰσθητηρίοις· ἄλλο γὰρ ἀκοὴ, καὶ ἕτερον ὄψις, καὶ τὰ ἄλλα ὁμοίως. Καὶ ἀπὸ μεριστῶν, τῶν κατ᾽ αὐτὰ αἰσθητῶν, τὴν τῶν ὅλων γνῶσιν ἀναλαμβάνομεν, ἢ ἐν μεριστοῖς μὲν, τοῖς κατὰ μέρος νοήμασιν, ἀπὸ μεριστῶν δὲ, τῶν μαθήσεων ἤτοι τῶν νοουμένων· τοῦτο γάρ ἐστι τὸ διεξοδικόν. Οὐχ ἅμα γὰρ τὰς μαθήσεις λαμβάνομεν, ἀλλὰ χρόνῳ καὶ μεριστῶς. Αἱ δὲ νοεραὶ φύσεις, ἀκοινωνήτως πρὸς τὰ τοιαῦτα πάντα ἔχουσαι, ἑνιαίᾳ καὶ ἁπλῇ νοήσει τῆς ἀληθείας τὴν γνῶσιν ἐπιλαμβάνονται. Τὸ δὲ Ὑπό τινος κοινοῦ, τοιοῦτόν ἐστιν· αἱ παρ᾽ ἡμῖν γνώσεις ἀπὸ μερικῶν συναγόμεναι, κοινόν τι ἀποκαθι-

se vnitus habet, æqualiter enim se applicat diuinæ contemplationi indiuisus, immotus, non intelligens, sed integrè, secundùm quamdam intremulam immobilitatē, dum toti simus Dei, & non nostri; sic enim diuinum radium aliquis accipiet. PARAPHRASIS PACHYMERÆ.

Hanc itaque sapientiam, quæ non admittit rationem interpretantem, nec intellectum comprehendentem, nec sapientiam enuntiantem (hoc sensu enim vocat irrationalem, & amentem ac stultam, non per affectionem, sed per negationem & per excessum, non propter defectum.) per excessum igitur hanc laudantes dicimus, omnis mentis & rationis omnisque sapientiæ causam existere, & ipsius esse omne consilium & scientiam, iuxta illud, *Mea est scientia, meum item consilium & securitas*; & in ipsâ *omnes thesauri sapientiæ* sunt & cognitionis *absconditi*, secundùm magnum Apostolum. Etenim sicut æterna diuinaq; vita suppeditatrix dicta est etiam ipsius per se vitæ, & ceterarum vitarum omnium, sic vtique etiam omni-sapiens sapientia ipsius quoque per se sapientiæ causa, scilicet per se siue in se, rationis sapientiæ creatricis omnisque sapientiæ effectrix existit, ex quâ intellectiones habent intellectiles & intelligentes virtutes Angelorum. Intelligentes sunt inferiores respectu superiorum, & omnes respectu Dei: intellectiles sunt superiores respectu inferiorum, & omnes respectu nostri; nos enim dumtaxat sumus intelligentes, quia non habemus aliam intelligentiam inferiorem per quam intelligamur, siquidem anima, quæ nos sequitur, irrationalis est & mentis expers. Habent itaq; cælestes Virtutes intellectiones non in diuisibilibus, nos autem in diuisibilibus sensuum instrumentis. Aliud enim auditus, & aliud visus, & sic de aliis. Et ab his diuisibilibus sensilibus rerum cognitionem recipimus, aut in diuisibilibus quidem ex parte cogitationibus, sed à diuisibilibus disciplinis seu intellectus obiectis; hoc enim est Per diuagationes. Non enim simul disciplinas percipimus, sed tempore, ac diuisim. Intelligentes verò naturæ, nullam in his omnibus communicationem habentes, vnâ simplicique intellectione veritatis cognitione illustrantur. Illud autem, Sub aliquo communi, est eiusmodi: nostræ cognitiones à rebus diuisis collectæ commune quid abstrahunt,

§. 2. *Dei sapientia est per excessum.*

Prou. 8, 14

Coloss. 2, 3.

Nos diuisim, Angelos collectim intelligere.

PARAPHRASIS PACHYMERÆ.

hunt,& ab illo,tamquam præcognito,aliud in cognitionem adducitur; quoniam ipſæmet etiam immediatæ propoſitiones ac primæ ſpecies,non aliter omnino etiam ad demonſtrationem conducent, niſi etiam ipſæ ex ſenſilibus diuiſilibusque motibus ad commune quidpiam fuerint reuocatæ. Sicut enim in bello,dum fit fuga,ſiſtitur vnus, & poſt eum alter, & tertius,& ſic de ceteris, & ſic fortè victores euadunt qui antè ſuccumbebant; ſimiliter in communi cognitione, diuiſibilia ſenſiliaque collecta commune quid faciunt. Nam ex eo quòd multi frequenter ad ignem aliquem accedentes calefacti ſint, communi notitiâ acceptum eſt,omnem ignem calefacere,quâ communi notitiâ informata mens noſtra, ex eâ quidpiam aliud diſcit; quod non habet locum in Angelis: ſed ab omni materiali, id eſt ſenſibili diuiſibilium notionum multitudine puri, vniformiter res diuinas,non omnes quidem, ſed quas eos noſſe fas eſt, per diuinam illuſtrationem intelligunt, quâ illuſtrantur & ad vnitatem informantur. in hac enim ſita eſt eorum deiformitas. Per hanc quoque diuinam ſapientiam etiam animæ ratiocinandi vim obtinent. Cur autem non νοερὸν,ſeu *intelligendi*,ſed λογικόν, id eſt *ratiocinandi* vim dixerit, ex abundanti manifeſtum fit: omnia enim quæ hîc animę norunt, per fuſas rationes ac demonſtrationes, quin imò etiam per ſenſationes diuiſibiles percipiunt. Intellectilia verò anima intelligit, non in quantum anima rationem habet,ſed in quantum mens eſt ſeu intellectus:tunc enim intelligit mens intelligibilia, quando & animam & ſemetipſam deſerit. Hoc ſignificat quoque diuinus Apoſtolus
1.Cor.2,14 dicens, *Animalis homo non capit ea quæ ſunt Spiritus.* Deficiunt itaque animæ ab vnitis illis & Angelicis mentibus varietate & diuiſibilitate omnigenæ cognitionis.Deinde cùm eæ cognitiones, quæ ſecundùm animas fiunt, in vnum conglomerantur (hoc enim eſt etiam *ſecundùm ſe*, & *vniuerſæ demonſtrationis*) animæ quoque Angelis æquiparantur. Idcircò conſidera etiam vt vnitè, vt ita quis dixerit, intelligant,

στῶσι, καὶ ἀπ᾽ ἐκείνου ὡς προεγνωσμένου, ἕτερον εἰς γνῶσιν συνάγεται· καὶ γὰρ καὶ αὐταὶ αἱ ἄμεσοι προτάσεις, καὶ ἀρχοειδεῖς, οὐκ ἄλλως ἕξουσι τὸ καθόλου καὶ τὸ εἰς ἀπόδειξιν εὔχρηστον, εἰ μὴ καὶ αὗται ἐξ αἰσθητῶν καὶ μερικῶν κινήσεων εἴς τι κοινὸν συμπεριληφθεῖεν. Ὡς γὰρ ἐν πολέμῳ, τροπῆς γινομένης, εἷς ἔστη, καὶ μετ᾽ αὐτοῦ δεύτερος, καὶ τρίτος, καὶ καθεξῆς, καὶ οὕτως ἴσως ἐπικρατοῦσιν οἱ τέως περιπεπονθότες· καὶ ἐπὶ τῆς κοινῆς γνώσεως, μερικὰ καὶ αἰσθητὰ συναγόμενα, τὸ κοινὸν ποιοῦσι. Τῷ γὰρ πολλοὺς πολλάκις ὁποίῳ δή τινι πυρὶ πλησιάσαι, καὶ θερμανθῆναι ἡ καθολικὴ ἐπεγένετο γνῶσις, ὅτι πᾶν πῦρ θερμαίνει· ἐξ οὗ κοινοῦ συμπεριεχομένη ἡ ἡμετέρα διάνοια, ἕτερον μανθάνει δι᾽ αὐτοῦ, ὅπερ ἐπὶ τῶν Ἀγγέλων οὐκ ἔστιν· ἀλλὰ παντὸς ὑλικοῦ, δηλονότι αἰσθητοῦ, καὶ πλήθους μερικῶν τινῶν γνώσεων καθαρεύοντες, ἑνοειδῶς οὐχ ἅπαντα τὰ θεῖα νοοῦσιν, ἀλλ᾽ ὅσα νοεῖσθαι τούτοις πεφύκασι, διὰ τὴν ἀπὸ Θεοῦ πρὸς αὐτοὺς ἔλλαμψιν, ᾗ τινι καὶ καταγλαΐζονται, καὶ πρὸς τὸ ἑνιαῖον ἀνατυποῦνται· τοῦτο γάρ ἐστιν αὐτῶν τὸ θεοειδές. Διὰ ταύτην τὴν θείαν σοφίαν καὶ αἱ ψυχαὶ τὸ λογικὸν ἔχουσι. Διά τι δὲ οὐ τὸ Νοερὸν εἶπεν, ἀλλὰ τὸ Λογικόν, ἢ δῆλον ἐκ τοῦ πλεονάζοντος· πάντα γὰρ τὰ τῇδε ὅσα οἴδασιν αἱ ψυχαί, διεξοδικῶς δι᾽ ἀποδείξεων, ἔτι δὲ καὶ μερικῶν αἰσθήσεων οἴδασι. Τὰ δὲ νοητὰ νοεῖ ἡ ψυχὴ οὐ καθὸ ψυχὴ λόγον ἔχουσα, ἀλλὰ καθὸ νοῦς· τότε γὰρ οἶδεν ὁ νοῦς τὰ νοητά, ὅτε μὴ μόνον τῶν αἰσθητῶν, ἀλλὰ καὶ τῆς ψυχῆς καὶ ἑαυτοῦ ἐξίσταται. Τοῦτο δηλοῖ καὶ ὁ θεῖος Ἀπόστολος, Ὁ ψυχικὸς ἄνθρωπος, λέγων, οὐ δέχεται τὰ τοῦ πνεύματος. Ἀπολείπονται οὖν αἱ ψυχαὶ τῶν ἑνιαίων καὶ ἀγγελικῶν νόων, τῷ ποικίλῳ καὶ μεριστῷ τῆς παντοδαποῦς γνώσεως. Εἶτα ἐπειδὴ αἱ κατὰ τὰς ψυχὰς γνώσεις, διὰ λόγου γινόμεναι, εἰς τὸ ἓν συνελίττονται (τοῦτο γάρ ἐστι καὶ τὸ καθ᾽ αὑτὸ καὶ τὸ καθόλου τῆς ἀποδείξεως) ἀξιοῦνται καὶ αἱ ψυχαὶ τῶν ἰσαγγέλων. Διὰ τοῦτο, νόησαι δὲ καὶ ἑνιαίως, ὡς ἂν εἴποι τις νοοῦσιν· ἢ καὶ ἄλλως ὅτε μὴ διὰ λόγου, ἀλλὰ δι᾽ ἐπιπόνου καὶ κατ᾽ ἀρετὴν ἕξεως, ὃ καὶ κρεῖττον, εἰς τὸ ἑνιαῖον τῆς γνώσεως φθάνουσι· καθώς ἐστιν

quando videlicet aliàs non per rationem,ſed per arduum virtutique congruum habitum,quod vtique præſtantius eſt, ad cognitionis vnitatem pertingunt; ſicut videre

ἰδεῖν

PARAPHRASIS PACHYMERÆ.

ἰδεῖν ἐν τοῖς μεγάλοις καὶ θείοις Πατράσιν ἡμῶν, τοῖς μὴ ἀπὸ μαθήσεως, ἀλλ' ἀπὸ καθαρότητος τῆς δι' ἀρετῆς, εἰς μεγάλας θεωρίας ἐλθοῦσι, καὶ γνώσεις θειοτέρας ἢ κατ' ἄνθρωπον. Ἔτι, οὐκ ἂν ἁμάρτῃ τις καὶ περὶ τῶν αἰσθήσεων ἀποφηνάμενος, ὅτι τελευταῖον ἀπήχημα τῆς θείας σοφίας εἰσίν· ἔχουσι γὰρ καὶ αὗται ἕξιν τινὰ ἀντιληπτικὴν τῶν ὑποκειμένων καὶ γνωστικὴν, εἰ καὶ σωματικῶν αἰσθητηρίων, δι' ὧν τῆς ψυχῆς παρακύψαι, ἐνδέονται. Οἱ δὲ δαίμονες, καθὸ νοῦν καὶ αὐτοὶ ἔχουσιν, ἐκ τῆς σοφίας τοῦ Θεοῦ τοῦτον κέκτηνται· ἀλογήσαντες δὲ, καὶ μὴ μείναντες ὅπερ ἦσαν, ἔκπτωσιν σοφίας μᾶλλον ὑπέμειναν. Ἐφίεται μὲν γὰρ ἐξ ἀλογίας καὶ θέλει τὸ ἰσόθεον ὁ δαιμόνιος νοῦς, οὐκ οἶδε δὲ ὅπως τούτου τυχεῖν ἔνεστιν, οὐ φύσει παθὼν τὴν ἄγνοιαν, ἀλλ' ἑκουσίως τὸ παρὰ φύσιν αἱρούμενος. Ὥστε καὶ ἐπεὶ ἠλογημένος ἐστὶν ὁ τῶν δαιμονίων νοῦς, οὐ σοφὸς, ἀλλὰ σοφίας ἐκπεπτωκὼς ῥηθήσεται. Ἀλλ' ὅτι μὲν ἡ θεία σοφία παντὸς νοῦ καὶ λόγου, καὶ πάσης αἰσθήσεως ὑποστάτις ἐστὶ καὶ αἰτία, εἴρηται, πῶς δὲ αὐτὸς ὁ ὑπέρσοφος Θεὸς νοεῖ τὰ νοητὰ, ἢ τὰ αἰσθητὰ, μηδὲ νοερὰς ἔχων ἐνεργείας, καὶ πάσης αἰσθήσεως ὑπερϊδρυμένος. Καίτοι φασὶ τὰ θεῖα καὶ ἱερὰ Εὐαγγέλια, Κύριε, σὺ πάντα οἶδας. Ῥητέον οὖν, ὅπερ ἔφην πολλάκις, ὅτι τὰ κατὰ στέρησιν λεγόμενα ἐπὶ Θεοῦ, καὶ τὰ ἐναντία, ὑπεροχικῶς νοοῦνται, τὸ ἄλογον, τὸ ἄνουν, τὸ ἀναφὲς, τὸ ἀόρατον, ὥστε ὁ θεῖος νοῦς πάντα συνέχει, κατά τινα ἐξῃρημένην γνῶσιν προειληφὼς τὴν πάντων εἴδησιν, ὡς αἴτιος πάντων, καὶ πάντα εἰδὼς ἔνδοθεν, καὶ οὐκ ἐξ ἄλλου, ἢ διά τινος ἄλλης προϋπαρχούσης γνώσεως· καὶ ἀπ' αὐτῆς τῆς ἀρχῆς εἰδὼς, οὐ τῆς ἀρχῆς τῶν παραχθέντων, ἀλλὰ τῆς καθολικῆς ἀρχῆς τοῦ Θεοῦ· ὅπερ ἐπεὶ οὐκ εὐαγὲς ἐστὶν λαμβάνειν ἐπὶ Θεοῦ (ἄναρχος γὰρ καὶ ὑπεράναρχος ὁ Θεὸς) ἐκόλασε διὰ τοῦ, Ἵν' εἴπω. Καλῶς γοῦν καὶ ὁ μέγας Βασίλειος τίθησιν, ὅτι εἰσί τινα, ἄναρχα μὲν, τελευτὴν δὲ ἔχοντα, λέγων τὰς θείας τῆς δημιουργίας νοήσεις· ἀπ' ἀρχῆς γὰρ, ἵν' οὕτως εἴπω παρὰ τῷ δημιουργῷ οἱ λόγοι τῆς κτίσεως. Διὰ

licet in magnis ac diuinis Patribus nostris, qui non eruditione, sed puritate, per virtutem ad magnas contemplationes diuinioresque, quæ humanum captum superent, cognitiones peruenerunt. Adhæc nequaquam aberrabit, qui sensus quoque ipsos extremum quasi quemdam diuinæ sapientiæ sibilum appellarit: nam & ipsi habent habitum quemdam, quo illa quæ iis subiiciuntur recipiant & cognoscant, quamquam corporeis instrumentis sensitiuis opus habeant, per quæ anima prospiciat. Dæmones verò, in quantum & ipsi mentem habent, ex diuinâ sapientiâ eamdem compararunt; à ratione autem auersi, neque id quod erat permanentes, prolapsionem à sapientiâ potiùs sustinuerunt. Siquidem mens dæmoniaca ex irrationalitate ambit & affectat æqualitatem Dei, sed nescit quomodo eam assequi possit; non quòd naturâ ignorans sit, sed voluntariè id quod contra naturam est eligat. Vnde, in quantum mens dæmonum à ratione deficit, nequaquam sapiens, sed à sapientiâ defecisse dicetur. Sed quoniam diuina Sapientia omnis mentis & rationis omnisque sensus effectrix & est, & causa dicitur, quomodo ipsemet supraquam sapiens Deus intelligit intelligibilia sensiliáve, cùm neque intelligentes habeat operationes, & supra omnem sensum sit collocatus? Attamen diuina sacraque Euangelia dicunt, Domine tu omnia nosti. Dicendum itaque, quod dixi sæpiùs, quòd quæ per priuationem de Deo dicuntur, & contraria, per excellentiam intelligantur, vt irrationale, amens, intactile, inuisibile, ita vt diuina mens omnia contineat, secundùm eminentem quamdam cognitionem omnium notitiam anticipando, tamquam causa omnium omniaque intrinsecè noscens; & non ex alio, neque per aliquam aliam præexistentem cognitionem; & ab ipso initio noscens, non ab initio rerum productarum, sed ab vniuersali initio Deo: quod cùm non satis commodè in Deo accipi possit (quoniam Deus sine initio est, & plusquam sine initio) correxit illud addendo, Vt ita dicam. Rectè igitur etiam Magnus Basilius ait, quædam esse quæ quidem principio carent, sed finem habent, vt diuinæ illæ creationis cogitationes: ab initio enim, vt ita dicam, apud creatorē fuere rationes creationis. Nam idcircò dicitur,

Dæmones qualiter participent sapientiam.

Quomodo Deus res nouerit.

PARAPHRASIS PACHYMERÆ.

Qui nouit omnia priusquam fiant; quorum originem nouit, non quòd ex iis discat qualia sint, vti declarauit dicens, Non ex rebus ipsis res discens, neque singulis secundùm cuiusque speciem intendens, sed tamquam creator suorum operum præhabet cognitionem, sciens quando & quibus modis illa sit producturus. Quorum peruersio & defectio, siue frustratio & impotentia, malum introducit, priuatione eius quod secundùm naturam est, id quod contra naturam est introducens. Ad hoc enim lucis exemplum attulit: nam huius priuatione tenebræ existunt, & causam habent absentiam naturæ lucis, sicut etiam habitus principaliores sunt priuationibus, &, vt ita quis dicat, causæ. Nemo itaque ex his ad tam absurdas sententias abducatur, vt dicat, etiam malorum in seipso causam habere Deum, siue ipsum esse causam cur hæc producantur: iam pridem enim ostendit, neque ens, neque in rebus esse malum. Hoc verò etiam declarat exemplum. Sicut enim si quis lucem hanc visibilem mentis ac rationis compotem supponat; deinde rogemus ipsam, an tenebras cognoscat, ipsa autem se nosse dicat, etiam antequam tenebræ essent: nosse, inquam, non per aliquam experientiam (quomodo enim lux tenebras sciret? nam si lux sit, non erunt tenebræ) sed nosse dicat tenebras in quantum lux est; ideoq; nouit, quòd si proprium lumen contraxerit, nemo videbit. Ita etiam Deus per causam omnium in se cognitionem habet, non quòd experientiâ eam comparauerit (tum enim Deus cognitione posterior inueniretur) aut in aliquo tempore non cognouerit. Nota autem, tenebras esse effectum qui ex defectu lucis existit, quod est contra Manichæos. Hinc probat, secũdùm vnam eamdemque cognitionem Deum nosse & seipsum & omnia, atque adeò etiam immaterialiter materialia, & diuisa indiuisè, multaque vnitè; siquidem immaterialis, & indiuidua, & vnita, & simplex est notitia Dei. Cùm dixerimus, Deum in vno, scilicet in vnâ simplicique creandi facultate, diuersa condidisse, sic & in vno, siue in vnâ simplicique cognitione, diuersa cognoscit; quin imò etiam largitor est omnis cognitionis, per quam aliquis & se &

τοῦτο γὰρ λέγεται καὶ τὸ, Ὁ εἰδὼς πάντα πρὶν γενέσεως αὐτῶν· ὧν τὴν γένεσιν, οὐκ ἐκ τοῦ καταμανθάνειν αὐτὰ ὁποῖά τινά εἰσιν ἔχει· τοῦτο γὰρ ἐδήλωσεν, εἰπὼν, Οὐκ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων, καὶ τὸ οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων, ἀλλ' ὡς ποιητὴς τούτων τὴν εἴδησιν τῶν οἰκείων ἔργων προέχει, εἰδὼς ὅπως αὐτὰ καὶ ἐφ' οἷς παράξει πρὸς γένεσιν. Ὧν ἡ παρατροπὴ καὶ ἡ ἔλλειψις, ἤγουν ἡ ἀποτυχία καὶ ἡ ἀδυναμία, τὸ κακὸν εἰσάγει, τῇ στερήσει τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν ποιοῦσα. Πρὸς τοῦτο γὰρ τὸ τοῦ φωτὸς παρήγαγεν ὑπόδειγμα· τῇ γὰρ τούτου στερήσει τὸ σκότος παρυφίσταται, καὶ αἰτίαν ἔχει τὴν ἀπουσίαν τῆς τοῦ φωτὸς φύσεως, ὥσπερ καὶ τῶν στερήσεων αἱ ἕξεις ἀρχικώτεραι τυγχάνουσι, καὶ ὡς ἄν τις εἴποι, αἰτίαι. Μηδεὶς γοῦν ἐκ τούτων πρὸς ἀτόπους ἀπαγέσθω ἐννοίας, ὥστε λέγειν καὶ τῶν κακῶν ἐν ἑαυτῷ κατ' αἰτίαν προέχειν τὸν Θεὸν, ἤγουν αἴτιον αὐτῶν ἐκ τούτου συνάγεσθαι αὐτὸν εἶναι· ἤδη γὰρ ἔδειξε μήτε ὂν, μήτε ἐν τοῖς οὖσι τὸ κακόν. Τοῦτο δὲ δηλοῖ καὶ τὸ παράδειγμα. Ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸ φῶς τοῦτο τὸ ὁρατὸν ἔννουν εἶναι καὶ λογικὸν, εἶτα πυθοίμεθα αὐτοῦ, εἰ γινώσκει τὸ σκότος, τὸ δὲ εἴποι γινώσκειν καὶ πρὶν γένηται τὸ σκότος· γινώσκειν δὲ, οὐ κατά τινα πεῖραν (πῶς γὰρ ἴδοι σκότος τὸ φῶς; εἰ γὰρ φῶς, οὐκ ἔσται σκότος) ἀλλὰ γινώσκειν εἴποι τὸ σκότος καθὸ φῶς· διὸ καὶ οἶδεν, ὅτι ἐὰν συστείλῃ τὸ οἰκεῖον φῶς, οὐδεὶς ὄψεται. Οὕτω καὶ ὁ Θεὸς κατ' αἰτίαν ἐν ἑαυτῷ τὴν ἁπάντων εἴδησιν ἔχει, οὐ τῇ πείρᾳ ταύτην ἐπικτησάμενος (ἐπεὶ εὑρεθείη ἂν μεταγενέστερος ὁ Θεὸς τῆς γνώσεως) ἢ κατά τινα χρόνον μὴ γινώσκων. Σημείου δὲ τὸ αἰτιατὸν εἶναι τὸ σκότος ἐξ ἐλλείψεως τοῦ φωτὸς, ὅπερ ἐστὶ κατὰ Μανιχαίων. Ἐντεῦθεν κατασκευάζει, ὅτι κατὰ μίαν καὶ τὴν αὐτὴν γνῶσιν ὁ Θεὸς οἶδε καὶ ἑαυτὸν, καὶ τὰ πάντα, διὰ τοῦτο καὶ ἀΰλως τὰ ὑλικὰ, καὶ τὰ μεριστὰ ἀμερίστως, καὶ τὰ πολλὰ ἑνιαίως· ἄϋλος γὰρ καὶ ἀμερὴς καὶ ἑνιαία, καὶ ἁπλῆ, ἡ γνῶσις ἡ θεία. Εἴπερ ἐλέγομεν ὅτι ἐν τῷ ἑνὶ, δηλονότι ἐν τῇ μιᾷ καὶ ἁπλῇ δημιουργικῇ δυνάμει ὑπέστησε τὰ διάφορα, οὕτω καὶ ἐν ἑνὶ, ἤγουν ἐν ἑνιαίᾳ καὶ ἁπλῇ γνώσει, τὰ διάφορα γινώσκει· ἀλλὰ καὶ χορηγός ἐστι πάσης γνώσεως, καθ' ἣν

γνώσε-

PARAPHRASIS PACHYMERÆ.

γνώσεταί τις καὶ ἑαυτὸν, καὶ τὰ ἄλλα. Οὐκ ἄρα ὁ Θεὸς κατ᾽ ἄλλην μὲν γνῶσιν γνώσεται ἑαυτὸν, κατ᾽ ἄλλην δὲ τὰ δημιουργήματα. Εἰ γοῦν αὐτὴ ἡ αἰτία πάντων, ἑαυτὴν καὶ ἀφ᾽ ἑαυτῆς γινώσκει, πόσῳ γε μᾶλλον τὰ ἀπ᾽ αὐτῆς εἰδήσεται; ἀλλὰ τῇ ἑαυτοῦ, καὶ οὐ τῇ τῶν ὄντων ἐπιστήμῃ. Ἐπιχειρεῖ γοῦν ἐκ τοῦ ἐλάττονος, ὅτι καὶ οἱ Ἄγγελοι οἴδασι τὰ αἰσθητὰ, οὐ δι᾽ αἰσθήσεως αὐτοῖς προσβάλλοντες, ἀλλὰ διὰ δυνάμεως ἐπαναβεβηκυίας ἐπιβάλλοντες. Ὁ γὰρ ἐπὶ τοῦ Γεδεὼν εἰς τὴν θυσίαν ἐκβάλλων ἐκ τῆς πέτρας πῦρ, οὐκ αἰσθήσει οἶδεν, ὅτι καυστικὸν τὸ πῦρ, ὡς ἡμεῖς, ἀλλ᾽ ἀνωτέρῳ τρόπῳ, καὶ κατὰ τὴν θεοειδῆ αὐτοῦ δύναμιν. Εἰ γοῦν οἱ Ἄγγελοι κρειττόνως, ἢ κατ᾽ αἴσθησιν οἴδασι τὰ αἰσθητὰ, πόσῳ μᾶλλον ὁ Θεὸς ἀΰλως τὰ ἔνυλα;

Ἐπὶ τούτοις ἀπορεῖ, πῶς ἡμεῖς τὸν Θεὸν γινώσκειν λεγόμεθα, καὶ ὑπὲρ τὰ νοητὰ, καὶ ὑπὲρ τὰ αἰσθητὰ ὑπεροχικῶς ὄντα. Ἀληθὲς γοῦν λέγει, ὅτι τῇ αὐτοῦ φύσει ἄγνωστός ἐστιν ὁ Θεὸς, ἀλλ᾽ ἡ τῶν δημιουργημάτων καλλονὴ, τὸν γενεσιουργὸν, τουτέστι τὸν ἐν γενέσει ποιητὴν μηνύει· ἡ γὰρ τῶν κτισμάτων διάταξις, εἰκόνες τινὲς καὶ ὁμοιώματα τῶν ἐν τῷ Θεῷ παραδειγμάτων καὶ δημιουργικῶν λόγων εἰσὶ, καθ᾽ οὓς ἅπαντα ἐν αὐτῷ ὄντα παρήχθησαν· καθὼς καὶ ἐν τῇ Ἀποκαλύψει τοῦ Θεολόγου Ἰωάννου καὶ Εὐαγγελιστοῦ λέγεται, ὅτι τὰ πάντα ἦσαν καὶ γεγόνασιν· ἦσαν γὰρ τὰ τῶν κτισμάτων παραδείγματα, ὧν εἰκόνες τὰ τῆς κτίσεως ἀποτελέσματα. Ἐν πᾶσι γοῦν κτίσμασι Θεὸς γινώσκεται, ὡς ὁ τεχνίτης ἐν τοῖς τεχνητοῖς· πάντη δὴ κεχωρισμένος κατ᾽ οὐσίαν τῶν πάντων· κἀντεῦθεν ἄγνωστος ὢν, ἐκ τῆς τοιαύτης ἀγνωσίας γινώσκεται· ἀλλὰ καὶ διὰ τῶν ἐναντίων γινώσκεται, καὶ διὰ τῶν θέσεων καὶ διὰ τῶν ἀφαιρέσεων λέγεται· εἰ γὰρ καὶ πρώην ἔλεγεν, ὅτι ἐπὶ Θεοῦ οὔτε ἐπαφή ἐστιν, οὔτε νόησις, οὔτε λόγος, οὔτε τι ἄλλο. Ἀλλ᾽ οὖν ὅτε ταῦτα τὰ θετικὰ θεοπρεπῆ νοοῦμεν, καὶ αὐτοῦ ταῦτα λέγομεν, καὶ οὐκ ἐξ ἡμῶν εἰς ἐκεῖνον, χώραν ἔχουσι λέγεσθαι. Ἤγουν ἐπαφὴ μὲν ἡμῶν πρὸς τὸ Θεῖον οὐκ ἔστιν, ἐπαφὴ δὲ αὐτοῦ ἑαυτοῦ λεχθήσεται, ὥσπερ δὴ καὶ γνῶσις καὶ νόησις· αἱ δ᾽ ἀποφάσεις ἐφ᾽ ἡμῖν ταχθήσονται, ὅτι ὑπὲρ ταῦτα πάντα τὸ Θεῖον, καὶ οὐχ

alia cognoscit. Non ergo Deus secundùm aliam quidem cognitionem seipsum cognoscet, secundùm aliam verò creaturas. Cùm itaque ipsa omnium causa seipsam etiam à seipsâ cognoscat, quantò magis cognoscet ea quæ à se promanant? verumtamen suiipsius, & non scientiâ eorum quæ sunt. Infert igitur à minori, Angelos etiam scire sensibilia, non per sensus illis inhærendo, sed per virtutem transscendentem iis attendendo. Qui enim coram Gedeone ignem in sacrificium ex petrâ eiiciebat, non percepit eum sensu, sicut nos, ignem comburere, sed sublimiori modo, & secundùm deiformem suam virtutem. Si itaque Angeli nobiliori modo quàm secundùm sensum sensilia cognoscant, quantò magis Deus immaterialiter materialia?

§. 3. *Quomodo nos Deum cognoscamus.*

Ad hæc quærit, quomodo dicamur nos nosse Deum, & ea quæ intellectilia sensiliaque superant eminenter. Verum vtique dicit, Deum naturâ suâ ignotum existere, sed creaturarum pulchritudinem, generationis auctorem, id est eorum quæ producta sunt conditorem, ostendere: siquidem rerum creatarum dispositiones sunt imagines quædam ac similitudines eorum quæ in Deo sunt exemplarium, ac creandi rationum, secundùm quas omnia quæ existunt in ipso producta sunt; sicut etiam in Apocalypsi Ioannis Theologi & Euangelistæ narratur, quòd omnia erant & fuerunt; quia erant exemplaria rerum creatarum, quorum imagines sunt creaturæ perfectiones. In omnibus ergo creaturis Deus cognoscitur, sicut artifex ex rebus arte factis: secundùm substantiam verò ab omnibus segregatus est; atque cùm hinc sit ignotus, ex istiusmodi ignoratione dignoscitur: quin imò ex contrariis cognoscitur, diciturque tam per positiones quàm per ablationes: siquidem etiam anteà dixit de Deo, neque tactum esse, neque notionem, neque rationem, neque quidquam aliud. Verumtamen quando hæc positiua conuenienti modo intelligimus, etiam hæc ipsius esse dicimus, & non ex nobis ad ipsum transferri possunt. Itaque tactus quidem nobis ad Deum non est, sed tactus ipsius ad seipsum dicetur, sicut etiam cognitio notioque: negationes verò etiam in nobis ponentur, quoniam supra omnia ista Deus est; & non potest ex

PARAPHRASIS PACHYMERÆ.

his à nobis intelligi. Idcircò etiam ex omnibus à nobis celebratur secundùm omnium proportionem, ex entibus tamquam ens, ex viuentibus tamquam viuens, ex sapientibus tamquam sapientia. Et rursum est diuinissima Dei cognitio, quæ per ignorationem cognoscitur secundùm supramentalem vnionem atque coniunctionem, sicut infert cùm dicit, quando mens à rebus recedens, & semetipsam deserens, desuper fulgentibus radiis vnitur, quibus in illo inscrutabili fundo collustratur: inde videlicet & ibi sic fit illustratio, quando ibi manens omnia, & seipsam deserens, ibidem illustratur. Mens autem semetipsam deserit, quando prorsus cessat ab omni proprio motu, omninoque immobilis est, nihil habens sui proprium, neque sui compos existens, sed penitus est diuini illius arcani, quod etiam alibi interioritatem appellauit. Nihilominus etiam secundùm aliam rationem, videlicet fictionis, vt dicebamus, ex omnibus cognoscitur non solùm vt causa productionis, verùm etiam coniunctionis eorum, atque semper fini priorum sequentium principia connectens: nullum enim medium rerum creatarum vacuum, in quo non sit aliqua creatura; vniuersum enim rebus plenum est. Etiamsi aërem dixeris, tamen & ipse creatura existit: secundùm hoc etiam conspiratio in vniuerso dicitur quasi consensio. Sicut itaque in animali conspiratio est, cùm simul viua omnia membra spirant, sic & in vniuerso consensio existit.

§. 4. *Vnde Deus dicatur Verbum.* Modò dicit etiam, quomodo Deus Verbum seu ratio celebretur, non solùm vtiq; iuxta prædicta, quoniam ex effectis tamquam causa cognoscitur (ipse enim omnis rationis & sapientiæ largitor est) sed quia causas rerum omnium in se ipso habet: rationes enim omnis naturę in ipso sunt tamquam in causâ omnis creationis. ideæ namque & exemplaria non alia in alio, sed cùm æternæ rationes sint, in ipso existunt. Dicit autem ipsum Verbum, quòd etiam per omnia sine impedimento permeet, omniaque etiam vsque ad extrema peruadat,
Heb. 4, 12. vti etiam ad Hebræos ait Apostolus: *Viuus enim sermo & efficax*, & quæ sequuntur. Ac præsertim, quia supra omnem simplicitatem simplex est, & ab omni materiâ libe-

οἷόν τε ἀπὸ τούτων καταλαμβάνεσθαι παρ' ἡμῶν. Διὰ τοῦτο καὶ ἐκ πάντων ἡμῶν ὑμνεῖται κατὰ τὴν ἀναλογίαν πάντων, ἐκ τῶν ὄντων ὡς ὤν, ἐκ τῶν ζώντων ὡς ζῶν, ἐκ τῶν σοφῶν ὡς σοφία. Καὶ πάλιν ἐστὶν ἡ θειοτάτη τοῦ Θεοῦ γνῶσις, δι' ἀγνωσίας γινωσκομένη κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν καὶ συνάφειαν, καθὼς ἐπιφέρει, ὅταν, λέγων, ὁ νοῦς ἀποστὰς τῶν ὄντων, καὶ ἑαυτὸν ἀφείς, ἑνωθῇ ταῖς ὑπερφαέσιν ἀκτῖσιν, ἐλλαμπόμενος τῷ ἀνεξερευνήτῳ βάθει· ἐκεῖθεν καὶ ἐκεῖ δηλονότι οὕτως ἡ ἔλλαμψις γίνεται, ὅτε μένων ἐκεῖ, πάντα καὶ ἑαυτὸν ἀφείς, ἐκεῖθεν ἐλλάμπεται. Ἀφίησι δὲ ὁ νοῦς ἑαυτόν, ὅταν ἀργήσῃ παντελῶς τῆς οἰκείας κινήσεως, καὶ ὅλως ἀκινητίσῃ μηδὲν ἴδιον ἑαυτοῦ ἔχων, μηδὲ αὑτοῦ ὤν, ἀλλ' ὅλως τῆς θείας ἐκείνης κρυφιότητος, ἣν ἀλλαχοῦ καὶ ἐνδότητα εἶπε. Καίτοι γε κατ' ἄλλον λόγον, δηλονότι τὸν τῆς ποιήσεως, ὡς ἐλέγομεν, ἐκ πάντων γινώσκεται, μὴ μόνον ὡς αἴτιος τῆς παραγωγῆς, ἀλλὰ καὶ τῆς συναφείας αὐτῶν, καὶ ἀεὶ τὰ τέλη τῶν προτέρων ταῖς τῶν δευτέρων συνάπτων ἀρχάς· οὐδὲν γὰρ μέσον τῶν κτισμάτων κενόν, ἐν ᾧ οὐκ ἔστι τι δημιούργημα· πλῆρες γάρ ἐστιν ἅπαν τῶν ὄντων. Κἂν τὸν ἀέρα εἴποις, καὶ αὐτὸς δημιούργημά ἐστι· κατὰ τοῦτο καὶ σύμπνοια ἐπὶ τοῦ παντὸς λέγεται, οἱονεὶ συμπάθεια. Ὡς γοῦν ἐπὶ τοῦ ζώου ἡ σύμπνοιά ἐστιν, ὁμοῦ πνεόντων τῶν ζώντων ἁπάντων μελῶν, οὕτως ἐπὶ παντὸς συμπάθεια.

Ἤδη λέγει καὶ πῶς Λόγος ὑμνεῖται ὁ Θεός, οὐ μόνον τοίνυν κατὰ τὰ προειρημένα, ὅτι ἐκ τῶν αἰτιατῶν ὡς αἴτιος γινώσκεται (αὐτὸς γάρ ἐστιν ὁ χορηγὸς παντὸς λόγου καὶ πάσης σοφίας) ἀλλ' ὅτι καὶ τὰς τῶν ὄντων ἁπάντων αἰτίας ἐν ἑαυτῷ ἔχει· οἱ γὰρ φύσεως ἁπάσης λόγοι ἐν αὐτῷ εἰσιν ὡς αἰτίῳ πάσης δημιουργίας· αἵ τε γὰρ ἰδέαι καὶ τὰ παραδείγματα οὐχ ἕτερα ὄντα ἐν ἑτέρῳ, ἀλλὰ νοήσεις ἀΐδιαι οὖσαι, ἐν αὐτῷ εἰσι. Λέγει δὲ αὐτὸν Λόγον, καὶ ὡς διὰ πάντων χωροῦντα ἀκωλύτως, καὶ πάντα διϊόντα μέχρι καὶ τῶν ἐσχάτων, ὡς καὶ ἐν τῇ πρὸς Ἑβραίους φησὶν ὁ Ἀπόστολος· Ζῶν γὰρ ὁ λόγος καὶ ἐνεργής, καὶ τὰ ἑξῆς· Καὶ περὶ τούτων, ὅτι πάσης ἁπλότητος ὑπερήπλωται, καὶ πάσης

ὕλης

ὕλης ἀπολέλυται, ἐκ τοῦ παρ' ἡμῖν λόγου λαμβανομένων τὴν ἔννοιαν· ἀλλ' ὅτι μὲν ὁ παρ' ἡμῖν λόγος, ὅτε μὴ γράφεται πάσης ὕλης ἀπολελυμένος ἐστὶ, δῆλον. Πῶς δὲ καὶ ἁπλῶς, καίτοι γε εἴποι τις, ὅτι ἐκ στοιχείων καὶ συλλαβῶν σύγκειται· Ἀλλ' οὐ λέγομεν τὸν προφορικὸν, ἀλλὰ τὸν ἐνδιάθετον, καθ' ὃν καὶ λογικοὶ λεγόμεθα. Οὗτος ὁ Θεὸς Λόγος, ἡ αὐτὴ καὶ τῷ ὄντι οὖσα ἀλήθεια, εἰκότως ἐστὶ καὶ ἀπλανὴς τῶν ὅλων γνῶσις. Τί δὲ ἐστὶ γνῶσις, εὐθὺς ἐπισυνάπτει, διδάσκων, Ἡ θεία πίστις, ἡ μόνιμος τῶν πεπιστευμένων ἵδρυσις, ἡ ἐνιδρύουσα τοὺς πιστεύοντας τῇ ἀληθείᾳ, καὶ τὴν ἀλήθειαν τοῖς πιστεύουσιν, ὡς γίνεσθαι ταὐτοὺς τήν τε τῆς ἀληθείας πίστιν καὶ τοὺς πιστεύοντας· ὥσπερ γὰρ ὁ ἐν τῷ πυρὶ σίδηρος ταὐτὸς τῷ πυρὶ γίνεται, καὶ ἐνεργεῖ ὅσα τὸ πῦρ· Διὰ τοῦτο λέγεται καὶ τὴν πίστιν ἐνεργεῖν, καὶ τοὺς πιστεύοντας· οἱ γὰρ πεπιστευμένοι, ἁπλῆν τινα γνῶσιν ἔχουσι, καὶ οὐ διῃρημένην τε καὶ ἀμφίβολον, ὅτι ἡ γνῶσις, τά τε γινώσκοντα καὶ τὰ ἐγνωσμένα ἑνοῖ, ἡ δὲ ἄγνοια διαιρέσεως αἰτία τῷ ἀγνοοῦντι γίνεται· ὁ γὰρ ἀγνοῶν ἔχει τὸ τῆς γνώμης ἀνίδρυτον καὶ εἰς πολλὰ μεριζόμενον. Τὸν γοῦν ἐν ἀληθείᾳ πιστεύοντα, οὐδὲν ἀποκινήσει τῆς κατὰ τὴν πίστιν ἑστίας τε καὶ ἱδρύσεως. Ὁ μὲν οὖν, κατὰ τὸν Ἀπόστολον, ἐν τῷ σκότῳ τῆς ἀγνοίας ὢν, ὑπὸ τῆς πλάνης ταύτης σαλευόμενος, περιφέρεται παντὶ ἀνέμῳ τῆς τῶν ἀνθρώπων κυβείας, ὥσπερ οἱ ἐν πελάγει κλυδωνιζόμενοι, καὶ νομίζει μᾶλλον τοὺς Γνωστικοὺς μαίνεσθαι, ὡς καὶ ὁ Φῆστός φησι τῷ Παύλῳ κηρύττοντι τὴν ἀλήθειαν, Μαίνῃ Παῦλε. Ὁ δὲ γνωστικὸς καὶ τῷ ὄντι Χριστιανὸς, ἅτε τῇ ἀληθείᾳ γνοὺς τὸν Χριστὸν, καὶ δι' αὐτοῦ τὴν θεογνωσίαν κτησάμενος, τὴν ἑνιαίαν λέγω τῆς ἀληθείας γνῶσιν. Ἑνιαίαν γὰρ τὴν καθ' ἡμᾶς πίστιν ὠνόμασεν, ὡς ἁπλῆν τε καὶ ἀπλανῆ τὴν τοῦ ὄντως ἀληθοῦς κηρύγματος ἔχουσαν γνῶσιν. Ἐξέστηκε μὲν τῷ κόσμῳ, μὴ ὢν ἐν τῇ κοσμικῇ τῶν ἀπίστων γνώμῃ τε καὶ πλάνῃ, ἑαυτὸν δὲ γινώσκει νήφοντα, καὶ ἀπηλλαγμένον τῆς πολυπλανοῦς ἀπιστίας· διὸ καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκουσιν ὑπὲρ τῆς ἀληθείας, οὐ μόνον καὶ μέχρι θανάτου κινδυνεύοντες ἑκάστοτε διὰ τὴν ἀλήθειαν, ἀλλὰ καὶ τῇ ἀγνωσίᾳ τελευτῶντες πάντοτε, τῇ δὲ γνώσει ζῶντες, καὶ Χριστιανοὶ μαρτυρούμενοι.

rum, sumptâ similitudine ex verbo nostrarum cogitationum; quoniam verbum quoque nostrum quando non scribitur, ab omni materiâ liberum esse constat. Quomodo verò etiam simplex, vtique dicet aliquis, cùm ex elementis & syllabis constet? Verùm non dicimus verbum quod profertur, sed verbum internum, secundùm quod etiam rationales dicimur. Hic Deus Verbum cùm sit ipsa quoque veritas, meritò etiam est infallibilis omnium cognitio. Quid sit autem cognitio, statim subiungit dicens, Diuina fides, quæ est constans fidelium firmamentum, fundans illos in veritate, atque in ipsis veritatem, ita vt fides veritatis quid vnum fiat cum credentibus: non secùs ac in igne ferrum quid vnum fit cum eo, eademque operatur quæ ignis. Idcircò tam fides quàm credentes operari dicitur: siquidem credentes simplicem quamdam cognitionem habent minimè diuisam, minimeque dubiam; quoniam cognitio res cognitas cum cognoscentibus vnit, ignoratio verò ignoranti existit causa diuisionis; siquidem ignorans mentem habet inconstantem, & in multa diuisam. Eum itaque qui credit in veritate, nihil à fidei domicilio ac fundamento dimouebit. Qui itaque, iuxta Apostolum, in tenebris ignorantiæ existit errore ipso fluctuans, circumfertur omni vento nequitiæ hominum, sicut illi qui in mari tempestate agitantur, & existimant Gnosticos insanire; sicut etiam Festus Paulo veritatem prædicanti aiebat: *Insanis Paule.* Christianus autem verè gnosticus, vtpote verè Christum cognoscens, & per ipsum Dei cognitionẽ, vnam, inquam, veritatis cognitionem possidens. Vnam autem vocauit fidem nostram, vtpote simplicem & infallibilẽ veræ prædicationis cognitionem habentem. Est quidem extra mundum posita, cùm minimè versetur in mundanâ infidelium scientiâ & errore, seipsum autem cognoscit sobrium, & à multiuagâ infidelitate liberatum; ideoque quotidie pro veritate moriuntur, non tantùm vsque ad mortem, in dies propter veritatem periclitantes, sed etiam semper ignorantiæ morientes, cognitioni verò viuentes, & Christiani comprobati.

PARAPHRASIS PACHYMERÆ.

Ephes. 4,14

Act. 26,24.

TEXTVS S. DIONYSII.

CAPVT VIII.

De potentiâ, iustitiâ, salute, redemptione; vbi etiam de inæqualitate.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ δυνάμεως, δικαιοσύνης, σωτηρίας, ἀπολυτρώσεως, ἐν ᾧ καὶ περὶ ἀνισότητος.

SYNOPSIS CAPITIS.

1. Petit, quomodo Deus, qui est supra omnem virtutem ac potestatē, etiam virtus seu potestas appelletur. 2. Dicit, Deum virtutem seu potestatem nuncupari, ex eo quòd omnipotens sit, & omnis virtutis ac potestatis auctor. 3. Ostendit, quomodo diuina omnipotentia cuncta peruadat. 4. Hanc Angelis omnem vim ac potestatem, quâ pollent, impertiri. 5. Similiter homines, animalia, ceteraq; omnia corroborare & in statu suo conseruare. 6. Demonstrat, summæ esse potentiæ, quòd Deus semetipsum negare non possit. 7. Tradit, vnde Deus etiam iustitia appelletur, eiusq; munus expleat. 8. Cur Deus relinquat in hoc mundo Sanctos affligi. 9. Vnde Deus etiam salus nuncupetur ac redemptio.

§. 1. Quomodo Deus, qui supra omnem potentiam est, potentia vocetur.

SED cùm diuinam veritatem ac supraquam sapientem sapientiam, vt potentiam quoque & iustitiam Theologi collaudēt, nec non ipsam quoque salutem ac redemptionem vocent; agedum etiam hæc Dei nomina, quoad possumus, enucleemus. Quòd Deus quidem, deificationis princeps, supra omnem potentiam feratur, & omnē potentiam, quomodocumque est & excogitatur, exsuperet, non puto vllum ex iis qui in Scripturis diuinis alti sunt & educati, ignorare: multis enim in locis Scriptura & dominationem ipsam esse tradit, & ab ipsis supracælestibus potentiis separat. Quomodo igitur Theologi tamquam potentiam laudant, quæ extra omnem potentiam posita est? aut quomodo in eâ nomen potentiæ accipiemus?

2.Pet.2. Psal.23.

ΑΛΛ' ἐπειδὴ τὴν θείαν ἀληθότητα καὶ ὑπέρσοφον σοφίαν, καὶ ὡς δύναμιν ὑμνοῦσι καὶ ὡς δικαιοσύνην οἱ Θεολόγοι, καὶ σωτηρίαν αὐτὴν ἀποκαλοῦσι καὶ ἀπολύτρωσιν, φέρε καὶ ταύτας, ὡς ἐφικτὸν ἡμῖν, τὰς θεωνυμίας ἀναπτύξωμεν. Καὶ ὅτι μὲν ἡ θεαρχία πάσης ἐξήρηται, καὶ ὑπερέχει τῆς ὅπως ποτὲ καὶ οὔσης καὶ ἐπινοουμένης δυνάμεως, οὐκ οἶμαί τινα τῶν ἐν τοῖς θείοις Λογίοις ἐντεθραμμένων ἀγνοεῖν· πολλαχοῦ γὰρ ἡ θεολογία καὶ τὴν κυρείαν αὐτῇ, καὶ αὐτῶν τῶν ὑπερουρανίων δυνάμεων ἀφορίζουσα παραδέδοται. Πῶς οὖν αὐτὴν οἱ Θεολόγοι καὶ ὡς δύναμιν ὑμνοῦσι, τὴν πάσης ἐξῃρημένην δυνάμεως; ἢ πῶς ἐπ' αὐτῇ τὴν δυναμωνυμίαν ἐκλάβοιμεν;

Λέγομεν τοίνυν, ὅτι δύναμίς ἐστιν ὁ Θεὸς, ὡς πᾶσαν δύναμιν ἐν ἑαυτῷ προέχων καὶ ὑπερέχων, καὶ ὡς πάσης δυνάμεως αἴτιος, καὶ πάντα κατὰ δύναμιν ἄκλιτον καὶ ἀπειρόριστον παράγων, καὶ ὡς αὐτοῦ τοῦ εἶναι δύναμιν, ἢ τὴν ὅλην ἢ τὴν καθ᾽ ἕκαστον αἴτιος ὢν, καὶ ὡς ἀπειροδύναμος, οὐ μόνον τῷ πᾶσαν δύναμιν παράγειν, ἀλλὰ καὶ τῷ ὑπὲρ πᾶσαν καὶ τὴν αὐτοδύναμιν εἶναι, καὶ τῷ ὑπερδυνάστως καὶ ἀπειράκις ἀπείρους τῶν οὐσῶν δυνάμεων ἑτέρας παραγαγεῖν· καὶ τῷ μὴ ἄν ποτε δυνηθῆναι τὰς ἀπείρους καὶ ἐπ᾽ ἄπειρον παραγομένας δυνάμεις, τὴν ὑπεράπειρον αὐτοῦ τῆς δυναμοποιοῦ δυνάμεως ἀμβλῦναι ποίησιν· καὶ τῷ ἀφθέγκτῳ καὶ ἀγνώστῳ καὶ ἀνεπινοήτῳ τῆς πάντα ὑπερεχούσης αὐτοῦ δυνάμεως, ἣ διὰ περιουσίαν τοῦ δυνατοῦ, καὶ τὴν ἀσθένειαν δυναμοῖ, καὶ τὰ ἔσχατα τῶν ἀπηχημάτων αὐτῆς συνέχει καὶ διακρατεῖ, καθάπερ καὶ ἐπὶ τῶν κατ᾽ αἴσθησιν δυνατῶν ὁρῶμεν, ὅτι τὰ ὑπέρλαμπρα φῶτα, καὶ μέχρι τῶν ἀμβλειῶν ὁράσεων φθάνει· καὶ τοὺς μεγάλους φασὶ τῶν ψόφων, καὶ εἰς τὰς μὴ λίαν εὐκόλως τῶν ἤχων ἀντιλαμβανομένας ἀκοὰς εἰσδύεσθαι. Τὸ γὰρ πάντη ἀνήκοον, οὐδὲ ἀκοή· καὶ τὸ καθόλου μὴ βλέπον, οὐδὲ ὅρασις.

Αὕτη δ᾽ οὖν ἡ ἀπειροδύναμος τοῦ Θεοῦ διάδοσις εἰς πάντα τὰ ὄντα χωρεῖ, καὶ οὐδέν ἐστι τῶν ὄντων ὃ παντελῶς ἀφῄρηται τὸ ἔχειν τινὰ δύναμιν· ἀλλ᾽ ἢ νοερὰν, ἢ λογι-

TEXTVS S. DIONYSII. §. 2. Deum dici potentiam, tamquam eius auctorem & omnipotentem.

Dicimus igitur, Deum esse potentiam, vt qui præhabet in se & suprà quàm habet omnem potentiam; & vt omnis potentiæ auctor, & vt omnia inflexibili & incircumscriptâ potentiâ producens, & vt auctor ipsius esse potentiæ, tam vniuersalis quàm cuiusque particularis; & vt infinitipotens, non solùm omnem potentiam producendo, sed etiam supra omnem potentiam, & supra ipsam per se potentiam existendo; & quòd desuper possit innumerabiliter infinitas alias potentias producere; & quòd infinitæ infinito numero productæ potentiæ numquam queant supraquam infinitam potentiæ eius potentificæ effectionem hebetare; quodque ineffabilis & incognoscibilis & inexcogitabilis sit omnia transscendens eius potentia, quæ exuberantiâ potestatis potentem reddit infirmitatem; cuius extremos quoque terminos continet penetratque, sicut in iis quæ sensum valdè feriunt videmus, prælucida lumina hebetes quoque videndi facultates perstringere; & ingentes aiunt strepitus audiendi quoque sensus, sono capiendo parum idoneos, penetrare. Quod enim penitus non audit, iam non est auditus; neque visus, quod non cernit omnino.

§. 3. Omnipotentia Dei cuncta peruadit.

Hæc igitur potentia Dei infiniti-potens in omnia quæ sunt meat & progreditur, nihilque eorum quæ sunt sic omnino nudatum est, quin aliquam potestatem habeat; quin potiùs potesta-

tem

TEXTVS S. DIONYSII.

tem habet vel intelligentem vel ratiocinantem, vel sentientem vel viuentem, vel propriam substantiæ: & ipsum esse, si fas est dicere, potentiam, habet vt sit ab ipsâ supraessentiali potentiâ.

§. 4. *Ex ipsâ sunt virtutes Angelorum.*

Ex ipsâ sunt deiformes Angelicorum ordinum potentiæ; ex ipsâ quoque habent statum immutabilem, nec non omnes suas spiritales & immortales ac perpetuas motiones, ipsamque constantiam boníque appetitum, qui minui non possit, ab immensæ bonitatis potentiâ receperunt, cuius munere habent, vt & possint & sint hæc ipsa, semperque esse desiderent, & id ipsum posse desiderare semper possint.

§. 5. *Ex ipsâ homines & animalia vim suam habent.*

Porrò indeficientis istius potentiæ munera in homines quoque dimanant, & in animalia & plantas, totamque naturam vniuersi: corroborat enim illa, quæ vnita sunt, ad mutuam amicitiam ac communionem, & quæ distincta sunt, vt secundùm suam quæque rationem ac definitionem impermixta quoque & inconfusa consistant; nec non vniuersi huius ordines ac directiones in bono proprio conseruat, atque immortales Angelicarum vnitatum vitas inuiolabiles, & cælestium luminum siderumque substantias atque ordines seruat immutabiles, sæculaque vt esse possent indulget; temporum quoque circumuolutiones progressibus quidem distinguit, reditibus verò colligit; & ignis vires inextinctas facit, nec non aquæ fluenta perennia; aëriam quoque fusionem

Hæc cuncta subsistunt & conseruantur.

κὴν, ἢ αἰσθητικὴν, ἢ ζωτικὴν, ἢ οὐσιώδη δύναμιν ἔχει· καὶ αὐτὸ δὲ, εἰ θέμις εἰπεῖν, τὸ εἶναι δύναμιν, εἰς τὸ εἶναι ἔχει παρὰ τῆς ὑπερουσίου δυνάμεως.

Ἐξ αὐτῆς εἰσιν αἱ θεοειδεῖς τῶν ἀγγελικῶν διακόσμων δυνάμεις· ἐξ αὐτῆς καὶ τὸ εἶναι ἀμεταπτώτως ἔχουσι, καὶ πάσας αὐτῶν τὰς νοερὰς καὶ ἀθανάτους ἀεικινησίας, καὶ τὸ ἀρρεπὲς αὐτὸ, καὶ τὴν ἀνελάττωτον ἔφεσιν τοῦ ἀγαθοῦ, πρὸς τῆς ἀπειραγάθου δυνάμεως εἰλήφασιν, αὐτῆς ἐφιείσης αὐτοῖς τὸ δύνασθαι καὶ τὸ εἶναι ταῦτα, καὶ ἐφίεσθαι ἀεὶ εἶναι, καὶ αὐτὸ τὸ δύνασθαι ἐφίεσθαι τοῦ ἀεὶ δύνασθαι.

Πρόεισι δὲ τὰ τῆς ἀνεκλείπτου δυνάμεως καὶ εἰς ἀνθρώπους, καὶ ζῶα, καὶ φυτὰ, καὶ τὴν ὅλην τοῦ παντὸς φύσιν· καὶ δυναμοῖ τὰ ἡνωμένα, πρὸς τὴν ἀλλήλων φιλίαν καὶ κοινωνίαν, καὶ τὰ διακεκριμένα, πρὸς τὸ εἶναι κατὰ τὸν οἰκεῖον ἕκαστα λόγον καὶ ὅρον ἀσύγχυτα καὶ ἀσύμφυρτα· καὶ τὰς τοῦ παντὸς τάξεις καὶ εὐθυμοσύνας εἰς τὸ οἰκεῖον ἀγαθὸν διασώζει, καὶ τὰς ἀθανάτους τῶν ἀγγελικῶν ἑνάδων ζωὰς ἀλωβήτους διαφυλάττει, καὶ τὰς οὐρανίας, καὶ φωστηρικὰς καὶ ἀστρώας οὐσίας, καὶ τάξεις ἀναλλοιώτους, καὶ τὸν αἰῶνα δύνασθαι εἶναι ποιεῖ· καὶ τὰς τοῦ χρόνου περιελίξεις διακρίνει μὲν ταῖς προόδοις, συνάγει δὲ ταῖς ἀποκαταστάσεσι· καὶ τὰς τοῦ πυρὸς δυνάμεις ἀσβέστους ποιεῖ, καὶ τὰς τοῦ ὕδατος ἀπορροὰς ἀνεκλείπτους, καὶ τὴν ἀέ-

ρίαν

TEXTVS S. DIONYSII.

εἰδῶ χύσιν ὁρίζει, καὶ τὴν γῆν ἐπ᾽ οὐδενὸς ἱδρύει, καὶ τὰς ζωογόνους αὐτῆς ὠδῖνας ἀδιαφθόρους φυλάττει· καὶ τὴν ἐν ἀλλήλοις τῶν στοιχείων ἁρμονίαν καὶ κρᾶσιν, ἀσύγχυτον καὶ ἀδιαίρετον ἀποσώζει, καὶ τὴν ψυχῆς καὶ σώματος σύνδεσιν συνέχει, καὶ τὰς τῶν φυτῶν θρεπτικὰς καὶ αὐξητικὰς δυνάμεις ἀνακινεῖ· καὶ διακρατεῖ τὰς οὐσιώδεις τῶν ὅλων δυνάμεις, καὶ τὴν τοῦ παντὸς ἀδιάλυτον μονὴν ἀσφαλίζεται, καὶ τὴν θέωσιν αὐτὴν δωρεῖται, δύναμιν εἰς τοῦτο τοῖς ἐκθεουμένοις παρέχουσα· καὶ ὅλως οὐδέν ἐστι καθόλου τῶν ὄντων, τὴν παγκρατητικὴν ἀσφάλειαν καὶ περιοχὴν τῆς θείας δυνάμεως ἀφῃρημένον. Τὸ γὰρ καθόλου μηδεμίαν δύναμιν ἔχον, οὔτε ἐστὶν, οὔτε τί ἐστιν, οὔτε ἐστί τις αὐτοῦ παντελῶς θέσις.

Καίτοι φησὶν Ἐλύμας ὁ μάγος, Εἰ παντοδύναμός ἐστιν ὁ Θεὸς, πῶς λέγεταί τι μὴ δύνασθαι πρὸς τοῦ καθ᾽ ὑμᾶς Θεολόγου; Λοιδορεῖται δὲ τῷ θείῳ Παύλῳ φήσαντι, μὴ δύνασθαι τὸν Θεὸν ἑαυτὸν ἀρνήσασθαι. Προθεὶς δὲ τοῦτο, λίαν ὀρρωδῶ μὴ καὶ ἀνοίας ὀφλήσω, γέλωτα παίδων ἀθυρόντων οἰκοδομήματα, καὶ ἐπὶ ψάμμου καὶ ἀσθενῆ καταλύειν ἐπιχειρῶν· καὶ ὥσπερ τινὸς ἀνεφίκτου σκοποῦ καταστοχάζεσθαι σπεύδων τῆς περὶ τούτου θεολογικῆς διανοίας· ἡ γὰρ ἑαυτοῦ ἄρνησις, ἔκπτωσις ἀληθείας ἐστίν· ἡ δὲ ἀλήθεια, ὄν ἐστι, καὶ ἡ τῆς ἀληθείας ἔκπτωσις, τοῦ ὄντος ἔκπτωσις. Εἰ τοίνυν ἡ ἀλήθεια ὄν ἐστιν, ἡ δὲ ἄρνησις τῆς

terminat, atque terram ſupra nihilum firmat, eiuſque viuificos partus incorruptibiles cuſtodit: quin & elementorum inter ſe cõgruentiam atque temperiem inconfuſam & indiuiſam ſeruat, atque animæ & corporis nexum continet, ſtirpiumque altrices auctriceſque vires ſuſcitat; nec non eſſentiales rerum omnium facultates & indiſſolubilem totius vniuerſi tuetur manſionem, quin & ipſam quoque deificationem præſtat; & virtutes ad eam requiſitas iis qui deificandi ſunt præbet. denique nihil eſt in vniuerſum, quod omnipotentis tutelâ & conſeruatione diuinæ potentiæ priuatum ſit. Quòd enim vniuersè nullam habet poteſtatem nec eſt, nec quidquam eſt, nec eſt funditus vllus eius ſitus.

§.6. *Quomodo Deus ſeipſum negare non poteſt.*

Atqui inquit Elymas magus, Si omnipotens eſt Deus, quomodo à Theologo veſtro aliquid non poſſe dicitur? Inſimulat autem diuinum Paulum, dicentem, non poſſe Deum ſemetipſum negare. Hoc autem dum propono, vehementer metuo, ne vt amens videar, qui ludentium puerorum ſtructuras arenaceas & infirmas euertere moliar, atque ad huius loci ſcopum, tamquam qui attingi nequeat, quaſi collimando cõnitar ſenſum eius Theologicum attingere: ſiquidem ſuiipſius negatio, eſt à veritate prolapſio; veritas autem eſt id quod eſt; & à veritate defectio, eſt ab eſſendi ſtatu dimotio. Si itaque veritas eſt id quod eſt, negatio autem veritatis,

2. Tim. 2, 13.

TEXTVS S. DIONYSII.

ritatis, est ab essendi statu prolapsio, vtique essendi statu frustrari Deus nequit, neque potest non esse; ac si quis dicat, non potest non posse, & nescire nescit per priuationem. Hoc sapiens ille non intelligens, athletas imperitos imitatur, qui sæpenumerò imbecilles sibi aduersarios proponunt, & dum vidētur sibi cum absentibus illis fortiter in vmbrâ dimicare, aëremque cassis ictibus constanter feriunt, existimant se ipsos aduersarios suos superasse, seseque iam victores iactitant, cùm robur eorum nondum habeant exploratum. Nos autem ad Theologum, quoad possumus, collimando, collaudamus Deum præpotentem vt omnipotentem, vt beatum, solumque potentem, vtpote qui potestatis suæ principatu ipsimet æternitati dominetur, nullâque vmquam re frustratus; quin imò, vt qui desuper habeat & præhabeat omnia quæ secundùm potentiam suam supraessentialem existunt, omnibusque rebus, tam vt esse possint quàm vt sint, secundùm affluentiam superabundantis potestatis copiosâ fusione largiatur.

§.7. *Deus vnde dicatur Iustitia.*

A iustitiâ autem rursus laudatur Deus, quòd omnibus, vt dignum est, tribuat & congruentem modum, & pulchritudinem, & compositionem ordinis & dispositionem; & omnibus dispertiat, & singulis ordines præstituat, secundùm veram & iustissimam præscriptionem; & omnibus suæ cuiusque actionis auctor sit. Omnia enim diuina Iustitia

ἀληθείας, τοῦ ὄντος ἔκπτωσις, ἐκ τοῦ ὄντος ἐκπεσεῖν ὁ Θεὸς οὐ δύναται, καὶ τὸ μὴ εἶναι οὐκ ἔστιν· ὡς ἄν τις φαίη, τὸ μὴ δύνασθαι οὐ δύναται, καὶ τὸ μὴ εἰδέναι κατὰ στέρησιν οὐκ οἶδεν. Ὅπερ ὁ σοφὸς οὐκ ἐννοήσας, μιμεῖται τοὺς τῶν ἀθλητῶν ἀπειρονίκας, οἳ πολλάκις ἀσθενεῖς εἶναι τοὺς ἀνταγωνιστὰς ὑποθέμενοι, κατὰ τὸ δοκεῖν ἑαυτοῖς, καὶ πρὸς ἀπόντας αὐτοὺς ἀνδρείως σκιαμαχοῦντες, καὶ τὸν ἀέρα διακένοις πληγαῖς εὐθαρσῶς καταπαίοντες, οἴονται τῶν ἀντιπάλων αὐτῶν κεκρατηκέναι, καὶ ἀνακηρύττουσιν ἑαυτοὺς, οὔτε εἰδότες τὴν ἐκείνων δύναμιν. Ἡμεῖς δὲ τοῦ Θεολόγου κατὰ τὸ ἐφικτὸν στοχαζόμενοι, τὸν ὑπερδύναμον Θεὸν ὑμνοῦμεν, ὡς παντοδύναμον, ὡς μακάριον, καὶ μόνον δυνάστην, ὡς δεσπόζοντα ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, ὡς κατ' οὐδὲν τῶν ὄντων ἐκπεπτωκότα· μᾶλλον δὲ καὶ ὑπερέχοντα, καὶ προέχοντα πάντα τὰ ὄντα κατὰ δύναμιν ὑπερούσιον, καὶ πᾶσι τοῖς οὖσι τὸ δύνασθαι εἶναι, καὶ τόδε εἶναι κατὰ περιουσίαν ὑπερβαλλούσης δυνάμεως, ἀφθόνῳ χύσει δεδωρημένον.

Δικαιοσύνη δὲ αὖθις ὁ Θεὸς, ὡς πᾶσι τὰ κατ' ἀξίαν ἀπονέμων ὑμνεῖται καὶ εὐμετρίαν, καὶ κάλλος, καὶ εὐταξίαν, καὶ διακόσμησιν, καὶ πάσας διανομὰς καὶ τάξεις ἀφορίζων ἑκάστῳ κατὰ τὴν ὄντως ὄντα δικαιοτάτην ὅρον, καὶ πᾶσι τῆς αὐτῶν ἑκάστων αὐτοπραγίας αἴτιος ὤν. Πάντα γὰρ ἡ θεία δικαιοσύνη

τάττει,

TEXTVS S. DIONYSII.

τάττει, καὶ ὀρθετεῖ, καὶ πάντα ἀπὸ πάντων ἀμιγῆ καὶ ἀσύμφυρτα διασῴζουσα, τὰ ἑκάστῳ προσήκοντα πᾶσι τοῖς οὖσι δωρεῖται κατὰ τὴν ἑκάστῳ τῶν ὄντων ἐπιβάλλουσαν ἀξίαν. Καὶ εἰ ταῦτα ὀρθῶς φαμὲν, ὅσοι τῇ θείᾳ διαλοιδοροῦνται δικαιοσύνῃ, λανθάνουσιν ἑαυτῶν ἀδικίαν ἐναργῆ καταψηφιζόμενοι· φασὶ γὰρ ὀφείλειν ἐνεῖναι τοῖς θνητοῖς τὴν ἀθανασίαν, καὶ τοῖς ἀτελέσι τὸ τέλεον, καὶ τοῖς αὐτοκινήτοις τὴν ἑτεροκίνητον ἀνάγκην, καὶ τοῖς ἀλλοιωτοῖς τὴν ταυτότητα, καὶ τὰ τελεοδύναμα τοῖς ἀσθενέσι, καὶ ἀΐδια εἶναι τὰ ἔγχρονα, καὶ ἀμετάβολα τὰ φύσει κινούμενα, καὶ τὰς ἐπικαίρους ἡδονὰς αἰωνίας, καὶ ὅλως τὰ ἀλλήλων ἄλλοις ἀποδιδόασι. Δέον εἰδέναι, τὴν θείαν δικαιοσύνην ἐν τούτῳ ὄντως εἶναι ἀληθῆ δικαιοσύνην, ὅτι πᾶσιν ἀπονέμει τὰ οἰκεῖα κατὰ τὴν ἑκάστου τῶν ὄντων ἀξίαν, καὶ τὴν ἑκάστου φύσιν ἐπὶ τῆς οἰκείας διασῴζει τάξεως καὶ δυνάμεως.

Ἀλλ' εἴποι ἄν τις, Οὐκ ἔστι δικαιοσύνης, ἄνδρας ὁσίους ἐᾶν ἀβοηθήτους, ὑπὸ τῶν φαύλων ἐκτρυχομένους. Πρὸς ὃν ῥητέον, ὡς εἰ μὲν ἀγαπῶσιν, οὓς φῂς ὁσίους, τὰ ἐπὶ γῆς, ὑπὸ τῶν προσύλων ζηλούμενα, τοῦ θείου πάντως ἐκπεπτώκασιν ἔρωτος. Καὶ οὐκ οἶδ' ὅπως ὅσιοι κληθεῖεν ἄν, ἀδικοῦντες τὰ ὄντως ἐραστὰ καὶ θεῖα, τοῖς ἀζηλώτοις καὶ ἀνεράστοις ὑπ'

Iustitia ordinat, & determinat, omniaque ab omnium mixtione & confusione libera seruans, cuique conuenientia rebus omnibus tribuit, prout cuiusque congruit dignitati. Etenim si hæc rectè dicimus, ij qui diuinam Iustitiam cauillantur, dum minimè aduertunt, suam ipsi iniustitiam manifestò damnant: aiunt enim, mortalibus debere inesse immortalitatem, & rebus imperfectis perfectionem, iisque quæ seipsis mouentur aliunde motam necessitatem, ac mutabilibus idemtitatem, & imbecillibus perficiendi potestatem, item ea quæ temporanea sunt esse perpetua, & immutabilia quæ à naturâ mouentur, & temporaneas voluptates æternùm perdurare, atque vniuersè illa quæ aliorum aliis attribuunt. Sed sciendum est, diuinam Iustitiam hoc ipso reuerà veram esse iustitiam, quòd omnibus quæ sua sunt tribuat pro merito singulorum, atque naturam cuiusque in ordine proprio potentiaque custodiat.

§. 8. *Cur Deus relinquat sanctos affligi.*

At dixerit aliquis, Non est Iustitiæ, permittere viros sanctos auxilio destitutos à pessimis quibusque conculcari. Cui respondendum, quòd si quidem illi, quos appellat sanctos, terrena diligunt quæ ab amatoribus rerum materialium ambiuntur, vel hoc ipso iam à diuino amore penitus exciderunt. Neque sanè intelligo, quanam ratione sancti dici possint, qui res verè amandas & diuinas contumeliis afficiunt, dum eas rebus fugien-

TEXTVS S. DIONYSII.

Πῶς οὖν τὴν πάσης ἐξῃρημένην δυνάμεως δύναμιν ὀνομάσομεν; Λέγομεν, ὅτι δύναμις λέγεται ὁ Θεὸς, καὶ ὡς προέχων καὶ περιέχων ἅπασαν δύναμιν, καὶ ὡς αἴτιος πάσης δυνάμεως, καὶ ὡς παράγων πάντα ἐστὶ κατὰ δύναμιν ἄκλιτον· οὐ γὰρ κλινόμενος εἰς δύναμιν δημιουργεῖ, ἀλλ' ἀκίνητος καὶ ἄκαμπτος ὑπάρχων ἐπὶ τῆς ἰδίας ἰσχύος παράγει· οὐ γὰρ κλίνεται ὡς δυνάμενος ἔν τινι. Ἢ ἄκλιτον ἔφη, τουτέστι τῆς οἰκείας ἀκρότητος μὴ ὑποκατιοῦσαν, καὶ ὡς αὐτοῦ τοῦ εἶναι δύναμιν αἴτιός ἐστι, καὶ ὅτι ἀπειροδύναμος, μὴ μόνον ἐν τῷ παράγειν πᾶσαν δύναμιν, ἀλλὰ καὶ τῷ ὑπὲρ πᾶσαν εἶναι καὶ αὐτὴν τὴν αὐτοδύναμιν, τὸν παραδειγματικόν φημι τῆς δυνάμεως λόγον· καὶ ἐν τῷ ὑπερδύνασθαι ἀπειράκις ἀπείρους δυνάμεις παράγειν· καί ποτε μὴ ἀπαμβλυνθῆναι πρὸς τὴν τῶν ἀπείρων δυνάμεων ποίησιν, καὶ ὅτι ἄφθεγκτον καὶ ἀνεπινόητον τὸ ὑπερέχον τῆς αὐτοῦ δυνάμεως. Ὅπερ πῶς ἂν ἦν ἄφθεγκτον, εἴπερ μὴ εἶχεν ἰσχὺν εἰς τὸ μὴ κατανοεῖσθαι παρά τινος, ἢ διὰ περιουσίαν τοῦ δυνατοῦ, καὶ τὴν ἀσθένειαν δυναμοῖ; Ἀσθένειαν δὲ καλεῖ, τὰ ὑλικὰ ταῦτα καὶ περίγεια σώματα, ἅ τινα καὶ ἔσχατα ἀπηχήματά φησι, διὰ τὸ ἀμυδρῶς καὶ κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα μετέχειν τῆς δυνάμεως τοῦ

Θεοῦ,

Θεοῦ, ὡς ἔχει ἐπὶ τῶν ἐμπίδων, καὶ μυιῶν, καὶ τῶν ἄλλων ὅσα ἐν τοῖς οἰκείοις κέντροις ἰσχύουσιν. Ὅθεν καὶ τῷ Ἰωὴλ φησὶν ὁ Θεὸς περὶ τῆς ἀκρίδος, καὶ τοῦ βρούχου, καὶ τῆς κάμπης, Ἡ δύναμίς μου ἡ μεγάλη. Ὅτι δὲ καὶ ἐπὶ τούτοις τοῖς ἀσθενέσιν ἡ δύναμις τοῦ Θεοῦ φθάνει, ἴδε τὰ κατ' αἴσθησιν δυνατὰ, τό, τε ὁρατὸν φῶς, καὶ τοὺς ἀκουστοὺς ψόφους· τὰ γὰρ λαμπρὰ τῶν φώτων μέχρι καὶ τῶν ἀσθενῶν ὀφθαλμῶν φθάνει, καὶ οἱ μεγάλοι ψόφοι μέχρι καὶ τῶν ἀσθενῶν ἀκοῶν εἰσδύονται. Οὔτε γὰρ τὸ φῶς ἐν τῷ λίθῳ λέγεται φθάνειν, οὔτε ὁ ψόφος εἰσδύεσθαι· ἀλλ' ἐν τοῖς πεφυκόσιν ὁρᾷν ἢ ἀκούειν, κἂν ἀσθενῶς ἔχωσι.

Κατὰ τοῦτον τὸν λόγον εἰς πάντα τὰ ὄντα χωρήσει ἡ δύναμις τοῦ Θεοῦ, ὅτι πάντα δεκτικὰ δυνάμεώς εἰσιν, ἢ νοερᾶς καὶ ἀγγελικῆς, ἢ λογικῆς καὶ ἀνθρωπίνης, ἢ αἰσθητικῆς τῶν ἀλόγων, ἢ ζωτικῆς τῶν φυτῶν, ἢ οὐσιώδους ἑτέρας, τῶν ἄλλων ἁπάντων, καθὸ τὸν μὲν ἀδάμαντα δύναμιν ἔχειν φαμὲν τοῦ μὴ τέμνεσθαι, τὸν δ' ἀέρα ἀδυναμίαν τοῦ αὐτοῦ τούτου. Καὶ αὐτὸ δὲ καθ' αὑτὸ τὸ δύναμιν εἶναι, καὶ τοῦτο παρὰ τῆς θείας ἐστὶ δυνάμεως.

Ἐκ τῆς τοιαύτης ἀπειροδυνάμου δυνάμεως, αἱ ἀγγελικαὶ δυνάμεις εἰσὶ, καὶ τὸ εἶναι ἀμετακινήτως ἔχουσι, καὶ τἄλλα πάντα· αὐτὴ γάρ ἐστιν ἡ ἐφιεῖσα αὐτοῖς τὸ δύνασθαι, καὶ εἶναι, καὶ ἐφίεσθαι εἰσαεὶ τοῦ εἶναι· αὐτή ἐστιν ἡ ἐνδυναμοῦσα καὶ αὐτὸ καθ' αὑτὸ τὸ δύνασθαι, εἰς τὸ ἐφίεσθαι τοῦ ἀεὶ δύνασθαι.

Πρόεισι δὲ τὸ ἀνέκλειπτον τῆς τοιαύτης δυνάμεως καὶ εἰς ἀνθρώπους, καὶ ζῷα, καὶ φυτὰ, καὶ τὴν τῶν ὅλων φύσιν. Δυναμοῖ τοίνυν καὶ τὰ ἡνωμένα τὰ μέρη τυχὸν τοῦ ὅλου σώματος, ἢ καὶ τὰ στοιχεῖα, ἃ κατά τινα μὲν ἀλλήλοις κοινωνοῦσι, κατά τινα δὲ διαφέρουσι πρὸς τὴν τοιαύτην κοινωνίαν. Δυναμοῖ καὶ τὰ διακεκριμένα εἰς τὸ εἶναι κατὰ τὸν οἰκεῖον λόγον ἕκαστον ἀσύμφυρτον. Ἐπεὶ δὲ ἕκαστον ἔχει τάξιν καὶ διάθεσιν ἰδίαν, δυναμοῖ καὶ ταῦτα εἰς τὸ διασώζεσθαι εἰς τὴν οἰκείαν ἕκαστον τάξιν. Δυναμοῖ καὶ τὰς ἀθανάτους ζωὰς τῶν ἀγγελικῶν ἑνάδων, δηλονότι τῶν ἁπλοϊκῶν φύσεων, εἰς τὸ φυλάττεσθαι ἀδιαλωβήτους. Φυλάττει καὶ τὰς οὐρανίας τάξεις, ἀναλλοιώτους. Πλὴν μὴ κατὰ

ut se res habet in culicibus & muscis, & similibus, quæ stimulis suis pollent. Vnde etiam Deus in Ioële de locustâ & brucho & erucâ dicit; *Fortitudo mea magna*. Quòd verò etiam ad hæc infirma vsque Dei virtus pertingat, vide quæ secundùm sensum potentia sunt, vt lumen aspectabile, & ingentes strepitus: siquidem splendidissima lumina vsque ad infirmos quoque oculos pertingunt, & ingentes fragores imbeciles quoque audiendi facultates penetrant. Non enim lux ad lapidem pertingere dicitur, neque illum strepitus subit, sed illa quæ visus auditusque capacia sunt, licet imbecilla.

PARAPHRASIS PACHYMERÆ.

Ioël. 2, 25.

Secundùm hanc rationem ad res omnes Dei virtus meat, quoniam omnia virtutis sunt capacia, siue spiritalis & Angelicæ, siue rationalis & humanæ, siue sensilis brutorum, siue viuentis plantarum, siue alterius substantialis ceterarum rerum omnium; iuxta quod quidem adamantem dicimus habere hanc virtutem, vt secari nequeat, aërem verò huius ipsius impotentiam. Quin & id ipsum secundùm se virtutem esse, etiam à virtute diuinâ existit. §. 3.

Dei potentia per omnia meat.

Ex tali infiniti-potente virtute Angelicæ virtutes existunt, & statum immutabilem ceteraque omnia habent: hæc enim iis tribuit & posse, & esse, & appetere semper esse; hæc est quæ iis vires suppeditat, vt idipsum posse desiderare semper possint. §. 4.

Porrò indeficientis istius potestatis munera in homines quoque dimanant, & in animalia, & in plantas, totamque naturam vniuersi. Corroborat enim illa quæ vnita sunt, partes v.g. totius corporis, vel etiam elementa, quæ quidem secundùm aliqua sibi mutuò communicant, secundùm aliqua verò discrepant quoad talem communionem. Corroborat etiam quæ distincta sunt, vt secundùm suam quodque rationem impermixtum consistat. Cùm autem quodlibet habeat ordinem & propriam directionem, hæc etiam roborat, vt in proprio quæque ordine conseruentur. Corroborat etiam vitas immortales Angelicarum vnitatum, scilicet simplicium naturarum, vt inuiolabiles conseruentur. Conseruat etiam ordines cælestes immutabiles. Verùm noli intellige- §. 5.

PARAPHRASIS PACHYMERÆ.

re immutabilitatem secundùm esse sempiternum, sed secundùm immutabilitatem ordinis vniuersi. Quin & sæcula, vt esse possint, indulget: potest enim rebus sempiternis temporalem quasi motum quemdam spatiumque coëxtendere. Corroborat verò etiam temporaneos progressus, astrorum scilicet motiones, quæ in quodam temporis numero per duodecim dictarum domorum spatia sensim mouentur. Corroborat etiam reuolutiones, quæ ab aliquo puncto ad idem punctum recurrunt. Corroborat quatuor elementa, ad proprium quodq; ordinem naturæ constringens ac continens. Corroborat viuificos terræ partus, corroborat nexum animæ cum corpore, suscitat virtutes animales ad plantam sæpenumerò fouendam & augendam, & in id ipsum reuoluendo essentiales vires confirmat, & ipsammet iustorum deificationem elargitur, virtutem ipsis ad hoc præbens. Et vniuersim, nihil est in rerum naturâ, quod non omnipotentis diuinæq; virtutis particeps existat.

§.6. Etsi contradicat in Actis Elymas Magus, dicens: Si omnipotens Deus, quomodo à vestro Theologo, Paulo videlicet, dicitur aliquid non posse? Cauillatur autem ipsum dicentem, non posse Deum semetipsum negare. Dum autem hoc propono, vehementer metuo, ne videar puerorum structuram arenaceam & infirmam oppugnare, & ad huius loci sensum, tamquam ad scopum qui attingi nequeat, collineare. Dico autem Deum esse veritatem: veritas autem ens est, mendacium verò neque consistentiam nec entitatem habet. Si itaque veritas negaret semetipsam, succumberet mendacio, & id quòd est & existit minimè esset. Ergo illud non posse in Deo constitutum, est signum infinitæ virtutis: perinde enim est ac si diceretur, Deum non posse facere seipsum non esse Deum. Quemadmodum enim lux, in quantum lux est, non potest esse tenebræ; sic & hoc impossibile est Deo, propter superabundantem veritatem. Sicut igitur Deus numquam sciuit inscitiam, sicut nec nouit ignis non calefactionem, sic neq; potest non posse: quod sapiens ille per ironiam Elymas dum non intelligit, imitatur pugiles, qui neque victoriam norunt quo-

2.Tim.2, 13.

Quomodo Deus non possit se negare.

τὸ ἀϊδίως εἶναι νοήσης τὸ ἀναλλοίωτον, ἀλλὰ κατὰ τὴν ἀπαραλλαξίαν τῆς τοῦ παντὸς τάξεως. Ποιεῖ δὲ καὶ τὸν αἰῶνα δύνασθαι· δύναται γὰρ τὸ συμπαρεκτείνεσθαι τοῖς ἀϊδίοις οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. Δυναμοῖ δὲ καὶ τὰς χρονικὰς προόδους, τὰς τῶν ἀστέρων δηλαδὴ κινήσεις, ἐπί τινα ἀριθμὸν χρόνου διερπούσας τὰ ιβ. τῶν λεγομένων οἴκων διαστήματα. Δυναμοῖ καὶ τὰς ἀποκαταστάσεις, τὰς ἀπὸ σημείου τινὸς ἐπὶ τὸ αὐτὸ σημεῖον ἐπαναδρομάς. Δυναμοῖ τὰ τέσσαρα στοιχεῖα, εἰς τὴν οἰκείαν ἕκαστον τάξιν τῆς φύσεως συσφίγγων καὶ συνέχων. Δυναμοῖ τὰς ζωογόνους ὠδῖνας τῆς γῆς, δυναμοῖ τὴν σύνδεσιν τῆς ψυχῆς μετὰ σώματος, ἀνακινεῖ τὰς ψυχικὰς δυνάμεις εἰς τὸ πολλάκις τρέφειν καὶ αὔξειν τὸ φυτὸν, καὶ εἰς αὐτὸ τοῦτο ἐπανακυκλοῦσθαι, διακρατεῖ τὰς οὐσιώδεις δυνάμεις, καὶ τὸ πᾶν ἀσφαλίζεται, καὶ αὐτὴν τὴν τῶν δικαίων δωρεῖται θέωσιν, δύναμιν τούτοις εἰς τοῦτο παρέχουσα. Καὶ καθόλου, οὐδὲν τῶν ὄντων ἐστὶν, ὅπερ οὐ μετέχει τῆς παντοκρατορικῆς καὶ θείας δυνάμεως.

Καίτοι ἐπαπορεῖ ὁ ἐν ταῖς Πράξεσιν Ἐλύμας ὁ μάγος, λέγων, Εἰ παντοδύναμος ὁ Θεὸς, πῶς παρὰ τοῦ καθ' ὑμᾶς Θεολόγου, Παύλου δηλαδὴ, λέγεταί τι μὴ δύνασθαι; Ὧι δὴ καὶ λοιδορεῖται εἰπόντι, μὴ δύνασθαι τὸν Θεὸν ἑαυτὸν ἀρνήσασθαι. Ἐγὼ δὲ προσθεὶς τοῦτο, λίαν φοβοῦμαι μὴ δόξω διαμάχεσθαι πρὸς μειρακιώδες καὶ ἀσθενὲς ἐπὶ ψάμμου οἰκοδόμημα, καὶ καταστοχάζεσθαι ὡσανεί τινος ἀνεφίκτου σκοποῦ τῆς περὶ τούτου διανοίας. Φημὶ δὲ, ὅτι ὁ Θεὸς ἀλήθειά ἐστιν· ἡ δὲ ἀλήθεια ὄν ἐστι, τὸ δὲ ψεῦδος, ἀνυπόστατον καὶ μὴ ὄν. Ἐὰν οὖν ἀρνήσηται ἑαυτὴν ἡ ἀλήθεια, τῷ ψεύδει περιπεσεῖται, καὶ τὸ ὂν καὶ ὂν μὴ ὂν ἔσται. Τὸ οὖν μὴ δύνασθαι ἐπὶ Θεοῦ ταττόμενον, ἀφάτου δυνάμεώς ἐστι σημεῖον· ὅμοιον γάρ ἐστιν εἰπεῖν, ὅτι οὐ δύναται ὁ Θεὸς ποιῆσαι ἑαυτὸν μὴ εἶναι Θεόν. Ὥσπερ γὰρ τὸ φῶς, καθὸ φῶς, οὐ δύναται σκότος εἶναι, οὕτω καὶ τοῦτο ἀδύνατον τῷ Θεῷ, διὰ τὴν ἀνυπέρβλητον ἀλήθειαν. Ὥσπερ οὖν οὐκ οἶδεν ὁ Θεὸς τὸ μὴ εἰδέναι πώποτε, ὡς τὸ πῦρ οὐκ οἶδε τὸ μὴ θερμαίνειν, οὕτως οὐδὲ δύναται τὸ μὴ δύνασθαι· ὅπερ ὁ σοφὸς κατ' εἰρωνείαν Ἐλύμας οὐκ ἐννοήσας, μιμεῖται τοὺς ἀθλητὰς τοὺς μηδὲ τὴν νίκην εἰδότας πῶς γίνεται·

PARAPHRASIS PACHYMERÆ.

γίνεται· οἵτινες κατὰ τὸ δοκοῦν ἑαυτοῖς σκιαμαχοῦσιν ἀπόντων τῶν ἀνταγωνιστῶν, καὶ οἴονται τῶν ἀντιπάλων κρατεῖν, μὴ εἰδότες τὴν ἐκείνων δύναμιν. Ἡμεῖς δὲ καταστοχαζόμενοι τῆς διανοίας τοῦ θείου Παύλου, ὑμνοῦμεν τὸν Θεὸν ὡς μακάριον καὶ μόνον δυνάστην, ὡς δεσπόζοντα τοῦ αἰῶνος, ὡς κατ' οὐδὲν ἐκπεπτωκότα τῶν ὄντων, (εἰ γὰρ τὸ δύνασθαι πᾶσι τοῖς οὖσιν ἔνεστι, πάντως ὁ κατά τι μὴ δυνάμενος, εἰ μὴ εὐσεβῶς τὸ ῥητὸν ἐκλαβοίμεθα, ἐκπεσεῖται κατά τι τοῦ ὄντος, ἥ φησιν ὁ ἀσύνετος Ἐλύμας) μᾶλλον δὲ μὴ μόνον οὐκ ἐκπεπτωκότα τῶν ὄντων, ἀλλὰ καὶ προέχοντα καὶ ὑπερέχοντα κατὰ δύναμιν ὑπερούσιον, καὶ δεδωρημένον πᾶσι τοῖς οὖσι καὶ τὸ δύνασθαι εἶναι, καὶ τὸ τόδε εἶναι κατὰ περιουσίαν ὑπερβαλλούσης δυνάμεως.

Ὅρος δικαιοσύνης ἐστὶν, ἀρετὴ διανεμητικὴ τοῦ κατ' ἀξίαν, ἢ * ἰδιοπραγία τῶν τῆς ψυχῆς * νοερῶν, ἢ μεσότης πλεονεξίας καὶ μειονεξίας, ἢ ἕξις ἀπονεμητικὴ ἰσότητος. Πρὸς γοῦν τοὺς τοιούτους ὅρους καλῶς ἀναπτύσσει τὴν θείαν δικαιοσύνην. Διὰ τοῦτο γὰρ ὁ Θεὸς δικαιοσύνη λέγεται, ὡς πᾶσι κατ' ἀξίαν ἀπονέμων ἅπαντα κατὰ τὸν οἰκεῖον ἑκάστου τῆς φύσεως ὅρον, καὶ ὡς αἴτιος ὢν τῆς αὐτοπραγίας ἑκάστου· πάντα γὰρ ἡ θεία δικαιοσύνη τάττει κατ' ἀξίαν ἑκάστου. Ἀδικίαν τοίνυν λαλοῦσιν, οἱ τῆς θείας δικαιοσύνης καταψηφιζόμενοι, καὶ λέγοντες, ὀφείλειν εἶναι τοῖς θνητοῖς τὴν ἀθανασίαν, καὶ τοῖς ἀτελέσι τὸ τέλειον, καὶ τἄλλα, ἵνα μὴ καθ' ἕκαστον διατρίβωμεν. Αἰτιῶνται γὰρ, πῶς ὁ ἄνθρωπος, τοιόνδε ζῶον ὤν, φθείρεται, πῶς ὁ ἀσπάλαξ τυφλὸς, πῶς ὁ λίθος οὐκ αὐτοκίνητος, πῶς τὸ πᾶν ἀλλοιοῦται κατὰ τὰς ὥρας, πῶς αἱ ἐπίκαιροι ἡδοναὶ οὐκ αἰώνιοι. Δέον εἰδέναι, ὅτι πᾶσιν ἀπονέμει τὰ οἰκεῖα ἡ θεία δικαιοσύνη, καὶ ἕκαστον ἐπὶ τῆς οἰκείας διασώζει τάξεως καὶ δυνάμεως.

*Maximus ἰδιοπραγίαν & μερῶν

Ἀλλ' εἴποι τις, Πῶς οὐ βοηθεῖ τοῖς ὁσίοις ἀδικουμένοις; Ῥητέον ἐκ διαιρέσεως· Ἀγαπῶσιν οἱ ὅσιοι τὰ παρόντα, ἢ οὐκ ἀγαπῶσιν. Εἰ μὲν ἀγαπῶσιν, οὐχ ὅσιοι, ὡς τοῦ θείου ἀποπεπτωκότες ἔρωτος· ἀδικοῦσι γὰρ τὰ ὄντως ἐραστὰ παρευδοκιμούμενα ὑπ' αὐτῶν, διότι τῶν ἀζηλώτων ἐρῶσιν αὐτὰ παρατρέχοντες.

modo comparetur: qui videntur ſibi in vmbrâ cum abſentibus aduerſariis concertare, exiſtimantque ſe illos ſuperare, cùm virtutem eorum non habeant exploratam. Nos autem, ad diui Pauli ſenſum collimantes, collaudamus Deum tamquam beatum ſolumque potentem, vtpote dominantem æternitati, & nullâ vmquam entitate fruſtratum (ſi enim potentia rebus ineſt omnibus, omnino is qui ſecundùm quid impotens eſt, niſi piè dictum hoc interpretemur, ſecundùm quid ab entitate deſciuit, vt imprudens Elymas tradit) quin potiùs non solùm tamquam ſecundùm rem nullam deficientem, ſed etiam vt præhabentem ac deſuper habentem omnia ſecundùm virtutem ſupereſſentialem, & rebus omnibus largientem tam vt eſſe poſſint, quàm vt ſint ſecundùm affluentiam virtutis ſuperabundantis.

§. 7. *Quid ſit iuſtitia.*

Definitio iuſtitiæ eſt, virtus cuique tribuens pro dignitate, vel * propria actio facultatum animæ, vel medium inter abundantiam & inopiam, vel habitus diſtributiuus æqualitatis. Iſtiuſmodi itaque definitionibus ritè accommodat Iuſtitiam diuinam. Idcircò enim Deus Iuſtitia dicitur, quòd omnibus pro dignitate tribuat omnia ſecundùm propriam cuiuſque naturæ definitionem, & quòd cauſa exiſtat propriæ cuiuslibet actionis, ſingula enim diſponit diuina Iuſtitia pro cuiuſque dignitate. Iniquitatem itaque loquuntur, qui diuinæ Iuſtitiæ contradicunt, & qui dicunt, mortalibus ineſſe debere immortalitatem, & rebus imperfectis perfectionem, & cetera, ne ſingulis immoremur. Cauſantur enim, cur homo, cùm iſtiuſmodi animal ſit, corrumpatur, cur talpa oculis careat, cur lapis non ſit per ſe mobilis, cur vniuerſum ſecundùm tempeſtates immutetur, cùm temporaneæ voluptates non ſint æternæ. Sciendum eſt, diuinam Iuſtitiam omnibus quæ cuique propria ſunt diſtribuere, & vniuſcuiuſque ordinem virtutemque conſeruare.

*Max. vel propriâ actione partium animæ.

§. 8. *Cur ſinat Deus Sanctos tribulari.*

Sed dicet aliquis: Cur non ſuccurrit Sanctis iniuriâ affectis? Dicendum cum diſtinctione: Vel diligunt Sancti præſentia, vel non diligunt. Si quidem diligunt, non ſunt ſancti, vt qui iam à diuino amore exciderint; quoniam iniurij ſunt rebus verè amandis, quæ ab ipſis præferendæ ſunt, quòd, iis neglectis, ament ea quæ non ſunt amanda.

PARAPHRASIS PACHYMERÆ.

Quòd si verò non diligant, sed ament ea quæ verè sunt, oportet potiùs ipsos lætari, quòd in tentationes inciderint, vti Magnus Iacobus monet; quoniam per has ea quæ desiderabilia sunt assequuntur, tumque Angelicis virtutibus appropinquant, dum in instantiis pro bono, ab affectu materiali recedunt: ita vt verè dici possit, illud magis esse proprium diuinæ Iustitiæ, vt eos, qui ad æterna spectare desiderant, non patiatur per dissolutam vitam voluptatibus decipi, sed potiùs afflictiones sustinere, vt vel amantes vngat, vel lapsuros suffulciat, nec non ipsos in præclaro illo & inconcusso statu consolidet. Inconcussum autem statum vocat, institutum quod titillationi terrenorum minimè cedit, nec propter tentationes ad materialia flectitur.

§. 9. *Quomodo Deus salus dicatur.*

Hæc etiam diuina Iustitia tamquam salus celebratur, quòd iustè cuiusque naturæ rationes seruet, ac causa sit propriæ cuiusq; rei operationis. Propriam autem operationem appellauit motum illum qui cuilibet naturæ proprius est: neque enim homines facere possunt quæ propria sunt Angelis, neque aqua quæ propria sunt igni, & contrà. Si quis verò dixerit, Deum secũdùm alium quoque modum salutem esse, quòd à rebus deterioribus omnia eripiat (deteriora verò vocat, quæ naturæ cuiusque aliena sunt, vel indigna, vel potiùs ipsammet materiam informem) hunc nos quoque tamquam diuinum laudatorem admittemus. Hanc enim salutem omnium statuemus, quæ omnia sic immutata inconcussaque seruat, vt in deterius non vergant; & omnem inæqualitatem atque alienam actionem eliminat, atque cuiuslibet proportiones confirmat. Si enim humor aquam deserat, iam non erit aqua; si redundet tamen, aliquid erit; quocirca etiam istiusmodi salus liberatio vocabitur, quoniam ea quæ seruantur, à propriorum bonorum defectione liberantur, nec in nihilum redigi permittuntur: & si quid ad peccatum deflectat, hæc ab istiusmodi affectione liberat paternè suffulciens, bonumque resuscitans, quin imò etiam, antequam in malum incidat, in bono firmans, & defectum implens, & ab omnibus noxis absoluens.

Εἰ δ' οὐκ ἀγαπῶσιν, ἀλλὰ τῶν ὄντως ὄντων ἐρῶσιν, εὐφραίνεσθαι μᾶλλον χρὴ τούτοις, ὅτε περιπίπτοιεν πειρασμοῖς, καθὼς καὶ ὁ μέγας Ἰάκωβος παραινεῖ· διὰ γὰρ τούτων, τῶν ἐφετῶν ἐπιτυγχάνουσι, καὶ τότε ταῖς ἀγγελικαῖς ἀρεταῖς πλησιάζουσιν, ἀναχωροῦντες τῆς ὑλικῆς προσπαθείας ἐν ταῖς ὑπὲρ τοῦ καλοῦ περιστάσεσιν· ὥστε ἀληθὲς εἰπεῖν, ὅτι τοῦτο μᾶλλόν ἐστι τῆς θείας δικαιοσύνης ἴδιον, τὸ ἐπί τινας βλέπειν ποθοῦντας τὰ αἰώνια, μὴ θέλγειν τούτους ἤγουν δι' ἡδονῆς ἀπατᾶν τῇ ἀνέτῳ διαγωγῇ, ἀλλὰ μᾶλλον τὰς περιστάσεις παραχωρεῖν, ἵνα ἢ ποθοῦντας ὑπαλείφῃ, ἢ καὶ παραπίπτειν μέλλουσι βοηθῇ, καὶ ἐνιδρύῃ αὐτοὺς ἐν τῇ καλῇ καὶ ἀμειλίκτῳ στάσει. Ἀμείλικτον δὲ στάσιν φησὶ, τὴν ἀνένδοτον πρὸς τὸν γαργαλισμὸν τῶν γηΐνων ἔνστασιν, καὶ τὸ μὴ κατακάμπτεσθαι πρὸς τὰ ὑλικὰ διὰ τῶν πειρασμῶν.

Ἡ τοιαύτη θεία δικαιοσύνη, καὶ σωτηρία ὑμνεῖται, ὡς δικαίως διασώζουσα τοὺς ἑκάστης φύσεως λόγους, καὶ αἰτία οὖσα τῆς ἰδιοπραγίας ἑκάστου. Ἰδιοπραγίαν δὲ ὠνόμασε τὴν ἑκάστου τῶν ὄντων κατὰ φύσιν ἰδιάζουσαν κίνησιν· οὐδὲ γὰρ τὰ Ἀγγέλων ἀνθρώποις, πράττειν δυνατὸν, ἢ τὰ πυρὸς ὕδατι, καὶ τὸ ἔμπαλιν. Εἰ δέ τις λέγοι καὶ κατ' ἄλλον τρόπον σωτηρίαν τὸν Θεὸν, ὡς ἀναρπάζοντα ἀπὸ τῶν χειρόνων τὰ πάντα (χείρονα δέ φησι, τὰ τῆς φύσεως ἑκάστου ἀλλότρια καὶ ἀνάξια, ἢ μᾶλλον τὴν ὕλην αὐτὴν τὴν ἀνείδεον) καὶ τοῦτον ὡς θεῖον ἀποδεξόμεθα ὑμνῳδόν. Ταύτην γὰρ σωτηρίαν τῶν ὅλων ἀξιώσομεν εἶναι τὴν τὰ πάντα ἀμετάβλητα καὶ ἀῤῥεπῆ πρὸς τὰ χείρω διασώζουσαν, καὶ πᾶσαν ἀνισότητα καὶ ἀλλοτριοπραξίαν ἐξορίζουσαν, καὶ τὰς ἑκάστου ἀναλογίας συνιστάνουσαν. Εἰ γὰρ ἐκλείψει τὸ ὑγρὸν ἐκ τοῦ ὕδατος, οὐχ ὕδωρ ἔσται· εἰ ἐπὶ πλέον ἐγγενήσεται, ἀλλ' ὅ,τι γενήσεται· ἐπεὶ καὶ ἀπολύτρωσις λεχθείη ἡ τοιαύτη σωτηρία, ὅτι ἀπολυτροῦνται τὰ σωζόμενα, τῆς τῶν οἰκείων ἀγαθῶν ἀποπτώσεως, καὶ οὐκ ἐῶνται πρὸς τὸ μὴ εἶναι διαπεσεῖν· καὶ ὅτι εἴ τι πρὸς τὸ πλημμελὲς ἀποσφαλείη, τοῦ τοιούτου πάθους ἀπολυτροῦται πατρικῶς ὑπεριδοῦσα, καὶ τοῦ καλοῦ ἀνιστῶσα, μᾶλλον δὲ καὶ πρὸ τοῦ πεσεῖν εἰς τὸ χεῖρον, ἐν τῷ καλῷ ἱδρύουσα, καὶ τὸ ὑπερρυὲν ἀναπληροῦσα, καὶ πάντων τῶν βλαβῶν ἀπολύουσα.

Ἀλλὰ

Ἀλλὰ περὶ μὲν τούτων καὶ τῆς δικαιοσύνης εἴρηται· καθ᾽ ἣν δὴ δικαιοσύνην, ἡ πάντων ἰσότης μετρεῖται καὶ ὁρίζεται, καὶ πᾶσα ἀνισότης ἡ κατὰ τὴν στέρησιν τῆς ἰσότητος ἐξορίζεται. Ὅρα δὲ, ποία ἀνισότης ἐξορίζεται, δηλονότι ἡ κατὰ στέρησιν τῆς ἰσότητος· ἔστι γὰρ ἀνισότης καὶ ἡ ἐν τῷ παντὶ τῶν ὅλων πρὸς ὅλα διαφορὰ, καθ᾽ ἣν διαφέρει ἕκαστον ἑκάστου. Τὴν γοῦν τοιαύτην ἀνισότητα ἡ τοῦ Θεοῦ δικαιοσύνη φρουρεῖ, καὶ οὐκ ἐξορίζει· οὐ γὰρ ἁπλῶς τὴν ἀνισότητα ἐξορίζεσθαί φησιν, ἀλλὰ τὴν ἐν τοῖς καθ᾽ ἕκαστον, τουτέστι τὸ μὴ ἴσως καὶ ὁμοίως ἕκαστον τῶν γεγονότων ἐν ταὐτότητι τῇ κατὰ φύσιν, διαμένειν. Δύο δὲ τρόπους καθ᾽ οὓς ἀνισότης λέγεται, εἰδὼς, τοὺς δύο διατρανοῖ, καί φησιν, ὅτι κατὰ τοῦτο δικαιοσύνη λέγεται ὁ Θεὸς, καθὸ καὶ τὴν ἰσότητα τῶν πάντων ἐπιμετρεῖ, καὶ τὴν ἀνισότητα ἑνὸς ἑκάστου ἐξορίζει. Ἀνισότητα δὲ λέγει, τὴν κατὰ στέρησιν τῆς ἰσότητος συμβαίνουσαν, τουτέστι τὴν πλεονεξίαν. Ἐπιφέρει δὲ καὶ τὸν ἕτερον τρόπον τῆς ἀνισότητος· καὶ γὰρ οἶδέ τινας, τὰ μὲν νοητὰ καὶ ἀσώματα εἴδη, καὶ τὰς ἑνάδας, τουτέστι τὰς ἁπλᾶς οὐσίας, ἰσότητα καὶ ταὐτότητα ὀνομάσαντας· τὰ δὲ αἰσθητὰ, ἃ καὶ μεριστά εἰσι καὶ ἐν μεταβολῇ καὶ διαφορᾷ πρὸς ἄλληλα, ἀνισότητα καὶ ἑτερότητα. Λέγει οὖν, κἂν ταύτης τὴν ἀνισότητα νοήσειέ τις τὴν διαφορὰν τῶν αἰσθητῶν, ἀλλ᾽ οὖν καὶ ταύτης τῆς ἀνισότητος ὁ Θεὸς φρουρός ἐστι, μὴ ἐῶν τὰ ἐναντία εἰς ἓν συναχθῆναι, καὶ διὰ τῆς φύσεως εἰς φθορὰν ἐλθεῖν· ὡς γὰρ παρήγαγε τὰ πάντα, οὕτως συντηρεῖ αὐτὰ, ὡς καί εἰσι καὶ ὡς ἐξ ἀρχῆς ἐγένοντο.

PARAPHRASIS PACHYMERÆ.

Hoc quidem de his dictum ac de Iuſtitiâ, ſecundùm quam vtique iuſtitiam omnium æqualitas menſuratur ac definitur, omniſque inæqualitas, quæ ſecundùm priuationem æqualitatis ſumitur, exterminatur. Obſerua autem, qualis inæqualitas eliminetur, ſcilicet quæ eſt ſecundùm priuationem æqualitatis: eſt enim inæqualitas etiam, in omni toto ad totum differentia, ſecundùm quam quidlibet à quolibet differt. Talem itaque inæqualitatem diuina Iuſtitia cuſtodit, & non exterminat: non enim ſimpliciter inæqualitatem exterminari, ſed eam quæ in ſingulis exiſtit, id eſt, ſecundùm quam quodlibet eorum quæ ſunt, haud æqualiter, neque ſimiliter in naturali idemtitate conſiſtunt, permanere dicit. Cùm verò ſciret duos modos, ſecundùm quos inæqualitas dicitur, duos exponit, & ait, Deum eatenus dici Iuſtitiam; quatenus omnem æqualitatem menſurat, & quamlibet inæqualitatem exterminat. Inæqualitatem verò intelligit eam quæ per priuationem æqualitatis accidit, id eſt redundantiam. Alterum quoque modum adfert inæqualitatis: nouit enim, aliquos, intelligibiles & incorporeas formas & vnitates, hoc eſt ſimplices ſubſtantias, æqualitatem & idemtitatem nominaſſe; ſenſilia verò, quæ etiam diuiſibilia ſunt & mutabilia, & ab inuicem diuerſa, inæqualitatem & diuerſitatem. Dicit itaque, etſi aliquis hanc inæqualitatē intellexerit differentiam ſenſilium, nihilominùs etiam Deum huiuſce inæqualitatis cuſtodem exiſtere, dum non permittit contraria in vnum commiſceri, & naturaliter in corruptionem deuenire: vt enim omnia produxit, ſic etiam ipſa conſeruat, vt & ſint ſicut in principio fuerunt.

TEXTVS S. DIONYSII.

CAPVT IX.

De magno, paruo, eodem, alio, simili, dissimili, statu, motu, æqualitate.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ μεγάλου, μικροῦ, ταὐτοῦ, ἑτέρου, ὁμοίου, ἀνομοίου, στάσεως, κινήσεως, ἰσότητος.

SYNOPSIS CAPITIS.

1. Dicit, Deum in Scripturis vocari magnum, paruum, eumdem, alium, &c. 2. Explicat, quo sensu Deus dicatur magnus. 3. Quo sensu paruus. 4. Quo sensu idem. 5. Quo sensu aliud, & quomodo accipienda sit in Deo longitudo, latitudo, profundum. 6. Quo sensu dicatur Deus similis, cùm tamen causarum ad effectus non sit propriè similitudo. 7. Quo sensu dicatur dissimilis. 8. Quo sensu stare vel sedere. 9. Quo sensu dicatur moueri, & quomodo Deo conueniat triplex motus. 10. Quo sensu dicatur æqualis.

§. 1. *Deum in Scripturis magnum, paruum, eumdem, alium, &c. vocari.*



QVONIAM verò etiam magnum & paruum attribuitur omnium auctori, & idem & aliud, & simile & dissimile, & status & motus, agedum quoq; hæc diuinorum nominum simulacra, quatenus nobis patent, intueamur. Magnus quidem Deus in Scripturis laudatur, & in magnitudine, & in aurâ tenui quæ diuinam insinuet paruitatem: idem quoque, vt in illo Scripturarum
Ps. 101,28 loco, *Tu autem idem ipse es*: & alius ac diuersus, vt cùm multarum figurarum ac formarum ab eadem Scripturâ fingitur: & similis, vt similium ac similitudinis conditor; & dissimilis omnibus, vt cui non sit similis: stans etiam & immobilis, ac sedens in sæculum; & mobilis, vt qui per omnia penetret: & quæcumque alia diuina nomina his æquipollentia à Scripturis celebrantur.



ΕΠΕΙΔΗ δὲ καὶ τὸ μέγα καὶ τὸ μικρὸν ἀνατέθειται τῷ πάντων αἰτίῳ, καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον, καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, καὶ ἡ στάσις καὶ ἡ κίνησις, φέρε καὶ τούτων τῶν θεωνυμικῶν ἀγαλμάτων, ὅσα ἡμῖν ἐμφανῆ, θεωρήσωμεν. Μέγας μὲν οὖν ὁ Θεὸς ἐν τοῖς Λογίοις ὑμνεῖται, καὶ ἐν μεγέθει, καὶ ἐν αὔρᾳ λεπτῇ τὴν θείαν ἐμφαινούσῃ σμικρότητα· καὶ ταὐτὸς, ὅταν φῇ τὰ Λόγια, Σὺ δὲ ὁ αὐτὸς εἶ· καὶ ἕτερος, ἡνίκα ὡς πολύσχημος καὶ πολυειδὴς ὑπὸ τῶν αὐτῶν Λογίων διαπλάττεται· καὶ ὅμοιος, ὡς ὁμοίων καὶ ὁμοιότητος ὑποστάτης, καὶ ἀνόμοιος πᾶσιν, ὡς οὐκ ὄντος αὐτῷ τοῦ ὁμοίου· καὶ ἑστὼς, καὶ ἀκίνητος, καὶ καθήμενος εἰς τὸν αἰῶνα, καὶ κινούμενος, ὡς ἐπὶ πάντα προϊόμενος· καὶ ὅσαι ἄλλαι ταύταις ὁμοδύναμοι θεωνυμίαι πρὸς τῶν Λογίων ὑμνοῦνται.

Μέγας

TEXTVS S. DIONYSII.

§. 2. *Quo sensu Deus dicatur magnus.*

Μέγας μὲν οὖν ὁ Θεὸς ὀνομάζεται, κατὰ τὸ ἰδίως αὐτοῦ μέγα, τὸ πᾶσι τοῖς μεγάλοις ἑαυτοῦ μεταδιδοῦν, καὶ παντὸς μεγέθους ἔξωθεν ὑπερχεόμενον καὶ ὑπερεκτεινόμενον, πάντα τόπον περιέχον, πάντα ἀριθμὸν ὑπερβάλλον, πᾶσαν ἀπειρίαν διαβαῖνον, καὶ κατὰ τὸ ὑπερπλῆρες αὐτοῦ καὶ μεγαλουργὸν, καὶ τὰς πηγαίας αὐτοῦ δωρεὰς, καθ' ὅσον αὗται πρὸς πάντων μετεχόμεναι κατὰ ἀπειρόδωρον χύσιν, ἀμείωτοι παντελῶς εἰσι, καὶ τὴν αὐτὴν ἔχουσιν ὑπερπληρότητα, καὶ οὐκ ἐλαττοῦνται ταῖς μετοχαῖς, ἀλλὰ καὶ μᾶλλον ὑπερβλύζουσι. Τὸ μέγεθος τοῦτο καὶ ἄπειρόν ἐστι, καὶ ἄποσον, καὶ ἀνάριθμον· καὶ τοῦτό ἐστιν ἡ ὑπεροχὴ, κατὰ τὴν ἀπόλυτον καὶ ὑπερτεταμένην τῆς ἀπεριλήπτου μεγαλειότητος χύσιν.

Ac magnus quidem Deus appellatur, secundùm sibi propriam magnitudinem, quæ magnis omnibus de se communicat, & omni magnitudini extrinsecus superfunditur & supra-expanditur, locum omnem complectens, omnem numerum excedens, omnem transiliens infinitatem, & iuxta supraquam plenitudinem suam ac magnificentiam, fontalesque suas distributiones, quatenus hæ omnibus infinitâ profusione communicatæ, manent prorsus imminutæ, & eamdem habent supraquam plenitudinem, neque participationibus minuuntur, quin imò magis redundant. Hæc magnitudo & infinita est, & quantitatis ac numeri expers: & hæc est excellentia secundùm effusionem absolutam & supraquam extensam magnificentiæ non comprehensæ.

§. 3. *Quo sensu Deus dicatur paruus.*

Σμικρὸν δὲ, ἤτοι λεπτὸν, ἐπ' αὐτοῦ λέγεται, τὸ παντὸς ὄγκου καὶ διαστήματος ἐκβεβηκὸς, καὶ τὸ διὰ πάντων ἀκωλύτως χωροῦν. Καίτοι καὶ πάντων στοιχειωτικὸν αἴτιόν ἐστι τὸ σμικρόν· οὐδαμῆ γὰρ εὑρήσεις τὴν τοῦ σμικροῦ ἰδέαν ἀμέθεκτον. Οὕτως οὖν ἐπὶ Θεοῦ τὸ σμικρὸν ἐκληπτέον, ὡς ἐπὶ πάντα καὶ διὰ πάντων ἀνεμποδίστως χωροῦν, καὶ ἐνεργοῦν, καὶ διϊκνούμενον ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, μᾶλλον δὲ τῶν ὄντων ἁπάντων· οὐ γάρ ἐστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Τοῦτο τὸ σμικρὸν ἀποσόν ἐστι καὶ ἀπήλικον,

Paruum verò siue subtile, in ipso dicitur, quod omnem molem & distantiam effugit, & absque impedimento cuncta peruadit. Atqui etiam omnium elementaris causa est illud paruum: numquam enim formam parui reperies non participatam. Sic igitur in Deo accipiendum est paruum, vt in omnia & per omnia expeditè means, & operans, & peruadens *vsque ad diuisionem animæ & spiritus, compagum quoque & medullarum*, discretiuum concupiscentiarum *& cogitationum cordis*, imò omnium quæ sunt, non enim est creatura vlla inuisibilis in conspectu eius. Hoc paruum est sine quantitate, sine qua- Heb. 4, 12.

TEXTVS S. DIONYSII.

qualitate, ſine inhibitione, infinitum, incircumſcriptum, omnia comprehendens, ipſum verò à nullo comprehendi poteſt.

ἀκρατὲς, ἄπειρον, ἀόριστον, περιληπτικὸν πάντων, αὐτὸ δὲ ἀπερίληπτον.

§.4. *Quo ſenſu Deus dicatur idem.*

Idem autem ipſum eſt ſuperſubſtantialiter æternum, inconuertibile, ſecundùm eadem in ſemetipſo manens ſemper, & eodem modo ſe habens, omnibus æquè præſens, atque ipſum per ſe & in ſeipſo firmiter & intemeratè in pulcherrimis ſupraeſſentialis ſuæ idemtitatis finibus locatũ, immutabile, lapſus expers, permanens, inuariabile, non permixtum, expers materiæ, ſimpliciſſimum, non indigens, non augeſcens, non imminutum, ingenitum, non tamquam nondum factum, aut imperfectum, aut ab hoc aut hoc non factum, neque tamquam nullo modo exiſtens; ſed tamquam omnino ingenitum, & abſolutè ingenitum, & ſemper exiſtens, & per ſe perfectum, atque idem ſecundùm ſe, atque à ſeipſo vniformiter & eâdem ſpecie determinatum, atque illud idem etiam omnibus eius participandi capacibus adflans, & affluentia idemtitatis, & cauſa alia aliis coordinans, & idemtidem in ſemetipſo ea quę inter ſe contraria ſunt ſuperhabens ſecundùm vnam atque vnicam cauſam eminentem totius idemtitatis.

Τὸ δὲ ταυτὸν ὑπερουσίως ἀΐδιον, ἄτρεπτον, ἐφ' ἑαυτοῦ μένον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον, πᾶσιν ὡσαύτως παρὸν, καὶ αὐτὸ καθ' ἑαυτὸ ἐφ' ἑαυτοῦ σταθερῶς καὶ ἀχράντως ἐν τοῖς καλλίστοις πέρασι τῆς ὑπερουσίου ταυτότητος ἱδρυμένον, ἀμετάβλητον, ἀμετάπτωτον, ἀρρεπὲς, ἀναλλοίωτον, ἀμιγὲς, ἄϋλον, ἁπλούστατον, ἀπροσδεὲς, ἀναυξὲς, ἀμείωτον, ἀγένητον, οὐχ ὡς μή πω γινόμενον, ἢ ἀτελείωτον, ἢ ὑπὸ τοῦδε ἢ τόδε μὴ γινόμενον, οὐδ' ὡς μηδαμῇ μηδαμῶς ὂν, ἀλλ' ὥσπερ παναγένητον, καὶ ἀπολύτως ἀγένητον, καὶ ἀεὶ ὂν, καὶ αὐτοτελὲς ὂν, καὶ ταυτὸν ὂν καθ' ἑαυτὸ, καὶ ὑφ' ἑαυτοῦ μονοειδῶς καὶ ταυτοειδῶς ἀφοριζόμενον, καὶ τὸ ταυτὸν ἐξ ἑαυτοῦ πᾶσι τοῖς μετέχειν ἐπιτηδείοις ἐπιλάμπον, καὶ τὰ ἕτερα τοῖς ἑτέροις συντάττον, περιουσία καὶ αἰτία ταυτότητος, ἐν ἑαυτῷ καὶ τὰ ἐναντία ταυτῶς προέχον, κατὰ τὴν μίαν καὶ ἑνικὴν τῆς ὅλης ταυτότητος ὑπερέχουσαν αἰτίαν.

Τὸ δὲ ἕτερον, ἐπειδὴ πᾶσι προνοητικῶς ὁ Θεὸς πάρεστι, καὶ πάντα ἐν πᾶσι διὰ τὴν πάντων σωτηρίαν γίγνεται, * μένον ἐφ' ἑαυτοῦ καὶ τῆς οἰκείας ταυτότητος ἀνεκφοιτήτως κατ' ἐνέργειαν μίαν, καὶ ἄπαυστον ἑστηκὼς, καὶ ἑαυτὸν ἐπιδιδοὺς ἀκλίτῳ δύνα-

* γρ. μένων ita Cod. Vien.

§.5. *Quo ſenſu Deus dicatur aliud.*

Aliud autem, quia cunctis prouidentiâ ſuâ Deus adeſt, & propter omnium conſeruationem fit omnia in omnibus, dum in ſemet ipſo propriâque idemtitate inemananter permanens, & ſecundùm vnam inceſſantem operationem ſibi ipſi adhærens, virtu-

TEXTVS S. DIONYSII.

δυνάμει πρὸς ἐκθέωσιν τῶν ἐπεστραμμένων· καὶ τὴν ἑτερότητα τῶν ποικίλων τοῦ Θεοῦ κατὰ τὰς πολυειδεῖς ὁράσεις σχημάτων, ἕτερά τινα τοῖς φαινομένοις παρ' ὃ φαίνονται σημαίνειν οἰητέον. Ὡς γὰρ εἰ τὴν ψυχὴν αὐτὴν σωματοειδῶς ὁ λόγος διέπλαττε, καὶ μέρη σωματικὰ τῇ ἀμερεῖ περιέπλαττεν, ἑτέρως ἐνοοῦμεν ἐπ' αὐτῇ τὰ περιτιθέμενα μέρη, τῇ ἀμερείᾳ τῇ κατὰ ψυχὴν οἰκείως· καὶ κεφαλὴν μὲν τὸν νοῦν, αὐχένα δὲ τὴν δόξαν (ὡς ἐν μέσῳ λόγου καὶ ἀλογίας) στῆθος δὲ θυμὸν, γαστέρα δὲ τὴν ἐπιθυμίαν, σκέλη δὲ καὶ πόδας τὴν φύσιν ἐλέγομεν, τοῖς τῶν μερῶν ὀνόμασι τῶν δυνάμεων συμβόλοις χρώμενοι· πολλῷ γε μᾶλλον ἐπὶ τοῦ πάντων ἐπέκεινα τὴν ἑτερότητα τῶν μορφῶν καὶ τῶν σχημάτων, ἱεραῖς καὶ θεοπρεπέσι καὶ μυστικαῖς ἀναπτύξεσιν ἀνακαθαίρειν χρή. Καὶ εἰ βούλει τὰ τριπλᾶ τῶν σωμάτων σχήματα, τῷ ἀναφεῖ καὶ ἀσχηματίστῳ Θεῷ περιάψαι, πλάτος μὲν θεῖον ῥητέον, τὴν ὑπερευρεῖαν ἐπὶ πάντα τοῦ Θεοῦ πρόοδον· μῆκος δὲ, τὴν ὑπερεκτεινομένην τὰ ὅλα δύναμιν· βάθος δὲ, τὴν πᾶσι τοῖς οὖσιν ἀπερίληπτον κρυφιότητα καὶ ἀγνωσίαν. Ἀλλ' ὅπως μὴ λάθωμεν ἑαυτοὺς ἐκ τῆς τῶν ἑτεροίων σχημάτων καὶ μορφῶν ἀναπτύξεως, τὰς ἀσωμάτους θεωνυμίας ταῖς διὰ συμβόλων αἰσθητῶν συμφύροντες, διὸ περὶ μὲν

te quadam indeficiente ſemet ipſe tradit, ad diuinam formam conuerſis imprimendam: variarum autem Dei, ſecundùm multiformes viſiones, figurarum diuerſitate, quædam alia ab iis quæ viſis inſinuantur, ſignificari putandum eſt. Quemadmodum enim ſi quis cogitando animam ad corporeæ figuræ modum ipſam repræſentaret, & rei partium experti partes corporeas affingeret, alio modo in eâ partes, quæ illi attributæ eſſent, intelligeremus, prout nimirum conuenit ipſius indiuiduitati: & caput quidem intelligentiam, ceruicem verò opinionem (vtpote mediam inter rationem atque irrationalitatem) pectus autem iram, ventrem verò cupiditatem, crura denique ac pedes naturam diceremus, iſtarum partium nominibus pro facultatum ſymbolis vtendo; ita multò ſanè potiori ratione, in eo qui omnibus eminet, diuerſitas illa formarum atque figurarum, ſacris quibuſdam ac Deo congruis myſticiſque explanationibus, anagogicè eſt deſcribenda. Et ſi tripartitas corporis figuras ipſi Deo, qui tangi ac figurari nequit, attribuere volueris; diuina quidem latitudo dicenda eſt, latiſſima ad vniuerſas res progreſſio; longitudo autem, potentia quæ ſupra omnia expanditur; profundum verò, arcanum illud omnibus inacceſſum, eiuſdemque ignoratio. Verùm ne fallamus noſmetipſos, dum variis figuris formiſque explicandis inſiſtimus, diuinarum rerum incorporeas appellationes cum ſignorum ſenſibilium appellationibus confundendo,

Quæ ſit longitudo, latitudo & profunditas in Deo.

TEXTVS S.DIONYSII.

de his in Symbolicâ Theologiâ disseruimus: nunc autem diuinam diuersitatem, ne mutationem quamdam eius, qui immutabiliter idem est, esse suspicemur, sed potiùs multiplicationem singularem, & emanationes simplices ad omnia.

§.6. *Quo sensu Deus dicatur similis.*

Similem verò Deum si quis dicat vt eumdem, & vt totum per totum sibi vnitè & impartibiliter similem, non est improbandum nomen diuinum similis. Theologi tamen Deum, qui est supra omnia, quatenus ipse est, nullius similem esse aiunt, sed ipsum diuinam similitudinem dare iis qui ad eum conuertuntur, dum eum supra omnem terminum ac rationem pro viribus imitantur. Atque hæc est diuinæ similitudinis vis, vt omnia quæ producta sunt, ad auctorem suum conuertat. Ista igitur Deo similia dicenda sunt, vt ad eius imaginem ac similitudinem effecta: non autem Deus iis similis dicendus est, quia ne quidem homo est imagini suæ similis; quoniam quæ æqualia sunt, possunt quidem sibi inuicem esse similia, & ad vtraque potest ista similitudo reciprocari, vt sint ambo inuicem similia secundùm principalem speciem similitudinis; in causâ verò ad effectus nequaquam admittemus istiusmodi reciprocationem. Neque enim solis his aut illis dat Deus vt similia sint, sed causa est cur similia sint omnia, quibuscum similitudo est communicata, idemque est etiam ipsius similitudinis auctor; &

Causa ad effectus non esse similitudinem.

τούτων ἐν τῇ Συμβολικῇ Θεολογίᾳ· νῦν δὲ αὐτὸ τὴν θείαν ἑτερότητα, μὴ ἀλλοίωσίν τινα τῆς ὑπερατρέπτου ταυτότητος ὑποπτεύσωμεν, ἀλλὰ τὸν ἑνιαῖον αὐτοῦ πολυπλασιασμὸν, καὶ τὰς μονοειδεῖς τῆς ἐπὶ πάντα πολυγονίας προόδους.

Ὅμοιον δὲ τὸν Θεὸν εἰ μὲν ὡς ταὐτὸν εἴποι τις, ὡς ὅλον δι' ὅλου ἑαυτῷ μονίμως καὶ ἀμερίστως ὄντα ὅμοιον, οὐκ ἀτιμαστέον ἡμῖν τὴν τοῦ ὁμοίου θεωνυμίαν. Οἱ δὲ Θεολόγοι τὸν ὑπὲρ πάντα Θεὸν, ᾗ αὐτὸς, οὐδενί φασιν εἶναι ὅμοιον, αὐτὸν δὲ ὁμοιότητα θείαν δωρεῖσθαι τοῖς ἐπ' αὐτὸν ἐπιστρεφομένοις, τῇ κατὰ δύναμιν μιμήσει τὸν ὑπὲρ πάντα καὶ ὅρον καὶ λόγον. Καί ἐστιν ἡ τῆς θείας ὁμοιότητος δύναμις, ἡ τὰ παραγόμενα πάντα πρὸς τὸ αἴτιον ἐπιστρέφουσα. Ταῦτα γοῦν ῥητέον ὅμοια τῷ Θεῷ, καὶ κατὰ θείαν εἰκόνα καὶ ὁμοίωσιν· οὐδὲ γὰρ αὐτοῖς τὸν Θεὸν ὅμοιον, ὅτι μηδὲ ἄνθρωπος τῇ ἰδίᾳ εἰκόνι ὅμοιος· ἐπὶ γὰρ τῶν ὁμοταγῶν δυνατὸν καὶ ὅμοια αὐτὰ ἀλλήλοις εἶναι, καὶ ἀντιστρέφειν ἐφ' ἑκάτερα τὴν ὁμοιότητα, καὶ εἶναι ἄμφω ἀλλήλοις ὅμοια κατὰ προηγούμενον ὁμοίου εἶδος, ἐπὶ δὲ τοῦ αἰτίου καὶ τῶν αἰτιατῶν, οὐκ ἀποδεξόμεθα τὴν ἀντιστροφήν. Οὐ γὰρ μόνοις τοῖσδε ἢ τοῖσδε τὸ ὁμοίως εἶναι δωρεῖται, πᾶσι δὲ τοῖς ὁμοιότητος μετέχουσι, τοῦ εἶναι ὁμοίοις ὁ Θεὸς αἴτιος γίγνεται, καί ἐστι καὶ αὐτῆς τῆς αὐτομοιότητος ὑποστάτης, καὶ τὸ

ἐν

ἐν πᾶσιν ὅμοιον ἴχνει τινὶ τῆς θείας ὁμοιότητος ὅμοιόν ἐστι, καὶ τὴν ἕνωσιν αὐτῶν συμπληροῖ.

Καὶ τί δεῖ περὶ τούτου λέγειν; Αὐτὴ γὰρ ἡ Θεολογία τὸ ἀνόμοιον αὐτὸν εἶναι πρεσβεύει, καὶ τοῖς πᾶσιν ἀσύντακτον, ὡς καὶ πάντων ἕτερον, καὶ τὸ δὴ παραδοξότερον, ὅτι μηδὲ εἶναί τι ὅμοιον αὐτῷ φησι. Καίτοι οὐκ ἐναντίος ὁ λόγος τῇ πρὸς αὐτὸν ὁμοιότητι· τὰ γὰρ αὐτὰ καὶ ὅμοια Θεῷ, καὶ ἀνόμοια· τὸ μὲν, κατὰ τὴν ἐνδεχομένην τοῦ ἀμιμήτου μίμησιν· τὸ δὲ, κατὰ τὸ ἀποδέον τῶν αἰτιατῶν τοῦ αἰτίου, καὶ μέτροις ἀπείροις καὶ ἀσυγκρίτοις ἀπολιμπανόμενον.

Τί δὲ καὶ περὶ τῆς θείας στάσεως, ἤτοι καθέδρας, φαμέν; Τί δὲ ἄλλο γε, παρὰ τὸ μένειν αὐτὸν ἐν ἑαυτῷ τὸν Θεὸν, καὶ ἐν ἀκινήτῳ ταυτότητι μονίμως πεπηγέναι, καὶ ἀραρότως ὑπεριδρῦσθαι, καὶ τὸ κατὰ τὰ αὐτὰ καὶ περὶ τὸ αὐτὸ καὶ ὡσαύτως ἐνεργεῖν, καὶ κατὰ τὸ ἀμετάστατον αὐτὸν ἐξ ἑαυτοῦ πάντως ὑπάρχειν, καὶ κατὰ τὸ ἀμετακίνητον αὐτοῦ, καὶ ὁλικῶς ἀκίνητον, καὶ ταῦτα ὑπερουσίως· αὐτὸς γάρ ἐστιν ὁ τῆς πάντων στάσεως καὶ ἕδρας αἴτιος, ὁ ὑπὲρ πᾶσαν ἕδραν καὶ στάσιν, καὶ ἐν αὐτῷ πάντα συνέστηκεν, ἐκ τῆς τῶν οἰκείων ἀγαθῶν στάσεως ἀσάλευτα διαφυλαττόμενα.

Τί δὲ καὶ ὅταν αὖθις οἱ Θεολόγοι καὶ ἐπὶ πάντα προϊόντα, καὶ κινούμενόν φασι τὸν ἀκίνητον, οὐ θεοπρεπῶς καὶ τοῦτο νοητέον; Κινεῖσθαι

quidquid est in omnibus simile, vestigio quodam diuinæ similitudinis simile existit, & eorumdem coniunctionem explet. TEXTVS S. DIONYSII.

Sed quorsum hæc dicuntur? Nam & ipsamet Scriptura dicit Deum esse dissimilem, nulliquè conferendum, vt ab omnibus diuersum, &, quod magis mirandum est, nihil ei esse simile. Verumtamen nequaquam id eius similitudini repugnat; nam eadem Deo & similia sunt & dissimilia: similia quidem, secundùm possibilem eius qui participari nequit participationem; dissimilia verò, secundùm effectuum à causis differentiam infinitis prorsus parasangis incomparabiliter distantem. §. 7. *Quo sensu Deus dicatur dissimilis.*

Quid autem de diuino statu vel sede dicamus? Quid, inquam, aliud, præterquam manere Deum in seipso, & in eodem statu immobili firmè fixum, & supraquam fundatum esse stabiliter, & secundùm eadem & circa idem ipsum & similiter operari, & omnino esse à seipso immutabilem, & non posse transmoueri, & esse ex toto immobilem, atque hæc quidem supra substantiam; ipse enim est omnis status & sessionis auctor, qui supra sessionem omnem ac statum existit, & in ipso cuncta consistunt, dum in bonorum suorum statu inconcussa conseruantur. §. 8. *Quo sensu Deus dicatur stare vel sedere.*

Quid porrò, quando iterùm Theologi tradunt, eum qui immobilis est ad vniuersa procedere ac moueri, nónne id etiam ratione quadam Deo congruâ intelligendum est? Piè siquidem §. 9. *Quo sensu dicatur Deus moueri.*

Iiiii 2 putan-

TEXTVS S.DIONYSII.

putandum eſt ipſum moueri, nõ ſecundùm delationem, vel immutationem, vel alterationem, vel conuerſionem, aut localem motum, vel rectum, vel orbicularem, vel ex vtriſque conſtantem, vel intellectilem, vel animalem, vel naturalem, ſed ſecundùm quod Deus omnia in rerum naturam producit continetque, atque omnibus modis rebus omnibus prouidet, omnibus adeſt incomprehensè omnia complectendo, idque omnibus prouidentiæ viis & operationibus. Quin & immobilis Dei motus ratione quadam Deo conuenienti poſſit prędicari. Ac rectus quidem intelligendus de inflexibilitate & indeclinabili progreſſu operationũ, eoque, qui ex ipſo eſt, rerum omnium ortu; obliquus autem de illarum ſtabili progreſſu ac fecundo ſtatu; circularis denique de idemtitate ac complexione mediorum atque extremorum quæ continent atque continentur, & de illorum, quæ ab ipſo prodierunt, ad ipſum conuerſione.

Quomodo Deo conueniat triplex motus.

§.10. *Quo ſenſu Deus dicatur æqualis.*

Si quis verò in ſanctis Scripturis nomen, quo Deus nominatur idem, & quo nominatur iuſtus, in nomine diuino, quo nominatur æqualis, accipiat, dicendum eſt, Deum eſſe æqualem, non ſolùm vt expertem partium, & qui à recto declinare non poſſit, ſed vt in omnia & per omnia æqualiter meantem, & vt per ſe æqualitatis effectorem, ſecundùm quam æqualiter operatur ſimilem omnium per ipſa inter ſe inceſſum, & participationẽ æqualiter participantium, vt quodque eorum

γὰρ αὐτὸν εὐσεβῶς οἰητέον, οὐ κατὰ φορὰν, ἢ ἀλλοίωσιν, ἢ ἑτεροίωσιν, ἢ τροπὴν, ἢ τοπικὴν κίνησιν, οὐ τὴν εὐθεῖαν, οὐ τὴν κυκλοφορικὴν, οὐ τὴν ἐξ ἀμφοῖν, οὐ τὴν νοητὴν, οὐ τὴν ψυχικὴν, οὐ τὴν φυσικὴν, ἀλλὰ τὸ εἰς οὐσίαν ἄγειν τὸν Θεὸν καὶ συνέχειν τὰ πάντα, καὶ παντοίως πάντων προνοεῖν, καὶ τὸ παρεῖναι πᾶσι τῇ πάντων ἀσχέτῳ περιοχῇ, καὶ ταῖς ἐπὶ τὰ ὄντα πάντα προνοητικαῖς προόδοις καὶ ἐνεργείαις. Ἀλλὰ καὶ κινήσεις Θεοῦ τοῦ ἀκινήτου, θεοπρεπῶς τῷ λόγῳ συγχωρητέον ὑμνῆσαι. Καὶ τὸ μὲν εὐθὺ, τὸ ἀκλινὲς νοητέον, καὶ τὴν ἀπαρέγκλιτον πρόοδον τῶν ἐνεργειῶν, καὶ τὴν ἐξ αὐτοῦ τῶν ὅλων γένεσιν· τὸ δὲ ἑλικοειδὲς, τὴν σταθερὰν πρόοδον, καὶ τὴν γόνιμον στάσιν· τὸ δὲ κατὰ κύκλον, τὸ ταὐτὸν, καὶ τὸ τὰ μέσα καὶ ἄκρα περιέχοντα καὶ περιεχόμενα συνέχειν, καὶ τὴν εἰς αὐτὸν τῶν ἀπ' αὐτοῦ προεληλυθότων ἐπιστροφήν.

Εἰ δέ τις τὴν τοῦ αὐτοῦ τῶν Λογίων, ἢ τὴν τῆς δικαιοσύνης θεωνυμίαν, ἐπὶ τοῦ ἴσου λαμβάνοι, ῥητέον ἴσον τὸν Θεὸν, οὐ μόνον ὡς ἀμερῆ καὶ ἀπαρέγκλιτον, ἀλλὰ καὶ ὡς ἐπὶ πάντα καὶ διὰ πάντων ἐπ' ἴσης διαφοιτῶντα, καὶ ὡς τῆς αὐτοϊσότητος ὑποστάτην, καθ' ἣν ἰσουργεῖ τὴν δι' ἀλλήλων ἁπάντων ὁμοίαν χώρησιν, καὶ τὴν τῶν μεταλαμβανόντων ἐπ' ἴσης μετοχὴν, κατὰ τὴν ἑκάστων ἐπιτη-

δειότη-

δειότητα, καὶ τὴν ἴσην κατ' ἀξίαν ἐπὶ πάντα νενεμημένην δόσιν, καὶ κατὰ τὸ πᾶσαν ἰσότητα, νοητὴν, νοερὰν, λογικὴν, αἰσθητικὴν, οὐσιώδη, φυσικὴν, θελητὴν ἐξῃρημένως καὶ ἑνιαίως ἐν ἑαυτῷ προειληφέναι, κατὰ τὴν ὑπὲρ πάντα πάσης ἰσότητος ποιητικὴν δύναμιν.

aptum eſt, & æqualem in omnia pro cuiuſque dignitate diſtributionem; & quatenus omnem æqualitatem intellectilem, intelligentem, ratiocinantem, ſentientem, ſubſtantialem, naturalem, voluntariam, exemptè & vnitè in ſe ipſe anticipauit, ſecundùm virtutem omnia ſuperantem, omniſque æqualitatis effectricem.

ANNOTATIONES CORDERII.

ANNOTATIONES CORDERII.

§. 1. QVONIAM *verò etiam magnum & paruum*, &c.] Notanda ſunt hîc loca Scripturæ ad quæ alludit, ſcilicet in *Magno*, ad Pſal. 85. *Quoniam magnus es tu.* & Pſalmum 146. *Magnus Dominus noſter*. In *Paruo*, ad illud Iſa. 9. *Paruulus natus eſt nobis. Idem*, Pſal. 101. *Tu autem idem ipſe es.* & 1. Corinth. 12. *Idem autem Deus qui operatur omnia in omnibus*. *Alterum*, Ioan. 14. *Et ego rogabo Patrem, & alium Paraclitum dabit vobis. Simile*, Geneſ. 1. *Faciamus hominem ad imaginem & ſimilitudinem noſtram.* & Pſal. 101. *Similis factus ſum pelicano. Diſsimile*, 2. Paralip. 6. *Non eſt ſimilis tui Deus. Stans*, Pſal. 81. *Deus ſtetit in ſynagogâ Deorum. Sedens*, Pſal. 28. *Et ſedebit Dominus Rex in æternum. Mobile*, Sap. 7. *Omnibus mobilibus mobilior eſt ſapientia. Immobile*, Malach. 3. *Ego Dominus, & non mutor.*

Quo ſenſu Deus magnus dicatur.

§. 2. *Ac magnus quidem Deus appellatur*, &c.] Hîc varias (inquit Leſſius) aſſignat cauſas cur Deus dicatur magnus. Primò, quia omnis magnitudinis cauſa: omnia enim magna ipſius largitione habent, quòd magna ſint, at propter quod vnum quodque tale, illud magis. Secundò, quia non ſolùm magnis omnibus coëxtenditur, ſed etiam extrinſecus ſine termino ſupra-circumfunditur & expanditur, ſicut lumen circumfunditur pilæ vitreæ ad ſolem pendenti. Tertiò, quia omnem ambit locum, intellige non ſolùm verum (id enim etiam cælum extimum vel eius conuexa ſuperficies facit) ſed etiam imaginarium, quantumuis magnus extra cælum locus cogitetur. Quartò, quia omnem excedit numerum; nam & numeri magni dicuntur. Hanc numerorum magnitudinem excedit magnitudine potentiæ, ſapientiæ, bonitatis & extenſionis: plura enim poteſt, plura nouit, pluribus æquiualet, pluribus coëxiſtere & coëxtendi, ac plura intra ſinum amplitudinis ſuæ admittere poteſt, quàm numero aliquo, quantumuis magno, poſſint comprehendi. Quintò, quia omnem tranſilit infinitatem. Eſt autem infinitas quintuplex. Primò in ſubſtantiis, quatenus ſpecies rerum excurrunt in infinitum, aliæ aliis ſine termino perfectiores, ſicut numeri abſque termino ſunt alij aliis maiores; ſecundò in magnitudine; tertiò in duratione; quartò in numeris; quintò in qualitatibus, & in perfectione intenſiuâ. Hanc omnem infinitatem Deus ſuâ magnitudine tranſit, ſeſe illi veluti coëxtendens & ſuperextendens, eamque intra ſe complectens, & totam ambiens: complectitur enim in ſe & ſuperat omnem dimenſionem, omnem æternitatem, omnem multitudinem, omnẽ perfectionem intenſiuam, imaginabilẽ, & omnes rerum ſpecies ſub multis generibus ſubſtãtiarum & qualitatum in infinitum excurrentes.

S. Gregorius libro 2. Moralium capite 12. Deus, inquit, ipſe manet intra omnia & extra omnia, ipſe ſupra omnia & infra omnia, ſuperior per potentiam, inferior per ſuſtentationem, exterior per magnitudinem, interior per ſubtilitatem, ſurſum regens, deorſum continens, extrà circumdans, interiùs penetrans, nec aliâ parte ſuperior, aliâ inferior, aut aliâ parte exterior, aliâ interior; ſed vnus & idem, totus vbique præſidendo ſuſtinens, & ſuſtinendo præſidens, circumdando penetrans, penetrando circumdans. Plura vide apud Leſſium lib. 2. de Perfectionibus diuinis, cap. 1.

§. 3. *Paruum verò ſiue ſubtile in ipſo dicitur.*] Notat, nomen parui de Deo dictum nihil vile aut abiectum ſignificare, vt

Quo ſenſu paruum de Deo dicatur.

ANNOTATIONES CORDERII.

vt in creatis, sed parui proprietates, v. g. subtilitatem, penetrabilitatem, incomprehensibilitatem,&c. excellenter in Deo reperiri sine vllâ imperfectione. Confirmat id ex Apostolo ad Hebræos 4, 12. vbi dicitur sermo, seu Verbum Dei, penetrare *ad diuisionem animæ & spiritus*; quoniam examinat & discernit motus & cogitationes animæ, id est animales, & spiritus, id est rationales ac spiritales: *compagum quoque ac medullarum*, id est intimas hominis partes peruadit. S. Gregorius Hom. 21. in Ezechielem, per *compages*, cogitationes inuicem nexas, per *medullas* intentiones accipit, vt Apostolus seipsum explicet in sequentibus. Quasi dicat, Omnia omnino intima & abditissima nouit, examinat, iudicat, vindicat. *Et cogitationum cordis*, quippe καρδιογνώστης, *scrutans renes & cor Deus.* (Psal. 7, 10.)

§. 4. *Idem autem ipsum.*] Agit hîc de immutabilitate Dei, de quâ vide pulchrè & fusè apud Lessium l. 3. de Perf. diuinis.

Quid & quotuplex ingenitum.

Ibidem: *Ingenitum, non tamquam nondum factum*, &c. *sed tamquam omnino ingenitum*, &c.] Vide Maximum & Pachymerem & diuum Thomam ad hunc locum. S. Athanasius in iis quæ contra Monophysitas edidit, Ingenitum, inquit, id est non creatum, solus Deus est. Deinceps dubitans, quomodo Dionysio summo Theologo in mentem venisset, vt Deum diceret esse supra omne ingenitum, multa ingenita significauit, id est non creata. Atqui, inquit, quomodo hoc fieri potest? nemo namque ingenitus, nisi solus Deus. Post quæ rursus confutans opinionem Manichæorum, Dionysium Alexandrinum citat verbi huius interpretem, cùm ait: Solet externa Philosophia vocare ingenitum omnem naturam inaspectabilem; quibus sic vocatis, Deum dixit Theologus Dionysius antecellere. Et S. Epiphanius, Ab omni, inquit, causâ planè exemptum est ingenitum, quia vnum est ingenitum & venerãdum. Quomodo autem *ingenitum* sit proprietas & notio Dei Patris, vide Scholasticos in 1. Partem quæst. 33. art. 4.

§. 5. *Aliud autem quia cunctis prouidentiâ suâ adest*, &c.] Ponit hîc, inquit D. Thomas, duos modos quibus nomen Aliud Deo competit. Primum, quod omnibus prouidentiâ suâ fit omnia; secundum, quòd diuersis visionibus quid aliud à rebus visis de Deo insinuetur. Aliter vocem *aliud* in diuinis vsurpat Athanasius in Dialogo Orthodoxi & Anomij, dicẽs,

Quomodo aliud & aliud in Deo locum habeat.

Aliud est substantia, & aliud persona, aliud & aliud; compositio igitur. Et se explicans ait, Aliud & aliud dixi, non vt rem aliam & aliam, sed vt aliud significante personâ, & aliud substantiâ: sicut granum frumenti dicitur & est semen, & fructus, non res alia & alia; sed aliud quid significat semen, aliud fructus. Vbi nota, quòd aliud dicitur significare in diuinis substantia, & aliud persona; quia licet vnam & eamdem rem substantia & persona significent, aliter tamen eam significat substantia, & aliter persona. & rectè dicitur Græcè ἄλλο καὶ ἄλλο, id est *aliud & aliud*, vbi solùm est alius & alius modus significandi. Sicut semen & fructus vnam rem significant, granum scilicet frumenti; aliud tamen & aliud dicuntur significare, non tamquam aliam & aliam rem, sed quia aliter significat illam vnam rem semen, & aliter fructus. Semen enim ita significat granum frumenti, vt intelligamus in eo contineri seminaliter aliud simile: semen enim est, in quo est virtus seminalis ad producendum aliud simile. Fructus autem non sic significat granum frumenti, sed esse fructum alterius siue productum ab alio: sic etiam substantia & persona vna res sunt, & vnam rem significant, sed aliter rem significat persona, scilicet singulariter, substantia verò communiter. Quam enim rationem habet commune ad proprium (ait Basilius in Epistolâ ad Terentium) hanc habet substantia ad personam. Hic igitur modus diuersus significandi vnam alioqui & eamdem rem, vocatur ab Athanasio aliud & aliud; non quia alia & alia res sit, sed quia vna & eadem res alio & alio modo significatur. Possunt enim esse vnius rei plura nomina, vt vnum nomen plurium rerum.

Quid in Deo longitudo, latitudo, profundum.

Ibidem. *Diuina quidem latitudo*, &c.] Alludit ad locum Apostoli ad Ephesios 3, 18. qui locus commodè accipi potest de Christo quà Deus. Licet enim omnes dimensiones in Deo vnum sint, vnaque immensitas, sitque Deus quasi sphæra intelligibilis carens dimensione, vt explicat Ambrosius, tamen dimensiones in Deo distinguendo, vti in creatis distinguuntur, secundùm Dionysium, *Latitudo* est prouidentiæ processus latè expansus; *Longitudo*, omnipotentia se ad omnia extendens; *Profundum*, arcanum Dei ignotum. Secundùm alios Patres, *Longitudo* æternitas, *Latitudo* omnipotentia, *Sublimitas* est diuina maiestas, *Profun-*

fundum abyssus iudiciorum & sapientiæ Dei. Ita S. Anselmus, D. Thomas, & alij. Alios sensus vide apud P. Cornelium in Epistolâ ad Ephesios. Præ reliquis mihi placet explicatio P. Lessij lib. 2. de Perfectionibus diuinis, cap. 1. Ita vt *Longitudo* sit Dei longanimitas, & patientia, quâ tot sæculis sustinuit peccatores, expectans eos ad pœnitentiam; *Latitudo* sit eius charitas, quâ omnes Gentes, etiam inimicos, complectitur; *Sublimitas* gloriæ celsitudo, quam diligentibus se præparauit; *Profundum* damnatio & miseriarum abyssus impiis præparata.

Deus similis sibi.

Ἐκ τῶν πρώτως.] Πρώτως ὄντα τὰς νοητὰς φησι δημιουργίας, τὰς καὶ ἀσωμάτους, τουτέστι τοὺς Ἀγγέλους. Σημείωσαι τὸ Ἀρχηγικῶς, ὅτι πρώτως ὑφέστηκε· φησὶ τὸ ὑπερ-

SCHOLIA S. MAXIMI.

οὐσίον, ἀντὶ τοῦ, ὁ Θεός· μόνος γὰρ ποιητὴς νοητῶν καὶ αἰσθητῶν. Οὐ γὰρ δεῖ πείθεσθαι τοῖς λέγουσι τὰς δημιουργικὰς δυνάμεις τοῦ Θεοῦ, θεοὺς εἶναι, ὅπερ οὐκ ἔστι· μόνος γὰρ ὁ Θεὸς δημιουργός. Σημείωσαι, ὅτι μόνος ὁ Θεὸς ποιητὴς πάντων νοητῶν καὶ αἰσθητῶν.

Α᾽γκύλον.] Ἐπικαμπές.

Καὶ θεοὺς τῶν ὄντων.] Ὅτι οὐκ εἰσὶ θεοὶ ἢ δημιουργοὶ Ἄγγελοι, οὐδὲ ἄλλο τὶ παρὰ τὸν Θεόν.

Ἀληθῶς καὶ κυρίως.] Σημείωσαι, ὅτι οὐδὲ οὗτος ὁ θεῖος ἀνὴρ διαφορὰν οἶδε τοῦ κυρίως καὶ ἀληθῶς.

Τὴν αὐτουσίωσιν.] Ἐν τούτοις σαφέστερον τὴν λύσιν ἐποιήσατο τοῦ προτεθέντος προβλήματος, ὅπως χρὴ λαβεῖν τὸ, ποτὲ λέγεσθαι μὲν αὐτὸν αὐτοζωὴν, καὶ τὰ σὺν αὐτῷ τὸν Θεόν· ποτὲ δὲ τούτων ὑποστάτην, ἤγουν ταῦτα ὑποστήσαντα· ὅτι ὁ μὲν ὡς αἴτιος τούτων καὶ ἀρχὴ ὑπεράρχιος, οὕτω ταῦτα λέγεται· τὰ δὲ ὄντα τούτων μετέχοντα, καλοῦνται ἐξ αὐτῶν ζῶντα, καὶ ὄντα, καὶ ἔνθεα. Τὴν ζώωσιν γοῦν, τὴν οὐσίωσιν ἀντὶ τοῦ τὰ πράγματα, ὑπέστησεν ὁ Θεός. Πρώτως οὖν ἐννοοῦμεθα αὐτὸ τὸ πρᾶγμα· εἶθ᾽ οὕτω τὴν καθολικὴν αὐτοῦ ἔννοιαν, οἷον τὴν παντοίως θεωρουμένην ζωὴν ἢ οὐσίαν, καὶ τότε τὰ μερικὰ, τουτέστι τὴν τοῦ καθ᾽ ἕκαστον εἶδος ἔννοιαν λαμβάνομεν, οἷον τῆς ἀγγελικῆς ἢ τῆς ἀνθρωπίνης ζωῆς, καὶ τῶν λοιπῶν οἷς συνεισβάλλει, καὶ αὐτῶν τῶν μετεχόντων ἡ μνήμη. Ἐπαγαγὼν δὲ, Εἶτα τῶν ὅλων αὐτῶν μετεχόντων, ἐδήλωσεν, ὡς οὐ πάντα πάντων μετέχουσι· τὰ μὲν γὰρ οὐσίας μόνης, τὰ δὲ ζωῆς, τὰ δὲ καὶ νοήσεως, ἢ καὶ νοερότητος, τὰ δὲ πρὸς τούτοις καὶ θεώσεως.

Ὧν τὰ ὄντα οἰκείως ἑαυτοῖς.] Τὸ δοκοῦν ἀσαφέστερον, σαφηνιστέον οὕτως. Ὁ Θεὸς πάντα εἰς σωτηρίαν ἐν ἑαυτῷ προέχων ὑπερηνωμένως καὶ ἀσυνθέτως, καὶ ὡς πηγαία ἀρχὴ δι᾽ ἀγαθότητος ὑπερβολὴν, καὶ τοῖς ἐξ αὐτοῦ δημιουργικῶς ὑποστᾶσι καθάπερ ἀκτῖνάς τινας ἀφιεὶς, μένων ὅλως ἐν ἑαυτῷ, μεταδίδωσι μεθεκτῶς ἑκάστῳ οἰκείως τῶν μεγάλων αὐτοῦ προτερημάτων. Αἱ οὖν ἐκ τῶν ἐνόντων αὐτῷ ἀγαθῶν εἰς μετάδοσιν ἐλλάμψεις πρωτοτύπως λέγονται, καὶ αὐτοεῖναι, καὶ αὐ-

ſubſtantiam pro Deo, ſolus enim intellectilium ac ſenſilium creator eſt. Minimè enim auſcultandum eſt iis qui ſpargunt, creatrices Dei virtutes Deos exiſtere, quod falſum eſt: nam ſolus Deus creator exſiſtit. Vbi nota, ſolum Deum creatorem eſſe omnium intellectilium atque ſenſilium.

CONTORTVM.] Inflexum.

ET DEOS RERVM.] Quoniam Angeli non ſunt Dij, neque creatores, neque aliud quidpiam creat præter Deum.

VERE ET PROPRIE.] Nota, quòd neque diuinus hic vir differentiam agnoſcat inter *propriè* ac *verè*.

PER SE ESSE.] In his clarè ſoluit propoſitam quæſtionem, quemadmodum accipiendum ſit, quandoque quidem Deum dici per ſe vitam, & alia eiuſmodi, quandoque verò horum effectorem eſſe, id eſt, hæc creaſſe: quoniam, tamquam cauſa ille quidem horum & principium, ſupraquam principium vocatur his nominibus; ea verò quæ hæc participant, inde, id eſt, ex participatis dicuntur eſſe, & viuere, & diuina eſſe. Vitæ igitur creationem, & ſubſtantiæ creationem, ipſas, inquam, res fecit Deus. Primùm igitur cogitamus rem ipſam, deinde ipſius rei generalé notionem informamus, v. g. vitam aut ſubſtantiam vniuersè conſideratam, & poſteà in parte, id eſt, cuiuſque ſpeciei notionem accipimus, v. g. Angelicæ aut humanæ vitæ, & ceterorum, cum quibus ſimul participantium memoria occurrit. Cùm autem addit, *Deinde quæ vniuersè illa participant*, indicauit, non omnia participare vniuerſa; ſiquidem aliqua ſolam eſſentiam, alia verò vitam, alia verò notionem ſeu intelligentiam, alia denique etiam præter illa diuinitatem participant.

Quomodo Deus ſit per ſe vita, &c.

QVÆ RES PROVT CVIQVE CONVENIT.] Id quod obſcurius videtur, ita eſt explicandum. Deus omnia ad ſalutem in ſeipſo ſupraquam vnitè & incópoſitè præhabens, & tamquam principium fontale, propter bonitatis abundantiam, iis, quæ ab ipſo creata ſunt, quaſi quoſdam radios immittens, totus in ſe permanens, pro captu cuique ſuo, benignâ ſanè communicatione, magnas ſuas excellentias impertit. Itaque illuſtrationes ex bonis illis communicabilibus, quæ ipſi inſunt, primo loco dicuntur, & per ſe eſſe, &

SCHOLIA S. MAXIMI.

per se viuere, & per se deificare, & quæcumque similia, secundùm imitationem principiorum, id est eorum quæ ipsius Dei sunt, dico per se deitatis, & per se bonitatis, & per se vitæ. Secundariò verò etiam tota ipsa condidisse dicitur propter substantias, quæ per processum eius ad extra subsistunt, quæ substantialiter sunt vitæ, & participatè dantur iis quæ merentur. Tertiò denique particularium harum participationum: quędam enim solius viuificationis, quædam verò etiam deificationis, quædam denique horum simul omnium participationem habent, vt supremæ illæ virtutes intellectiles.

Particvlarivm.] Particularia vocat generum propagines.

Et per se bonitatis.] Quoniam etiam per se bonitatis ac deitatis conditor est is, qui est supraquam bonus & supraquam Deus. Nota igitur, talia non esse Dei essentiam. Lege Epistolam secundam ad Caium.

Providentias et bonitates.] Prouidentias & bonitates vocat ea, quæ anteà vocauit substantificationem, viuificationem, bonitatem, diuinitatem, pulchritudinem, & similia.

A Deo, qvi est extra svi participationem.] Paulò antè dixerat, Deum esse participabilem, modò dicit, imparticipabilem existere. Deus itaque est participabilis secundùm liberales suas communicationes; imparticipabilis verò secundùm quod ipse earum auctor est, idque supra omnia habet proprium, vt omnia ipsum pro captu suo participent: hoc enim simile est isti, quod suprà Capite quinto dictum est; nempe quòd sit id quod est, & in omnibus sit, & nihil omnium sit. quia enim manet, & viuificat, atque conseruat, dicitur in omnibus esse. Nihil autem rerum est, quatenus causa est productionis omnium: causa verò numquam ex effectis esse potest. Sic etiam hoc loco Deus quidem participabilis est, quatenus omnia quæ sunt ipsum participant, & per ipsum consistunt; quod enim eum non participat, neque est, neque erit, neque erat. Rursum verò imparticipabilis existit, quoniam nihil eorum quæ sunt essentiam eius participat: nam Deus, secundùm propriam suam naturam, est supra ea quæ sunt.

τοζωώσεις, καὶ αὐτοθεώσεις, καὶ ὅσα τοιαῦτα, κατὰ μίμησιν τῶν ἀρχῶν, τουτέστι τῶν αὐτοῦ δὴ τῶν Θεοῦ ὄντων, φημὶ τῆς αὐτοθεότητος, καὶ αὐτοαγαθότητος, καὶ αὐτοζωῆς. Δευτέρως δὲ καὶ ὅλα αὐτὰ ὑποστῆναι λέγεται, διὰ τὰς κατὰ πρόοδον ὑποστασῶν ὑπ' αὐτοῦ οὐσιῶν, ζωῶν οὐσῶν, οὐσιωδῶν, καὶ διδομένων μεθεκτῶν τοῖς ἀξίοις. Τρίτως δὲ, τῶν μερικῶν τούτων μεταδόσεων· τινὰ γὰρ μετέχει ζωώσεως μόνης, τινὰ δὲ καὶ θεώσεως, τινὰ καὶ τῶν ὅλων ὁμοῦ τούτων, ὡς αἱ ἀνώταται νοηταὶ δυνάμεις.

Τῶν μερικῶν.] Μερικά φησι τὰς διαδοχὰς τῶν γενῶν.

Καὶ τῆς αὐτοαγαθότητος.] Ὅτι καὶ τῆς αὐτοαγαθότητος καὶ θεότητος ὑποστάτης ἐστὶν ὁ ὑπεράγαθος καὶ ὑπέρθεος. Σημείωσαι οὖν, ὅτι οὐκ ἔστιν οὐσία Θεοῦ τὰ τοιαῦτα. Ἀνάγνωθι ἐν τῇ β. πρὸς Γάϊον Ἐπιστολῇ.

Προνοίας καὶ ἀγαθότητας.] Προνοίας καὶ ἀγαθότητάς φησιν, ἅπερ προεῖπεν οὐσίωσιν, ζώωσιν, ἀγαθότητα, θεότητα, κάλλος, καὶ τὰ ὅμοια.

Ἐκ Θεοῦ τοῦ ἀμεθέκτου.] Πρὸ βραχέος εἰπὼν μεθεκτὸν τὸν Θεὸν, νῦν ἀμέθεκτον αὐτόν φησιν εἶναι. Μεθεκτὸς μὲν οὖν ὁ Θεὸς κατὰ τὰς φιλοδώρους αὐτοῦ μεταδόσεις, ἀμέθεκτος δὲ, κατὰ τὸ αὐτὸν αἴτιον ὄντα, καὶ τοῦτο ὑπὲρ πάντα ἔχειν ἰδίως, ὧν πάντα προσφόρως μετέχει· ὅμοιον γάρ ἐστι τοῦτο τῷ εἰρημένῳ ἄνω τῷ κεφαλαίῳ πέμπτῳ, ὅτι τὸ ὂν καὶ ἐν τοῖς πᾶσίν ἐστι, καὶ οὐδὲν τῶν πάντων ἐστί. διὰ γὰρ τὸ συνέχειν καὶ ζωοῦν καὶ φυλάττειν λέγεται ἐν τοῖς πᾶσιν εἶναι. Οὐδὲν δὲ τῶν ὄντων ἐστὶ, καθ' ὃ αἴτιον τῆς πάντων παραγωγῆς· οὐκ ἂν δὲ τὸ αἴτιον ἐκ τῶν αἰτιατῶν εἴη. Οὕτω καὶ ἐνταῦθα, μεθεκτὸς μὲν ὁ Θεὸς, καθ' ὃ πάντα τὰ ὄντα αὐτοῦ μετέχει, καὶ δι' αὐτοῦ συνέστηκε· τὸ γὰρ αὐτοῦ μὴ μετέχον, οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε ἦν. Ἀμέθεκτος δὲ πάλιν, ἐπειδὴ τῆς αὐτοῦ οὐσίας οὐδὲν τῶν ὄντων μετέχει· ὑπὲρ τὰ ὄντα γὰρ ὁ Θεὸς κατὰ τὴν ἰδίαν φύσιν.

PARA-

PARAPHRASIS PACHYMERÆ.

ΦΕΡΕ καὶ τὴν αἰτίαν συναγωγῆς ἁπάσης εἰρήνην, ἀνυμνήσωμεν· αὐτὴ γάρ ἐστιν ἡ τῶν πάντων ἑνωτική, καθὸ μεριστὸν αὐτῶν πλῆθος εἰς ἓν συνάγει τὴν μίαν αὐτῆς ἔφεσιν· ταύτην γὰρ καὶ ὅλην ἑνότητά φησιν. Αὐτή ἐστιν ἡ τὴν ἁρμονίαν τοῦδε τοῦ παντὸς συνιστῶσα ἐκ ἑτεροφυῶν τῶν στοιχείων συγκεκραμένην· διὸ καὶ πόλεμον ἐμφύλιον εἶπε, τὴν τῶν ἐν αὐτοῖς ποιοτήτων ἐναντιότητα, θερμοῦ πρὸς ψυχρόν, καὶ ὑγροῦ πρὸς ξηρόν, καὶ τῶν ἄλλων ὁμοίων, ἅπερ εἰς ἑνὸς κόσμου συμπλήρωσιν ἥνωται. Εὐσεβῶς δὲ ἐνταῦθα τοὺς τῶν Ἑλλήνων λόγους λύει. Πολλῶν γὰρ ἐν ἐκείνοις στασιαζόντων, καὶ τῶν μὲν ἐξ ἐναντιώσεως καὶ πολέμου λεγόντων τὰ πάντα γίνεσθαι, τῶν δὲ ἐκ φιλίας καὶ συμφωνίας, ὡς λέγεσθαι, παρὰ τοῖς μὲν, τὸ νεῖκος ἀρχὴν δημιουργικήν, παρὰ τοῖς δὲ, τὴν φιλίαν· ὁ Πατὴρ εἰς ὀρθότητα μεταφέρων τοὺς λόγους, Θεὸν ἐφίστησι τοῦ παντὸς ποιητήν. Ἔστι καὶ ἄλλως ἐκλαβεῖν ἐμφύλιον πόλεμον, τὸν φυσικῶς τοῖς ἀσωμάτοις πρὸς τὰ ὑλικά. Ἡ γὰρ σάρξ, φησὶν, ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός. Καὶ τὸν τοιοῦτον πόλεμον ἡ θεία εἰρήνη πρὸς ἕνωσιν ἄγει, καθ' ἣν αἱ πρεσβύταται τῶν οὐρανίων τάξεων, πρὸς ἑαυτὰς καὶ πρὸς ἀλλήλας συνάγονται, καὶ πρὸς μίαν καὶ παντελῆ τῆς εἰρήνης ἀρχὴν ἀνάγονται, ἥ τις ἀμερῶς (οὐ γὰρ ἐν μέρει τινὶ, ἀλλ' ἀθρόως) τοῖς ὅλοις ἐπιβεβηκυῖα, ὡς ἐν κλήθροις συμπτύσσει τὰ πάντα καὶ ἀσφαλίζεται, καὶ οὐκ ἐᾷ διαιρεθέντα χυθῆναι πρὸς τὸ ἄπειρον καὶ ἀόριστον, οἱονεὶ τὸ ἀκαλλὲς καὶ ἀμόρφωτον, ἣν οἱ ἔξω σοφοὶ ὕλην προσωνομάκασιν, ἄπειρον λέγοντες ταύτην, ὡς ἀόριστον καὶ ἀνείδεον. Ἐπεὶ γοῦν εἰδοποιὸς καὶ καλλοποιὸς ὁ Θεὸς, εἰκότως τὸ ἐρημωθὲν Θεοῦ, ἀνείδεον γίνεται καὶ ἀκαλλώπιστον. Περὶ γοῦν αὐτῆς τῆς θείας εἰρήνης, ὅ,τι ποτέ ἐστι, παραιτεῖται λέγειν· ταύτην γὰρ καὶ ὁ ἐν ταῖς Πράξεσιν Ἰοῦστος, ὃν καὶ Ἰωσῆν ἐκάλουν, ἀφθεγξίαν καλεῖ, ὡς σιωπωμένην καὶ κρυφίαν· καὶ ἀκινησίαν μὲν, ἀλλ' ἐπὶ πᾶσαν κίνησιν γνωσκομένην· αὕτη γάρ ἐστιν ἡ τὰ



AGE verò etiam pacem, quæ omnis conciliationis causa existit, collaudemus: ipsa est etenim quæ omnia coniungit, quatenus diuisam illorum multitudinem in vnum, hoc est in vnum illius desiderium, colligit; hoc enim integram vnitatem appellat. Ipsa est quæ huius Vniuersi ex diuersarum naturarum elementis contemperatam compagem constituit: hincque intestinum bellum appellauit qualitatum in ipsis contrarietatem, caloris scilicet contra frigus, humidi contra siccum, & similium aliorum, quæ ad vnius mundi complementum vniuntur. Religiosè autem hîc Gentilium rationes soluit. Cùm enim multi inter illos dissideant, atque alij quidem omnia ex contrarietate belloque existere contendant, alij verò ex amicitiâ & consensione, ita vt ab illis quidem dicatur contentio creandi principium extitisse, ab his verò amicitia; Pater hic, eorum rationes ritè moderando, Deum Vniuersi conditorem constituit. Licet etiam aliter accipere bellum intestinum, pro eo quod est naturaliter inter res incorporeas & materiales. *Caro enim*, inquit, *concupiscit aduersus spiritum, & spiritus aduersus carnem*. Gal. 5, 17. Et tale bellum diuina pax ad vnionem reducit, secundùm quam antiquissimi illi ordines cælestes, cùm secum ipsi & inter se coniunguntur, tum ad vnum perfectissimum pacis principium adducuntur; quòd cùm indiuiduè (non enim ex parte aliquâ, sed integrè) vniuersis aduenit, quasi claustris quibusdam seu vectibus omnia communit, neque permittit diuisa in infinitum & interminatum, quasi ad pulchritudinis formæque carentiam diffundi, quam externi sapientes materiam appellabant, hanc infinitam dicentes, vtpote interminatam & informem. Cùm itaque Deus sit formæ pulchritudinisque creator, meritò id quod à Deo destitutum est, informe fit & expers pulchritudinis. De hac igitur diuinâ pace quid tandem sit, dicere refugit; quoniam hanc etiam in Actis Iustus, quem & Ioseu nominabant, ἀφθεγξίαν vocat, quippe silentem & occultam: Act. 1, 23. & immobilitatem quidem, sed ab omni motu cognoscibilem; hæc enim est quę informat

PARAPHRASIS PACHYMERÆ.

format & mouet omnia, tota enim sibi toti superunitur, & cùm semetipsam singulis pacificis processionibus multiplicat, numquam tamen vnicam illam suam simplicitatem deserit. De hac itaque neque dicere neque cogitare quidquam fas est vel possibile, sed hanc tamquam in se ignotam enarrantes, intellectiles eius participationes in Scripturis recensitas, quoad hominibus, vel potiùs nobis aliis inferioribus, possibile est, consideremus.

§. 2. *Omnia participant à Deo pacem.*

Primùm itaque dicimus, diuinam illam pacem ineffabilem ipsius per se pacis esse effectricem, iuxta rationes superiùs allatas de ipsâ vitâ. Totam autem cuiusque pacem vocat vniuersam, quatenus omnia, quæ naturis diuisa sunt, conciliantur, & ad vnum desiderium excitantur; vniuscuiusque verò, quatenus quisque vnitatem suam seruans, minimè diffluit ad corruptionem & interitum, quæ superiùs vocauit infinitum & interminatum. Nota verò, tota quidem dici ad inuicem habere coniunctionem, vnum verò, ad seipsum vnitatem; atque vnum quidem contemperatum non diffundi in infinitum, tota verò commixta manere inconfusa. Si enim, inquit, etiam elementa ad inuicem connexionem & mixtionem indiuulsam habent, attamen horum qualitates suas extremitates, v. g. calorem, siccitatem, & cetera, minimè deperdunt in diuersarum specierum temperatione, quæ in Vniuerso conspicitur. Temperationem autem hoc loco intelligere oportet, non eam quæ in humidis fit commixtionem, quæ & subiecta corrumpit; sed conspirationem, & vnius ab altero dependentiam, quæ in compage custodit ea quæ subsunt. Intelligemus itaque vnam quamdam simplicem quasi naturam pacis in omnibus consideratam, omnia sibi ipsi, & omnia inter se, atque omnia secum ipsis coniungentem, nec non immixta & contemperata conseruantem; immixta, propriâ cuiusque qualitate; contemperata, ad inuicem mixtione. Per hanc diuinæ mentes vniuntur cum suis intellectionibus, tum rebus intellectis: intelligunt enim & seipsas, & superiores, atque insuper inferiora. Quando itaque quæ sua sunt curant, & semetipsas intelligũt, propriis intellectionibus vniuntur; quando verò superiora vel inferiora intelli-

πάντα εἰδοποιήσασα καὶ κινήσασα, ὅλη γὰρ ὅλῃ ἑαυτῇ ὑπερήνωται, καὶ ἑαυτὴν πολλαπλασιάζουσα ταῖς καθ' ἕκαστον εἰρηναίαις προόδοις, οὐδέποτε τὴν ἑαυτῆς ἑνιαίαν ἀπολείπει ἁπλότητα. Περὶ ταύτης τοίνυν οὔτε εἰπεῖν οὔτ' ἐννοῆσαι ἢ δυνατὸν ἢ θεμιτὸν, ἀλλὰ ταύτην ὡς ἄγνωστον ἐπ' αὐτὴν ἀναθέντες, τὰς ἐν ταῖς Γραφαῖς ῥηθείσας νοητὰς μετουσίας αὐτῆς, ὡς δυνατὸν ἀνθρώποις, ἢ μᾶλλον τοῖς κἀκείνων ἀπολειπομένοις ἡμῖν, σκοπήσωμεν.

Πρῶτον τοίνυν λέγομεν, ὅτι ἡ θεία ἐκείνη εἰρήνη ἡ ἄφθεγκτος, τῆς αὐτοειρήνης ἐστὶν ὑποστάτις, κατὰ τοὺς λόγους καθ' οὓς ἐλέγομεν ἔμπροσθεν περὶ τῆς αὐτοζωῆς. Ὅλην δὲ καθ' ἕκαστον εἰρήνην, λέγει ὅλην, καθ' ἣν τὰ πάντα συνάγεται, καὶ εἰς μίαν ἔφεσιν ἀνατείνεται μεμερισμένα ταῖς φύσεσιν ὄντα· καθ' ἕκαστον δὲ, καθ' ἣν ἕκαστον τὴν ἑαυτοῦ ἑνότητα φυλάττον, οὐ διαχέεται πρὸς φθορὰν καὶ ἀνυπαρξίαν, ἃ δὴ ἀνωτέρω εἶπεν ἄπειρον καὶ ἀόριστον. Σημείωσαι δὲ, ὅτι τὰ μὲν ὅλα, ἕνωσιν λέγονται ἔχειν πρὸς ἄλληλα, τὸ δὲ ἓν πρὸς ἑαυτὸ, ἑνότητα· καὶ τὸ μὲν ἓν συγκρατούμενον, οὐ διαχέεται πρὸς τὸ ἄπειρον, τὰ δὲ ὅλα συγκεραννύμενα, ἀσύγχυτα μένουσιν. Εἰ γὰρ καὶ τὰ στοιχεῖα, φησὶ, τὴν πρὸς ἄλληλα συμπλοκὴν καὶ μίξιν ἀδιαίρετον ἔχουσιν, ἀλλ' ὅμως αἱ τούτων ποιότητες τὴν ἀκρότητα ἑαυτῶν οὐ παραπολλύουσιν, οἷον τὸ θερμὸν, τὸ ξηρὸν, καὶ τὰ λοιπὰ, ἐν τῇ τῶν ἑτεροειδῶν κράσει τῇ ἐν τῷ παντὶ θεωρουμένῃ. Κρᾶσιν γὰρ ἐνταῦθα νοητέον, οὐ τὴν ὡς ἐπὶ τῶν ὑγρῶν φύρσιν, τὴν καὶ ἀφανίζουσαν τὰ ὑποκείμενα· ἀλλὰ τὴν σύμπνοιαν καὶ ἀλληλουχίαν τὴν ἐν ἁρμονίᾳ φυλάττουσαν τὰ ὑφεστῶτα. Νοήσωμεν γοῦν, μίαν τινὰ ἁπλῆν οἱονεὶ φύσιν εἰρήνης ἐνθεωρουμένην τοῖς πᾶσιν, ἑνοῦσαν ἅπαντας ἑαυτῇ, καὶ τὰ πάντα ἀλλήλοις, καὶ τὰ πάντα ἑαυτοῖς, καὶ φυλάττουσαν καὶ ἀμιγῆ καὶ συγκεκραμένα· ἀμιγῆ, τῇ ἰδίᾳ ἑκάστου ποιότητι· συγκεκραμένα, τῇ πρὸς ἄλληλα μίξει. Διὰ ταύτην οἱ θεῖοι νόες ἑνοῦνται καὶ ταῖς νοήσεσιν ἑαυτῶν, καὶ τοῖς νοουμένοις· νοοῦσι γὰρ καὶ ἑαυτοὺς, καὶ τοὺς ἐπαναβεβηκότας, καὶ ἔτι τὰ ὑποδεέστερα. Ὅταν οὖν τὰ ἑαυτῶν ἐνεργῶσι, καὶ ἑαυτοὺς νοῶσι, ταῖς οἰκείαις ἑνοῦνται νοήσεσιν· ὅταν δὲ τὰ ὑπερβεβηκότα ἢ τὰ ὑποβεβηκότα νοῶ-

σι,

σι, τότε ἑνοῦνται τοῖς νοουμένοις. Τὸ γὰρ νοοῦν, τῇ γνώσει ἑνοῦται τῷ γνωσθέντι, ὡς καὶ ὁ ἀγνοῶν σκεδάννυται, οὐ καταλαβὼν ὃ μὴ ἐνόησε. Μετὰ δὲ ταύτας τὰς ἑνώσεις (αἵπερ οὐκ ἂν ἐγένοντο, εἰ μὴ εἰρήνευε καθὼς καθ' ἑαυτὸν ὁ νοῶν, ἢ μὴν ὁ νοῶν πρὸς τὰ νοούμενα) ἐπὶ τὴν ἄγνωστον ἐκείνην καὶ θείαν ἀνάγεται συναφήν. Πάλιν ἐπὶ τῶν ἡμετέρων ψυχῶν ἐνδέχεται εὑρεθῆναι ἀμερῆ καὶ ἄϋλον νόησιν, ὅταν τοὺς παντοδαποὺς λογισμοὺς πρὸς μίαν νοερὰν καθαρότητα συναγάγωσι· τότε γὰρ καὶ ἐπὶ τὴν ὑπὲρ νόησιν ἕνωσιν, οἰκείως ἑαυταῖς, ὁδῷ τινι καὶ τάξει προβαίνουσι, διὰ ταύτην τὴν τῆς εἰρήνης δηλαδὴ φύσιν, ἡ μία συμπλοκὴ τῶν ἁπάντων στοιχείων καὶ ἀδιάλυτος ὑφίσταται, συναγομένη μὲν ἀσυγχύτως, ὅτι εἰ καὶ συναλλήλοις μιγνύονται, ἀλλ' ὅμως αἱ τούτων ποιότητες τὰς ἀκρότητας ἑαυτῶν οὐ παραπολλύουσι· συγχεομένη δὲ ἀδιαιρέτως, ὅτι ἐκ τῆς τῶν στοιχείων μίξεως μία τις ἀποτελεῖται φύσις. Αὕτη γάρ ἐστιν ἡ εἰρήνη ἡ τὰ ἄκρα τοῖς ἄκροις διὰ τῶν μέσων συνδέουσα. Ἄκρα δὲ λέγει, τὰ τῶν στοιχείων ἔμμεσα, τὴν γῆν, τὸν ἀέρα, τὸ ὕδωρ, καὶ τὸν αἰθέρα, ἅπερ εἰσὶ καὶ κατὰ πάντα ἐναντία. Μέσα δέ, γῆς μὲν καὶ ἀέρος τὸ ὕδωρ, γῇ μὲν κοινωνοῦν τῷ ψυχρῷ, ἀέρι δὲ τῷ ὑγρῷ· καὶ πάλιν τοῦ ὕδατος καὶ τοῦ αἰθέρος ἀήρ, ὕδατι μὲν κοινωνῶν τῷ ὑγρῷ, αἰθέρι δὲ τῷ θερμῷ. Αὕτη καὶ ταῖς ἐσχάταις τοῦ παντὸς ἀποπερατώσεσιν, αἵ τινές εἰσιν αἱ ἄψυχοι οὐσίαι, ἐν αἷς οὐδεμία κίνησις θρεπτικὴ ἢ αὐξητική, ἢ τῶν ἄλλων τις θεωρεῖται, τὴν φιλίαν δωρεῖται, καὶ πάντα ἀδελφὰ ποιεῖ καὶ συγγενῆ, καθότι ἐκ τοῦ Θεοῦ πάντα, καὶ πρὸς Θεὸν ἐπιστρέφουσιν· οὕτω γὰρ ἐχρήσατο τῷ παλαιῷ ῥήματι καὶ ὁ Ἀπόστολος, Τοῦ γὰρ καὶ γένος ἐσμέν. Λέγει δὲ τὴν αἰτίαν καθ' ἣν ὁμόγνια τὰ πάντα· καὶ τέως τὰ νοητὰ ταῖς ἑνότησι, κατ' αὐτὸ δὴ τὸ ἑνιαῖον καὶ ἁπλοῦν αὐτῶν, καὶ κατὰ τὸ ταὐτὸν τῆς ἀθανασίας· τὰ αἰσθητὰ, ταῖς ἐκ τῶν διαφόρων στοιχείων ἑνώσεσιν, ἤτοι συγκρίμασι, καὶ ταῖς συναγωγαῖς τῶν τοιούτων μιγμάτων. Ἡ θεία γὰρ εἰρήνη ἐν ἑνὶ καὶ τῷ αὐτῷ πάντα δεικνύουσα, πρόεισι μὲν ἐπὶ πάντα, καὶ μεταδίδωσιν ἑαυτῆς οἰκείως καὶ κατ' ἀξίαν τοῖς πράγμασι·

PARAPHRASIS PACHYMERÆ.

gunt, tunc rebus intellectis coniunguntur. Quod enim intelligit, per cognitionem rei cognitæ coniungitur; ſicut etiam ignorans diuiditur, non comprehendens id quod ignorauit. Porrò poſt haſce vniones (quæ non extitiſſent, niſi intelligens ſecum ipſe quodammodò, vel certè cum rebus intellectis pacem iniuiſſet) ad ignotum illum diuinumque contactum adducitur. Rurſum in animis noſtris reperire licet indiuiduam & immaterialem cognitionem, quando omnigenas ratiocinationes ad vnam ſpiritalem puritatem colligunt: tunc enim ad vnionem quoque intellectu ſuperiorem, pro captu ſuo, via quadam & ordine pertingunt, per hanc ipſam videlicet naturam pacis vna quædam & indiſſolubilis elementorum omnium connexio exiſtit, collecta quidem inconfusè, quia licet ſibi mutuò commiſceantur, ſimul tamen eorumdem qualitates extremitates ſuas minimè perdunt; commixta verò indiuulsè, quia ex hac elementorum mixtione vna quædam natura perficitur. Hæc enim eſt pax, quæ extrema extremis per media connectit. Extrema verò dicit, intermedia elemẽta, terram, aërem, aquam, & æthera, quæ ſunt etiam ſecundùm omnia contraria. Media autem, inter terram ſcilicet & aërem, aqua, quæ cum terrâ quidem communicat frigore, cum aëre verò humiditate: & rurſum inter aquam & æthera medius eſt aër, qui cum aquâ quidem communicat humiditate, cum æthere verò calore. Hæc etiam extremis Vniuerſi finibus, qui ſunt inanimes ſubſtantiæ, in quibus nullus motus accretionis aut nutritionis aut aliorum conſideratur, amicitiam impertit, omniaque germana reddit & cognata, in quantum ex Deo omnia & ad Deum conuertuntur: ſic enim etiam Apoſtolus antiquo dicto vſus eſt, *Ipſius enim & genus ſumus.* Act.17,28 Dicit autem cauſam, ſecundùm quam omnia ſunt cognata, intellectilia videlicet vnitatibus, id eſt ſecundùm id quod in ipſis quid vnum & ſimplex eſt, & ſecundùm immortalitatis idemtitatem: ſenſilia ex diuerſis elementis, vnitionibus, ſeu commixtionibus, ac talium mixtionum collectionibus. Diuina ſiquidem pax in vno & eodem omnia demonſtrat; pertingit enim ad omnia, ſeque pro cuiuſque captu ac dignitate rebus omnibus communicat;

PARAPHRASIS PACHYMERÆ.

manet verò, per excellentiam vnionis & pacis, tota ſecum tota, ſecundùm totam ſupraquam vnita. Siquidem quòd ſupraquam vnita ſit, ipſa ſibi ſecundùm ſe totam eadem exiſtit.

§. 3. *Quomodo etiam illa quæ inquieta ſunt pacem appetant.*

Hîc quorumdam quodammodò quæſtionem inſerit dicentium, Quomodo omnia pacem appetant, cùm aliqua ſint quæ diuiſione & inimicitiâ gaudeant? Et nunc quidem clarè dicit, quæ ſint quæ diuerſitate delectentur, in diſtinctione verò hæc fuſiùs dirimet. Triplicem itaque rationem adfert, ac primam quidem admittit, ſecundam verò tamquam impoſſibilem reiicit, tertiam denique moderatur. Si igitur, inquit, cuiuſque rei proprietatem quis dicat, ſecundùm quam hoc quidem ignis, illud verò aqua, & aliud aliud quid exiſtit, vt aliam naturam habens, iſtiuſmodi diuerſitatem ego quoque admitto, quam non dico diſtinctionem, ſed potiùs vnionem & conſiſtentiam cuiuſque in ſtatu ſuo: nihil enim eorum quæ ſunt cupit perdere id quod eſt; volunt enim omnia cum ſemetipſis pacem habere, atque proprietas cuiuſque potiùs cuſtos eſt naturæ.

§. 4. Et quid dico hæc de illis quæ non mouentur, ſed ſine ſeditione atque in quiete ſunt, cùm id etiam locum habeat in iis quę quocumque motu cientur, vt in ſole videre quis poſſit, vel in partibus cæli, vel in aliis quæ facilè mutantur, atque in alia atque alia vergunt: ſicut etiam in fulgure ſe res habet, quod extempore deorſum mouetur, & iterùm ſurſum; vel in mari, modò quidem procelloſo, modò verò tranquillo, ita vt etiam ipſamet alterna motio non conſtituat differentiam & diuerſitatem, ſed naturæ idemtitatem demonſtret, quippe naturâ rei iſtiuſmodi motum & viciſſitudinem pro pace ſuâ exigente, & tum etiam mobilem ſuam vitam immotam conſeruante, prout eius natura fert.

§. 5. Si verò alteram rationem adferat, confirmans, diuerſitatem exiſtere per omnimodam à pace prolapſionem, ſicut Manichæi dicebant, materiam habere per ſe ſubſiſtentem inſtabilitatem & circumferentiam, & infinitatem & interminationẽ, ſciat nullum ens eſſe, quod ſic materia maneat, & per ſe ſubſiſtat; neque id etiam in rebus reperiri, cùm ipſa etiam vna ſit ex creaturis illis quæ

μένει δὲ, διʼ ὑπεροχὴν ἑνώσεως καὶ εἰρήνης, ὅλη πρὸς ὅλην ἑαυτὴν, καθʼ ὅλην ὑπερηνωμένη. Ἐπεὶ γὰρ ὑπερηνωμένη ἐστὶν, αὐτὴ ἑαυτῇ καθόλου ταυτή ἐστιν.

Ἐντεῦθεν ὡς ἀπό τινων ἀπορίαν παρενείρει, Πῶς, λεγόντων, ἐφίεται πάντα εἰρήνης, ἐπειδή τινα εἰσὶ τῇ διακρίσει καὶ τῇ ἔχθρᾳ χαίροντα; Καὶ νῦν μὲν σαφῶς λέγει, τίνα εἰσὶ τὰ τῇ ἑτερότητι χαίροντα, ἐν δὲ τῇ λύσει διευκρινήσει ταῦτα πλατύτερον. Τριχῶς γοῦν ποιεῖται τὴν τοῦ λόγου ἔφοδον, καὶ τὸν μὲν πρότερον λόγον δέχεται, τὸν δὲ δεύτερον, ὡς μὴ δυνάμενον εἶναι, ἀποβάλλεται, τὸν δέ γε τρίτον θεραπεύει. Εἰ γοῦν τὴν ἑκάστου ἰδιότητα, φησὶν, ὁ λέγων, καθʼ ἣν τοῦτο μὲν πῦρ, τοῦτο δὲ ὕδωρ, καὶ τοῦτο ἕτερόν τι, ἄλλως τῆς φύσεως ἔχων, τὴν τοιαύτην ἑτερότητα κἀγὼ δέχομαι, ἣν οὐ λέγω διάκρισιν, ἀλλὰ μᾶλλον ἕνωσιν πρὸς ἑαυτὸ ἑκάστου καὶ σύστασιν· οὐδὲν γὰρ τῶν ὄντων ἐθέλει ἀπολλύειν ὅπερ ἐστί· πάντα γὰρ ἐθέλει εἰρηνεύειν πρὸς ἑαυτὰ, καὶ ἡ ἰδιότης φυλακὴ μᾶλλον τῆς φύσεως γίνεται.

Καὶ τί λέγω ταῦτα ἐπὶ τοῖς μὴ κινουμένοις, ἀλλʼ ἀστασιάστοις καὶ ἡσυχάζουσιν, ὅπου γε καὶ ἐπʼ αὐτοῖς τοῖς κινουμένοις καθʼ ὁποιανοῦν κίνησιν, ὥσπερ ἐπὶ ἡλίου ἴδοι τις ἂν, ἢ ἐπὶ τῶν μερῶν τοῦ οὐρανοῦ, ἢ ἐπʼ ἄλλων εὐμεταβόλων, καὶ εἰς ἄλλο καὶ ἄλλο ῥεπόντων· ὡς καὶ τὸ τῆς ἀστραπῆς ἔχει, εὐθέως τὴν κάτω κίνησιν κινουμένης, καὶ πάλιν τὴν ἄνω· ἢ τὸ τῆς θαλάσσης, νῦν μὲν κυμαινούσης, νῦν δὲ ἡσυχαζούσης, ὅπου γε λοιπὸν καὶ αὐτὴ ἡ ἀλλεπάλληλος κίνησις οὐ καθίστησι τὴν διαφορὰν καὶ τὴν ἑτερότητα, ἀλλὰ τὸ ταυτὸν τῆς φύσεως ἀποδείκνυσιν, ὡς τοιαύτην τοῦ πράγματος ἔχοντος φύσιν κινουμένην καὶ μεταπίπτουσαν, τῆς εἰρήνης, καὶ τότε αὐτῇ τὴν κινητικὴν ζωὴν ἀκίνητον φυλαττούσης καθὼς ἔχει φύσεως.

Εἰ δὲ τὸν δεύτερον λόγον λέγει, ἑτερότητα ἰσχυριζόμενος εἶναι κατὰ τελείαν τῆς εἰρήνης ἔκπτωσιν, καθὼς οἱ Μανιχαῖοι ἔλεγον τῆς ὕλης αὐθύπαρκτον ἀστασίαν, καὶ περιφορὰν, καὶ ἀπειρίαν, καὶ ἀοριστίαν ἔχουσαν, ἴστω ὡς οὔτε ὄν ἐστι τοῦτο ὕλη μένουσα καὶ καθʼ αὑτὴν ὑφισταμένη· οὔτε μὴν ἐν τοῖς οὖσιν εὑρίσκεται, ὡς εἶναι καὶ αὐτὴν μίαν τῶν εἰδοπεποιημένων

κτισμά-

κτισμάτων. Εἰ γοῦν οὔτε εἰδοπεποιημένον ἐστὶν ὡς τὰ ὄντα, οὔτε μὴν ἀνείδεον μένον ὄν ἐστι, καὶ καθ' αὐτὴν ὑφιστάμενον, πῶς εἴποιμεν, ὅτι τὸ τοιοῦτον εἰρήνην οὐκ ἔχει; Εἰ δὲ τὸ τρίτον φησὶν, ὅτι τινές εἰσιν ἀπεχθανόμενοι τῷ ἀγαθῷ, καὶ ταῖς ἔρισι καὶ τοῖς θυμοῖς χαίροντες, φημὶ ὅτι καὶ οὗτοι ἀμαυροῖς εἰδώλοις τῆς ἀγάπης κατέχονται· ὑπὸ γὰρ παθῶν ἐνοχλούμενοι, καὶ τὰ πάθη κατὰ ἄγνοιαν ὡς καλὰ θέλοντες ἱστᾶν, δοκοῦσιν εἰρήνης ὀρέγεσθαι, ἐφιέμενοι ἀδεῶς ἀπολαύειν τῶν παθῶν, καὶ οἰόμενοι εἰρηνεύειν ἑαυτοὺς, ἐὰν ἀποπληρωθῶσι τῶν ἀεὶ ἀπορρεόντων παθῶν, ἀεὶ ὑπὸ τούτων ἐκταραττόμενοι. Τί ἂν τις εἴποι περὶ τῆς κατὰ Χριστὸν εἰρήνης, καθ' ἣν ἅπας ἐλύθη πόλεμος, καὶ μὴ μόνον οὔτε ἑαυτοῖς, οὔτε ἀλλήλοις, οὔτε Ἀγγέλοις μαχησόμεθα, ἀλλὰ καὶ αὐτοῖς τοῖς Ἀγγέλοις συνεργήσομεν, τὴν αὐτὴν αὐτοῖς περὶ τὸ Θεῖον σέβας λατρείαν καὶ προσκύνησιν τελοῦντες, δι' ἧς δὴ εἰρήνης κατήλλαξεν ἡμᾶς ἑαυτῷ, τῷ Πατρί τε καὶ τῷ Πνεύματι, περὶ ὧν καὶ ἀλλαχόσε ἱκανῶς εἴρηται.

Ἐντεῦθεν εἰσβάλλει καὶ ἑρμηνεύει, πῶς νοεῖ τὸν Θεὸν αὐτοζωὴν εἶναι, καὶ τῆς αὐτοζωῆς ὑποστάτην, καὶ τὰ ὅμοια, ἐπειδὴ καὶ ἐν Ἐπιστολαῖς τοῦτο συνέθετο, καὶ ὁ ἅγιος Τιμόθεος ἠπόρησε περὶ τούτου. Φησὶ τοίνυν, ὅτι οὐκ ἔστιν ἐναντίον, εἰπεῖν τὸν Θεὸν καὶ αὐτοζωὴν, καὶ αὐτοζωῆς ὑποστάτην· λέγεται γὰρ ὁ Θεὸς καὶ ἐκ τῶν ὄντων, ὡς αἰτιατῶν αἴτιος, καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων. Πρώτως δὲ ὄντα οἶμαι αὐτὸν εἰρηκέναι τὰς ὑπερκοσμίους φύσεις, ὡς πρώτως καὶ ἀκραιφνῶς τῶν θείων δωρεῶν μετεχούσας, ζωῆς, ἀθανασίας, καὶ τῶν λοιπῶν. Ἐκ τῶν ὄντων τοίνυν λεγόμενος ὁ Θεὸς, ὡς αἴτιος ἐκ τῶν αἰτιατῶν λέγοιτο ἂν κατὰ τοῦτο, καὶ ὁ τῆς αὐτοζωῆς ὑποστάτης καὶ αἴτιος, αὐτοζωὴ ἐκ τοῦ αἰτιατοῦ. Τί δέ ἐστιν ἡ αὐτοζωὴ αὕτη, παρακατιὼν εἴποι. Ὅταν δὲ αὐτὸς λέγεται ὁ Θεὸς αὐτοζωὴ, ὑπὲρ πᾶσαν φύσιν λέγεται, ἤγουν καὶ ὑπὲρ Ἀγγέλους καὶ πᾶσαν νοερὰν οὐσίαν· Ἐξ ἑνὸς δὲ τῆς ζωῆς, καὶ περὶ τῶν ὁμοίων ὁμοίως ἡμᾶς δεῖ νοεῖν. Ὡς γοῦν ἐπ' ἄλλων αἰτιατῶν εὑρίσκομεν τὸν Θεὸν καὶ ἀπὸ τούτων λεγόμενον, καὶ πάλιν ὑπὲρ ταῦτα ὄντα, πῦρ καὶ ὑπὲρ τὸ πῦρ, νοῦν καὶ ὑπὲρ τὸν νοῦν, πνεῦμα καὶ ὑπὲρ τὸ πνεῦ-

informantur. Si itaque non sit informata, *PARAPHRASIS PACHYMERÆ.* sicut res ceteræ, neque etiam certè, dum informis manet, res sit, nec per se subsistat; quomodo dicemus id quod tale est non habere pacem? Quòd si tertium dicat, aliquos esse qui bono aduersantur, & contentionibus & iris gaudeant, dico etiam illos obscuris quibusdam dilectionis simulacris contineri: à passionibus enim agitati, easque per ignorantiam quasi bonas sedare volentes, pacem appetere videntur, dum passionibus impunè frui desiderant, & arbitrantur se pacem habere, si continuò fluentibus passionibus repleantur, ab iisdem semper exagitati. Quid porrò dicat quis de pace Christi, quâ bellum omne dissolutum est, vt non solùm neque nobiscum, neque cum inuicem, neque cum Angelis bellum habeamus, verùm etiam ipsis Angelis cooperemur, eumdem cum ipsis Deo cultum & adorationem exhibentes, quâ vtique pace conciliauit nos sibi, & Patri, & Spiritui sancto, de quibus etiam alibi satis dictum est.

Hîc etiam introducit, & explicat, quomodo intelligat Deum esse per se vitam, & per se vitæ conditorem, & similia, quandoquidem id etiam in Epistolis posuerit, & sanctus Timotheus de hoc dubitarit. *§. 6. Quomodo Deus sit per se vita, &c.* Ait itaque non pugnare secum, dicere, Deum esse per se vitam, & per se vitæ conditorem: dicitur enim Deus etiam ex rebus tamquam effectuum causa, & maximè ex iis quæ primo loco sunt. Existimo autem ipsum per ea quæ primo loco sunt, intellexisse naturas supramundiales, quippe primò loco liquidoque diuina munera participantes, vt vitam, immortalitatem, & reliqua. Itaque Deus, qui ex rebus, tamquam causa ex effectis, appellatur, secundum hoc etiam dici possit ipsius per se vitæ conditor & auctor, ex effectu per se vitæ. Quid verò sit hæc per se vita, ita prosequens ait. Quando autem dicitur Deus per se vita, supra omnem naturam dicitur, id est, etiam supra Angelos omnemque substantiam spiritalem. Ex vno autem exemplo vitæ, nos etiam de similibus similiter cogitare oportet. Quemadmodum igitur in aliis effectis reperimus, Deum etiam ex his dictum, & rursum supra hæc existere, ignem & supra ignem, mentem & supra mentem, spiritum & su-

pra

PARAPHRASIS PACHYMERÆ.

pra spiritum, sic etiam per se vita dicitur tamquam ex effectu, & supra ipsam. Quid verò, inquies, est hæc per se vita, cuius effector & causa Deus est? num est res per se subsistens, etiam secundùm se considerata? Non hoc dicimus: non enim est aliqua substantia, siue diuina siue Angelica, illud per se esse causa essentiæ omnium, vel per se vita, quâ viuentia viuunt (solùm enim is, qui est substantia suprasubstantialis, principium & causa est vt sint omnia quæ sunt, & ipsum esse.) Non itaque dicere licet, principiales quasdam esse rerum causas & essentias conditrices, quemadmodũ Gentiles multos Deos effutiuerunt, quos nec ipsi neque patres eorum sciuerunt. Ceterùm hæc dicimus, principialiter quidem & causaliter ipsum Deum esse per se ens, per se vitam, per se deitatem: rursum verò participatè largiens, inquã, virtutes prouidentiales. Cùm enim Deus imparticipabilis & participabilis sit, imparticipabilis quidẽ secundùm essentiam (nihil enim eorum quæ sunt essentiæ ipsius particeps existit, siquidem secundùm propriam naturam existit supra ea quæ sunt) participabilis verò secundùm amicas eius participationes ac distributiones, quatenus res omnes ipsum participant, & per ipsum consistunt. Nam id quod non existit eius particeps, neque est, neque erit, neque erat; quocircà ens participat per se ens, non ipsam causam entitatis Deum, ipsam scilicet essentiam, sed distributionem ipsius per se entis, secundùm quam etiam Deus participabilis existit. Participat item id quod viuit, per se vitam, non ipsam diuinam essentiam, sed ipsam quæ in ipso est per se vitam, diuinam inquam distributionem, per quam etiam participatur Deus. Hæc priùs etiam formas & exemplaria & prædefinitiones appellabat, non confirmans Platonicam doctrinam, absit; sed sensu pio accipiens illa quæ ab ipso viliter & indignè Deo dicta erant. Horum effector Deus esse dicitur, vt qui hæc in se habeat. Deinde etiam vniuersa hæc condidisse perhibetur per essentias, quæ secundùm processionem ab ipso substantialiter subsistunt; tota seu vniuersa dicens, quæ omnino perfectè participant & essentiam, & vitam, & sanctificationem, & omnia, vt Angelicæ virtutes. Tertiò etiam ea quæ ex parte sunt: quædam enim participant solam entitatẽ, quædam & entitatem & vitam, quædam etiam

μα· οὕτως καὶ αὐτοζωὴ ὡς ἐξ αἰτιατοῦ, καὶ ὑπὲρ αὐτήν. Τί δὲ, εἴποις, ἐστὶν αὕτη ἡ αὐτοζωὴ ἧς ὁ Θεὸς ὑποστάτης καὶ αἴτιος; ἆρα αὐθύπαρκτόν τι πρᾶγμα καὶ κατ' αὐτὸ θεωρούμενον; Οὐ τοῦτο λέγομεν· οὐδὲ γάρ ἐστί τις οὐσία, ἢ θεία ἢ ἀγγελική, τὸ αὐτοεῖναι αἰτία τοῦ εἶναι τὰ πάντα, ἢ ἡ αὐτοζωὴ τοῦ ζῆν τὰ ζῶντα (μόνον γὰρ τοῦ εἶναι τὰ πάντα, καὶ τοῦ εἶναι, καὶ αὐτὸ τὸ ἐν τοῖς οὖσιν εἶναι, ἀρχὴ καὶ αἰτία ἐστὶν ἡ ὑπερούσιος οὐσία.) Οὐκ ἔστι γοῦν εἰπεῖν, ἀρχικὰς τῶν ὄντων καὶ δημιουργικὰς οὐσίας, καθώσπερ οἱ Ἕλληνες πολλοὺς θεοὺς σχεδιάσαντες, οὓς οὔτε αὐτοὶ ᾔδεισαν, οὔτε οἱ πατέρες αὐτῶν. Ἀλλὰ ταῦτά φαμεν, ἀρχικῶς μὲν καὶ αἰτιατῶς αὐτὸν τὸν Θεὸν, αὐτοὸν, αὐτοζωὴν, αὐτοθεότητα· μεθεκτῶς δὲ πάλιν ταῦτα, φημὶ τὰς ἐκδιδομένας προνοητικὰς δυνάμεις. Ἐπειδὴ γὰρ ὁ Θεὸς καὶ ἀμέθεκτός ἐστι καὶ μεθεκτὸς, ἀμέθεκτος μὲν κατὰ τὴν οὐσίαν (τῆς γὰρ οὐσίας αὐτοῦ οὐδὲν τῶν ὄντων μετέχει, ὑπὲρ τὰ ὄντα γάρ ἐστι κατὰ τὴν ἰδίαν φύσιν) μεθεκτὸς δὲ κατὰ τὰς φιλοδώρους αὐτοῦ μεταδόσεις καὶ δωρεὰς, καθὸ πάντα τὰ ὄντα αὐτοῦ μετέχων, καὶ δι' αὐτοῦ συνέστηκε. Τὸ γὰρ μὴ μετέχον αὐτοῦ, οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε ἦν· διὰ τοῦτο τὸ ὂν μετέχει τοῦ αὐτοόντος, οὐκ αὐτοῦ τοῦ αἰτίου τοῦ ὄντος Θεοῦ, αὐτῆς δηλαδὴ τῆς οὐσίας, ἀλλὰ τοῦ αὐτοόντος τῆς δωρεᾶς αὐτοῦ, καθ' ἣν καὶ ἔστιν ὁ Θεὸς μεθεκτός. Μετέχει πάλιν τὸ ζῶν τῆς αὐτοζωῆς, οὐκ αὐτῆς τῆς θείας οὐσίας, ἀλλὰ τῆς ἐν αὐτῷ αὐτοζωῆς, τῆς θείας φημὶ δωρεᾶς, καθ' ἣν καὶ μετέχεται ὁ Θεός. Ταῦτα ἔλεγεν ἔμπροσθεν καὶ εἴδη καὶ παραδείγματα, καὶ προορισμοὺς, οὐ παριστάμενος τῷ Πλατωνικῷ δόγματι, μὴ γένοιτο· ἀλλ' εὐσεβῶς ἐκλαμβάνων τὰ παρ' ἐκείνου ταπεινῶς καὶ ἀναξίως Θεοῦ λεγόμενα. Τούτων ὑποστάτης λέγεται ὁ Θεὸς εἶναι, ὡς ἐν αὐτῷ ἔχων ταῦτα. Εἶτα καὶ ὅλα αὐτὰ ὑποστήσασθαι λέγεται, διὰ τὴν κατὰ πρόοδον ὑποστασῶν οὐσιῶν ὑπ' αὐτοῦ οὐσιωδῶς· ὅλα λέγων, τὰ ὁλοτελῶς μετέχοντα καὶ οὐσίας καὶ ζωώσεως καὶ ἁγιασμοῦ, καὶ πάντων, ὡς αἱ Ἀγγελικαὶ δυνάμεις. Τρίτως τὰ μερικά· τινὰ γὰρ μετέχει μόνης ὀντώσεως, τινὰ καὶ ὀντώσεως καὶ ζωώσεως, τινὰ καὶ

ὀντώσεως

TEXTVS S. DIONYSII.

ὀντώσεως καὶ ζωώσεως καὶ σοφίας· αἱ γὰρ ἀνώταται δυνάμεις τῶν ἁπάντων μετέχουσι. Καὶ τί δεῖ λέγειν, ὅπου καὶ ὁ διδάσκαλος ἡμῶν ὁ ἱερὸς Ἱερόθεος, ὑποστάτην εἶπε τὸν Θεὸν τῆς θεότητος, ὃν καὶ αὐτοκάλλος, καὶ ὅλον κάλλος φημὶ, καὶ μερικὸν κάλλος· οὐχ ὅτι τὸ αὐτό ἐστι καὶ ὅλον καὶ μερικὸν, ἀλλ' ἀπὸ τῶν μετεχόντων ἀνίσως τῶν δωρεῶν, ὀνομάζεται ὁ τῶν δωρεῶν αἴτιος· καὶ ὁ κατὰ τὴν θεότητα ἀμέθεκτος, κατὰ τὰς ἀφθόνους χύσεις τῶν δωρεῶν μετέχεται, ἵν' ἀκριβῶς ὑπερέχῃ ὁ πάντων αἴτιος, ἁπάντων τῶν καθ' ὁποιανοῦν οὐσίαν καὶ φύσιν συνισταμένων, ἐν τῷ κατὰ τὰς δωρεὰς μετεχόμενον, κατὰ τὴν οὐσίαν μηδόλως μετέχεσθαι.

entitatem & vitam & ſapientiam; ſupremæ enim virtutes omnium ſunt participes. Sed quid attinet de his dicere, cùm præceptor noſter diuus Hierotheus dicat Deum effectorem deitatis, quem etiam per ſe pulchritudinem & vniuerſam pulchritudinem dico, & pulchritudinem ex parte: non quòd idem totum ſit, & ex parte, ſed ab iis, qui inæqualiter eius munera participant, munerum auctor denominatur; & qui ſecundùm diuinitatem imparticipabilis eſt, ſecundùm vberes munerum effuſiones participatur, vt perſpicuè rerum omnium auctor emineat, omnibus ſecundùm quamcumque ſubſtantiam & naturam ſubſiſtentibus, dum ſecundùm munera participatur, qui ſecundùm eſſentiã nequaquam participari poteſt.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ Ἁγίου ἁγίων, Βασιλέως βασιλέων, Κυρίου κυρίων, Θεοῦ θεῶν.

CAPVT XII.

De Sancto ſanctorum, Rege regum, Domino dominantium, Deo deorum.

SYNOPSIS CAPITIS.

1. Ponit capitis huius diſtributionem. 2. Explicat quid Sanctitas, quid Regnum, quid Dominatio, quid Deitas ſignificent. 3. Quonam ſenſu hæc nomina de Deo prædicentur. 4. Quo ſenſu etiam dicatur Deus eſſe Sanctus ſanctorum.

Ἀλλ' ἐπειδὴ καὶ περὶ τούτων ὅσα εἰπεῖν ἔδει, τὸ προσῆκον ἀπείληφεν, ὡς οἶμαι, τέλος, ὑμνητέον ἡμῖν τὸν ἀπειρώνυμον, καὶ ὡς ἅγιον ἁγίων, καὶ βασιλέα τῶν βασιλευόντων, καὶ βασιλεύοντα τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι, καὶ ὡς κύριον τῶν κυρίων, καὶ Θεὸν τῶν θεῶν. Καὶ πρῶτόν γε ῥητέον, τί μὲν αὐταγιότητα εἶναι οἰόμεθα, τί δὲ βασιλείαν, τί δὲ κυριότητα, τί δὲ θεότητα, καὶ τί βούλεται δηλοῦν τὰ Λόγια τῷ διπλασιασμῷ τῶν ὀνομάτων.

§. I. *Distributio capitis.*

QVONIAM verò ea quæ de his dicenda erant, finem, vti puto, congruum acceperũt, is qui infinita habet nomina modò nobis etiam laudandus eſt vt Sanctus ſanctorum, vt Rex regum, vt in æternum regnans & vltrà, & vt Dominus dominorum, & Deus deorum. Primùm itaque dicendum, quid ſanctitatem ipſam eſſe cenſeamus, quid regnum, quid dominationem, quid Deitatẽ, & quid Scripturæ ſignare velint per illorum omnium geminationem.

TEXTVS S. DIONYSII.

§. 2. *Quid sit Sanctitas, quid Regnum, quid Dominatio quid Deites.*

Sanctitas igitur (vt more nostro loquar) est, ab omni ſcelere libera, & omnino perfecta & omni ex parte immaculata puritas. Regnum autem eſt, omnis termini, ac mundi, & legis & ordinis diſtributio. Dominatio verò non minorum tantùm excellentia, verùm etiam omnium decorum ac bonorum completa poſſeſſio eſt, & vera & inconcuſſa firmitas; quapropter dominatio Græcè à κῦρος deriuato nomine, idem eſt quod firmatio, firmamentum & firmum, ac firmans ſeu ratificans. Deitas autem idem eſt atque omnium conſpicax prouidentia, omnigenâ bonitate cuncta circumſpiciens continensque, & ſeipsâ complens atq; tranſiliens vniuerſa quæ ipſius prouidentiâ fruuntur.

§. 3. *Quo ſenſu de Deo prædicetur ſanctitas, &c.*

Hæc itaque omnia de causâ illa tranſſcendentali abſolutè prædicanda ſunt, addendumque, ipſam eſſe ſupra eminentem ſanctitatem, atque dominationem, & regnum omnium ſupremum, ſimpliciſſimamque Deitatem: ſiquidem ex ipsâ ſingulariter & vbertim emanauit atque diffuſa eſt omnis mera perfectio totius ſinceræ puritatis, & omnis rerum diſpoſitio atque diſtinctio, quæ inconcinnitatem & inæqualitatem ac diſproportionem exterminat, & ad benè ordinatam identitatem ac rectitudinem informat, ac continet illa quæ iam digna fuerunt eius participatione; quin etiam eſt perfecta, & omnis omnium quæ pulchra ſunt poſſeſſio, & omnis diuina prouidentia, quæ contemplatur & con-

Ἁγιότης μὲν οὖν ἐστιν (ὡς καθ' ἡμᾶς εἰπεῖν) ἡ πάντως ἁγνὴ ἐλευθέρα, καὶ παντελὴς, καὶ πάντῃ ἄχραντος καθαρότης. Βασιλεία δὲ, ἡ παντὸς ὅρου, καὶ κόσμου, καὶ θεσμοῦ, καὶ τάξεως διανέμησις. Κυριότης δὲ οὐχ ἡ τῶν χειρόνων ὑπεροχὴ μόνον, ἀλλὰ καὶ πᾶσα τῶν καλῶν τε καὶ ἀγαθῶν ἡ παντελὴς παγκτησία, καὶ ἀληθὴς καὶ ἀμετάπτωτος βεβαιότης· διὸ καὶ κυριότης παρὰ τὸ Κῦρος, καὶ τὸ κύριον, καὶ τὸ κυριεῦον. Θεότης δὲ, ἡ πάντα θεωμένη πρόνοια, καὶ ἀγαθότητι παντελεῖ καὶ πάντα περιθέουσα καὶ συνέχουσα, καὶ ἑαυτῆς ἀποπληροῦσα, καὶ ὑπερέχουσα πάντα τὰ τῆς προνοίας αὐτῆς ἀπολαύοντα.

Ταῦτα μὲν οὖν ἐπὶ τῆς πάντα ὑπερβαλλούσης αἰτίας ἀπολύτως ὑμνητέον, καὶ προσρητέον, αὐτὴν ὑπερέχουσαν ἁγιότητα, καὶ κυριότητα, καὶ βασιλείαν ὑπερκειμένην, καὶ ἁπλουστάτην θεότητα· καὶ γὰρ ἐξ αὐτῆς ἐν ἑνὶ καὶ ἀθρόως ἐκπέφυκε καὶ διανενέμηται πᾶσα ἀμιγὴς ἀκρίβεια πάσης εἰλικρινοῦς καθαρότητος, πᾶσα ἡ τῶν ὄντων διάταξίς τε καὶ διακόσμησις, ἀναρμοσίαν, καὶ ἀνισότητα, καὶ ἀσυμμετρίαν ἐξορίζουσα, καὶ εἰς τὴν εὔτακτον ταυτότητα καὶ ὀρθότητα γανυμένη, καὶ περιάγουσα τὰ μετέχειν αὐτῆς ἠξιωμένα· πᾶσα ἡ παντελὴς καὶ πάντων τῶν καλῶν παγκτησία, πᾶσα ἀγαθὴ πρόνοια, θεωρὸς καὶ συνοχικὴ τῶν προ-

νοουμένων,

TEXTVS S. DIONYSII.

νοουμένων, ἑαυτὴν ἀγαθοπρεπῶς ἐπιδιδοῦσα πρὸς ἐκθέωσιν τῶν ὑπεστραμμένων.

Ἐπειδὴ δὲ ὑπερπλήρης πάντων ἐστὶν ὁ πάντων αἴτιος, κατὰ μίαν τὴν πάντων ὑπερέχουσαν ὑπερβολήν, Ἅγιος ἁγίων ὑμνεῖται, καὶ τὰ λοιπά, καθ' ὑπερβλύζουσαν αἰτίαν, καὶ ἐξῃρημένην ὑπεροχήν. ὡς ἂν τις φαίη, Καθ' ὅσον ὑπερέχουσι τῶν οὐκ ὄντων, τὰ ὄντα ἅγια, ἢ θεῖα, ἢ κύρια, ἢ βασιλικά, καὶ αὖ τῶν μετεχόντων αἱ αὐτομετοχαί· κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπὲρ πάντα τὰ ὄντα, καὶ πάντων τῶν μετεχόντων καὶ τῶν μετοχῶν, ὁ ἀμέθεκτος αἴτιος. Ἁγίους δέ, καὶ βασιλεῖς, καὶ κυρίους, καὶ θεοὺς καλεῖ τὰ Λόγια τὰς ἐν ἑκάστοις ἀρχικωτέρας διακοσμήσεις, δι' ὧν αἱ δεύτεραι τῶν ἐκ Θεοῦ δωρεῶν μεταλαμβάνουσαι, τὴν τῆς ἐκείνων διαδόσεως ἁπλότητα περὶ τὰς ἑαυτῶν διαφορὰς πληθύνουσιν· ὧν αἱ πρῶται τὴν ποικιλίαν προνοητικῶς καὶ θεοειδῶς πρὸς τὴν ἑνότητα τὴν ἑαυτῶν συνάγουσι.

seruat ea quibus consulit, seque benignè effert, ad formandam in eis qui ad ipsum conuertuntur diuinitatem.

§. 4. *Quo sensu dicatur Deus Sanctus sanctorũ, &c.*

Quoniam autem vniuersorum auctor rerum omnium plenissimus est, secundùm vnam, quæ omnibus antecellit, excellentiam Sanctus sanctorum nominatur, vti & cetera secundùm supraquam exuberantem causam, & eximiam præcellentiam. vt si quis dixerit: Quantò præstant sancta, vel diuina, vel dominantia, vel regia iis quæ non sunt talia, & rursus ipsæ per se participationes participantibus; tantò est omnibus sublimior, qui est supra omnia, & omnium participantium & participationum auctor imparticipabilis. Sanctos verò, & Reges, Dominosque, ac Deos Scripturæ appellant principaliores in vnoquoque ordines, quorum operâ dum inferiores Dei munera participant, eorumdem distributionum simplicitatem in suis distinctionibus multiplicant: horum autem varietatem primi ordines vtiliter ac diuinè ad vnitatem suam contrahunt.

ANNOTATIONES CORDERII.

§. I. QVONIAM *verò ea quæ de his dicenda erant,* &c.] S. Thomas ad hunc locum, Postquam, inquit, Dionysius exposuit diuina nomina, per quæ significatur emanatio perfectionum à Deo in creaturas, hîc exponit nomina Dei quæ designant rerum gubernationem. In quâ quidem gubernatione sunt quatuor attendenda: Primò quidem diuinæ cognitionis prouidentia, ad quam pertinet nomen Deitatis: Secundò, potestas exequendi sapientiæ diuinæ ordinationem, ad quam pertinet nomen Dominationis: Tertiò, ipsa executio gubernationis, ad quam pertinet nomen Regis: Quartò, gubernationis effectus, qui est munditia ab omni inordinatione, & ad hoc pertinet nomen Sanctitatis. De his acutè Cyparissiotus, Sanctitas, inquit, & Dominatus, & Regnum, & Diuinitas, absolutè quidem in Deo dictæ, silentium eius sunt beatum, & supra substantiam; extra Deum verò proprietates accipiunt ad creaturam spectantes. Atque illa quidem (id est Sanctitas) liberatio est ab omni scelere & maculâ; Dominatus firmitatem veram & à prolapsione liberam exhibet; Regnum est distributio omnis regulæ,

Quæ in gubernatione rerum ex parte Dei attendenda.

Decad. 5. cap. 9. *Quid Sanctitas, Dominatio & Regnum in Deo.*

ANNOTATIONES CORDERII.

gulæ,& ornamẽti,& iuris,& ordinis;Diuinitas verò,prouidentia omnia cõtemplans.

Quinque modis dicitur Deus sanctus.

§.2.*Sanctitas igitur*,&c.] Deus (vt doctè notat Lessius lib. 8. de Perfectionibus diuinis) sanctus dicitur multis modis, potissimùm quinque. Primò radicaliter,quia essentia diuina est prima radix & originalis fons omnis sanctitatis, & puritatis.

Secundò obiectiuè, quia est obiectum omnis sanctitatis:omnis enim sanctitas sita est in amore & coniunctione cum Deo. Quare etiam est mensura totius & ipsius sanctitatis, vnde nimirum sanctitas suam speciem & modum accipit: sanctitas enim est puritas. Sicut autem impuritas nascitur ex contactu inferiorum, vt cùm facies aut vestis luto aspergitur, vel cùm anima per affectum inferioribus inordinatè inhæret; ita puritas oritur ex contactu superiorum, cùm affectus ad sublimiora & nobiliora assurgit, & iis inhæret. Supremum autem omnium & simplicissimum & purissimum est Deus; vnde summa puritas consistit in adhæsione cum Deo. Itaque cùm summa puritas sit sanctitas, Deus est ratio obiectiua & mensura sanctitatis.

Tertiò dicitur sanctus exemplariter,vel in modum regulæ, quia per legem æternam est regula omnis sanctitatis: conformatio enim affectus cum lege æternâ est vera sanctitas.

Quartò formaliter: sanctitas enim formaliter est puritas affectus; puritas autem affectus est amor Dei, quia est adhæsio cum eo quod est purissimum & nobilissimum. Quare cùm Deus sit amor sui, ipse hac ratione formaliter est sua sanctitas: & quia se amat infinitè, quantum nimirum est amabilis, ideò quoque infinitè sanctus est. Similiter quia nihil omnino amat nisi propter seipsum,ideò etiam in amore omnium creaturarum sanctus est.

Quintò dicitur sanctus eminenter & causaliter, tamquam fons & principium omnis sanctitatis & puritatis in creaturis, principium, inquam, efficiens, formale, exemplare & finale. Vide hæc fusiùs apud Lessium loco citato, & ibidem cap. 2. quodnam sit discrimen sanctitatis diuinæ & creaturarum.De Dominio item Dei vide ibidem Librum decimum, qui est de hoc argumento.

Psal. 81, 6. Dicitur autem *Deus deorum*,eorum dico de quibus scriptum est, *Ego dixi, Dij estis.* Deus enim est qui illos sanctificat, & facit Deos per participationem. Vnde diuinæ personæ à Dionysio & à Patribus vocãtur θεαρχικαί, id est deificæ: & Spiritus sanctus vocatur ὑπέρθεον Πνεῦμα, hoc est Spiritus supra Deos, quos scilicet sanctificando facit Deos siue in cælo siue in terrâ, vti alibi etiam indicatum est,& ex Generalibus obseruationibus colligitur.

Quo sensu accipienda relationem connotantia & excellentiam.

§. 3. *Hæc itaque omnia de causâ illâ transscendentali absolutè prædicanda.*] Ex his (inquit Cyparissiotus) efficitur manifestum, aliam quidem significationem præ se ferre ea nomina quæ de Deo dicuntur ad aliquid; aliam verò, quæ secundùm exuperationem seu transscendentiam efferuntur: atque illa quidem aliquando superuacua esse & otiosa perfecto opere; hęc verò, quæ secũdùm exuperationem enuntiantur, semper eodem modo excellentiam declarare. Et probat exemplo fabricationis Vniuersi. *Septimo enim die*, inquit, *requieuit ab omnibus operibus suis*; quare cessauit à creatione cæli, solis, stirpium, animantium, &, vt vniuersè dicam, ab vniuerso opere quod patrarat. Propter opus enim dictus est tunc Deus Fabricator mundi. Est igitur semper fabricator mundi Deus, sed tamquam iam fabricatio mundi desierit; sicut & creator, qui non semper creat; & ad ridendum aptus, qui non semper ridet: hæc autem est, quia solùm est causa & effector Deus (infinitis enim & immensis interuallis effector effectis antecellit.) Cùm igitur Dionysius excellentiam in his ostendit,in duas partes diuisit, in sancta, & non sancta;& in per se participationes, & in participantia. Et quantò, inquit, ea quæ sunt iis quæ non sunt antecellunt, & participationes participantibus; tantò Deus antecellit sanctis & non sanctis, & per se participationibus & participantibus. Excellentia igitur Dei æquè peruadit in participantia,& per se participationes; & in sancta aut diuina, aut dominantia aut regia, & in ea quæ non sunt talia. Si autem Deus æquè vtraque excellit, quam rationem productionis habebunt quæ non sunt sancta, & quæ participant, eamdem habebunt sancta, & per se participationes. Quòd si illa sunt creaturæ Dei, & hæc igitur sunt creaturæ Dei. Apparent tamen hîc etiam proprietates:illa enim (scilicet participantia & participationes) propter finem, cuius causâ perfecta sunt, & eorum proprietas est dici ad aliquid, aliquo modo se habere; horum autem (id est quæ secundùm excellentiam dicuntur) proprietas est, ex æquo esse infra Deum cum illis quæ participant, & sunt per se participationes. hæc enim & illa facta sunt.

Gen. 2. *Differentia inter illa prædicata quæ ordinantur ad aliud, & illa quæ excellentiã connotant.*

SCHO-

SCHOLIA S. MAXIMI.

SCHOLIA S. MAXIMI.

Τῷ διπλασιασμῷ τῶν ὀνομάτων.] Διπλασιασμὸν ὀνομάτων φησὶ, τὸ πρὸς τὸ ἁπλοῦν ὑπερθετικὸν, οἷον ἅγιον ἁγίων, κύριον κυρίων, Θεὸν θεῶν, καὶ τὰ ὅμοια τούτων.

Διὸ καὶ κυριότης.] Ταῦτά φασιν οἱ δύο Γρηγόριοι, ὅ, τε Θεολόγος καὶ ὁ Νύσσης.

Ἀπολύτως ὑμνητέον.] Ἀπολύτως, τουτέστιν, οὐ κατά τι μὲν, κατά τι δὲ οὔ, ἢ ὡς πρός τι ἕτερον, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τουτέστι κυρίως.

Καὶ ἀνισότητα.] Αὕτη ἐστὶν ἡ ἑνότης, τὸ τῆς ἰσότητος καὶ ταὐτότητος λέγω· τοῦτο γάρ ἐστι τὸ αἴτιον τῆς συμπνοίας, καὶ τῆς συμπαθείας, καὶ τῆς σωτηρίας τῶν ὅλων· ὁ γὰρ τῆς ἑνότητος λόγος, ὁ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων, ἓν εἰκότως ἂν προσαγορεύοιτο. Καὶ γὰρ τὸ ἐν τοῖς κατὰ μέρος ἕν, τοιοῦτον ὑπάρχει, ἡνωμένον τοῖς μέρεσι, καὶ σύμπνουν κατὰ μετουσίαν τοῦ πρώτου αἰτίου. Κατὰ τοῦτον τὸν λόγον καὶ ὁ Κύριος ὑπὲρ τῶν μαθητῶν αἰτεῖ· Ἵνα ὦσι καὶ αὐτοὶ ἕν, ὡς καὶ ἡμεῖς ἕν ἐσμεν, ἵνα ὦσι τετελειωμένοι εἰς τὸ ἕν. Γάνυται δὲ, ἤτοι εὐφραίνεται ἐπὶ τοῖς ἰδίοις ποιήμασιν ὁ Θεὸς, κατὰ τὸ ἐν Ψαλμοῖς, Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἀμέθεκτος αἴτιος.] Ἀμέθεκτος ὁ Θεὸς κατὰ τὸν τῆς φύσεως λόγον.

Ἅγιος ἁγίων ὑμνεῖται.] Πῶς Ἅγιος ἁγίων, καὶ τὰ τοιαῦτα ὑμνεῖται ὁ Θεὸς, θαυμασίως ἐξεφάνωσε, καί φησι, Καθ' ὅσον διαφέρει φύσις ἀκραιφνὴς καὶ αἰτία ποιότητος καὶ αἰτιατοῦ (τοῦτο γάρ ἐστι τὸ ὂν πρὸς τὸ μὴ κυρίως ὄν·) καὶ καθ' ὅσον τοῦ μετέχοντος αὐτὸ τὸ μετεχόμενον, κατὰ τοσοῦτον διαλλάττει ὁ Θεὸς, ταῦτα λεγόμενος, τῶν κατὰ μέθεξιν τοῦτο ἐσχηκότων· τὰ γὰρ πάντα ἐκ Θεοῦ ἐστι, καὶ λέγεται, καὶ ἔχει, ὁ δὲ Θεὸς ἐξ οὐδενός.

Ἁγίους δὲ, καὶ βασιλεῖς.] Θείας ἐπιπνοίας ὁ μακάριος οὗτος ἠξιωμένος, εὐσεβῶς τὰ παρά τισιν εἰς πολυθεΐαν ἐκπεσόντα φιλοθέως μυσταγωγεῖ, καὶ τὰς ἐφεστηκυίας τῶν ὑποβεβηκότων ἀρχὰς, κατ' ἐξοχὴν ἁγίους,

PER NOMINVM GEMINATIONEM.] Geminationem nominum vocat superlatiuum cum positiuo, v. g. Sanctum sanctorum, Dominum dominorum, Deum deorum, & his similia. §. 1.

QVAPROPTER DOMINATIO.] Hæc tradunt duo Gregorij, Theologus & Nyssenus. §. 2.

ABSOLVTE PRÆDICANDA.] Absolutè, id est, non quidem secundùm aliquid laudare, secundùm aliquid verò non; vel tamquam ad aliquid aliud relatum, sed secundùm simplicem sensum, id est propriè. §. 3.

ET INÆQVALITATEM.] Hæc est vnitas æqualitatis, inquam, & idemtitatis: hæc enim est causa conspirationis atque concordiæ & salutis vniuersorum; nam ratio vnitatis, quæ secundùm eadem & eodem modo se habet, meritò quid vnum appellari potest. Vnum enim in iis, quæ secundùm partem quid vnum sunt, est vnitum partibus, & in participatione primæ causæ conspirat. Hoc modo etiam Dominus pro discipulis orat, *Vt sint & ipsi vnum, sicut & nos vnum sumus, vt sint consummati in vnum*. Exhilaratur seu recreatur Deus in operibus suis, iuxta illud in Psalmis, *Lætabitur Dominus in operibus suis*. Ioan. 17, 22. 23. Ps. 103, 31

AVCTOR IMPARTICIPABILIS.] Deus imparticipabilis est, secundùm rationem naturæ. §. 4.

SANCTVS SANCTORVM LAVDATVR.] Quomodo Sanctus sanctorum, & similia, Deus dicatur, mirificè explicuit, & ait, Quantum superexuberans natura & causa excedit qualitatem & effectum. (hoc enim est id, quod est respectu eius quod propriè non est:) & quantum differt id quod participatur, ab eo quod participat, tantum differt Deus, dum hæc dicitur, ab iis quæ illa habent per participationem: omnia enim ex Deo sunt, & dicuntur, & habent, Deus autem ex nullo.

SANCTOS VERO, ET REGES.] Vir hic beatus, diuinâ inspiratione doctus, religiosè ac piè interpretatur ea quæ à quibusdam ad deorum multitudinem detorquebantur, & Principes, qui inferioribus præsunt, ait vocari secundùm excellentiam Sanctos & Domi- *Quomodo dicantur Dij & Reges multi.*

SCHOLIA S. MAXIMI.

Dominos, & Reges & Deos; ſicut & inter homines ij qui ſunt excellentiſſimi ſic appellantur, ſicut etiam inter nos præceptores qui virtute præſtant, virtutem in animâ vnitè collectam habent, docendo autem virtutes aliis communicantes, ſecundùm diuerſitatem multitudinis eorum qui docentur, etiam virtutem habent multiplicatam. Hoc vtique potiori quadam ac diuiniori ratione in incorporeis iſtis ordinibus conſiderandum eſt, cùm inferiores ordines per ſuperiores ac Deo viciniores Dei dona participent. Quemadmodum ex cratere exuberante, vicina quidem vaſa prima replentur, recipiendo id quod ad ipſa defertur; deinde ipſis etiam exuberantibus, in alia ſubiecta vaſa diffunditur, & pro multitudine ac diuerſitate ſuſcipientium, ſiue puſillorum ſiue magnorum, id quod ex cratere exuberabat quodammodò diſtribuitur atque transfunditur, primis nempe vaſis per plenitudinis vnitatem in ſe continentibus id quod ex cratere defluxerat. Ita, craſſiori quadam ratione, abundantiam diſtributionis donorum diuinorum, per primas diſpoſitiones in omnes diſtributam eſſe, co-
Act. 9, 15. gitandum eſt. ſiquidem Apoſtolus vas electionis appellatus eſt. Notandum autem, ipſum dicere, Deum eſſe imparticipabilem ſecundùm naturæ rationem.

Differentias mvltiplicant.] Id eſt plures exhibent. Quantum enim differunt ea quæ participant, in tantum etiam munera iſta multiformia apparent.

καὶ βασιλεῖς, καὶ κυρίους, καὶ θεοὺς λέγεσθαί φησιν, ὥσπερ καὶ ἐν ἀνθρώποις οἱ ἐξοχώτατοι οὕτω προσαγορεύονται, καὶ ὥσπερ ἐν ἡμῖν οἱ ἐν ἀρετῇ προὔχοντες διδάσκαλοι, τὴν ἀρετὴν ἐν τῇ ψυχῇ ἑνιαίως συνηθροισμένην ἔχουσι, διὰ δὲ τῆς διδασκαλίας ἑτέροις τὰς ἀρετὰς μεταδιδόντες, πρὸς τὴν διαφορὰν τοῦ πλήθους τῶν διδασκομένων πληθύνεται καὶ ἡ μεταδιδομένη παρ' αὐτῶν ἀρετή. Οὕτως ἰσχυροτέρῳ τινὶ καὶ θειοτέρῳ τρόπῳ ἐπὶ τῶν ἀσωμάτων τάξεων θεωρητέον, καὶ διὰ τῶν ἀνωτέρων καὶ πλησιαιτέρων Θεοῦ αἱ ὑποβεβηκυῖαι τάξεις μετέχουσι τῶν δωρεῶν τοῦ Θεοῦ. Ὥσπερ ἐκ κρατῆρος ὑπερβλύζοντος καὶ πηγάζοντος, τὰ μὲν πλησιάζοντα σκεύη πρῶτα πληροῦνται, δεχόμενα τὸ ἐπὶ τὰ αὐτὰ φερόμενον· εἶτα καὶ αὐτῶν ὑπερβλυζόντων, διαχεῖται εἰς ἕτερα ὑποκείμενα σκεύη, καὶ πρὸς τὸ πλῆθος τῶν δεχομένων, καὶ τὴν διαφορὰν, εἴτε μικρῶν εἴτε μεγάλων, οἷον διαρραντίζεται τὸ ἐκ τοῦ κρατῆρος ἀναβλύζον, τῶν πρώτων σκευῶν ἐν ἑαυτοῖς ἐχόντων κατὰ τὴν ἑνότητα τοῦ πληρώματος τὸ πρώτως ἐκ τοῦ κρατῆρος ἐνεχθέν. Οὕτω παχυτέρῳ λόγῳ τὴν ἀφθονίαν τῆς μεταδόσεως τῶν θείων δωρεῶν μεριζομένην εἰς ἅπαντας διὰ τῶν πρώτων διακόσμων, νοητέον. καὶ γὰρ ὁ Ἀπόστολος σκεῦος ἐκλογῆς ὠνομάσθη. Σημείωσαι δὲ ὅτι ἀμέθεκτον νῦν τὸν Θεὸν κατὰ τὸν τῆς φύσεως λόγον φησί.

Διαφορὰς πληθύνουσι.] Τουτέστι πλείους δεικνύουσιν. Ὅσον γὰρ διάφορα τὰ μετέχοντα, τοσοῦτον καὶ αἱ δωρεαὶ πολυειδεῖς διαφαίνονται.

PARAPHRASIS PACHYMERÆ.

§. 1. SED quoniam etiam de his ſatis, vti arbitror, dictum eſt, is qui infinita poteſt, atque adeò etiam infinita nomina habet, nobis quoque celebrandus tamquam Sanctus ſanctorum, & Rex regum, prout in primo Moyſis Canticeo canitur, & ſicut Dominus dominorum, & Deus deorum. Ac primùm dicendum ſine geminatione, quid ſit quidlibet eorum; ac deinde, quid ſibi velint diuinæ Scripturæ iſta nomina duplicantes, ſiue Sanctus ſanctorum, & Dominus dominorum, & ſimilia.



ΑΛΛ' ἐπειδὴ καὶ περὶ τούτων ἱκανῶς, ὡς οἶμαι, λέλεκται, ὑμνητέον τὸν ἀπειροδύναμον, καὶ διὰ τοῦτο καὶ ἀπειρώνυμον, καὶ ὡς Ἅγιον ἁγίων, καὶ Βασιλέα τῶν βασιλευόντων, κατὰ τὸ ἐν τῇ πρώτῃ Ὠιδῇ τοῦ Μωϋσέως ᾀδόμενον, καὶ ὡς Κύριον τῶν κυρίων, καὶ Θεὸν τῶν θεῶν. Καὶ πρῶτον ῥητέον, χωρὶς τοῦ διπλασιασμοῦ, τί ἐστιν αὐτῶν ἕκαστον· καὶ εἶθ' οὕτως, τί βούλονται αἱ θεῖαι Γραφαὶ διπλασιάζουσαι τὰ ὀνόματα, ἤγουν Ἅγιος ἁγίων, καὶ Κύριος κυρίων, καὶ τὰ ὅμοια.

Ἁγιότης

Ἁγιότης μὲν οὖν ἐστιν, ὡς κατὰ τὴν ἔξω ἐτυμολογίαν εἰπεῖν, ἐκ τοῦ ἀ στερητικοῦ καὶ τοῦ Ἄγος τὸ μίασμα, οἱονεὶ ἀαγιότης· καὶ κραθέντων τῶν δύο ἀ ἀ εἰς ἁ μακρὸν δασυνόμενον, ἁγιότης, δηλονότι ἐστερημένη παντὸς ἄγους. Βασιλεία δέ ἐστιν, ἡ διανέμησις πάσης τάξεως, καὶ παντὸς τύπου, καὶ πάσης καταστάσεως καὶ εὐθεσίας. Κυριότης δέ, ἐπεὶ διχῶς κυριεύει τις, ἢ ἐν ᾧ οὐχ ἡττᾶται τῶν χειρόνων, ἢ ἐν ᾧ καὶ τῶν κρειττόνων ἐπιλαμβάνεται. Τὸ δεύτερον τίθησιν ὁ ἅγιος, ὡς τοῦ προτέρου ταπεινοῦ παντάπασιν ὄντος ἐπὶ Θεοῦ· διὸ καὶ κυριότης, παρὰ τὸ κῦρος ἡ ἐξουσία λέγεται· θεότης δέ, ἢ ἀπὸ τοῦ θεᾶσθαι, καὶ ἐπιτηρεῖν, καὶ προνοεῖν· ἢ ἀπὸ τοῦ περιθέειν καὶ συνέχειν ἁπανταχόθεν τὰ πάντα, καὶ ἐντὸς αὐτῆς ἅπαντα τὰ τῆς προνοίας ἀπολαύοντα, ἀποπληροῦσα· ἐν τῇ χειρὶ γὰρ αὐτοῦ τὰ πάντα, κατὰ τὰς ἱερὰς καὶ θείας Γραφάς.

Ταῦτα μὲν οὖν ἐπὶ Θεοῦ ἀπολύτως ὑμνητέον, δηλονότι, οὐ κατά τι μέν, κατά τι δὲ οὔ, ἢ ὡς πρός τι ἕτερον, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τουτέστι κυρίως. Ὡς γὰρ τὸ μέγας ἐπὶ Θεοῦ λέγεται ἀσχέτως, καὶ ἀσυγκρίτως, καὶ οὐ πρός τι ἕτερον, οὕτω καὶ ταῦτα δὴ τὰ ὀνόματα. Μὴ μόνον δὲ ἀπολύτως ῥητέον, ἀλλὰ καὶ μεθ' ὑπεροχῆς, ὑπεραγιότης, καὶ ὑπερβασιλεία, καὶ ὑπὲρ τὸ κύριος, καὶ ὑπέρθεος· καὶ γὰρ ἐξ αὐτῆς δὴ τῆς ἁπλουστάτης θεότητος, πᾶσα διανενέμηται τοῖς αἰτιατοῖς ἀμιγὴς καὶ ἄχετος ἀκρίβεια, καὶ τῆς ἁγιότητος, καὶ τῆς βασιλείας· ταύτην γὰρ λέγει διάταξιν τῶν ὄντων, δηλονότι τῶν ἁπάντων, καὶ διακόσμησιν, ἥ τις καὶ πᾶσαν ἀταξίαν ἐξορίζει, καὶ εἰς τὴν εὔτακτον ταυτότητα περιάγουσα τὰ ταύτης ἠξιωμένα· εἰκότως ἂν μία προσαγορεύεται· τοῦτο δέ ἐστιν ἡ ἑνότης, τὸ τῆς ταυτότητος καὶ ἰσότητος λέγω. Τοῦτο τὸ αἴτιον τῆς συμπνοίας καὶ τῆς συμπαθείας καὶ τῆς σωτηρίας τῶν ὅλων, ὁ τῆς ἑνότητος λόγος, ὁ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων. Γαννυμένη δὲ εἶπεν, ἤτοι χαίρουσα ἐπὶ τοῖς οἰκείοις ποιήμασι, κατὰ τὸ ἐν Ψαλμοῖς εἰρημένον, Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Πάλιν ἐκ ταύτης τῆς ἁπλουστάτης θεότητος, καὶ ἡ κυριότης ἐστί· ταύτην γὰρ εἶπε πάντων τῶν καλῶν

PARAPHRASIS PACHYMERÆ. §. 2.

Ἁγιότης unde deriuetur.

Ἁγιότης itaque, seu sanctitas, loquendo secundùm externam nominis etymologiam, ex ἀ priuatiuâ & voce ἄγος, id est impuritas, quasi ἀαγιότης, &c, gemino ἀ ἀ in ἁ longũ aspiratum coalescente, ἁγιότης, q.d. id quod omni labe seu impuritate priuatum est. Regnum verò est omnis ordinis, omnis formæ, & omnis constitutionis ac rectitudinis distributio. Dominatio autem, cùm dupliciter quis dominetur, quòd vel malis non succumbat, vel quòd meliora recipiat, seu possideat. Sanctus hic secundum ponit, quòd illud prius nimis humile sit pro Deo; quare etiã κυριότης, seu dominatio, παρὰ τὸ κῦρος, quatenus potestatem significat, denominatur; θεότης verò, seu diuinitas, ἀπὸ τοῦ θεᾶσθαι, id est à videndo, & obseruando, ac prouidendo; vel ἀπὸ τοῦ περιθέειν, id est à circumagendo, & vndique continendo vniuersa, vt in se omnia prouidentiæ muneribus fruentia adimplens. Quoniam omnia, iuxta Scripturas diuinas, in manu eius sita sunt.

Κυριότης unde. *Θεότης unde.*

§. 3. *Quæ in Deo absolutè dicantur.*

Hæc quidem in Deo absolutè laudanda sunt, id est non quidem secundùm aliquid, secundùm aliquid verò non, vel tamquam ad aliquid aliud relatum, sed secundùm simplicem sensum, id est propriè. Sicut enim magnus dicitur de Deo illimitatè, & sine comparatione, ac relatione, sic vtique etiam hæc nomina. Neque verò solùm absolutè proferenda sunt, sed etiam secundùm excellentiam, dicendo, suprà quàm sanctitas, & plus quàm regnum, & plus quàm Dominus, & plus quàm Deus; siquidem ex ipsamet simplicissimâ diuinitate, omnis pura & independens ratio cùm sanctitatis tum regni effectibus tribuitur: hanc enim vocat rerum dispositionem, scilicet omnium, & distributionem, quæ omnem inordinationem exterminat, & ad ritè ordinatam idemtitatem adducit illa quæ digna sunt eius participatione; vnde meritò vna dicitur, siquidem hæc est vnitas, idemtitatis inquam & æqualitatis. Hæc est causa conspirationis, & consensionis & salutis vniuersorum, vnitatis ratio, quæ secundùm eadem & eodem modo se habet. Lætantem verò dixit, siue gaudentem in operibus suis, iuxta illud Psalmi dictum, *Lætabitur Dominus in operibus suis.* Rursum ex hac simplicissimâ diuinitate etiam dominatio existit: hanc enim dixit vniuersam esse omnium bonorum posses- Ps. 103, 31.

PARAPHRASIS PACHYMERÆ.

possessionem. Hæc est benigna prouidentia, quæ semetipsam benignè impertit, ad eorum qui ad ipsam conuertuntur deificationem.

§.4. *Quid sibi velit Sanctus sanctorũ, &c.* Cùm autem sit rerum omnium superplena secundùm vnam eminentem excellentiam (neque enim multæ sunt in Deo excellentiæ, sed vna, illaque eminens) dicitur Sanctus sanctorum, & Rex Regum. Ait enim, quantum differt natura pura & causa à qualitate & effectu (hoc enim est illud quod est, respectu illius quod propriè non est) & quantum illud quod participatur ab eo quod participat, tantum differt Deus, dum hæc dicitur, ab iis quæ illa participatione habent: omnia enim ex Deo sunt, solus autem Deus ex nullo. Religiosè autem ac piè exponit illa, quæ à quibusdam de Deorum multitudine dicta putabantur, ex eo quòd audirent dici multos Deos, iuxta Psal. 49, 1. illud, *Deus deorum Dominus locutus est*. Præceptores enim qui virtute præstant, virtutem in animâ vnitè collectam habent, docendo autem virtutes aliis communicantes, secundùm diuersitatem multitudinis eorum qui docentur, etiam virtutem habent multiplicatam. Hoc etiam considerandum in ordinibus incorporeis: hæc vtique Dei propria sunt; & sicut ex cratere exuberante vicina quidem vasa prima replentur, deinde ipsa etiam exuberantia in alia vasa diffunduntur, & pro multitudine ac diuersitate suscipientium effusa distribuuntur ac multiplicantur; sic crassiori quadam ratione abundantiam distributionis donorum diuinorum, per primas dispositiones in omnes distributam esse cogitandum est. Siquidem Act. 9, 15. Apostolus vas electionis appellatus est. Notandum verò, quòd communicationem in Deo dicat esse munerum quæ ex Deo sunt, distributionem verò, primorum in ea quæ sequuntur. Priorum itaque distributionis simplicitatem posteriora multiplicat: quantum enim differunt ea quæ participant, in tantum etiam munera ista multiformia apparent. Ipsam verò posteriorum varietatem primæ istæ ad suam vnitatem prouidè contrahunt; & in quantum fit adductio, tantum etiam rursus occurrit vnitati diuinæ communicationis.

παγκτησίαν. Αὕτη ἡ ἀγαθὴ πρόνοια, ἑαυτὴν ἀγαθοπρεπῶς ἐπιδίδωσι πρὸς ἐκθέωσιν τῶν πρὸς αὐτὴν ἐπεστραμμένων.

Ἐπειδὴ δὲ ὑπερπλήρης πάντων ἐστὶ, καὶ μίαν ὑπερβολὴν ὑπερέχουσαν (οὐδὲ γὰρ πολλαί εἰσιν αἱ παρὰ τῷ Θεῷ ὑπερβολαὶ, ἀλλὰ μία καὶ ὑπερέχουσα) λέγεται Ἅγιος ἁγίων, καὶ Βασιλεὺς βασιλέων. Φησὶ γὰρ, καθόσον διαφέρει φύσις ἀκραιφνὴς καὶ αἰτία, ποιότητος καὶ αἰτιατοῦ (τοῦτο γάρ ἐστι τὸ ὂν πρὸς τὸ μὴ κυρίως ὂν) καὶ καθόσον τοῦ μετέχοντος αὐτὸ, τὸ μετεχόμενον, κατὰ τοσοῦτον διαλλάττει ὁ Θεὸς ταῦτα λεγόμενος, τῶν κατὰ μέθεξιν τοῦτο ἐσχηκότων· τὰ γὰρ πάντα ἐκ Θεοῦ ἐστι, μόνος δὲ Θεὸς ἐξ οὐδενός. Φιλοθέως δὲ μυσταγωγεῖ, καὶ τὰ παρά τισιν εἰς πολυθεΐαν ὑπονοούμενα, ἐκ τοῦ ἀκούειν πολλοὺς θεοὺς, καὶ τὸ, Θεὸς θεῶν Κύριος ἐλάλησεν. Οἱ γὰρ ἐν ἀρετῇ προὔχοντες διδάσκαλοι, τὴν ἀρετὴν ἐν τῇ ψυχῇ ἑνιαίως συνηθροισμένην ἔχουσι· διὰ δὲ τῆς διδασκαλίας, ἑτέροις τὰς ἀρετὰς μεταδιδόντες, πρὸς τὴν διαφορὰν τοῦ πλήθους τῶν διδασκομένων, πληθυνομένην ἔχουσι τὴν ἀρετήν. Τοῦτο θεωρητέον καὶ ἐπὶ τῶν ἀσωμάτων τάξεων. ἅπερ δὴ ταῦτα ἴδια εἰσι τοῦ Θεοῦ, καὶ ὥσπερ ἐκ κρατῆρος ὑπερβλύζοντος, τὰ μὲν πλησιάζοντα σκεύη πρῶτα πληροῦνται, εἶτα καὶ αὐτὰ ὑπερβλύζοντα διαχεῖται εἰς ἕτερα σκεύη, καὶ πρὸς τὸ πλῆθος τῶν δεχομένων καὶ τὴν διαφορὰν μερίζονται καὶ πληθύνονται τὰ ἐκχεόμενα, οὕτω παχυτέρῳ λόγῳ τὴν ἀφθονίαν τῆς μεταδόσεως τῶν θείων δωρεῶν μεριζομένην εἰς ἅπαντας διὰ τῶν πρώτων διακόσμων νοητέον. Καὶ ὁ Ἀπόστολος γὰρ σκεῦος ἐκλογῆς ὠνομάσθη. Σημειωτέον δὲ, ὅτι μετάδοσιν μὲν ἐπὶ Θεοῦ λέγει καὶ τῶν ἐκ Θεοῦ δωρεῶν· διάδοσιν δὲ, ἐπὶ τῶν πρώτων πρὸς τὰ δεύτερα. Τῆς γοῦν τῶν προτέρων διαδόσεως τὴν ἁπλότητα, τὰ δεύτερα πληθύνουσιν· ὅσῳ γὰρ διάφορα τὰ μετέχοντα, τοσοῦτον καὶ αἱ δωρεαὶ πολυειδεῖς διαφαίνονται). Αὐτὴν δὲ τὴν τῶν δευτέρων ποικιλίαν προνοητικῶς αἱ πρῶται πρὸς τὴν ἑαυτῶν ἑνότητα συνάγουσι, καὶ ὅσον ἡ ἀναγωγὴ γίνεται, εἰς τὸ ἑνιαῖον πάλιν καταντήσει τῆς ἐκ Θεοῦ μεταδόσεως.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τελείου καὶ ἑνός.

CAPVT XIII.

De Perfecto, & Vno.

SYNOPSIS CAPITIS.

1. Docet, quo sensu Deus dicatur perfectus. 2. Quo sensu dicatur vnus; & simul ostendit vnitatem in rebus omnibus reperiri. 3. Unitate sublatâ, interire omnia, & ex vno Deo omnia existere; & quomodo Deus sit laudandus vt vnus, & SS. Trinitas sit eminentissima vnitas. 4. Ponit operis conclusionem.

ΤΟΣΑΥΤΑ καὶ περὶ τούτων. Ἐπ' αὐτῷ δὲ λοιπὸν, εἰ δοκεῖ τῷ λόγῳ, τὸ καρτερώτατον χωρῶμεν· καὶ γὰρ ἡ Θεολογία, τοῦ πάντων αἰτίου καὶ πάντα καὶ ἅμα πάντα κατηγορεῖ, καὶ ὡς τέλειον αὐτὸ καὶ ὡς ἓν ἀνυμνεῖ. Τέλειον μὲν οὖν ἐστιν, οὐ μόνον ὡς αὐτοτελὲς, καὶ καθ' ἑαυτὸ ὑφ' ἑαυτοῦ μονοειδῶς ἀφοριζόμενον, καὶ ὅλον δι' ὅλου τελειότατον, ἀλλὰ καὶ ὡς ὑπερτελὲς κατὰ τὸ πάντων ὑπερέχον· καὶ πᾶσαν μὲν ἀπειρίαν ὁρίζον, παντὸς δὲ πέρατος ὑπερηπλωμένον, καὶ ὑπὸ μηδενὸς χωρούμενον, ἢ καταλαμβανόμενον, ἀλλὰ καὶ διατεῖνον ἐπὶ πάντα ἅμα καὶ ὑπὲρ πάντα ταῖς ἀνεκλείπτοις ἐπιδόσεσι καὶ ἀτελευτήτοις ἐνεργείαις. Τέλειον δ' αὖ λέγεται, καὶ ὡς ἀναυξὲς, καὶ ἀεὶ τέλειον, καὶ ὡς ἀμείωτον, ὡς πάντα ἐν ἑαυτῷ προέχον, καὶ ὑπερβλύζον κατὰ μίαν τὴν ἄπαυστον καὶ ταὐτὴν καὶ ὑπερπλήρη καὶ ἀνελάττωτον χορηγίαν, καθ' ἣν τὰ τέλεια πάντα τελεσιουργεῖ, καὶ τῆς οἰκείας ἀποπληροῖ τελειότητος.

§. 1. ATQVE ista de his dicta sint. Ceterùm, si placet, ad id quod potissimùm est sermonem transferamus: etenim Theologia rerum omnium auctori cùm omnia tum simul omnia tribuit, & ipsum vt perfectum & vt vnum laudat. Perfectus itaque est, non tantùm vt seipso perfectus, & per se à seipso vniformiter definitus, totusque secundùm se totum perfectissimus; verùm etiam vt supraquam perfectus, secundùm omnium excessum: atque omnem quidem infinitatem definiens, supra omnem verò finem expansus, & à nullo comprehensus aut contentus, sed ad omnia pariter & supra omnia indeficientibus largitionibus & numquam finiendis operationibus pertingens. Perfectus item dicitur, vt qui nullum accipiat incrementum, semperque perfectus sit, nec minui possit, omnia in seipso præhabens, & exuberans vnâ & eâdem incessabili & supraquam plenâ & imminuibili largitione, per quam omnia perfecta perficit, & vnumquodque congruâ sibi perfectione adimplet.

Quo sensu dicatur Deus perfectus.

TEXTVS S. DIONYSII.

§. 2. *Quo sensu dicatur vnus, id est sine compositione.*

Vnus autem, quia est omnia vnicè secundùm excellentiam vnius vnitatis, & omnium causa, non amittendo suam vnitatem: nihil enim illius vnius expers est, sed quemadmodum omnis numerus participat vnitatem, atque vnus binarius denariusque dicitur, & dimidium vnum vnaque tertia decimaque; similiter etiam omnia & quælibet particula particeps est vnius, & hoc ipso quo quid vnum sunt, etiam omnia sunt quæcumque sunt. Neque verò vnum illud, quod est omnium causa, vnum quid est ex pluribus, sed quod ante omne vnum omnemque multitudinem, omne vnũ multitudinemq; definit: neq; enim vmquam multitudo expers est vnius, sed ea quæ sunt multa partibus, sunt quid vnum toto; & quæ sunt multa accidentibus, sunt quid vnum subiecto; & quæ sunt multa numero vel virtutibus, sunt quid vnum specie; & quæ sunt multa speciebus, sunt quid vnum genere; & quæ sunt multa processionibus, sunt quid vnum principio: neque quidquam est in rerum naturâ, quod non secundùm aliquid participet vnum in illo, quod per omnia vnicum est, & omnia, etiam tota vniuersa & opposita, vnicè anticipauit. Ac sine vno quidem non erit multitudo, sed sine multitudine erit vnum, sicut & vnitas ante omnem numerum multiplicatum; & si quis omnibus omnia quæ vnita sunt supposuerit, omnia erunt in toto quid vnum.

Vnitatem in rebus omnibus reperiri.

§. 3. *Vnitate sublatâ, interire omnia.*

Illud prætereà sciendùm, vt secundùm vniuscuiusque speciem præconceptam vniri dicantur ea quæ vnita sunt, sitque vnum om-

Ἐὰν δὲ, ὅτι πάντα ἑνιαίως ἐστὶ κατὰ μιᾶς ἑνότητος ὑπεροχὴν, καὶ πάντων ἐστὶ τοῦ ἑνὸς ἀνεκφοιτήτως αἴτιον· οὐδὲν γάρ ἐστι τῶν ὄντων ἀμέτοχον τοῦ ἑνὸς, ἀλλ᾽ ὥσπερ ἅπας ἀριθμὸς, μονάδος μετέχει, καὶ μία δυὰς, καὶ δεκὰς λέγεται, καὶ ἥμισυ ἓν, καὶ τρίτον καὶ δέκατον ἓν, οὕτω πάντα καὶ πάντων μόριον τοῦ ἑνὸς μετέχει, καὶ τῷ εἶναι τὸ ἓν, πάντα ἐστὶ τὰ ὄντα. Καὶ οὐκ ἔστι τὸ πάντων αἴτιον ἓν, τῶν πολλῶν ἓν, ἀλλὰ πρὸ παντὸς ἑνὸς καὶ πλήθους, καὶ παντὸς ἑνὸς καὶ πλήθους ὁριστικόν. οὐδὲ γάρ ἐστι πλῆθος ἀμέτοχόν πῃ τοῦ ἑνὸς, ἀλλὰ τὸ μὲν πολλὰ τοῖς μέρεσιν, ἓν τῷ ὅλῳ· καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν, ἓν τῷ ὑποκειμένῳ· καὶ τὸ πολλὰ τῷ ἀριθμῷ ἢ ταῖς δυνάμεσιν, ἓν τῷ εἴδει· καὶ τὸ πολλὰ τοῖς εἴδεσιν, ἓν τῷ γένει· καὶ τὸ πολλὰ ταῖς προόδοις, ἓν τῇ ἀρχῇ· καὶ οὐδέν ἐστι τῶν ὄντων, ὃ μὴ μετέχει πῃ τοῦ ἑνὸς τοῦ ἐν τῷ κατὰ πάντα ἑνικῷ, πάντα καὶ ὅλα πάντα, καὶ τὰ ἀντικείμενα καὶ ἑνιαίως προειληφότος. Καὶ ἄνευ μὲν τοῦ ἑνὸς, οὐκ ἔσται πλῆθος, ἄνευ δὲ τοῦ πλήθους, ἔσται τὸ ἓν, ὡς καὶ μονὰς πρὸ παντὸς ἀριθμοῦ πεπληθυσμένου· καὶ εἰ πᾶσι τὰ πάντα ἡνωμένα τις ὑπόθοιτο, τὰ πάντα ἔσται τῷ ὅλῳ ἕν.

Ἄλλως τε καὶ τοῦτο ἰστέον, ὅτι κατὰ τὸ ἑνὸς ἑκάστου προεπινοούμενον εἶδος, ἡνῶσθαι λέγεται τὰ ἡνωμένα, καὶ πάντων ἐστὶ τὸ ἕν,

TEXTVS S. DIONYSII.

ἕν, στοιχειωτικόν· καὶ εἰ ἀνέλῃς τὸ ἕν, οὔτε ὁλότης, οὔτε μόριον, οὔτε ἄλλο οὐδὲν τῶν ὄντων ἔσται· πάντα γὰρ ἐν ἑαυτῷ τὸ ἓν ἑνοειδῶς προείληφέ τε καὶ περιείληφε. Ταύτῃ γοῦν ἡ Θεολογία τὴν ὅλην θεαρχίαν, ὡς πάντων αἰτίαν, ὑμνεῖ τῇ τοῦ ἑνὸς ἐπωνυμίᾳ, καὶ εἷς Θεὸς ὁ Πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, καὶ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διὰ τὴν ὑπερβάλλουσαν τῆς ὅλης θεϊκῆς ἑνότητος ἀμέρειαν, ἐν ᾗ πάντα ἑνικῶς συνῆκται, καὶ ὑπερήνωται, καὶ προόσεσιν ὑπερουσίως. Διὸ καὶ πάντα ἐπ' αὐτὴν ἐνδίκως ἀναπέμπεται καὶ ἀνατίθεται, ὑφ' ἧς, καὶ ἐξ ἧς, καὶ δι' ἧς, καὶ ἐν ᾗ, καὶ εἰς ἣν, πάντα ἐστὶ, καὶ συντέτακται, καὶ μένει, καὶ συνέχεται, καὶ ἀποπληροῦται, καὶ ἐπιστρέφεται· καὶ οὐκ ἂν εὕροις τι τῶν ὄντων, ὃ μὴ τῷ ἑνὶ καθ' ὃ πᾶσα ἡ θεότης ὑπερουσίως ὀνομάζεται, καί ἐστι τοῦθ' ὅπερ ἐστὶ, καὶ τελειοῦται, καὶ διασώζεται. Καὶ χρὴ καὶ ἡμᾶς ἀπὸ τῶν πολλῶν ἐπὶ τὸ ἓν τῇ δυνάμει τῆς θεϊκῆς ἑνότητος ἐπιστρεφομένους, ἑνιαίως ὑμνεῖν τὴν ὅλην καὶ μίαν θεότητα, τὸ πάντων αἴτιον ἕν, τὸ πρὸ παντὸς ἑνὸς καὶ πλήθους, καὶ μέρους καὶ ὅλου, καὶ ὅρου καὶ ἀοριστίας, καὶ πέρατος καὶ ἀπειρίας, τὸ πάντα τὰ ὄντα καὶ αὐτὸ τὸ εἶναι ὁρίζον, καὶ πάντων καὶ ὅλων πάντων, καὶ ἅμα καὶ πρὸ πάντων, καὶ ὑπὲρ πάντα, καὶ ἑνικῶς αἴτιον, καὶ ὑπὲρ αὐτὸ τὸ ἓν ὂν, καὶ αὐτὸ τὸ ἓν ὂν ὁρίζον,

nium quasi elementũ; & si sustuleris vnitatem, neque totalitas, neque particula, neque aliud quidpiam in rebus erit: omnia enim in se vnum vniformiter anticipant & complectuntur. Hac itaque ratione Scriptura totum Deum, tamquam omnium causam, sub vnius appellatione laudat; atque hoc modo vnus est Deus & Pater, & vnus Dominus Iesus Christus, atque vnus idemque Spiritus, per supraquam abundantem totius diuinæ vnitatis indiuisibilitatem, in quâ omnia vnicè sunt coniuncta, & supraquam vnita, & præexistentia supra substantiã. Quapropter etiam ad ipsam omnia iure merito referuntur, eique attribuuntur, à quâ, & ex quâ, & per quam, & in quâ, & ad quam omnia sunt, & componuntur, & manent, & continentur, & complentur, & conuertuntur: neque quidquam reperies eorum quæ sunt, quod non ex vno illo, secundùm quod omnis diuinitas supraessentialiter nominatur, & sit id quod est, & perficiatur ac conseruetur. Oportet itaque & nos, à multis ad vnum virtute diuinæ vnitatis conuersos, singulariter laudare totam & vnam diuinitatem, vnum, quod est omnium causa, ante omne vnum & multitudinem, & partem & totum, finitionem & infinitionem, finem & infinitatem, omnia quæ sunt & ipsum esse determinat; & omnium & totorum omnium, & simul ante omnia & supra omnia etiam vnicè causam, & quod supra ipsum vnum, est id quod est & ipsum vnum determinat,

Ex vno Deo sunt omnia.

Quomodo Deus sit laudandus vt vnus.

TEXTVS S. DIONYSII.

ſiquidem quod eſt vnum, iis quæ ſunt adnumeratur: numerus enim particeps eſſentiæ eſt. Quod autem eſt vnum ſupra ſubſtantiam, & quod eſt vnum, & omnem numerum definit, ipſum eſt & vnius, & numeri, & omnis rei principium & cauſa, & numerus & ordo. Quamobrem & vnitas quæ laudatur, & Trinitas quæ eſt diuinitas ſupra omnia, non eſt vnitas, neque Trinitas à nobis aut alio quopiam eorum quæ ſunt cognita; ſed vt quod in ipsâ eſt ſupraquam in vnum copulatum & fecunditatem Dei verè laudemus, trinum & vnum Deum nominamus illum, qui ſupra omne nomen eſt. Nulla autem vnitas vel trinitas, neque numerus, nec vnitas vel fecunditas, nec aliud quidpiam eorum quæ ſunt, aut eorum quæ alicui exiſtentium ſunt cognita, explicat arcanum illud omnem rationem & mentem ſuperans ſuperdeitatis, ſuperessentialiter ſupra omnia ſuperexiſtentis; huius neque nomen neque rationem eſt aſſignare, ſed inacceſſum omnibus eminet. Quin nec ipſum quidem nomen bonitatis ei tamquam aptum accommodamus, ſed deſiderio aliquid intelligendi & dicendi de naturâ illâ arcanâ & ineffabili, quod eſt omnium nominum maximè venerabile ipſi primum cõſecramus: in quo quidem cum Theologis conuenimus, ſed ab ipsâ rerum veritate multùm deficimus. Quamobrem ipſi quoque aſcenſum illum per negationes prætulerunt, vt qui animam à cognatis rebus auocans, ad omnes diuinas intelligentias viam

SS. Trinitas eſt vnitas eminentiſſima & incognoſcibilis.

ἐπείπερ τὸ ὂν ἕν, τὸ ἐν τοῖς οὖσιν, ἐναρίθμιόν ἐστιν· ἀριθμὸς δὲ οὐσίας μετέχει. Τὸ δὲ ὑπερούσιον ἕν, καὶ τὸ ὂν ἕν, καὶ πάντα ἀριθμὸν ὁρίζει, καὶ αὐτό ἐστι, καὶ ἑνὸς, καὶ ἀριθμοῦ, καὶ παντὸς ὄντος ἀρχὴ καὶ αἰτία, καὶ ἀριθμὸς καὶ τάξις. Διὸ καὶ μονὰς ὑμνουμένη, καὶ τριὰς ἡ ὑπὲρ πάντα θεότης, οὐκ ἔστιν οὐδὲ μονὰς, οὐδὲ τριὰς ἡ πρὸς ἡμῶν, ἢ ἄλλου τινὸς τῶν ὄντων διεγνωσμένη, ἀλλ' ἵνα καὶ τὸ ὑπερηνωμένον αὐτῆς καὶ τὸ θεογόνον ἀληθῶς ὑμνήσωμεν, τῇ τριαδικῇ καὶ ἑνιαίᾳ θεωνυμίᾳ, τὴν ὑπερώνυμον ὀνομάζομεν τοῖς οὖσι τὴν ὑπερούσιον. Οὐδεμία δὲ μονὰς, ἢ τριὰς, οὐδὲ ἀριθμὸς, οὔτε ἑνότης, ἢ γονιμότης, οὐδὲ ἄλλο τι τῶν ὄντων ἢ τινι τῶν ὄντων συνεγνωσμένων, ἐξάγει τὴν ὑπὲρ πάντα καὶ λόγον, καὶ νοῦν, κρυφιότητα τῆς ὑπὲρ πάντα ὑπερουσίως ὑπερούσης ὑπερθεότητος· οὐδὲ ὄνομα αὐτῆς ἐστιν, οὐδὲ λόγος, ἀλλ' ἐν ἀβάτοις ἐξῄρηται. Καὶ οὐδὲ αὐτὸ τὸ τῆς ἀγαθότητος ὡς ἐφαρμόζοντες αὐτῇ, προσφέρομεν, ἀλλὰ πόθῳ τοῦ ἐννοεῖν τι καὶ λέγειν περὶ τῆς ἀῤῥήτου φύσεως ἐκείνης, τὸ τῶν ὀνομάτων σεπτότατον αὐτῇ πρώτως ἀφιεροῦμεν, καὶ συμφωνήσομεν αὖ κἀν τούτῳ τοῖς Θεολόγοις, τῆς δὲ τῶν πραγμάτων ἀληθείας ἀπολειφθησόμεθα. Διὸ καὶ αὐτοὶ τὴν διὰ τῶν ἀποφάσεων ἄνοδον προτετιμήκασιν, ὡς ἐξιστῶσαν τὴν ψυχὴν τῶν ἑαυτῇ συμφύλων, καὶ διὰ πασῶν τῶν θείων νοήσεων ὁδοῦ-

οῦσαν,

TEXTVS S. DIONYSII.

οῦσιν, ὧν ἐξήρηται τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ πάντα λόγον, καὶ γνῶσιν· ἐπ' ἐσχάτων δὲ τῶν ὅλων αὐτῷ συνάπτουσαν, καθ' ὅσον καὶ ἡμῖν ἐκείνῳ συνάπτεσθαι δυνατόν.

Ταύτας ἡμεῖς τὰς νοητὰς θεωνυμίας συνηρηκότες, ὡς ἐφικτὸν ἀνεπτύξαμεν, οὐ μόνον αὐτῶν τῆς ἀκριβείας ἀπολειπόμενοι (τοῦτο γὰρ ἀληθῶς καὶ Ἄγγελοι φαῖεν) οὐδὲ τῆς κατὰ Ἀγγέλους αὐτῶν ὑμνῳδίας· καὶ τῶν ἐσχάτων γὰρ ἀποδέουσιν οἱ κράτιστοι τῶν παρ' ἡμῖν Θεολόγων, οὔτε μὴν αὐτῶν τῶν Θεολόγων, οὐδὲ τῶν αὐτῶν ἀσκητῶν, ἢ συνοπαδῶν, ἀλλὰ καὶ τῶν ἡμῖν ὁμοταγῶν, ἐσχάτως καὶ ὑφειμένως. Ὥστε, εἰ μὲν ὀρθῶς ἔχοι τὰ εἰρημένα, καὶ ὡς καθ' ἡμᾶς ὄντως ἐφηψάμεθα τῇ διανοίᾳ τῆς θεωνυμικῆς ἀναπτύξεως, ἐπὶ τὸν πάντων ἀγαθῶν αἴτιον τὸ πρᾶγμα ἀναθετέον, τὸν δωρούμενον πρῶτον αὐτὸ τὸ εἰπεῖν, ἔπειτα τὸ εὖ εἰπεῖν. Καὶ εἴ τι τῶν ὁμοδυνάμων παραλέλειπται, κἀκεῖνο ἡμᾶς κατὰ τὰς αὐτὰς μεθόδους προσυπακούειν δεήσει. Εἰ δὲ ταῦτα ἢ οὐκ ὀρθῶς, ἢ ἀτελῶς ἔχει, καὶ τῆς ἀληθείας ἢ ὁλικῶς ἢ μερικῶς ἀποπεπλανήμεθα, τῆς σῆς ἂν εἴη φιλανθρωπίας ἐπανορθώσασθαι τὸν ἀκουσίως ἀγνοοῦντα, καὶ μεταδοῦναι λόγου τῷ μαθεῖν δεομένῳ, καὶ ἐπαμῦναι τῷ μὴ αὐτάρκη δύναμιν ἔχοντι, καὶ ἰάσασθαι τὸν οὐκ ἐθέλοντα ἀῤῥωστεῖν· καὶ τὰ μὲν παρ' ἑαυτοῦ, τὰ δὲ παρ' ἑτέρων ἐξευρίσκοντα, πάντα δὲ ἐκ τἀγα-

ſternat, quibus excipitur id quod omni nomine omniq́ue ratione ac cognitione ſublimius exiſtit, nosq́ue Deo tandem coniungit, quantum nimirum cùm ex noſtrâ tum ex ipſius parte fieri poteſt.

Hæc nos diuina nomina, quæ ratione intelliguntur, cõgeſta pro viribus explicuimus, non ſolùm non ſatis pro eorum merito congruè (hoc enim etiã Angeli verè dixerint) ſed neq; paribus laudibus, quibus ab Angelis celebrantur: ſiquidem præſtantiſſimi quoque Theologi noſtri vel nouiſſimis etiam Angelis cedunt, verùm etiam Theologis eorumq́ue aſſeclis nequaquam ſuppares, à noſtris quoque æqualibus in hoc laudum genere ſuperamur. Itaque, ſiquidem rectè iſta dicta ſint, & in diuinorum nominum explanatione pro modulo noſtro verum ſenſum attigerimus, in bonorum omnium cauſam id totum referendum eſt, vt quæ primùm tam dicendi quàm benè dicendi facultatem dederit. Ac ſi quid eorum quæ his æquiualent ſit prætermiſſum, id iiſdem quoq; rationibus à nobis ad hunc modum ſupplendum erit. Sin verò hæc vel minùs recta vel imperfecta ſunt, & à veritate vel omnino vel ex parte aberrauimus, erit humanitatis tuæ corrigere non ſponte ignorantem, rationesq́ue ſuggerere diſcere cupienti, & ex ſe inſufficienti opem ferre, curareq́ue nolentem ægrotare: atque alia quidem à te excogitata, alia verò ab aliis mutuata, ceteroquin omnia ex ipſo bo- §. 4.

no accepta, in nos quoque deriuare. Neque te pigeat amicum hocce beneficio afficere: cernis enim, vti neque nos ipsi quidquam rationum Hierarchicarum nobis concreditarum intra nosmetipsos continuimus, verùm illas omnino puras cùm vobis tum ceteris viris sanctis, partim tradidimus, partim adhuc trademus, pro dicendi nostro & aliorum intelligendi facultate, in re nullâ traditionem violantes, nisi fortè vel ad eloquendum vel ad intelligẽdum imbecilliores extitimus. Sed hæc quidem, vt Deo placet, sic habeant, & dicta sint; sitque, quod ad nos pertinet, hic finis nominibus Dei quæ mens excogitauit: ad symbolicam verò Theologiam Deo duce transibo.

θοῦ λαμβάνοντα, καὶ εἰς ἡμᾶς διαβιβάσαι. Μηδὲ ἀποκάμῃς φίλον ἄνδρα εὐεργετῶν· ὁρᾷς γάρ, ὅτι καὶ ἡμεῖς οὐδένα τῶν παραδοθέντων ἡμῖν ἱεραρχικῶν λόγων εἰς ἑαυτοὺς συνεσείλαμεν, ἀλλὰ ἀνοθεύτους αὐτοὺς καὶ ὑμῖν καὶ ἑτέροις ἱεροῖς ἀνδράσι μεταδεδώκαμέν τε καὶ μεταδώσομεν, ὡς ἂν ἡμεῖς τε εἰπεῖν ἱκανοί, καὶ οἷς λέγεται ἀκούειν, κατ' οὐδὲν τὴν παράδοσιν ἀδικοῦντες, εἰ μὴ ἄρα πρὸς τὴν νόησιν ἢ τὴν ἔκφρασιν αὐτῶν ἀσθενήσομεν. Ἀλλὰ ταῦτα μέν, ὅπῃ τῷ Θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ λεγέσθω· καὶ ἔστω δὴ τοῦτο ταῖς νοηταῖς θεωνυμίαις τὸ καθ' ἡμᾶς πέρας· ἐπὶ δὲ τὴν συμβολικὴν Θεολογίαν ἡγουμένου Θεοῦ μεταβήσομαι.

ANNOTATIONES CORDERII.

§. I. PERFECTVS *itaque est*, &c.] Pulchrè, vti solet, ac perspicuè Dei perfectionem ex hoc capite Lessius probat lib. 7. de Perfectionibus diuinis cap. 2. dicens, Dionysium hîc adferre quatuor rationes, cur Deus dicatur perfectus.

Quomodo Deus dicatur αὐτοτελής.

Prima, Quia est αὐτοτελής, id est *per se perfectus*, quo significatur illum non accepisse perfectionem ab alio, siue vt à causâ efficiente siue vt à causâ formali, sicut fit in creaturis, sed habere omnem perfectionem à solâ simplicissimâ essentiâ suâ: vnde ipsius perfectio non consurgit ex accumulatione multarum rerum, sicut in creaturis, quarum nulla dici potest αὐτοτελής, sed ex vnâ re simplicissimâ, quæ ipsemet est, & ita per se, secundùm omne genus perfectionis, est perfectissimus.

Quomodo ὑπερτελής.

Secunda, Quia est ὑπερτελής, id est *superperfectus*, hoc est, omni perfectione conceptibili superior & excellentior: nihil enim à mente creata tam magnum tam eximium & excellens potest cogitari, quin Deus infinities sit excellentior & maior. Hoc denotatur illâ voce ὑπερτελής.

Tertia, Quia non potest augeri vel minui, tamquam omnia anticipata & præcepta per suam essentiam in se continens.

Deus assiduè omnia suo influxu perficit.

Quarta, Quia ita plenus & superplenus est omnibus bonis, vt veluti fons inexhaustus exuberet & redundet perpetuâ & incessabili largitione donorum in omnes res creatas.

Est auctor omnis perfectionis in omnibus.

Vnde patet, Deum dici perfectum, quia est auctor omnis perfectionis naturalis & supernaturalis in rebus omnibus, à summis & ipsi vicinissimis vsque ad extremas, à primâ substantiâ separatâ vsque ad infimam materiam; & ipsius radium pertingere ad omnia, idque non semel tantùm, sed assiduè & indesinenter. Non enim satis est Deum sua dona semel, siue materiæ, siue gratiæ, siue gloriæ, infudisse, sed hanc infusionem & largitionem debere esse cõtinuam & indesinentem; alioquin omnia momento euanescerent. Neque solùm quia est auctor vt causa efficiens, sed etiam quia est exemplar & mensura omnis perfectionis. In rebus enim creatis dicitur aliquid perfectum in naturâ, quia est commen-

mensum suo exemplari, secundùm quod est conditum in tali specie: sicut in arte factis id est perfectum, quod exactè respondet conceptui & regulis artis; vnde ipsum exemplar est per se & originaliter perfectum, absque respectu ad aliud, tamquam prima perfectionis regula. Itaque ipse perfectus dicitur, & tamquam fons ex quo omnis perfectio naturæ in omnia, quæ aliquo modo sunt, manat, & tamquam mensura, ex cuius commensione ipsa perfectionis ratio pendet.

Quadruplex discrimen perfectionis Dei & creaturarum.

Hinc ex eodem Lessio cap. 1. collige quadruplex discrimen inter perfectionem Dei & creaturæ etiam excellentissimæ. Primum, Quòd Deus nō habeat perfectionem & excellentiam suam ab alio, sed à se tantùm: ipse enim est primus actus, prima perfectio, & primum bonum independens ab omni alio, fons inexhaustus omnis boni & omnis perfectionis; creatura verò omnem suam perfectionem & bonitatem habet à Deo. Sicut in rebus corporeis sol habet lumen à seipso, id est, non ab alio aliquo corpore, stellæ verò habent lumen à sole.

Cur perfectio Dei sit illimitata.

Hinc sequitur alterum discrimen, Quòd perfectio Dei sit prorsus illimitata & infinita, creaturæ verò limitata & adstricta ad certam speciem. Cùm enim perfectio diuina non sit ab alio, non habet à quo limitetur aut mensuram accipiat, ac proinde necesse est manere illimitatam in amplitudine sui conceptus; creaturæ verò perfectio cùm sit à Deo, limitatur secundùm modum quem ei imponit diuina sapientia, sicut omnia opera artis mensuram & modum & terminū accipiunt ab arte opificis.

Per simplicem essentiam habet Deus omnē perfectionem.

Tertium, Quòd Deus omnem perfectionem suam habeat per simplicem suam essentiam, nullâ aliâ formâ vel modo reali accedente; secùs in creaturis. Nulla enim creatura habet omnem perfectionem per suam essentiam, sed opus est infinitis propemodum formis & perfectionibus accessoriis, vt perfecta sit; vt patet in Angelis, quorum tamen natura inter substantias creatas est simplicissima & perfectissima: vt enim omittam potentias & species intelligibiles, opus est illis plurimis habitibus & illustrationibus, & actibus tum intellectus tum voluntatis, vt perfecti sint.

Hinc sequitur quartum discrimē, Quòd diuina perfectio non possit vmquam augeri vel minui: cùm enim actu habeat omnem perfectionem possibilem, nulla ei fieri potest accessio; & cùm habeat illam per essentiam & à se, non potest ei vlla fieri detractio. Oportet enim ipsum essentiam suam amittere, vt vel minimum quid suæ perfectionis deserat; creaturæ verò perfectio potest & sine fine augeri, & vsque in nihilum imminui. Possent etiam Angeli & homines beati, Deo ita disponente, crescere sine termino in claritate visionis diuinæ & amore beatifico, & etiam omne bonum suum amittere.

ANNOTATIONES CORDERII.

In Deo non est habitus & dispositio, neque accidens vel differentia causæ & causati, aut energiæ, &c.

§. 1. *Vnus autem, quia est omnia vnicè*, &c.] Hinc Cyparissiotus Decade x. Theologiæ materiatæ decem capitibus concludit, Primò, Non oportere quærere in Trinitate, quæ supra substantiam est, habitus & dispositiones; neque esse aliqua circa ipsam quæ substantiam eius compleant. Secundò, Non esse etiam accidentia quæpiam quæ in substantia eius existant; nec differentias substantiales in ipsa intelligi, siquidem & in incorporeis, quæ ab ipsâ producta sunt, non oportet quærere differentiam substantiæ, & energiæ, neque, tamquam aliud in alio, ista vt existant accidere. Tertiò, Quòd in vnitate, quæ supra substantiam est, non sit quærenda vbique differentia causæ, & causam habentis, vbi ex seipsâ dicitur existere; & vbi ex seipsâ prodit sua energia siue operatio; & vbi ex seipsâ, & per seipsam, ad seipsam remeat. Quartò, Quòd in vnitate Trinitatis non oporteat quærere aliud substantiam, & aliud energiam siue operationem; neque tegi homonymiâ verbi energiæ, nec existimare non idem esse in eâ substantiam & energiam. Quintò, Quòd in vnitate, quæ supra substantiam est, non oporteat quærere energiam per se sine substantiâ, & non per se existentem; neque cogitare simul aliud quid cum ipsâ vnitate, neque ab eâ distinguere suam energiam. Sextò, Quòd in vnitate Trinitatis non oporteat quærere aliud substantiam & aliud bonitatem, nec aliud formam & aliud substantiā, nec aliud vitam vel sapientiam vel virtutem, aliud verò substantiam eiusdem. Septimò, Non item quærendum aliud esse cognitionem eius, vel charitatem eius, vel pulchritudinem eius, vel immortalitatem eius, & alia eiusmodi, aliud verò singularem eius substātiam & existentiam supraquàm diuinam. Octauò, Quòd in vnitate supra substantiā non oporteat quærere, quia hæc est omnia, idcircò multa eius esse, & diuersa omnia: est enim ea omnia ipsa diuina & beata eius substātia, quæ habet omnia, non vt alia in alio, sed sine habitudine & collectè, nihil habens duplex, & supra omne vnum. Nonò, Quòd in vnitate, quæ supra substantiam est, neq; principium eius reperire liceat, neque medium,

SCHOLIA S. MAXIMI.

dium, neque finem; neque sit aliquid totum, quia in vnoquoque eorum quæ intelligũtur est tota & sola; neque sit aliquid eorum quæ sunt, quia ipsa est omnia; neq; liceat vno nomine eam complecti. Decimò, Quòd vnitas Trinitatis supra omnem substantiam sit, & supra omnem vnitatem & trinitatem nobis cognitam; & quòd neque substantia sit, nec vnitas, neque trinitas ab vllo cognita, nec infinita, aut in multis numerata. Vide hæc apud Cyparissiotum per decẽ capita fusius deducta, & ex Patribus ac Scripturis comprobata. Consule etiam D. Thomam Parte 1. qu. 3. de Simplicitate Dei.

Similitudines Trinitatis. §. 3. *Nulla autem vnitas vel Trinitas*, &c. *explicat arcanum illud.*] Nota cum Manuele Calechas in libro de Trinitate: Imagines, quas Patres excogitarunt ad assimilandum eas vtcumq; Trinitati, Gregorius Nazianzenus cum oculo fontis, & fonte, & fluuio comparat; item cum sole, radio, lumine; item cum mente, ἐνθυμήσει, id est cõsideratione, animâ, in quibus non est diuisio vel sectio; item cum triplici sole & vnâ luminis commixtione. Gregorius Nyssenus in lib. de Trinitate hæc tria dicit esse in nobis, quæ sunt νοῦς, λόγος, πνεῦμα. Mens, inquit, parit rationem, ratio mouet mentem, & neque mens sine ratione est, neque ratio sine mente; similiter sine spiritu, qui est in nobis, non erit ex mente. Hæc, inquit, sunt æqualia, & separari à se inuicem non possunt. Sic, inquit, intelligendum est in Trinitate. Alij cum fonte, fluuio, & lacu, cum igne, flammâ, & lumine. Cyrillus cum radice, ramo & fructu; idem cum digito, manu, & brachio: & aliàs cum rosâ, flore, & odore. In his omnibus reperiuntur quædam inseparabilia à se mutuo, quæ assumuntur, ad declarandum vtcumque esse tres personas inseparabiles, proprietatibus distinctas, & vnius substantiæ, ita vt ab alio sumatur τὸ ἀχώριστον, id est inseparabilitas personarum, ab alio τὸ ὁμοούσιον, id est consubstantialitas.

SCHOLIA S. MAXIMI.

§. 1. A SEIPSO VNIFORMITER DEFINITVS.] Deus suiipsius & finis & locus est, nihilque supra Deum extenditur. Quin etiam ipsemet infinita definit: nam sæcula, quæ sunt infinita (neque enim finem habent) ipsemet infinitâ magnitudine excedens, multiplici suâ infinitate complectitur, & omnem vitam termini expertem, vt in intellectilibus. non enim his vita terminatur vt in hominibus, sed immortales creati sunt; Deus verò in supraquam æternâ propriâ æternitate terminatur.

§. 2. *Quomodo Deus vnus sit, & dicatur.* VNVS AVTEM, QVIA EST OMNIA.] Multa numero, vnum specie sunt, numismata, pecunia, & oboli; vnum enim specie, siue æs, siue aurum, siue argentum. Virtute autem multa, vt herbæ, sed vnum specie, nam omnes fœnum. Multa verò speciebus, vt equus, bos, homo, & intellectilia seu Angeli; vnum verò genere, quoniam hæc sunt animal. Multa denique processionibus sunt creaturæ, sed vnum principio: Deus enim est auctor omnium.

SED QVEMADMODVM OMNIS NVMERVS.] Pulchrè demonstrat id quod intẽdit: diuino enim viro huic propositum est ex numerandi ratione sententiam suam confirmare. Ait itaq;, nihil eorum quę sunt vnius, id est Dei,

Ὑφ᾽ ἑαυτοῦ μονοειδῶς ἀφοριζόμενον.] Ὁ Θεὸς ἑαυτοῦ καὶ ὅρος καὶ τόπος, καὶ οὐδὲν ὑπερεκτείνεται τοῦ Θεοῦ. Ἀλλὰ καὶ τὰ ἄπειρα αὐτὸς περατοῖ· τοὺς γὰρ αἰῶνας ἀπείρους ὄντας (οὐδὲ γὰρ ἔχουσι πέρας) αὐτὸς τῷ ἀπείρῳ μεγέθει ὑπερέχων, τῷ ἑαυτοῦ ἀπειροπλασίῳ περιέχει, καὶ πᾶσαν ἀοριστίαν ζωῆς, ὡς ἐπὶ τῶν νοητῶν· οὐ γὰρ ὥρισται τούτοις ὁ βίος ὡς ἐπὶ ἀνθρώπων, ἀλλ᾽ ἀθάνατοι ἐκτίσθησαν· ὁ δὲ Θεὸς ἐν τῷ ὑπεραιωνίῳ ἐντὸς τῆς ἰδίας ἀϊδιότητος ὁρίζεται.

Ἓν δὲ, ὅτι πάντα.] Πολλὰ τῷ ἀριθμῷ, ἓν δὲ τῷ εἴδει, τὰ νομίσματα, καὶ τὰ ἀργύρια, καὶ οἱ ὀβολοί· τὸ γὰρ εἶδος ἕν, ἢ χαλκὸς, ἢ χρυσὸς, ἢ ἄργυρος. Τὸ δὲ πολλὰ τῇ δυνάμεσιν, ὡς αἱ πόαι· ἓν δὲ τῷ εἴδει, πᾶσαι γὰρ χόρτος. Τὸ δὲ πολλὰ τοῖς εἴδεσιν, οἷον ἵππος, βοῦς, ἄνθρωπος, καὶ τὰ νοητά· ἓν δὲ τῷ γένει, ὅτι ταῦτα ζῶόν εἰσι. Τὸ δὲ πολλὰ ταῖς προόδοις, αἱ δημιουργίαι, ἓν δὲ τῇ ἀρχῇ· ὁ Θεὸς γὰρ αἴτιος πάντων.

Ἀλλ᾽ ὥσπερ ἅπας ἀριθμός.] Καλῶς ἀποδείκνυσιν ὅπερ καὶ βούλεται· σκοπὸς γὰρ τῷ θείῳ τούτῳ ἀνδρὶ καὶ ἀπὸ τῆς ἀριθμητικῆς συστῆσαι τὰ ἑαυτοῦ. Λέγει γοῦν, ὅτι οὐδέν ἐστι τῶν ὄντων ἀμέτοχον τοῦ ἑνὸς, τουτέστι τοῦ Θεοῦ;

διότι

διότι καὶ πᾶς ἀριθμὸς μονάδος μετέχει· εἰ γὰρ ἐκ τῶν δύο ἄρξεταί τις, μίαν δυάδα πρώτην ἀριθμεῖ, καὶ ἐκ τῶν ι. ὁμοίως. Τὸ πλέον φησὶν, ὅτι κἂν ἐκ τῶν λεγομένων πολλοστημορίων ἄρξηταί τις πρῶτον, ἀριθμεῖ ἥμισυ ἓν, καὶ τρίτον ἓν, δέκατον ἓν, καὶ οὕτως ἐφεξῆς, ὥστε μὴ εἶναι ἀριθμὸν μὴ μετέχοντα τοῦ ἑνὸς, ἤτοι τῆς μονάδος. Κἂν γὰρ μορίου ἐπιμνησθῇς, ἐρεῖς ἥμισυ ἓν, καὶ τρίτον ἓν, καὶ δέκατον ἓν, καὶ ἐφεξῆς· καὶ ὅτι μία δυὰς, καὶ μία δεκὰς λέγεται, ὡς καὶ τούτων ἐξ αὐτῆς συμπληρουμένων.

Τὸ πάντων αἴτιον ἕν.] Ὁ σκοπὸς δῆλος, ὅτι ἓν λεγόμενος ὁ Θεὸς, οὐχ ὁμοίως τοῖς ἀριθμητοῖς ἓν λέγεται. Ὁ μὲν γὰρ Θεὸς ἕν ἐστι, καθὸ ἁπλοῦς τε καὶ ἀμερὴς, καὶ τῆς κατ' εἶδος διαφορᾶς ἄμοιρος, καὶ πάντων παθημάτων καὶ συμβεβηκότων ἀλλότριος, λέγεται καὶ ἓν, ἀρχή τις ὥσπερ καὶ στοιχεῖον τῶν ἐσομένων νοούμενος. Τὸ δὲ ταὐτὸν, ἢ ἕτερον, ἢ μεῖζον, ἢ ἔλαττον, ἔτι δὲ ἄρτιον ἢ περιττὸν, ἢ ἴσον ἢ ἄνισον, ὅπερ ἐν τοῖς ἀριθμοῖς θεωρεῖται, οὐκ ἄν τις εὐλόγως ἐπὶ τὴν ἀρχὴν ἀναφέροι, ἀρχὴν αὐτὰ ποιούμενος· τὰ γὰρ τοιαῦτα πάθη καὶ συμβεβηκότα, ἐξ ἀνάγκης εἰσί. Τῶν μὲν οὖν ἐν ἀριθμοῖς διαιρέσεων εἰς πλῆθος τὸ πέρας, εἰς μονάδα ἀνάγεται, ἡ δὲ ἀρχὴ ἐν ἑκάστῳ γένει ἁπλούστατόν ἐστι, καὶ ἐν τοῖς οὖσιν ἓν, εἴτε τὸ ἓν πολλά ἐστιν, εἴτε τὰ πολλὰ ἕν, ἀρχή τις καὶ στοιχεῖον τὸ ἁπλούστατόν ἐστι καὶ πάντων ἀμέτοχον ἕν, ἐξ οὗ, ὥσπερ ἐκ παραδείγματος καὶ ἰδέας, καὶ τὸ ἐν τοῖς οὖσιν ἕν. Οἷον κἂν τὸ αἰσθητὸν φῶς πολλὰ ᾖ τοῖς μέρεσιν, ἀντὶ τοῦ τοῖς ἄστροις πᾶσιν, ἀλλ' ὅλον συλλεγόμενον, ἓν φῶς ἐστι, καὶ πολλὰ τοῖς συμβεβηκόσιν, οἷον ὁ ταώς· ἔχει γὰρ καὶ χρυσίζοντα, καὶ κυάνεα, καὶ λευκὰ, ἓν τῷ ὑποκειμένῳ σώματί ἐστιν. Οὕτω καὶ τὰ ἑξῆς νοητέον.

Οὐδὲ γάρ ἐστι πλῆθος.] Ὧδε ἐξ ἀριθμητικῆς περιγίνεται τῶν λεγομένων. Σημείωσαι δὲ, ὅτι καὶ πρὸ τοῦ ἑνὸς λέγει εἶναι τὸν Θεὸν εἰκότως, ἐπειδὴ πάντων ὑπάρχει, ὅθεν καὶ τοῦ ἀριθμοῦ δημιουργὸς, ἤτοι ἐφευρέτης ἐστίν.

Ἀλλὰ τὸ μὲν πολλά.] Προσυπακουστέον ἐφ' ἑκάστου τούτων τὸ ὑπάρχον, ἵνα ᾖ τὸ λε-

expers esse, quoniam omnis numerus particeps est vnitatis: nam si à duobus quis inceperit, vnam dualitatem primam annumerat, & ex decem similiter. Ampliùs dicit: quòd etsi aliquis primò inceperit à minimis, numeret dimidium vnum, & vnum tertium, vnum decimum, & ita deinceps; adeò vt non sit numerus, qui non sit particeps vnitatis seu monadis. Etsi enim partis memineris, dices vnam dimidiam, & vnam tertiam, vnam decimam, & sic deinceps; atque vnam dualitatem & vnam decadem dici, quòd etiam hæ ex eâ compleantur.

VNVM ILLVD, QVOD EST OMNIVM CAVSA.] Manifestus ipsi scopus est, probare Deum, cùm quid vnum dicitur, non eo modo vnum dici, quo cetera quæ sub numerum cadunt. Deus enim vnum est, quatenus nempe simplex & indiuiduus atque differentiæ specificæ expers, & ab omnibus affectionibus & accidentibus alienus, quid vnum nuncupatur, dum tamquam principium quoddam atque elementum futurorum concipitur. At idem aut diuersum, aut maius aut minus, quin etiam par aut impar, æquale vel inæquale, quod in numeris spectatur, nemo rectè ad principium referat, illa principium constituendo: talia enim necessariò sunt affectiones & accidentia. Itaque in numeris, terminus, qui in multitudinem diuiditur, ad vnitatem reducitur, sed principiũ in quoquo genere simplicissimum existit; ergo etiã in rebus, siue vnum sit multa, siue multa sint vnum, principium aliquod & elementum simplicissimum est, vnum illud, quod est omnium expers, ex quo, tamquam ab exemplari & ideâ, etiam vnum illud, quod in rebus est, existit. Sicut v.g. lumen hoc sensibile, licet sit multa partibus, nempe stellis omnibus, quãdo tamen in vnum totum colligitur, vnum lumen existit, & est multa accidentibus; veluti pauo, cùm habeat maculas aureas, cæruleas, & albas, est quid vnum secundùm corpus subiectum. Sic etiam de ceteris cogitandum.

NEQVE ENIM EST MVLTITVDO.] Hoc loco ex arithmeticâ conuincit quod asserebat. Nota verò, meritò ipsum dicere, Deum esse ante vnum, quoniam est omnium, atq; adeò etiam ipsius numeri auctor ac inuentor.

SED QVOD QVIDEM MVLTA.] Subaudiendum hîc in singulis Verbum *est*, vt sen-

ſus ſit: Quod multa eſt partibus, eſt vnum toto, v. g. corpus, ſic & reliqua quid vnum ſunt ſubiecto ſeu ſubſtantiâ, ſed multa accidentibus, vt homo. Accidentia autem quædam ſunt ſeparabilia, vt ſedere, ambulare, & ſimilia; quædam verò inſeparabilia, vt cæruleum & aduncum, & ſimilia. Et rurſus, vnum quidem ſpecie equus, vel bos, ſed hoc eſt multa numero, multi enim ſunt equi, & multi boues. Quin etiam quædam naturalibus potentiis multa ſunt, & rurſus multa ſpeciebus, vt homo, equus, canis, &c. quæ vnum ſunt genere, vnumquodq; enim horum eſt animal. Sic denique etiam quæ multa ſunt proceſſionibus, ſiue conſiliis, aut etiam operibus, quid vnum ſunt principio.

Omnia, etiam tota vniversa.] Omnia dicuntur, quando ſpecies, & partes & differentiæ vnius accipiuntur; totum verò, quando partes collectæ vnum integrum efficiunt, aut ſpecies vnum genus, aut contraria & oppoſita in conſpiratione & concordiâ quieſcunt; vt aqua ſimul & terra, & aër, & igneæ ſtellæ, & cælum, mundus enim hæc tota dicitur.

Ac sine vno qvidem.] Cùm vnum videatur habere connexionem quamdam cum numero, ſine vnitate certè non erit multitudo, quoniam numeri ſunt compoſitio vnitatis in multitudine; quod ſuprà dixit, Deum multiplicari, quaſi ex arithmeticâ cognoſcitur; vnum autem ſecundùm ſe ſubſiſtit & eſt.

Et si qvis omnibvs omnia.] Illud, *quis ſuppoſuerit*, etiam ex ſuppoſitione vſurpatur in iis quæ reipsâ eſſe nequeunt, ſed ratione finguntur; hîc verò non ſic accipiendum eſt, ſed hoc verbo mentis applicandum, propter creationis ex vno Deo identitatem, & quia totum in partibus conſideratur, & partes in toto.

Vt secvndvm vniuscviusqve speciem præconceptam.] Niſi, inquit, priùs intelligatur ſpecies hominis, ſeu natura, nemo dixerit, homines inter ſe coniunctos eſſe ſecundùm eamdem naturæ rationem.

Et si svstvleris vnitatem.] Ita hæc ſententia conſtruenda eſt, nempe illa quæ coniuncta ſunt, vniri ſecundùm cuiuſque ſpeciem præconceptam. Anteà enim diximus, ſpecies & multa ad vnum genus redu-

γόμενον τοιοῦτον, Τὸ ὑπάρχον τοῖς μέρεσι πολλά, ἕν ἐστι τῷ ὅλῳ, οἷον τὸ σῶμα, οὕτω καὶ τὰ λοιπὰ ἐν τῷ ὑποκειμένῳ ἐστὶν ἡ οὐσία, ἀλλὰ πολλὰ τοῖς συμβεβηκόσιν, οἷον ὁ ἄνθρωπος. Συμβεβηκότα δέ, τὰ μὲν χωριστά, ὡς τὸ καθέζεσθαι, περιπατεῖν, καὶ τὰ ὅμοια· τὰ δὲ ἀχώριστα, ὡς τὸ γλαυκόν, ἢ γρυπόν, καὶ τὰ ὅμοια. Καὶ πάλιν, ἓν μὲν εἶδος ἵππος, ἢ βοῦς, ἀλλὰ τοῦτο πολλὰ ὑπάρχει τῷ ἀριθμῷ, πολλοὶ γὰρ ἵπποι, καὶ πολλοὶ βόες. Ἀλλὰ καὶ ταῖς δυνάμεσι ταῖς φυσικαῖς πολλὰ ὑπάρχει, καὶ αὖθις τὰ πολλὰ εἴδη, οἷον ἄνθρωπος, ἵππος, κύων, καὶ τὰ ἄλλα, ἕν εἰσι τῷ γένει· ζῷον γάρ, τούτων ἕκαστον. Οὕτω γοῦν καὶ τὸ πολλὰ ὑπάρχον ταῖς περιόδοις, ἤγουν τοῖς βουλήμασιν, ἢ καὶ τοῖς ἔργοις, ἕν εἰσι τῇ ἀρχῇ.

Πάντα, καὶ ὅλα πάντα.] Πάντα λέγεται, ὅταν εἴδη, καὶ μέρη, καὶ διαφοραὶ ἐν ταῖς διαιρέσεσιν ὦσιν· ὅλον δέ, ὅταν τὰ μέρη συλλεγόμενα ἓν ὁλόκληρον ἀποτελῶσιν, ἢ τὰ εἴδη ἓν γένος, ἢ καὶ τὰ ἐναντία καὶ ἀντικείμενα εἰς σύμπνοιαν καὶ συμπάθειαν ἡσυχάζῃ, ὡς ὕδωρ ὁμοῦ καὶ γῆ, καὶ ἀήρ, καὶ τὰ πυρώδη ἄστρα, καὶ οὐρανός· λέγεται γὰρ ὁ[illegible] ταῦτα κόσμος.

Καὶ ἄνευ μὲν τοῦ ἑνός.] Ἐπειδὴ τὸ ἓν δοκεῖ πως ἔχειν σχέσιν πρὸς ἀριθμόν, ἄνευ ἑνὸς οὐκ ἂν εἴη πλῆθος, σύνθεσις γὰρ μονάδος εἰσὶν οἱ εἰς πλῆθος ἀριθμοί, ὅπερ εἶπεν ἄνω, ὅτι πολλαπλασιάζεται ὁ Θεός, ὡς ἀπὸ ἀριθμητικῆς νοούμενος· τὸ δὲ ἓν καὶ καθ' ἑαυτὸ ὑφέστηκε καί ἐστι.

Καὶ εἰ πᾶσι τὰ πάντα.] Τὸ Ὑποθοῖτό τις, καὶ τὸ καθ' ὑπόθεσιν λαμβάνεται ἐπὶ τῶν πραγματικῶς οὐκ ὄντων, ἀλλὰ λόγῳ τυπουμένων· ἐνταῦθα μέντοι οὐχ οὕτω ληπτέον, ἀλλὰ τῷ κατ' ἐπίνοιαν λόγῳ τοῦτο θετέον, διὰ τὴν τῆς κτίσεως ταυτότητα, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι θεωρεῖσθαι, καὶ ἐν τῷ ὅλῳ τὰ μέρη.

Ὅτι κατὰ τὸ ἑνὸς ἑκάστου προεπινοούμενον.] Εἰ μὴ προεπινοηθείη, φησί, τὸ τοῦ ἀνθρώπου εἶδος, ἤγουν ἡ φύσις, οὐκ ἄν τις εἴποι τοὺς ἀνθρώπους ἡνῶσθαι ἀλλήλοις, δῆλον δὲ ὅτι κατ' αὐτὸν τὸν τῆς φύσεως λόγον.

Καὶ εἰ ἀνέλοις τὸ ἕν.] Οὕτω τὸ ῥητὸν συνθετέον, ὅτι ἡνῶσθαι λέγεται τὰ ἡνωμένα κατ' εἶδος προεπινοούμενον ἑνὸς ἑκάστου. Προείπομεν γάρ, ὅτι τὰ εἴδη καὶ τὰ πολλὰ στοι-

χεῖον

χεῖόν τι καὶ ἀρχὴν τὸ ἓν ἐπιγράφονται), εἰς γένος ἓν ἀναγόμενα, οὗ γένους εἴδη εἰσί· ταῦτα γὰρ συνώνυμα αὐτῷ τῷ εἴδει, οἷον ἵπποι, βόες, καὶ τὰ ἑξῆς, ἅπερ εἰς ἓν γένος ἀνάγονται, τὸ καλεῖσθαι ζῷον.

Τὴν ὅλην θεαρχίαν.] Ὅλη θεαρχία, ἡ παναγία καὶ προσκυνητὴ Τριάς, διὰ δὲ τὴν ἀνέκφραστον τῆς φύσεως ἕνωσιν, ὁ εἷς καὶ ἓν χρηματίζει.

Ὑφ' ἧς, καὶ ἐξ ἧς.] Τῷ Ὑφ' ἧς σύνταξον τὸ Ἔστι· καὶ τῷ Ἐξ ἧς, τὸ Συντέτακται· καὶ τῷ Δι' ἧς, τὸ Μένει· καὶ τῷ Ἐν ᾗ, τὸ Συνέχεται, ἤγουν φυλάττεται· καὶ τῷ Εἰς ἥν, τὸ Ἐπιστρέφεται, εἰ καὶ ὁ Πατὴρ ἰδίως καὶ ὑφ' ἓν τὰ ῥήματα ἔταξε, καὶ τὸ πάντα δὲ, ἀπὸ κοινοῦ. Καλῶς δὲ εἶπεν, Ὅτι ἐὰν ἀνέλῃς τὸ ἓν, οὔτε ὁλότης, οὔτε πολλοστημόριον, οὔτε ἄλλο οὐδέν· τοῦτο γὰρ προῃνίξατο καὶ ἄνω εἰπὼν, Καὶ ἥμισυ ἓν, καὶ τρίτον, καὶ δέκατον, δηλονότι καὶ τὰ μόρια τοῦ ἑνὸς μετέχουσι.

Τὸ πάντων αἴτιον ἕν.] Οὐχ ἀπολύτως ἑνὶ παντὶ τὰ πάντα συνέστηκεν, ἀλλ' ἐκείνῳ μόνῳ τῷ ἑνὶ, καθ' ὃ ἓν ὁ Θεὸς καὶ εἷς καὶ ἓν ὀνομάζεται· τούτῳ γὰρ μόνῳ τῷ ἑνὶ τὰ ὄντα ἐστίν· αὐτὸ γὰρ τὸ ὄνομα τὸ ἓν ὁ λέγων, κατ' ἀπόφασιν τοῦ πολλαπλοῦ τοῦτο σημαίνει. Τὸ μέντοι ἓν αὐταρχὴ καὶ πρῶτόν ἐστι τῷ πρός τί πως ἔχειν, τὴν γὰρ ἐξ αὐτοῦ πολλῶν ἔννοιαν εἰσάγει. ταῦτα δὲ οὐκ ἐπιτήδεια ἐπὶ Θεοῦ. Τοιοῦτον δὲ ὂν μόνον τὸ ἓν, παντελῶς ἀπαθὲς, καὶ ἀδιαίρετον, καὶ αὐταρκέστατόν ἐστι· κατὰ γὰρ τὴν αὐτοῦ φύσιν ἑτέρῳ συμπλέκεσθαι οὐ πέφυκεν, ὥσπερ τὸ ἐν ἀριθμοῖς ἕν. Ἀπωθεῖται γὰρ τὸ πλῆθος, καὶ πᾶσαν σύνθεσιν, καὶ διαίρεσιν, αὐτὸ τὸ κυρίως ἓν, καὶ περὶ παντὸς ἑνός· τοῦτο γὰρ οὔτε μικρὸν, οὔτε μέτριον καλεῖται, εἰ δὲ δεῖ καὶ τολμῆσαι, οὔτε καλὸν, οὔτε ἀγαθόν· ταῦτα γὰρ πάθη πως οἷον εἰσι καὶ σχέσεις καὶ συμβεβηκότα. Αὐτὸ δὲ τὸ ἓν καὶ ὑπὲρ πάντα νοεῖται, τὰ δὲ πάθη, ὡς τὸ μικρὸν καὶ μέτριον, καὶ σὺν ἄλλῳ νοοῦνται, καὶ οὔτε ἁπλᾶ, διὰ τοῦτο οὔτε στοιχειώδη. Τὸ ἓν οὖν ὡς εἴρηται, ὅπερ ἁπλοῦν καὶ ἀπαθὲς, μὴ ἔχον τὰ λεχθέντα, οὔτε ὡς γένος θετέον τῶν ὄντων· τὰ δὲ γένη πάντως διαιρεῖται εἰς τὰ εἴδη. Ἀλλ' οὔτε στι-

SCHOLIA S. MAXIMI.

cta describere vnum aliquod elementum ac principium illius generis, cuius species existunt: hæc enim ipsi speciei iuncta, v.g. equi, boues, &c. ad vnum quoddam genus reducuntur, quod animal vocatur.

TOTAM DIVINITATEM.] Tota diuinitas est sanctissima & veneranda Trinitas, propter ineffabilem verò naturæ vnitatem, vnus & vnum nuncupatur.

A QVA, ET EX QVA.] Cum *à quâ* coniunge *sunt*, & cum *ex quâ* coniunge *componuntur*, & cum *per quam, manent*, & *in quâ, continentur*, siue conseruantur, & *ad quam, conuertuntur*; etsi Pater sigillatim & simul verba collocarit, & omnia subaudiri voluerit. rectè autem dixit: Quòd si vnum sustuleris, neque totalitas, neque multesima pars, neq; aliud quidpiam erit: hoc enim anteà insinuauit, cùm superiùs dixit, *Et dimidium vnum, & vnam tertiam, & vnam decimam*, quoniam etiam partes vnum participant.

Omnia vnum participant.

VNVM, QVOD EST OMNIVM CAVSA.] Non absolutè omni vno omnia constiterunt, sed illo solo vno, secundùm quod vnum Deus, & vnus & vnum nominatur, hoc enim vno solo res existunt: nam qui hoc nomen vnum nuncupat, secundùm negationem multiplicitatis hoc significat. Vnum nempe per se principium & primum est alicui, vt quodammodò existat, quoniam multorum ex ipso existentium cogitationem ingerit; hæc autem Deo non conueniunt. Porrò vnum, quod solum tale existit, prorsus est affectionis expers, & indiuiduum, ac per se sufficientissimum; neque enim potest cum altero in naturâ vnâ copulari, sicut vnum in numeris. Quod enim propriè vnum, & ante omne vnum est, refugit multitudinem, omnemque compositionem ac diuisionem: siquidem hoc vnum neque paruum neque mediocre vocatur, quinetiam, si quid audendum sit, neque pulchrum, neque bonum. hæ enim affectiones quodammodò etiam sunt habitus & accidentia. Ipsum verò vnum supra omnia quoque intelligitur, affectiones verò, vt paruum & mediocre, cum alio quoque considerantur, & ideò neque simplices sunt neque elementares. Ergo vnum, vti dictum est, quod simplex & affectionis expers existit, cùm non habeat ea quæ recensita sunt, haudquaquam tamquam rerum genus ponendum est; genera enim omnino diuiduntur in species. Sed neque propriè punctum

 aut

SCHOLIA S. MAXIMI.

aut vnitas est, quoniam hæc connexionem habent cum iis quæ sequuntur: hoc autem est simplicissimum, neque vllam habet differentiam, quin nec motum neque statum seu quietem obtinet. Sed neque vnum statuendum est id quod est, sed principium & semen eius: nam multitudo necessariò vnum sequitur, ens autem adhæret multitudini, quod in Deo locum non habet. Quoniam id quod est essentia est, à Verbo *esse*, Deus autem superessentialis est, & supra id quod est, & vnicè, id est, eminenter & inimitabiliter supra id quod est; Deus enim est omnia & supra omnia. Cùm autem mirificè naturam numerorum explanasset, subdit diuinitatem, quæ omnia superat, siue vnitas siue Trinitas prædicetur, neque vnitatem neque Trinitatem existere, quæ à nobis vel ab aliis per numeros cognoscatur, sed supra omnem mentem & esse & nominari Deum. Dicendo enim quod non est, intelligimus, quid sit Deus.

ATQVE IPSVM VNVM QVOD EST DETERMINAT.] Quoniam etiam supra ipsum vnum Deus est, cùm sit omnia, atque ipsius numeri conditor & adinuentor.

AD NVMERVM SPECTAT.] Nota, illud, *ad numerum spectans*, manifestationem numeri designare; quare vnum in rebus, id est creaturis, secundùm numeri conceptum ponitur.

NON EST VNITAS.] Noli simpliciter intelligere illud, *non est vnitas neque Trinitas*, sed illud *non est* construe cum voce *cognita*: hic enim sermo non vult damnare illa quæ in confesso sunt, sed docere, Deum esse inuestigabilem.

ET FECVNDITATEM DEI VERE.] Ait fecunditatem Dei significari ex nomine Trinitatis. Vt enim adoranda ineffabilium personarum manifestatio repræsentaretur, numerus excogitatus est, prout Basilius & diui Gregorij aiunt. Patrem autem abusiuè fecundum appellauit, tamquam adorandi Filij genitorem, & simul cum ipso adorandi Spiritus sancti fontem. Itaque fecunditas, vel quodcumque nomen hominibus siue etiam ipsismet intellectilibus virtutibus notum, non posset Dei abscondita clarè prout sunt explanare: quomodo enim Deus, qui nihil est eorum quę sunt, sed supra res omnes existit, nomen ex re quapiá accipere possit?

μίαν, ἢ μονάδα κυρίως· σχέσιν γὰρ ἔχει ταῦτα πρὸς τὰ ἐφεξῆς· τὸ δὲ ἐστιν ἁπλούστατον, καὶ οὔτε μίαν διαφορὰν ἔχον, οὔτε γὰρ κίνησίν τινα, καὶ στάσιν, οἷον ἠρεμίαν ἔχει. Ἀλλ' οὔτε ὂν θετέον αὐτὸ τὸ ἕν, ἀλλὰ ἀρχὴν ὄντος καὶ σπέρμα· τῷ δὲ ὄντι πλῆθος ἐξ ἀνάγκης παρέπεται, τῷ πλήθει τὸ ὂν προσγίνεται, ὅπερ οὐκ ἔστιν ἐπὶ Θεοῦ. Τὸ γὰρ ὂν, οὐσία ἐστὶν, ἀπὸ τοῦ Εἶναι· ὁ δὲ Θεὸς καὶ ὑπερούσιος, καὶ ὑπὲρ τὸ ὂν, καὶ ἑνικῶς ἀντὶ τοῦ ἐξαιρέτως καὶ ἀμιμήτως ὑπὲρ τὸ ὄν· ὁ γὰρ Θεὸς τὰ πάντα ἐστὶ καὶ ὑπὲρ πάντα. Θαυμασίως οὖν τὰ περὶ ἀριθμῶν φυσιολογήσας, ἐπάγει, κἂν Τριὰς, κἂν μονὰς ὑμνῆται ἡ ὑπὲρ πάντα θεότης, οὔτε τριὰς οὔτε μονάς ἐστιν, ἡ παρ' ἡμῶν δι' ἀριθμῶν γνωριζομένη, ἢ παρ' ἑτέρου, ἀλλ' ὑπὲρ πάντα νοῦν καί ἐστι καὶ ὀνομάζεται ὁ Θεός. Διὰ γὰρ τοῦ εἰπεῖν ὅπερ οὐκ ἔστι, νοοῦμεν ὅ,τι ἐστὶν ὁ Θεός.

Καὶ αὐτὸ τὸ ἓν ὂν ὁρίζον.] Ὅτι καὶ ὑπὲρ τὸ ἓν ὁ Θεὸς, ὡς πάντα ὑπάρχων, καὶ αὐτὸς τοῦ ἀριθμοῦ ποιητὴς καὶ ἐφευρετὴς ὑπάρχων.

Ἐναρίθμιόν ἐστι.] Σημείωσαι, ὅτι τὸ Ἐναρίθμιον, ἀριθμοῦ δήλωσιν σημαίνει· ἐπὶ τῶν ὄντων τίνων, τουτέστι τῶν κτισμάτων, τὸ ἓν ἐντιθέμενον, κατ' ἀριθμοῦ ἔννοιαν τίθεται.

Οὐκ ἔστιν οὐδὲ μονάς.] Μὴ ἁπλῶς τὸ, Οὐκ ἔστι μονὰς οὐδὲ τριὰς, ἐξακούσῃς, ἀλλὰ πρὸς τὸ Διεγνωσμένη σύνταξον τὸ Οὐκ ἔστιν· οὐ γὰρ ἀνελεῖν τὰ τῆς τοιαύτης ὁμολογίας, ἀλλὰ τὸ ἀνεξιχνίαστον ὁ λόγος διδάξαι βούλεται.

Καὶ τὸ θεογόνον ἀληθῶς.] Τὸ θεογόνον φησὶ δηλοῦσθαι ἐκ τῆς ὀνομασίας τῆς Τριάδος. Ἵνα γὰρ φρασθῇ τῶν ἀνεκλαλήτων ὑποστάσεων ἡ προσκυνητὴ ἔκφανσις, ὁ ἀριθμὸς ἐπενοήθη, καθά φησι Βασίλειος καὶ οἱ θεῖοι Γρηγόριοι. Γόνιμον δὲ τὸν Πατέρα καταχρηστικῶς ὠνόμασεν, ἅτε καὶ προσκυνητοῦ Υἱοῦ πατέρα, καὶ τοῦ συμπροσκυνητοῦ αὐτοῖς παναγίου Πνεύματος πηγήν. Γονιμότης οὖν ἢ ἑτερόν τι ὄνομα τῶν συνεγνωσμένων ἀνθρώποις, ἢ καὶ αὐταῖς ταῖς νοηταῖς δυνάμεσιν, οὐκ ἂν φρασθείη σαφῶς τὰ ὡς εἰσὶν ἐκ πάντων ἀποκεκρυμμένα τοῦ Θεοῦ· πῶς γὰρ δυνατὸν ὀνομάσαι ἀπό τινος τῶν ὄντων τὸν Θεὸν, μήτε τι τῶν πάντων ὄντα, ἀλλὰ καὶ ὑπὲρ πάντα τὰ ὄντα;

Οὐδὲ

Οὐδὲ ὄνομα αὐτῆς ἐστι.] Καλῶς ὁ θεῖος οὗτος ἀνὴρ λέγει, ὅτι οὐδὲ τὸ ὄνομα αὐτῆς ἐστιν, οὐδὲ λόγος, ἀλλὰ ἐν ἀβάτοις ἐξήρηται, οὐ τόποις, μὴ γένοιτο, ἀλλὰ λογισμοῖς καὶ ἐνθυμήσεσιν· ἄβατος γὰρ παντὶ νῷ καὶ ἐνθυμήσει ὁ περὶ Θεοῦ λόγος. Τὸ δὲ, Μήτε ὄνομα αὐτοῦ εἶναι, καλῶς καὶ ἀπαραλλάκτως νόησον· τὰ γὰρ ὄντα πάντα καὶ δι' ὀνομάτων, καὶ διὰ πραγμάτων γνωστικῶν σημαίνονται. Ποῖον τοίνυν ὄνομα, ἢ πρᾶγμα δυνατὸν ἐπιθεῖναι τῷ Θεῷ, τῷ ὑπὲρ πάντα τὰ ὄντα ἐξῃρημένῳ, καὶ πεποιηκότι τὰ πάντα, καὶ αἰτίῳ τῶν πάντων; Διὸ καὶ τὴν ἀγαθότητα αὐτὴν, ἢ τὸ καλόν φησιν ὁ θεῖος οὗτος Διονύσιος μὴ κυρίως ἐφαρμόττειν αὐτῷ τῷ Θεῷ, ἐπειδὴ καὶ ἐν τοῖς οὖσιν εὑρίσκονται ταῦτα. Καὶ ἀνωτέρω οὕτως εὑρήσεις, ὅτι ταῦτα τὰ πάθη καὶ συμβεβηκότα λογίζονται ἐν τοῖς οὖσιν, ὅπερ οὐκ ἔστιν ἐπὶ Θεοῦ τοῦ ὑπεραναβεβηκότος πάντων.

Ἀλλὰ πόθῳ τοῦ νοεῖν.] Σημείωσαι, ὡραῖόν φησιν, ὅτι διὰ τὸ ὅλως νοεῖν τι, καὶ λέγειν περὶ Θεοῦ, τῷ περὶ αὐτὸν πόθῳ κατεχόμενοι, τὸ τῆς ἀγαθότητος ὄνομα ἐπέβαλον τῷ Θεῷ οἱ Θεολόγοι, ἐπεὶ κυρίως καὶ ὑπεράγαθος, καὶ ὑπερούσιός ἐστιν ὁ Θεός. Ἡ δὲ ἀγαθότης, ὥς φησιν οὗτος, σεμνότατον ὄνομα τῶν πάντων. Αἱ δὲ ἀποφάσεις, ἤτοι ἀρνήσεις καὶ στερήσεις, ἐπὶ Θεοῦ οὐχ ἁπλῶς εἴρηνται τοῖς Θεολόγοις· οὐ γὰρ ὡς λέγονται, νοοῦνται, ἀλλὰ ὑπεραναβεβηκότως θεωροῦνται· τὸ γὰρ ἀθάνατος, καὶ ἀόρατος, καὶ ἄφθαρτος, καὶ ἀνενδεὴς, καὶ ἀναμάρτητος, οὐκ ἄν τις σοφίας μετέχων, δημωδέστερον ὑπολάβοι, οὔτε ὅσα ἐπὶ Θεοῦ τοιαῦτα λέγεται, ἀλλὰ τῶν δηλουμένων ἐξιστάμενος, ἐπὶ τὰς σεσιγημένας καὶ θειοτέρας ἐννοίας ἀνανεύσει, διὸ καὶ θειοτέρας θεωνυμίας ἐφεξῆς αὐτὰς καλῶς προσαγορεύει. Ἐξισταμένη γὰρ ἡ ψυχὴ τῶν σωματικῶν πασῶν αἰσθήσεων καὶ κοσμικῶν (ταῦτα γὰρ ἑαυτῇ ἐποίησε σύμφυλα) οὕτω συνάπτεται τῷ ἀκραιφνεῖ τῆς γνώσεως τοῦ Θεοῦ, καθ' ὅσον δυνατόν ἐστιν ἀνθρωπίνῃ φύσει, ὡς καὶ ὁ Ἀπόστολος αἰνίττεται λέγων· Καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. καὶ πάλιν· Νῦν ὡς ἐν αἰνίγματι καὶ ἐν ἐσόπτρῳ ὁρῶμεν, τότε δὲ τὸ πρόσωπον πρὸς πρόσωπον ὀψόμεθα.

Τὸ τῶν ὀνομάτων σεπτότατον.] Σημείωσαι, ὅτι πάντων ὀνομάτων σεπτότατον ἡ ἀγαθότης, διὸ καὶ πρώτως τῷ Θεῷ ἀφιέρωται.

NEQVE NOMEN EIVS EST.] Rectè diuinus hic vir ait, neque nomen eius esse, neq; rationem, sed in inaccessis secretum esse, non locis, absit, sed ratiocinationibus atque cogitationibus: sermo enim Dei inaccessus est omni menti & cogitationi. Porrò illud, *neque eius nomen esse*, benè ac distinctè intellige, nempe res omnes cùm nominibus tum signis notitiam parientibus significari. Quale igitur nomẽ, aut quæ res Deo tribui possit, qui ab omnibus secretus, vt omnium conditor & auctor existit? Quare D. Dionysius ait, ne nomen quidem bonitatis ac pulchritudinis Deo propriè conuenire, quoniam hæc etiam in rebus reperiuntur. Atque ita superiùs inuenies, has affectiones & accidentia in rebus considerari, quod non habet locum in Deo, vt qui cuncta transscendit.

SED DESIDERIO INTELLIGENDI.] Nota eum dicere, Theologos, vt aliquid omninò intelligerent, & de Deo efferrent, ipsius desiderio correptos venustum nomen bonitatis ipsi adaptasse, quamuis propriè Deus sit supraquam bonus, & supraquam substantia. Ceterùm bonitas, vt hic ait, nomen omnium augustissimum existit. Negationes autem & priuationes in Deo non simpliciter à Theologis dicuntur; neque enim prout efferuntur sic intelliguntur, sed modo quodam transscendentali considerantur: nam immortalis & inuisibilis, & incorruptibilis & nullius indigus, & quæcumque similia de Deo dicuntur, nemo, qui compos sit sapientiæ, vulgari modo accipiet, sed à rebus quæ significantur recedens, ad tacitas ac diuiniores cogitationes suspiciet, propter quod etiam intellectiles Dei denominationes deinceps rectè ipsas appellat. Nam anima postquam corporeos omnes sensus & res mundiales excesserit (has enim sibi familiares reddidit) ita purissimæ Dei cognitioni, quantum humanæ naturæ fas est, coniungitur, sicut Apostolus insinuat, dicens: *Et sic semper cum Domino erimus.* & iterùm: 1. Thes. 4. 16
Videmus nunc per speculum in ænigmate, tunc autem facie ad faciem videbimus. 1. Cor. 13. 12.

NOMINVM MAXIME VENERABILE.] Nota, quòd omnium nominum maximè venerabile sit bonitas, propter quod etiam Deo primariò dedicatur.

SCHOLIA S. MAXIMI.

A COGNATIS SIBI.] Dixit cognatis, & notis, atque creaturæ propriis.

§.4. HOC ENIM VERE ETIAM ANGELI.] Quoniam etiam Angelis res diuinæ incomprehensibiles existunt, & postremus Angelorum omnibus Ecclesiæ Theologis, atque adeò etiam Apostolis, maiora de Deo speculatur.

AC SI QVID EORVM QVÆ HIS ÆQVIVALENT.] Quòd si etiam alia æquipollentia Dei nomina in Scripturâ reperiantur, oportet hæc etiam secundùm easdem explicandi rationes adiungere.

ET NOBIS ALIISQVE VIRIS RELIGIOSIS.] Mysteria enim haud omnibus promiscuè communicanda sunt, sed idoneis ac sanctis viris, quod item D. Paulus sancto huic viro Timotheo scribit.

PRO NOSTRO DICENDI CAPTV.] Hæc, & similiter omnia quæ sequuntur, vt sanctum decet, hîc Pater dixit studio modestiæ.

AD SYMBOLICAM VERO THEOLOGIAM.] Symbolicam nempe Theologiam illam intelligit, quæ hactenus non prodiit, vti etiam in alio quopiam capite meminit. Quod si verò velis nosse differentiam Theologicæ informationis & Symbolicæ Theologiæ, lege caput tertium libri de Mysticâ Theologiâ.

Τῶν ἑαυτῇ συμφύλων.] Συμφύλων φησὶ, τῶν συμφυῶν, καὶ γνωρίμων, καὶ τῆς κτίσεως ἰδίων.

Τοῦτο γὰρ ἀληθῶς καὶ Ἄγγελοι.] Ὅτι καὶ Ἀγγέλοις τὰ περὶ Θεοῦ ἀκατάληπτα, καὶ ὅτι καὶ ὁ κατώτατος τῶν Ἀγγέλων, μείζων πάντων τῶν ἐν τῇ Ἐκκλησίᾳ Θεολόγων, περὶ Θεοῦ θεωρεῖ οὐκοῦν καὶ τῶν Ἀποστόλων.

Καὶ εἴ τι τῶν ὁμοδυνάμων.] Ὅτι κἂν ἕτεραι ὁμοδύναμοι θεωνυμίαι ἐν τῇ Γραφῇ εὑρεθῶσι, χρὴ καὶ ταύτας κατὰ τὰς αὐτὰς ἐκφαντορικὰς μεθόδους προσυπακούειν.

Καὶ ὑμῖν, καὶ ἑτέροις ἱεροῖς ἀνδράσιν.] Ὅτι οὐ πᾶσιν ἀζητήτως μεταδοτέον τῶν μυστικῶν, ἀλλὰ τοῖς ἱκανοῖς καὶ ἱεροῖς ἀνδράσιν· ὅπερ καὶ ὁ θεῖος Παῦλος τούτῳ τῷ ἱερῷ ἀνδρὶ Τιμοθέῳ γράφει.

Ἡμεῖς τε εἰπεῖν ἱκανοί.] Ταῦτα ἁγιοπρεπῶς μετριάζων φησὶν ὁ Πατὴρ, ὡσαύτως καὶ τὰ ἑξῆς πάντα.

Ἐπὶ δὲ τὴν Συμβολικὴν Θεολογίαν.] Ὅτι Θεολογίαν Συμβολικὴν λέγει τέως μὴ φερομένην, ὡς καὶ ἐν ἄλλῳ κεφαλαίῳ φησίν. Εἰ δὲ βούλει τὴν διαφορὰν εἰδέναι τῆς θεολογικῆς ὑποτυπώσεως καὶ τῆς Συμβολικῆς Θεολογίας, ἀνάγνωθι τὸ τρίτον κεφάλαιον τοῦ περὶ Μυστικῆς Θεολογίας λόγου.

PARAPHRASIS PACHYMERÆ.

§.1. *Quomodo perfectio sit in Deo.*



TRANSIT ad caput illud, quod potissimum est de perfecto & vno. Quomodo verò potissimum? quoniam aliæ quidem Dei denominationes de vnâ re quapiam seorsùm dicebantur, perfectio verò copulatur; quoniam causa omnium prædicatur, nullo effectu deficiente, qui non ab hac denominetur: vbi autem nihil deficit, perfectio iam omnino existit. Et rursum simul omnia dicitur, & non hoc quidem priùs, alterum verò posteriùs; vel hoc quidem magis, alterum verò minùs; vel hoc quidem tempore longiori & perseuerantiùs, illud verò breuiori & obiter: omnia enim æqualiter ab ipso distant, siue Angelum dixeris, siue formicam, sicut æqualiter ab infinito distant mille & decem. Itaque non potest ab aliquo effectu causa dici, vel si ab aliquo, etiam ab omnibus. Vnde si simul omnia



ΕΠ' αὐτὸ χωρεῖ τὸ ἰσχυρότατον κεφάλαιον, τὸ περὶ τελείου καὶ ἑνός. Πῶς δὲ ἰσχυρότατον; ὅτι αἱ μὲν ἄλλαι θεωνυμίαι μία καὶ καθ' αὑτὴν ἐλέγετο, τὸ δὲ τέλειον συνάγεται· ὅτι πάντα λέγεται ὁ αἴτιος, οὐδενὸς ἀπολειπομένου τῶν αἰτιατῶν εἰς τὸ μὴ λέγεσθαι ἐκ τούτου. Ὅπου δὲ οὐδὲν ἐλλείπει, τέλειον πάντως ἐστίν. Καὶ πάλιν ἅμα πάντα λέγεται, καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· ἢ τὸ μὲν ἐπὶ πλέον, τὸ δὲ ἐπ' ἔλαττον· ἢ τὸ μὲν χρονιωτέρως καὶ μονιμωτέρως, τὸ δὲ δι' ὀλίγου καὶ ἐπιπολαίως· πάντα γὰρ ἐπίσης ἀπολείπονται, κἂν Ἄγγελον εἴποις, κἂν μύρμηκα, ὥσπερ δὴ ἐπίσης ἀπολείπονται πρὸς τὸ ἄπειρον καὶ τὰ χίλια καὶ τὰ δέκα. Ἤγουν οὐκ ἦν ἀπό τινος τῶν αἰτιατῶν ὁ αἴτιος λέγεσθαι· ἢ εἰ ἀπό τινος, καὶ ἀπὸ πάντων. Ὅθεν εἰ ἅμα πάντα

PARAPHRASIS PACHYMERÆ.

λέγονται) ἐπὶ Θεοῦ, ἤδη ἐμφαίνεται καὶ τὸ ἕν· εἰ γὰρ μὴ ἦν ὑπερέχουσα ἑνότης ἐν τούτῳ, οὐκ ἂν ἐφήρμοζεν ἁπάντων ὄντων καὶ ἅμα. Ἐπεὶ γοῦν οὕτω ταῦτα τέλειον λέγεται τὸ Θεῖον, οὐ μόνον ὡς μονοειδῶς διοριζόμενον ἐφ' ἑαυτοῦ καὶ καθ' ἑαυτὸ (τοῦτο γάρ ἐστιν ὅρος τελείου, Τὸ ἀφ' ἑαυτοῦ καὶ οὐκ ἔξωθεν, καὶ κατ' αὐτὸ, καὶ οὐ κατὰ συμβεβηκὸς, μονοειδῶς, ἤγουν καθ' ὃν ἄν τις ἐπιβάλλοι τρόπον, ὁμοίως καὶ ταυτῶς ἀφορίζεσθαι) ἀλλὰ καὶ ὡς ὑπερτελὲς, κατὰ τὸν ἀποδοθέντα περὶ τῶν θείων ὀνομάτων τρόπον, ὅτι ἐκ τῶν αἰτιατῶν μὲν ὁ αἴτιος ὀνομάζεται, πλὴν καὶ ὑπὲρ ταῦτά ἐστι καὶ ὑπεροχικῶς λέγεται ὑπεράγαθος, ὑπερούσιος. Λοιπὸν ἀπὸ τοῦ τελείου τῶν αἰτιατῶν πραγμάτων, ὑπερτελὲς τὸ Θεῖον λέγεται· αὐτὸ γὰρ ἑαυτοῦ καὶ ὅρος καὶ τόπος ἐστὶ, καὶ οὐδὲν ὑπερεκτείνεται τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰ ἄπειρα αὐτὸς περατοῖ. Τοὺς γὰρ αἰῶνας ἀπείρους ὄντας (οὐ γὰρ ἔχουσι πέρας) αὐτὸς τῷ ἀπείρῳ μεγέθει ὑπερέχων τῷ ἑαυτοῦ ἀπειροπλασίῳ περιέχει καὶ πᾶσαν ἀοριστίαν ζωῆς, ὡς ἐπὶ τῶν νοητῶν· οὐ γὰρ ὥρισται τούτοις ὁ βίος ὡς ἐπὶ τῶν ἀνθρώπων, ἀλλ' ἀθάνατοι ἐκτίσθησαν· ὁ Θεὸς τῷ ὑπεραιωνίῳ ἐντὸς τῆς ἰδίας ἀϊδιότητος ὁρίζεται.

Καὶ ἄλλως τέλειον λέγεται, καὶ ὡς ἀναυξὲς καὶ ἀμείωτον· οὔτε γὰρ πρόσθεσιν οὔτε μείωσιν ἐπιδέχεται, ὅπερ καὶ τὸ τέλειόν ἐστ' ἂν ᾖ τέλειον ἔχει. Καὶ ἄλλως, ὅτι καὶ τὰ τέλεια πάντα τελεσιουργεῖ, κατὰ μίαν τὴν ἄπαυστον καὶ ταυτὴν χορηγείαν. Τὸ γοῦν ἑνιαίως καὶ οὐ μεμερισμένως τελεσιουργοῦν, καὶ μὴ ἐλαττούμενον, τέλειον ἂν εἴη καὶ ὑπερτέλειον. Ἓν δὲ λέγεται, ὅτι καθ' ἓν πάντα ἑνιαίως ἐστὶ τῷ αἰτίῳ, καὶ πάλιν ἁπάντων καθ' ἓν ὑπερέχει· οὐδὲν γάρ ἐστι τῶν ὄντων ἀμέτοχον τοῦ ἑνὸς, ἀλλ' ὥσπερ πᾶς ἀριθμὸς μονάδος μετέχει, καὶ μία δυὰς καὶ δεκὰς λέγεται· καὶ εἰ μορίου ἐπιμνησθῇς, ἥμισυ ἓν ἐρεῖς, καὶ τρίτον ἓν, καὶ δέκατον ἓν, καὶ ἐφεξῆς· οὕτω καὶ πάντα, καὶ πᾶν μόριον πάντων, τοῦ ἑνὸς μετέχει· καὶ ἐν τῷ εἶναι τοῦτο τὸ ἓν, πάντα ἐστὶν, ὥσπερ ἐν τῷ εἶναι τὴν μονάδα πάντες οἱ ἀριθμοὶ, καὶ οὐκ ἔστι τὸ ἓν τοῦτο, τῶν πολλῶν ἕν. Ὁ μὲν γὰρ Θεὸς ἕν ἐστι, καθὸ ἁπλοῦς τε, καὶ ἀμερὴς, καὶ τῆς κατ' εἶδος διαφορᾶς ἄμοιρος,

dicantur de Deo, iam apparet etiam illud vnum: nisi enim quoad hoc vnitas illa emineret, vtique simul etiam rebus omnibus non conueniret. Cùm itaque Deus perfectus dicatur, non solùm tamquam vniformiter à se & per se definitus (hæc enim est perfecti definitio, Quod à se ipso, & non extrinsecus, & per se, & non per accidens, vniformiter, siue, vt hoc modo quis accipiat, similiter & idemticè definitur) quin imò, tamquam plus quàm perfectum, secundùm rationem in diuinis nominibus assignatam; quoniam ex effectis auctor denominatur, quamuis etiam supra illos sit, & per excessum nominetur plus quàm bonus, plus quàm essentia. Ceterùm ab effectuum rerumque perfectione Deus quoque supraquam perfectus prædicatur: ipse enim suiipsius & finis & locus est, nihilque supra Deum extenditur, quin etiam ipsemet infinita definit. Nam sæcula quæ sunt infinita (neque enim finem habent) ipsemet infinitâ magnitudine excedens multiplici suâ infinitate complectitur; & omnem vitam termini expertem, vt in intellectilibus: non enim his vita terminatur vt in hominibus, sed immortales creati sunt, Deus verò in superæternâ propriâ æternitate terminatur.

§. 2.

Aliter etiam perfectus dicitur, tamquam neque auctus neque imminutus; neque enim augmentum nec diminutionem admittit, quod etiam perfectionis est in eo quod perfectionem habet. Item, quia omnia quæ perfecta sunt perficit secundùm vnam incessantem & eamdem elargitionem. Quod itaque vnicè & non diuisè perficit, & non minuitur, plenum erit & supraquam plenum. Vnum verò dicitur, quoniam secundùm vnum quid omnia vnita sunt causæ, & hæc rursum omnibus secundùm vnum eminet: nihil enim est in rebus quod vnius non sit particeps, sed sicut omnis numerus participat vnitatem, & vnus binarius denariusque dicitur; & si partis memineris, dices vnam dimidiam, & vnam tertiam, & vnam decimam, & sic deinceps; ita etiam omnia, & omnis pars omnium, participant vnum; & hoc ipso quo est vnum illud, omnia sunt; sicut hoc ipso quo est vnitas, omnes numeri existunt, & hoc vnum non est vnum multorum. Deus enim vnus est, sicuti & simplex, & indiuisus, & expers differentiæ specificæ,

&

PARAPHRASIS PACHYMERÆ.

& ab omnibus affectionibus & accidentibus alienus. Hoc ipsum porrò vnum aliud siue maius siue minus effugit; illud enim supra hæc existit, atque insuper vt principium, tam ipsam vnitatem quàm multitudinem definit: in Deo enim sunt omnes vnus tam qui antè fuerunt quàm qui futuri sunt: non enim est ibi aliud quidem præteritum, aliud verò futurum, cuius participatione tam vnum hoc multa definiat, licet diuersimodè, & nec est vllus modus, secundùm quem multa non in vno comprehendantur. Quæ enim multa sunt partibus, sunt vnum toto, vt corpus: quæ multa sunt accidentibus, sunt vnum subiecto, vt homo: & quæ multa sunt numero, sicut Petrus & Paulus, sunt vnum specie; vterque enim homo est. Quæ porrò etiam multa sunt virtutibus, v.g. carbo, lux, flamma, sunt vnum formâ; ignis enim omnia: & quæ multa sunt processionibus, & consiliis vel operibus, sunt vnum causâ, vnus enim ex quo consilia, vel opera, & nihil est in rebus quod non aliquo modo particeps sit vnius. Vnum dico illud, quod omnia participant, quod secundùm omnia, & integrè vnitate suâ omnia etiam tota, omnia etiam contraria complectitur. Quomodo autem vnum hoc omnia complexum sit, posteà dicetur, quando præconceptum illud vnum demonstrabit. Ceterùm omnia dicuntur, quando species & partes & differentiæ vnius accipiuntur; totum verò, quando partes collectæ vnum integrum efficiunt, v. g. hominem, partes hominis corporeæ, vel partes eius essentiæ, vt rationale & mortale. Rursum, omnia etiam contraria, verbi gratiâ, quodlibet elementum seorsum. Et rursum, in eodem contraria, quando in aliquo subiecto conspiciuntur: omnia enim ex contrariis elementis constituuntur, & vniuntur. Illud autem, ὑποθοῖτό τις, *aliquis supponat*, in aliis quidem secundùm hypothesim seu suppositionem accipitur, etiam in iis quæ re ipsâ non existunt, sed ratione finguntur; hîc verò non sic accipiendum est, sed hoc verbo mentis applicandum, propter creationis ex vno Deo idemtitatem, & quia totum in partibus consideratur, & partes in toto.

Quomodo in Deo omnia quid vnum sint.

καὶ πάντων παθημάτων καὶ συμβεβηκότων ἀλλότριος. Τὸ δὲ ταυτὸν ἓν ἕτερον, ἢ μεῖζον ἢ ἔλαττον περιπέφευγεν· ὑπὲρ γὰρ ταῦτα ἐκεῖνο, καὶ ἔτι ὡς ἀρχὴ καὶ αὐτοῦ τοῦ ἑνὸς καὶ πλήθους ὁριστικόν· ἐν τῷ Θεῷ γὰρ οἱ πάντες εἷς, καὶ οἱ προόντες, καὶ οἱ ἐσόμενοι· οὐ γάρ ἐστιν ἐκεῖ τὸ μὲν παρεληλυθὸς, τὸ δὲ μέλλον, οὗ τῇ μετοχῇ καὶ τὸ ἓν τοῦτο τὰ πολλὰ περιορίζει, πλὴν διαφόρως, καὶ οὐκ ἔστι καθ' ὅντινα τρόπον οὐ περιληφθήσονται τὰ πολλὰ τῷ ἑνί. Τὸ γὰρ πολλὰ τοῖς μέρεσιν, ὑπάρχον δηλονότι, ἓν τῷ ὅλῳ, οἷον τὸ σῶμα· καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν, ἓν τῷ ὑποκειμένῳ, οἷον ὁ ἄνθρωπος· καὶ τὸ πολλὰ τῷ ἀριθμῷ, οἷον Πέτρος καὶ Παῦλος, ἓν τῷ εἴδει, ἄνθρωπος γὰρ καὶ ἀμφότεροι. Ἀλλὰ καὶ τὸ πολλὰ ταῖς δυνάμεσιν, οἷον ἄνθραξ, φῶς, φλὸξ, ἓν τῷ εἴδει, πῦρ γὰρ πάντα· καὶ τὸ πολλὰ ταῖς προόδοις καὶ τοῖς βουλεύμασιν, ἢ τοῖς ἔργοις, ἓν τῷ αἰτίῳ· εἷς γὰρ ἐξ οὗ αἱ βουλαὶ ἢ τὰ ἔργα, καὶ οὐδέν ἐστι τῶν ὄντων ὃ μὴ μετέχει πῃ τοῦ ἑνός. Ἓν λέγω, τὸ ἑνιαῖον αὐτὸ οὗ τινος πάντα μετέχουσι, τὸ ἐν τῷ κατὰ πάντα καὶ ὁλοτελῶς ἑνικῷ προσυνειληφὸς πάντα καὶ ὅλα, πάντα καὶ τὰ ἀντικείμενα. Πῶς γοῦν προσυνείληφε τὰ πάντα τὸ ἕν, μετὰ ταῦτα λεχθήσεται, ὅτε προεπινοούμενον ἀποδείξει τὸ ἕν. Ἀλλὰ πάντα λέγονται, ὅταν ὡς εἴδη καὶ μέρη καὶ διαφοραὶ, τοῦ ἑνὸς λαμβάνωνται· ὅλον δὲ, ὅταν τὰ μέρη συλλεγόμενα ἓν ὁλόκληρον ἀποτελῶσιν, οἷον καὶ τὸν ἄνθρωπον, καὶ τὰ τοῦ ἀνθρώπου σωματικὰ μέρη, ἢ τὰ τῆς οὐσίας αὐτοῦ μέρη, οἷον τὸ λογικὸν, τὸ θνητόν. Πάλιν πάντα καὶ τὰ ἀντικείμενα, ἤγουν ἓν ἕκαστον στοιχεῖον ἰδίᾳ. Καὶ πάλιν ἐν ταὐτῷ τὰ ἀντικείμενα, ὅταν ἔν τινι ὑποκειμένῳ θεωρῶνται. πάντα γὰρ ἐκ τῶν ἐναντίων στοιχείων συνίστανται καὶ ἑνίζονται. Τὸ δὲ Ὑποθοῖτο, ἐν ἄλλοις μὲν τὸ καθ' ὑπόθεσιν λαμβάνεται, καὶ ἐπὶ τῶν πραγματικῶς οὐκ ὄντων, ἀλλὰ λόγῳ τυπουμένων· ἐνταῦθα μέντοι οὐχ οὕτω ληπτέον, ἀλλὰ τὸ κατ' ἐπίνοιαν λόγῳ τοῦτο θετέον, διὰ τὴν τοῦ ἐξ ἑνὸς Θεοῦ ἐκτίσθαι ταὐτότητα, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι θεωρεῖσθαι, καὶ ἐν τῷ ὅλῳ τὰ μέρη.

Ἄνω μὲν ἔλεγεν, ὅτι τὸ ἓν προσυλλαμβάνει τὰ πάντα· νῦν δὲ κατασκευάζων τοῦτο, φησίν·

§. 3. Superiùs quidem dixit, vnum anticipare vniuersa; modò autem illud confirmans ait:

Ἂν μὴ γὰρ προεπινοηθῇ τὸ ἑνιαῖον, δηλονότι τὸ τῶν ἀνθρώπων εἶδος, ἤγουν ἡ φύσις, οὐκ ἄν τις εἴποι, τοὺς ἀνθρώπους ἡνῶσθαι ἀλλήλοις κατ' αὐτὸν τὸν τῆς φύσεως λόγον. Ἡνῶσθαι εἶναι τὰ ἡνωμένα λέγομεν, κατ' εἶδος προεπινοούμενον ἑνὸς ἑκάστου. Καὶ πάλιν τὰ εἴδη καὶ τὰ πολλὰ, στοιχεῖόν τι καὶ ἀρχὴν τὸ ἓν ἐπιγράφονται εἰς γένος ἀναγόμενα, οὗ γένους εἴδη εἰσὶν, οἷον ἵπποι, βόες, ἄνθρωποι, ὥσπερ εἰς ἓν ἀνάγονται τὸ ζῶον. Τοῦτο δὲ λέγει, οὐχ ὅτι τὸ πρὸ τῶν πολλῶν ἀποδέχεται, ὅπερ ὁ Πλάτων ἐπρέσβευε, τὴν ἰδέαν λέγω· ἀλλὰ τὸ ἐν τοῖς πολλοῖς, καὶ τὸ μετὰ τὰ πολλὰ μᾶλλον δεχόμενος, ἐκ τούτων καὶ τὸ ἓν στοιχεῖον τῶν πολλῶν συνίστησιν· ἡ γὰρ ἡμετέρα ἐπίνοια τοὺς πολλοὺς εἰς μίαν συνάγουσα φύσιν, ὅπερ πάντως γίνεται μετὰ τὰ πολλὰ, τότε τὴν τοιαύτην μίαν φύσιν ὡς ἑνιαῖόν τι κατέχει, καὶ ταύτην συνῃρημένην οὕτως μετὰ τὰ πολλὰ τῶν πολλῶν προεπινοεῖ, ὡς τῶν πολλῶν συστατικὴν καὶ συνοχικήν. Εἰ τοίνυν ἀναιρεθείη τὸ ἓν, οὔτε ὅλον οὔτε μόριον ἔσται, ἃ δὴ καὶ ἑνιαίως κατονομάζονται· τούτων δὲ ἀναιρεθέντων, οὐδὲν τῶν ὄντων ἔσται. Τὸ ἓν ἄρα, πάντα ἑνοειδῶς, δηλονότι κατὰ ἕνα καὶ τὸν αὐτὸν λόγον· οὐδὲ γὰρ ἄλλως λέγεται τὸ ὅλον ἓν καὶ ἄλλως τὸ μέρος, καὶ ἄλλως τοῦτο καὶ ἄλλως ἐκεῖνο προείληφεν. ἀλλ' ἵνα μή τις ὑποπτεύσῃ ἐντεῦθεν τὴν περὶ τῶν πολλῶν ἰδέαν, φησὶ, Καὶ περιείληφεν, ὡσανεὶ ὅτι αὐτοῖς τοῖς πολλοῖς, καὶ οὐ καθ' αὑτὸ θεωρεῖται τὸ ἕν. Ἐπεὶ τοίνυν τὸ ἓν τὰ πάντα περιλαμβάνει, πάντων δὲ ποιητὴς ὁ Θεός ἐστι, καὶ ἐκ πάντων ὀνομάζεται ὡς αἴτιος ἐκ τῶν αἰτιατῶν, εἰκότως καὶ τῇ τοῦ ἑνὸς ἐπωνυμίᾳ ὑμνεῖται· ὃ δὴ καὶ ἐκ τοῦ Ἀποστολικοῦ ῥητοῦ παρίστησι, πάντως, διὰ τὴν ἀμέρειαν τῆς ἑνότητος, ὅτι καὶ τὸ ἓν ἀμερὲς, καὶ πάντα ἐν τῷ Θεῷ περιέχονται κατὰ τὴν τοῦ ἑνὸς εἰκόνα, ὅτι πάντα καὶ ἐν αὐτῷ περιέχονται, πλὴν ἐνταῦθα μὲν ὡς ἐν στοιχείῳ καὶ φύσει, ἐπὶ δὲ Θεοῦ ὡς ἐν αἰτίῳ ποιητικῷ καὶ ὑπεροχικῶς. Τὸ δὲ Ὑφ' ἧς, καὶ Ἐξ ἧς, τὸ Ἐστὶ καὶ τὸ Συντέτακται ἁρμοστέον· καὶ τῷ Δι' ἧς, καὶ Ἐν ᾗ, τὸ Μένει καὶ Συνέχεται· καὶ τῷ Εἰς ἣν, τὸ Ἀποπληροῦται καὶ Ἐπιστρέφεται ἀποδοτέον, εἰ καὶ ὁ Πατὴρ ὑφὲν τὰ ῥήματα ἔταξε. Καὶ οὐκ ἂν εὕροις τι τῶν ὄντων, ὃ μὴ ἐν τῷ ἑνὶ, καί ἐστι τοῦτο ὅπερ ἐστὶν (οὕτω

Nisi enim priùs intelligatur vnitas, v. g. species hominum, siue natura, nemo dixerit, homines inter se coniunctos esse secundùm eamdem naturæ rationem. Dicimus itaque, illa quæ coniuncta sunt, vniri secundùm cuiusque speciem præconceptam. Et rursum, species & multa ad vnum genus reducta, describunt vnum elementum aliquod & principium illius generis cuius species existunt; v.g. equi, boues, homines, ad vnum quodammodò animal reducuntur. Hoc autem dicit, non quòd illa ante multa constituatur, vt Plato asserebat, ideam inquam; sed quòd in multis, etiam post multa, potiùs quis concipiens, ex his vnum aliquod multorum elementum componat: noster enim conceptus dum multa in vnam colligit naturam, quod vtique fit post multa, tum istiusmodi vnam naturam quasi vnitam apprehendit, & hanc ita post multa cõtractam concipit pro multis, tamquam multorum constitutiuam & complexiuam. Si itaque vnum tollatur, neq; totum, neq; pars existet, quæ vtique etiam vnitè denominantur; his autem sublatis, nulla res existet. Vnum ergo est omnia vniformiter, id est secundùm vnam & eamdem rationem: neque enim aliter totum & aliter pars quid vnum dicitur, neque aliter hoc & aliter illud anticipauit, sed ne quis hinc opinaretur ideam quamdam ante multa, addit *comprehendit*, quòd quodammodò illud vnum non secundùm se, sed in multis illis concipiatur. Cùm itaque vnum omnia complectatur, omnium verò creator sit Deus, & ex omnibus effectis vt causa nominetur, meritò etiam vnius nomine celebratur: quod etiam ex Apostolico dicto probat, omnino, propter vnitatis indiuisibilitatem, vnum etiam indiuisum & omnia in Deo contineri, secundùm imaginem vnius; quoniam omnia etiam in ipso continentur, verumtamen tamquam in elemento & naturâ, in Deo verò tamquam causâ efficiente, & eminenter. Voculæ autem *à quâ* & *ex quâ* referri debent ad *sunt* & *componuntur*; *per quam* verò *& in quâ*, ad *manent* & *continentur*; & *ad quam*, ad *complentur* & *conuertuntur*, etsi Pater sigillatim & simul verba collocarit. Neque quidquam reperies, quod non in vno etiam sit id quod est (sic enim per

PARAPHRASIS PACHYMERÆ. *Vnum est principium multorum.*

PARAPHRASIS PACHYMERÆ.

hyperbaton construi debet) & perficiatur, & conseruetur, in quantum vnum & diuinitas superessentialiter, sicut etiam in aliis, nominatur. Non absolutè verò omni vno, secundùm quod Deus vnus & vnum nuncupatur: hoc enim vno solo res existunt, & oportet etiam nos idcircò à multis, etiam diuisis cognitionibus, ad vnum, quod omnium causa est, conuerti, quod etiam ante omne vnum est, scilicet ante omnem naturam, & ante omnem multitudinem, scilicet omnem sigillatim: hoc enim vnum neque paruum neque mediocre vocatur. Quin etiam, si audendum sit, neque pulchrum, neque bonum: hæc enim quodammodò affectiones sunt, & habitudines, & accidentia, ipsum verò hoc vnum etiam supra hæc intelligitur; affectiones verò, vt paruum & mediocre, etiam cum aliis, seu dependenter ab aliis, intelliguntur. Ergo vnum illud simplex & expers affectionum, neque tamquam genus rerum ponendum (genera enim omnino diuiduntur in species) neque punctum, neque propriè monas, illa enim connexionem habet cum sequentibus; hoc autem est simplicissimum. Sed neque illud vnum ens aliquod statuendum est, sed entium principium, quoniam id quod est essentia est, à verbo Esse, Deus autem supraessentialis est, & supra id quod est; quocircà etiam supra omnem terminum, & supra omnem infinitatem existit, & illud ipsum esse definit, & vnicè causa est, id est eminenter & inimitabiliter, tam omnium rerum quàm totorum omnium, scilicet integrorum; & simul etiam ante omnia & supra omnia tamquam causa. Ne itaque illud *simul* quibusdam contrarium videatur iis quæ à diuina Scriptura dicta sunt, quòd qualibet die hoc & illud creauerit & produxerit. Simul dixit, secundùm virtutem creatoris: poterat enim etiam in momento temporis omnia producere, quemadmodum quoque magnus Chrysostomus de hac re sentit. Et supra ipsum vnum Deus est, vt qui supra omnia eminet, & omne ens quid vnum definit: nam id, quod est vnum, numeri manifestationem habet, cùm alicui rei apponitur. Ergo vnum in rebus, id est creaturis, positum, secundùm numeri rationem ponitur: & idcircò quod vnum est, ad numerum spectare dicit, siue id quod sub numerum cadit, vnum est per oppositionem duorum vel trium. Talis autem nu-

Quale vnum sit in Deo.

γὰρ συντακτέον καθ' ὑπερβατὸν) καὶ τελειοῦται, καὶ διασώζεται, καθ' ὃ ἓν καὶ ἡ θεότης ὑπερουσίως ὡς καὶ ἐν τοῖς ἄλλοις ὀνομάζεται. Οὐκ ἀπολύτως δὲ παντὶ ἑνὶ, καθ' ὃ Θεὸς εἷς καὶ ἓν ὀνομάζεται· τούτῳ γὰρ μόνῳ τῷ ἑνὶ τὰ ὄντα ἐστὶ, καὶ χρὴ καὶ ἡμᾶς διὰ τοῦτο ἀπὸ τῶν πολλῶν καὶ ἐσκεδασμένων γνώσεων, ἐπὶ τὸ πάντων αἴτιον ἓν ἐπιστρέφεσθαι, ὅπερ ἐστὶ καὶ πρὸ παντὸς ἑνὸς, δηλονότι πρὸ πάσης φύσεως, καὶ πρὸ παντὸς πλήθους, δηλονότι παντὸς τοῦ καθέκαστον· τοῦτο γὰρ τὸ ἓν, οὔτε μικρὸν οὔτε μέτριον καλεῖται. Εἰ δὲ δεῖ καὶ τολμῆσαι, οὔτε καλὸν οὔτε ἀγαθόν· ταῦτα γὰρ πάθη πως οἷόν εἰσι καὶ σχέσεις, καὶ συμβεβηκότα, αὐτὸ δὲ τὸ ἓν καὶ ὑπὲρ ταῦτα νοεῖται· τὰ δὲ πάθη, ὡς τὸ μικρὸν καὶ τὸ μέτριον, καὶ σὺν ἄλλων νοοῦνται. Τὸ οὖν ἁπλοῦν καὶ ἀπαθὲς ἕν, οὔτε ὡς γένος θετέον τῶν ὄντων (τὰ γὰρ γένη διαιροῦνται εἰς τὰ εἴδη) οὔτε στιγμὴν, οὔτε μονάδα κυρίως, σχέσιν γὰρ ἔχει ταῦτα πρὸς τὰ ἐφεξῆς· τὸ δέ ἐστιν ἁπλούστατον. Ἀλλ' οὔτε ὂν θετέον αὐτὸ τὸ ἕν, ἀλλ' ἀρχὴν ὄντων· καὶ τὸ ὂν γὰρ οὐσία ἐστὶν, ἀπὸ τοῦ εἶναι, ὁ δὲ Θεὸς ὑπερούσιος, καὶ ὑπὲρ τὸ ὂν, διὰ τοῦτο καὶ ὑπὲρ πάντα ὅρον, καὶ ὑπὲρ πᾶσαν ἀορισίαν ἐστὶ, καὶ αὐτὸ τὸ εἶναι ὁρίζει, καὶ αἴτιόν ἐστιν ἑνικῶς, δηλονότι ἐξαιρέτως καὶ ἀμιμήτως, καὶ πάντων τῶν ὄντων, καὶ ὅλων πάντων, δηλονότι ὁλοκλήρων· καὶ ἅμα, καὶ πρὸ πάντων, καὶ ὑπὲρ πάντα ὡς αἴτιον. Μὴ γοῦν δόξῃ τισὶν ἐναντίον τὸ Ἅμα πρὸς τὰ παρὰ τῆς θείας Γραφῆς εἰρημένα, ὅτι ἐν μιᾷ ἑκάστῃ ἡμέρᾳ τόδε τι ἐδημιούργησε καὶ ὑπέστησεν. Ἅμα εἶπε, κατὰ τὴν τοῦ ποιητοῦ δύναμιν· ἠδύνατο γὰρ καὶ ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ τὰ πάντα συστήσασθαι, καθὼς καὶ ὁ μέγας διαλαμβάνει περὶ τούτου Χρυσόστομος. Καὶ ὑπὲρ αὐτὸ τὸ ἓν ὁ Θεὸς, ὡς καὶ πάντα ὑπερέχων, καὶ πᾶν τὸ ὂν ἓν ὁρίζει· τὸ γὰρ ὂν ἕν, ἀριθμοῦ δήλωσιν ἔχει ἐπί τινος ὄντος τασσόμενον. Ἐπὶ τῶν ὄντων τοίνυν, τουτέστι τῶν κτισμάτων, τὸ ἓν τιθέμενον, κατὰ ἀριθμοῦ ἔννοιαν τίθεται· καὶ διὰ τοῦτο τὸ ὂν ἕν, ἐνάριθμον λέγει, δηλονότι τὸ ὂν καὶ ὑποπίπτον τῷ ἀριθμῷ, ἕν ἐστιν ἀντιδιαστελλόμενον πρὸς τὰ δύο, ἢ τὰ τρία. Ὁ δὲ τοιοῦτος ἀριθ-

mus

μὸς πάντως οὐσίας μετέχει τινός, τὸ δὲ ὑπερούσιον ἓν, καθ' αὑτὸ καὶ ἁπλούστατόν ἐστι. Θαυμασίως οὖν τὰ περὶ ἀριθμῶν φυσιολογήσας, ἐπάγει, ὅτι κἂν μονὰς κἂν τριὰς ὑμνοῖτο ἡ ὑπὲρ πάντα θεότης, οὔτε μονὰς οὔτε μονὰς, οὔτε τριὰς οὔτε τριάς ἐστιν, ἢ παρ' ἡμῶν δι' ἀριθμῶν γνωριζομένη ἢ παρ' ἑτέρου, ἀλλ' ὑπὲρ πάντα νοῦν καί ἐστι καὶ ὀνομάζεται ὁ Θεός· διὰ γὰρ τοῦ εἰπεῖν ὅπερ οὐκ ἔστι, νοοῦμεν ὅ,τι ἐστὶν ὁ Θεός. Μὴ τοίνυν ἁπλῶς τὸ, Οὐκ ἔστι μονὰς ἢ τριὰς, ἐξακούσῃς, ἀλλὰ πρὸς τῇ διεγνωσμένῃ σύνταξον τὸ Οὐκ ἔστιν· οὐ γὰρ ἀνελεῖν τὰ τῆς τοιαύτης ὁμολογίας, ἀλλὰ τὸ ἀνεξιχνίαστον ὁ λόγος βούλεται διδάξαι. Τὸ γοῦν Ὑπερηνωμένον φησὶ δηλοῦσθαι ἐκ τῆς ὀνομασίας τῆς μονάδος, τὸ δὲ Θεόγονον ἐκ τῆς ὀνομασίας τῆς τριάδος· ἵνα γὰρ παραστῇ τῶν ἀνεκλαλήτων ὑποστάσεων ἡ προσκυνητὴ ἔκφανσις, ὁ ἀριθμὸς ἐπενοήθη, καθὰ καὶ Βασίλειος καὶ Γρηγόριος οἱ θεῖοι λέγουσι. Γόνιμον δὲ τὸν Πατέρα ὠνόμασεν, ἅτε προσκυνητοῦ Υἱοῦ Πατέρα, καὶ τοῦ συμπροσκυνητοῦ αὐτῷ Πνεύματος πηγὴν, καὶ ἀρχὴν καὶ αἰτίαν. Γονιμότης δὲ ἡ ἑνότης, ἢ ἕτερόν τι ὄνομα τῶν συνεγνωσμένων ἢ ἀνθρώποις, ἢ καὶ αὐταῖς ταῖς νοηταῖς δυνάμεσιν, οὐκ ἂν παραστήσειε σαφῶς τὰ ὡς εἰσὶν ἐκ πάντων ἀποκεκρυμμένα τοῦ Θεοῦ. Πῶς γὰρ δυνατὸν ὀνομάσαι ἀπό τινος τῶν ὄντων τὸν Θεὸν, μηδὲν τῶν πάντων ὄντα, καὶ ὑπὲρ τὰ πάντα ὄντα; Καὶ τί λέγω περὶ τῶν ἄλλων ὀνομάτων, ὅπου καὶ αὐτὸ τὸ σεπτότατον ὄνομα ἡ ἀγαθότης, οὐκ οἰκεῖον κυρίως Θεῷ; οἱ γὰρ Θεολόγοι διὰ τὸ ὅλως νοεῖν τι καὶ λέγειν περὶ Θεοῦ, τῷ περὶ αὐτὸν πόθῳ κατεχόμενοι, τὸ τῆς ἀγαθότητος ὄνομα ἐπέβαλον τῷ Θεῷ, ἀλλὰ κυρίως καὶ ὑπεράγαθός ἐστι καὶ ὑπερούσιος ὁ Θεός. Αἱ δὲ ἀποφάσεις, ἤτοι ἀρνήσεις καὶ στερήσεις, ἐπὶ Θεοῦ οὐχ ἁπλῶς εἴρηνται τοῖς Θεολόγοις· οὐ γὰρ ὡς λέγονται νοοῦνται, ἀλλ' ὑπεραναβεβηκότως θεωροῦνται. Τὸ γὰρ ἀθάνατος, καὶ ἀόρατος, καὶ ἀνενδεὴς, καὶ τὰ τοιαῦτα οὐκ ἄν τις σοφίας μετέχων, δημωδέστερον ἀπολάβοι, ἀλλὰ τῶν δηλουμένων ἐξιστάμενος, ἐπὶ τὰς σεσιγημένας καὶ θειοτέρας ἐννοίας ἀναδύσεται· διὸ καὶ νοητὰς θεωνυμίας ἐφεξῆς κα-

merus omnino aliquam ſubſtantiam participat; vnum autem ſuperſubſtantiale ſecundùm ſe quoque ſimpliciſſimum exiſtit. Mirabiliter itaque numerorum naturam inueſtigans ſubdit, diuinitatem, quæ omnia ſuperat, ſiue monas ſiue trias prædicetur, neque monadem quà monadem, neque triadem quà triadem, neque à nobis, neque ab aliis per numeros cognoſci, ſed ſupra omnem mentem & eſſe & nominari Deum: dicendo enim quod non eſt, intelligimus quid ſit Deus. Ne igitur ſimpliciter audias illud, Neque monas neque trias, ſed illud *Non eſt* conſtrue cum διεγνωσμένῃ ſeu *voce cognitâ*: ſermo enim non vult condemnare quæ ita pro confeſſo habentur, ſed Deum eſſe inueſtigabilem docet. Illud itaque Supraquam vnitum ait ſignificari ex nomine vnitatis, diuinam verò fecunditatem ex nomine trinitatis: vt enim adoranda ineffabilium perſonarum manifeſtatio repræſentaretur, numerus excogitatus eſt, ſicut diui Baſilius & Gregorius aiunt. Patrem autem fecundum appellauit, tamquam adorandi Filij genitorem, & ſimul cum ipſo adorandi Spiritus ſancti fontem, ac principium & cauſam. Fecunditas autem vnitáſve, aut aliud aliquod nomen, hominibus aut etiam ipſiſmet intellectilibus virtutibus notum, non poſſet clarè exhibere Dei abſcondita prout ſunt. Quomodo enim Deus, qui nihil rerum eſt, ſed ſupra res omnes, ex re aliquâ nomen accipere poſſit? Et quid dico de aliis nominibus, cùm etiam ipſummet auguſtiſſimum nomen bonitatis non ſit propriè Deo proprium? Theologi enim, vt aliquid omnino intelligerent & de Deo dicerent, ipſius deſiderio correpti, nomen bonitatis Deo impoſuerunt, quamuis propriè Deus ſit ſupra bonitatem, & ſupra eſſentiam. Ἀποφάσεις verò, ſiue negationes & priuationes, in Deo non ſimpliciter à Theologis dicuntur: non enim ſicut dicuntur ita intelliguntur, ſed modo tranſſcendentali conſiderantur. Nam immortalis, & inuiſibilis, & nullius indigus, & ſimilia, nemo, qui compos ſit ſapientiæ, modo vulgari accipiet, ſed à rebus quæ ſignificantur recedens, ad tacitas & diuiniores cogitationes ſuſpiciet; propter quod etiam intellectiles Dei denominationes deinceps

Quomodo negationes ſint in Deo.

 rectè

PARAPHRASIS PACHYMERÆ.

rectè ipſas appellat. Nam anima vbi corporeis omnibus ſenſibus & rebus mundanis ſe abdicarit (has enim familiares vocat) tantum puriſſimæ Dei cognitioni, quantum naturæ humanæ licet, coniungitur, ſicut A-
1. Theſ. 4. 16. poſtolus inſinuat, dicens: *Et ſic ſemper cum*
1. Cor. 13, 12. *Domino erimus.* & iterùm: *Videmus nunc per ſpeculum & in ænigmate, tunc autem facie ad faciem videbimus.*

§. 4. Hæc nos diuina nomina, quoad licuit, explicuimus, videlicet non ſublimiùs, ſed ſecundùm litteram humiliùs tradidimus non ſolùm Angelis, nam infimus etiam horum maior eſt omnibus Eccleſiæ Theologis; non ſolùm Theologis, inquit, conſodalibus & quaſi diſcipulis, & aſcetis, qui ſcilicet diuinas illuſtrationes exercitio, & non per viſiones, acceperunt, vt Apoſtoli. Non ſolùm itaque his ſimpliciùs & humiliùs diximus, verùm etiam ipſiſmet æqualibus noſtris. Hæc verò, & quæ ſequuntur, vt ſanctum decet, hic Pater dixit ſtudio modeſtiæ. Itaque, ſi quidem rectè quid coniecimus, gratia ſit Deo bonorum omnium auctori, qui dedit vt diceremus, & benè diceremus. Si quid itaque rectè diximus, vel adhuc docemus, & ſi quid eorum, quæ his æquiualent, nominum diuinorum in Scripturis reperiatur, oportet etiam hæc ſecundùm eaſdem explicandi rationes ſubintelligere. Sin verò hæc minùs rectè ſe habeant, atque adeò à veritate vel omnino vel ex parte aberrauimus, erit humanitatis tuæ, diuinè Timothee, corrigere non ſponte ignorantem, & diſcere cupientem, & infirmitatem meam adiuuare, curareque nolentem ægrotare. Atque item tuæ humanitatis erit, ea quæ à te ipſo habes, vel ab altero didiciſti, omnia autem à Deo accepiſti, in nos etiam deriuare. Neque pigeat ex parte etiam hoc nos beneficio afficere, cùm & nos, ſi quid cognouimus, non intra nos continuimus, verùm etiam communicauimus, & communicabimus, prout habemus & proferre poſſumus, ac vos audire. Hoc enim proprium eſt humanitatis, vt in nullâ re ſanctorum traditionem violemus, niſi fortè vel ad intelligendum vel ad eloquendum im-

λῶς αὐτὰς προσαγορεύει. Ἐξισταμένη γὰρ ἡ ψυχὴ τῶν σωματικῶν ἁπασῶν αἰσθήσεων, καὶ κοσμικῶν (ταύτας γὰρ συμφύλους φησὶν) οὕτω συνάπτεται τῷ ἀκραιφνεῖ τῆς γνώσεως τοῦ Θεοῦ, καθόσον δυνατόν ἐστιν ἀνθρωπίνῃ φύσει, ὡς καὶ ὁ Ἀπόστολος αἰνίττεται, λέγων· Καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. καὶ πάλιν· Νῦν ὡς ἐν αἰνίγματι καὶ ἐν ἐσόπτρῳ ὁρῶμεν, τότε δὲ πρόσωπον πρὸς πρόσωπον ὀψόμεθα.

Ταύτας ἡμεῖς τὰς νοητὰς θεωνυμίας, ὡς ἐφικτὸν, ἀνεπτύξαμεν, δηλονότι οὐχ ὑψηλοτέρως, ἀλλὰ κατὰ τὸ γράμμα ἀποδεδώκαμεν ταπεινοτέρως, μὴ μόνον τῶν Ἀγγέλων, ὁ γὰρ τούτων κατώτατος, μείζων πάντων τῶν ἐν τῇ Ἐκκλησίᾳ Θεολόγων ἐστί· μὴ μόνον τῶν Θεολόγων, οὕς τε συνοπαδῶν λέγει, οἱονεὶ μαθητῶν, καὶ ὧν ἀσκητῶν, δηλονότι τῶν τὰς ἐλλάμψεις τὰς θείας κτησαμένων δι' ἀσκήσεως, καὶ οὐ δι' ὁράσεως, κατὰ τοὺς Ἀποστόλους. Μὴ μόνον γοῦν ἐσχάτως καὶ ταπεινοτέρως τούτων εἴπομεν, ἀλλὰ καὶ αὐτῶν τῶν ὁμοταγῶν ἡμῖν. Ταῦτα δὲ καὶ τὰ ἑξῆς μετριάζων ἁγιοπρεπῶς ὁ Πατήρ φησιν, ὥστε, Εἰ μέν τινος κατεστοχασάμεθα, χάρις τῷ αἰτίῳ τῶν πάντων ἀγαθῶν Θεῷ, τῷ δωρουμένῳ καὶ τὸ λέγειν καὶ τὸ εὖ λέγειν. Εἰ γοῦν κατωρθώσαμέν τι, καὶ ἔτι διδάσκομεν, ὅτι κἂν ἕτεραι ὁμοδύναμοι θεωνυμίαι ἐν τῇ Γραφῇ εὑρεθῶσι, χρὴ καὶ ταύτας κατὰ τὰς αὐτὰς ἐκφαντορικὰς μεθόδους προσυπακούειν. Εἰ δὲ οὐκ ὀρθῶς ἔχει, καὶ διὰ τοῦτο τῆς ἀληθείας ὁλικῶς ἀποπλανήθημεν ἢ ἀτελῶς, καὶ διὰ τοῦτο μερικῶς ἡμάρτομεν, εἴη ἂν τῆς σῆς φιλανθρωπίας, θεῖε Τιμόθεε, ἐπανορθώσασθαι τὸν ἀκουσίως ἀγνοοῦντα καὶ μαθεῖν δεόμενον, καὶ βοηθῆσαι τῷ ἀσθενεῖ ἐμοὶ, καὶ ἰάσασθαι τὸν οὐκ ἐθέλοντα ἀρρωστεῖν. Καὶ πάλιν τῆς σῆς φιλανθρωπίας εἴη, τὸ τὰ μὲν παρ' ἑαυτοῦ ἔχοντα, τὰ δὲ παρ' ἑτέρων μανθάνοντα, πάντα δὲ πάντως ἐκ τοῦ Θεοῦ λαμβάνοντα, καὶ εἰς ἡμᾶς διαβιβάσαι. Μὴ γοῦν ἀποκάμῃς ἐκ μέρους καὶ αὐτὸς εὐεργετῶν ἡμᾶς, ἐπεὶ καὶ ἡμεῖς, εἴ τι ἂν εἰς γνῶσιν εἴχομεν, οὐκ ἔχομεν παρ' ἑαυτοῖς, ἀλλὰ καὶ μεταδεδώκαμεν, καὶ μεταδώσομεν, καθὼς ἔχομεν καὶ ἡμεῖς δυνάμεως λέγειν, καὶ οἱ ἀκούοντες ἀκούειν. Τοῦτο γὰρ φιλανθρωπίας ἴδιον κατ' οὐδὲν τὴν τῶν ἁγίων ἀδικοῦντες παράδοσιν, εἰ μὴ ἄρα οὐ δυνησόμεθα, ἀλλ' ἢ κατὰ νοῦν ἀσθενεῖς φανῶμεν, ἢ

κατὰ

κατὰ λόγον. Ἀλλὰ τὰ μὲν ταῦτα, ὡς τῷ Θεῷ φίλον, οὕτως ἐχέτω, καὶ οὕτω λεγέσθω τὰ ἐπαγγελλόμενα λέγεσθαι παρ' ἡμῶν. Νῦν δὲ ἔστω πέρας τῇ τοιαύτῃ πραγματείᾳ, καὶ ἐφ' ἑτέραν μεταβησόμεθα. Σημείωσαι δὲ, ὅτι Συμβολικὴν Θεολογίαν λέγει, τέως μὴ φερομένην. Εἰ δὲ βούλει τὴν διαφορὰν εἰδέναι τῆς Θεολογικῆς ὑποτυπώσεως, καὶ τῆς Συμβολικῆς Θεολογίας, ἀνάγνωθι τὸ τρίτον κεφάλαιον τοῦ περὶ Μυστικῆς Θεολογίας λόγου, περὶ οὗ καὶ ἡμεῖς, Θεοῦ διδόντος, κατὰ καιρὸν λέξομεν.

becilliores existimus. Sed hæc quidem, vt Deo placet, sic habeant, & dicta sint, quæ à nobis dicenda erant. Modò verò finis sit huius Operis, & ad aliud transeamus. Obserua autem, ipsum dicere Symbolicam Theologiam, quæ hactenus non prodiit. Quòd si velis differentiam nosse Theologicæ informationis & Symbolicæ Theologiæ, lege caput tertium sermonis de Mysticâ Theologiâ, de quo etiam nos, Deo dante, suo tempore dicemus.

PARAPHRASIS PACHYMERÆ.




LABORE ET CONS TANTIA
C.I.



D. AREOPAGITÆ
OPERA
1



colorchecker CLASSIC
calibrite
mm